(4) Hic Abrahamius (quinque syllabis) vir pius et presbyter nominatur in Actis S. Arethæ martyris apud Sur. tom. V, 24 Octob.

(5) De quibus Nicephor. lib. XVII, cap. 32.

(6) Cujus mentio in S. Arethæ Actis sup. citatis, et Niceph. lib. XVII, cap. 6.

(7) Niceph. lib. VIII, cap. 35, et XVII, cap. 32 : Theophan. Byzant. inf. cod. LXIV.

(8) Vide Suidam et notas ad Curopalat, De offic. Constantinop.

(9) Phœniconis urbis Ægypti meminit inf. Olympiodorus cod. LXXX sub fin. Diod. Sicul. lib. III locum esse maritimum ad sinum Arabicum scribit.

(10) Non omnino dissimile, quod narrat Ctesias in *Indicis* inf. cod. LXXII.

φασὶ δὲ ὅτι καὶ τὰ θηρία πρὸς τοὺς ἀνθρώπους, οὐ μόνον δὲ ἀλλὰ καὶ αὐτὰ πρὸς ἄλληλα. Λέγεται δὲ καὶ ἄλλα πολλὰ παράδοξα καὶ μύθων οὐδὲν διαλλάττοντα.

A tunc degere fabulantur. Narrat et alia multa inopinata, et (11) fabulis non absimilia.

[8 R.] Ὅτι διεστηκέναι φησὶ τὴν Ἄδουλιν τῆς Αὐξούμεως [22] ιε' ἡμερῶν ὁδόν. Ἀπιοῦσι δὲ εἰς τὴν Αὔξουμιν Νοννόσῳ τε καὶ τοῖς μετ' [23] αὐτὸν μέγιστον ἐφάνη θέαμα περὶ χωρίον Αὔην προσονομαζόμενον (κεῖται δὲ ἡ Αὔη ἐν μέσῳ τῆς τε τῶν Αὐξουμιτῶν καὶ τῆς τῶν Ἀδουλιτῶν πόλεως), ἐλεφάντων πλῆθος οὐκ ὀλίγον, ἀλλὰ [3 H.] σχεδὸν ὡς [24] χιλιάδων πέντε. Ἐνέμοντο δὲ οὗτοι οἱ ἐλέφαντες ἐν πεδίῳ μεγάλῳ· καὶ πελάζειν αὐτοῖς οὐδενὶ τῶν ἐγχωρίων ἦν εὔκολον, οὐδὲ εἴργειν τῆς νομῆς. Τοῦτο μὲν οὖν μεταξὺ τὸ θέαμα αὐτοῖς προσεγεγόνει.

Adulin scribit ab Auxumi quindecim itinere dierum distare. Proficiscenti vero Auxumin Nonnoso cum suis, maximum hoc objectum spectaculum, ad regionem Aven dictam, quæ media est inter Auxumin et Adulin urbes, elephantorum nimirum multitudo non modica, imo millia ferme quinque. Pascebant hi elephanti maximo in campo, propiusque accedere nemini **3***a* incolarum facile erat, neque pastu prohibere. Hoc illis interim spectaculum occurrit.

Χρὴ δὲ καὶ τὰ περὶ τῆς κράσεως τῶν ἀέρων εἰπεῖν, οἷα ἀπὸ τῆς Αὔης ἐπὶ τὴν Αὔξουμιν διαδέχεται. Ἐναντίως γὰρ περί τε θέρος καὶ χειμῶνα διάκειται. Τοῦ γὰρ ἡλίου τὸν Καρκίνον τε καὶ Λέοντα καὶ Παρθένον διερχομένου μέχρι μὲν τῆς Αὔης, ὥσπερ καὶ παρ' ἡμῖν, θέρος τε καὶ ξηρότης διακρατεῖ τὸν ἀέρα, ἀπὸ δὲ τῆς Αὔης ἐπὶ τὴν ἄλλην Αἰθιοπίαν χειμὼν ἐπίκειται σφοδρὸς, οὐ δι' ὅλης ἡμέρας, ἀλλὰ γὰρ ἀπὸ μεσημβρίας ἀρχόμενος ἑκάστοτε, συννεφῆ τε τὸν ἀέρα ποιῶν καὶ ὄμβροις ῥαγδαίοις, τὴν χώραν ἐπικλύζων. Τηνικαῦτα δὲ ἄρα καὶ ὁ Νεῖλος πολὺς ἐπὶ τὴν Αἴγυπτον ἐρχόμενος πελαγίζει τε καὶ καταρδεῖ τὴν γῆν, ὅτε δὲ ὁ ἥλιος τὸν Αἰγόκερών [25] τε καὶ Ὑδροχόον καὶ Ἰχθύας ἐπιπορεύεται, ἀνάπαλιν ὁ ἀὴρ τοῖς μὲν Ἀδουλίταις μέχρι τῆς Αὔης ὄμβροις ἐπικλύζει τὴν χώραν, τοῖς δὲ ἀπὸ τῆς Αὔης μέχρι Αὐξούμεως καὶ τῆς ἄλλης Αἰθιοπίας θέρος τε καὶ τὰ ὡραῖα τηνικαῦτα τούτοις ἡ γῆ παραδίδωσιν.

De cœli quoque constitutione dicere oportet, quæ est ab Ave ad Auxumin : contra enim æstas illic et hiems accidit. Nam, sole Cancrum, Leonem et Virginem obeunte, ad Aven usque (uti et nobis) æstas est, summaque cœli siccitas. At ab Ave Auxumin versus, et reliquam Æthiopiam, hiems est vehemens, non integro quidem illa die, sed quæ (12) a meridie semper et ubique incipiens, coactis nubibus aerem obducat, et horrendis imbribus oram illam inundet. Quo etiam tempore Nilus late Ægyptum pervadens, maris in modum terram irrigat. Cum autem sol Capricornum, Aquarium et Pisces perambulat, aer vice versa Adulitis in Aven usque imbribus regionem inundat, iis vero qui ab Ave Auxumin, cæteramque Æthiopiam versus jacent, æstas et, est maturos jam fructus terra præbet.

Ὅτι ἀπὸ τῆς Φαρσὰν πλέοντι τῷ Νοννόσῳ, ἐπὶ τὴν ἐσχάτην τῶν νήσων κατηντηκότι, τοιόνδε τι συνέβη, θαῦμα καὶ ἀκοῦσαι. Ἐνέτυχε γάρ τισι μορφὴν μὲν καὶ ἰδέαν ἔχουσιν ἀνθρωπίνην, βραχυτάτοις δὲ τὸ [26] μέγεθος καὶ μέλασι [27] τὴν χρόαν, ὑπὸ δὲ τριχῶν δεδασυσμένοις διὰ παντὸς τοῦ σώματος· εἶποντο δὲ τοῖς ἀνδράσι καὶ γυναῖκες παραπλήσιαι καὶ παιδάρια ἔτι βραχύτερα τῶν παρ' αὐτοῖς ἀνδρῶν. Γυμνοὶ δὲ ἦσαν ἅπαντες· πλὴν δέρματί τινι μικρῷ τὴν αἰδὼ περιεκάλυπτον οἱ προβεβηκότες ὁμοίως ἄνδρες τε καὶ γυναῖκες. Ἄγριον δὲ οὐδὲν ἐπεδείκνυντο οὐδὲ ἀνήμερον, ἀλλὰ καὶ φωνὴν εἶχον μὲν ἀνθρωπίνην, ἄγνωστον δὲ παντάπασι τὴν διάλεκτον τοῖς τε περιοίκοις ἅπασι καὶ πολλῷ πλέον τοῖς περὶ τὸν Νόννοσον [28]. Διέζων δὲ ἐκ θαλαττίων ὀστρέων [29] καὶ ἰχθύων τῶν ἀπὸ τῆς θαλάσσης εἰς τὴν νῆσον ἀποῤῥιπτομένων. Θάρσος δὲ εἶχον οὐδὲν, ἀλλὰ καὶ ὁρῶντες τοὺς καθ' ἡμᾶς ἀνθρώπους ὑπέπτησσον [30], ὥσπερ ἡμεῖς τὰ μείζω τῶν θηρίων.

Naviganti a Pharsa Nonnoso, et ad extremam usque insularum delato, tale quid occurrit, vel ipso auditu admirandum. Incidit enim in quodsam forma quidem et figura humana, sed brevissimos (13) et cutem nigros totumque pilosos corpus. Sequebantur viros æquales feminæ, et pueri adhuc breviores. Nudi omnes agunt, pelle tantum brevi adultiores verenda tecti, viri pariter ac feminæ, agreste nihil neque efferum quid præ se ferentes. Quin et vox illis humana, sed omnibus, etiam accolis prorsus ignota lingua, multoque amplius Nonnosi sociis. Vivunt marinis ostreis, et piscibus e mari ad insulam projectis. Audaces minime sunt, ut, nostris conspectis hominibus, quemadmodum nos visa ingenti fera, metu perculsi fuerint

VARIÆ LECTIONES.

[22] αὐξουμένης A. [23] μετ'] περὶ p. 3 *a* 34. [24] ὡς A : ὅσον ς. [25] αἰγόκερωτα pr. A. [26] τὸ om. A. [27] μέλασι] μελανὴν A. [28] Νόννωσον, ut sæpe, A. [29] ὀστρείων ς. [30] ὑπέπτησαν ς.

NOTÆ.

(11) Ctesiam fortassis imitatus, a quo nonnulla mutuari videtur.

(12) Simile quid in *Indicis* refert Ctesias Cnidius inf. cod. LXXII.

(13) De Pymæis inf. Ctesias in *Indicis* cod. LXXII. Juvenalis quoque, Plinius et Paulinus.

IV.

Theodori Antiocheni pro sancto Basilio (14) *adversus Eunomium libri* XXV.

Lecti sunt Theodori Antiocheni *pro Basilio adversus Eunomium libri viginti quinque* (15). Est illi phrasis non usquequaque perspicua ; sensibus tamen **3***b* et argumentis nimium quantum densus, sacræ Scripturæ testimoniis egregie abundat. Ad verbum fere Eunomii rationes refellit, imperitum eum valde externarum disciplinarum, multoque magis nostræ theologiæ, pluribus ostensdens. Hic vero Mopsuestiæ, ut puto, episcopus fuit.

V.

Sophronii de eadem re liber.

Lectus similiter Sophronii *pro Basilio contra Eunomium liber*, Theodoro apertior, et multo doctior ac brevior. Neque enim per omnia Eunomium persequitur, sed illa potissimum exagitat atque refellit, quæ summa capita hæresis Eunomii continere videbantur. Charactere usus est distinguente ac defluente : et ut plurimum solutus illi minimeque vinctus sermo, non ingratus tamen, imo et logicis argumentationibus perquam floridus est.

VI.

Gregorii Nysseni ejusdem argumenti opera duo.

Lectus est Gregorii Nyssæ episcopi similiter *pro Basilio adversus Eunomium liber* (16). Stylus illi, si cui rhetorum, illustris, et jucunditatem auribus instillans. Sed nec ipse quidem ordine Eunomii scriptum reprehendit. Quamobrem et Theodoro concisior est, et Sophronio latior ; abundat enim enthymematibus atque exemplis. Illud autem vere pronuntiaverim, quantum Gregorius venustate, splendore et mirifica jucunditate antecellit Theodoro, tantum etiam argumentorum copia et ubertate eumdem vincere connititur.

VII.

Lectum est alterum ejusdem Gregorii Nysseni opus, de eadem ipsa re : in quo rationibus validioribus cum Eunomio manus conserens, eum vi expugnat, omnia impietatis firmamenta labefactans. Venustas vero orationis, et splendor jucunditate mistus, etiam in hoc opere decenter se ostendit.

VIII.

Origenis De Principiis libri VI.

Lecti sunt Origenis (17) *De Principiis* libri VI. Horum primus de Patre, et Filio, et Spiritu sancto agit. Quo in libro plurima blaspheme scribit : ut,

A

Δ'.

Θεοδώρου Ἀντιοχέως ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου, λόγοι κε'.

Ἀνεγνώσθη Θεοδώρου Ἀντιοχέως ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου ἐν λόγοις κε'. Ἔστι δὲ τὴν μὲν [31] φράσιν οὐ πάνυ λαμπρὸς, ταῖς δὲ διανοίαις καὶ τοῖς ἐπιχειρήμασι λίαν πυκνὸς, καὶ ταῖς Γραφικαῖς ἄριστα πλουτῶν μαρτυρίαις. Κατὰ λέξιν δὲ σχεδὸν τῶν Εὐνομίου λόγων τὴν ἀνασκευὴν ποιεῖται, ἀμαθῆ τε λίαν τῶν τε θύραθεν μαθημάτων καὶ πολλῷ μᾶλλον τῆς καθ' ἡμᾶς θεοσοφίας διὰ πολλῶν ἐπιδεικνὺς. Ὁ δὲ Μοψουεστίας γεγονὼς ἐπίσκοπος οὗτός ἐστιν, οἶμαι.

E'.

Σωφρονίου ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου.

Ἀνεγνώσθη ὁμοίως Σωφρονίου ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου. Σαφέστερος μὲν Θεοδώρου καὶ πολλῷ συντομώτερος [32], καὶ οὐδὲ [4 H.] πᾶσι τοῖς Εὐνομίου ἐπεξιὼν, [9 R.] ἀλλ' ἐκεῖνα γυμνάζων καὶ ἐλέγχῳ καθυποβάλλων, ἃ δοκεῖ συνεκτικὰ καὶ κεφάλαια τῆς Εὐνομίου αἱρέσεως εἶναι. Ἀφοριστικῷ δὲ κέχρηται χαρακτῆρι, καὶ ὡς ἐπίπαν ἀπόλυτός ἐστιν αὐτῷ καὶ ἀσύνδετος ὁ λόγος, οὐκ ἄχαρις δὲ, ἀλλὰ καὶ λογικοῖς ἐπιχειρήμασι περιηνθισμένος.

ς'.

Γρηγορίου Νύσσης ὁμοίως ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου.

Ἀνεγνώσθη Γρηγορίου Νύσσης [33] ὁμοίως ὑπὲρ Βασιλείου καὶ Εὐνομίου. Τὴν μὲν φράσιν, εἴ τις ἄλλος ῥητόρων, λαμπρὸς καὶ ἡδονῆς ὡσὶν ἀποστάζων, οὐ μέντοι καθεξῆς οὐδ' αὐτὸς [34] τὴν Εὐνομίου γραφὴν ἀπελέγχει [35]. Διὸ καὶ συντομώτερός ἐστι Θεοδώρου, Σωφρονίου δὲ πλατύτερος Πλεονάζει γὰρ [36] τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασιν. Ἔστι δὲ ἁθρόως εἰπεῖν ὡς ὅσον ὑπερβάλλει κάλλει τε καὶ λαμπρότητι καὶ τῷ ἡδυνάτῳ Θεόδωρον, τοσοῦτον ἐκείνου τοῦτον τὸ πλῆθος τῶν ἐπιχειρημάτων καὶ τὸ γόνιμον εἰς τὸ προέχειν ἐκβιάζεται.

Z'.

Ἀνεγνώσθη ἑτέρα πραγματεία τοῦ αὐτοῦ Γρηγορίου Νύσσης περὶ τῆς αὐτῆς ὑποθέσεως, ἐν ᾗ λογικώτερον Εὐνομίῳ συμπλακεὶς κατὰ κράτος αἱρεῖ, πάντα σαθρώσας τῆς δυσσεβείας αὐτοῦ τὰ ὀχυρώματα. Τὸ δὲ κάλλος τοῦ λόγου καὶ ἡ σύγκρατος λαμπρότης γλυκύτητι κἀνταῦθα διαπρεπῶς ἐπιδείκνυται.

B

C

D

H'.

Ὠριγένους τὸ Περὶ Ἀρχῶν, λόγοι δ'.

Ἀνεγνώσθη Ὠριγένους τὸ Περὶ Ἀρχῶν, λόγοι δ', ὧν ὁ μὲν πρῶτος περὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· ἐν ᾧ πλεῖστα βλασφημεῖ, τὸν μὲν Υἱὸν

VARIÆ LECTIONES.

[31] μὲν om. A. [32] ante συντομώτερος cum A omisi συνετώτερος καὶ. [33] νύσης A. [34] αὐτὸς] οὐ A. [35] ἐπελέγχει ς. [36] γάρ] δὲ γὰρ ς.

NOTÆ.

(14) Jam vita functo, ut doceris inf. cod. CXXXVIII.

(15) Infra cod. CLXXVII, in fin., libros 28 scripsisse commemoratur.

(16) Exstant ejus libri XIII adversus Eunom. in biblioth. Vaticana, Boica et alibi.

(17) Lege de his D. Baron. card. tom. V ad A. C. 397. Exstat elegans epistola B. Hieronymi ad Avitum de cavendis Origenis Περὶ Ἀρχῶν erroribus.

ὑπὸ τοῦ Πατρὸς πεποιῆσθαι λέγων, τὸ δὲ Πνεῦμα ὑπὸ τοῦ Υἱοῦ, καὶ διήκειν μὲν τὸν Πατέρα διὰ πάντων τῶν ὄντων, τὸν δὲ Υἱὸν μέχρι τῶν λογικῶν μόνων [37], τὸ δὲ Πνεῦμα μέχρι μόνων τῶν σεσωσμένων. Λέγει δὲ καὶ ἄλλα παραλογώτατα καὶ δυσσεβείας πλήρη. Μετεμψυχώσεις τε γὰρ ληρωδεῖ, καὶ ἐμψύχους τοὺς ἀστέρας, καὶ ἕτερα τούτοις παραπλήσια. Ἔστι δ' ὁ μὲν πρῶτος αὐτῷ μεμυθολογημένος περὶ [38] Πατρὸς καὶ (ὡς ἐκεῖνός φησι) περὶ Χριστοῦ καὶ περὶ ἁγίου Πνεύματος, ἔτι καὶ περὶ λογικῶν φύσεων· ὁ δὲ δεύτερος περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ κτισμάτων, καὶ ἔτι ὅτι εἷς Θεὸς νόμου καὶ προφητῶν, καὶ ὅτι ὁ αὐτὸς Παλαιᾶς καὶ Καινῆς Διαθήκης Θεός, καὶ περὶ τῆς τοῦ Σωτῆρος ἐνανθρωπήσεως, καὶ ὅτι τὸ αὐτὸ Πνεῦμα ἐν Μωϋσῇ [39] καὶ τοῖς ἄλλοις προφήταις καὶ ἁγίοις ἀποστόλοις ἔτι περὶ ψυχῆς, περὶ ἀναστάσεως, περὶ κολάσεως, περὶ ἐπαγγελιῶν. Ὁ δὲ τρίτος περὶ αὐτεξουσίου. Πῶς ὁ διάβολος καὶ αἱ ἀντικείμεναι δυνάμεις κατὰ τὰς Γραφὰς στρατεύονται τῷ ἀνθρωπίνῳ γένει· ὅτι γενητὸς ὁ κόσμος καὶ φθαρτὸς ἀπὸ χρόνου ἀρξάμενος. Ὁ δὲ τέταρτος περὶ τέλους, ὅτι θεῖαι αἱ Γραφαί. Τέλος, ὅπως δεῖ ἀναγινώσκειν καὶ νοεῖν τὰς Γραφάς.

A Filium a Patre factum, Spiritum a Filio : et Patrem quidem per omnia quæ exsistunt pervadere : Filium vero ratione duntaxat prædita : Spiritum autem ea tantum quæ salva facta sunt. Tradit et alia animium absurda, impietatisque plena : animarum **4***a* migrationes et animata sidera, pluraque id genus alia nugatus. Primo itaque libro fabulose disserit de Patre, et (ut ipse appellat) de Christo, et de sancto Spiritu : insuper et de naturis ratione præditis. Secundo vero, de mundo, rebusque in eo conditis : præterea unum eumdemque esse Deum legis et prophetarum : unum item esse Veteris et Novi Testamenti Deum : de Salvatoris incarnatione : eumdem spiritum in Moyse, et aliis prophetis, sanctisque apostolis fuisse. Ad B hæc de anima, de resurrectione, de pœna, de præmiis. Tertio de arbitrii libertate : qua ratione diabolus, contrariæque potestates, juxta Scripturarum doctrinam, cum humano genere pugnent : mundum item ortum habere, et corruptioni obnoxium esse, ut qui a tempore initium sumpserit. Quarto item libro de fine ultimo : divinas esse Scripturas : de ratione denique legendi et intelligendi Scripturas.

Θ'.

Εὐσεβίου Καισαρείας ἐπισκόπου.

Ἀνεγνώσθη Εὐαγγελικῆς Προπαρασκευῆς Εὐσεβίου λόγοι ιε', ἐν οἷς ὡς ἐπίπαν τὴν Ἑλλήνων ματαιολογίαν ἐλέγχει, καὶ ὡς ἀσύμφωνοι [12 R.] αὐτοὶ πρὸς ἑαυτοὺς διετέλεσαν. Μέμνηται δὲ ἐν ἀρχῇ τοῦ πεντεκαιδεκάτου λόγου [5 H.] καὶ ἐν τῷ τέλει ἑτέρας πραγματείας, ἣν Εὐαγγελικὴν Ἀπόδειξιν ἐξονομάζει [40], ἀκόλουθον οὖσαν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ, ὅτι ἡ μὲν ἔλεγχός ἐστι σχεδὸν τῆς Ἑλλήνων πλάνης, ἡ δὲ βεβαίωσις τοῦ κηρύγματος τοῦ εὐαγγελικοῦ.

IX.

Eusebii Cæsariensis episcopi (17') *scripta pleraque.*

Lecti sunt *Evangelicæ præparationis* Eusebii libri quindecim : quibus ut plurimum inanem gentium doctrinam vellicat, quamque dissoni ipsi inter se perpetuo fuerint. Meminit vero initio libri decimi quinti, et in eodem extremo, alterius operis, C quod *Evangelicam Demonstrationem* nominat, quæ post *Evangelicam Præparationem* consequitur : quod hæc quidem reprehensio fere sit erroris gentium, illa vero confirmatio præconii evangelici.

Ι'.

Ἀνεγνώσθη Εὐσεβίου ἡ Εὐαγγελικὴ Ἀπόδειξις ἐν βιβλίοις κ'.

X

Lecti sunt Eusebii *Evangelicæ Demonstrationis* libri viginti (18).

ΙΑ'.

Ἀνεγνώσθη Εὐσεβίου Ἐκκλησιαστικὴ Προπαρασκευὴ ἐν βιβλίοις..., ἐν οἷς ἐκλογαί.

XI.

Lecti sunt et Eusebii (19) *Ecclesiasticæ Præparationis* libri..... in quibus excerpta sunt.

ΙΒ'.

Ἀνεγνώσθη Εὐσεβίου Ἐκκλησιαστικὴ Ἀπόδειξις ἐν βιβλίοις...

XII.

Lecti sunt item Eusebii *Ecclesiasticæ Demonstrationis* libri.....

ΙΓ'.

Ἀνεγνώσθη Εὐσεβίου Ἐλέγχου καὶ Ἀπολογίας λόγοι δύο, καὶ ἕτεροι δύο, οἵτινες πρὸς τοὺς προτέρους δύο ἔν τισι ῥητοῖς παραλλάσσοντες ἐν τοῖς ἄλλοις τῇ τε λέξει καὶ τῇ διανοίᾳ οἱ αὐτοί εἰσιν. Εἰσάγει δὲ ὡς ἀπὸ τῶν Ἑλλήνων τινὰς ἀπορίας κατὰ τῆς ἀμωμήτου θρησκείας ἡμῶν, καὶ ταύτας καλῶς, εἰ καὶ μὴ ἐν πᾶσιν, ἐπιλύεται [41]. Τὴν δὲ φράσιν οὐκ ἔστιν

XIII.

Lecti sunt Eusebii *Confutationis et Apologiæ* libri duo. Alteri item duo, qui a prioribus duobus cum assertionibus quibusdam differant, in cæteris dicendi genere, ac sensu iidem sunt. Affert vero, ut ab ethnicis profecta, argumenta quædam adversus sinceram nostram religionem ; eademque recte **4***b* licet non per omnia, refellit. Phrasi neque

VARIÆ LECTIONES.

[37] μόνον ς. [38] αὐτῷ μυθολογούμενος λόγος περὶ ς. [39] μωσεῖ ς. [40] ὀνομάζει ς. [41] ἀπολύεται ς.

NOTÆ.

(17') Plura enumerat B. Hieron. in Catalogo cap. 81, et ex illo Sophron. ac Suid.

(18) Hodie decem duntaxat leguntur.

(19) Utrumque hoc opus. Ecclesiast. Præparat. ac Demonstrat. intercidit, neque meminit B. Hieron.

jucundus uspiam neque perspicuus : homo tamen A multæ doctrinæ est : tametsi mentis acumine, affectuumque constantia, quantum in dogmatum accurata tractatione est opus, indigeat. Etenim et hic eum pluribus locis blasphemum in Filium videas, eumdemque secundam causam appellantem, ac summum imperatorem ; aliaque id genus Arianici furoris germina apparent. Constantini Magni temporibus floruisse clarum est, fuisseque sancti martyris Pamphili virtutis ardentem amatorem, unde et *Pamphili* cognomentum adeptum esse quidam affirmant.

οὐδαμοῦ οὔτε ἡδὺς οὔτε λαμπρότητι χαίρων. Πολυμαθὴς δέ ἐστιν ὁ ἀνὴρ, εἰ καὶ τὴν ἀγχίνοιαν καὶ τὸ σταθηρὸν τοῦ ἤθους, ὡς παρὰ τὴν ἀκρίβειαν τὴν ἐν τοῖς δόγμασιν, ἐνδεέστερος · καὶ γὰρ κἀν τούτοις ἐν πολλοῖς ἔστιν αὐτὸν ἰδεῖν τὸν υἱὸν βλασφημοῦντα, καὶ δεύτερον αἴτιον καλοῦντα καὶ ἀρχιστράτηγον καὶ ἄλλα τινὰ τῆς Ἀρειανικῆς λύσσης βλαστήματα, Δῆλον [42] ὡς ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου οὗτος ἤνθησε. Γέγονε δὲ καὶ τῆς Παμφίλου τοῦ ἱερομάρτυρος ἀρετῆς διάπυρος ἐραστὴς, δι' ἣν αἰτίαν φασί τινες αὐτὸν καὶ τῆς τοῦ Παμφίλου ἐπωνυμίας μετεσχηκέναι.

XIV.

Apollinarius Hierapolita De Pietate et Veritate, adversus gentes.

Lectus est Apollinarius (20) *adversus gentes, De Pietate, itemque De Veritate.* Hierapolita est scriptor hic, ejus quæ in Asia Hierapoleos creatus episcopus : floruit vero Marci Antonini Veri Romæ imperantis temporibus. Vir sane præstans, et phrasi usus non pœnitenda. Ferunt et (21) alia ipsius scripta commemoratu digna circumferri, sed quæ in meas nondum manus pervenerint.

B

XV.

Gelasius synodi primæ scriptor.

Lecta et (22) *primæ synodi actio,* tribus comprehensa libris. Gelasii titulum (23) opus profert : nec tam actio quam historia est. Sermo vilis et humilis, nisi quod minima quæque in synodo gesta narret.

C

XVI.

Synodus tertia.

Lecta est (24) *actio tertiæ synodi,* constans fere epistolis divi Cyrilli ad Nestorium, et impii hujus vicissim ad illum.

XVII.

Synodus quarta.

Lecta est *actio quartæ synodi,* variis quidem libris comprehensa, actionibus vero quindecim : quibus Dioscorus et Eutyches damnati, anathemate cum ipsis percusso et Nestorio ; sanctus vero Flavianus etiam post mortem innocens judicio declaratus est ; uti quoque Eusebius Dorylæi episcopus, et Theodoretus, et Ibas. Gesta sunt et alia quædam singulatim, et pietatis doctrina confirmata.

D

ΙΔ'.

Ἀπολιναρίου ἐπισκόπου τῆς ἐν Ἀσίᾳ Ἱεροπόλεως πρὸς Ἕλληνας, καὶ περὶ Εὐσεβείας καὶ Ἀληθείας.

Ἀνεγνώσθη Ἀπολιναρίου Πρὸς Ἕλληνας καὶ Περὶ Εὐσεβείας καὶ περὶ Ἀληθείας. Ἔστι δὲ Ἱεραπολίτης ὁ συγγραφεὺς, τῆς ἐν Ἀσίᾳ Ἱεραπόλεως ἐπίσκοπος · ἤνθησε δὲ ἐπὶ Μάρκου Ἀντωνίνου [43] Βήρου βασιλέως Ῥωμαίων. Ἀξιόλογος δὲ ὁ ἀνὴρ καὶ φράσει ἀξιολόγῳ κεχρημένος. Λέγεται δὲ αὐτοῦ καὶ ἕτερα συγγράμματα ἀξιομνημόνευτα εἶναι, οἷς οὔπω ἡμεῖς ἐνετύχομεν.

ΙΕ'.

Πρακτικον τῆς πρώτης συνόδου.

Ἀνεγνώσθη Πρακτικὸν τῆς πρώτης συνόδου ἐν τρισὶ τόμοις. Γελασίου δὲ ἔφερε τὸ βιβλίον ἐπιγραφὴν [44], οὐ μᾶλλον ὑπάρχον πρακτικὸν ἢ ἱστορικόν. Εὐτελὴς δὲ καὶ ταπεινὸς τὴν φράσιν, πλήν γε λεπτομερῶς διέξεισι τὰ ἐν τῇ συνόδῳ.

Ις'.

Πρακτικὸν τῆς τρίτης συνόδου.

Ἀνεγνώσθη Πρακτικὸν τῆς τρίτης συνόδου σχεδόν τι δι' ἐπιστολῶν τοῦ τε θείου πρὸς Νεστόριον [45] Κυρίλλου καὶ τοῦ δυσσεβοῦς ἐκείνου πρὸς αὐτὸν συντεθειμένον.

ΙΖ'.

Πρακτικὸν τῆς τετάρτης συνόδου.

Ἀνεγνώσθη Πρακτικὸν τῆς τετάρτης συνόδου, ἐν βιβλίοις μὲν διαφόροις, πράξεσι δὲ ιε', [13 R.] ἐν αἷς Διόσκορος μὲν καθήρηται καὶ Εὐτυχὴς, ἀναθέματι δὲ σὺν αὐτοῖς ὑπεβλήθη καὶ Νεστόριος, Φλαβιανὸς δὲ ὁ ἐν ἁγίοις καὶ μετὰ θάνατον δεδικαίωται, Εὐσέβιός τε ὁ Δορυλαίου [46] καὶ Θεοδώρητος καὶ Ἴβας. Ἐπράχθη δὲ καὶ ἕτερά τινα ἐπὶ μέρους, καὶ τὸ τῆς εὐσεβείας ἐκρατύναντο [47] φρόνημα.

VARIÆ LECTIONES.

[42] δῆλον δὲ ὡς ς. [43] ἀντωνίου ς. [44] Ἀνεγ. καὶ πρακτικὸν ς. [45] νεστόρειον A. [46] Δωρυλαίου καὶ Θεοδώριτος ς. [47] ἐκρατύνατο ς· cf. p. 5 a 18. ἐβεβαίωσαν.

NOTÆ.

(20) Cujus et B. Hieron, meminit in Catalogo, cap. 26. Alius ab hoc et posterior multo fuit Laodicenus ille Syrus, de quo Suidas. Sozomen. lib. v, cap. 17 ; Socrat. lib. III, cap. 13.

(21) Vide Niceph. lib. IV, cap. 11 et 32.

(22) De septem synodis œcumenicis Photii extat Libellus tom. I Concil., qui et Græce alibi itemque anonymi duo.

(23) De quo infr. copiosius cod. LXXXVII.

(24) Quarum infr. quoque mentio cod. CLXIX pag. 196. Ipsam vero synodum habemus editam Græce et Latine Theod. Peltano interprete.

ΙΗ'.

Πρακτικὸν τῆς πέμπτης συνόδου.

[6 H.] Ἀνεγνώσθη Πρακτικὰ τῆς πέμπτης συνόδου, ἐν οἷς τὰ λεγόμενα τρία κεφάλαια ἐτρακταίσθη τὰ περὶ Ὠριγένους, καὶ ἀνεθεματίσθη αὐτὸς καὶ τὰ συγγράμματα αὐτοῦ τὰ περὶ Διοδώρου Ταρσοῦ καὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ αὐτοὶ ὁμοίως ἀνεθεματίσθησαν. Ἀνεθεματίσθη δὲ καὶ Θεοδωρήτου τὰ κατὰ τοῦ Κυρίλλου γραφέντα κεφάλαια ιβ'. Ἐγένοντο [48] δὲ καὶ πρὸ ταύτης πράξεις τινὲς περί τε Ζωόρα καὶ Ἀνθίμου τοῦ ἐκ Τραπεζοῦντος τὸν Κωνσταντινουπόλεως θρόνον ὑπελθόντος [49], ἄλλαι τέ τινες, αἳ ταύτῃ συμπεριέχονται [50].

ΙΘ'.

Πρακτικὸν τῆς ἕκτης συνόδου.

Ἀνεγνώσθη Πρακτικὰ τῆς ἕκτης συνόδου, ἐν πράξεσιν..., ἐν αἷς Σέργιος, Κῦρος, Πύῤῥος Κωνσταντινουπόλεως ἀνεθεματίσθησαν, μεθ' ὧν Ὀνώριος Ῥώμης, Πολυχρόνιος καὶ ἕτεροι σὺν αὐτοῖς, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ εἰπεῖν τολμήσαντες. Τὸ δὲ τῆς ἀληθείας δόγμα ἐβεβαίωσαν.

Κ'.

Πρακτικὸν τῆς ἑβδόμης συνόδου.

Ἀνεγνώσθη Πρακτικὰ τῆς ἑβδόμης συνόδου, ἐν πράξεσιν..., ἐν αἷς ἥ τε τῶν Εἰκονομάχων αἵρεσις ἐθριαμβεύθη καὶ τῶν ὀρθοδόξων διέλαμψεν ἡ πίστις.

ΚΑ'.

Ἰωάννου Φιλοπόνου ὁ Περὶ Ἀναστάσεως λόγος.

Ἀνεγνώσθη Ἰωάννου Φιλοπόνου ὁ Περὶ Ἀναστάσεως λόγος ἐν τόμοις..., ἐν οἷς τὴν τῶν σωμάτων ἀνάστασιν ἀναιρεῖ πολλά τε ἀπερισκέπτως λέγει, ἐπικλευάζων καὶ τοὺς μακαρίους καὶ ἁγίους Πατέρας ἡμῶν.

A

XVIII.

5*a Synodus quinta.*

Lectæ quoque *actiones quintæ synodi*, quibus tractatum *De tribus*, ut vocant, *capitulis* (25) : de Origene, qui cum scriptis suis anathemate damnatus : de Diodoro Tarsensi, et Theodoro Mopsuestiæ, qui et ipsi similiter excommunicati. Anathemate quoque damnata, quæ Theodoretus adversus Cyrillum capita scripsit duodecim. Gesta sunt ante hanc quædam de Zoora, et Anthimo illo, qui ex Trapezuntina Constantinopolitanam sedem invasit : aliaque præterea, quæ hac ipsa synodo comprehenduntur.

XIX.

Synodus sexta.

B Lecta sunt *acta sextæ synodi*, actionibus (26) . . quibus Sergius, Cyrus, Pyrrhus Constantinopolitanus damnati ; Honorius (27) autem Romanus, Polychronius, aliique cum illis, unam voluntatem, unamque operationem in Christo asserere ausi : veritatis vero dogma confirmatum (28).

XX.

Synodus septima.

Lecta sunt *gesta septimæ synodi*, actionibus (29) . . quibus de Iconomachorum hæresi triumphus ductus, et orthodoxorum fides inclaruit.

XXI.

Joannes Philoponus De Resurrectione.

Lectus Joannis Philoponi *De Resurrectione* liber tomis . . (30) quibus corporum resurrectionem reji- C cit, et multa inconsiderate jactat, SS. etiam Patrum auctoritatem risu insectari ausus.

VARIÆ LECTIONES.

[48] ἐγίνοντο ς. [49] ἐπελθόντος ς. [50] περιέχονται ς.

NOTÆ.

(25) De quibus legendus card. Baron. t. VII Annal.

(26) Act. 18, ut D. Baron t. VIII, ad annum Chr. 680 et 681.

(27) *Honorius autem Romanus.* Antidotum huic calumniæ veneno adhibendum. Neque enim Honorius pontifex, a sui sæculi scriptoribus laudatus, cum Monothelitis de una in Christo voluntate sensit, ut S. Maximus martyr, ex ore etiamnum superstitis scribæ pontificii, in Dialogo cum Pyrrho testatum reliquit : sed invidia quadam adducti Græci quod suos D patriarchas plurimos hac in synodo errorum convictos moleste ferrent, hanc notam Romanæ sedi (cujus nunquam fides, promittente Christo, defecit) per nefas inurere tentarunt. Igitur quod in plerisque aliis solemne iis fuit, ac manifesto sæpius deprehensum, fraude ac fide Græca etiam hanc synodum, addendo, curtando et mutando inquinarunt. Cujus rei idoneos laudare testes possumus, atque adeo plurimos omni exceptione majores. En tibi unum de multis exemplum. Theodorus, patriarcha CP., erroris in hac ipsa synodo convictus, et abdicare coactus, una cum Macario Antiocheno patriarcha, cum primum post Gregorii sibi suffecti mortem, edita fidei legitima professione, postliminio restitutus est, suo sublato nomine, Honorii Pont R., ab omni hæresi alieni, nomen, parva litterarum mutatione subjecit, pluraque Harpyis unguibus contaminavit. Ejus rei auctorem habemus Anastasium Bibliothecarium. Et quivis actiones legens facile deprehendat, cum alias sæpe interlocutum sit, hic re tam gravi non excussa, legatos nullum pro pontifice verbum fecisse. Imo et Agathonis epistolam synodus probando, et Honorium damnando, secum ipsa profecto stolide nimis pugnaret. Atque his nixa fundamentis fabula, ad hæreticos usque eo manavit, ut et catholicos quosdam in fraudem induxerit.

Plura te, lector, legere cupiam, consultis ampliss. cardinale Roberto Bellarmino, t. I *Controv.* III, lib. IV, cap. 11, et Cæsare Baronio tom. VIII *Annalium Eccles.* ad annos Christi 680 et 681 ; et Stanislao Hosio, lib III *Contra Brentium.* Mitto Franc. Turrianum, lib. de VI, VII et VIII synod. Albertum Pigium lib. IV *Hierarchiæ*, cap. 8, et Joan. Hessel. lib. *De cathedræ Petri firmitate*, cap. 11, et Onuphrium Panvinium ad Honorium Platinæ.

(28) Præsertim comperta Polychronii presbyt. ac monachi monothelitæ in mortuo excitando impostura, quam leges actione 15 apud Baron. card.

(29) Act. 7, uti Acta testantur, quæ legas apud card. Baron. t. IX. Octavam synodum hic non recenseri, argumentum est de multis, scriptam hanc a Photio Bibliothecam ante exortos de patriarchatu tumultus.

(30) Legendus Niceph. lib. XVIII, cap. 47.

XXII.

Theodosius monachus contra Philoponum.

Lecta est Theodosii monachi earum, quæ a Joanne Philopono adductæ sunt citationum adversus corporum resurrectionem, elaborata *Confutatio*; in qua et loca sacræ Scripturæ sanctorumque Patrum adducit, quibus Joannis amentia refellitur.

XXIII.

Cononis, Eugenii, et Themistii in Philoponum invectivæ.

Lectæ sunt Cononis, Eugenii (31), et Themistii *Adversus Joannis Philoponi de carnis Resurrectione deliramenta Invectivæ*, quibus acriter adeo ipsum insectantur, ut etiam omnino a Christiana fide abhorrere hominem affirment, licet **5***b* in eo cum illo sentirent, quod nec ipsi reciperent Chalcedonense concilium.

XXIV.

Acta disputationis hæreticorum coram Joanne patriarcha CP.

Lectus liber *Acta* continens *disputationis* initæ coram (32) Joanne regiæ urbis episcopo, Justino imperante, *inter Cononem et* (33) *Eugenium* Tritheitas (34), *et Paulum ac Stephanum*, qui et ipsi Hæsitantium (35) de numero erant. Hic visuntur Conon, et Eugenius Philopono patrocinari. Cum enim Paulus et Stephanus ab ipsis postularent, ut Philopono anathema dicerent, recusarunt. Quin et proferunt testimonia, quod cum Severo et Theodosio ipsorum præceptoribus, eadem sentiret. Hi quidem multas in theologicis pias voces adhibent, ut Trinitatem consubstantialem esse, ejusdemque naturæ, et unum Deum, unamque divinitatem ; blasphemant vero, dum aiunt Patrem et Filium et Spiritum sanctum partiales esse substantias, propriasque divinitates, et proprias naturas. Ita secum ipsi, et cum veritate pugnantes, alia plura id genus deliramenta proferunt.

XXV.

S. Joannis Chrysostomi in mortem et ascensionem Christi, itemque in Pentecosten orationes.

Legimus Chrysostomi nomine inscriptum librum, *Notationes in mortem Christi.* Sunt autem breves orationes duæ et viginti. Habentur et in eodem volumine similes : *In ascensionem Domini* aliæ duæ et viginti ; et *in Pentecosten* quoque orationes septemdecim.

A

B

C

D

ΚΒ'.

Θεοδοσίου μονάζοντος κατὰ τοῦ Φιλοπόνου περὶ Ἀναστάσεως λόγου.

Ἀνεγνώσθη Θεοδοσίου μονάζοντος τῶν [16 R.] τῷ Φιλοπόνῳ Ἰωάννῃ παραληφθέντων χρήσεων κατὰ τῆς τῶν σωμάτων ἀναστάσεως ἐσπουδασμένη Ἀνατροπή, καὶ παράθεσις ῥητῶν Γραφικῶν τε καὶ πατρικῶν εἰς ἔλεγχον τῆς Ἰωάννου ματαιοπονίας [51].

ΚΓ'.

Κόνωνος, καὶ Εὐγενίου, καὶ Θεμιστίου κατὰ τῆς αὐτῆς τοῦ Ἰωάννου πραγματείας.

Ἀνεγνώσθη Κόνωνος καὶ Εὐγενίου καὶ Θεμιστίου Κατὰ Ἰωάννου, τὴν περὶ ἀναστάσεως αὐτοῦ ματαιοπονίαν [52] στηλιτευόντων · ἐν οἷς πολλὴν αὐτοῦ καταδρομὴν ποιοῦνται, ὥστε καὶ ἀλλότριον λέγειν αὐτὸν παντελῶς τοῦ δόγματος τῶν Χριστιανῶν. Καίτοι καὶ αὐτοὶ [53] τῆς αὐτῆς αὐτῷ δόξης ἐκοινώνουν, τὴν ἐν Χαλκηδόνι, ὡς ἐκεῖνος, οὐ παραδεχόμενοι σύνοδον.

ΚΔ'.

Πρακτικὰ ἐπὶ παρουσίᾳ Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως.

Ἀνεγνώσθη βιβλίον ἔχον πεπραγμένα συστάντα παρὰ τῷ τῆς βασιλίδος ἐπισκόπῳ Ἰωάννῃ, Ἰουστίνου βασιλεύοντος · ἅτινα συνέστησαν μεταξὺ Κόνωνος καὶ Εὐγενίου τῶν Τριθεϊτῶν καὶ Παύλου καὶ Στεφάνου, καὶ αὐτῶν τῆς τῶν διακρινομένων αἱρέσεως τυγχανόντων. Ἐν ᾧ φαίνονται [54] Κόνων καὶ Εὐγένιος ἀντιποιούμενοι τοῦ Φιλοπόνου · τῶν γὰρ περὶ Παῦλον καὶ Στέφανον ἀπαιτούντων αὐτοὺς ἀναθεματίσαι τὸν Φιλόπονον [55], οὗτοι οὐκ ἠνέσχοντο, ἀλλὰ καὶ προεκόμιζον μαρτυρίας ὡς συνῳδὰ Σεβήρῳ καὶ Θεοδοσίῳ τοῖς ἑαυτῶν φρονεῖ διδασκάλοις. Οὗτοι δὲ τὰς μὲν ἄλλας περὶ τὴν θεολογίαν λέγουσι φωνὰς εὐσεβεῖς, Τριάδα ὁμοούσιον καὶ ὁμοφυῆ, καὶ Θεὸν ἕνα, καὶ μίαν θεότητα · βλασφημοῦσι δὲ λέγοντες μερικὰς οὐσίας καὶ ἰδικὰς θεότητας καὶ ἰδικὰς φύσεις [7 H.] τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἑαυτοῖς τε καὶ τῇ ἀληθείᾳ μαχόμενοι. Καὶ ἄλλα ἄττα ληροῦσι παραπλήσια ταύτης τῆς ματαιότητος.

ΚΕ'.

Τοῦ Χρυσοστόμου εἰς τὸν θάνατον, καὶ εἰς τὴν ἀνάληψιν, καὶ εἰς τὴν Πεντηκοστήν.

Ἀνεγνώσθη τοῦ Χρυσοστόμου ἐπιγραφὴν ἔχον Σχόλια [56] εἰς τὸν θάνατον, λόγοι [57] μικροὶ εἴκοσι δύο. Καὶ ἐν τῷ αὐτῷ λόγοι παραπλήσιοι Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου κβ', καὶ ἔτι Εἰς τὴν Πεντηκοστὴν ὡσαύτως λόγοι ιζ'.

VARIÆ LECTIONES.

[51] ματαιότητος ς. [52] ματαιολογίαν ς. [53] αὐτοὶ] οὗτοι A. [54] φαίνεται A. [55] Φιλόπονον] Φίλιππον pr. A. [56] σχόλιον ς. [57] λόγῳ ς.

NOTÆ.

(31) Cujus non semel meminit Nicephor. Callist. Themistius autem idem videtur ille, adversus quem scripsit Theodorus monach. inf. cod. CVIII. Card. porro Baron, pro Eugenio Evragium habet, tom. VII, ad a. Ch. 535.

(32) Fuit hic Joannes III, cognomento Scholasticus, sub Justino minore, de quo etiam inf. cod LXXV. Baron. card. t. VII, ad a. C. 564.

(33) Evagrium nominat D. Baron. card. ad annum Christi 535, tom. VII.

(34) Ita Philoponi sectatores dicti, quod tres naturas in sacrosancta Trinitate profitendas censuerint. Leont. act. 5, extremo Niceph. lib. XVIII, cap. 49, lege.

(35) Quo nomine appellati Eutychiani atque Severiani, qui neque palam Eutychetis errores profiteri ausi, neque ad Catholicos sese adjungere, nisi prius damnatis tribus capitulis, voluerunt. Card. Baron. sup. et Leont. act. 6 extrema.

ΚΣ'.

Συνεσίου ἐπισκόπου Κυρήνης περὶ βασιλείας, καὶ περὶ ἄλλων τινῶν.

Ἀνεγνώσθη ἐπισκόπου Κυρήνης (Συνέσιος αὐτῷ ὄνομα) Περὶ Προνοίας, Περὶ βασιλείας καὶ περὶ ἄλλων τινῶν· τὴν μὲν φράσιν ὑψηλός καὶ ὄγκον ἔχων, ἀποκλίνων δὲ καὶ πρὸς τὸ ποιητικώτερον [58].

Ἀνεγνώσθησαν [59] δὲ αὐτοῦ καὶ ἐπιστολαὶ διάφοροι, χάριτος καὶ ἡδονῆς ἀποστάζουσαι μετὰ τῆς ἐν τοῖς νοήμασιν ἰσχύος καὶ πυκνότητος.

Ἦν δ' οὗτος ἐξ Ἑλλήνων, φιλοσοφίᾳ σχολάζων· ὃν φασι πρὸς τὸν θειασμὸν τοῦ Χριστιανισμοῦ νεύσαντα τὰ μὲν ἄλλα παραδέχεσθαι εὐπειθῶς, τὸν [17 R.] δὲ περὶ ἀναστάσεως [60] οὐκ ἐθέλειν προσίεσθαι λόγον. Ἀλλ' οὖν καὶ οὕτω διακείμενον ἐμύησάν τε τὰ ἡμέτερα καὶ ἔτι καὶ ἀρχιερωσύνης ἠξίωσαν, πρὸς τὴν Β ἄλλην τοῦ ἀνδρὸς καλοκαγαθίαν καὶ τὸ καθαρὸν ἀφορῶντες τοῦ βίου, καὶ ὅτι οὐκ ἂν οὕτω βιοὺς ἄνθρωπος τὸ τῆς ἀναστάσεως οὐκ ἐλλαμφθείη φέγγος. Καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθησαν· ῥᾷστα γὰρ αὐτῷ, ἐπεὶ ἀρχιεράτευσε, καὶ τὸ τῆς ἀναστάσεως εἰς πίστιν ἀπεκατέστη [61] δόγμα. Ἐπεκόσμει δὲ Κυρήνην, ὅτε Θεόφιλος Ἀλεξανδρείας ἐπεστάτει.

A XXVI.

Synesii Cyrenæi scripta.

Lectæ sunt episcopi Cyrenes, cui Synesio nomen, *de Providentia*, et *De regno* (36), aliisque nonnullis *orationes*. Stylus illi sublimis quidem et grandis, sed qui ad popularem (37) simul dictionem aliquantum inclinet.

Lectæ sunt et ejusdem epistolæ variæ (38), venustate ac dulcedine fluentes, cum sententiarum robore ac densitate.

Prodiit hic e gentilium philosophorum schola, quem aiunt ad divinam Christianorum doctrinam inclinantem, alia quidem facile recepisse, sed, quod equidem haud scio an aliunde (39), certe ex epistola ipsius ad Theophilum manifeste deprehenditur, de resurrectione dogma suscipere noluisse. Verum ita sentiens (40), nostris tamen est dogmatibus initiatus, imo etiam summo sacerdotio dignus habitus, cum ad aliam viri probitatem, pariterque actam vitam respectu habito, tum quod non posset non, qui sic homo vitam instituisset **6***a*, resurrectionis lumine illustrari. Nec ea spes fefellit. Facillime enim simul atque episcopus creatus est, resurrectionis etiam doctrinam credidit (41). Cyrenem vero illustravit, quo tempore Alexandriæ Theophilus præsidebat.

ΚΖ'.

Εὐσεβίου Ἐκκλησιαστικὴ Ἱστορία ἐν τόμοις ι'.

Ἀνεγνώσθη Εὐσεβίου Ἐκκλησιαστικὴ Ἱστορία ἐν τόμοις δέκα. Ἄρχεται ἀπὸ παρουσίας Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ διέρχεται τὰ κατὰ [62] τοὺς τυράννων [63] χρόνους ἐπιμελέστερον, καὶ καταλήγει C μέχρι τῆς Κωνσταντίνου βασιλείας τοῦ Μεγάλου, λεπτότερον ὅσα ταῖς Ἐκκλησίαις ἐπὶ αὐτοῦ τε καὶ ὑπ' αὐτοῦ ἐπρυτανεύθη ἀναγραφόμενος.

XXVII.

Eusebii Pamphili Ecclesiasticæ Historiæ libri x.

Lecti sunt Eusebii *Ecclesiasticæ Historiæ* libri decem. Auspicatur a nato Christo vero Deo nostro, et per tyrannorum tempora accurate progressus, ad Constantini Magni imperium pertingit, diligentius quæ in Ecclesiis sub illo et ab illo instituta decretaque sunt, pertractans.

ΚΗ'.

Σωκράτους Ἐκκλησιαστικὴ Ἱστορία.

Ἀνεγνώσθη Σωκράτους Ἐκκλησιαστικὴ Ἱστορία, ἐφεξῆς οὖσα τῆς Εὐσεβίου· ἄρχεται μὲν γὰρ ἀπὸ τῆς Κωνσταντίνου βασιλείας, καὶ κάτεισιν ἕως τῆς τοῦ νέου Θεοδοσίου βασιλείας. Ὁ δὲ συγγραφεὺς παρὰ [64] Ἀμμωνίῳ καὶ Ἑλλαδίῳ τοῖς Ἀλεξανδρεῦσι γραμματικοῖς φοιτῶν ἔτι παῖς ὢν τὰ τῆς γραμματικῆς ἐδιδάσκετο, Ἑλληνισταῖς οὖσι καὶ διὰ στάσιν ἐκπεσοῦσι τῆς πατρίδος καὶ ἐν Κωνσταντινουπόλει διατρίβουσιν. Περιέχει δὲ ἡ βίβλος χρόνον ἐτῶν ρμ'· ἡ δὲ πᾶσα ἱστορία ἐν τόμοις αὐτῷ συντέθειται ἑπτά. Ἡ D

XXVIII.

Socratis Ecclesiasticæ Historiæ libri VII.

Lecta est Socratis *Ecclesiastica Historia*, Eusebium proxime excipiens : ducto quidem initio a Constantini imperio, et ad Theodosii minoris tempora perducendo.

Scriptor hic Ammonium et Helladium, Alexandrinos grammaticos frequentans, etiamnum puer grammaticam edoctus est ab ethnicis doctoribus, ob seditionem patria profugis, et Constantinopoli agentibus. Continet vero hoc opus centum quadraginta annorum res gestas, omnique adeo historia

VARIÆ LECTIONES.

[58] πολιτικώτερον ς. [59] ἀνεγνώσθη A. [60] post Ἀναστάσεως quæ vulgo tanquam Photii verba ponuntur (τοῦτο εἰ μὲν καὶ ἄλλοθεν, οὐκ οἶδα, τέως δὲ ἀπὸ τῆς πρὸς Θεόφιλον αὐτοῦ ἐπιστολῆς ἀριδήλως καταλαμβάνεται), ea in mg re habet A. [61] ἀποκατέστη ς. [62] τὰ κατὰ A : τὰ ἐν τοῖς κατὰ ς. [63] τυράννων] imo τῶν τυράννων. [64] παρὰ] περὶ A.

NOTÆ.

(36) Ut de insomniis, calvitie, dono, constitutione, cæterisque a Gul. Cant. una cum Hymnis Græce et Latine vulgatis. Vide Suid. et Niceph. lib. XIV, c. 55.

(37) Al. *poeticam*.

(38) CLX numerat Niceph. supr.

(39) Epist. 105, quæ est ad Eutropium fratrem, inter alias opiniones philosophicas Christianis dogmatibus adversantes, Theophilo non ignorandum scribit, longe se ab eo abesse, ut vulgi opinionibus de resurrectione consentiat.

(40) Finxisse hanc opinionem sanctissimum virum, ad effugiendum hac arte onus episcopale, demonstrat Baron. card. tom. V ad a. Ch. 410.

(41) Eam quam solerter Platonico philosopho cuipiam persuaserit, docebit te *Limonarii* Joan. Moschi Evirati cap. 195 lectu dignissimum

septem est libris comprehensa. Stylus illi non admodum splendidus, sed nec in dogmatibus valde accuratus est.

XXIX.

Evagrii Scholastici Ecclesiasticæ Historiæ libri VII.

Lecta Evagrii Scholastici, expræfecti, nati Epiphaniæ, urbe Cœlesyriæ, *Ecclesiastica Historia libri sex* : inchoans a fine Socratis et Theodoreti historiarum, pertingensque ad Mauricii annum duodecimum (42-43) imperii. Stylus huic non ingratus : tametsi interdum redundare quodammodo videatur, certe in doctrinæ veritate cæteris historicis accuratior est. Habet autem et de imaginibus quædam exempla.

XXX.

Hermiæ Sozomeni Historiæ Ecclesiasticæ libri IX.

Lecta est Hermiæ Sozomeni Salaminii, scholastici, *Ecclesiastica Historia libri novem* : quam nuncupat Theodosio minori. Auspicatur a consulatu Crispi, ejusque patris Constantini, et perducit ad Theodosii minoris imperium. Hic Constantinopoli jus olim dicebat ; estque Socrate in stylo præstantior : a quo etiam in narrationibus quibusdam dissentit.

XXXI.

Theodoreti Historiæ Eccles. libri V.

6*b* Lecta est Theodoreti *Historia ecclesiastica*. Omnium quos proxime nominavi convenientem magis historiæ stylum adhibet. Clarus enim et grandis est, minimeque redundans : nisi quod translationibus interdum audacius, pene inepte utatur. Hic etiam quam cæteri fusius secundæ synodi gesta commemorat : quæ alii tanquam in concursu, dicis gratia, et obiter fere narrant, quasi de ea loqui refugiant. Verumtamen ne ipse quidem omnia sigillatim refert. Historiam inchoavit ab hæresi Arii, pertexuitque et ipse ad Theodosii minoris tempora, et usque ad Diodori (44) excessum, quando Constantinopoli (45) sacrorum antistes Sisinnius fuit.

XXXII.

S. Athanasii epistolæ

Lectæ Athanasii *epistolæ variæ* (quas inter et de ejus secessu, tanquam Apologia, collocantur nonnullæ), eleganter simul et splendide, clareque compositæ : persuadendi insuper vi, ac venustate floridæ, ut jucundum sit, quam ibi Apologiam scribit, audire.

A δὲ φράσις οὐδὲν ἔχει ἀξιόλογον. Ἀλλὰ καὶ ἐν τοῖς δόγμασιν οὐ λίαν ἐστὶν ἀκριβής.

ΚΘ΄.

Εὐαγρίου Σχολαστικοῦ Ἐκκλησιαστικὴ Ἱστορία.

Ἀνεγνώσθη Εὐαγρίου Σχολαστικοῦ ἀπὸ ὑπάρχων, πόλεως δὲ ἐπιφανοῦς τῆς κατὰ τὴν Κοίλην Συρίαν, Ἐκκλησιαστικὴ Ἱστορία ἐν τόμοις ἓξ ἀρχὴν ποιουμένη τὸ τέλος τῆς Σωκράτους καὶ Θεοδωρήτου ἱστορίας, καὶ κατιοῦσα μέχρι τῆς Βασιλείας Μαυρικίου, ἔτος δωδέκατον ἐν τῇ βασιλείᾳ διανύοντος. Ἔστι δὲ τὴν φράσιν οὐκ ἄχαρις, εἰ καί πως περιττεύεσθαι ἐνίοτε δοκεῖ· ἐν τῇ δὲ τῶν δογμάτων [8 H.] ὀρθότητι ἀκριβὴς τῶν ἄλλων μᾶλλον ἱστορικῶν. Ἔχει δὲ καὶ χρήσεις περὶ εἰκόνων.

Λ΄.

B Σαλαμάνου Ἑρμείου Σωζομένου Ἐκκλησιαστικὴ Ἱστορία ἐν λόγοις θ΄.

Ἀνεγνώσθη Σαλαμάνου [65] Ἑρμείου Σωζομένου Σχολαστικοῦ Ἐκκλησιαστικὴ Ἱστορία ἐν λόγοις θ΄. Προσφωνεῖ δὲ τῇν ἱστορίαν πρὸς Θεοδόσιον τὸν νέον. Ἄρχεται δὲ ἀπὸ τῆς ὑπατείας Χρίσπου καὶ τοῦ πατρὸς Κωνσταντίνου, καὶ κάτεισι μέχρι τῆς τοῦ νέου Θεοδοσίου βασιλείας. Οὗτος δὲ δίκας ἦν λέγων ἐν Κωνσταντινουπόλει. Ἔστι δὲ Σωκράτους ἐν τῇ φράσει βελτίων, διαφωνεῖ δὲ αὐτῷ καὶ κατά τινας ἱστορίας.

ΛΑ΄.

Θεοδωρήτου Ἐκκλησιαστικὴ Ἱστορία.

[20 R.] Ἀνεγνώσθη Θεοδωρήτου Ἐκκλησιάστικὴ Ἱστορία. Πάντων τῶν εἰρημένων κατάλληλον φράσιν τῇ ἱστορίᾳ μᾶλλον οὗτος ἐπέθηκε· σαφής τε γὰρ καὶ C ὑψηλὸς καὶ ἀπέριττος, πλὴν ὅτι ἐνίοτε ταῖς μεταφοραῖς παραβόλως καὶ ὥσπερ ἀπειροκάλως ἐχρήσατο. Οὗτος καὶ πλατύτερον τῶν εἰρημένων τὰ περὶ τῆς δευτέρας συνόδου διέλαβε, σχεδόν τι τῶν ἄλλων ὥσπερ μόνον διὰ τῆς ἐπιδρομῆς ἀφοσιουμένων [66], ἀλλ' οὐ βουλομένων τι περὶ αὐτῆς εἰπεῖν· πλὴν ἀλλὰ καὶ οὗτος οὐ πάντα λεπτομερῶς λέγει. Ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ τῆς Ἀρείου αἱρέσεως, καὶ καταλήγει μέχρι τῆς Θεοδοσίου τοῦ νέου βασιλείας καὶ μέχρι τῆς Διοδώρου τελευτῆς, ἡνίκα καὶ Κωνσταντινουπόλεως Σισίννιος ἦρχεν.

ΛΒ΄.

Ἀθανασίου ἐπιστολαι.

Ἀνεγνώσθησαν [67] Ἀθανασίου ἐπιστολαὶ διάφοροι, ἐν αἷς ἐμφέρονται καὶ αἱ τῆς γεγενημένης αὐτοῦ φυγῆς ὥσπερ Ἀπολογίαν περιέχουσαι, κομψῶς τε καὶ D λαμπρῶς καὶ ἔτι σαφῶς συντεθειμέναι, καὶ τὸ πιθανὸν μετὰ τοῦ χαρίεντος ἀνθοῦσαι· ἡδονὴ [68] τῆς ἐκεῖθεν Ἀπολογίας ἀκούειν.

VARIÆ LECTIONES.

[65] σλαμάνου A. cf. Vales. de Vita et Scriptis Socratis et Sozomeni p. (ed. Amstel.) 5. [66] ἀφωσιωμένων ς. [67] ἀνεγνώσθη A. [68] ἡδονὴν (omisso ἀκούειν) ς.

NOTÆ.

(42-43) Card. Baron. δέκατον legit tom. III, ad annum 594.

(44) Θεοδώρου hic reponendum ex auctoritate Theodoreti lib. v, cap. ult.

(45) Vide inf. cod. XXXV. in Phil. Sideta.

ΑΓ.

Ἰούστου Τιβεριέως Χρονικόν.

Ἀνεγνώσθη, Ἰούστου Τιβεριέως Χρονικόν, οὗ ἡ ἐπιγραφή, Ἰούστου Τιβεριέως Ἰουδαίων βασιλέων τῶν ἐν τοῖς στέμμασιν. Οὗτος ἀπὸ πόλεως τῆς ἐν Γαλιλαίᾳ Τιβεριάδος ὡρμᾶτο. Ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ Μωϋσέως, καταλήγει δὲ ἕως τελευτῆς Ἀγρίππα τοῦ ἑβδόμου μὲν τῶν ἀπὸ τῆς οἰκίας Ἡρῴδου, ὑστάτου [69] δὲ ἐν τοῖς Ἰουδαίων βασιλεῦσιν, ὃς παρέλαβε μὲν τὴν ἀρχὴν ἐπὶ Κλαυδίου, ηὐξήθη δὲ ἐπὶ Νέρωνος καὶ ἔτι μᾶλλον ὑπὸ Οὐεσπασιανοῦ, τελευτᾷ δὲ ἔτει τρίτῳ Τραϊανοῦ [70], οὗ καὶ ἡ ἱστορία κατελήξεν. Ἔστι δὲ τὴν φράσιν συντομώτατός τε, καὶ τὰ πλεῖστα τῶν ἀναγκαιοτάτων παρατρέχων. Ὡς δὲ τὰ Ἰουδαίων νοσῶν, Ἰουδαῖος καὶ [71] αὐτὸς ὑπάρχων τὸ [72] γένος, τῆς Χριστοῦ παρουσίας καὶ τῶν περὶ αὐτὸν τελεσθέντων καὶ τῶν ὑπ' αὐτοῦ τερατουργηθέντων οὐδενὸς [72*] ὅλως μνήμην ἐποιήσατο. Οὗτος παῖς μὲν ἦν Ἰουδαίου τινὸς ὄνομα Πίστου [73], ἀνθρώπων δέ, ὡς φησιν Ἰώσηπος, κακουργότατος, χρημάτων τε καὶ ἡδονῶν ἥττων. Ἀντεπολιτεύετο δὲ Ἰωσήπῳ, καὶ πολλὰς κατ' ἐκείνου λέγεται ἐπιβουλὰς ῥάψαι· ἀλλὰ τόν γε Ἰώσηπον, καίτοι ὑπο χεῖρα πολλάκις λαβόντα τὸν ἐχθρὸν, λόγοις μόνον ὀνειδίσαντα ἀπαθῆ κακῶν ἀφεῖναι. Καὶ τὴν ἱστορίαν δὲ, ἣν ἐκεῖνος [9 H.] ἔγραψε, πεπλασμένην [73*] τὰ πλεῖστά φασι τυγχάνειν, καὶ μάλιστα οἷς τὸν Ῥωμαϊκὸν πρὸς Ἰουδαίους διέξεισι πόλεμον καὶ τὴν Ἱεροσολύμων ἅλωσιν.

ΑΔ'.

Ἀφρικανοῦ Ἱστορικόν.

Ἀνεγνώσθη Ἀφρικανοῦ Ἱστορικόν. Οὗτός ἐστιν ὁ καὶ τοὺς λεγομένους Κεστοὺς ἐν λόγοις συντάξας ιδ' [74]· ἔστι δὲ σύντομος μὲν, ἀλλὰ μηδὲν τῶν ἀναγκαίων ἱστορηθῆναι παραλιμπάνων. Ἄρχεται δὲ ἀπὸ τῆς Μωσαϊκῆς κοσμογενείας [75], καὶ κάτεισιν ἕως τῆς Χριστοῦ παρουσίας. Ἐπιτροχάδην δὲ διαλαμβάνει καὶ τὰ ἀπὸ Χριστοῦ μέχρι τῆς Μακρίνου τοῦ Ῥωμαίων βασιλέως βασιλείας, [21 R.] ὅτε αὐτῷ, ὡς φησι, καὶ ἥδε ἡ συγγραφὴ συνετελεῖτο, ἐτῶν οὖσα ϛψκγ'. Τεύχη δὲ τὸ βιβλίον [76] πέντε.

Οὗτος καὶ πρὸς Ὠριγένην γράφει περὶ τοῦ κατὰ Σωσάνναν [77] διηγήματος, ὡς οὐκ [78] εἴη αὐτῷ ἐν τοῖς Ἑβραϊκοῖς ἀνεγνωσμένον, καὶ ὡς οὐδ' [79] ἀκόλουθον τῇ Ἑβραϊκῇ ἐτυμολογίᾳ οὔτε τὸ ἀπὸ τοῦ πρίνου πρῖσαι οὔτε τὸ ἀπὸ τοῦ σχίνου σχίσαι· ἃ καὶ ἐπιλυόμενος [80] Ὠριγένης ἀντέγραψε.

A

XXXIII.

Justi Tiberiensis Judæorum regum Chronicon.

Lectum est Justi Tiberiensis (46) *Chronicon*, cujus inscriptio : *Justi Tiberiensis regum Judæorum qui coronati fuerunt.* Hic e Tiberiade Galilææ oppido ortum nomenque traxit. Auspicatur historiam a Moyse, perducitque ad exitum usque Agrippæ septimi e familia Herodis, et Judaicorum regum postremi, qui regnum sub Claudio accepit : crevit sub Nerone, ampliusque dein sub Vespasiano : obiit autem tertio Trajani anno, quo et historiæ finis ducitur. Stylus huic maxime concisus, et pleraque relatu cum primis necessaria prætermittit. Communi autem Hebræorum vitio laborans, Judæus genere cum esset, de Christi adventu, deque iis B quæ ipsi acciderunt, aut de miraculis ab illo patratis, nullam prorsus fecit mentionem. Parentem Hebræum quemdam habuit, cui Pisto nomen : mortalium ipse, ut Josephus ait, nequissimus, et pecuniæ cupiditati ac libidini serviens. Contendit idem in republica cum Josepho, cui multas struxisse insidias fertur : Josephus tamen, 7*a* etsi sæpenumero hostem comprehendisset, verbis duntaxat castigatum, impune abire permisit. Historiam vero, quam texuit, magnam partem confictam aiunt, eaque potissimum quibus Romanorum adversus Judæos bellum et Hierosolymorum excidium persequitur.

C

XXXIV.

Julii Africani historia, et alia.

Legimus Africani illius *Historiam*, qui *Cestos*, ut nominant, libris quatuordecim composuit. Concisus quidem est, nihil tamen cognitu necessarium omittit. Incipit a mundi creatione apud Moysen, pervenitque ad usque Christi adventum. Succincte quoque commemorat gesta jam inde a Christi ætate, usque ad Macrini imperatoris tempora : quo tempore, ut idem affirmat, hoc *Chronicon* absolutum est, annorum scilicet quinquies mille, septingentorum et viginti trium. Opus universum voluminibus quinque continetur.

Hic et ad Origenem scripsit de Susannæ historia (47), quod in Hebræorum libris non legatur, minimeque conveniens sit Hebraico veriloquio illud, Ἀπὸ τοῦ πρίνου πρίσαι, καὶ ἀπὸ τοῦ σχίνου σχίσαι. Quæ excipiens Origenes, scripto refellit. D

VARIÆ LECTIONES.

[69] ὕστατον ϛ. [70] Τραϊανοῦ] τοῦ αὐτοῦ Dodwellus ap. Spanhem. ad Joseph. de Vita sua 1 : Δομετιανοῦ Aldrich. ad Joseph. B. Jud. 2, 14, 4. [71] Ἰουδαῖός τε καὶ ϛ. [72] τὸ om. A. [72*] οὐδὲν A : malim οὐδ'. [73] πιστοῦ ϛ. [73*] πεπλασμένην ante ἣν ponit A. Legendum fortasse φησι. [74] ιδ'] κδ' Suidas v. Ἀφρικανός. [75] κοσμογενίας ϛ. [76] τοῦ βιβλίου ϛ. cf. cod. 56 : τοσοῦτοι δὲ ὄντες τὸ βιβλίον τυγχάνουσι. [77] σωσάνναν A. [78] οὐκ ἦν αὐτὸ ϛ. [79] οὐκ ϛ. [80] ἐπιλυόμενος mg editionum : ἐπιλαβόμενος A.

NOTÆ.

(46) Meminit in Catalogo B. Hieron. cap. 14 ; Josephus item in Vita sua et Stephanus Περὶ πόλεων, Suid. aliique.

(47) Vide *Biblioth.* Sixti Senens. lib. VIII, hæres. 6 : Jac. Pamel. ad cap. 4 Tertull. *De corona milit.* et Bened. Perer. nostrum Præfat. lib. XVI *Comment. in Dan.* Africani epist. cum resp. Orig. exstat in editione operum Origenis.

Scripsit quoque Africanus ad Aristidem, ubi quæ de Salvatoris nostri genealogia Matthæum inter et Lucam dissensio putabatur, nullam esse demonstrat.

XXXV.

Philippi Sidetæ Christianæ Historiæ libri XXIV.

Lectum Philippi Sidetæ opus, cujus titulus *Christiana Historia*, ducto inde initio : « In principio creavit Deus cœlum et terram. » Et persequitur Mosaicæ historiæ quædam succincte, quædam copiose : multis ubique verbis usus. Primus autem liber tomos continet quatuor et viginti : similiter et reliqui tres et viginti libri, quos quidem hactenus vidimus (48-49). Multum admodum verborum, sine ulla tamen urbanitate aut gratia profundit : quin et satietatem affert, aut potius molestiam : atque ostentationis plus habet quam utilitatis. Inseruit et plurima historiam nihil attinentia, ut non tam historiam esse, quam alienorum negotiorum tractationem (adeo inepte effunditur) dixeris. Æqualis fuit 7*b* Sisinnii, et Procli (50), episcoporum Constantinopolis. Atque in hac quidem historica scriptione sæpe Sisinnium perstringit (51) ; quod (ut ferunt) dum idem munus (52) uterque obiret, et eloquentia primas tenere Philippus videretur, Sisinnius tamen in patriarchalem sedem (53) prælatus fuerit (54).

XXXVI.

Christianorum liber, Octateuchi expositio libris XII.

Lectus liber est, qui inscribitur *Christianorum Liber, Octateuchi expositio*. Pamphilo cuidam dedicavit eum auctor, qui Justini Romanorum im-

Γράφει δὲ Ἀφρικανὸς καὶ πρὸς Ἀριστείδην, ἐν οἷς ἱκανῶς τὴν νομιζομένην διαφωνίαν παρὰ Ματθαίῳ καὶ Λουκᾷ περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν γενεαλογίας σύμφωνον ἔδειξεν.

ΛΕ΄.

Φιλίππου Σιδέτου Χριστιανικὴ Ἱστορία.

Ἀνεγνώσθη βιβλίον Φιλίππου Σιδέτου, οὗ ἡ ἐπιγραφὴ Χριστιανικὴ Ἱστορία. Ἀπάρχεται δὲ ἀπὸ τοῦ, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς [τὸν οὐρανὸν καὶ τὴν γῆν [81],] » καὶ διέξεισι τὰ μὲν συντέμνων τὰ δὲ πλατύνων τὴν Μωσαϊκὴν ἱστορίαν, ὅμως οὖν πολλοὺς ἐν πᾶσι λόγους ἀνελίσκων. Ἡ πρώτη οὖν αὐτοῦ βίβλος λόγους περιέχει [82] κδ΄ · ὡσαύτως δὲ καὶ αἱ ἄλλαι αὐτοῦ κγ΄ βίβλοι ἀνὰ λόγων κδ΄, ἂς τέως ἡμεῖς εἴδομεν. Ἔστι δὲ πολύχους ταῖς λέξεσιν, οὐκ ἀστεῖος δὲ οὐδὲ ἐπίχαρις, ἀλλὰ καὶ προσκορὴς, μᾶλλον δὲ καὶ ἀηδὴς, καὶ ἐπιδεικτικὸς μᾶλλον ἢ ὠφέλιμος, καὶ παρεντιθεὶς [83] ὡς πλεῖστα μηδὲν πρὸς τὴν ἱστορίαν συντείνοντα, ὡς οὐδὲν μᾶλλον ἱστορίαν εἶναι ἢ πραγμάτων ἑτέρων τὴν πραγματείαν διάληψιν · οὕτως ἀπειροκάλως, ἐκκέχυται. Σύγχρονος δὲ Σισιννίου καὶ Πρόκλου, οἱ Κωνσταντινουπόλεως ἐπεσκόπησαν. Ἐν δὲ τῇ αὐτοῦ τῆς ἱστορίας συγγραφῇ πολλὴν καταθρομὴν Σισιννίου ποιεῖται, ὅτι τὸν αὐτὸν κλῆρον ἄμφω πληρούντων, κἀν λόγοις πρωτεύειν Φιλίππου δοκοῦντος, Σισίννιος, φασὶν, εἰς τὸν ἀρχιερατικὸν θρόνον ἐξείλεκται [84].

Λς΄.

Βιβλίον, οὗ ἐπιγραφὴ, Χριστιανῶν βίβλος, ἑρμηνεία εἰς τὴν Ὀκτάτευχον.

Ἀνεγνώσθη βιβλίον, οὗ ἡ ἐπιγραφὴ Χριστιανοῦ [85] βίβλος, ἑρμηνεία εἰς τὴν Ὀκτάτευχον Παμφίλῳ δέ τινι προσφωνεῖ τὸ βιβλίον. Ἦν δὲ ταῖς Ἰουστίνου

VARIÆ LECTIONES.

[81] τὸν οὐρανὸν καὶ τὴν γῆν om. A. [82] περιέχει λόγους ⌐. [83] παρεντεθεὶς ς. [84] ἐξελήλεκται A. [85] χριστιανῶν ς. eum librum ab Allatio quoque Christino cuidam s. Christino datum nunc inscribi Κοσμᾶ *χριστιανικὴν τοπογραφίαν*, monet Fabricius B. Gr. t. 4, p. 343 ed. Harles.

NOTÆ.

(48-49) Nam 37 edidisse auctor est Socrates, et ex illo Niceph.

(50) Cum quibus, ut et cum Nestorio, de sede Constantinopolitana contendit. Auctores Socrates et Nicephorus.

(51) Imp et episcopos qui ordinassent, et populum qui elegisset. Socrat. lib. VII, cap. 29.

(52) Presbyterii.

(53) Defuncto Attico.

(54) Visum est inserere Socratis lib. VII, *Eccles. Histor.* cap. 27, quod huic pene geminum sit, et ex comparatione operæ pretium fiat : « Philippus Sidæ ortus fuit. Hæc quidem est civitas Pamphyliæ, in qua etiam Trophilus (*Troilus* melius habet Niceph.) sophista natus dicitur, cui se Philippus cognatum esse gloriatus est. Hic Philippus cum esset diaconus, Joannis (Chrysostomi) episcopi consuetudine, qua multum usus est, impulsus in studiis litterarum permultum operis et laboris collocavit, multosque et varios cujusque generis libros in unum collegit, atque Asiaticum dicendi genus studiose imitatus, multa conscripsit. Et quo Juliani imp. libros refelleret, opus etiam, quod *Historiam Christianam* inscribendo composuit, inque triginta sex libros distribuit. Singuli libri tomos complures continent, adeo ut omnes simul prope mille numero sint. Argumentum etiam cujusque tomi tomum ipsum adæquat. (Nicephorum hic duo distinxisse opera, observo : *Opus*, inquit, *magnificum, in quo Juliani contra sacra Biblia scriptum, evertit, reliquit. Aliud quoque volumen composuit, quod* Christianam historiam *nominavit*.) Hoc opus non *Historiam Ecclesiasticam*, sed *Christianam* inscripsit, multasque et varias in eo congessit materias : eo quidem consilio, ut se doctrinæ philosophorum non expertem fuisse declararet. Quapropter præceptiones grammaticas, astronomicas, arithmeticas et musicas crebro citat. Quin etiam insulas, montes, et alias res non magni momenti describit ; unde opus inflatum et plenum inanis ostentationis factum est. Quare si quid ego judico, neque doctis, neque indoctis prodesse poterit. Quippe indocti insolentem illam, et nimio artificio elaboratam dicendi rationem, quæ in eo est, animum advertere nequeunt ; docti autem crebram eorumdem verborum repetitionem, quæ in illo usurpatur, condemnabunt. Cæterum quisque de libris illis pro arbitratu suo judicium faciat. Ordinem vero temporum, quibus res gerebantur, ab eo confusum esse, audeo quidem affirmare. Nam temporibus Theodosii commemoratis, ad tempora (*Magni*, addit Niceph.) Athanasii episcopi recurrit. Quod quidem ab illo sæpissime factum est. »

B Ἐν δὲ τῷ δευτέρῳ διαλαμβάνει περὶ τοῦ ὄρους τοῦ Ἰζαλὰ [37], περί τε τῆς κατὰ τὸν Καρδαρηγὰν [38] τὸν τῶν Περσῶν στρατηγὸν ἀλαζονείας, ὅπως τε Φιλιππικοῦ τε καὶ [41 H.] Ῥωμαίων πρὸς τὸν Καρδαρηγὰν [39] καὶ Πέρσας μάχη περὶ τὸ Ἀρζάμων [40] συνέστη, καὶ ὅπως ὁ Φιλιππικὸς τὴν ἀχειροποίητον εἰκόνα φέρων περιήει καθαγιάζων τὸ στράτευμα, καὶ ὡς νίκη ἐπιφανεστάτη τότε Ῥωμαίων ἐγένετο, ὅπως τε ἡ ἀχειροποίητος πρὸς Συμεώνην τὸν ἐπίσκοπον Ἀμίδης [41] μετὰ σεβασμιότητος ἀποστέλλεται. Σκυλεύεται δὲ ὑπὸ Ῥωμαίων τὸ βάρβαρον, καὶ φεύγει ὁ Καρδαρηγὰν [42] ἐπὶ τὸ Δαράς [43] · καὶ ὅπως οἱ Δαρηνοὶ ἀπὸ τοῦ ἄστεος αὐτὸν ἀποπέμπονται διὰ τὸ κατὰ κράτος ἡττηθῆναι. Ὅπως τε ὁ Ῥωμαίων στρατιώτης τὸ σῶμα κατετέτρωτο · ἦν δὲ τῆς τῶν C Κουαρτοπαρθῶν τάξεως, οὕτω καλουμένων τῶν ἐν Βεροίᾳ πόλει τῆς Συρίας τὰς διατριβὰς ποιουμένων. Περί τε τῆς ἐπιστρατείας Ῥωμαίων [44] κατὰ τῆς Ἀρζαννηνῆς, καὶ ὅπως Μαρουθᾶς καὶ Ἰώβιος οἱ ἡγεμόνες αὐτῆς αὐτομολοῦσι πρὸς Φιλιππικὸν καὶ Ῥωμαίους. Καὶ περὶ τῆς ἰδιωτικῆς δυνάμεως τῆς συναθροισθείσης ὑπὸ τοῦ Καρδαρηγὰν [45] εἰς τὸ ἐξαπατῆσαι Ῥωμαίους. [85 R.] Καὶ ὅπως Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ ὑπὸ τοῦ Φιλιππικοῦ ἐπὶ κατασκοπῇ τῶν πολεμίων ἀποσταλεὶς παραδόξως διασώζεται. Καὶ περὶ Ζαβέρτα τοῦ Πέρσου, καὶ ὅπως τῆς τῶν Χλομαρῶν [46] πολιορκίας Ῥωμαῖοι ἀπέσχοντο. Ἔτι δὲ περὶ τῆς ἀθρόας καὶ ἀλόγου φυγῆς Φιλιππικοῦ, καὶ τῆς γενομένης ἀταξίας τοῖς [47] Ῥωμαϊκοῖς ἐκστρατεύμασι. Περί τε τῆς ἐνεχθείσης τῷ Φιλιππικῷ νόσου, καὶ ὅτι Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ τὰς φροντίδας τῆς D ἡγεμονίας ἀναδέχεται [48]. Ὅπως τε τοῖς μεσημβρινοῖς τῆς Μηδικῆς προσβάλλει ὁ τῆς Ῥωμαίων δυνάμεως

VARIÆ LECTIONES.

[32] nonne καταστρεψόμενοι ? [33] Ἰωάννου ς. [34] ὁ post σεισμὸς add. A. [35] τε ὁ Φιλ. ς. [36] καὶ αἱ ἀνδρ. ς. [37] Ἴξαλα ς. [38] Καδαρίγαν ς. [39] καὶ ante Ῥ. om. A. [40] Ἀρζαμὼν ς. [41] ἀμήδης ς. [42] Καρδαρίγας ς. [43] δάρας A. [44] Ῥωμαίων καὶ κατὰ τῆς ἀζαρονίνης ς. [45] Καρδαρίγα ς. [46] χλομάρων ς. [47] τοῖς om. A. [48] ἀνεδέχετο ς.

NOTÆ.

(93) Nicph. lib. XVIII, cap. 13.

(94) Ibid. 10.

ὑποστράτηγος· καὶ ὡς ἔαρος ὥρᾳ προσβάλλουσι Ῥωμαῖοι κατὰ τῆς Περσῶν πολιτείας· διαλαμβάνει τε ὡς Κομεντίολος κατὰ τῶν Ἀβάρων ἐκστρατεύει, ἔχων ὑποστρατήγους Μαρῖνον καὶ Κάστον, καὶ ὡς εὐδοκιμοῦσιν οὗτοι κατὰ τῶν Ἀβάρων, ὕστερον δὲ ζωγρεῖται ὁ [49] Κάστος. Καὶ ὅτι Ἀνσιμοὺθ τὸν ἔξαρχον τῆς πεζικῆς Ῥωμαίων δυνάμεως οἱ Ἄβαροι ζωγρίαν ἔλαβον, καὶ κατέδραμον τὰ ἀνὰ τὴν Θράκην αἱ δυνάμεις αὐτῶν. Καὶ Κομεντιόλου διάσκεψις εἰ χρὴ ἐπιτίθεσθαι τοῖς [50] Ἀβάροις, καὶ δημηγορία ἐπὶ τὸ δεῖν ἐπιτίθεσθαι, καὶ ἀντιδημηγορία. Ὅπως φωνὴ ἐμπεσοῦσα τῷ στρατῷ τῶν Ἀβάρων ἄπρακτον τὴν τοῦ [51] Κομεντιόλου ἐπίθεσιν τὴν κατὰ τοῦ Χαγάνου εἰργάσατο. Καὶ περὶ Βουσᾶ τοῦ στρατιώτου, ὅπως τε [52] κυνηγῶν ἑάλω ὑπὸ τῶν Ἀβάρων, καὶ ὅπως ὑπὸ τῶν ὁμοφύλων ὑπεροφθεὶς πρῶτος διὰ τοῦτο τοὺς Ἀβάρους πολιορκητικὰ ὄργανα ἐδίδαξε κατασκευάζεσθαι. Ὅπως τε ὑπὸ τοῦ Χαγάνου πολιορκεῖται Βερόη, καὶ ὅπως ἀποτυγχάνει τοῦ ἐγχειρήματος. Ὅπως τε Διοκλητιανοῦ πόλιν ὁ αὐτὸς πολιορκήσας ἀπρακτεῖ. Καὶ ὅπως ὁ βασιλεὺς Μαυρίκιος ὑπὸ τοῦ ἀγελαίου πλήθους τῶν Βυζαντίων ἐλοιδορεῖτο διὰ τὰ ἀπὸ τῶν βαρβάρων συμβεβηκότα περὶ τὴν Εὐρώπην δυστυχήματα, ὅπως τε ἐκπέμπει στρατηγὸν τὸν Ἰωάννην, ὃν ἐπεκάλουν Μυστάκωνα [53], ὑποστράτηγον αὐτῷ καταστησάμενος Δρόκτωνα, ὃς καὶ πολιορκουμένης ὑπὸ τῶν Ἀβάρων τῆς Ἀδριανουπόλεως [54] συμμίξας τοῖς πολεμίοις τὴν πόλιν [42 H.] διεσώσατο. Διαλαμβάνει δὲ καὶ ὅπως ὁ Ἡράκλειος φρούριον Περσικὸν ἐνεχείρει τοῖς ὅπλοις ἑλεῖν, καὶ περὶ τοῦ Βεϊουδάες φρουρίου, καὶ ὅπως παραδόξῳ ἀριστείᾳ Σάπηρος τοῦ στρατιώτου εἷλον τὸ φρούριον Ῥωμαῖοι. Καὶ τὴν ἐνθημίαν δὲ Φιλιππικοῦ περὶ τὸ βασίλειον ἄστυ.

pedestrium copiarum Romanarum tributum, Abari vivum ceperint, et in Thraciam incursionem exercitus eorum fecerit, Comentiolo interim deliberante, an Abaris occurreret : habitaque est in eam sententiam concio, et altera item contra, ne se hosti objiceret. Quomodo ortus in castris Abarorum rumor, Comentioli adversus Chaganum irruptionem irritam fecerit. De Busa milite, qui in venatione ab Abaris captus, et a suis neglectus contemptusque, Barbaros eam ob causam oppugnandarum urbium machinas fabricare primus docuit. Uti Choganus Beroen obsederit, sed nihil profecerit. Similiter et Diocletiani urbem oppugnarit, neque ceperit tamen. Mauricium imperatorem Constantinopoli ab incondita Byzantiorum plebe conviciis exceptum, quod ob res infeliciter cum Barbaris gestas, Europa afflicta esset. Misisse itaque Joannem, cognomento Mystacona, belli ducem, Droctone ipsi subimperatore attributo : qui obsessam ab Abaris Adrianopolim, pugna cum hoste commissa præsens servavit. Complectitur etiam hic liber, ut arcem Persarum quemdam vi capere Heraclius sit aggressus ; et de Bejudaes, sic dicto castello, utque incredibili Saperis militis fortitudine, Romani præsidium occuparint. Denique ut Philippicus in regia urbe Constantinopoli remanserit.

Ὁ δὲ τρίτος λόγος διέξεισιν ὅπως χειροτονεῖται ἀντὶ Φιλιππικοῦ στρατηγὸς ὁ Πρίσκος τῆς ἑῴας δυνάμεως, ὅπως τε Φιλιππικὸς διαφθονούμενος Πρίσκῳ πρὸς Ἡράκλειον ἔγραψεν ἐμφανίσαι τῷ στρατῷ τῶν σιτήσεων αὐτῶν τὴν μείωσιν, καὶ ὅτι Πρίσκος προσπελάζων τῷ στρατοπέδῳ οὐκ ἀπέβη τοῦ ἵππου κατὰ τὸ παλαιὸν ἔθος καὶ οὕτως ἠσπάσατο τὸ στρατιωτικόν· διὸ τὸ [55] στρατιωτικόν, ὅτι τε αἱ σιτήσεις ὑπετέμνοντο καὶ ὅτι ἠτιμοῦντο, ἐστασίαζον. Καὶ Πρίσκος ἐλιφρέδα [56] δοὺς τὴν ἀχειροποίητον δι' αὐτῆς ἐκλιπαρεῖν τὸ πλῆθος ἐτέχναζεν· οἱ δὲ καὶ ταύτην λίθοις ἔβαλον. Διὸ φεύγει μὲν ἐν Κωνσταντίνῃ Πρίσκος, καὶ αἱρεῖται ὑπὸ τῆς στρατιᾶς [57] Γερμανὸς αὐτοῖς στρατηγὸς ἀκούσιος· καὶ ταύτης τῆς τυραννίδος κρατούσης πολλαὶ παρὰ Περσῶν συμφοραὶ τοῖς Ῥωμαίοις ἐναπετίκτοντο. Διὸ καὶ βασιλεὺς πάλει μὲν Πρίσκον, ἀνταποστέλλει δὲ [88 R.] Φιλιππικὸν πάλιν στρατηγόν. Ἡ δὲ στρατιὰ καὶ πρὸς αὐτὸν ἐστασίαζε. Καὶ πολιορκεῖται μὲν Κωνσταντῖνα ὑπὸ Περσῶν, ῥύεται δὲ τῶν κινδύνων ἐπιστάντος αὐτῇ Γερμανοῦ. Καὶ πόλεμος Πέρσαις καὶ

Tertio libro. In Philippici locum Orientalis militiæ dux suffectus Priscus : cui Philippicus invidens Heraclio scripsit, commeatum exercitui, cibariaque minueret. Priscus quoque in castra profectus, non (94·) ad pedes veteri more, ex equo desiliens milites salutavit. Itaque exercitus, tum quod annona accisa esset atque augusta (95), tum quod sine honore esset ab illo habitus, militari seditione tumultuatus est. Priscus (96) eliphrepha non manu facta illa imagine ipsis tradita, placare per eam gregarium militem tentavit : sed illam etiam lapidibus petierunt. Igitur **29***a* Constantinam fugit. Invitus interim ab exercitu dux elegitur Germanus. Dum hæc per vim a que tumultum geruntur, multis interim Romani a Persis calamitatibus afflicti. Quare Prisco imperator dignitatem adimit, ejusque in locum Philippicum iterum ducem mittit. Sed et his rursum, turbato exercitu, tumultuatum. Constantina (97) a Persis obsessa periculisque, Germano suppetias ferente, eximitur. Prælium Romanos inter et Persas ad Martyropolim commissum. Victoria

VARIÆ LECTIONES.

[49] ὁ add. A. [50] τοῖς A : τότε ς. [51] τοῦ add. A. [52] τε] τε καὶ ς. [53] μουστάκωνα ς. [54] Ἀνδριανουπό λεως ς. [55] διὸ καὶ τὸ ς. [56] ἐλιφρέφα ς. [57] στρατιᾶς mg : στρατείας ς. [58] Μαρτυρούπολιν A.

NOTÆ.

(94.) Vide cl. V. Justi Lipsii epistol. in notis ad exemplar. Græcum.

(95) Niceph. lib. I, cap. 11, aliam tumultus hujus causam reddit.

(96) De aurea imagine accipiendam vocem barbaram ἐλφρέφα seu ἐλιφρίδα, quidam hic notarunt.

(97) Niceph. lib. XVIII, cap. 14.

illustri eo die penes Romanos fuit, Maruza Persarum duce, cum tribus suorum millibus, ad internecionem cæso, captis vero mille. Reconciliato, Aristobuli opera, cum imperatore exercitu, ad arcem Giligerdorum virtus captivorum militum enituit : et Gregorius (98) Antiochiæ episcopus, susceptа legatione, Philippicum restituit exercitui. Martyropolis, Sittæ fraudibus a Persis capta (99). Philippicus officio dejicitur, suffectusque ab imperatore Mauricio in ejus locum Comentiolus, cui mandatum commissumque bellum est Persicum. Getæ sive Sclavi, ea tempestate, vicina Thrasiæ populabantur : Roma adversus Longibardos arma induebat : Africa quoque Maurusios superavit (1). Comentiolo duce, pugnatum juxta Sisarbanum (2), prope Nisibin, a Persis atque Romanis. Romani (3) militari virtute superiores evasere, Heraclio hastam fortiter tum vibrante. Cecidit eo prælio Phraates ipse Persicarum copiarum dux, castrisque direptis opima spolia lecta. Baram (4), Turcis devictis, magnas ex eis opes Hormisdæ regi suppeditavit, et strictos gladio Suaniæ minatus est. Romani autem, ductante Romano quodam nomine, conserta manu cum exercitu Barami, collatisque inter se signis, viribus fortiores, illustrem retulere victoriam. Hormisdas ob cladem acceptam, per opprobrium contumeliamque, Baramo vestem misit muliebrem. Hic contumeliam vicissim et injuriam ulturus, datis ad eum litteris (5), inscripsit : Chosroes filiæ (non filio) Hormisdæ. Hoc bello et Armenii, Sabbatii persuasione adducti, Joannem (6) ducem suum sustulerunt, et ad Persas deficere parabant. Comentiolus interim ab imperatore missus, et militarem sedat tumultum, et Sabbatium Constantinopolim ducit, qui ad bestias ibi damnatus, Cæsaris tamen clementia morti eripitur. Hormisdas Saramen adversus Baramum mittit : pugnaque victum **29***b* Saramen Baramus elephantis devorandum objecit, et palam contra Hormisdam arma tulit. His Baramus eo honoris ante defectionem fuerat evectus, ut ei a rege secundo nemo omnium dignitate antecelluerit. Curopalatæ enim (7), ut Romanis dicitur, summo magistratu functus est. Recensentur hoc quoque libro obiter, quæ temporibus longe antiquioribus gesta fuerunt : breviterque narrantur ea, quæ sub Justino et Tiberio augustis evenerunt. Hormisdæ quoque Persarum regis crudelitas exponitur, et Persarum regum series a capite arcessitur. Atque hæc quidem libro tertio.

A Ῥωμαίοις κατὰ τὴν Μαρτυρόπολιν [58] γίνεται, καὶ νικῶσι Ῥωμαῖοι λαμπρῶς, ἅτε τοῦ Περσῶν στρατηγοῦ Μαρούζα καὶ τρισχιλίων πεσόντων, χιλίων δὲ ζωγρηθέντων. Καὶ διαλλάσσεται πρὸς τὸν αὐτοκράτορα δι' Ἀριστοβούλου τὸ στρατόπεδον· γίνεταί τε κατὰ τὸ φρούριον Γιλιγερδῶν [59] τῶν δεσμωτῶν Ῥωμαίων ἀριστεία. Καὶ Γρηγόριος ὁ Ἀντιοχείας ἀρχιερεὺς Φιλιππικὸν διὰ πρεσβείας ἀποκαθίστησι τῷ στρατεύματι. Ἁλίσκεται δὲ ὑπὸ Περσῶν ἡ Μαρτυρόπολις διὰ Σίττα δόλῳ, καὶ ἀποχειροτονεῖται Φιλιππικὸς, καὶ Κομεντίολος ἀντ' αὐτοῦ τὸν Περσικὸν ὑπὸ τοῦ αὐτοκράτορος πιστεύεται πόλεμον. Οἱ δὲ Γέται ἤτοι Σκλάβοι τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνοντο, ἡ Ῥώμη δὲ πρὸς τοὺς Λογγιβάρδους [60] ἀνθωπλίζετο, καὶ Λιβύη τῶν Μαυρουσίων περιεγίνετο. Κομεντιόλου δὲ στρατηγοῦντος συμπλέκονται περὶ τὸ Σισάρβανον πλησίον Νίσιβος Πέρσαι καὶ Ῥωμαῖοι, καὶ νικῶσι κατὰ κράτος Ῥωμαῖοι, Ἡρακλείου περιφανῶς ἐνευδοκιμοῦντος τῷ δόρατι· πίπτει γὰρ καὶ αὐτὸς ὁ τῶν Περσῶν στρατηγὸς Φραάτης, καὶ σκυλεύεται τὸ πολέμιον. Ἔτι δὲ διαλαμβάνει ὅπως ὁ Βαράμ Τούρκους καταπολεμήσας, καὶ πολὺν πλοῦτον Ὁρμίσδᾳ τῷ βασιλεῖ ἐκεῖθεν χορηγήσας, ἦρε τὴν μάχαιραν καὶ κατὰ Σουκνίας· Ῥωμαῖοι δὲ Ῥωμανοῦ στρατηγοῦντος συμπλέκονται Βαράμ καὶ τῷ ὑπ' αὐτῷ [61] στρατῷ, καὶ κατὰ κράτος νικῶσι. Καὶ ὡς διὰ τὴν ἧτταν Ὁρμίσδας τῷ Βαράμ ἐπωνειδίζων γυναικείαν ἔστειλεν ἐσθῆτα· ὁ δὲ ἀνθύβριζε, θυγατέρα Χοσρόου, ἀλλ' οὐχ υἱὸν Ὁρμίσδαν τοῖς γράμμασιν ἐπιγραφόμενος. Ἐν ᾧ καὶ Ἀρμένιοι ὑποθήκαις Σαβ-

B βατίου τὸν [62] μὲν σῶν στρατηγὸν Ἰωάννην ἀναιροῦσι, [43 B.] προσχωρεῖν δὲ Πέρσαις ἐγχειροῦσι. Κομεντίολος δὲ σταλεὶς ὑπὸ τοῦ βασιλέως τήν τε στάσιν κατευνάζει καὶ Σαββάτιον [63] ἐς Βυζάντιον ἄγει· ὁ δὲ θηρίοις βορὰ γενέσθαι καταδικάζεται, φιλανθρωπίᾳ δὲ βασιλικῇ τοῦ θανάτου ἀπολύεται. Ὁρμίσδας δὲ Σαράμην κατὰ Βαράμ ἀποστέλλει· Βαράμ δὲ μάχῃ νικήσας Σαράμην ἐλεφάντων βορὰν ἐποιήσατο καὶ ἀναφανδὸν κατὰ Ὁρμίσδα παρατάσσεται. Ὁ δὲ Βαράμ ἐπὶ τοσοῦτο [64] δόξης ἦν κεχωρηκὼς πρὶν [65] ἢ μελιτῆσαι τὰ τῆς ἀποστασίας ὡς μετά γε

C βασιλέα μηδένα τῶν πάντων μείζονα δόξαν ἔχειν αὐτοῦ· ὃ γὰρ κουροπαλάτην [66] Ῥωμαῖοι καλοῦσι, ταύτης ἀπήλαυε τῆς τιμῆς. Ἐμπεριέχεται δὲ τῷ λόγῳ καὶ ἀναδρομὴ τῶν συγκυρησάντων περὶ τοὺς πρεσβυτέρους χρόνους, καὶ σύντομος ἀφήγησις τῶν κεκινημένων ἐπὶ τῆς βασιλείας Ἰουστίνου καὶ Τιβερίου τῶν αὐτοκρατόρων, καὶ περὶ τῆς ὠμότητος Ὁρμίσδου τοῦ Περσῶν βασιλέως, καὶ τῆς Περσικῆς γενεαρχίας ἀφήγησις. Ταῦτα μὲν καὶ ὁ γ'.

D

VARIÆ LECTIONES.

[59] φιλιγέρδων ς. [60] λαγγιβάρδους habere videtur A. [61] ὑπ' αὐτὸν ς. [62] τὸν] καὶ τὸν ς. [63] Σαββάτιον mg : libri συμβάτιον. [64] τοσούτῳ A, τοσοῦτον ς. [65] πρὶν] τὸ πρὶν A. [66] ἦν γὰρ κουροπαλάτου ς.

NOTÆ.

(98) Oratio Gregorii est apud Niceph. lib. XVIII, cap. 15 et 16.

(99) De Sitta vero transfuga cap. 17, et hic inf.

(1) Qui a Græcis Maurusii appellantur, eos Romani et indigenæ Mauros vocant. Strabo lib. XVII.

(2) Sisaurorum urbem sup. nominare Procop. lib. II videtur.

(3) Niceph. lib. XVIII, cap. 18.

(4) Varamus hic est Niceph. lib. XVIII, cap. 19.

(5) Niceph. *ibid.*

(6) Cujus et sup. mentio lib. I.

(7) Qui antea, prætorio præfectus. Latine dictus. Tu lege Pet. Fabri Semost. lib. I, cap. 1, et duo seqq.

Ὁ δὲ τέταρτος διαλαμβάνει, ὅπως τε Πέρσαις ὁ Α ἐμφύλιος ἐκρατύνετο πόλεμος, καὶ ὅσα συνεκύρησε[67] κατὰ τὴν τυραννίδα Βαρὰμ τρόπαιά τε καὶ εὐτυχήματα· καὶ ἡ τοῦ Φερεχάνους ἀναίρεσις καὶ ἡ Ζαδέσπρα προστχώρησις[68]· ὅπως τε ὑπὸ Βινδόου καθαιρεῖται τῆς βασιλείας Ὁρμίσδας· ὅπως τε ἠτήσε δέσμιος ὢν δημηγορῆσαι, καὶ ὡς δημηγορεῖ· ὅπως τε Βινδοης δημηγορεῖ, καὶ κατασφάζεται ἐνώπιον Ὁρμίσδα ὁ [89 R.] παῖς καὶ τεμαχίζεται ἡ βασιλὶς, καὶ τυφλοῦται καὶ αὐτὸς Ὁρμίσδας· ὅπως τε ὕστερον ὑπὸ τοῦ παιδὸς Χοσρόου, ὃν ἐστήσαντο Πέρσαι βασιλέα, ῥοπάλοις ἀναιρεῖται. Ἐπικράτειά τε τῆς τυραννίδος Βαρὰμ, καὶ φυγὴ Χοσρόου τοῦ Περσῶν βασιλέως, ὅπως τε ἐπὶ τὸ Κιρκήσιον ὁ Περσῶν βασιλεὺς παραγίνεται, προσχωρήσας Μαυρικίῳ τῷ αὐτοκράτορι, ὅπως τε διαπρεσβεύεται πρὸς αὐτόν. Περὶ Β Βαρὰμ δὲ πάλιν, ὅπως τεχναζόμενος ὑπ' αὐτῶν ἀναῤῥηθῆναι βασιλεὺς καὶ μὴ τυχὼν ἑαυτὸν ἀνηγόρευσε βασιλέα. Ὅπως ὁ βασιλεὺς Χοσρόην ἐπὶ τὴν ἱερὰν πόλιν μετάγει, βασίλειον αὐτῷ θεραπείαν συστησάμενος. Καὶ περὶ τῶν συγκυρησάντων Βαρὰμ καὶ Χοσρόῃ προ τῆς Ῥωμαϊκῆς συμμαχίας, καὶ ὡς διαπρεσβευσάμενος Βαρὰμ πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον ἀποπέμπεται, διαπρεσβεύεται δὲ πάλιν Χοσρόης καὶ τυγχάνει. Ὅπως ὁ βασιλεὺς τὸν τῆς Μελιτηνῆς[69] ἱερέα ἅμα[70] Γρηγορίῳ τῷ Ἀντιοχείας ἀρχιερεῖ πρὸς Χοσρόην ἐξέπεμψε. Περὶ τῆς δολοφονίας Βαρὰμ, ἣν Ζαμέρδης καὶ Ζοαναμβης[71] συνεσκευάσαντο, καὶ περὶ τοῦ φόνου τῶν εἰς τοῦτο συμπραξαμένων. Περὶ Βινδόου τοῦ Πέρσου, καὶ ὅπως δραπετεύει Περσίδα, τῆς κατὰ Βαρὰμ ἐπιβουλῆς κοινωνὸς γεγονώς. C Ὅπως ἡ Μαρτυρόπολις ὑπὸ Χοσρόου ἀποδίδοται Ῥωμαίοις, καὶ περὶ τῆς[72] Σίττα διὰ πυρὸς ἀναιρέσεως, καὶ ἑορταστικὴ τοῦ ἐπισκόπου Μελιτηνῆς (Δομετιανὸς ὄνομα αὐτῷ) ἐπὶ τῇ ἀναλήψει τοῦ ἄστεος. Ἐν οἷς καὶ ὁ τέταρτος λόγος.

Quartus liber ista complectitur. Uti apud Persas bellum invaluerit intestinum, quæque in Baramityrannide acciderint victoriæ, ac res secundæ. Cædem item Pherechani, successumque Zadespræ. Quomodo a Bindoe (8) regno exutus Hormisdas, e vinculis causam dicere postularit, causaque dicta, concionatus sit et Bindoes. In Hormisdæ oculis jugulatus filius, regina (9) quoque in partes dissecta: ipse excæcatus Hormisdas: post etiam a Choesroe filio suo, quem Persæ regem sibi constituerant, fustibus necatus est. Tyrannidis Barami potentia, et Chosroe Persarum regis fuga, utque ad Circesium delatus, ad Mauricium imperatorem tendens, legationem ad eum miserit. Rursum de Baramo, uti dum astu ageret, ut rex ab illis crearetur, nec voti fieret compos, regem se ipse pronuntiarit. Quomodo Cæsar Hierapolim deduxerit Chosroen, addita etiam familia rege digna (10). De iis, quæ gesta Chosroen inter et Baramum, antequam cum Romanis fœdus fieret: utque ad Mauricium imp. legatione missa, Baramus repulsam tulerit, Chosroes contra impetrarit. De legatione Domitiani (11) Meletinæ episcopi, et Gregorii præsulis Antiochiæ, ab imperatore ad Chosroen missa. De nece Baramo per fraudem a Zamerda et Zoanamba parata, eorumque cæde, qui rei conscii fuisent. De Bindoe, homine Persa, utque e Perside fugerit, quod percussorum Barami socius esset; de Martyropoli a Chosroe Romanis reddita **30***a*, deque Sitta (12) flammis exusto. Oratio item solemnis publice de recepta urbe habita a Domitiano Melitinensium præsule. Et de his quatuor liber.

Ὁ δὲ πέμπτος διέξεισιν, ὅπως Χοσρόης ὁ Περσῶν βασιλεὺς ἀπορίᾳ τὴν ψυχὴν κατατρυχόμενος ἐπρέσβευε τὸν ἐν μάρτυσι Σέργιον, ὃν καὶ τὰ λοιπὰ [44 H.] βάρβαρα πρεσβεύουσιν ἔθνη, λύσιν τῶν δυστυχημάτων εὑρεῖν· καὶ ὡς σταυρῷ χρυσῷ λιθοκολλήτῳ ἐτίμησεν· ἐντεῦθέν τε Ζαδέσπρας διὰ Ῥοσᾶ δολοφονεῖται Βλησχάνους ὑποθήκαις, καὶ τἄλλα ὁμήρῳ Χοσρόῃ συναντᾷ. Περὶ τοῦ ἐκδανεισθέντος χρυσίου Χοσρόῃ τῷ Περσῶν βασιλεῖ ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτορος, καὶ ὡς χειρογραφεῖ Χοσρόης τὸ δάνεισμα. Πρεσβεία τε Χοσρόου ἐφ' ᾧ ἀποστῆναι Κομεντίολον τῆς ἡγεμονίας, καὶ χειροτονία Ναρσοῦ ἀντὶ Κομεντιόλου, καὶ συμμαχία Ῥωμαίων κατὰ τοῦ τυράννου Βαράμ. Καὶ περὶ τῶν Βασιλικῶν δώρων τῶν σταλέντων Χοσρόῃ ὁπὸ τοῦ αὐτοκράτορος· καὶ ὅπως τὰς κλεῖς τοῦ Δαρὰς ὁ Χοσρόης διὰ τοῦ πρέσβεως D

Quintus Liber continet, ut animi dubius, et æger Chosroes, Persarum rex, beatum Sergium martyrem veneratus sit, quem et Barbaræ nationes honore afficere consuevissent, quo malorum liberationem reperiant. Utque cruce aurea (13), margaritis distincta, eum honorarit: indeque Zadespræ fraudulenta per Rhosam cædes, consilio Bleschanis, aliaque, quæ ex animi sententia Choesroæ obvenerint. De auri pecunia mutua Chosroæ Persarum regi a Mauricio imper. data, ejusdemque regis chirographo acceptæ pecuniæ. Legatio item Chosroæ ut Comentiolo exercitus præfectura adimeretur. Narsen (14) ergo Comentiolus successorem habuit; fœderatumque Romanorum adversus Baram tyrannum bellum. De regiis Chosroæ ab imperatore missis muneribus, utque claves urbis Daras ille per Dolbam legatum

VARIÆ LECTIONES.

[67] συνεκύρωσέ ς. [68] προχώρησις ς. [69] Μελιτινῆς ς. [70] ἅμα τῷ Γρηγ ς. [71] Ζωαναμβης ς. [72] τῆς] τῆς τοῦ στ.

NOTÆ.

(8) Niceph. lib. XVIII, cap. 19.

(9) Ut et Roxane apud Ctesiam in Persicis infr.

(10) Cum multis muneribus regiis, inquit Nicephor. lib. XVIII, cap. 20.

(11) Mauricii cognati Niceph. ibidem.

(12) In crucem actum Sitam refert Niceph. lib. XVIII, cap. 20, *et prius etiam* lapidibus obrutum Evagr. lib. VI, cap. 18.

(13) Niceph. lib. XVIII, cap. 21; et lib. XVIII, cap. 17.

(14) Ibid. cap. 20.

Cæsari remiserit. Oratio Domitiani Melitinæ episcopi, qua hortatur Romanos, ut belli societatem fœdusque ineant cum Chosroe contra Baram, quæ item ante congressum ac prælium Romanorum cum Persis felicia Chosroi secundaque evenerint, utque thesauros regios cum regia ipsa Persica Chosroes receperit per Bindoen. Conjunctio Romanorum copiarum cum ex Armenia, tum ex Oriente. Pugna cum Baramo, victoriaque valde memoranda Romanorum. Quo in prælio, Narsis ductu, capti et Turci, qui tum in fronte crucis signum gestabant(15), quod sibi impresserant, ut ipsimet narrabant depellendæ sic olim luis pestilentis causa. Quæ item in Perside a Golinduch acta, quamque illa vitam monasticam egerit austere (16). Chosroæ in pristinam regiam postliminii reditus, quæque dona Sergio martyri miserit. Ad eumdem sanctum virum legatio ejusdem, ut ex Hierem, quæ religione Christiana erat, liberos suscipere, et quomodo voti compos redditus, dona iterum egregia templo ejus martyris dedicarit. Chosroes tyrannidis consortes, atque adeo Bindoen ipsum, ut qui in regem manum armarat, mortis pœna vindicavit. De iis quæ prænuntiavit Chosroes, (16*) fore, **30***b* ut Romani tyrannide pressi tumultuarentur. Legatio Probi Chalcedonensis præfecti : et de imagine Deiparæ Virginis, quæque in ea legatione acciderint. Imperatoris ad Anchialum Europæ urbem profectio (17), et quod ei in sue oblatum portentum (18); utque domum ad palatium revertit, cum Persica legatio, cui Zalamban præerat, jam advenisset. Et in his liber quintus.

Libro sexto hæc insunt: uti exeuntem ex urbe Augustum, marina tempestas exceperit: utque ad Heracleam (19), dum ibi commoratur, monstrosus partus natus: infans manibus, et oculis carens, adhæc et superciliis ac palpebris, ad femur piscis cauda appendente: et quomodo sublatum hoc monstrum. De tribus illis Sclavis, citharas importantibus, qui ex Oceani partibus ad Chaganum missi ferebantur, et a Mauricio imperatore spectati sunt. Legatio item Francorum ad Cæsarem, qua stipendio se illi militaturos polliciti, repulsam tulerunt. Bossus, et Bettus legationem hanc a Theodoricho missi obibant. De grege cervorum; utque ingens quidam telo ictus in silvam se contulerit: insequente vero hastifero, et altero item Gepædo (20), ut hic illum

A Δόλβζα [73] παραδέδωκε τῷ βασιλεῖ. Δημηγορία τοῦ Δομετιανοῦ Μελιτηνῆς, προτρέπουσα τὸ Ῥωμαϊκὸν συμμαχεῖν Χοσρόῃ κατὰ Βαράμ· καὶ περὶ τῶν συγκυρησάντων [74] εὐτυχημάτων πρὸ τῆς [75] συμπλοκῆς Ῥωμαίων τε καὶ Περσῶν Χοσρόῃ, καὶ ὅπως οἱ βασιλικοὶ θησαυροὶ τά τε Περσικὰ βασίλεια ἀποκαθίσταται Χοσρόῃ διὰ Βινδόου. Ἕνωσις τῶν Ῥωμαϊκῶν δυνάμεων Ἀρμενίας τε καὶ τῆς Ἑῴας, καὶ μάχῃ κατὰ Βαράμ, καὶ νίκη Ῥωμαίων πεφιφανεστάτη· ἐν ᾗ μάχῃ, Ναρσοῦ στρατηγοῦντος, καὶ Τοῦρκοι συνελήφθησαν, οἳ ἐπὶ τῶν μετώπων τὸν τύπον ἔφερον τοῦ σταυροῦ, ὃ ἐπέθεντο, ὡς ἐκεῖνοι διηγοῦντο, εἰς ἀπαλλαγὴν [76] τῆς [77] πάλαι προσπεσούσης αὐτοῖς λοιμικῆς νόσου. Τὰ κατὰ τὴν Γολινδοὺχ ἐν Περσίδι γεγονότα, καὶ οἷον ἐκείνη βίον ἀσκητικὸν ἠγωνίσατο. Ἐπανάζευξίς τε Χοσρόου εἰς τὰ οἰκεῖα βασίλεια. Καὶ περὶ τῶν σταλέντων δώρων παρὰ Χοσρόου Σεργίῳ τῷ μάρτυρι. Πρεσβεία τε τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἅγιον, ὥστε ἐκ τῆς Σειρὲμ [78] παιδοποιήσασθαι· Χριστιανὴ δὲ ἐτύγχανεν αὕτη. [92 R.] Καὶ [79] ἐπιτυχία τε τῆς αἰτήσεως, καὶ δώρων πολυτελῶν ἀποστολὴ παρ' αὐτοῦ εἰς τὸν νεὼν τοῦ μάρτυρος. Ὅπως τε Χοσρόης τοὺς κεκοινωνηκότας τῇ τυραννίδι καὶ Βινδόην αὐτόν, ὡς κατὰ βασιλέως χεῖρας ἄραντα, θανάτῳ διώλεσε. Περὶ τῶν προαγορευθέντων ὑπὸ Χοσρόου. καὶ ὡς στασιάσει τὰ Ῥωμαίων πράγματα τυράννοις δουλεύοντα. Πρεσβεία τε Πρόβου τοῦ Καλχηδόνος [80] προέδρου, καὶ περὶ τῆς εἰκόνος τῆς Θεομήτορος, καὶ ὅσα κατὰ τὴν πρεσβείαν ἀπήντησε. Ἐκθημία [81] τε τοῦ αὐτοκράτορος ἐπὶ τὴν τῆς Εὐρώπης Ἀγχίαλον, καὶ περὶ τοῦ συναντήσαντος αὐτῷ ἐν ὑΐ φάσματος. Ὅπως τε ὑπέστρεψεν εἰς τὰ βασίλεια ὁ αὐτοκράτωρ, πρεσβείας Περσικῆς ἐπιστάσης διὰ Ζαλαβζάν [82]. Ἐν οἷς καὶ ὁ πέμπτος λόγος.

Ὁ δὲ ἕκτος λόγος περιέχει, ὅπως ἀπὸ τῆς πόλεως ἐξιόντι τῷ βασιλεῖ ἐνέσκηψε κλύδων θαλάττιος. Ὅπως τε περὶ Ἡράκλειαν, ἐκεῖσε τοῦ βασιλέως διατρίβοντος, τέρας ἐγεννήθη [83], παιδίον μήτε χεῖρας μήτε ὄμματα ἔχον μήτε ὀφρῦς μήτε βλέφαρα, πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ ἀπεκρέματο· καὶ ὅπως τὸ τέρας ἀνῃρητο. Περὶ τῶν τριῶν Σκλαβηνῶν τῶν κιθάρας ἐπιφερομένων, οἳ ἐκ τῶν μερῶν τοῦ Ὠκεανοῦ ἐλέγοντο πρὸς τὸν Χαγάνου ἀπεσταλθαι· οἳ καὶ [45 H.] ἐνεφανίσθησαν Μαυρικίῳ τῷ βασιλεῖ. Πρεσβεία τε Φράγκων [84] πρὸς τὸν βασιλέα ἐφ' ᾧ συμμαχεῖν ἐπὶ δώροις, καὶ ἀποστροφὴ τῆς αἰτήσεως· Βόσσος καὶ Βέττος οἱ πρέσβεις, ὁ δὲ ἀποστειλας ὀνόματι Θεοδώριχος. Περὶ τῆς ἀγέλης τῶν ἐλάφων, καὶ ὅπως ἡ μείζων βάλλεται καὶ εἰς λόχμην τινὰ φεύγει, καὶ ὡς

B C D

VARIÆ LECTIONES.

[73] δόλβα ς. [74] συγκυρωσάντων ς. [75] τῆς add. A. [76] libri ἐπαλλαγήν. [77] τῆς add. A. [78] Ἱερὲμ ς. [79] καὶ add. A. [80] Χαλκήδόνος ς. [81] ἐκθημία τε A : καὶ ἐκθημίαν ς. [82] Ζαλαμβᾶν ς. [83] ἐγενήθη ς. [84] Φράγγων A.

NOTÆ.

(15) Narrat eadem Niceph. lib. XVIII, cap. 20.

(16) Lege Vitam apud Niceph. lib. XVIII, cap. 25 a quo tamen nonnihil recedit Gr. Menolog. 11 Jul.

(16*) Niceph. lib. XVIII, cap. 27.

(17) Niceph. ibid. cap. 28.

(18) Georg. Cedren. canini hic partus monstrosi meminit. An ergo κυνὶ forte an loco pro ὑΐ legas.

(19) Niceph. lib. XVIII, cap. 35.

(20) Ὑπὸ Γέπαιδος infra Gepades populi nominantur, ab hoc auctore ut et Suid. Γήπαιδες, scribit etymol. οἱ λεγόμενοι Λογγίβαρδοι οἱονεὶ Γετίπαιδες, εἰ Γετῶν παῖδες et recentior quidam Græcus : Οἱ Οὔγγροι ἔλεγοντο τὸ παλαιὸν Γήπαιδες.

ἐπιδιώκεται ὑπό τινος τῶν δορυφόρων [85] καὶ ἑτέρου τινὸς Γήπαιδος [86], ὅπως τε ὁ δορυφόρος διὰ τὰ περὶ αὐτὸν χρύσεια δολοφονεῖται, καὶ ὡς χρόνῳ μακρῷ ὕστερον ὁ Γήπαις δολοφονῆσαι φωραθεὶς πυρὶ παραδίδοται. Στρατεία Ἀβάρων κατὰ Ῥωμαίων καὶ πολιορκία Σιγγιδόνος τῆς πόλεως, χειροτονία τε Πρίσκου τοῦ στρατηγοῦ, καὶ ὅπως τοῦ κατὰ τὴν Εὐρώπην πολέμου τοῦτον προεστήσατο, Καὶ ὅπως ὁ Χαγάνος εἰς Δριζίπερα γενόμενος τὸν νεὼν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐπυρπόλησε [87], καὶ ὅπως ἐν Τζουρουλῶν [88] τῇ πόλει Ῥωμαῖοι συγκλεισθέντες ὑπὸ τοῦ Χαγάνου πολιορκοῦνται, ὅπως τε δόλῳ φενακίζει τὸν βάρβαρον ὁ Μαυρίκιος καὶ τῆς πολιορκίας ἀπάγει. Πρεσβεία [89] τε Ἀβάρων πρὸς Ῥωμαίους, καὶ ὅσα τῷ Ἀρδαγάστῳ ἐκ τῆς Ῥωμαίων ἀπήντησε δυνάμεως, ἔτι δὲ καὶ τὰ κατὰ τὸν Τατίμερ [90]. Ἀνδραγαθία τε τοῦ Ῥωμαίων ταξιάρχου Ἀλεξάνδρου, καὶ ἀνδραγαθία Ῥωμαίων, καὶ Σκλαβηνῶν ἀναίρεσις, ἔφοδός τε Σκλαβηνῶν κατὰ Ῥωμαίων. Περὶ τῶν τεχθέντων τεράτων πρὸ τοῦ ἄστεως [91] τῆς βασιλίδος, ὡς [92] τὸ μὲν ἦν [93] τετράπουν παιδίον, τὸ δὲ δικόρυφον. Ὅπως Πρίσκος ἀποχειροτονεῖται τῷ δοῦναι [94] τῷ Χαγάνῳ ἀπὸ τῆς τῶν Σκλαβηνῶν [95] λείας, καὶ Πέτρος ἀντιχειροτονεῖται στρατηγὸς τῆς κατὰ τὴν Εὐρώπην μάχης · καὶ περὶ Θεοδώρου τοῦ πρέσβεως, σταλέντος [96] πρὸς τὸν Χαγάνον ὑπὸ τοῦ Πρίσκου, τῆς τε περὶ αὐτὸν παιδείας καὶ δεξιότητος. Ἐν οἷς καὶ ὁ ἕκτος λόγος.

ob aurea ornamenta ex insidiis interfecerit, et longo post intervallo cædis reus deprehensus, flammis traditus. Abarorum contra Romanos expeditio, urbisque Singidonis obsidium. Uti Priscus (21), belli dux delectus, et militiæ Europææ præfectus sit. Ut Chaganus Driziperam delatus beati Alexandri martyris templum obsederit : et quomodo Tzurulo oppido inclusos Romanos Chaganus cinxerit : utque Mauricius astu deceptum Barbarum ab obsidione averterit. Missa ab Abaris ad Romanos legatio, et quæ Ardagastus ab exercitu Romano acceperit incommoda, præterea quæ sub Tatimero acta. Alexandri Tribuni militum fortitudo, Romanorumque res fortiter gestæ, et Sclavorum interitus, horumque vicissim in Romanos impetus. De monstris ad regiam urbem natis (22), infantes, unus biceps, alter quadrupes. Uti Prisco imperium fuerit abrogatum (23), quod partem prædæ e Sclavis abduclæ **31** *a* Chagano donasset, utique pro illi Petrus Europæo bello dux præficiatur. De Theodoro item legato ad Chaganum a Prisco ire jusso, et de ejus doctrina, atque rerum gerendarum dexteritate. Et in his liber sextus.

Ὁ δὲ ἕβδομος λόγος διαλαμβάνει περὶ τῆς γεγενημένης ἀταξίας ταῖς Ῥωμαίων δυνάμεσιν, ἀριστείαν τε Ῥωμαίων κατὰ Σκλαβηνῶν ἤτοι Γετῶν · Γέται γὰρ τὸ παλαιὸν ἐκαλοῦντο. Καὶ περὶ τῶν ἐν Ἀσίμῳ [97] τῇ Θρᾳκῴᾳ πόλει Πέτρῳ τε καὶ τοῖς πολίταις συμβεβηκότων. Καὶ ὡς Πιράγαστος ὁ τῆς τῶν Σκλαβηνῶν δυνάμεως φύλαρχος ἀνῄρηται · [93 R.] καὶ ἀνδραγαθία Ῥωμαίων. Περὶ τῆς ἀνυδρίας τῆς παρακολουθησάσης ταῖς Ῥωμαίων δυνάμεσι. Καὶ ὅπως τοῦ Πέτρου καταπολεμηθέντος ὑπὸ Σκλαβηνῶν [98] Πρίσκος αὖθις γίνεται στρατηγός. Θάνατος Ἰωάννου τοῦ Νηστευτοῦ Κωνσταντινουπόλεως, καὶ περὶ τῶν ἐκδανεισθέντων [99] αὐτῷ χρημάτων ὑπὸ Μαυρικίου, καὶ περὶ τοῦ ἐν τῇ ὁμολογίᾳ χειρογραφήματος, καὶ ὅπως διὰ τιμῆς ἦγεν ὁ φιλευσεβὴς ὡς ἀληθῶς αὐτοκράτωρ τὰ εὑρεθέντα τῷ ἀρχιερεῖ μετὰ θάνατον ῥάκια. Περὶ τῶν Μαρουσίων τῶν συστραφέντων κατὰ Καρχηδόνος τῆς πόλεως, καὶ ὅπως τῇ τοῦ Γενναδίου τόλμῃ ὁ πόλεμος ἔσβεστο [1]. Καὶ περὶ τοῦ κομήτου τοῦ φανέντος ἐπὶ ἡμέρας πολλάς. Περὶ τοῦ ἐμφυλίου πολέμου [2] τοῦ γενομένου τοῖς Τούρκοις, καὶ ἐν ἐκθέσει τὰ περὶ τῆς τῶν Τούρκων πολιτείας. Καὶ ὡς τὸν ἐθνάρχην τῶν

Libro septimo agitur de turbatis Romanorum ordinibus, eorumdemque rebus fortiter gestis contra Sclavos, sive Getas : hoc enim nomine antiquitus appellati sunt. De iis quæ in ignobili quodam Thraciæ oppido Petro et incolis acciderunt : utque Sclavorum præfectus Piragastus sit interfectus. De militum Romanorum virtute, licet aquarum ingenti penuria premerentur. Petro a Sclavis pugna superato, Priscus iterum belli imperator delectus est. Obitus Joannis cognomento Jejunatoris (24), patriarchæ Constantinopolitani ; deque mutuo a Mauricio imperatore accepta pecunia, datoque æris accepti confessique chirographo ; quantoque in pretio vere pius augustus ille relictas a præsule post mortem pannosas vestes (25) habuerit. De Maurusiorum adversus Charthaginem expeditione, utque Genuadii fortitudine bellum illud exstinctum sit. De cometa, qui dies complures visus est. De intestino apud Turcos, et civili bello : accessit de eorumdem republica narratio, ut Turcorum Chaganus (26), Ephthalitarum principe interfecto, totam eam gentem subegerit : ut Agarenorum adhæc

VARIÆ LECTIONES.

[85] τῶν δορυφόρων A : δορυφόρου ς. [86] Γήπεδος A. [87] ἐπολιόρκησε ς. [88] Τζουρουλῷ ς. [89] πρέσβεις A. [90] Τατίμερον ς. [91] ἄστεος ς. [92] ὡς] καὶ pr. A. [93] ἦν om. pr. A. [94] τῷ δοῦναι — ἀντιχειροτονεῖται add. A. [95] Σκαυηνῶν A sic et infra. [96] σταλ.] τοῦ σταλ. A. [97] ἀσήμῳ στ. [98] ὑπὸ Σκαυήνων A, ὑπὸ τῶν Σκλαβήνων ς. [99] ἐνδανεισθέντων ς. [1] ἔσβετο ς. [2] πολέμου om. A.

NOTÆ.

(21) Niceph. hæc eadem lib. XVIII, cap. 28.
(22) Ibid. cap. 35.
(23) Ibid. cap. 25.
(24) Quarti hujus nominis, de quo legendus Baron. card. tom. VII et VIII.
(25) Niceph. lib. XIX, cap. 34, lectulum addit ligneum. Hic non recte a quibusdam cum Joanne Eleemosynario Alexandrino confunditur. Minus etiam recte pro sancto habitus a suis, teste D. Baron. t. VIII Annal. ad. an. Ch. 395, ex B. Gregorii Magni auctoritate.
(26) Niceph. lib. XVIII, cap. 30.

et Cholchorum gentem trecentarum millium strage ceciderit, utque insurgentem adversus se Turum interfecerit, quo nomine victoriæ nuntiam epistolam Mauricio imp. scripserit. Idem Abaros quoque sub jugum victos misit. Refert et de gentibus, quæ Taugas incolunt, et de Nucri, in quas devicti Abari dispersi sunt (27). Item de Var, et Chuni, quorum pars magna jam inde a Justiniani temporibus, in Europa sedes habent, Abarosque sese nominarunt. Turcorum regionem terræ motui, ac pesti minime obnoxiam. De monte qui Aureus sit dictus, ac de ipsa urbe, Taugas. De bombycibus (28), qui ex se vestes gignunt sericas, et quod serici (29) ingens gignatur ad Chubdam urbem, **31** *b* quam appellant, copia, quæque in illis vermibus glomerandis fieri solita. De Indis, qui candido sunt corpore. Disceptatio Chagani cum Prisco, de Singidonensibus in servitutem abducendis, Priscique contraria sententia, utque eam urbem Priscus servarit. Quæ per Dalmatiam Barbari gesserint quasque urbes everterint. Quomodo Gundoes a Prisco adversus Barbaros in Dalmatiam missus, res fortiter gesserit.

Undevicesimo imperii Mauricii anno Monachus quidam mortem illi, liberisque ejus (30) prædixit. Stricto enim gladio, a foro ad palatii vestibulum procurrens, Mauricium una cum liberis ferro occisum iri denuntiat. Quin et Herodianus quidam imperatori eventura prænuntiavit (31) : famem scilicet illam, quæ post in castris orta. Ut incredibili Chaganus humanitate esurienti exercitui quinque dierum inducias concesserit, quibus absque metu Barbarorum commeatus annonaque ferretur Romanis, utque vicissim a Prisco donis honoratus, in proxima Mysiæ loca discesserit. In Mysia Chaganus cum Comentiolo signis collatis conflixit, perfidiaque Comentioli Romanorum exercitus, clade accepta, cæsus a Barbaris est, fuga interim dilapso Comentiolo : quem ad Driziperam urbem (32) deletum cives, ut transfugam repellunt : quare inde ad Muros *longos*, quos vocant, ille se recepit. Barbari porro pone insequentes Dri ziperam capiunt, et Alexandri martyris templo incenso, corpus capsa extrahentes contumeliis afficiunt (33). Verum divina mox ultio martyris est violatores consecuta. Septem enim Chagani filii una die, inguinum morbo correpti, perierunt. Comentiolus in his turbis Constantinopoli hæret. Barbaris interim ad *Muros longos* propius accedentibus. Unde tantus

Ἐφθαλιτῶν [3] ὁ Χαγανος τῶν Τούρκων ἀνελών καὶ δουλώσας τὸ ἔθνος [4], ἔτι δὲ καὶ τοὺς Ὄγωρ [5] τὸ ἔθνος, καὶ δὴ καὶ τοὺς Κόλχους ἄχρι τριάκοντα μυριάδων διέφθειρεν. Ἀλλὰ καὶ τὸν ἐπαναστάντα [46 H.] αὐτῷ Τουρούμ ἀνελὼν ἐπινίκιον ἐπιστολὴν Μαυρικίῳ τῷ αὐτοκράτορι ἔστειλεν · ἐδουλώσατο δὲ καὶ Ἀβάρους. Διέξεισι δὲ καὶ περὶ τῶν κατὰ τὴν Ταυγὰς [6] ἐθνῶν καὶ περὶ τοῦ Μουκρὶ [7], ἐν οἷς οἱ Ἄβαροι ἡττηθέντες διεσπάρησαν. Καὶ περὶ τοῦ Οὐὰρ καὶ Χουνὶ [8] τῶν ἐθνῶν, ἐξ ὧν ἐπὶ Ἰουστινιανοῦ ἀπόμοιρα τῶνδε τῶν ἐθνῶν ἐνδημεῖ τῇ Εὐρώπῃ, οἳ καὶ Ἀβάρους ἑαυτοὺς ἐπεφήμισαν. Καὶ ὡς ἡ Τούρκων χώρα σεισμοῦ καὶ λοιμοῦ ἀπείρατος [9]. Περί τε τοῦ χρυσοῦ λεγομένου ὄρους, καὶ περὶ τῆς Ταυγὰς, περί τε τῶν σκωλήκων τῶν τικτόντων τὴν ἐσθῆτα τὴν σηρικήν, καὶ ὡς πολλή ἐστι περὶ τὴν λεγομένην Χουβδὰν ἡ τῆς μετάξεως [10] γένεσις, καὶ τὰ περὶ αὐτὴν νόμιμα. Καὶ περὶ [11] τῶν Ἰνδῶν τῶν λευκῶν τὸ σῶμα. Διάλεξις πρὸς τὸν Πρίσκον Χαγάνου περὶ ἀνδραποδισμοῦ τῆς [12] Σιγγιδόνος, καὶ ἀντιλογία Πρίσκου πρὸς αὐτὸν, καὶ ὅπως ὁ Πρίσκος Σιγγιδόνα σῴζει τὴν πόλιν. Ὅσα τε κατὰ Δαλματίαν οἱ βάρβαροι διεπράξαντο καὶ πόλεις ἐπόρθησαν, ὅπως τε ὁ Γουνδουὶς [13] παρὰ Πρίσκου σταλεὶς κατὰ τῶν ἐν Δαλματίᾳ βαρβάρων ἠρίστευσεν.

Ὅτι τῷ ἐννεακαιδεκάτῳ ἔτει τῆς βασιλείας Μαυρικίου προαγορεύει μοναχός τις τὸν αὐτοῦ θάνατον καὶ τῶν τέκνων · ξίφος γὰρ γυμνώσας, ἀπὸ τοῦ φόρου μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων διαδραμὼν αὐτόν τε Μαυρίκιον καὶ τὰ τέκνα ξίφει τεθνάναι προηγόρευσεν. Ἀλλὰ καὶ Ἡρωδιανός τις ὀνόματι [14] τῷ βασιλεῖ διεῖπε τὰ συμβησόμενα. Περὶ τοῦ συμβάντος λιμοῦ [15] τοῖς στρατεύμασι, καὶ ὡς ὁ Χαγάνος παραδόξῳ φιλανθρωπίᾳ πενθημέρους σπονδὰς τοῖς λιμώττουσιν ἔθετο, ὡς ἂν ὁ ἐπισιτισμὸς ἀπὸ τῶν βαρβάρων τοῖς Ῥωμαίοις ἀδεὴς ἔσοιτο · καὶ ὡς ἀρώμασιν [16] ὑπὸ Πρίσκου φιλοτιμηθεὶς ἐπὶ τὰ κατὰ Μυσίαν ἐχώρησεν. Ὡς συνῆψεν ὁ Χαγάνος περὶ τὴν Μυσίαν πρὸς Κομεντίολον μάχην, ἐπιβουλῇ δὲ Κομεντιόλου διαφθείρεται ὑπὸ τῶν βαρβάρων τὸ Ῥωμαϊκόν. Καὶ φεύγει Κομεντίολος, καὶ πρὸς Δριζίπερα [17] τὴν πόλιν παραγίνεται, καὶ ἀποπέμπεται τῆς πόλεως ὡς φυγάς, καὶ πρὸς τὰ μακρὰ παραγίνεται τείχη. Οἱ δὲ βάρβαροι κατόπιν ἰόντες πρῶτον τὰ Δριζίπερα αἱροῦσι, καὶ τὸν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐμπρήσαντες νεών, καὶ τὸ σῶμα τῆς θήκης ἐκσύραντες ὕβρισαν. Θεία δὲ δίκη μετῆλθε τοὺς ὑβριστὰς τοῦ μάρτυρος · [96 R.] ἑπτὰ γὰρ παῖδες τοῦ Χαγάνου ἐν ἡμέρᾳ μιᾷ βουβῶσι περιληφθέντες ἐτελεύτησαν. Κομεντίολος δὲ μετὰ τῶν θορύβων ἐνδημεῖ τῇ Κωνσταντινουπόλει, οἱ δὲ βάρ-

B

C

D

VARIÆ LECTIONES.

[3] τῶν Ἐφθαλιτῶν τῶν ἀδδελῶν ἤτοι τῶν Ἐφταλιτῶν A. [4] καὶ δουλώσας τὸ ἔθνος A : τὸ ἔθνος ἐδουλώσατο ς. [5] Ὄγωρ A : Ἀγὰρ ς, Labbeus Ἀβασγῶν vel Ἀβάρων. [6] Ταύγας. [7] Νουκρὶ στ. [8] Χουνὶ τῶν] χουνιτῶν A. [9] ἀπείραστος ς. [10] μετάξης ς. [11] καὶ τὰ περὶ A. [12] τῆς A : τοῦ ς. [13] Γουνδούης ς. [14] ὀνόματι add A. [15] λιμοῦ corr. A : λοιμοῦς ς. [16] δωρήμασιν Scaliger. [17] Δριξίπερα ς. sic et infra.

NOTÆ.

(27) Nicephor. lib. XVIII, cap. 30.

(28) De his etiam supra in Theophane Byzantio, et Procop. lib. IV, et Nicephor. l. XVIII, cap. 30.

(29) Τῆς μετάξης. Μέταξαν sericum esse crudum nondum lotum, neque tinctum, sed αὐτοφυὲς : ex qua vestimenta serica conficiantur docent lexicographi. Vide Suidam voce Σῆρες et Συρική.

(30) Niceph. lib. XVIII, cap. 15.

(31) Ibid.

(32) Vide quæ notavimus supra ad 6 hujus auctoris.

(33) Niceph. lib. XVIII, cap. 28.

βαροι τοῖς μαχροις πλησιαζουσι τείχεσι. Καὶ οἱ τοῦ Βυζαντίου ἐπὶ τοσοῦτον ἔδεισαν, ὡς καὶ καταλιπεῖν Εὐρώπην καὶ πρὸς τὴν Ἀσίαν περαιωθῆναι διεμελέτησαν. Πρεσβεύεται δ' οὖν ὅμως ὁ βασιλεὺς πρὸς τὸν Χάγανον δι' Ἀρμάτωνος, καὶ δώροις λαμπροῖς καὶ προσθήκαις χρυσοῦ χιλιάδων εἴκοσι πείθει μόλις τὴν εἰρήνην δέξασθαι, λέγοντα· Κρίναι ὁ Θεὸς ἀνὰ μέσον Χαγάνου καὶ Μαυρικίου καὶ ἀνὰ μέσον Ῥωμαίων καὶ Ἀβάρων [18]. Περὶ τῶν φανέντων ἀνθρωπομόρφων τεράτων ἐν τοῖς Νειλῴοις ὕδασι, καὶ περὶ τῆς τοῦ Νείλου ἀναβάσεως δόξαι διάφοροι. Ὁ δὲ συγγραφεὺς Ἀγαθαρχίδου [19] τοῦ Κνιδίου [47 H.] τῇ δόξῃ προστίθεται· φησὶ δὲ οὗτος ἀν' [20] ἔτος ἕκαστον ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν μεγάλους καὶ συνεχεῖς γίνεσθαι ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς ἰσημερίας τῆς ἐν τῷ μετοπώρῳ γινομένης καθ' ἕκαστα· εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν ἑαυτοῦ πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκεῖθεν ἐκχεομένους εἰς αὐτὸν ὄμβρους λαμβάνειν τὴν αὔξησιν. Ταῦτα μὲν [21] καὶ ὁ ἕβδομος.

Ὁ δὲ ὄγδοος λόγος διαλαμβάνει ὅπως ὁ Χοσρόης διὰ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν τῶν ὑπὸ Ῥωμαίοις ταττομένων λῦσαι τὰς σπονδὰς ἐνεχείρησε, Γεωργίου δὲ πρὸς αὐτὸν σταλέντος αἱ σπονδαὶ μεμενήκασι· καὶ Γεώργιος ἀτιμάζεται ὡς εἰπόντος Χοσρόου διὰ Γεώργιον ἀλύτους [22] τηρεῖν τὰς σπονδάς, ἀλλ' οὐ διὰ τὸν βασιλέα Μαυρίκιον. Ὅπως τε Κομεντίολος προδοσίας κρίνεται, καὶ διαλλαγαὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων πρὸς αὐτὸν, καὶ ὅπως αὖθις ὑπὸ τοῦ αὐτοκράτορος στρατηγὸς στέλλεται. Μάχη Ῥωμαίων καὶ Ἀβάρων, στρατηγοῦντος Πρίσκου καὶ [23] Κομεντιόλου, καὶ Κομεντιόλου μὲν ἀπομάχου διά τινας προσποιήσεις ὄντος, Πρίσκου δὲ τῷ στρατοπέδῳ παρόντος Ἀριστεία Ῥωμαίων καὶ ἀναίρεσις τῶν Ἀβάρων μέχρι τεσσάρων χιλιάδων. Δευτέρα μάχη, καὶ ἀναίρεσις τῶν αὐτῶν ἄχρι χιλιάδων ἐννέα. Τρίτη μάχη, καὶ ἔτι τῶν αὐτῶν ὄλεθρος μέχρι πεντεκαίδεκα χιλιάδων. Τετάρτη μάχη, καὶ νίκη πάλιν Ῥωμαίων λαμπρὰ, καὶ ἀναίρεσις Ἀβάρων [24] ἅμα Γηπαίδων [25] χιλιάδων τριάκοντα. Πέμπτη μάχη, καὶ νίκη Ῥωμαίων, καὶ ἀναίρεσις Ἀβάρων, καὶ ἅλωσις τῶν μὲν ζωγρηθέντων Ἀβάρων τρισχιλίων, ἄλλων δὲ βαρβάρων τετρακισχιλίων, καὶ ἑτέρων δισχιλίων καὶ διὰ κοσίων, καὶ Σαβήνων [26] χιλιάδων ὀκτώ· ἐξ ὧν ὁ Χαγάνος ἀπατήσας τὸν αὐτοκράτορα τοὺς ζωγρηθέντας Ἀβάρους ἀνέλαβε. Περὶ τῆς Κομεντιόλου μελαγχολίας, καὶ ὅπως τῇ τούτου ἀβουλίᾳ πλῆθος Ῥωμαίων, πρὸς Φιλιππούπολιν ἀπαίροντος [27], τῷ κρύει διώλοντο. Ὡς Πέτρος αὖθις στρατηγὸς τῆς Εὐρώπης ὑπὸ τοῦ

A Constantinopolitanos terror invasit, ut de Europa deserenda, et in Asiam transmittendo deliberarent. Legationem itaque extemplo imperator per Harmatonam ad Chaganum mittendam censuit, splendidisque muneribus, et viginti millium auri pondo accessione, pacem ægre redemit : dicente illo : « Judicet Deus Chaganum inter et Mauritium, romanos item inter **32***a* ac Barbaros.» De monstris (33*) humana forma in Nilo flumine visis, deque Nili incremento atque eluvione variæ discrepantesque sententiæ. Hic vero scriptor Agatharcidæ Gnidio assentitur (34). Quotannis enim ille ait in Æthiopiæ locis magnos continentesque cœli imbres decidere ab æstivo solstitio, ad usque autumni æquinoctium. Non sine causa itaque angustius hieme Nilum fluere, quod suas

B duntaxat e fontibus suapte natura natas vehat undas ; at æstate, decurrentibus in Nilum ex Æthiopia imbribus, crescere nimium quantum, atque augeri. Et hæc quidem libro septimo.

Octavus hæc fere complectitur : Chosroen ob illorum Saracenorum (35), qui Romanis parebant, incursiones, rumpere inducias conatum, Georgii tamen legatione persuasum, fœdus sartum tectum servasse; Georgium (36) vero Cæsaris indignationem incurrisse, quod Chosroes dixisset se, Georgii potissimum gratia, non imperatoris Mauricii causa, ratam pacem fecisse, ut Comentiolus proditionis reus actus, mox Romanorum sibi militum animos, conciliarit;

C atque eam ob rem dux iterum exercitus ab imperatore creatus sit. Romanorum pugna commemoratur et Abarorum, Prisco et Comentiolo ducibus : Comentiolo tamen nescio quid causante, et a pugna abstinente, Prisco vero copias ducente. Militum Romanorum fortitudo, et Abarorum cædes quatuor millium. Prælium item alterum, eorumdemque Abarorum milium novem strages. Tertia pugna cum quindecim millium clade Abarorum. Quartum rursus prælium illustrem Romanis victoriam concessit, cæsis ad internecionem Abarorum et Gepædum (37) triginta millibus. Quinta in pugna penes Romanos victoria quoque stetit : cæsi captique Abari, ac vivi quidem in potestatem venere ad tria millia, cæterorum Barbarorum quatuor; aliorum ad hæc duo millia et du-

D centi, et Sclavorum octo millia. Postea tamen Chaganus, decepto Mauricio imperatore, vivos Abaros recepit. De Comentioli præfecto mœrore (38) ; utque ejus temeritate Romanorum copiæ, quas ad Philippopolim proficisci jubebat, frigore sint exstinctæ. Quo-

VARIÆ LECTIONES.

[18] Ἀβάρων A : βαρβάρων ς. [19] Ἀγαθαρχίδου Schottus : libri ἀναρχίδου. [20] ἀνὰ ς. post Αἰθιοπίαν addiderim ὄρεσιν collato Diodoro Sic. 1, 41. [21] μὲν οὖν καὶ ς. [22] ἀλύτους A : αὐτοὺς ς. [23] alterum καὶ Κομεντιόλου add. A. [24] Ἀβάρων A : βαρβάρων ς. [25] γηπέδων A. [26] Σκλαβήνων mg. [27] ἀπαίροντες apographum Stephani.

NOTÆ.

(33*) Niceph. lib. XVIII, c. 26. De Nilo vide Herodotum et Melam.

(34) Al. Anarchidæ.

(35) Duplicis generis Saracenos alios Persis, Romanis alios junctos didicisti ex Procop. supra.

(36) Niceph. lib. XVIII, cap. 37.

(37) Vide sup. ad 6 hujus auctoris.

(38) Niceph. lib. XVIII, cap. 37.

modo Petrus iterum belli dux totius Europæ, ab imperatore creatus sit. **32***b* De nuptiis Theodosii filii Mauricii (39), et filiæ Germani. Urbem regiam fame ea tempestate laborasse; precesque in Ecclesia fundente Mauricio, plebem esse tumultuatam (40). De ejus mansuetudine ac lenitate, militumque ablegatione; utque eodem sint die revocati. Petrum ab Augusto missum, ut omni ope atque opere Thracicas copias ad oppositam Istri ripam distineret (41); deque divinitus Petrum appellante voce. Tumultuantem rursum in castris Romanorum, et contra Mauricium factio instituta, electo ab incondita multitudine Phoca (42). Petrus fuga interim salutem quærit, et seditionis ad imperatorem rumor defertur. Plebs autem a Sergio atque Cosma tribunis plebis primum incitata, novis studere rebus incipit; repertique Prasinorum M. D. Venetorum vero trecenti duntaxat. Hinc plebeiis donativa Mauricius præbuit. Sequitur ad tumultuantes milites ejusdem legatio, et legationis repulsa; utque regiam urbem præsidio munierit. Exercitus ad Theodosium Mauricii F. legatio, ipsum, aut socerum illius germanum dari sibi imperatorem postulans. Ejus rei nuntius ad Mauricii aures accidit, indeque suspectio in Germanum, ut tyrannidis auctorem. Minæ, minarumque Augusti in Germanum per Theodosium generum delatio: et Germani in Deiparæ templum, ut in asylum fuga (43). Hinc Cyros, et Stephanus eunuchus (qui Cæsaris liberis morum præfectus fuerat) ad Germanum missi, ut templo digrederetur; sed irrita legatio fuit. Fustibus cæsus Theodosius o parente Mauricio, quod socero suas minas indicasset. Germani e templo B. Virginis ad Sanctæ Sophiæ transitus, et iterata, ut inde digrediatur, hortatio; sed qua nihil persuadetur, Andrea quodam egressum dissuadente, dum precandi gratia templum frequentat (44). Turbæ iterum, incendiumque Urbanæ domus Constantini, patricii, quem Lardyn vulgo cognominabant (45). Mauricii æstuatio ac fuga utque exorta maris tempestas fugam ipsi interciderit (46). Theodosii filii ad Chosroen missio, reductioque Nicæa ex indicio annuli **33***a*, quem filio parens Mauricius signi tesseræque loco tradiderat. Urbanorum ad tyrannum, in quibus et Hebdomites erat, concursus. Imperium Germanus affectans voto excidit, Prasinis se eum creaturos imperatorem negantibus, quod, ut ipsi affirmabant, factionibus esset Venetorum (47). Ergo Phocas deinde in templo B. Joannis, quod est in Septimo, impera-

αὐτοκράτορος προχειρίζεται. Περί τε τοῦ γάμου [τοῦ παιδὸς] Θεοδοσίου τοῦ παιδὸς Μαυρικίου ἐπὶ τῇ θυγατρὶ Γερμανοῦ. Καὶ περὶ τῆς σιτοδείας τῆς γενομένης τῇ βασιλίδι τῶν πόλεων, καὶ τῆς συμβάσης ἀταξίας τῶν δήμων λιτανεύοντος τοῦ βασιλέως, καὶ περὶ τῆς μακροθυμίας αὐτοῦ, καὶ ἐξορίας τῶν στρατιωτῶν καὶ μονοημέρου ἐπανόδου. Ὅπως Μαυρίκιος ἐπέστελλε [38] Πέτρον παντὶ τρόπῳ τὰς Θρακῴας [97 H.] δυνάμεις εἰς τὸ ἀντιπέρας τοῦ Ἴστρου διατρίβειν, ὅπως τε θεία προσέπεσεν ὀμφὴ τῷ Πέτρῳ. Καὶ ὅπως στάσις ταῖς Ῥωμαϊκαῖς εἰσήρρησε [39] δυνάμεσι, καὶ τυραννὶς συνέστη κατὰ τοῦ αὐτοκράτορος, Φωκᾶ τοῦ τυράννου ὑπὸ τοῦ πλήθους ἀναρρηθέντος· Ὅπως τε [30] φεύγει Πέτρος, καὶ ὅπως ἡ στάσις διαγγέλλεται τῷ βασιλεῖ. Καὶ ὅπως τὰ πρῶτα διὰ τῶν δημάρχων Σεργίου καὶ Κοσμᾶ πολυπραγμονεῖ τὸ πλῆθος τῶν δήμων, καὶ εὑρίσκεται Πρασίνων μὲν αφ', Βενέτων δὲ ἐννακοσίων [31], καὶ ὅπως τοῖς δημοτικοῖς [32] φιλοτιμίας παρέσχετο. Πρεσβεία τε τοῦ αὐτοκράτορος πρὸς τὰς στασιαζούσας δυνάμεις, καὶ [48 H.] ἀποστροφὴ τῆς πρεσβείας· ὅπως τε περιφρουρεῖ τὴν βασελίδα τῶν πόλεων. Πρεσβεία τε τῶν στρατεσμάτων πρὸς Θεοδόσιον τὸν Μαυρικίου υἱόν, ἀξιοῦσα ἢ αὐτὸν ἢ τὸν πενθερὸν Γερμανὸν βασιλέα σφῶν ἀναρρηθῆναι. Γνῶσίς τε τούτων εἰς Μαυρίκιον ἀφιγμένη, καὶ ὑπόνοια εἰς Γερμανὸν ὡς αἴτιον τῆς τυραννίδος, καὶ ἀπειλή, καὶ μήνυσις τῆς βασιλικῆς ἀπειλῆς διὰ τοῦ γαμβροῦ Θεοδοσίου, καὶ καταφυγὴ Γερμανοῦ πρὸς τὸν νεὼν τῆς Θεομήτορος. Τῶν Κύρου καὶ Στεφάνου τοῦ εὐνούχου [33], ὃς ἐπίτροπος ἐτέταχτο τοῖς βασιλέως παισί, πρὸς Γερμανὸν ἀποστολὴ εἰς τὸ ἐξελθεῖν αὐτὸν τοῦ ναοῦ καὶ ἀπραξία· καὶ ἡ διὰ ῥάβδων μαστίγωσις Θεοδοσίου τοῦ παιδὸς ὑπὸ τοῦ πατρὸς ἕνεκα τῆς πρὸς τὸν πενθερὸν καταμηνύσεως. Καὶ μεταφοίτησις Γερμανοῦ ἀπὸ τοῦ νεὼ τῆς Θεομήτορος ἐπὶ τὴν ἁγίαν Σοφίαν, καὶ πάλιν πρόσκλησις ἐπὶ τὸ ἐξελθεῖν, καὶ ἀπείθεια, Ἀνδρέα [34] τινὸς συνεχῶς φοιτῶντος ταῖς λιτανείαις τὴν ἔξοδον κεκωλυκότος. Θόρυβοί τε καὶ ἐμπρησμὸς τῆς κατὰ τὴν πόλιν οἰκίας Κωνσταντίνου τοῦ πατρικίου, ὃν Λαρδὺν [35] ἐπεκάλει τὰ πλήθη· καὶ ἀπορία Μαυρικίου καὶ ἀποδρασις. Ὅπως κλύδωνος γεγονότος ἐγκοπὴν πρὸς τὴν ἀπόδρασιν λαμβάνει. Καὶ ἀποστολὴ Θεοδοσίου τοῦ παιδὸς πρὸς Χοσρόην, καὶ ὑποστροφὴ πάλιν ἀπὸ Νικαίας τῇ ἐπιδείξει τοῦ δακτυλίου, ὃ ἦν εἰς σύνθημα τῷ παιδὶ παρὰ τοῦ πατρὸς ποιηθέν. Ὅπως τε πρὸς τὸν τύραννον οἱ τοῦ ἄστεως [36], ἐν οἷς ἦν [37] καὶ ὁ Ἑδομίτης [38], προσεχώρησαν. Ὅπως τε Γερμανὸς κατασκευάζων ἑαυτῷ τὴν βασιλείαν ἀποτυγχάνει, τῶν Πρασίνων ἀπειπόντων

VARIÆ LECTIONES.

[28] ἔστελλε ς. [29] εἰσείρησε ς. [30] τε add. A. [31] ἐννακοσίων] τ' ς. [32] τοῖς δημοτικοῖς A : τῆς δημιουργικῆς ς. [33] εὐνούχου A : ἡμιάρρενος ς. [34] Ἀνδρέου ς. [35] Λάρδυν ς. vide Anced. nostra p. 1195. [36] ἄστεος ς. [37] ἦν add. A. [38] Ἑδομίτης A : Ἑβδομήτης ς.

NOTÆ.

(39) Niceph. lib. XVIII, cap. 37.
(40) Ibid. cap. 38.
(41) Niceph. Christum ipsum in somnis apparuisse, Mauriciumque appellasse narrat.
(42) Niceph. lib. XVIII, cap. 39.
(43) Niceph. ibid.
(44) Ibid.
(45) Ibid. cap. 40.
(46) Podagra quoque dolores Nicephor. adjungit.
(47) Niceph. ibid.

τὴν ἀνάῤῥησιν διὰ τὸ τῆς αἱρέσεως αὐτὸν εἶναι, ὡς ἐκεῖνοι ἔφασκον, τῶν Βενέτων. Εἶτα ἀναγόρευσις ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἑβδόμῳ τοῦ Φωκᾶ· Κυριακὸς δὲ τηνικαῦτα τοὺς τῆς βασιλίδος ἀρχιερατικοὺς ἐγκεχείριστο νόμους. Εἴσοδός τε Φωκᾶ πρὸς τὰ βασίλεια, καὶ ἀνάῤῥησις Λεοντίας τῆς γυναικὸς Φωκᾶ. Καὶ περὶ τὴν [39] τόπων στάσιν τῶν δημάρχων ἔρις, καὶ ὠθισμὸς Κοσμᾶ τοῦ δημάρχου τῶν Βενέτων ὑπὸ Ἀλεξάνδρου, καὶ ὕβρις εἰς Ἀλέξανδρον [40]. Καὶ μνήμη Μαυρικίου, ὡς οὐκ ἀπέθανε, καὶ διὰ τοῦτο τοῦ τυράννου πρὸς τὸν φόνον τοῦ βασιλέως μᾶλλον [41] ὁρμή. Ἀναίρεσίς τε τῶν τοῦ βασιλέως παίδων ἐνώπιον τοῦ πατρὸς ἐν τοῖς Εὐτροπίου, καὶ φιλοσοφία καὶ εὐχαριστία τοῦ βασιλέως, καὶ αὐτοῦ ἐκείνου διὰ Λιλίου ἀναίρεσις. Καὶ περὶ τῆς ἐπὶ Ἡρακλείου τοῦ βασιλέως εὑρεθείσης διαθήκης Μαυρικίου τοῦ αὐτοκράτορος [42]. Ὅπως τε τὰ σώματα τῶν βασιλέων τῷ θαλαττίῳ ῥοθίῳ παρεδόθησαν. Ἐπιτάφιός τε εἰς Μαυρίκιον· καὶ ὅπως τὰς ἀντιδόσεις τῶν παρανομηθέντων αὐταῖς εἰς Μαυρίκιον αἱ Ῥωμαϊκαὶ δυνάμεις κρίσει προνοίας θείας ἐλάμβανον, ὡς ἐν ὀλίγῳ χρόνῳ μηδένα τῶν κοινωνησάντων τῆς τυραννίδος ἐκ τοσούτου πλήθους ὑπολειφθῆναι, [100 R.] ἀλλ' οἱ μὲν λοιμῷ, οἱ δὲ πυρὶ οὐρανίῳ, οἱ δὲ καὶ στόματι διεφθάρησαν μαχαίρας, ὥστε ἡνίκα Ἡράκλειος ὁ βασιλεὺς πρὸς Ῥαζάτην τὸν Πέρσην πολεμεῖν ἔγνω, ἔκταξιν τῆς στρατείας ποιησάμενος δύο μόνους εὗρεν ὑπολελειμμένους [49 H.] τῆς φιλοτυράννου πληθύος, καὶ τότε ἤρξατο τὸ Ῥωμαϊκὸν κατὰ Περσῶν ἐνισχύειν· μέχρι γὰρ ἂν ἐκεῖνοι περιῆσαν, ἡ νίκη τοῖς Πέρσαις ἐνηυλίζετο. Ἀναίρεσις ὑπὸ τοῦ τυράννου δι' [43] Ἀλεξάνδρου Θεοδοσίου τοῦ βασιλέως τοῦ αὐτοκράτορος παιδὸς, καὶ Πέτρου καὶ Κομεντιόλου καὶ Κωνσταντίνου τοῦ Λαρδοῦ· πλάνη τε περὶ Θεοδοσίου, ὡς οὐ πεφόνευται· Καὶ ὅπως κατὰ τὴν [44] Ἀλεξάνδρειαν τὰ ἀγάλματα τῆς οἰκείας ἕδρας ἀποφοιτῶντα προηγόρευον [45] τὰ γεγονότα καλλιγράφῳ τινὶ, κατὰ τὸ Τυχαῖον οὕτω καλούμενον, ἀπὸ δείπνου πρὸς τὰ οἴκοι διερχομένῳ [46]. Ὅπως τε ὁ Μαυρίκιος λέγεται τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι [47] τοῖς ὑπηκόοις, καὶ τριάκοντα δοῦναι τάλαντα τοῖς Βυζαντίοις εἰς νεουργίαν τοῦ τῶν ὑδάτων ὀλκοῦ. Καὶ ὅπως ἐφιλοτιμεῖτο λαμπρῶς τοὺς τῶν μαθημάτων ἐραστάς. Καὶ περὶ τῶν γεγονότων παραδόξων τῆς τῶν αἱμάτων ῥύσεως Εὐφημίας τῆς μάρτυρος, καὶ ὡς Μαυρίκιος πειράσας μᾶλλον τὸ θαῦμα δι' ἀπιστίας ἐπίστωσε. Καὶ ὅπως ὁ τύραννος Κωνσταντῖναν [48] τὴν τοῦ βασιλέως Μαυρικίου γυναῖκα ἅμα ταῖς θυγατράσιν ἐν ἰδιωτικῇ οἰκίᾳ ἐνέκλεισε. Πρεσβεία τοῦ τυράννου πρὸς Χοσρόην τὸν Περσῶν βασιλέα,

tor renuntiatur, Cyriaco regiæ urbis patriarcha (48), Phocæ in regiam ingressus, et Leontiæ ejus uxoris, ut augustæ consalutatio. Tribunorum plebis ingens tum de locorum statione contentio atque altercatio. Cosmæ partis Venetæ tribuni plebis ab Alexandro propulsatio, et injecta mentio, nondum obiise Mauricium. Quo factum, ut impetu quodam ad imperatoris cædem tyrannis se proripuerit. Hinc cædes liberorum Augusti in parentis oculis ad Eutropii (49). Animi sapientia Cæsaris, actis Deo gratiis ; utque a Lilio percussus obierit. Legitur et testamentum Mauricii Heraclio imperante inventum. Quomodo regia corpora marinis commissa fluctibus ; et e funebris in Mauricium laudatio, utque divinæ judicio providentiæ (50), Romani milites, eorum, quæ in Mauricium flagitiose patrarunt, pœnas dederint, quod post non diu, cædis, tyrannidisque sociorum nemo, in tanta multitudine, superfuerit : peste enim alii, alii cœlesti igne, ferro cæteri ad unum omnes perierunt : atque adeo Heraclius post paulo rerum potitus, cum Rasate Persa bellum gesturus, delectu habito, vix duos ex illis partium studiosis relictos reperit. Actum demum Romani Persis superiores esse cœperunt, qui, dum illi nefarii superstites essent, a Persis victi semper discesserant. Cædes a tyranno per Alexandrum, intentata Theodosio, Augusti filio ; Petro item et Comentiolo ; atque Constantino, Lardy cognomento (51). Falsus etiam rumor de Theodosio exortus est, quasi is tum non fuisset interfectus. Quomodo Alexandriæ statuæ suis sedibus sponte motæ, quæ Byzantii accidissent nuntiarint calligrapho cuidam per Tychæum transeunti cum a cœna domum reverteretur (52). Ut Mauricius tertiam vectigalium portionem subditis remisisse feratur : triginta quoque Byzantinis donasse talenta, reficiendis aquæductibus **33***b*. Quo honore præmioque disciplinarum studiosos publice affecerit (53). Quæ in fluxu sanguinis Euphemiæ martyris admiranda acciderint : utque Mauricius, rei periculo facto, quod initio non credidisset, miraculum magis confirmarit (54). Uti Phocas tyrannus Constantiam, Mauricii augusti conjugem, cum filiabus, privatæ domui incluserit. Phocæ ad Chosroen Persarum regem missa legatio : sed irrita. Ruptæ enim induciæ sunt, Chosroe prætexente, quod Mauricium juste vindicaret (55). Sic Lilius, qui legatus erat, re infecta domum retro revertit. Cædes Alexandri rerum novarum Phocæ socii, eo nomine suspecti,

VARIÆ LECTIONES.

[39] τὴν] τὴν τῶν ς. [40] καὶ ὕβρισε εἰς Ἀλέξανδρον add. A. [41] μᾶλλον A : πάλιν ς. [42] αὐτοκράτορος ἀναγνώσις. ὅπως ς. [43] διὰ ς. [44] τὴν add. A. [45] προηγόρευε ς. [46] διερχομένου A. [47] συγχωρεῖν ς. [48] Κωνσταντίαν ς.

sed ejusmodi minutias ut nunquam sine codice mutavi, ita non amplius memorabo.

NOTÆ.

(48) Ibid.
(49) Subaudio *Portum*, qui erat Chalcedone ex Zonar. init. Phocæ.
(50) Niceph. l. XVIII, cap. 41.
(51) Ibid. cap. 41.
(52) Ex matutina vigilia, inquit Diac.
(53) Niceph. l. XVIII, cap. 42.
(54) Ibid. cap. 41.
(55) Ibid. cap. 43.

quasi Theodosium, Mauricii filium, quem occidit, servasset. Atque hic universæ finis historiæ (56).

καὶ οὕτως ὁ Λίλιος (οὗτος γὰρ ὁ πρεσβεύων ἦν) ἀνεχώρησεν τῷ Φωκᾷ, δι' ὑπόνοιαν ὅτι Θεοδόσιον τὸν Μαυρικίου παῖδα, ὃν ἀνεῖλε, περιεποιήσατο. Ἐν οἷς καὶ τῆς ὅλης ἱστορίας τὸ πέρας.

LXVI.

S. Nicephori patriar. Constantinopolitani historica Epitome

Lecta *Epitome historica* (57) Nicephori Constantinopolitanæ sedis antistitis. A Mauricii imp. interitu ducit initium, tenditque ad Leonis et Irenes conjugium. Nihil stylus habet supervacaneum aut obscurum : verborum delectu, orationisque compositione neque nimis dissoluta, neque contra nimis astricta, anxie est usus ; sed qualia adhibere possit rhetor quivis, vel perfectus revera orator. Vitat enim nove ficta, neque antiquitate usuque probata præterit. Jucunditas adhæc illi gratiam conciliat in dicendo. Denique, ut verbo expediam, plerosque, qui antecesserunt, historica scriptione transeundo obscurat, nisi quod nimia brevitate non videatur omnes venustatis partes explevisse.

LXVII.

Sergii Confessoris Historia.

Lecta est Sergii (58) Confessoris *Historia*. Incipit a Michaelis imp. rebus gestis, recurritque ad impia et nefaria Copronymi facinora : a quibus porro narrare ex ordine pergit ad octavum usque Michaelis annum, res ab eo partim in republica, partim in Ecclesia gestas. Quin et quæ militiæ gessit, quidque de rebus divinis senserit, accurate recenset.

Dictio ejus imprimis perspicua, et non affectate exornata, cum verborum significatu atque compositione, tum cætera orationis dispositione, ut ex tempore fusus illi sermo quodammodo videatur. Oratio enim nativa venustate florida nullam formæ **34***a* mutationem ex anxia nimis accuratione admisit. Qualis maxime dictio, quod et studio illi fuit, ecclesiasticam historiam decet.

LXVIII.

Cephalæonis Musæ, sive Historicæ Epitomes libri IX.

Lecta et Cephalæonis *historica Epitome* (59) : cu-

καὶ ἀποτυχία, καταλυσίς τε τῶν σπονδῶν προφασιζομένου Χοσρόου τὴν ὁσίαν διεκδικεῖν Μαυρικίου· ἄπρακτος. Ἀναίρεσις Ἀλεξάνδρου τοῦ συννεωτερίσαντος ἐκείνῳ καὶ ἐξηπτημένου τὰ πράγματα. Ἀνεγνώσθη Ἱστορικὸν Σύντομον Νικηφόρου τοῦ ἐν ἁγίοις Κωνσταντινουπόλεως ἀρχιεπισκόπου.

Ξς'.

Νικηφόρου τοῦ ἐν ἁγίοις ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἱστορικὸν σύντομον.

Ἀνεγνώσθη Ἱστορικὸν Σύντομον Νικηφόρου τοῦ ἐν ἁγίοις Κωνσταντινουπόλεως ἀρχιερέως. Ἄρχεται ἀπὸ τῆς ἀναιρέσεως Μαυρικίου, καὶ κάτεισι μέχρι τῆς εἰς γάμον κοινωνίας Λέοντος καὶ Εἰρήνης. Ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ σαφὴς, κἀλλιλεξία τε καὶ συνθήκη λόγου οὔτε λελυμένη οὔτε αὖ πάλιν συμπεπιεσμένη περιέργως κεχρημένος, ἀλλ' οἵᾳ ἂν χρήσαιτο ὁ ῥητορικὸς ὡς ἀληθῶς καὶ τέλειος ἀνήρ· τό τε γὰρ νεωτεροποιὸν ἐκκλίνει, καὶ τὸ ἀρχαιότροπον καὶ ἐξησκημένον οὐ παρατρέχει· Ἔτι δὲ καὶ ἡδονὴ κέκραται αὐτοῦ σὺν χάριτι τοῖς λόγοις. Καὶ ὅλως πολλούς ἐστι τῶν πρὸ αὐτοῦ ἀποκρυπτόμενος τῇδε τῆς ἱστορίας τῇ συγγραφῇ, εἰ μή τῳ τὸ λίαν συντετμημένον οὐχ ὁλόκληρον δόξει διαπραίνειν τὴν χάριν.

ΞΖ'.

Σεργίου τοῦ Ὁμολογητοῦ στηλιτευτικὸν τῶν εἰκονομάχων.

Ἀνεγνώσθη Σεργίου τοῦ Ὁμολογητοῦ. Ἄρχεται ἀπὸ τῶν τοῦ Μιχαὴλ πράξεων, [101 R.] καὶ ἀνατρέχει ἐπὶ τὰ τοῦ Κοπρωνύμου ἀθέμιτα καὶ ἐβδελυγμένα ἔργα, καὶ κάτεισιν ἐκεῖθεν ἐφεξῆς διεξιὼν μέχρι τοῦ ὀγδόου ἔτους αὐτοῦ Μιχαὴλ, τὰς [49] τε κατὰ τὴν πολιτείαν καὶ τὰς κατὰ τὴν Ἐκκλησίαν ἀναγραφόμενος αὐτοῦ πράξεις, οὐ μὴν ἀλλὰ καὶ ἃ κατὰ πόλεμον αὐτῷ ξυνηνέχθη, καὶ οἷος ἐτύγχανε τὴν δοξαν περὶ τοῦ Θείου, πάντα λεπτομερῶς διεξιών.

Ἔστι δὲ τὴν φράσιν, εἴπερ τις, σαφηνείᾳ καὶ τῷ ἀπεριέργῳ κοσμούμενος ἔν τε τῷ εὐσήμῳ τῶν λέξεων καὶ τῇ συνθήκῃ καὶ τῇ ἄλλῃ τοῦ λόγου οἰκονομίᾳ, ὥστε δοκεῖν καὶ αὐτοσχεδίᾳ πως αὐτῷ συγγεγράφθαι· ἐμφύτῳ γὰρ ὁ λογος ἀνθῶν χάριτι τὴν ἐκ περιεργίας οὔ τι προσήκατο μόρφωσιν. Διὸ καὶ πρέπων ὁ λόγος ἐκκλησιαστικῇ μάλιστα ἱστορίᾳ. ὃ καὶ βούλεται.

ΞΗ'.

Κεφαλίωνος Σύντομον Ἱστορικόν.

[50 H.] Ἀνεγνώσθη Κεφαλίωνος [50] Σύντομον Ἱστο-

VARIÆ LECTIONES.

[49] καὶ τὰς A : τάς τε ς. [50] Κεφαλαίωνος ς. cf. p. R. 104, 43 et 341, 34. adde Allatium de patria Homeri c. 1, et Niebuhr. de Eusebio Armen. (in Actis academ. Berolin. a. 1820-21), p. 43.

NOTÆ.

(56) Exstant hi Theophylacti libri VIII *De vita Mauricii imp.* Græce compositi : quot nuperrime Latinos fecit Augustæ Vindel. P. Jacobus Pontanus noster, de re litteraria pridem optime meritus. Circumferuntur et hæc ejusdem Simocattæ, a nobis reperta. *Physica problemata, Legationum excerpta* ex libris illis historiarum : item *Epistolæ mistæ*, ab Aldo majore olim epistolarum Græcarum volumini insertæ. Meminit hujus sophistæ Suidas ac Cedrenus : et hinc Nicephorum Callistum pleraque vitæ Mauricii sublegisse observando ad oram notavi.

(57) Hujus Chronologia Latine excusa, exstat Græce in Augustana bibliotheca.

(58) Ob defensum enim cultum sacrarum imaginum excruciatus, fortunis exutus, atque in exsilii ærumnis mortuus est, ut docet Græcorum *Menologium* ad 13 Maii, idque sub Leonis Isaurici tyrannide.

(59) Al. Cephalionis, ut infr. cod. 70 et 161, et apud. Suid., qui Cephalonem quoque dictum scribit, ac de Cephalone etiam consentit Strabo, lib. XII.

ρικόν. Ἄρχεται ἀπὸ τῆς βασιλείας Νίνου καὶ Σεμιράμεως, καὶ κάτεισι μέχρι τῶν τοῦ βασιλέως Ἀλεξάνδρου χρόνων. Συμπεραίνεται δὲ αὐτοῦ ἡ ἱστορία ἐν λόγοις θ' κατ' ἐπωνυμίαν τῶν θ' Μουσῶν, Κλειοῦς, Θαλείας, Πολυμνίας [51], Μελπομένης, Τερψιχόρης, Εὐτέρπης, Καλλιόπης, Ἐρατοῦς, Οὐρανίης· ἐν ᾗ καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα διέξεισιν.

A jus arcessit initium a Nino, et Semiramide, pergitque ad Alexandri Magni tempora. Libris novem universa comprehensa est historia, inditis totidem Musarum nominibus, Clius, Thaliæ, Polymniæ, Melpomenes, Terpsichoræ, Euterpes, Calliopes, Eratus (60), et Uraniæ, quo in opere et Alexandri regis Macedonum gesta refert.

Ἔστι δὲ τὴν φράσιν Ἰωνίζων, καὶ τοῦ προσήκοντος πλέον τῇ συντομίᾳ ἀποχρώμενος, οὐδ' ἄλλο οὐδὲν ἄξιον θαυμάσαι καὶ ζηλῶσαι ἐνδεικνύμενος πλὴν τῆς κατὰ τὴν ἱστορίαν μαθήσεως. Οὗτος τὸ μὲν γένος αὐτοῦ καὶ πατρίδα, ὡς αὐτὸς ἐκεῖνός φησιν, ὥσπερ Ὅμηρος, ἀποσιωπᾷ, ὅτι δὲ διατριβῶν ἐν Σικελίᾳ φυγῆς ἕνεκα τὴν ἱστορίαν συνέταξεν, ἀποφαίνεται, τὸ μὲν ἀναγκαῖον, πατρίδα εἰπεῖν καὶ γένος, παρεὶς, τὸ δὲ καὶ μικροψυχίαν ἐμφαῖνον ἐν μνήμῃ πεποιηκώς. Καὶ τὸ ἐκ τόσων δὲ καὶ τόσων συνειλέχθαι αὐτῷ τὴν ἱστορίαν σεμνύνεσθαι οὐ πάνυ ψυχῆς τὸ μικρολόγον τε καὶ τὴν παιδαριώδη φιλοτιμίαν ἀποσειομένης [52] ἀπόδειξις. Φησὶ δ' ὅμως τὸν πρῶτον αὐτῷ [53] τῆς ἱστορίας συνειλέχθαι ἐκ λόγων μὲν [54] φο', ὧν πατέρας λ' καὶ α' ἀπομνημονεύει· τὸν δὲ δεύτερον ἐκ βιβλίων σή', συγγραφέων δὲ κε'· καὶ τὸν τρίτον δὲ ἐκ βιβλίων μὲν [55] χ', συγγραφέων δὲ κς'· τὸν μέντοι τέταρτον ἐκ βιβλίων μὲν ων', συγγραφέων δὲ λβ' [56]· καὶ τὸν πέμπτον δὲ [57] ἐκ βιβλίων μὲν [57*]· σ', συγγραφέων δὲ κς' [58]· τὸν δὲ ἕκτον ἐκ βιβλίων μὲν.., συγγραφέων δὲ.., τὸν δὲ ἕβδομον ἐκ βιβλίων μὲν.., συγγραφέων δὲ.., τὸν δὲ ὄγδοον ἐκ βιβλίων μὲν... συγγραφέων δὲ.., καὶ τὸν ἔνατον δὲ [59] ἐκ βιβλίων μὲν.., συγγραφέων δὲ τριάκοντα· ἐν οἷς καὶ ἡ Κεφαλίωνος ἱστορία.

Ionica dialecto est usus; tanta quoque citra decorum brevitate adhibita, ut præter nudam gestarum rerum narrationem, nihil mirandum, aut imitandum afferat. Genus et patriam, ut et ipse non inficiatur, Homeri exemplo, premit silentio. In Sicilia tamen exsilii causa degentem, historiam scripsisse apparet. Quod ergo necessarium erat, patriam et B genus profiteri id omisit (61), quod autem abjecti est animi indicium, [exsilium] memoriæ prodidit. Animi quoque nondum prorsus inanem puerilemque gloriam repudiantis, magnum satis argumentum est, e quot quantisque scriptoribus historia collecta sit, jactare. Ait enim compositum librum primum e libris quingentis et septuaginta, quorum auctores unum et tringinta commemorat. Librum vero secundum e libris ducentis et octo, scriptorum XXV. Tertium e libris DC, scriptoribus vero sex et viginti. Quartum e XXXVI scriptorum libris octingentis et quinquaginta. Quintum, e ducentis libris, quorum scriptores sex et viginti. Sic de reliquis (62). Nonum e libris .... collectum affirmat, scriptoribus vero triginta. Atque hæc fere Cephalæonis historia.

ΞΘ'.

Ἡσυχίου Ἰλλουστρίου καθολικὴ Ἱστορία.

C LXIX.

Hesychii illustris Milesii historiæ omnigenæ, atque Romanæ libri VI *et res a Justino seniore imp. gestæ.*

Ἀνεγνώσθη μοι [60] βιβλίον ἱστορικὸν ὡς ἐν συνόψει κοσμικῆς ἱστορίας· ὁ δὲ συγγραφεὺς Ἡσύχιος ὁ Ἰλλούστριος [61], Μιλήσιος μὲν ἐκ πατρίδος, παῖς δὲ Ἡσυχίου καὶ Φιλοσοφίας [62], ἐφ' ᾧ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου μετὰ τοῦ [63] ἱστορίας Ῥωμαϊκῆς τε καὶ παντοδαπῆς τυγχάνει. Ἄρχεται μὲν οὖν ἀπὸ τῆς τοῦ Βήλου τοῦ Ἀσσυρίων βασιλέως βασιλείας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς Ἀναστασίου, ὃς Ῥωμαίων γέγονεν αὐτοκράτωρ [104 R.]. Ἔστι δὲ σύντομος καὶ καλλιεπής· λέξει τε γὰρ [64] ἀνθηρᾷ καὶ εὐσήμῳ κέχρηται, καὶ ἡ συνθήκη τοῦ λόγου κατὰ λόγον αὐτῷ ἡρμοσμένη· κυριολογίᾳ μὲν μάλιστα χαίρων· εἰ δέ που καὶ τρέψοιτο [65], τῷ τε εὐσήμῳ καὶ ἐμφατικωτάτῳ τῆς λέξεως ἥδυνε μὲν τῇ τροπῇ τὸν

Lectus et *historicus liber* (auctore Hesychio (63) illustri, patria Milesio, Hesychii et Sophiæ filio, qui veluti comprehensio quædam est totius de mundo historiæ, ut inde quoque titulus *Romanæ* simul, et *omnigenæ historiæ* inscriptionem præferat. Incipit a Belo **34***b* Assyriorum rege, et in Anastasii Romanorum imperatoris excessum desinit. Concisus est atque disertus. Nam et dictione usus florida ac significante, et ipsa orationis structura pari est ratione ab illo elaborata, dum verborum maxime gaudet proprietate. Sicubi vero dictionem significantem, etiam cum maxima emphasi, sectatur ita D sua translatione auditorem oblectat, ut nihilo obscurius, quin forte clarius, rem ob oculos ponat

VARIÆ LECTIONES.

[51] Πολυμνείας ς. [52] ἀποσειμένης A. [53] οὑτῷ add. A. [54] μὲν ἐκ λόγων ς. [55] μὲν add. A. [56] λς ς. [57] δὲ add. A. [57*] μὲν om. A. [58] κς] κα' vel κδ' (incertum enim) A. lacunæ eædem in AC. [59] δὲ ante ἐκ add. A. [60] μοι add. A. [61] ἰλούστριος A. [62] Σοφίας ς. [63] τοῦ add. A. [64] γὰρ om. pr. A. [65] τέρψοιτο ς.

NOTÆ.

(60) Qui liber inf. advocatur cod. 161.

(61) Strabo lib. XIII, in Troade Gergethium fuisse hunc Cephalonem docet ut et Suidas.

(62) Quatuor hic librorum calculus auctorum eorumdem tomorum periit.

(63) De quo legendus Suidas. Exstat Græco-latina hujus epitome Catalogi virorum doctrinæ laude clarorum alphabeti serie typis Plantinianis edita.

quam si nulla figura usus fuisset. Veritatis præterea se hic inprimis studiosum promittit.

Cæterum opus sex in partes divisum. Primus liber, quæ bellum Trojanum antecesserunt, refert. Secundus, ab Ilio capto ad Romam usque conditam, gesta. Tertius, quæ ab urbe condita sub regibus acciderunt, donec consulibus Romæ creatis regnum esse desiit, commemorat; Olympiade circiter sexagesima octava. Quartus, ex quo consules Romæ præfuerunt, hoc est a sexagesima octava Olympiade usque ad CLXXXII, cum consules, Julio Cæsare solum imperante, esse desierunt. Quinto libro ea narrantur, quæ a Julii Cæsaris imperio usque dum Byzantinæ urbis gloria ac virtus ad summum perducta est, contigerunt, Olympiade CCLXXVII inchoante. Sexto libro, ex quo Constantinum Constantinopolis magno suo bono nacta est imperatorem, usque ad Anastasii excessum gesta narrat; quem Cæsarem scriptor hic clementia, ac benignitate (64), nescio quomodo, multis antecelluisse prædicat: cujus obitus in undecimam indicit indictionem, Magno consule sine collega. Temporum vero periodus, qua historia illa absolvitur, annorum est CIↃ CXC.

Legimus item ejusdem Hesychii (65) alterum opus Justini imperat. res gestas continens: quomodo Anastasio mortuo suffectus Justinus, et hujus vicissim imperium Justinianus exceperit, aliaque annis aliquot sub eo gesta. Ne cætera scriptor memoriæ mandaret, revocatus est morte Joannis filii, quæ mentem hominis adeo perculit, ut commentandi scribendique conatum infregerit.

LXX.

35a *Diodori Siculi Historiarum libri* XL.

Legimus *Diodori Siculi Historiarum libros quadraginta*, qui universam quamdam mundi continent historiam. Est Cephalione longe uberior, saltem cum eadem refert, ut et Hesychio illustri. Stylo utitur perspicuo, nec affectato, sed qui historiam maxime deceat. Neque etiam, ut sic dixerim, nimium atticissat, aut antiquarius est supra modum, neque contra ad humile dicendi genus se demittit: sed mediocri forma sermonis delectatur, figuratam orationem, aliaque vitans; nisi quod de gentium diis, et heroibus, poetarum more, fabulatur. Ducit historiæ initium a Græcorum, Barbarorumque fabulosis temporibus, pergitque ad inchoatum bellum, quod cum Gallis Romani gessere: qua tempestate C. Julius Cæsar (cui ob res gestas Divi cognomentum addidere Romani) plurimas, maximeque belli-

ἀκροατὴν, οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον σαφῶς τὸ πρᾶγμα, ἢ εἰ μὴ ἐτέτραπτο, παρεστήσατο. Ὑπισχνεῖται δὲ καὶ ἀληθείας εἶναι φροντιστής.

Διαιρεῖται δὲ αὐτῷ τὸ σπούδασμα εἰς τμήματα ἕξ, ὧν τὸ μὲν πρῶτον τμῆμα περιέχει τὰ πρὸ τῶν Τρωϊκῶν, τὸ δὲ δεύτερον τὰ ἀπὸ Ἰλίου ἁλώσεως ἕως τῆς κτίσεως Ῥώμης, τὸ δὲ τρίτον τὰ ἀπὸ τῆς κτίσεως Ῥώμης μέχρις ὅτου [66] Ῥωμαίοις ἡ τῶν ὑπάτων εἰσήχθη ἡγεμονία καταλύσασι τοὺς βασιλέας, κατὰ τὴν ὀγδόην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα· τὸ δὲ τέταρτον, ἐξ οὗπερ Ῥωμαίων ἠγήσαντο ὕπατοι, ἤτοι ἀπὸ τῆς ὀγδόης καὶ ἑξηκοστῆς Ὀλυμπιάδος, μέχρι δευτέρας καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς [51 H.] Ὀλυμπιάδος, οὗ καὶ ἔληξεν ἡ τοιαύτη ἀρχὴ Ἰουλίου τοῦ Καίσαρος μοναρχήσαντος. Τὸ δὲ πέμπτον τμῆμα περιέχει τὰ ἀπὸ τῆς Ἰουλίου τοῦ Καίσαρος μοναρχίας μέχρις ὅτου Βυζάντιον ἐπὶ μέγα δοξῆς ἰσχύος [67] ἤρθη, Ὀλυμπιάδος ἑβδόμης καὶ ἑβδομηκοστῆς καὶ διακοσιοστῆς ἱσταμένης. Τὸ δὲ ἕκτον, ἐξ οὗ βασιλέα Κωνσταντινούπολις εὐτύχησε [68] Κωνσταντῖνον, μέχρι τῆς [69] Ἀναστασίου τελευτῆς, ὃν οὗτος ὁ συγγραφεὺς πρᾳότητι καὶ [70] ἡμερότητι, οὐκ οἶδ' ὅπως, πολλῶν ἀποσεμνύνει διενεγκεῖν· οὗ συνέπεσεν ἡ τελευτὴ κατὰ τὴν ἐνδεκάτην ἰνδικτιῶνα, Μάγνου μόνου [71] ὑπατεύοντος. Ἡ δὲ περιοχὴ τῶν χρόνων χιλίων καὶ ἐνενήκοντα καὶ ἑκατόν. Ἐν οἷς καὶ ἡ συγγραφή.

Ἀνεγνώσθη δέ μοι καὶ ἑτέρα τοῦ αὐτοῦ βίβλος, ἐν ᾗ περιείχετο τά τε Ἰουστίνῳ πραχθέντα, ὅπως τε Ἀναστασίου τελευτήσαντος αὐτὸς ἀνερρήθη. Εἶτα καὶ τὴν Ἰουστινιανοῦ τοῦ μετὰ Ἰουστῖνον ἔστιν ἀνάρρησιν κατιδεῖν, καὶ τὰς ἄλλας πράξεις μέχρις ἐτῶν τινων [72] τῆς αὐτοῦ βασιλείας. Καὶ τὸ λοιπὸν ὁ συγγραφεὺς ἐπεσχέθη, θανάτῳ τοῦ παιδὸς Ἰωάννου τὴν ψυχὴν καιρίαν βληθεὶς καὶ τῆς πρὸς τὸ γράφειν ὁρμῆς ἐκκοπείς.

Ο'.

Διοδώρου Σικελιώτου Ἱστορικόν.

Ἀνεγνώσθη [73] μοι Διοδώρου Σικελιώτου βιβλίον ἱστορικὸν ἐν λόγοις μ', οἰκουμενικὴν περιέχουσιν ἱστορίαν. Ἔστι δὲ πολλῷ πλατύτερος τοῦ τε Κεφαλίωνος, ἐν οἷς τοὺς αὐτοὺς χρόνους συμβαίνει αὐτοῖς ἀναγράφειν, καὶ τοῦ Ἡσυχίου τοῦ Ἰλλουστρίου [74]. Κέχρηται δὲ φράσει σαφεῖ τε καὶ ἀκόμψῳ καὶ ἱστορίᾳ μάλιστα πρεπούσῃ, καὶ μήτε τὰς (ὡς ἂν εἴποι τις) λίαν ὑπερηττικισμένας ἢ ἀρχαιοτρόπους διώκων συντάξεις, μήτε πρὸς τὴν καθωμιλημένην [75] νεῦων παντελῶς, ἀλλὰ τῷ μέσῳ τῶν λόγων χαρακτῆρι χαίρων, φεύγων τε τροπὰς καὶ τἄλλα, πλὴν τῶν παρ' Ἕλλησι μυθολογουμένων θεῶν τε καὶ ἡρώων, ὅσα τὸ ποιητικὸν ἔθος [76] νέμεται. Ἄρχεται μὲν οὖν τῆς ἱστορίας ἀπὸ τῶν μυθολογουμένων παρ' Ἕλλησι καὶ βαρβάροις, ἐξῆς διιὼν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις τε καὶ Κελτοῖς, καθ' ὃν

VARIÆ LECTIONES.

[66] ὅτου] ὅτε A. [67] ἰσχύος] malim καὶ ἰσχύος. [68] ηὐτύχησε ς. [69] τῆς] καὶ τῆς ς. [70] καὶ] τε καὶ ς. [71] μόνου ς. [72] τινῶν] fortasse legendum τριῶν. [73] ἀνεγνώσθη βιβλίον διοδ. σικ. ς. [74] ἰλουστρίου A. [75] καθωμιλισμένην ς. [76] ἔθνος Stephanus et Casaubonus.

NOTÆ.

(64) Fortasse ob Chrysargyron, tributi genus, sublatum, alioqui minime militaris.
(65) Cujus nulla est apud Suidam mentio.

χρόνον Γάϊος Ἰούλιος Καῖσαρ, ᾧ διὰ τὰς πράξεις Θεὸν ἐπίκλην ἔθεντο Ῥωμαῖοι, κατεπολέμησε τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη· ἐν τριάκοντα δὲ ἔτεσιν, ὡς αὐτός φησι, περὶ ταύτην ἐπόνησε τὴν ἱστορίαν, τόπους τε πολλοὺς ἀμείβων χάριν πολυμαθίας, καὶ ταλαιπωρίαις οἷα εἰκὸς ἐντυγχάνων. [105 R.] Σικελιώτης δὲ ὢν ἐξ Ἀγυρίου τὸ γένος ἔσχε, καὶ διὰ τὴν ἐπιμιξίαν τῶν Ῥωμαίων πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων εἰληφὼς διαλέκτου πάσας τὰς ἡγεμονικὰς αὐτῆς πράξεις καὶ πάθη ἀκριβῶς ἀνελάβετο.

A cosas Gallorum nationes debellavit. Triginta annos, ut de se fatetur, huic scribendæ historiæ impendit, variis interim regionibus discendi gratia peragratis, periculisque, ut fit, obitis ac superatis. Siculus vero fuit, Agyrio [urbe] genus repetens; qui longo Romanorum usu ac familiaritate, et linguam calluit, et præcipuas quasque res ab ea gente feliciter infeliciterve gestas accurate collegit.

Ἐν μ΄ δὲ βιβλίοις τὴν ὅλην συμπερανόμενος πραγματείαν ἐν μὲν ς΄ ταῖς πρώταις τὰς πρὸ τῶν Τρωϊκῶν πράξεις τε καὶ μυθολογίας ἐκτίθεται, ἐν δὲ ταῖς ἑφεξῆς ια΄ τὰς ἀπὸ τῶν Τρωϊκῶν κοινὰς πράξεις εὑρήσεις ἀναγεγραμμένας ἕως τῆς τελευτῆς Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. Ἐν δὲ ταῖς ὑπολοίποις κγ΄ βίβλοις αἱ λοιπαὶ τυγχάνουσι πράξεις ἀναγεγραμμέναι, μέχρις ὅτου Ῥωμαίοις πρὸς Κελτοὺς ὁ πόλεμος συνερράγη, καθ' ὃν ἡγούμενος Γάϊος Ἰούλιος Καῖσαρ [52 H.] ἐκράτησε μὲν τῶν πλείστων καὶ μαχίμων παρὰ Κελτοῖς ἐθνῶν τῷ πολέμῳ προεβίβασε δὲ τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων· ἐν οἷς καὶ ἡ ἱστορία τελευτᾷ.

Libris quadraginta historiam complexus est universam: quorum sex prioribus quæ ante Trojani belli tempora acciderunt, fabulosaque commemorat. Undecim vero insequentibus, quæ a capto Ilio ubique gentium acciderunt, litteris consignata reperies, usque ad Alexandri Magni obitum. Reliquis tribus et viginti libris, quæ deinceps evenerunt, memoriæ prodita leges; dum exortum est Romanorum cum Gallis bellum, ductu Julii Cæsaris gestum; qui plerasque et fortissimas eorum gentes debellavit, Romanumque provexit imperium in Britanniam usque: in qua expeditione historia desinit.

B

ΟΑ΄.

Κασσιανοῦ Κοκκιανοῦ ἢ Κοκκίου Δίωνος Ἱστορικοὶ λόγοι π΄.

LXXI.

Dionis Cassii Historiarum libri LXXX.

Ἀνεγνώσθη βιβλίον Κασσιανοῦ Κοκκιανοῦ ἢ Κοκκίου Δίωνος, ἐν λόγοις π΄. Ἄρχεται μὲν ἀπὸ τοῦ Αἰνείου ἐπὶ τὴν Ἰταλίαν ἐκ Τροίας καθόδου καὶ τῆς κτίσεως Ἀλμαπόλεως [77] καὶ Ῥώμης, διέρχεται δὲ καθεξῆς, ἀποπαυόμενος εἰς τὴν τοῦ Ἀντωνίνου, ὃν Ἐλαγάβαλον ἀπεκάλουν, σφαγήν· τοῦτον δὲ καὶ Τιβερῖνον καὶ Σαρδανάπαλον καὶ Ψευδαντωνῖνον καὶ Ἀσσύριον [78] ἀπὸ τῶν αὐτῷ πραττομένων ἐπωνόμαζον. Οὐ μόνον δὲ ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν κάτεισιν Ἀλεξάνδρου, ὃς Ἀντωνίνου σφαγέντος (σὺν αὐτῷ γὰρ τὸ κράτος εἶχεν, ἀναληφθεὶς ὑπ' αὐτοῦ) μόνος τὸν ἐπ' αὐτῷ μελετηθέντα κίνδυνον φυγὼν τὴν βασιλείαν ἐκδέχεται. Τοῦτόν φησι τὸν Ἀλέξανδρον καὶ συνυπατεῦσαι αὐτῷ ὁ συγγραφεὺς τὸ δεύτερον [79], καὶ τὸ ὑπὲρ τῆς ἀρχῆς κατὰ τὸ προσῆκον ἀνάλωμα φιλοτιμίᾳ τῇ ἐς τὸν συνύπατον αὐτὸν τὸν αὐτοκράτορα ἀναλῶσαι. Οὗτος δ' ὁ συγγραφεὺς Περγάμου καὶ Σμύρνης (Μακρῖνος αὐτῷ τὴν ἀρχὴν ὁ αὐτοκράτωρ ἐγχειρίζει) ἐπεστάτησεν, ἔπειτα τῆς Ἀφρικῆς ἡγεμόνευσεν, εἶτα Παννονίας [80] ἦρξε, καὶ ὑπατεύσας τὸ δεύτερον, ὡς ἐρρήθη, οἴκαδε ἀπῆρε παρειμένος ἐπὶ τῇ τῶν ποδῶν ἀῤῥωστίᾳ, ἐκεῖ τὸ λοιπόν, ὡς καὶ τὸ δαιμόνιον αὐτῷ, φησί, προεῖπεν ἐν Βιθυνίᾳ διατρίβοντι, βιωσόμενος.

Legimus Dionis Cassiani Cocciani seu Coccii *Historiarum* libros octoginta (66-67): Hic inchoando ab Æneæ **35***b* in Italiam adventu, et Alba urbe, ac Roma condita, tendit continenter, finiens in Antonini, ejus qui Elagabalus est cognominatus (68), cædem: quem et Tiberinum, et Sardanapalum et Pseudantoninum, atque Assyrium, a flagitiis nominarunt. Quin et ad Alexandri principatum pervenit, qui percusso Antonino quicum imperarat, ab illo in societatem ascitus solus, periculum sibi comparatum effugiendo, sceptra susceperat. Hunc Alexandrum consulatum iterum secum gessisse scriptor refert, sumptusque, quos in magistratus (69) administrationem Dionem impendisse oportuit, imperatorem ipsum, collegam nimis honorandi cupidum, contulisse. Idem quoque historicus a Macrino imperatore Pergamo ac Smyrnæ præfectus, post in Africa dux fuit. Pannoniam hinc administravit; consulque iterum, ut dictum est, creatus, revertit domum pedibus jam æger, vitæ reliquum ibi (quod in Bithynia agenti genius ille, ut ait, prædixerat victurus.

C

D

Ἐκ τ' ἀνδροκτασίης [81] ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ.

Extra hominum cædem, sine sanguine, et absque tumultu.

VARIÆ LECTIONES.

[77] ἄλβης πόλεως Schottus. [78] ἀσύριον A. [79] τὸ βιβλίον δεύτερον ς. [80] πανονίας A. [81] ἔκ τ' ἀνδρ.] Hom. Il. ii, 164.

NOTÆ.

(66-67) De quibus 25 modo exstant, et ultimorum 45, excerpta per Joannem Xiphilinum.

(68) Herodiano, *Etæagabalus*, Eutrop. *Heliogabalus*. Vide quæ notata in Indice Lat. ad Dionem.

(69) Sic et Honorius Aug. sumptus Constantii collegæ toleravit ex Heracliani bonis, apud Olympiodorum, infr. cod. LXXXIX.

Patria illi Nicæa Bithyniæ : quam ex parte palus, Ascania dicta, circumluit. Grandis ejus sermo, et tumidus, eo quod rerum ingentium sensa afferat. Veteris item ipsi constructionis sermo plenus, verborumque, quæ rerum magnitudini respondeant. Periodi parenthesibus trajectæ, et hyperbatorum opportunus usus. Numeri porro, et intercisio, etsi accurate adhibita, ob orationis tamen perspicuitatem, obiter legentibus non sunt manifesta. In narrationibus præterea et concionibus, Thucydidis maxime est æmulus ; nisi quod ad perspicuitatem magis tendit : cætera fere Thucydides illi norma est ac regula.

A Ἔσχε δὲ πατρίδα τὴν ἐν Βιθυνίᾳ Νίκαιαν, ἣν κατὰ μέρη ἡ καλουμένη λίμνη Ἀσκανία περιλιμνάζει. Ἔστι δὲ τὴν φράσιν μεγαλοπρεπῶς τε καὶ ἐς ὄγκον διεσκευασμένος, ὅτι καὶ μεγάλων ἔργων ἐννοίας ἀπαγγέλλει. Ἀρχαϊκῶν τε αὐτῷ συντάξεων ὁ λόγος μεστὸς καὶ λέξεων πρεπουσῶν μεγέθει [82] περίοδοί τε μετὰ παρενθέσεων παρατεταμέναι, [82*] καὶ ὑπερβατῶν εὔκαιρος χρῆσις. Ῥυθμός τε καὶ ἀναπαύσεις [83] εἰς ἐπιμέλειαν ἠσκημένα διὰ τὸ σαφὲς οὐκ ἔστι τοῖς ἁπλῶς ἀναγινώσκουσιν ἐμφανῆ [84]. Ἐν δέ γε ταῖς [85] δημηγορίαις ἄριστος καὶ μιμητὴς [86] Θουκυδίδου, πλὴν εἴ τι πρὸς τὸ σαφέστερον ἀφορᾷ. Σχεδὸν δὲ κἀν τοῖς ἄλλοις Θουκυδίδης ἐστὶν αὐτῷ ὁ κανών.

LXXII.

Ctesiæ Cnidii Persicarum rerum libri XXIII.

Lecta Ctesiæ Cnidii *Persica*, in libros distributa tres supra viginti. Attamem prioribus sex libris Assyriorum res, et quæcunque Persicum imperium antecesserunt, complexus, non nisi a septimo deinceps res Persicas narrare pergit. Ipso itaque septimo libro, octavo item ac nono, decimo, undecimo et duodecimo, ad tertium usque decimum, quæ ad Cyrum, et Cambysen, ac Magum (70-71) illum, itemque ad Darium et Xerxem pertinent, descripsit; in omnibus propemodum Herodoto (72) adversatus, **36a** quem (ut posterior illo scripsit) mendacem in multis, et fabularum confictorem facit. De se vero prædicat, eorum quæ scribit majorem partem coram vidisse ; cætera, quæ videre non licuerit, ab ipsismet Persis accepisse, atque ita ad historiam scribendam accessisse. At non ab Herodoti tantummodo historia discedit, sed ab ipso etiam Xenophonte Grylli filio alicubi dissentit. Floruit illius Cyri temporibus, qui Dario (73) et Parisatide genitus, frater fuit Artaxerxis (74), ejus ad quem Persicum regnum devenit.

B

C

Mox ergo refert de Astyage (75), quem et Astyigan vocat, nulla Cyrum (76) ipsi generis propinquitate junctum fuisse. Fugisse autem Astyigan a Cyri conspectu in Ecbatana, ibique in ipsis regiarum ædium criscranis ab Amyti filia, et ejus viro Spitama occultatum, latuisse. At supervenientem Cyrum : non e Spitama solum, atque Amyti, sed ex eorum quoque liberis Spitace et Megaberne, quæstiones de Astyiga per tormenta exerceri imperasse. Ipsum igitur Astyigan, ne pueri nepotes ejus causa torquerentur, sese prodidisse, ca-

D

ΟΒ'.

Κτησίου τοῦ Κνιδίου τὰ Περσικά.

Ἀνεγνώσθη βιβλίον Κτησίου τοῦ Κνιδίου τὰ Περσικά, ἐν βιβλίοις κγ'. Ἀλλ' ἐν μὲν [108 R.] τοῖς πρώτοις ς' τά τε Ἀσσύρια [87] διαλαμβάνει καὶ ὅσα πρὸ τῶν Περσικῶν, ἀπὸ μέντοι τοῦ ζ' τὰ Περσικὰ διεξέρχεται. Καὶ ἐν μὲν τῷ ζ' καὶ η' καὶ ι' καὶ ια' καὶ ιβ' καὶ ιγ' διέξεισι, τὰ περὶ Κύρου καὶ Καμβύσου καὶ τοῦ μάγου Δαρείου τε καὶ τοῦ Ξέρξου, σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀπελέγχων [88] ἐν πολλοῖς καὶ λογοποιὸν ἀποκαλῶν · καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ, φησὶ δὲ αὐτὸν τῶν πλειόνων, ἃ ἱστορεῖ, αὐτόπτην γενόμενον ἢ παρ' αὐτῶν Περσῶν, ἔνθα τὸ ὁρᾶν μὴ ἐνεχώρει, αὐτήκοον καταστάντα, οὕτω τὴν ἱστορίαν συγγράψαι. Οὐκ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, [53 H.] ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. Ἦκμασε δὲ τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρτοξέρξου [89], εἰς ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανεν.

Φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους ὡς οὐδὲν αὐτοῦ Κῦρος πρὸς γένος ἐχρημάτιζεν · οὗτος δὲ αὐτὸν καὶ Ἀστυΐγαν [90] καλεῖ. Φυγεῖν δὲ ἀπὸ προσώπου Κύρου Ἀστυΐγαν Ἐκβατάνοις [91], καὶ κρυφθῆναι ἐν τοῖς χριοχράνοις [92] τῶν βασιλείων οἰκημάτων, κρυψάντων αὐτὸν τῆς τε θυγατρὸς Ἀμύτιος [93] καὶ τοῦ ἀνδρὸς αὐτῆς Σπιτάμα. Ἐπιστάντα δὲ Κῦρον ἐπιτάξαι ἀνακρίνειν διὰ στρεβλώσεων Σπιτάμαν τε καὶ Ἀμύτιν [94], ἀλλὰ καὶ τοὺς παῖδας αὐτῶν Σπιτάκην τε καὶ Μεγαβέρνην, περὶ Ἀστυΐγα · τὸν δὲ ἑαυτὸν προσαγγεῖλαι, ἵνα μὴ δι' αὐτὸν στρεβλωθείη-

VARIÆ LECTIONES.

[82] μεγέθη ς. [82*] παρατετραμμέναι ς. [83] ἀνάπαυσις ς. [84] ἐμφανές A. [85] ταῖς ἱστορίαις καὶ δημηγορίαις ς. [86] καὶ μιμητὴς ἄριστος ς. [87] ἀσύρια A. [88] ἀπελέγχων A : ἀποκαλῶν ς. [89] Ἀρταξέρξου ς. [90] Ἀστυΐγαν ς. sic et infra. [91] ante Ἐκβατάνοις cum pr. A omisi ἐν. [92] χρισχράνοις ς. [93] Ἀμύντιος ς. [94] καὶ τὴν Ἄμυντιν ς.

NOTÆ.

(70-71) *Sphendatatæn* inf. nominat. Herodot. *Smerden*.

(72) Qui de quatuor hisce duntaxat scripsit : Ctesias vero his alios quinque adjecit.

(73) *Dariæum* hunc, non Darium, in iis quæ sequentur vocat.

(74) De quo infra hic auctor.

(75) De Astyage, Amyti, Œbare et Petesaca (ut ibi scribitur), vide ex Ctesia quæ breviter excerpsit Joan. Tzetzes in Chiliadib. histor. lib. I, in fine.

(76) Cyrus hic Major.

σαν οἱ παῖδες. Ληφθέντα δὲ πέδαις παχείαις ὑπὸ Οἰβάρα [95] δεθῆναι, λυθῆναι δὲ ὑπ' αὐτοῦ Κύρου μετ' οὐ πολὺ καὶ ὡς πατέρα τιμηθῆναι, καὶ τὴν θυγατέρα Ἀμύτιν [96] πρότερον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀχθῆναι τῷ Κύρῳ, Σπιτάμα [97] τοῦ ἀνδρὸς αὐτῆς ἀνῃρημένου, ὅτι ἐψεύσατο ἀγνοεῖν εἰπὼν ἐρευνώμενον Ἀστυίγαν. Ταῦτα λέγει Κτησίας περὶ Κύρου, καὶ οὐχ οἷα Ἡρόδοτος. Καὶ ὅτι πρὸς Βακτρίους ἐπολέμησε, καὶ ἀγχώμαλος ἡ μάχη ἐγένετο· ἐπεὶ δὲ Βάκτριοι Ἀστυίγαν μὲν πατέρα Κύρου γεγενημένον, Ἀμύτιν δὲ μητέρα καὶ γυναῖκα ἔμαθον, ἑαυτοὺς ἐκόντες Ἀμύτι καὶ Κύρῳ παρέδοσαν. Καὶ ὅτι πρὸς Σάκας ἐπολέμησε Κῦρος, καὶ συνέλαβεν Ἀμόργην τῶν [98] Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης, ἥτις καὶ μετὰ τὴν ἅλωσιν τοῦ ἀνδρὸς στρατὸν συλλέξασα ἐπολέμησε Κύρῳ, ἀνδρῶν μὲν στρατεύματα τριάκοντα μυριάδας ἐπαγομένη, γυναικῶν δὲ εἴκοσι, καὶ νικᾷ Κῦρον, καὶ συλλαμβάνει ζωγρίαν μετὰ καὶ ἄλλων πλείστων Παρμίσην τε τὸν Ἀμύτιος ἀδελφὸν καὶ τρεῖς αὐτοῦ παῖδας· δι' οὓς ὕστερον καὶ Ἀμόργης ἠφέθη [99], ἐπεὶ κἀκεῖνοι ἠφέθησαν.

Καὶ ὅτι στρατεύει Κῦρος ἐπὶ Κροισον καὶ πόλιν [1] Σάρδεις, συνεργὸν ἔχων Ἀμόργην. Ὅπως τε [2] βουλῇ Οἰβάρα Περσῶν εἴδωλα ξύλινα ἀνὰ τὸ τεῖχος φανέντα εἰς δέος μὲν κατέστησε τοὺς ἐνοικοῦντας, ἥλω δὲ διὰ ταῦτα καὶ αὐτὴ ἡ πόλις. Ὅπως τε πρὸ τῆς ἁλώσεως δίδοται ὁ παῖς Κροίσου ἐν ὁμήρου λόγῳ, δαιμονίου φαντάσματος ἀπατήσαντος Κροῖσον· ὅπως τε δολοῤῥαφοῦντος Κροίσου ὁ παῖς κατ' ὀφθαλμοὺς ἀναιρεῖται· καὶ ὅπως ἡ μήτηρ τὸ πάθος ἰδοῦσα ἑαυτὴν τοῦ τείχους ἀποκρημνίζει [109 R.] καὶ θνήσκει [3]. Ὅπως τε ἁλούσης τῆς πόλεως πρὸς τὸ ἐν τῇ πόλει ἱερὸν τοῦ Ἀπόλλωνος καταφεύγει ὁ Κροῖσος, [4] καὶ ὡς τρὶς ἐν τῷ ἱερῷ πεδηθεὶς ὑπὸ Κύρου λύεται τρίτον ἀοράτως, καίτοι σφραγίδων τῷ ἱερῷ ἐπικειμένων καὶ τούτων τὴν φυλακὴν Οἰβάρα ἐμπεπιστευμένου· ὅπως τε οἱ συνδούμενοι Κροίσῳ τὰς κεφαλὰς ἀπετέμνοντο ὡς καταπροδιδόντες λύεσθαι Κροῖσον· καὶ ὅτι ἀναληφθεὶς ἐν τοῖς βασιλείοις καὶ δεθεὶς ἀσφαλέστερον βροντῶν καὶ σκηπτῶν ἐπενεχθέντων λύεται πάλιν, καὶ τότε μόλις ὑπὸ Κύρου ἀφίεται· Ἐξ οὗ καὶ περιείπετο, [5½ H.] καὶ ἔδωκε Κῦρος Κροίσῳ πόλιν μεγάλην Βαρήνην [5] ἐγγὺς Ἐκβατάνων, ἐν ᾗ ἦσαν ἱππεῖς μὲν πεντακισχίλιοι, πελτασταὶ δὲ καὶ ἀκοντισταὶ καὶ τοξόται μύριοι.

A ptumque gravibus ab Œbara compedibus oneratum) fuisse; solutum tamen non ita multo post ab ipso Cyro, parentisque loco habitum observatumque: quin et Astyigæ ipsius filiam Amytin pro matre primum in honore a Cyro habitam, eidemque tandem nupsisse; post virum ejus Spitamam interfectum, propterea quod dum quæreretur Astyigas, ignorare se illum mentitus fuisset. Hæc de Cyro Ctesias, ab iis diversa quæ Herodotus commemorat. Addit, adversus Bactrios Cyrum bellum gessisse, et æquo marte cum ipsis prælium commisisse. Bactrios dein, intellecto Astyigan Cyro patrem factum, Amytin vero matrem atque uxorem, ultro sese libentesque Amyti ac Cyro dedidisse. Narrat item Cyrum bellum Sacis intulisse (77), regemque ipsorum Amorgen, Sparethræ reginæ maritum cepisse. B Hanc ergo, marito capto, exercitum collegisse, atque adversus Cyrum bellum suscepisse, eductisque in aciem virorum trecentis, mulierum ducentis millibus, Cyrum superasse, et vivum cum aliis plurimis, Parmysen Amytis fratrem, ac ternos ejus liberos, cepisse. Horum autem causa postea Amorgen liberum dimissum, quod ipsi prius omnes liberati fuissent.

Scribit æque Cyrum, Amorgæ adjutum ope Crœsum atque Sardeis urbem bello petivisse. Quomodo etiam Œbaræ consilio (78) lignea Persarum simulacra **36***b* per muros exhibita, et incolis terrorem incusserint, et urbis capiendæ causam dederint. Quo item pacto ante captam urbem, pro obside Crœsi filius datus fuerit, cum Crœsus ipse C antea divino quodam spectro deceptus fuisset. Rursus quomodo dolos nectente Crœso, in parentis oculis [obses] filius sit interfectus; utque mater filii cædem intuita, e muro sese præcipitem egerit, nec tamen occubuerit. Ut post captam urbem ad Apollinis, quæ ibi erat, ædem Crœsus confugerit, perieritque (79). Ut tertium in templo vinctus a Cyro Crœsus, tertium etiam fallente oculos fascino solutus sit, quamvis pluribus templum esset sigillis obsignatum, Œbara ipso ad horum custodiam apposito. Uti et illis qui cum Crœso vincti una fuerant, capita sint amputata, quod eorum proditione vinculis solutus esse Crœsus putaretur. Crœsum in regiam adductum, firmiusque vinctum, cum fulmina atque tonitrua irruissent, iterum D fuisse solutum, ac tum demum a Cyro ægre esse liberum dimissum. Ex eo itaque tempore Cyrum eum aliis eum humanitatis officiis prosecutum esse, tum urbem ei magnam, Barenen nomine (80),

VARIÆ LECTIONES.

[95] Οἰβαρᾶ ς. [96] Ἄμυντιν πρῶτον ς. [97] Σπιταμᾶ ς. [98] τῶν] malim τόν. [99] ἀφείθη ἀφείθησαν ς. [1] πόλιν] πόλεις A. [2] τε] τε τῇ ς. [3] καὶ οὐ θνήσκει ς. [4] Κροῖσος, καὶ θνήσκει, καὶ ὡς. [5] βαρήυνην A.

NOTÆ.

(77) De Sacis et hoc Cyri bello varia scripsit Strabo, lib. II.

(78) Joan. Tzetz. Hist. lib. I.

(79) Negantem hinc particulam in præcedentem versum perperam translatam plane mihi persuadeo. Alii omissa voce *Crœsus*, hæc ad ejus uxorem referunt.

(80) Hinc forsitan Steph Byzan.: Βαρήνη, πόλις Μηδίας, ἐγγὺς Ἀγβατάνων. Qui et de hujus vocis scriptura: Κτησίας παντοχοῦ τῶν Περσικῶν. τὰ παρὰ Μήδοις Ἀγβάτανα διὰ τοῦ α γράφει παρὰ δὲ, τοῖς ἀρχαίοις διὰ τοῦ ε. Vide alibi plura.

prope Ecbatana dedisse, in qua quinque essent equitum, peltatorum vero jaculatorumque et sagittariorum ad decem millia.

Refert præterea, Petisacam eunuchum, magna A apud Cyrum auctoritate pollentem, in Persas amandatum, qui Astyigan a Barcaniis adduceret, quod cum ipse, tum Amytis filia parentem videre exoptaret. Œbaran autem consilium Petisacæ dedisse, ut in deserto loco aliquo Astyigan relictum fame sitique conficeret ; illudque etiam ita factum esse. Verum scelere per somnia patefacto, Petisacam a Cyro, identidem illud exposcenti Amyti, ad supplicium deditum esse. Illam oculos primum semiviro exsculpsisse, tum pellem detraxisse, ita denique in crucem egisse. Hinc Œbaran, ne idem aliquando pateretur veritum (etsi certo illi affirmaret Cyrus, nihil se ejusmodi unquam permissurum), decem nihilominus dierum inedia ipsum sibi mortem conscivisse. Jam ipsum Astyigan splendide cum B primis atque magnifice sepultum fuisse ; intactum quippe feris ejus cadaver locis illis desertis permansisse, quod illud ibi leones, dum Petisacas reversus auferret, conservassent.

Cyrus in Derbices (81), quorum tum rex Amoræus, exercitum ducit ; at illi ex insidiis productis elephantis, Cyri equitatum in fugam convertunt. Ipse ibi Cyrus ex equo decidit, et Indus quidam (Derbicibus enim Indi opem in bello ferebant, atque ab his illi, quos ducebant, elephantos acceperant). **37** *a* Indus igitur ille Cyrum delapsum jaculo sub coxa in femore vulneravit, quo ille ex vulnere postea moritur. Ipsum autem tum adhuc vivum familiares sui sustulerunt, atque in castra concesserunt. Occubuere hoc in prælio Persarum multi, C neque Derbicum pauciores. Decem enim etiam horum millia cecidere. Amorges ibi, accepto de Cyro nuntio, propere ad Persas accedit, Sacarum ducens equitum viginti millia. Prælio ergo Persas inter ac Derbices conserto, a Persis atque Sacis fortissime pugnantibus victoria stetit. Occubuit m Derbicum rex ipse Amoræus cum duobus filiis. Ceciderunt et Derbicum triginta millia, Persarum novem. Ita regio illa in Cyri ditionem concessit.

Cyrus vero sub mortis tempus filium natu maximum Cambysen regem creat : juniorem dein (82), Tanyoxarcem nomine, Bactriorum (83) dominum ipsiusque regionis, necnon Choramniorum, Parthiorumque, et Carmaniorum, constituit, immunesque suas sibi regiones a tributo habere jubet. D E Spitamæ vero liberis, Spitaden (84) Derbicibus præfecit, Megabernem Barcaniis, eosque Amyti matri in omnibus parere præcipit. Datis etiam dextris, et inter se, et cum Amorge amicitiam inire voluit, fausta illis omnia precatus, qui in mu-

Ἔτι διαλαμβάνει [6] ὡς ἀποστέλλει Κῦρος ἐν Περσίδι Πετησάκαν [7] τὸν εὐνοῦχον [8], μέγα παρ' αὐτῷ δυνάμενον ἐνέγκαι ἀπὸ Βαρκανίων Ἀστυΐγαν· ἐπόθει γὰρ αὐτός τε καὶ ἡ θυγάτηρ Ἀμύτις τὸν πατέρα ἰδεῖν. Καί ὡς Οἰβάρας βουλεύει Πετησάκᾳ [9] ἐν ἐρήμῳ τόπῳ καταλιπόντα Ἀστυΐγαν λιμῷ καὶ δίψει [10] ἀπολέσαι· ὃ [11] καὶ γέγονε. Δι' ἐνυπνίων δὲ τοῦ μιάσματος μηνυθέντος Πετησάκας, πολλάκις αἰτησαμένης Ἀμύτιος, εἰς τιμωρίαν παρὰ Κύρου ἐκδίδοται· ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐξορύξασα καὶ τὸ δέρμα περιθείρασα ἀνεσταύρωσεν. Οἰβάρας δὲ δεδιὼς μὴ τὰ ὅμοια πείσεται [12], καίτοι Κύρου μηδὲν τοιοῦτον ἰσχυριζομένου παραχωρῆσαι, αὐτὸς μὲν [13] ἀποκαρτερήσας δι' ἡμερῶν δέκα ἑαυτὸν ἐξήγαγεν, Ἀστυΐγας δὲ μεγαλοπρεπῶς ἐτάφη. Καὶ ἐν τῇ ἐρήμῳ δὲ ἄβρωτος αὐτοῦ διέμεινεν ὁ νεκρός· λέοντες γὰρ αὐτοῦ, φησὶ, μέχρι Πετησάκαν [14] πάλιν ἐλθεῖν καὶ ἀναλαβεῖν ἐφύλαττον τὸν νεκρόν.

Κῦρος δὲ στρατεύει ἐπὶ Δέρβικας Ἀμοραίου βασιλεύοντος αὐτῶν. Καὶ ἐξ ἐνέδρας οἱ Δέρβικες ἱστῶσιν ἐλέφαντας, καὶ τοὺς ἱππεῖς Κύρου τρέπουσι. Καὶ πίπτει καὶ αὐτὸς Κῦρος ἐκ τοῦ ἵππου, καὶ Ἰνδὸς ἀνὴρ (συνεμάχουν γὰρ [15] Ἰνδοὶ τοῖς Δερβίκεσιν [16], ἐξ ὧν καὶ τοὺς ἐλέφαντας ἔφερον), οὗτος [17] ὁ Ἰνδὸς πεπτωκότα Κῦρον βάλλει ἀκοντίῳ ὑπὸ τὸ ἰσχίον εἰς τὸν μηρόν· ἐξ οὗ καὶ τελευτᾷ. Τότε δὲ ζῶντα ἀνελόμενοι αὐτὸν οἱ οἰκεῖοι ἐπὶ τὸ στρατόπεδον ἤεσαν, Ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ Περσῶν πολλοὶ καὶ Δερβίκων ἴσοι· μύριοι γὰρ καὶ αὐτοί. Ἀμόργης δὲ περὶ Κύρου ἀκούσας σπουδῇ παραγίνεται, ἔχων Σακῶν δισμυρίους ἱππέας. Καὶ πολέμου συῤῥαγέντος Περσῶν καὶ Δερβίκων νικᾷ κατὰ κράτος ὁ Περσικὸς καὶ Σακῶν στρατος, ἀναιρεῖται δὲ καὶ [18] ὁ τῶν Δερβίκων βασιλεὺς Ἀμοραῖος καὶ αὐτὸς καὶ οἱ δύο παῖδες αὐτοῦ. Ἀπέθανον δὲ Δερβίκων μὲν τρισμύριοι, Περσῶν δὲ ἐνακισχίλιοι [19], καὶ προσεχώρησεν ἡ χώρα Κύρῳ.

Κῦρος δὲ μέλλων τελευτᾶν Καμβύσην μὲν τὸν πρῶτον υἱὸν βασιλέα καθίστη, Τανυοξάρκην δὲ τὸν νεώτερον ἐπέστησε [20] δεσπότην Βακτρίων καὶ τῆς χώρας καὶ Χοραμνίων καὶ Παρθίων καὶ Καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος. Τῶν δὲ Σπιτάμα παίδων Σπιτάκην [21] μὲν Δερβίκων ἀπέδειξε σατράπην, Μεγαβέρνην δὲ Βαρκανίων· τῇ μητρὶ δὲ πάντα πείθεσθαι προσέταττε. Καὶ Ἀμόργην φίλον τούτοις τῶν δεξιῶν ἐμβαλλομένων ἐποιεῖτο, καὶ ἀλλήλοις· [112 R.] καὶ τοῖς μὲν ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρ-

VARIÆ LECTIONES.

[6] ἔτι δὲ καὶ λαμβάνει ς. [7] Πετισακᾶν ς· [8] εὐνοῦχον A : ἡμιάῤῥενας ς. [9] Πετισάκαν ς. [10] δίψῃ ς. [11] ὃ add. A. [12] πήσεται A. [13] μὲν] ὅμως ς. [14] πετισάκα ς. [15] γὰρ] γὰρ καὶ ς. [16] δερβικέσιν A. [17] ὁ] οὖν ὁ ς. [18] καὶ add. A. [19] ἐννεακισχίλιοι ς. [20] ἐπέστη ς. [21] Σπιτάδην. vid. p. 36 *a* 16.

NOTÆ.

(81) Derbicæ, inquit Steph. Byzant., populus est Hircanis vicinus. Apollonius per duplex *cc* scribit Ctesias vero *Derbios* vocat, aut *Terbissos*.

(82) *Smerden Cyri* perpetuo Herodotus nominat.

(83) Videndus de his Stephan. et Strabo.

(84) *Spitacen* supra.

ξουσιν ἀδίκων. Ταῦτα εἶπας [22] ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λ'. Ἐν οἷς ὁ ια' [23] Κτησίου λόγος τοῦ Κνιδίου.

A tua perstarent benevolentia, dirisque illos devovens qui priores injuriam illaturi essent. Ista locutus, vivere desiit, tertio ab accepto vulnere die, cum annos jam regnasset triginta. Hic finis undecimi Ctesiæ Cnidii librorum.

Ἄρχεται δὲ ὁ ιβ' [24] ἀπὸ τῆς Καμβύσου βασιλείας. Οὗτος βασιλεύσας ἀπέστειλε τὸν τοῦ πατρὸς νεκρὸν διὰ Βαγαπάτου τοῦ εὐνούχου [25] εἰς Πέρσας ταφῆναι [26], καὶ τἆλλα, ὡς ὁ πατὴρ ὥρισεν [27] διῳκήσατο. Μέγιστον δὲ παρ' αὐτῷ ἠδύνατο [55 H.] Ἀρτασύρας Ὑρκάνιος, τῶν δὲ εὐνούχων [28] Ἰζαβάτης [29] τε καὶ Ἀσπαδάτης καὶ Βαγαπάτης, ὃς καὶ παρὰ τῷ πατρὶ μέγιστος ἦν μετὰ [30] τὸν Πετησάκα θάνατον. Οὗτος στρατεύει ἐπ' Αἴγυπτον καὶ τῶν Αἰγυπτίων τὸν βασιλέα Ἀμυρταῖον, καὶ νικᾷ Ἀμυρταῖον, Κομβάφεως [31] τοῦ εὐνούχου [32] ὃς ἦν μέγα δυνάμενος παρὰ τῷ Αἰγυπτίων βασιλεῖ, καταπροδόντος τάς τε γεφύρας καὶ τἆλλα τῶν Αἰγυπτίων πράγματα, ἐφ' ᾧ γενέσθαι ὕπαρχος Αἰγύπτου. Καὶ γέγονε ταῦτα γὰρ αὐτῷ Καμβύσης διὰ Ἰζαβάτου τοῦ Κομβάφεως ἀνεψιοῦ συνέθετο, καὶ αὐτὸς δὲ [33] οἰκειοφώνως ὕστερον. Ζωγρίαν δὲ λαβὼν τὸν Ἀμυρταῖον οὐδὲν ἄλλο κακὸν εἰργάσατο ἢ ὅτι εἰς Σοῦσα ἀνάσπαστον σὺν ἑξακισχιλίοις Αἰγυπτίοις, οὓς αὐτὸς ᾑρετίσατο, ἐποιήσατο. Καὶ τὴν Αἴγυπτον δὲ πᾶσαν ὑπέταξεν. Ἀπέθανον δὲ ἐν τῇ μάχῃ Αἰγυπτίων μὲν μυριάδες πέντε, Περσῶν δὲ ἑπτακισχίλιοι [34].

Ita locutus, vivere desiit, tertio ab accepto vulnere die, cum annos jam regnasset triginta. Hic finis undecimi Ctesiæ Cnidii librorum.

Duodecimus liber a Cambysis regno inchoatur. Hic, regnum adeptus, patris mox corpus per Bagapatem eunuchum in Persidem sepeliendum misit, reliquaque ex patris decreto administravit. In iis autem qui plurimum auctoritate apud Cambysen valebant, Artasyras erat Hircanius, atque ex eunuchis Izabates, et Aspadates, et qui apud patrem etiam maximus fuerat, Bagapates. Hic enim post Petisacæ mortem exercitum adversus Ægyptum, ipsumque Ægyptiorum regem Amyrtæum ducebat, quem et B superavit, cum ei Combapheus, qui apud Ægyptiorum regem multum poterat, pontes ac cæteras Ægyptiorum res prodidisset, quo ipse [per Cambysen] Ægypti præfecturam consequeretur. Id quod et obtinuit. Nam hæc ita ei Cambyses constituerat, per Isabaten primum Combaphei patruelem, et suis ipse verbis poetea. **37** *b* Vivus autem Amyrtæus cum in Cambysæ potestatem venisset, aliud ille nullum incommodum accepit, quam quod in Susa cum sex Ægyptiorum millibus, quos ipsemet delegisset, ablegatus sit. Universa est itaque subacta Ægyptus, occisis in prælio Ægyptiorum millibus quinquaginta, Persarum septem.

Μάγος δέ τις Σφενδαδάτης [35] ὄνομα, ἁμαρτήσας καὶ μαστιγωθεὶς ὑπὸ Τανυοξάρκου, ἀφικνεῖται πρὸς Καμβύσην ἐνδιαβάλλων τὸν ἀδελφὸν Τανυοξάρκην ὡς ἐπιβουλεύοντα αὐτῷ· καὶ σημεῖον ἐδίδου τῆς ἀποστάσεως, ὡς εἰ κληθείη ἐλθεῖν, οὐκ ἂν ἔλθοι. Δηλοῖ τοίνυν ὁ Καμβύσης ἐλθεῖν τὸν ἀδελφόν· ὁ δέ, χρείας ἄλλης ἀπαιτούσης μένειν, ἀνεβάλετο. Παῤῥησιάζεται [36] ταῖς διαβολαῖς πλέον ὁ μάγος. Ἀμύτις δὲ ἡ μήτηρ τὰ τοῦ μάγου ὡς ἦν ὑπονοοῦσα, ἐνουθέτει Καμβύσην τὸν υἱὸν μὴ πείθεσθαι· ὁ δὲ ὑπεκρίνετο μὴ πείθεσθαι, ἐπείθετο δὲ μάλιστα. Διαπεμψαμένου δὲ τρίτον Καμβύσου πρὸς τὸν ἀδελφὸν παραγίνεται. Καὶ ἀσπάζεται μὲν αὐτὸν ὁ ἀδελφός, οὐδὲν [37] δὲ ἧττον ἀνελεῖν ἐμελέτα· κρύφα δὲ Ἀμύτιος εἰς πρᾶξιν ἀγαγεῖν τὴν μελέτην ἔσπευδε. Καὶ λαμβάνει πέρας ἡ πρᾶξις· ὁ γάρ τοι μάγος βουλῆς τῷ βασιλεῖ κοινωνῶν βουλεύει τοιοῦτον· Ὅμοιος ἦν αὐτὸς ὁ μάγος κάρτα τῷ Τανυοξάρκῃ [38]· βούλεύει τοιγαροῦν αὐτὸν μὲν ἐν τῷ φανερῷ, ὡς δῆθεν ἀδελφοῦ βασιλέως κατειπόντα, τὴν κεφαλὴν προστάξαι ἀποτμηθῆναι, ἐν δὲ τῷ κρυπτῷ ἀναιρεθῆναι Τανυοξάρκην, καὶ τὴν ἐκείνου στολὴν ἀμφιασθῆναι τὸν μάγον, ὥστε καὶ τῷ ἀμφιάσματι νομίζεσθαι Τανυοξάρκην. Καὶ γίνεται ταῦτα· αἵματι γὰρ ταύρου, ὃ ἐξέπιεν, ἀναιρεῖται Τανυοξάρκης, ἀμφιάζεται δὲ ὁ μάγος καὶ νομίζεται

Magus interim quidam, cui Sphendadatæ (85) nomen erat, cum fuisset ob delictum a Tanyoxarco C verberibus multatus, ad Cambysen accedit, atque apud eum fratrem struxisse in ipsum insidias calumniatur. Addit argumentum rebellionis : non venturum Tanyoxarcen, si advocetur. Jubet igitur Cambyses fratrem ad se venire. Ille, ut tum forte alia res quæpiam manere suadebat, venire distulit. Ergo magus eum audacius ex eo criminari. Amytis interea mater, id quod erat de mago suspicata, Cambysen filium admonebat, ne quam fidem mago haberet. Et fingebat rex, nihil se horum credere, cum tamen crederet maxime. Tertium igitur a Cambyse accersitus frater, venit tandem : et amplexatus est eum rex, nihilo tamen secius de illo interficiendo cogitans. Maturat autem clam matre Amyti meditatum facinus ad exitum perducere : quod equidem perfectum est. Etenim magus, consilium cum rege D communicans, tale hoc suggessit. Simillimus Tanyoxarcæ magus ipse cum esset, suadet ut palam quidem atque in propatulo, tanquam falso regii fratris delatori caput sibi amputari jubeat ; clam vero atque in occulto Tanyoxarcen ipsum interfici curet, et illius sibi vestem indui, ut ex ipso etiam vestitu pro Tanyoxarce haberi possit. Atque ita fa-

VARIÆ LECTIONES.

[22] εἰπὼν ς. [23] ια'] πρῶτος A. [24] ιβ'] δεύτερος A. [25] εὐνούχου A : ἡμιάῤῥενος ς. [26] ταφῆναι νεκρὸν. καὶ ς. [27] ὡρίσατο ς. [28] εὐνούχων A : ἡμιαῤῥένων ς. [29] ἰζαλβάτης A. [30] ἦν. καὶ μετὰ ς. [31] Κομφαβέως. [32] ἡμιαῤῥενος ς. [33] δὲ ante οἰκ. add. A. [34] post ἑπτακισχίλιοι cum A omisi δύο. [35] Σφανδαδάτης ς. [36] παῤῥ. δὲ ταῖς ς. [37] ἀδελφὸς ἐπεὶ οὐδὲν ς. [38] τανυοξάρχει A.

NOTÆ.

(85) *Smerden magum* constanter Herodotus vocat.

etum est. Taurino (86) enim hausto sanguine Tanyoxarces interit, et illius indutus vestem magus, pro Tanyoxarce agnoscitur, diuque latet omnes, præter Artosyran, Bagapaten, atque Izabaten. His quippe solis rem aperire Cambyses ausus est. Rex inde Labyzum, qui inter Tanyoxarcæ eunuchos facile primus erat, et præter hunc alios ad se vocat : magum in illa veste sedentem exhibet, et numquid hunc Tanyoxarcen agnoscerent, interrogat. Ad quæ Labyzus : Et quemnam, inquit, alium agnosceremus ? adeo texit magum corporis habitusque similitudo. Mittitur ergo in Bactrios, omniaque haud aliter quam si ipsemet esset Tanyoxarces, administrat. Post quintum tandem annum res tota per Tybetheum eunuchum, **38***a* quem magus pulsaverat, Amyti exponitur. Postulat hæc sibi Sphendadaten a Cambyse dedi. At rex dedere noluit : quamobrem diras illi imprecata, epotoque veneno, moritur. Accidit deinde ut, sacra operante Cambyse, cum victimæ jugularentur, sanguis non flueret : qua sane ex re animo concidere cœpit; ac magis etiam postea, quando ei Roxane carentem capite puerum peperit ; et magi renuntiarunt. nullum ab eo regni successorem relictum iri, hisce monstris portendi. Quin et astans noctu in somnis mater, minasque ob perpetratam cædem intentans, longe maxime regem perculit. Cum itaque Babylonem venisset, atque ibi parvum lignum cultro poliens, quo tempus falleret, femoris musculum percussisset, undecimo post die mortem obiit, cum annos regnasset duodeviginti.

A Τανυοξάρκης. Καὶ λανθάνει πάντας ἐπὶ πολὺν χρόνον, πλὴν Ἀρτασύρα καὶ Βαγαπάτου [39] καὶ Ἰζαβάτου · τούτοις γὰρ μόνοις Καμβύσης ἐθάρρησε τὴν πρᾶξιν. Λάβυζον [40] δὲ τῶν εὐνούχων [41] τὸν πρῶτον, οἳ ἦσαν Τανυοξάρκεω, προσκαλεσάμενος ὁ Καμβύσης καὶ τοὺς ἄλλους, ὑποδείξας [42] τὸν μάγον ὡς ἐσχηματίστο καθεζόμενον, Τοῦτον ἔφη νομίζετε Τανυοξάρκην ; Ὁ δὲ Λάβυξος θαυμάσας Καὶ τίνα ἄλλον, ἔφη, νομιοῦμεν ; [113 R.] τοσοῦτον ἐλάνθανε τῇ ὁμοιότητι ὁ μάγος. Ἐκπέμπεται οὖν εἰς Βακτρίους, καὶ πράττει πάντα ὡς Τανυοξάρκης. Πέντε δὲ ἐνιαυτῶν διελθόντων, μηνύεται ἡ Ἀμύτις τὸ δρᾶμα διὰ Τιβέθεως τοῦ εὐνούχου [43], ὃν ὁ μάγος τυπτήσας ἐτύγχανε · καὶ αἰτεῖ τὸν Σφενδαδάτην [44] παρὰ Καμβύσου · ὁ δὲ οὐ δίδωσιν. Ἡ δὲ ἐπαρᾶται, καὶ πιοῦσα φάρμακον τελευτᾷ. Θύει ὁ Καμβύσης, καὶ τῶν ἱερείων σφαζομένων αἷμα οὐκ ἀπορρεῖ, [56 H.] καὶ ἀθυμεῖ. Καὶ τίκτει αὐτῷ ἡ Ῥωξάνη παιδίον ἀκέφαλον, καὶ πλέον ἀθυμεῖ · καὶ οἱ μάγοι λέγουσιν αὐτῷ τὴν τῶν τεράτων δήλωσιν, ὅτι οὐ καταλείψει [45] τῆς ἀρχῆς διάδοχον. Καὶ ἐφίσταται αὐτῷ ἡ μήτηρ ἐν νυκτὶ ἀπειλοῦσα τῆς μιαιφονίας, καὶ πλέον ἀθυμεῖ. Ἀφικόμενος δὲ εἰς Βαβυλῶνα, καὶ ξέων ξυλάριον μαχαίρᾳ διατριβῆς χάριν, παίει τὸν μηρὸν εἰς τὸν μῦν, καὶ ἑνδεκαταῖος τελευτᾷ, βασιλεύσας δυοῖν δέοντα εἴκοσι.

B

Bagapates autem et Artasyras consilium, antequam Cambyses moreretur, inierunt, de regno ad magum deferendo ; et vero post illius mortem detulere. Corpus Cambysæ Izabates sumptum in Persidem avexit. Unde aliquando reversus, regnantem jam sub Tanyoxarcæ nomine magum prodere apud universum exercitum, atque infamare aggressus, in templum confugit, verum inde extractus, capite pœnas luit. Hinc septem inter Persas illustres viri una adversus magum conspiravere, Onophas, Idernes, Norodabares, Mardonius, Barises, Ataphernes, et Darius Hystaspe filius. Hi cum primi inter se fidem dedissent, post etiam Artasyras assumitur, et Bagapates præterea, qui claves omnes regiarum ædium in potestate habebat. Septem ergo illi, Bagapatæ opera, in regias ædes ingressi, dormientem cum Babylonia pellice magum offendunt. Quos ille, ut vidit, subito prosiliit, et cum nullum sese telum bellicum offerret (clam enim omnia Bagapates subtraxerat), sedile forte aureum confregit, ejusque arrepto pede pugnare cœpit, dum tandem a se-

C

D

Βαγαπάτης δὲ καὶ Ἀρτασύρας, πρὶν ἢ Καμβύσης τελευτήσει, ἐβουλεύσαντο βασιλεῦσαι τὸν μάγον · καὶ ἐβασίλευσεν [46] ἐκείνου τελευτήσαντος. Λαβὼν δὲ τὸ Καμβύσου σῶμα Ἰζαβάτης [47] ἦγεν εἰς Πέρσας. Τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Τανυοξάρκου ἦκεν Ἰζαβάτης ἐκ Περσίδος, καὶ κατειπὼν τῇ στρατιᾷ πάντα [48] καὶ θριαμβεύσας τὸν μάγον κατέφυγεν εἰς τὸ ἱερόν, ἐκεῖθέν τε συλληφθεὶς ἀπετμήθη. Ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης [49], Μαρδόνιος, Βαρίσσης [50], Ἀταφέρνης καὶ Δαρεῖος Ὑστάσπεω. Τούτων ἀλλήλοις πίστεις δόντων προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας, εἶτα καὶ ὁ Βαγαπάτης, ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. Καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. Ὡς δὲ εἶδεν, ἀνεπήδησε, καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων (πάντα γὰρ ὁ Βαγαπάτης λάθρα ὑπεξήγαγε) δίφρον χρύσεον συντρίψας καὶ λαβὼν τὸν πόδα ἐμάχετο, καὶ τέλος κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά.

VARIÆ LECTIONES.

[39] Βαγαπάθου ς. [40] Λάβυζον—Λάβυζος ς. [41] ἡμιαρρένων ς. [42] ὑποδ.] καὶ ὑποδ. ς. [43] ἡμιάρρενος ς. [44] Σφανδαδάτης ς. [45] οὐκ ἐγκαταλείψει ς. [46] libri ἐβασίλευσαν. [47] Ἰξαβάνης ς. [48] πάντα A · πάσῃ ς. [49] Νοροδαβάτης ς. [50] Βαρίσης ς.

NOTÆ.

(86) Venenosum eum esse docent medici, et non alio veneno exstincti Midas, Themistocles, alii. Vide infr. cod. 190, lib. III, Ptolem. Hephæst.

Βασιλεύει δὲ τῶν ἑπτὰ ὁ Δαρεῖος, τοῦ ἵππου, καθὰ συνέκειτο ἀλλήλοις, πρώτου [51] μηχανῇ τινι καὶ τέχνῃ, ἐπειδὰν ὁ ἥλιος πρὸς ἀνατολὰς ἐγένετο, χρεμετίσαντος. Ἄγεται τοῖς Πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ' ἣν Σφενδαδάτης ὁ μάγος ἀνῄρηται.

(1) Hæreticus, supr. cognominatur, cod. 41 ;. alibi *Fullo*, Antiochenæ sedis raptor.

(2) Quem lege apud Suid. in Zenone.

LXXX.

Olympiodori historiarum libri XXII.

Lecti sunt *Olympiodori Historiarum* libri duo et viginti, ducto initio ab Honorii Romani imperatoris consulatu septimo, et Theodosii secundo : deducitque historiam ad id usque tempus, quo Valentinianus, Placidæ et Constantii filius, Romanus imperator declaratus est. Scriptor hic ortum ducit Ægyptiacis Thebis, professione poeta, ut de se fatetur, religione vero gentium imbutus. Dictio illi clara ; remissa tamen ac dissoluta, et in protritam devoluta verborum affluentiam. Oratio itaque indigna ut historiæ adnumeretur : cujus ipse fortasse conscius, non historiam hanc a se adornari, sed materiam duntaxat, seu Commentarium Historiæ suppeditari contendit. Adeo informis ac specie carens, etiam ipsemet dictionis suæ character visus est. Et vero nulla idea hic enitet, nisi quis eum alibi simplicitati accedere contendat ; etsi neque hanc attingat, dum nimis humili ac vili dictionis genere usus, in idiotismum plebeiumque sermonem prorsus delabitur. Et licet *Silvam* suum ipse opus appellet, libris tamen distinguit, præfationibusque ornare nititur. Historiam inscribit Theodosio [Minori] imperatori qui Arcadii filius, Honorii ac Placidiæ patruelis fuit.

Narrat itaque Stelichonem ad magnam pervenisse potentiam, cum eum Theodosius Magnus parens ipse, suis liberis Arcadio atque Honorio tutorem imposuisset, ac præterea uxorem Serenam duxisset, a Theodosio æque ipsi desponsam. Post etiam, filia sua Thermantia nuptui Honorio imperatori data, illum sibi generum ascivisse : indeque ad summam prorsus evectum potentiam. Multa pro Romanis cum variis gentibus bella gessisse feliciter, donec sanguinaria (3) immanique Olympii opera (qui per Stelichonem imperatori familiaris factus fuerat) ferro mortem excepit (4).

Addit Alarichum Gothorum præfectum, **57***a* quem olim evocarat Stelicho, ut Honorio Illyricum armis teneret (hæc enim illi provincia a parente Theodosio in partitione regni obvenerat) tum ob Stelichonis cædem, tum quod promissum illi datum non esset, cinxisse, et cepisse Romam, in eaque urbe incredibilem argenti vim præda avertisse. Quin et Honorii Placidiam (5), Romæ tum agentem, captivam habuisse. Ante captam vero urbem illustrem tum virum, cui Attalo (6)

A

II'.

Ὀλυμπιοδώρου ἱστορίας λόγοι κβ.

Ἀνεγνώσθησαν Ὀλυμπιοδώρου Ἱστορικοὶ λόγοι κβ'. Ἄρχεται ἀπὸ τῆς Ὁνωρίου τοῦ βασιλέως Ῥώμης τῆς ὑπατείας τὸ ἕβδομον καὶ Θεοδοσίου τὸ δεύτερον [16], κατέρχεται δὲ μέχρις ὅτου Βαλεντινιανὸς ὁ Πλακιδίας [17] καὶ Κωνσταντίνου [18] παῖς εἰς τὴν βασίλειον τῆς Ῥώμης ἀνερρήθη [104 H.] ἀρχήν. Οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστιν, ἐκ τῶν πρὸς Αἴγυπτον Θηβῶν τὸ γένος ἔχων, ποιητὴς [19], ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα, Ἕλλην τὴν θρησκείαν, σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν, ὥστε μηδ' ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος. Ὁ καὶ αὐτὸς ἴσως συνιδὼν οὐ συγγραφὴν αὐτῷ ταῦτα κατασκευασθῆναι, ἀλλὰ ὕλην συγγραφῆς ἐκποισθῆναι διαβεβαιοῦται· οὕτως ἄμορφος καὶ ἀνίδεος [20] καὶ αὐτῷ τοῦ λόγου ὁ χαρακτὴρ κατεφαίνετο. Καὶ γὰρ οὐδεμιᾷ τῶν ἰδεῶν καλλωπίζεται, πλὴν εἴ τις ἔν τισι τῇ ἀφελείᾳ πλησιάζειν ἐκβιάσοιτο· τῷ γὰρ λίαν ταπεινῷ καὶ ἐξηυτελισμένῳ καὶ ταύτης ἐκπίπτων εἰς ἰδιωτισμὸν ὅλως ὑπενήνεκται. Ὕλην δὲ αὐτὸς ἱστορίας ταῦτα καλῶν, ὅμως καὶ λόγοις διαιρεῖ καὶ προοιμίοις πειρᾶται κοσμεῖν, καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ὁνωρίου καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ.

Διαλαμβάνει τοίνυν περὶ Στελίχωνος, ὅσην τε περιεβέβλητο δύναμιν, καταστὰς ἐπίτροπος [21] τῶν παίδων Ἀρκαδίου καὶ Ὁνωρίου ὑπ' αὐτοῦ τοῦ πατρὸς αὐτῶν Θεοδοσίου τοῦ Μεγάλου, καὶ ὡς Σερῆναν νόμῳ γάμου ἠγάγετο, Θεοδοσίου καὶ ταύτην αὐτῷ κατεγγήσαντος. Ὅτι τε μετὰ ταῦτα Στελίχων εἰς τὴν ἑαυτοῦ Θερμαντίαν τὸν βασιλέα Ὁνώριον γαμβρὸν ἐποιήσατο, καὶ ὡς ἐπὶ πλεῖστον ἔτι μᾶλλον ἦρθη δυνάμεως, καὶ πολλοὺς πολέμους ὑπὲρ Ῥωμαίων πρὸς πολλὰ τῶν ἐθνῶν κατώρθωσε· καὶ ὅτι μιαιφόνῳ καὶ ἀπανθρώπῳ σπουδῇ Ὀλυμπίου, ὃν αὐτὸς τῷ βασιλεῖ προσωκείωσε, τὸν διὰ ξίφους ὑπέμεινε θάνατον.

[180 R.] Ὅτι Ἀλάριχος ὁ τῶν Γότθων φύλαρχος, ὃν Στελίχων μετεκαλέσατο ἐπὶ τῷ φυλάξαι Ὁνωρίῳ τὸ [22] Ἰλλυρικὸν (τῇ γὰρ αὐτοῦ ἦν παρὰ Θεοδοσίου τοῦ πατρὸς ἐκνενεμημένον βασιλείᾳ), οὗτος ὁ [23] Ἀλάριχος διά τε τὸν φόνον Στελίχωνος, καὶ ὅτι ἃ συνέκειτο αὐτῷ οὐκ ἐλάμβανε, πολιορκεῖ καὶ ἐκπορθεῖ τὴν [24] Ῥώμην· ἐξ ἧς χρήματά τε ἄπειρα ἐξεκόμισε, καὶ τὴν ἀδελφὴν Ὁνωρίου Πλακιδίαν ἐν Ῥώμῃ διάγουσαν ἠχμαλώτισε. Καὶ πρὸ τῆς ἁλώσεως δέ ἔνα τινὰ τῶν κατὰ τὴν Ῥώμην ἐπιδόξων (Ἄττα-

VARIÆ LECTIONES.

[16] τοῦ δευτέρου ς. [17] πλακίδας | r. A. [18] Κωνσταντίου Schottus, Sylburgius. Labbeus. [19] ποιητὴς i. e, operator chymicus. Vid. Fabric. Biblioth. Gr. t. VII, p. 541, ed. Harles. [20] ἀνείδεος libri· [21] ἐπίτροπος add. A. [22] τῷ] τὸ A. [23] ὁ] οὖν ὁ ς. [24] τὴν πόλιν ῥώμην A.

NOTÆ.

(3) Ita pietate insignem virum Christianum perstringit homo ethnicus, ut et Zosimus, lib. v. Laudat tamen binis ad eum datis litteris B. Augustinus, epist. 124, 129.

(4) Manu Heracliani, qui hujus facinoris præmium accepit Africæ præfecturam. Ejus et inf. mentio fit ab hoc auctore.

(5) Quæ Galla Placidia dicta.

(6) Priscus Attalus vocatus est, teste Sozomeno lib. IX, cap. 8.

λος ἦν ὄνομα αὐτῷ) τὴν ἐπαρχότητα τότε διέποντα εἰς βασιλέα ἀνηγόρευσεν. Ἐπράχθη δὲ αὐτῷ ταῦτα διά τε τὰς προειρημένας αἰτίας, καὶ ὅτι Σάρον, καὶ αὐτὸν Γοτθον ὄντα, καὶ πλήθους, μὲν ὀλίγου ἐπάρχοντα (ἄχρι γὰρ σ' ἢ καὶ τ' αὐτῷ ὁ λαὸς ἐξετείνετο), ἄλλως δὲ ἡρωϊκόν τινα καὶ ἐν μάχαις ἀκαταγώνιστον, τοῦτον ὅτι Ῥωμαῖοι ἡταιρίσαντο δι' ἔχθρας Ἀλαρίχῳ ὄντα, ἄσπονδον ἐχθρὸν Ἀλάριχον [25] ἐποιήσαντο. Ὅτι ἐν τῇ πολιορκίᾳ τῆς Ῥώμης ἀλληλοφαγία τῶν ἐνοικούντων ἐγίνετο. Ὅτι Ἀλάριχος ἔτι ζῶντος Στελίχωνος μ' κεντηνάρια μισθὸν ἔλαβε τῆς ἐκστρατείας. Ὅτι μετὰ θάνατον Στελίχωνος ἀναιρεῖται ἐναποπνιγεῖσα καὶ Σερῆνα [26] ἡ τούτου γυνή, αἰτία νομισθεῖσα τῆς ἐπὶ Ῥώμην ἐφόδου Ἀλαρίχου· ἀναιρεῖται δὲ πρότερον μετὰ τὴν [105 H.] ἀναίρεσιν Στελίχωνος [27] ὁ ταύτης κἀκείνου παῖς Εὐχέριος. Ὅτι τὸ Βουκελλάριος ὄνομα ἐν ταῖς ἡμέραις Ὀνωρίου ἐφέρετο κατὰ στρατιωτῶν οὐ μόνον Ῥωμαίων ἀλλὰ καὶ Γότθων τινῶν· ὡς δ' αὕτως καὶ τὸ φοιδεράτων κατὰ διαφόρου καὶ συμμιγοῦς ἐφέρετο πλήθους. Ὅτι Ὀλύμπιος ὁ ἐπιβουλεύσας Στελίχωνα μάγιστρος τῶν ὀφφικίων γέγονεν, εἶτα ἐξέπεσε τῆς ἀρχῆς, εἶτα πάλιν ἐπέβη ταύτης, ἔπειτα ἐξέπεσεν, εἶτα ἐκπεσὼν ῥοπάλοις ὕστερον ὑπὸ Κωνσταντίου [28], ὃς ἠγάγετο Πλακιδίαν, παιόμενος ἀναιρεῖται, τὰς ἀκοὰς πρότερον ἐκκοπείς· καὶ ἡ δίκη τὸν ἀνοσιουργὸν εἰς τέλος οὐκ ἀφῆκεν [29] ἀτιμώρητον. Ὅτι τῶν μετὰ Ῥοδογάϊσον Γότθων οἱ κεφαλαιῶται [30] ὀπτίματοι ἐκαλοῦντο, εἰς δώδεκα συντείνοντες χιλιάδας, οὓς καταπολεμήσας Στελίχων Ῥοδογάϊτον προσηταιρίσατο. Ὅτι Ἀλαρίχου νόσῳ τελευτήσαντος διάδοχος αὐτοῦ Ἀδαοῦλφος καθίσταται, ὁ τῆς γυναικὸς ἀδελφός Ὅτι τὸν ξηρὸν ἄρτον βουκελλάτον ὁ συγγραφεὺς καλεῖσθαί φησι, καὶ χλευάζει τὴν τῶν στρατιωτῶν ἐπωνυμίαν, ὡς ἐκ τούτου Βουκελλαρίων ἐπικληθέντων.

Ὅτι Κωνσταντῖνος εἰς τυραννίδα ἀρθεὶς πρεσβεύεται πρὸς Ὀνώριον, ἄκων βιασθεὶς ἀπολογούμενος ἄρξαι, συγγνώμην δὲ αἰτῶν καὶ τὴν τῆς βασιλείας ἀξιῶν κοινωνίαν· καὶ Βασιλεὺς διὰ τὰ ἐνεστηκότα δυσχερῆ τέως καταδέχεται τὴν τῆς βασιλείας κοινωνίαν. Κατὰ τὰς Βρεττανίας δὲ ὁ Κωνσταντῖνος ἐτύγχανεν ἀνηγορευμένος, στάσει τῶν ἐκεῖσε στρατιωτῶν εἰς ταύτην ἀνηγμένος τὴν ἀρχήν. Καὶ γὰρ ἐν ταύταις ταῖς Βρεττανίαις, πρὶν ἢ Ὀνώριον τὸ ἕβδομον ὑπατεῦσαι, εἰς στάσιν ὁρμῆσαν τὸ ἐν αὐταῖς στρατιωτικὸν Μάρκον τινα ἀνεῖπον αὐτο-

A nomen, summam præfecturam gerentem, imperatorem renuntiasse. Actaque esse hæc ob eas, quas diximus causas, et ob Sarum (7), Gotthum item genere, sed paucorum hominum præfectum (vix enim ducentos, aut summum, trecentos ductabat), cætera generosum virum, armisque invictum, quem quod socium sibi Romani adjunxissent, Alarichi infestum hostem, in perpetuum idcirco hunc renuntiasse Sari amicitiæ. In hac urbis obsidione mutua carne pastos obsessos. Alarichum, vivente etiamnum Stelichone, militiæ mercedem centenarios quadraginta accepisse. Post Stelichonis interitum, suffocatam periisse, et Serenam (8) ejus conjugem, quod Alarichi ad urbem adventus causa extitisse putaretur. Interfectum antea, interempto jam Stelichone, filium ejus ex Serena Eucherium. B Buccellarii (9) vocabulum Honorii imperatoris temporibus tributum militibus, non Romanis solum, sed et Gotthis quibusdam. Eodem modo et *fœderatorum* nomen attributum inconditæ, et e diversis conflatæ multitudini. Olympium illum, qui Stelichoni insidiatus erat, officiosum magistrum factum, ea post dignitate excidisse. Dehinc iterum potitum, rursum privatum esse : tandem fustibus a Constantio, qui Placidiam uxorem duxerat, mactatum occubuisse, cum ei ante cædem auriculæ resectæ fuissent. Ita impium (10) illum non impunitum obiisse. Gotthorum, qui cum Rodogaiso erant, primarios viros, *optimatos* appellatos ait, duodecim fere millium numero (11), quibus omnibus debellatis, Stelichonem cum Rodogaiso societatem iniisse (12). Alaricho morbi vi exstincto successorem datum Adaulphum, uxoris fratrem. **576** Panem siccum scriptor hic buccellatum (13) vocari tradit, illuditque militum cognomini, ut qui hinc Buccellarii sint appellati. C

Constantinus ad imperium tyrannice sublatus, ad Honorium legatos mittit excusantes, invitum illum, et a militibus coactum, imperium suscepisse ; veniam igitur postulare, societatemque imperii. Imperator propter impendentes molestias tantisper suscepit in societatem. Constantinus hic in Britannia renuntiatus fuerat, militari tumultu ad imperium adactus. Etenim ante Honorii consulatum septimum, in seditionem illic versus exercitus, Marcum quemdam imperatorem crearat : quo ab ipsis sublato, Gratianus suffectus est. Hic D

VARIÆ LECTIONES.

[25] Ἀλάριχος ἐποιήσατο ς. [26] καὶ Σερῆνα A : καισαρίνα ς. [27] παῖς ὁ Εὐχ. ς. [28] Κωνσταντίνου ς. [29] ἀφεῖκεν ς. [30] κεφαλιῶται ς.

NOTÆ.

(7) Idem alias Asarus appellatur, ut apud Zosim. inf. cod. 98.

(8) Σερηνίαν lego.

(9) Buccellarii Suidæ Gallo-Græciæ milites. Plura Turneb. lib. XXIV, cap. 16, et lib. XXVI, cap. 15. Vide etiam Constant. Porphyrogennetæ lib. *De Thematib.*, ubi sextum describit Buccellariorum fuisse, et præ cæteris Nicol. Rigaltii *Glossar.* ταχτικόν.

(10) Sic, homo impie, Christianum et laudatum virum appellare audes?

(11) Unde Zosimi calculus de quadringentorum millium exercitu fidem non plane excedere videtur.

(12) Atqui a Stelichone captum atque necatum referunt, Prosper, Cassiodorus, Orosius, et S. Augustinus lib. V de civitate Dei, cap. 29.

(13) Vide supr. paulo Buccellarii, ex Turnebo.

ubi menses quatuor, illis jam fastidio ductis, præterfuisset, interficitur. Tum Constantinus Augusti nomine salutatur. Is Justinum, et Neovigasten, militarium copiarum duces creans, relicta Britannia, cum suis trajecit, venitque Bononiam (14), maritimam urbem sic dictam, primam in Galliæ finibus positam. Ibi moratus, Gallum omnem, et Acytarum (15) militem sibi adjungens, omni est Gallia potitus ad Alpes usque, quæ Italiam a Gallia separant. Huic filii duo erant, Constans, et Julianus. Illum Cæsarem constituit ; Julianum deinde eo ipso tempore nobilissimum nominavit.

A κράτορα · τοῦ δὲ ὑπ' αὐτῶν [31] ἀναιρεθέντος Γρατιανὸς αὐτοῖς ἀντικαθίσταται · ἐπεὶ δὲ καὶ οὗτος εἰς τετράμηνον αὐτοῖς προσκορὴς γεγονὼς ἀπεσφάγη, Κωνσταντῖνος τότε εἰς τὸ τοῦ αὐτοκράτορος ἀναβιβάζεται ὄνομα. [181 R.] Οὗτος Ἰουστῖνον καὶ Νεοβιγάστην στρατηγοὺς προβαλόμενος [32], καὶ τὰς Βρεττανίας ἐάσας, περαιοῦται ἅμα [33] τῶν αὐτοῦ ἐπὶ Βονωνίαν, πόλιν οὕτω καλουμένην, παραθαλασσίαν καὶ πρώτην ἐν τοῖς τῶν Γαλλιῶν [34] ὁρίοις κειμένην. Ἔνθα διατρίψας, καὶ ὅλον τὸν Γάλλον καὶ Ἀκύτατον [35] στρατιώτην ἰδιοποιησάμενος, κρατεῖ πάντων τῶν μερῶν τῆς Γαλατίας [36] μέχρι τῶν Ἄλπεων τῶν μεταξὺ Ἰταλίας τε [37] καὶ Γαλατίας [38] · οὗτος δύο παῖδας ἔσχε, Κώνσταντα καὶ Ἰουλιανόν, ὧν τὸν μὲν Κώνσταντα Καίσαρα χειροτονεῖ, εἶτα ὕστερον κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τὸν Ἰουλιανὸν νωβελίσσιμον.

Attalus contra Honorium imperans, ad Ravennam castrametatus est, missusque ad illum tanquam ab Honorio imperatore ad imperatorem (16) Jovinianus præfectus atque patricius, et Valens, utriusque militiæ dux, et Potamius quæstor, et Julianus notariorum primicerius. Hi Attalo significant ab Honorio sese missos ut cum illo de imperii societate tractent. Abnuit vero ille : concedere tamen se, ut insulam inhabitet malorum expers Honorius, vel alium certe quem velit locum. Respondet adhæc lætabundus Jovianus, indicatque exutum jam ab Attalo una regni parte Honorium imperatorem. Quare Jovium Attalus increpando, nullum ferre morem dixit, ut spoliari dicendus sit imperator, qui sponte sua imperio abdicaret. Verum Jovianus **58***a* sæpenumero legatione obita, neque quidquam proficiens, mansit tandem apud Attalum, illiusque patricius est appellatus. Ravennæ interim delabitur ad Eusebium (17) præpositum (18) potestas : qui post non diu (19), Allovichi violentia, ac decreto publico, in oculis imperatoris fustibus est occisus. Post etiam dum Alaricho (20) non acquiescit Attalus, et vero maxime Jovii opera, qui Honorii legatos prodiderat, imperio dejicitur manetque privatam apud Alarichum vitam degens. Deinde non multo post iterum imperavit, ac rursum abdicare coactus est. Post hæc tandem ad Ravennam profectus, et summis dexteræ manus digitis truncatus proscribitur. Allovichus item post paulo, quod Eusebium præpositum sustulisset, imperatoris sententia pœnas dedit, atque in ejus conspectu occiditur (21). Constantinus tyrannus, cognita Allovichi morte,

B Ὅτι Ἄτταλος βασιλευσὰς κατὰ Ὀνωρίου ἐπὶ Ῥάβενναν ἐκστρατεύεται, καὶ πέμπεται πρὸς αὐτὸν, ὡς ἐκ βασιλέως Ὀνωρίου πρὸς βασιλέα, Ἰοβιανὸς [39] ἔπαρχος καὶ πατρίκιος, καὶ Οὐάλης στρατηγὸς ἑκατέρας δυνάμεως, καὶ Ποτάμιος ὁ κυαίστωρ, καὶ Ἰουλιανὸς πριμικήριος τῶν νοταρίων · οἳ ἐδήλουν Ἀττάλῳ ἐπὶ κοινωνίᾳ τῆς βασιλείας ἀπεστάλθαι παρὰ Ὀνωρίου. Ὁ δὲ ἀπένευσεν, ἀλλὰ νῆσον οἰκεῖν ἢ ἕτερόν τινα τόπον, ὃν ἂν βούλοιτο, συγχωρεῖν Ὀνώριον, κακῶν ἀπαθῆ. Ἀποκρίνεται δὲ Ἰοβιανὸς ἡσθεὶς, [106 H.] ἐπαγγελλόμενος καὶ σινῶσαι καθ' ἑνὸς μέλους [40] τὸν βασιλέα Ὀνώριον. Ἐφ' ᾧ ἐπετίμησεν Ἄτταλος Ἰοβιανῷ [41], ὡς οὐθενὸς ἔθους ὄντος σινοῦσθαι βασιλέα ἑκόντι τὴν βασιλείαν ἀποτιθέμενον. Ἀλλὰ Ἰοβιανὸς μὲν πολλάκις πρεσβεύσας καὶ μηδὲν ἀνύσας καταμένει πρὸς Ἄτταλον, πατρίκιος Ἀττάλου ὀνομασθείς, μετέρχεται δὲ κατὰ τὴν Ῥάβενναν ἐπὶ τὸν πρεπόσιτον Εὐσέβιον ἡ δυναστεία, ὃς μετὰ ἱκανὸν χρόνον Ἀλλοβίχου [42] ἐπηρείᾳ καὶ ὑποθήκῃ δημοσίᾳ καὶ ἐπ' ὄψεσι τοῦ βασιλέως ῥάβδοις ἀναιρεῖται. Χρόνος ἔῤῥευσεν ἱκανὸς, καὶ μὴ πειθόμενος Ἄτταλος Ἀλαρίχῳ, σπουδῇ δὲ μάλιστα Ἰοβιανοῦ, ὃς ἦν τὴν Ὀνωρίου πρεσβείαν προδεδωκως, καθαιρεῖται τῆς Βασιλείας, καὶ μένει τὸν ἰδιώτην παρὰ Ἀλαρίχῳ βίον ἀνθῃρημένος. Ἔπειτα μετὰ χρόνον τινὰ βασιλεύει, εἶτα καθαιρεῖται. Καὶ μετὰ ταῦτα ὕστερον ἐπὶ Ῥάβενναν παραγεγονὼς καὶ τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους ἀκρωτηριασθεὶς ἐξορίᾳ παραπέμπεται [43]. Ὅτι Ἀλλόβιχος μετὰ βραχὺ, τὴν ἐφ' ᾧ τὸν πρεπόσιτον Εὐσέβιον ἀνεῖλε δίκην τινὺς, γνώμῃ τοῦ βασιλέως κατὰ πρόσωπον αὐτοῦ ἀναιρεῖται · καὶ Κωνσταντῖνος ὁ τύραννος τὸν Ἀλλοβίχου

C

D

VARIÆ LECTIONES.

[31] αὐτοῦ ς. [32] libri προσβαλλόμενος. [33] των A : τοῖς ς. [34] Γαλα τῶν ὅροις ς. [35] ἀκύταλλον A, ἀκύταρον ς. correxit Schottus. [36] Γαλλίας ς. [37] τε add. A. [38] Γαλλίας ς. [39] Ἰωβιανὸς ς sic et infra. [40] μέρους ς. [41] Ἰωβίῳ ς. [42] ἀλοβίχου A. [43] περιπεμπεται ς.

NOTÆ.

(14) Burboniam legitur apud Sozomenum lib. IX, cap. 11.

(15) Aquitanum emenda, ex Sozom. supr. et Sigon. lib. X.

(16) Zosimus lib. V extr. Jovium hunc perpetuo vocat. Photii editio inconstantior est.

(17) Sacri cubiculi. Vide Zosimum lib. V, et Sigon. lib. X.

(18) Δυναστεία. *Jovii* ἐπαρχίαν τῆς αὐλῆς hic accipio. Hanc enim secundæ post principem potestatis fuisse, viri docti notarunt.

(19) Ellobichum vocat Sigon. lib. XI, *hic Occident. imper.* Ebodichum Sozom. lib. IX, cap. 13.

(20) De Africana expeditione legendus Zosimus lib. 6.

(21) Aliter hæc Sozom. lib. IX, cap. 13.

θάνατον μαθών, ἐπειγόμενος πρὸς Ῥάβενναν ὥστε σπεί- A σασθαι Ὀνωρίῳ, φοβηθεὶς ὑποστρέφει.

Ravenam accedens, ut cum Honorio fœdus iniret (22) metu perculsus revertit.

Ὅτι τὸ Ῥήγιον μητρόπολίς ἐστι τῆς Βοεττίας [44], ἐξ οὗ φησιν ὁ ἱστορικὸς Ἀλάριχον ἐπὶ Σικελίαν βουλόμενον περαιωθῆναι ἐπισχεθῆναι· ἄγαλμα γάρ, φησί, τετελεσμένον ἱστάμενον ἐκώλυσε [45] τὴν περαίωσιν· Τετέλεστο δέ, ὡς μυθολογεῖ, παρὰ τῶν ἀρχαίων ἀποτρόπαιόν τε τοῦ ἀπὸ τῆς Αἴτνης πυρὸς καὶ πρὸς κώλυσιν παρόδου διὰ θαλάσσης βαρβάρων· ἐν γὰρ τῷ ἑνὶ ποδὶ πῦρ ἀκοίμητον ἐτύγχανε, καὶ ἐν τῷ ἑτέρῳ ὕδωρ ἀθιάφθορον. Οὗ καταλυθέντος ὕστερον ἔκ τε τοῦ Αἰτναίου πυρὸς καὶ ἐκ τῶν βαρβάρων βλάβας ἡ Σικελία ἐδέξατο. Κατέστρεψε δὲ τὸ ἄγαλμα Ἀσκληπιὸς ὁ τῶν ἐν Σικελίᾳ κτημάτων Κωνσταντίου καὶ Πλακιδίας διοικητὴς καταστάς.

Rhegium metropolim esse (23) Bruttiorum, e qua refert historicus Alarichum, dum in Siciliam trajicere parat, retentum fuisse. Statua enim, inquit, inaugurata, ibi stans trajectum vetabat. Fuerat vero hæc, ut fabulatur, ab antiquis inaugurata, cum ut Ætnæ montis ignes averteret, tum ut maris transitu Barbaros prohiberet. Altero enim pede perpetuum ignem, altero vero perennem aquam gestabat. Ea igitur statua confracta, tandem ex Ætnæo igne (24), et a Barbaris detrimentum Siciliam cepisse. Eversam vero statuam ab Æsculapio, qui in Sicilia possessionum Constantii et Placidiæ curator erat.

Ὅτι Κωνσταντίνου [46] τοῦ τυράννου καὶ Κώνστα- B ντος τοῦ παιδὸς, ὃς πρότερον μὲν Καῖσαρ ἔπειτα δὲ καὶ βασιλεὺς [184 R.] ἐχειροτονήθη, τούτων ἡττηθέντων καὶ πεφευγότων Γερόντιος ὁ στρατηγὸς, τὴν πρὸς τοὺς βαρβάρους ἀσμενίσας εἰρήνην, Μάξιμον τὸν ἑαυτοῦ παῖδα, εἰς τὴν τῶν δομεστίκων τάξιν τελοῦντα, βασιλέα ἀναγορεύει· εἶτα ἐπιδιώξας Κώνσταντα κατεπράξατο ἀναιρεθῆναι, καὶ κατὰ πόδας εἵπετο διώκων καὶ τὸν πατέρα Κωνσταντῖνον. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Κωνστάντιος καὶ Οὐλφιλᾶς ἀποστέλλονται παρὰ Ὀνωρίου κατὰ Κωνσταντίνου, καὶ καταλαβόντες τὴν Ἀρήλατον, ἔνθα τὰς διατριβὰς ἐποιεῖτο Κωνσταντῖνος σὺν Ἰουλιανῷ τῷ παιδὶ, ταύτην πολιορκοῦσι· καὶ Κωνσταντῖνος καταφυγὼν εἰς εὐκτήριον πρεσβύτερος τότε χειροτονεῖται, ὅρκων αὐτῷ ὑπὲρ σωτηρίας δυθέντων· καὶ τοῖς πολιορκοῦσιν αἱ πύλαι τῆς πόλεως ἀναπετάννυνται. Καὶ πέμπεται σὺν τῷ υἱῷ Κωνσταντῖνος πρὸς Ὀνώριον· ὁ δὲ μνησικακῶν αὐτοῖς ὑπὲρ τῶν ἀνεψιῶν αὐτοῦ, οὓς ἐτύγχανε Κωνσταντῖνος ἀνελὼν, πρὸ τριάκοντα τῆς Ῥαβέννης μιλίων παρὰ τοὺς ὅρκους προστάττει τούτους ἀναιρεθῆναι. Γερόντιος δὲ παραγενομένων Οὐλφιλᾶ [107 H.] καὶ Κωνσταντίνου φεύγει, καὶ καταληφθεὶς, ὅτι ἐγκρατῶς ἦρχε τοῦ οἰκείου στρατοῦ, ὑπ' αὐτῶν ἐκείνων ἐπιβουλεύεται· πῦρ γὰρ κατὰ τῆς οἰκίας αὐτοῦ ἀνῆψαν. Ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας κρατερῶς ἐμάχετο, ἕνα συναγωνιστὴν ἔχων Ἀλανὸν τὸ γένος, εἰς δούλους αὐτοῦ [47] ἀριθμούμενον. Τέλος τόν τε Ἀλανὸν καὶ τὴν γυναῖκα, τοῦτο προθυμουμένους, ἀναιρεῖ, ἐπικατασφάζει δὲ καὶ ἑαυτόν. Μάξιμος δὲ ὁ παῖς ταῦτα μαθὼν πρὸς τοὺς ὑποσπόνδους φεύγει βαρβάρους.

Constantino tyranno, et Constante filio (qui primum quidem Cæsar, post etiam imperator creatus fuerat victis, fugaque dilapsis, Gerontius belli dux cum Barbaris pace libens inita filium suum Maximum qui inter domesticos (25) numerabatur, Cæsarem renuntiat. Constantem deinde insecutus, e medio sustulit, et vestigia consectans, Constantinum quoque patrem persequebatur. Dum hæc geruntur, Constantinus (26) et Ulphilas ab Honorio adversus Contantinum missi; cumque Arelatem pervenissent **58***b* ubi Constantinus cum Juliano filio agebat, hanc obsident. Constantinus ad templum confugiens, sacerdos ordinatur, jurejurando de salute illi dato; sic urbis portæ obsidentibus militibus apertæ sunt, missusque est cum Juliano filio Constantinus ad Honorium. Ille vero minime C ipsis ignoscens, ob interfectos a Constantino cognatos suos (27), ad triginta (28) a Ravenna milliaria, contra jurisjurandi fidem interfici eos jubet. Gerontius dein, accedentibus Ulphila et Constantino, fugam capessit: deprehensusque quod impotentius exercitui præfuisset, suorum insidiis petitus est. Ignem itaque ipsius ædibus injecerunt: at ille fortiter in adversarios pugnat, uno adjuvante famulo, qui Alanus erat. Re tamen tandem desperata Alanum illum, suamque uxorem (29), ut ipsi postularant, interimit, ac denique etiam sibi mortem consciscit. Maximus ejus filius, re intellecta, ad fœderatos confugit Barbaros.

Ὅτι Ἰοβῖνος [48] ἐν Μουνδιακῷ [49] τῆς ἑτέρας Γερμανίας κατὰ σπουδὴν [50] Γώαρ τοῦ Ἀλανοῦ καὶ Γυντιαρίου, ὃς φύλαρχος ἐχρημάτιζε τῶν Βουργουντιόνων, τύραννος ἀνηγορεύθη. ὯΙ καὶ αὐτὸς

Jovinius apud Mundacium (30) Germaniæ alterius urbem, studio Goaris Alani, et Guntiari Burgundiorum præfecti tyrannus creatus est. Cui ut sese

VARIÆ LECTIONES.

[44] Βρεταν*ί*ας ς. [45] ἐκώλυε ς. [46] Κωνσταντ*ί*νου pr. A. Κωνσταντ*ί*ου corr. [47] αὐτῷ ς. [48] Ἰωβῖνος ς, sic et infra. [49] Μογουντιαχῷ Hœschelius. [50] σπουδὴν A.

NOTÆ.

(22) Anno Christi 411. Car. Sigon.
(23) Omnino Βρεττίας legendum hic.
(24) Ex vana scilicet gentium superstitione.
(25) De *Domesticis* videndus Curopalat. libello de official. Constantinop. Brisson in lexico, et alii.
(26) Idem qui Placidiam postea conjugem accepit.
(27) Verenianum ac Didymum intelligit, de quibus Zosimus atque Sozomenus, et ex his Sigon. lib. x.
(28) Ad Mincium flumen, Sigon.
(29) *Nonniohiam* Car. Sigon. vocat.
(30) *Moguntiacum* debebat scribere Olympiod.

adjungeret Adaulpho auctor fuit Attalus. Et vero hic cum copiis ad illum se confert. Jovinius tamen Adaulphi adventu offensus, obscure, et veluti per ænigmata Attalum accusat; quod adventum suasisset. Sarus (31) item ad Jovinium venturus erat; sed Adaulphus cognita re, collectus decem millibus militum, occurrit Saro, viros octodecim aut viginti apud se habenti quem gesta heroica, et stupore digna edentem (32), scutis adhibitis, vivum ægre capere potuerunt, tandemque occidunt. Desciverat autem ab Honorio Sarus, audito Belleridem domesticum suum interfectum; nullam tamen cædis rationem duxisse imperatorem, nec in percussorem inquirendo vindicasse.

Refert item de Donato, et Hunnis, deque regum (33) eorum sagittandi peritia. Seipsum ad illos et Donatum, oratorem missum scriptor ait; multisque maris erronibus, periculisque jactatum, tragice narrat. Donatum quoque jure jurando circumventum contra fas jugulatum esse: et Charatonem inter reges primum, ob cædem ira incensum, imperatoris donis rursum mitigatum, placatumque fuisse **59***a* Et hæc quidem prima operis decade continentur.

Alteram vero hinc auspicatur. Jovinus fratrem suum Sebastianum, invito Adaulpho, imperatorem creans, in ejus odium incurrit. Adaulphus itaque per internuntios capita se tyrannorum missurum, pacemque initurum Honorio pollicetur. Hi domum ut redierunt, et jusjurandum præstitum est, Sebastiani mox caput imperatori mittitur. Jovinus etiam ipse ab Adaulpho obsessus se dedidit, missusque ad imperatorem est: quem Dardanus præfectus sua manu percutiens, interimit, utriusque caput extra Carthaginem (34) palis infixum: ubi et Constantini ac Juliani antea resectum; Maximini item et Eugenii, qui sub Theodosio magno tyrannidem affectantes, eumdem sunt exitum sortiti. Postulatum est ab Adaulpho, studio maxime Constantii ejus qui illam postea uxorem duxit, Placidiam quam apud se Romæ captam habebat, Honorio fratri ut redderet. Sed quod Adaulpho promissa, præsertim de curanda annona, perfecta non fuissent, neque ipsam reddidit, et pacem bello commutaturus videbatur.

Adaulphus ergo, cum Placidia repeteretur, frumentum vicissim ipse promissum petiit. Cujus conferendi, etsi qui promiserant copiam nullam haberent, nihilo tamen secius consentiunt, si Placidiam reciperent, accepturum. Ad quæ simili fere et ipse Barbarus simulatione utebatur. Massiliam interea, sic dictam urbem profectus, dolo eam

νων [51], τύραννος ἀνηγορεύθη. Πρὸς ὃν [52] παραγενέσθαι Ἄτταλος Ἀδαούλφον παραινεῖ· καὶ παραγίνεται [53], ἅμα τοῦ πλήθους. Καὶ Ἰοβῖνος ἀνιᾶται ἐπὶ τῇ Ἀδαούλφου παρουσίᾳ, καὶ μέμφεται δι' αἰνιγμάτων τῷ παραινέσαντι Ἀττάλῳ τὴν ἄφιξιν. Καὶ Σάρος δὲ ἔμελλε πρὸς Ἰοβῖνον παραγενέσθαι· ἀλλ' Ἀδαοῦλφος τοῦτο μαθὼν προϋπαντιάζει, χιλιάδας δέκα συνεπαγόμενος στρατιώτην [54], ἔχοντι ἄνδρας περὶ αὐτὸν [Ἀσάρῳ [55]] ὀκτωκαίδεκα ἢ καὶ εἴκοσιν. Ὃν ἔργα ἡρωϊκὰ καὶ θαυμάσαι ἄξια ἐπιδειξάμενον μόλις σοκκοις [56] ἐζώγρησαν, καὶ ὕστερον ἀναιροῦσι. Σάρος δ' ἦν ἀποστὰς Ὀνωρίου, ὅτι Βελλερίδου, ὃς ἦν αὐτῷ δομέστικος, ἀναιρεθέντος οὐδεὶς λόγος τῷ βασιλεῖ τῆς ἀναιρέσεως οὐδὲ τοῦ φόνου γίνεται [57] εἴσπραξις.

Ὅτι διαλαμβάνει περὶ Δονάτου καὶ περὶ τῶν Οὔννων, καὶ περὶ τῶν ῥηγῶν αὐτῶν τῆς εὐφυεστάτης τοξείας, καὶ ὡς πρὸς αὐτοὺς καὶ Δονάτον ὁ ἱστορικὸς ἐπρέσβευε· καὶ τὴν διὰ θαλάσσης αὐτοῦ πλάνην ἐκτραγῳδεῖ καὶ τὸν κίνδυνον. Καὶ ὅπως ὅρκῳ Δονάτος ἀπατηθεὶς ἐκθέσμως ἀποσφάζεται, καὶ ὅπως Χαράτων ὁ τῶν ῥηγῶν πρῶτος ἐπὶ τῷ φόνῳ εἰς θυμὸν ἀνάπτεται, ὅπως τε πάλιν βασιλικοῖς δώροις διαπραΰνεται καὶ ἡσυχάζει· ἐν οἷς καὶ ἡ πρώτη τῆς ἱστορίας δεκάλογος.

Ἄρχεται δὲ ἡ δευτέρα ὧδε, ὅτι Ἰοβῖνος [58] παρὰ γνώμην Ἀδαούλφου τὸν ἴδιον ἀδελφὸν Σεβαστιανὸν [59] βασιλέα χειροτονήσας εἰς ἔχθραν Ἀδαούλφῳ κατέστη. Καὶ πέμπει Ἀδαοῦλφος πρὸς Ὀνώριον [185 R.] πρέσβεις, ὑποσχόμενος τάς τε τῶν τυράννων κεφαλὰς καὶ εἰρήνην ἄγειν. Ὧν ὑποστρεψάντων καὶ ὅρκων μεσιτευσάντων Σεβαστιανοῦ μὲν πέμπεται τῷ βασιλεῖ ἡ κεφαλή, Ἰοβῖνος δὲ ὑπὸ Ἀδαούλφου πολιορκούμενος ἑαυτὸν ἐκδίδωσι. Καὶ πέμπεται κἀκεῖνος τῷ βασιλεῖ, ὃν αὐθεντήσας Δάρδανος ὁ ἔπαρχος ἀναιρεῖ· καὶ ἀποτίθενται ἄμφω αἱ κεφαλαὶ Καρθαγένης [60] ἔξωθεν, ἔνθα καὶ ἡ Κωνσταντίνου καὶ ἡ Ἰουλιανοῦ ἀπετμήθησαν πρότερον, ἥ τε Μαξιμίνου καὶ ἡ Εὐγενίου, οἱ ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου τυραννίδι ἐπιθέμενοι εἰς τοῦτο τέλους κατέστρεψαν. Ἀδαοῦλφος δὲ Πλακιδίαν ἀπῃτεῖτο κατὰ σπουδὴν μάλιστα Κωνσταντίνου, ὃς [61] ὕστερον αὐτῇ καὶ εἰς γάμους ἔζευξεν· ἀλλὰ τῶν πρὸς Ἀδαοῦλφον ὑποσχέσεων μὴ περαινομένων [62], καὶ μάλιστα τῆς σιτοπομπίας, οὔτε ταύτην ἀπεδίδου καὶ εἰς μάχην ἐμελέτα [63] τὰ τῆς εἰρώνης διαλύεσθαι.

Ὅτι Ἀδαοῦλφος ἀπαιτούμενος Πλακιδίαν ἀνταπῄτει τὸν ὁρισθέντα [108 H.] σῖτον. Ἀπόρων δ' ὄντων τῶν ὑποσχομένων εἰς τὸ δοῦναι, οὐδὲν δὲ ἧττον ὁμολογούντων, εἰ λάβοιεν Πλακιδίαν, παρασχεῖν, καὶ ὁ βάρβαρος τὰ ὅμοια ὑπεκρίνετο, καὶ πρὸς Μασσαλίαν, πόλιν οὕτω καλουμένην, παραγενόμενος δόλῳ ταύτην λαβεῖν ἤλπιζεν. Ἔνθα πληγεὶς Βονιφατίου

VARIÆ LECTIONES.

[51] Βουργουντιόνων ς. [52] ὁν] οὓς rc. A : pr. enim om. [53] τῷ πλήθει ς. [54] στρατιώτη ς. [55] Ἀσάρῳ om. pr. A. [56] σάκκοις ς. [57] ἐγίνετο ς. [58] ἰόβιος A. [59] σεβαστῖνον A. [60] καρταγένης ς Schottus Ῥαβέννης. [61] ὅς] ὃν A. [62] περαιουμένων A. [63] ἐμελετᾶτο A : ἀπεδίδου ς.

NOTÆ.

(31) Al. *Asarus*. inf. apud Zosimum cod. 98.
(32) Pro σάκκοις lego σάκοις vel σάκεσιν.
(33) Ῥηγῶν Latina voce dixit.
(34) *Ravennam* arbitror legendum.

τοῦ γενναιοτάτου βαλόντος [64], καὶ μόλις τὸν θάνατον διαφυγών, εἰς τὰς οἰκείας ὑπεχώρησε σκηνάς, τὴν πόλιν ἐν εὐθυμίᾳ λιπὼν καὶ δι' ἐπαίνων καὶ εὐφημίας ποιουμένην Βονηφάτιον. Ὅτι Ἀδαοῦλφος τὸν γάμον Πλακιδίας, Κωνσταντίου [65] ταύτην ἀπαιτοῦντος βαρυτέρας προὔτεινεν αἰτήσεις, ἵνα διὰ τὴν ἀποτυχίαν τῶν αἰτήσεων εὔλογον δόξῃ τὴν κατάσχεσιν αὐτῆς πεποιηκέναι.

Ὅτι Κωνστάντιος δισίγνατος [66] παλαι γεγονὼς ὕπατος κατὰ τὴν Ῥάβενναν προέρχεται, μεθ' οὗ κατὰ τὴν Κωνσταντινούπολιν ὑπατεύει Κώνστας· καὶ χρυσίου μὲν σύμμετρον καὶ ἱκανὸν πρὸς τὸ τῆς ὑπατείας ἀνάλωμα εὑρηται ἐκ τῶν τοῦ Ἡρακλειανοῦ [67], ὃς τυραννίδα μελετῶν ἀνῄρηται, οὐ μήν γε τοσοῦτον εὑρέθη ὅσον καὶ ἠλπίζετο. Χρυσίον μὲν γὰρ οὐδὲ μέχρι κεντηναρίων καὶ εὑρηται, ἡ δὲ ἀκίνητος αὐτοῦ οὐσία καὶ αὐτὴ εἰς δισχιλίας λίτρας συνέτεινε. Καὶ ταύτην ἅπασαν τὴν ὑπόστασιν Κωνστάντιος ἐκ μιᾶς αἰτήσεως παρὰ Ὀνωρίου εἰλήφει. Ἦν δὲ Κωνστάντιος ἐν μὲν ταῖς προόδοις κατηφὴς καὶ σκυθρωπός, μεγαλόφθαλμός τε καὶ μεγαλαύχην καὶ πλατυκέφαλος, νεύων δι' ὅλου ἐπὶ τὸν τράχηλον τοῦ φέροντος αὐτὸν ἵππου, καὶ οὕτω [68] τῇδε κἀκεῖσε λοξὸν ἐκπέμπων τὸ ὄμμα, ὡς, τὸ τοῦ λόγου, πᾶσι φαίνεσθαι εἶδος ἄξιον τυραννίδος. Ἐν δὲ δείπνοις καὶ συμποσίοις τερπνὸς καὶ πολιτικός, ὡς καὶ ἐρίζειν τοῖς μίμοις πολλάκις παίζουσι πρὸ τῆς τραπέζης.

Ὅτι Ἀδαούλφῳ σπουδῇ καὶ ὑποθήκῃ Κανδιδιανοῦ ὁ πρὸς Πλακιδίαν συντελεῖται γάμος, μὴν ὁ Ἰανουάριος ἐνειστήκει, ἐπὶ δὲ τῆς πόλεως Νάρβωνος, ἐν οἰκίᾳ Ἰγγενίου τινὸς πρώτου τῶν ἐν τῇ πόλει· ἔνθα προκαθεσθείσης Πλακιδίας ἐν παστάδι [69] τε Ῥωμαϊκῶς ἐσκευασμένῃ καὶ σχήματι βασιλικῷ συγκαθέζεται αὐτῇ καὶ Ἀδαοῦλφος ἐνδεδυμένος χλανίδα καὶ τὴν ἄλλην Ῥωμαίων ἐσθῆτα. Ἐν οἷς μετὰ τῶν ἄλλων γαμικῶν δώρων [188 R.] δωρεῖται Ἀδαοῦλφος καὶ ν' εὐειδεῖς νεανίας Σηρικὴν ἐνδεδυμένους ἐσθῆτα, φέροντος ἑκάστου ταῖς χερσὶν ἀνὰ δύο μεγίστων δίσκων [70], ὧν ὁ μὲν χρυσίου πλήρης, ὁ δὲ τιμίων λίθων, μᾶλλον δὲ ἀτιμήτων ἐτύγχανεν· ἃ τῆς Ῥώμης ὑπῆρχε κατὰ τὴν ἅλωσιν τοῖς Γότθοις ἀποσυληθέντα. Εἶτα λέγονται καὶ ἐπιθαλάμιοι, Ἀττάλου πρῶτον εἰπόντος, εἶτα Ῥουστικίου [71] καὶ Φοιβαδίου· καὶ συντελεῖται ὁ γάμος παιζόντων καὶ χαιρόντων ὁμοῦ τῶν τε Βαρβάρων καὶ τῶν ἐν αὐτοῖς Ῥωμαίων.

Ὅτι μετὰ τὴν ὑπὸ Γότθων ἅλωσιν τῆς Ῥώμης Ἀλβῖνος ὁ τῆς Ῥώμης ἔπαρχος, ἤδη ταύτης πάλιν ἀποκαθισταμένης, ἔγραψε μὴ ἐξαρκεῖν τὸ χορηγούμενον τοῖς δημόταις ἄρτων πλῆθος, ἀλλὰ καὶ ἑτέρων δεῖσθαι· καὶ ἐπιδοθῆναι τοῖς δημόταις ἑκατὸν λίτρας χρυσίου καὶ ἀργυρίου τριακοσίας. Ἐπὶ τούτοις ἐπαινέσας ὁ βασιλεὺς τὸν ἔπαρχον, ἐπιδίδωσι τὰ αἰτηθέντα.

A intercipere tentavit, sed a Bonifacio, nobilissimo viro vulneratus, et vix salvo capite fugiens, in sua se tentoria recepit : urbe omissa, quæ lætitiæ plena, laudibus, ac bonis ominibus Bonifacium est prosecuta. Adaulphus idem de Placidiæ nuptiis satagens, Constantio eam postulanti graviores prætexit postulationes : ut si compos illarum non fieret, illa juste retenta videretur.

Constantius olim designatus, consul aliquando Ravennæ creatur, cum quo Constantinopolitanum consulatum Constans gerit. Auri vis justa, sufficiens ad consulatus sumptus (35) tolerandos reperta in Heracliani bonis (36), qui tyrannidis (37) affectatæ nomine est interemptus ; etsi tamen tantum pecuniæ repertum non est, quantum speratum erat. B **59***b* Auri enim nondum duo millia [denariorum] inventa, et immobilium insuper bonorum ad bis mille libras. Quas quidem facultates omnes una postulatione ab Honorio Constantius accepit. Erat ipse Constantius, cum prodiret, subtristi vultu ac tetrico, ingentibus oculis sublataque cervice, et plano capite, inclinans se omnino in equi, quo vehebatur, collum ; et sic huc illuc oblique torquens oculos, ut, quod veteri verbo dicitur, « imperio digna forma (38) » omnibus appareret. In cœnis tamen atque symposiis, jucundus adeo civilisque fuit, ut et cum mimis interdum ad mensam ludentibus contenderit.

Adaulpho, studio ac consilio Candidiani, nuptiæ cum Placidia conveniunt. Januario mense nuptiis dictus dies, Narbone (39) Galliæ urbe, in domo Ingenii cujusdam, primarii ejus urbis viri. Hic digniore loco residente Placidia in atrio, Romano more adornato, habituque regio, assedit ipsi et Adaulphus læna indutus, omnique alio amictu Romano. Inter alia nuptiarum dona, donatur (40) Adaulphus etiam quinquaginta formosis pueris, serica veste indutis, ferentibus singulis utraque manu ingentes discos binos : quorum alter auri plenus, alter lapillis pretiosis, vel pretii potius inæstimabilis, quæ ex Romanæ urbis direptione Gothi deprædati fuerant. Hinc versus canuntur epithalamii, Attalo præcinente, dein Rustacio (41) atque Phœbadio, nuptiisque finis datus, lusu gaudioque ingenti Barbarorum simul, et Romanorum qui cum iis erant.

Post Romam a Gothis captam, Albinus Urbis præfectus, quod jam eadem ad pristinum rediret statum, scripsit non sufficere præbitam populo

C

D

VARIÆ LECTIONES.

[64] βαλόντος rc. A, λαβόντος pr. : βάλλοντος ς. [65] Κωνσταντίῳ — ἀπαιτοῦντι ς. [66] δισίγματος Κωνστάντιος ς. [67] Ἡρακλιανοῦ A. [68] οὕτω mg. : libri οὔπω. [69] σπαστάδι A. ῥωμκίαν A. [70] μεγίστους δίσκους. [71] Ῥούσταχίου ς.

NOTÆ.

(35) Quos et in Dionis Cassi consulatu tolerasse Alexandrum Severum supr. retulit. cod. 71.

(36) In fiscum redactis, ut patet ex l. XXI *De pæn.* Cod. Theod.

(37) Vide Oros. lib. VII, cap. 42.

(38) Eurip. in *Phœnissis*. Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

(39) Foro-Cornelii ait auctor *Miscellæ* Paul. Diaconus lib. XIII.

(40) Δωρεῖται ν' εὐειδεῖς νεανίας. *Donat* etiam reddere possis.

(41) Al *Rusacio* ; malim tamen *Rusticio*.

partem (42), multitudine jam aucta civitate ; addit- A
que uno die numerum initum esse civium quatuordecim millium.

Adaulphus, nato sibi e Placidia filio, cui Theodosio nomen dedit, Romanam amplius rempublicam amare videbatur. Verum Constantio, ejusque asseclis repugnantibus, ejus et uxoris Placidiæ, [pacis ineudæ] conatus frustra fuerunt. Exstinctum autem postea infantem vehementer uterque parens luxit **60***a* argenteaque capsa conditum, juxta Barcinonem in templo quodam sepelierunt. Interficitur deinde et Adaulphus ipse (dum equos suos in stabulo, de more, contemplatur) a Gottho quodam ejus domestico, Dobbii nomine, cum hanc veteris odii vindicandi occasionem ille captasset ; hujus enim prior dominus, Gothicæ partis rex, fuerat B
ab Adaulpho e medio sublatus. Exinde Dobbium receptum Adaulphus in suam familiam asciverat : qui in ultionem prioris domini, alterum hunc, injecta manu violenta, sustulit. Moriens Adaulphus fratri suo injunxit, Placidia ut [Honorio] redderetur ; utque, si quo modo possent, Romanæ sibi gentis concordiam [Gothi] societatemque conciliarent. At qui successit Sari frater Singirichus (studio potius ac vi, quam successione, aut lege creatus) Adaulphi e priore conjuge liberos vi e sinu Sigesari episcopi abreptos, occidit ; atque ipsam Placidiam reginam, in Adaulphi scilicet contumeliam pedibus ante equum una cum cæteris captivis ambulare coegit, idque toto illo spatio quod est ab urbe ad duodecimum usque lapidem. Septem ille dies cum imperasset, C
interemptus est, et Gotthorum dux Valias (44) constituitur.

Refert hic scriptor audisse se e Valerio clarissimo viro, de argenteis statuis ad Barbaros arcendos inauguratis (45). Nam Constantii, inquit, imperatoris temporibus, præfecto in Tracia Valerio, indicium factum thesauri reperiundi. Valerius vero ad locum accedens, sacrum illum esse religione ex incolis cognovit, et antiquo ritu statuas ibidem consecratas. Retulit hæc ad imperatorem, rescriptumque accepit, quo jubebatur indicata illa bona tollere. Igitur effosso loco, tres solidæ ex argento fabricatæ repertæ sunt statuæ, specie barbarica sitæ, et utroque brachio ansato, veste præterea variegata barbarico ritu indutæ, et comam capite gestantes atque in septentrionem, quæ barbarorum regio est, obversæ. Quæ simul atque statuæ sublatæ

μενον μέρος τῷ δήμῳ εἰς πλῆθος ἤδη τῆς πόλεως ἐπιδιδούσης· ἔγραψε γὰρ [72] καὶ ἐν μιᾷ ἡμέρᾳ τετέχθαι [73] ἀριθμὸν χιλιάδων δεκατεσσάρων.

[109 H.] Ὅτι Ἀδαοῦλφος τεχθέντος αὐτῷ ἐκ τῆς Πλακιδίας παιδός, ᾧ ἐπέθετο [74] κλῆσιν Θεοδόσιον, πλέον ἠσπάζετο τὴν πρὸς Ῥωμαίους φιλίαν· Κωνσταντίου δὲ καὶ τῶν περὶ Κωνστάντιον ἀντιπραττόντων ἔμενεν ἄπρακτος ἡ τούτου καὶ [75] Πλακιδίας ὁρμή. Τελευτήσαντος δὲ τοῦ παιδὸς πένθος μέγα ποιοῦσιν ἐπ' αὐτῷ, καὶ θάπτουσιν ἐν λάρνακι καταθέντες ἀργυρᾷ πρὸ τῆς Βαρκέλλωνος ἔν τινι εὐκτηρίῳ. Εἶτα ἀναιρεῖται καὶ Ἀδαοῦλφος, εἰς ἐπιτήρησιν τῶν οἰκείων ἵππων, ὡς εἴθιστο αὐτῷ, διατριβῶν ἐν τῷ ἱππῶνι. Ἀναιρεῖ δὲ αὐτὸν εἷς [75*] τῶν οἰκείων Γότθων Δούβιος [76] τοὔνομα, ἔχθραν παλαιὰν καιροφυλακήσας· πάλαι γὰρ ἦν ὁ [77] τούτου δεσπότης, μοίρας Γοτθικῆς ῥήξ, ὑπὸ Ἀδαούλφου ἀνῃρημένος, ἐξ οὗ καὶ τὸν Δούβιον λαβὼν Ἀδαοῦλφος ᾠκειώσατο· ὁ δὲ τῷ πρώτῳ δεσπότῃ ἀμύνων τὸν δεύτερον διεχρήσατο [78]. Τελευτῶν δὲ Ἀδαοῦλφος προσέταττε τῷ ἰδίῳ ἀδελφῷ ἀποδοῦναι τὴν Πλακιδίαν, καὶ, εἴ τι δύναιντο, τὴν Ῥωμαίων φιλίαν ἑαυτοῖς περιποιήσασθαι. Διάδοχος δὲ ὁ τοῦ Σάρου ἀδελφὸς Σιγγέριχος. σπουδῇ μᾶλλον καὶ δυναστείᾳ ἢ ἀκολουθίᾳ καὶ νόμῳ, γίνεται· ὃς τά τε παιδία, ἃ ἐκ τῆς προτέρας γυναικὸς ἐτύγχανεν Ἀδαούλφῳ γεγεννημένα, ἀνεῖλε, βίᾳ τῶν τοῦ ἐπισκόπου Σιγησάρου κόλπων ἀποσπάσας, καὶ τὴν βασιλίδα Πλακιδίαν εἰς ὕβριν Ἀδαούλφου ἐκ ποδὸς προηγήσασθαι τοῦ ἵππου ἅμα λοιπῶν [79] αἰχμαλώτων ἐπέταξε· καὶ τὸ διάστημα ἦν [80] τῆς προπομπῆς ἐκ τῆς πόλεως μέχρι δωδεκάτου σημείου. Ἑπτὰ δὲ ἡμέρας ἄρξας ἀναιρεῖται, ἡγεμὼν δὲ τῶν Γότθων Οὐαλίας καθίσταται.

Ὅτι ὁ ἱστορικὸς φησι παρὰ Οὐαλερίου, τινὸς τῶν ἐπισήμων ἀκοῦσαι περὶ ἀνδριάντων ἀργυρῶν τετελεσμένων [81] εἰς βαρβάρων ἀποκώλυσιν. Ἐν γὰρ ταῖς ἡμέραις, φησί, Κωνσταντίου τοῦ βασιλέως ἐν τῇ Θράκῃ Οὐαλερίου ἄρχοντος μήνυσις γέγονεν ὡς θησαυρὸς εὑρεθείη. Οὐαλέριος δὲ παρὰ τὸν τόπον παραγενόμενος μανθάνει παρὰ [82] τῶν ἐπιχωρίων ἱερὸν εἶναι τὸν τόπον [83], καὶ ἐξ ἀρχαίας τελετῆς ἀνδριάντας ἐν αὐτῷ ἀφιερῶσθαι. Εἶτα ἀναφέρει ταῦτα τῷ βασιλεῖ, καὶ δέχεται γράμμα ἐπιτρέπον αὐτῷ ἀναλαβεῖν τὰ μηνυθέντα. Ἀνορυχθέντος τοίνυν τοῦ τόπου εὑρίσκονται τρεῖς ἀνδριάντες δι' ὅλου ἐξ ἀργύρου πεποιημένοι, ἐν [84] σχήματι βαρβαρικῷ [85] κατακείμενοι καὶ ἐξηγκωνισμένοι κατ' ἀμφοῖν ταῖν χεροῖν, [189 R.] ἐνδεδυμένοι δὲ βάρβαρον πεποικιλμένην

VARIÆ LECTIONES.

[72] γὰρ A : δὲ ς. [73] τετάχθαι ς. [74] ἐπέθηκε ς. [75] καὶ τῆς Πλ. ς. [75*] εἰς om. A. [76] Δόββιος — Δόββιον ς. [77] ὁ om. A. [78] διεχειρίσατο ς. [79] λοιποῖς αἰχμαλώτοις ς. [80] ἦν] δὲ ἦν ς. [81] τετελεσμένων] vid. Kuster. ad Suid. v. Μάλεος. [82] παρὰ A : περὶ ς. [83] τὸν τόπον εἶναι ω. [84] ἐν om. A. [85] βαρβαρικοῦ ς.

NOTÆ.

(42) Subaudi *frumenti publici*, quod viritim publice populo Rom. distribuebatur, de quo multa in impp. rescriptis.

(43) Græce est πρὸ τῆς Βαρκέλλωνος, ut hodie dicitur : antiquitus vero *Barcino*, Plinio et Paulino.

(44) Sigon. et alii *Vallia* ediderunt.

(45) Commendare conatur homo ethnicus suam superstitionem.

ἐσθῆτα, καὶ κομῶντες τὰς κεφαλὰς, νεύοντες ἐπὶ τὸ ἀρκτῷον μέρος, τουτέστι κατὰ τοῦ βαρβαρικοῦ χώρου. Ὧν ἀνδριάντων ἀναληφθέντων πάραυτα καὶ μετ' ὀλίγας ἡμέρας πρῶτον μὲν τὸ [86] Γότθων ἔθνος [87] πᾶσαν ἐπιτρέχει τὴν Θρᾴκην, ἔμελλε δὲ μικρὸν ὕστερον καὶ τὸ τῶν Οὔννων καὶ τὸ τῶν Σαρματῶν καταδραμεῖσθαι τό τε Ἰλλυρικὸν καὶ αὐτὴν τὴν Θρᾴκην· ἐν μέσῳ γὰρ αὐτῆς τε Θρᾴκης καὶ τοῦ Ἰλλυρικοῦ κατέκειτο τὰ τῆς τελετῆς, καὶ ἐῴκει τῶν τριῶν ἀνδριάντων ὁ ἀριθμὸς κατὰ παντὸς ἔθνους [88] τετελέσθαι [89] βαρβάρου.

A sunt paucos post dies, Gotthorum primum gens universam incurrit Thraciam; futuræque post **60***b* paulo erant Hunnorum ac Sarmatarum incursiones in Illyricum, et ipsam Thraciam: uti Thraciam inter et Illyricum sita sunt hæc consecrationis loca et trium statuarum numerus, adversus omnes gentes barbaras inauguratus videbatur.

[110 H.] Ὅτι ὁ ἱστορικὸς περὶ τοῦ οἰκείου διαλαμβάνων διάπλου πολλὰ παθεῖν καὶ δυστυχῆσαί φησι. Λέγει δὲ καὶ εἰς τὰς Ἀθήνας κατᾶραι, καὶ τῇ αὐτοῦ σπουδῇ καὶ ἐπιμελείᾳ εἰς [90] τὸν σοφιστικὸν θρόνον ἀναχθῆναι Λεόντιον οὔπω ἐθέλοντα. Λέγει δὲ καὶ περὶ τοῦ τριβωνος, ὡς οὐκ ἐξῆν κατὰ τὰς Ἀθήνας περιβαλέσθαι αὐτόν τινα, καὶ μάλιστα ξένον, ᾧ μὴ [91] τῶν σοφιστῶν ἡ γνώμη ἐπέτρεπε καὶ αἱ κατὰ τοὺς σοφιστικοὺς νόμους τελεταὶ ἐβεβαίουν τὸ ἀξίωμα. Ἦν δὲ [92] τὰ τελούμενα τοιαῦτα· Πρῶτον μὲν κατήγοντο ἐπὶ τὸ δημόσιον βαλανεῖον ὅσοι νεήλυδες, ἄν τε μικροὶ ἄν τε μεγάλοι. Ἐξ ὧν καὶ οἱ πρὸς τὸν τρίβωνα ἐπιτήδειοι, ἡλικίας ἤδη καιροῦ γεγονότες οὓς εἰς μέσον ἔβαλλον οἱ κατάγοντες σχολαστικοί. Εἶτα τῶν μὲν ἔμπροσθεν τρεχόντων καὶ κωλυόντων, τῶν δὲ ὠθούντων καὶ ἐπεχόντων, πάντων δὲ τῶν κωλυόντων ταῦτα βοώντων « Στᾶ, στᾶ, οὐ λούει, » κατακρατεῖν δῆθεν τοῦ ἀγῶνος ἐδόκουν οἱ ἀντωθοῦντες εἰς τιμὴν τοῦ καταγομένου σχολαστικοῦ, ὅστις μετὰ πολλὴν ὥραν, στάσεως πολλῆς ἐπὶ τοῖς προαχθεῖσιν ἐθίμοις ῥήμασι προγενομένης, εἰσάγεται εἰς τὸν θερμὸν οἶκον καὶ ἀπολούεται· εἶτα ἐνδυσάμενος ἐδέχετο τὴν τοῦ τριβωνος ἐξουσίαν [93], καὶ αὐτόθεν μετὰ τοῦ τριβωνος ἐκ τοῦ βαλανείου ἐντίμῳ καὶ περιδόξῳ δορυφορούμενος πομπῇ ἀπῄει, δαπάνας ἐπιγνοὺς φανερὰς εἰς τοὺς τῶν διατριβῶν προστάτας τοὺς λεγομένους Ἀκρωμίτας.

B De sua scriptor hic navigatione refert multa se adversa pertulisse. Athenas quoque appulisse tradit, suoque studio et cura ad sophisticam etiam sedem evectum Leontium, tametsi id ille nequaquam vellet. Sed et de pallio sophistico (46) memoriæ prodidit, nemini (præsertim vero extero homini), Athenis id gestare licuisse; nisi sophistarum suffragio ejus gestatio illi concessa, dignitasque ista sophistarum legum ritibus esset confirmata. Ritus autem, qui peragebantur, tales erant. Primum ad publicum balneum deducebantur qui novitii advenissent, sive parvi, sive grandiores: atque inter hos etiam ii qui per ætatem ad pallium sumendum apti erant, quos in medium protrudebant scholastici, a quibus deducebantur, deinde aliis præcurrentibus atque prohibentibus, aliis protrudentibus, et contra tendentibus: quotquot autem prohibebant vociferantibus: « Sta, sta, non lava, » nihilominus tamen in certamine ii videbantur obtinere, qui in honorem scholastici, quem deducebant, obsistentes retrudebant. Tandem post longam moram, multamque ob illata ex more ultro citroque verba contentionem, is qui deducitur, in calidam cellam inducitur, ibique abluitur. At postquam se induit, pallii dignitatem accipit, atque exinde cum pallio e balneo, celebri et honorifica stipatus pompa, digreditur, decretis luculentis sumptibus in scholarum antistites, qui dicuntur Acromitæ (47).

C

Ὅτι οἱ Οὐάνδαλοι τοὺς Γότθους Τρούλους καλοῦσι διὰ τὸ λιμῷ πιεζομένους αὐτοὺς τροῦλαν σίτου παρὰ τῶν Οὐανδάλων ἀγοράζειν ἑνὸς χρυσίνου [94]· ἡ δὲ τροῦλα οὐδὲ τρίτον ξέστου χωρεῖ.

Vandali Gotthos appellant *Trulos*, propterea quod hi enecti aliquando fame, tritici trulam a Vandalis aureo uno redimerent. Trula vero nondum tertiam sextarii partem capit.

Ὅτι κατὰ τὰς Ἱσπανίας τῶν Οὐανδάλων καταδραμόντων, καὶ τῶν Ῥωμαίων εἰς τὰς τετειχισμένας πόλεις καταφυγόντων, τοσοῦτος αὐτῶν λιμὸς κατεκράτησεν ὡς εἰς ἀλληλοφαγίαν ἐκβιασθῆναι. Καὶ γυνὴ τέσσαρα τέκνα ἔχουσα πάντα κατέφαγε, πρόφασιν ἐφ' ἑκάστου ποιουμένη τὴν τῶν ὑπολοίπων τροφὴν καὶ σωτηρίαν, ἕως ἂν πάντα καταφαγοῦσα λίθοις ὑπὸ τοῦ δήμου ἀνῃρέθη.

D Dum Vandali Hispanias vastassent, qui in muratas se urbes Romani receperant, eo inediæ adacti sunt, ut invicem se laniando edere cogerentur. Ibi mulier una, quatuor liberorum mater, omnes devoravit; ad singulos prætexens, reliquos se alere, ac salvare velle, donec omnibus absumptis lapidibus a plebe obruta est.

Ὅτι Εὐπλούτιος ὁ μαγιστριανὸς πρὸς Οὐάλιον, ὃς τῶν Γότθων ἐχρημάτιζε φύλαρχος, ἀποστέλλεται

61*a* Euplutius magistrianus ad Valium (48) Gothorum præfectum mittitur, qui pacis fœdera ini-

VARIÆ LECTIONES.

[86] τὸ] τὸ τῶν ς. [87] ἔθνος A : μέρος ς. [88] ἔθνους om. A. [89] τελεῖσθαι ς. [90] εἰς] καὶ εἰς ς'. [91] ἡ ante τῶν ponit ς. [92] ἦν δὲ] cf. Wyttenbach. Eunap. 2, p. 280. [93] ἐξουσίαν A : ἀξίαν ς. [94] χρυσίον ς.

NOTÆ.

(46) Vide B. Gregor. Nazianz. orat. 20, quæ est de B. Basilio Magno, post init. Eunap. quoque initio Prohæresii, et Jo. Gorop. Becanum lib. IV *Origin.*

(47) Οἱ μείζονες Hesychio, et quasi superiores.

(48) Sup. *Valium* vocavit.

ret, Placidiamque reciperet. Ille vero commode recepit, missaque frumentatione sexcentorum millium, Placidia Euplutio tradita, ad Honorium fratrem remittitur.

ἐφ' ᾧ σπονδάς τε θέσθαι εἰρηνικὰς καὶ ἀπολαβεῖν τὴν Πλακιδίαν · ὁ δὲ ἑτοίμως δέχεται. Καὶ ἀποσταλέντος αὐτῷ σίτου ἐν μυριάσιν ἑξήκοντα ἀπολύεται [95] Πλακιδία παραδοθεῖσα Εὐπλουτίῳ πρὸς Ὀνώριον τὸν οἰκεῖον αὐτῆς ἀδελφόν.

Cum Athenis inquiri cœptum esset, quonam modo conglutinari possent libri, discere quærentibus modum glutinis, Philtatius, scriptoris hujus socius, in re litteraria bene industrius, ostendit, quare et honoris gratia statuam illi cives collocant.

Ὅτι ζητήματος ἐν ταῖς Ἀθήναις ἀνακύψαντος περὶ τῶν κεκολλημένων [96] βιβλίων μαθεῖν [192 R.] τοῖς ἐπιζητοῦσι τὸ μέτρον τοῦ κόλλου [97], Φιλτάτιος [97*] ὁ τοῦ ἱστορικοῦ ἑταῖρος, εὐφυῶς περὶ γραμματικὴν ἔχων, τοῦτο ἐπέδειξε [98], καὶ εὐδοκιμήσας τυγχάνει παρὰ τῶν πολιτῶν εἰκόνος.

De Oasi auctor multa narrat incredibilia. De ejus primum temperie : et quod sacro ibi morbo non modo nulli laborent, sed etiam si qui aliunde adveniant, eo liberentur, ob benignam aeris temperiem. De copiosa deinde quæ ibidem est arena, deque puteis, qui fossione ad ducentos et trecentos, nonnunquam vero etiam ad quingentos cubitos facta. scaturiginis rivos per orificium effundunt : unde per vices ii, qui communi labore opus fecerunt, hauriunt, et arva sua rigant agricolæ. Arbores (49) perpetuo ibi poma ferre et frumentum illic natum omni frumento esse præstantius, niveque candidius. Interdum bis quotannis hordeum ibi seri, millium autem perpetuo ter. Rigare incolas ruscula sua, æstate tertio quoque die, hieme, sexto, atque hinc tantam terræ fertilitatem conciliari. Nunquam ibi cœlum nubes contrahere. Ad hæc de horologiis, quæ ibidem conficiuntur. Oasim memorat insulam olim fuisse, atque a continente divulsam, eamdemque ab Herodoto vocari [Thalia] *Beatorum insulam* ; ab Herodoto (50) autem eo qui Orphei ac Musæi conscripsit historiam nominari *Phæacidem* (51). Insulam ante fuisse ex eo conjecturas duci, quod testæ marinæ, et ostrea lapidibus adhærescentia, in eo monte inveniantur, qui ex Thebaide in Oasim ducit. Deinde etiam, quod perpetuo copiosa ibi arena scatet, tresque Oases replet. Nam etiam ipse (52) tres Oases esse tradit. Duas magnas, exteriorem unam, alteram interiorem, e regione sibi invicem oppositas, centum milliarium **61***b* spatio interjecto, cum tertia parva, longo interstitio ab alteris duabus separata. Insuper hoc etiam argumento insulam fuisse tradit, quod sæpenumero accidit, ut pisces ab avibus eo delati visantur, aut certe arrosorum piscium reliquiæ : ut inde conjectare liceat, non admodum longe abesse mare. Ait (53) autem et Homerum ex vicina huic Thebaide genus ducere.

Ὅτι περὶ τῆς Ὀάσεως ὁ συγγραφεὺς πολλὰ παραδοξολογεῖ, περί τε [111 H.] τῆς εὐκρασίας αὐτῆς, καὶ ὅτι οἱ τὴν ἱερὰν νόσον ἔχοντες οὐ μόνον ἐκεῖσε οὐ γίνονται, ἀλλὰ καὶ ἀλλαχόθεν παραγινόμενοι ἀπαλλάττονται τοῦ νοσήματος [99] διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν. Καὶ περὶ τῆς ψάμμου τῆς πολλῆς ἐκείνης καὶ τῶν ὀρυσσομένων φρεάτων, ὡς εἰς διακοσίους καὶ τριακοσίους, ἔσθ' ὅτε δὲ καὶ εἰς πεντακοσίους πήχεις ὀρυσσόμενα ἀναβλύζουσι τὸ ῥεῖθρον αὐτοῦ τοῦ στομίου προχεόμενον · ἐξ οὗ κατὰ διαδοχὴν ἀρυόμενοι, ὅσοις κοινὸν γέγονε τὸ ἔργον, τὰς [1] οἰκείας ἀρούρας ποτίζουσιν οἱ γεωργοί. Καὶ ὅτι αἱ ὀπῶραι ἀεὶ τοῖς δένδρεσι φέρονται, καὶ ὅτι ὁ σῖτος παντὸς κρείττων [2] σίτου καὶ χιόνος λευκότερος, καὶ ὅτι ἔσθ' ὅτε δὶς τοῦ ἔτους σπείρεται ἡ κριθή, τρὶς δὲ ἀεὶ ἡ κέγχρος. Ἀρδεύουσι δὲ τὰ γήδια αὐτῶν ἐν θέρει μὲν διὰ τρίτης ἡμέρας, ἐν χειμῶνι δὲ διὰ ἕκτης, ἐξ οὗ καὶ ἡ εὐφορία γίνεται. Καὶ ὅτι [3] οὐδέποτε συννεφία γίνεται. Καὶ περὶ τῶν ποιουμένων αὐτοῦ ὡρολογίων [4].

Λέγει δὲ ὅτι νῆσος τὸ παλαιὸν ἦν καὶ ἀπεχερσώθη. καὶ ὅτι ταύτην καλεῖ Ἡρόδοτος Μακάρων νήσους · Ἡρόδωτος δὲ, ὁ τὴν Ὀρφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν, Φαιακίδα ταύτην καλεῖ. Τεκμηριοῖ δὲ νῆσον αὐτὴν γεγονέναι ἔκ τε τοῦ ὄστρακα θαλάσσια καὶ ὄστρεα λίθοις τοῦ ὄρους προσπεπλασμένα [5] εὑρίσκεσθαι τοῦ ἐπὶ τὴν Ὄασιν ἀπὸ τῆς Θηβαίδος φέροντος, δεύτερον ὅτι ψάμμος πολλὴ ἐπεκχεῖται ἀεὶ καὶ τὰς τρεῖς ἀναπληροῖ Ὀάσεις. Τρεῖς γάρ φησιν Ὀάσεις καὶ αὐτὸς εἶναι, δύο μεγάλας [6], τὴν μὲν ἐξωτέρω, τὴν δὲ ἐσωτέρω, καταντικρὺ κειμένας ἀλλήλαις, συντεινόντος εἰς ἑκατὸν σημεῖα τοῦ μεταξὺ διαστήματος · ἔστι δὲ καὶ ἄλλη τρίτη μικρά, πολλῷ διαστήματι τῶν δύο κεχωρισμένη. Λέγει δὲ εἰς πίστιν τοῦ νῆσον γενέσθαι ὅτι καὶ ὑπὸ ὀρνέων ὁρᾶσθαι συμβαίνει πολλάκις ἰχθῦς φερομένους καὶ ἰχθύων ἄλλοτε λείψανα, ὡς ἐντεῦθεν εἰκάζεσθαι μὴ πολὺ πόρρω εἶναι τὴν θάλασσαν. Φησὶ [7] δὲ καὶ Ὅμηρον ἐκ τῆς πρὸς ταύτῃ Θηβαίδος ἔλκειν τὸ γένος.

VARIÆ LECTIONES.

[95] ἀπολύεται A : ἀποστέλλεται ς. [96] κεκωλωμένων A, altero ω correcto. [97] κώλου A. [97*] Φιλλάτιος ς. [98] ἀπέδειξε ς. [99] τοῦ νοσήματος post εὐκρασίαν ponit A. [1] τὰς] καὶ τὰς ς. [2] κρείσσων παντὸς ς. [3] καὶ ὅτι οὐ περὶ A. [4] αὐτοῖς ὡρολογείων A. [5] πεπλασμένα ς. [6] μεγάλας καὶ τὴν ς. [7] φασὶ ς.

NOTÆ.

(49) Al. Zosim lib. v nec arborem ibi ullam, nec domicilium esse. Vide Notas D. Baron. ad Martyrolog. 12 Junii.

(50) E cujus item libris τῶν κατὰ Ἡράκλεα, frequentia passim adducuntur testimonia.

(51) Alia est Homeri Φαιακία, quæ cæteris *Corcyra* dicitur.

(52) Ut antea Strabo lib. XVII *Geograph.* ubi Ἀνάσεις, vel e mss. Αὐάσεις legitur : Stephano Αὐασίς.

(53) Ex Calasiris quoque sententia apud Heliod. in *Æthiopicis*, lib. III.

Ὅτι ὕπατος ὁ βασιλεὺς Ὀνώριος προελθὼν τὸ ἐνδέκατον, καὶ σὺν αὐτῷ Κωνστάντιος τὸ δεύτερον τὸν Πλακιδίας γάμον ἐπιτελοῦσιν· ἐφ' ᾧ πολλὰ μὲν αὐτὴ ἀνανεύουσα Κωνστάντιον παρεσκεύασε κατὰ τῶν αὐτῆς ὀργίζεσθαι θεραπόντων. Τέλος ἐν τῇ τῆς ὑπατείας ἡμέρᾳ ἀπὸ χειρὸς ταύτην ὁ βασιλεὺς καὶ ἀδελφὸς Ὀνώριος ἄκουσαν λαβὼν ἐγχειρίζει παραδιδοὺς Κωνσταντίῳ, καὶ ἐπιτελεῖται εἰς τὸ λαμπρότατον ὁ γάμος. Εἶτα καὶ παῖς αὐτοῖς τίκτεται, ἣν ὀνομάζουσιν Ὀνωρίαν, καὶ ἕτερος πάλιν, ᾧ κλῆσιν ἔθεντο Οὐαλεντινιανός [8]· ὃς ζῶντος μὲν Ὀνωρίου Νοβελίσσιμος γίνεται βιασαμένης τῆς Πλακιδίας τὸν [9] ἀδελφόν, μετὰ δὲ τὸν θάνατον τοῦ βασιλέως, καὶ ἔτι μετὰ τὴν κατάλυσιν του τυραννήσαντος Ἰωάννου, καὶ Ῥώμης βασιλεὺς ἀποδείκνυται [10]. Ὁ δὲ Κωνστάντιος συμβασιλεύει τῷ Ὀνωρίῳ, αὐτοῦ μὲν χειροτονοῦντος, ἀλλὰ σχεδόν τι [11] ἄκοντος. [193 R.] Χειροτονεῖται δὲ καὶ ἡ Πλακιδία Αὐγούστα, τοῦ τε ἰδίου ἀδελφοῦ καὶ τοῦ ἰδίου ἀνδρὸς χειροτονητάντων. Εἶτα πέμπεται πρὸς [112 II.] Θεοδόσιον, ὃς ἀδελφιδοῦς ὢν Ὀνωρίου τῶν πρὸς ἕω μερῶν ἐβασίλευεν [12], ἡ ἀνάῤῥησις μηνυομένη τῆς τοῦ [13] Κωνσταντίου βασιλείας, καὶ μένει ἀπαράδεκτος. Ἐφίσταται νόσος Κωνσταντίῳ, καὶ μετέμελεν αὐτῷ ἡ βασιλεία, ὅτι οὐκέτι ἦν αὐτῷ ἐπ' ἀδείας ὥσπερ πρότερον ἐξιέναι τε καὶ ἀπιέναι ὅπῃ καὶ ὅπως βούλοιτο, καὶ ὅτι οὐκ ἐξὴν χρῆσθαι [14] βασιλεύοντι οἷς ἔθος εἶχε χρῆσθαι παιγνίοις. Τέλος ἑπτὰ βασιλεύσας μῆνας, ὥσπερ αὐτῷ καὶ ὁ ὄνειρος εἶπεν, « Ἓξ ἤδη πεπλήρωνται καὶ ἄρχονται ἑπτά, » πλευριτικῇ νόσῳ τελευτᾷ, συντελευτησάσης αὐτῷ καὶ τῆς κατὰ τὴν [15] ἀνατολὴν ὀργῆς καὶ ὁρμῆς, ἣν ὤδινεν, ὅτι τὴν ἀναγόρευσιν αὐτοῦ τῆς βασιλείας [16] οὐ προσήκαντο. Ὅτι Οὐαλίου [17] διαδέχεται.

Ibi et ab ipso Asiæ facta divisio est, qua priorem illam partim ratam habuit, partim, ubi temporum necessitas exigeret, innovavit. Nam Ægyptum quidem et Libyam, vastamque ultra Africam, B et quidquid præterea bello partum ad occidentem solem jacet, Ptolemæi esse pronuntiat. Laomedonti vero Mitylenæo Syriam assignat. Philoxenus (52) Ciliciam, quam antea provinciam sortitus erat, retinuit. Jam inter superiores satrapias, Mesopotamiam et Arbelum Amphimacho regis fratri attribui : Seleucus vero Babyloniæ præficitur. Antigeni, qui primus Perdiccam invaserat, et Macedonum Argyraspidarum (53) ductor erat, præfectura totius Susianæ data. In Perside Peucestes confirmatur. Carmaniæ Tlepolemus præponitur, ut Mediæ usque ad Caspias portas Pithon. Philippus Parthis : Ariis vero et Drangenorum regioni, Stasander præfectus venit. Bactrianæ et Sogdianæ Stasamor Soliensis, Arachotarum vero Sibyrtius C evenit. Oxyartæ, Roxanes patri, Parapamisadæ dantur : Indorum autem ea ora, quæ Parapamisadis adjacet, Pithoni Agenoris F. tributa. De proximis deinde satrapiis ea quæ ad Indum flumen est, et Patala urbs, quæ in illa India est maxima, **72***a* Porro regi cessit : at quæ ad Hydaspen flumen pertinet, Taxilæ item Indo, attribuitur, quando non facile esset ipsos dimovere, qui ab Alexandro ipso in imperio constituti, magnam satis potentiam nacti essent. Adhæc qui a Tauro monte ad Boream vergebant, Cappadocas Nicanori attribuit : Magnam vero Phrygiam, Lycaoniam, Pamphyliam, et Lyciam, ut antea, Antigonus retinuit. Cariam Asander (54) accepit. Lydia Clito data, ut Arridæo ea, quæ ad Hellespontum jacet, Phrygia. Pecuniæ Susis colligendæ Antigenes præficitur ; cui et e Macedo- D nibus, qui maxime tumultuati fuerant, ad tria millia traditi. Corporis præterea regii custodes ac

Καὶ ποιεῖται νέμησιν καὶ αὐτὸς τῆς Ἀσίας, τὰ μὲν τῆς προτέρας νεμήσεως ἐπικυρῶν, τὰ δὲ τοῦ καιροῦ βιαζομένου νεωτερίζων. Αἴγυπτον μὲν γὰρ καὶ Λιβύην καὶ τὴν ἐπέκεινα ταύτης τὴν πολλήν, καὶ ὅτιπερ ἂν πρὸς τούτοις δόριον [16] ἔπικτήσηται πρὸς δυομένου ἡλίου, Πτολεμαίου εἶναι, Λαομέδοντι δὲ τῷ Μιτυληναίῳ Συρίαν ἐπιτετράφθαι. Φιλόξενον δὲ ἐπὶ Κιλικίας ἔταξεν, ἣν καὶ πρῶτον εἶχεν. Τῶν δὲ ἄνω σατραπειῶν [17] τὴν μὲν μέσην τῶν ποταμῶν γῆν καὶ τὴν Ἀρβηλίτιν Ἀμφιμάχῳ τῷ τοῦ βασιλέως ἀδελφῷ ἔνειμε, Σελεύκῳ δὲ τὴν Βαβυλωνίαν προσέθηκεν. Ἀντιγένει δὲ τῷ πρώτῳ μὲν ἐπιθεμένῳ Περδίκκᾳ, τῶν δὲ ἀργυρασπίδων Μακεδόνων ἡγουμένῳ, τῆς Σουσιανῆς συμπάσης ἄρχειν · Πευκέστᾳ δὲ ἐβεβαίου τὴν Περσίδα · Καρμανίαν δὲ Τληπολέμῳ ἔνειμε, καὶ Μηδίαν Πίθωνι ἔστ' ἐπὶ πύλας τὰς Κασπίους [18], Φιλίππῳ δὲ τὴν Παρθυαίων γῆν · Ἀρείων δὲ καὶ τῆς Δραγγηνῶν χώρας Στάσανδρον καθίστη ἡγεμόνα, τῆς δὲ Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον, Ἀραχώτων δὲ Σιβύρτιον · καὶ Παραπαμισάδας [19] Ὀξυάρτῃ τῷ Ῥωξάνης πατρὶ, τῆς δὲ Ἰνδῶν γῆς τὰ μὲν σύνορα Παραπαμισάδαις Πίθωνι τῷ Ἀγήνορος, τὰς δὲ ἐχομένας σατραπείας, τὴν μὲν παρὰ [20] τὸν Ἰνδὸν [21] ποταμὸν καὶ Πάταλα τῶν ἐκείνῃ [22] Ἰνδῶν πόλεων τὴν μεγίστην Πώρῳ τῷ βασιλεῖ ἐπεχώρησε [23], τὴν δὲ παρὰ τὸν Ὑδάσπην ποταμὸν Ταξίλῃ, καὶ τούτῳ Ἰνδῷ, ἐπεὶ μηδὲ ῥᾴδιον μετακινῆσαι αὐτοὺς ἐξ Ἀλεξάνδρου τε ἐπιτετραμμένους τὴν ἀρχὴν καὶ δύναμιν ἱκανὴν ἔχοντας. Τῶν δὲ ἀπὸ τοῦ Ταύρου ὄρους ὡς ἐπὶ τὴν ἄρκτον φερόντων Καππαδόκας μὲν Νικάνορι ἐπέτρεψεν, ἐπὶ δὲ Φρυγίας τῆς μεγάλης καὶ ἐπὶ Λυκάοσί τε καὶ Παμφύλοις [24] καὶ Λυκίοις, ὡς καὶ πρόσθεν, Ἀντίγονον · Κάριαν δὲ Ἀσάνδρῳ ἔνειμε, Λυδία δὲ Κλείτῳ ἐδόθη, καὶ Ἀρριδαίῳ Φρυγία ἡ πρὸς Ἑλλησπόντῳ [25]. Τῇ δὲ κατακομιδῇ τῶν ἐν Σούσοις χρημάτων Ἀντιγένην ἔταξε, καὶ τούτῳ τῶν στασιασάντων Μακεδόνων τοὺς μάλιστα τρισχιλίους παρέδωκε. Σωματοφύλακας

VARIÆ LECTIONES.

[16] δόριον A : δόρειον ς. malim δορί : cf. Bast. comment. palæograph. p. 771. [17] ξατραπειῶν A. [18] Κασπείας ς. [19] ξύνορα Παραπαμεισάδαις A. [20] παρὰ A : περὶ ς. [21] Ἰνδῶν ς. [22] ἐκεῖ ς. [23] ἐπεχώρισε ς. [24] Παμφυλίοις ς. [25] Ἑλλήσποντον ς.

NOTÆ.

(52) Philotas eam quidem supra acceperat in pr. h. cod. et apud Dexippum sup. cod 83, at orto duces inter dissidio, Philotæ adempta Philoxono a Perdicca datur. Justin. ad extremum lib. XII. Eadem ergo provincia, sublato Perdicca, etiam ab Antipatro hic Philoxeno confirmatur.

(53) Ab argenteis ita clypeis appellati quidam Alexandri M. milites, ut refert Justinus lib. XII, et Athenæus lib. XII.

(54) Casander legendum suadent Latini, Justin. et Curt. ipseque Arrian. sup. in pr. hujus cod.

δὲ τοῦ βασιλέως Αὐτόλυκόν τε τὸν Ἀγαθοκλέους [128 H.] παῖδα καὶ Ἀμύνταν τὸν Ἀλεξάνδρου παῖδα, Πευκέστου δὲ ἀδελφόν [26], καὶ Πτολεμαῖον τὸν Πτολεμαίου καὶ Ἀλέξανδρον τὸν Πολυσπέρχοντος, Κάσανδρὸν δὲ τὸν ἑαυτοῦ παῖδα χιλιάρχην τῆς ἵππου, τῆς δυνάμεως δὲ τῆς πρόσθεν ὑπὸ Περδίκκᾳ τεταγμένης Ἀντίγονον ἡγεμόνα ἠπέφηνε, καὶ τούτῳ τοὺς βασιλέας φρουρεῖν τε καὶ θεραπεύειν προστάξας, τον πόλεμον ἅμα τὸν πρὸς Εὐμένη διαπολεμῆσαι αὐτῷ αἱρουμένῳ ἐπέτρεπεν. Ἀντίπατρος δὲ αὐτὸς πολλὰ ὑπὸ πάντων ἕνεκα πάντων ἐπαινούμενος ἐπ' οἴκου ἀνεχώρει. Ἐν οἷς καὶ ὁ θ' λόγος.

stipatores nominavit Autolycum, Agathoclis F. et Amyntam Alexandri E. Peucestæ fratrem : Ptolemæum item Ptolemæi F. et Alexandrum Polysperchontis F. Casandrum vero suum filium, equitum chiliarchum ; iisdemque copiis, quibus antea Perdiccas præfuerat, Antigonum præfectum constituit, cui etiam regum curam custodiamque mandans, bellum cum Eumene gerendum atque conficiendum volenti commisit. Antipater ipse, valde ab omnibus ob res bene gestas laudatus, domum revertit. Atque in his nonus clauditur liber.

Ὁ δὲ δέκατος διαλαμβάνει ὡς Εὐμένης τὰ περὶ Περδίκκαν μαθών, ὅτι καὶ [27] πολέμιος ἐψηφίσθη Μακεδόσιν, ἐπὶ πόλεμον παρεσκευάζετο. Καὶ ὡς Ἀλκέτας ὁ Περδίκκου ἀδελφὸς διὰ ταῦτα ἔφυγε. Καὶ Ἄτταλος ὁ τῆς κατὰ Ἀντιπάτρου στάσεως οὐδενὸς φέρων τὰ δεύτερα, καὶ αὐτὸς φυγὼν συνέμιξε τοῖς [28] ἄλλοις φυγάσι. Καὶ συνήχθη Ἀττάλῳ στρατὸς, πεζοὶ μὲν μύριοι, ἱππεῖς δὲ ὀκτακόσιοι. [225 R.] Καὶ ὡς Ἄτταλος καὶ οἱ σὺν αὐτῷ, ἐπιθέσθαι Κνίδῳ καὶ Καύνῳ καὶ Ῥοδίοις ἐπιχειρήσαντες, ὑπὸ Ῥοδίων καρτερῶς [29] ἀπεκρούσθησαν, Δημαράτου ναυαρχοῦντος αὐτοῖς, Διαλαμβάνει δὲ καὶ ὡς Εὐμένης Ἀντιπάτρου ἐς [30] Σάρδεις ἰόντος ἐς χεῖρας ἐλθεῖν ἐγγὺς ἦν, Κλεοπάτρα δὲ ἡ τοῦ Ἀλεξάνδρου ἀδελφή, ἵνα μὴ ἐς τὸ τῶν Μακεδόνων πλῆθος ἐν διαβολῇ [31] γένηται ὡς αὐτὴ τὸν πόλεμον αὐτοῖς ἐπάγουσα, παρῃνεῖ καὶ πείθει Εὐμένῃ ἀποχωρῆσαι τῶν Σάρδεων. Ἀλλ' ὅμως οὐδὲν ἧττον ὁ Ἀντίπατρος παραγενόμενος αὐτὴν ἐπωνείδιζε [32] τῆς ἐς Εὐμένη καὶ Περδίκκαν φιλίας. Ἡ δὲ πρός τε ταῦτα κρεῖσσον ἢ κατὰ γυναῖκα ἀπελογεῖτο, καὶ πολλὰ ἄλλα ἀντεπεκάλει [33]· τέλος δὲ εἰρηνικῶς ἀλλήλων ἀπηλλάγησαν. Ὅτι Εὐμένης ἐπελθὼν ἀπροσδόκητος [34] τοῖς οὐχ ὑπ' αὐτῷ προσχώροις, καὶ λείαν πολλὴν καὶ χρήματα συλλαβών, τὸν οἰκεῖον στρατὸν κατεπλούτει. Διαπρεσβεύεται δὲ καὶ πρὸς [35] Ἀλκέταν καὶ τοὺς σὺν αὐτῷ, ἐς ταυτὸν τὰς δυνάμεις συναγαγεῖν [36] ἀξιῶν, καὶ οὕτω τοῖς κοινοῖς ἐχθροῖς μάχεσθαι· οἱ δὲ, ἄλλων ἄλλα συμβουλευσαμένων [37], τέλος οὐ πείθονται. Ὅτι Ἀντίπατρος Εὐμένει μὲν πολεμεῖν τέως οὐκ ἐθάρρει, κατὰ δὲ Ἀττάλου καὶ Ἀλκέτα πέμπει πολεμήσοντα Ἄσανδρον [38]· καὶ ἀγχωμάλου τῆς μάχης γεγενημένης [39] ἡττᾶται Ἄσανδρος. Ὅτι διαφέρεται Κάσανδρος πρὸς Ἀντίγονον, καὶ παύεται Κάσανδρος τῆς κατὰ Ἀντιγόνου ἀταξίας Ἀντιπάτρου τοῦ πατρὸς διακωλύσαντος. Ὅμως οὖν ὁ Κάσανδρος, περὶ Φρυγίαν συμβαλὼν τῷ πατρὶ, ἀναπείθει μήτε πόρρω τῶν βασιλέων ἀποχωρεῖν καὶ Ἀντίγονον δι' ὑπονοίας ἔχειν. Ὁ δὲ τῇ τε μετριοφροσύνῃ καὶ τῇ ἄλλῃ θεραπείᾳ καὶ ἀρετῇ τὸν δυνατὸν τρόπον διέλυε τὴν ὑπόνοιαν. Καὶ Ἀντίπατρος ἐπικλασθεὶς τῆς τε ξυνδιαβάσης αὐτῷ

Decimus porro narrat Eumenem, cognito quæ Perdiccæ accidissent, sequehostem a Macedonibus judicatum, quæ ad bellum essent necessaria, comparasse, et Alcetam Perdiccæ fratrem, fuga salutem ob hæc ipsa quæsiisse. Attalum quoque, qui in civili ab Antipatro defectione nemini secundus fuerat, fugientem pariter cæteris sese exsulibus miscuisse, exercitumque tandem conflasse, peditum decem millium, equitum octingentorum ; ac cum his Cnidum, Caunum, et Rhodum invadere conantem, a Rhodiis fortiter, Demarato apud eos classis præfecto, repulsum fuisse. Refert etiam parum abfuisse, cum Sardeis peteret Antipater, quin ad manus cum eo Eumenes venerit. At Cleopatram Alexandri sororem (ne forte apud Macedonum vulgus, quasi belli ipsis causa foret, in crimen illa vocaretur) suasisse ac persuasisse Eumeni, Sardibus ut abscederet. Antipatrum tamen eam **72***b* nihilominus cum advenisset, ob amicitiam, societatemque cum Eumene atque Perdicca, non sine probris atque conviciis increpuisse: illamque, supra quam ab eo sexu exspectari poterat, sese defendisse aliaque plurima vicissim objecisse, ac tandem pacatos eos discessisse. Eumenem nec opinato in vicinorum eorum agrum, qui ei non parerent, irrumpentem cum prædam magnam egisse, tum pecuniæ magnam vim diripuisse, quibus ille suum exercitum magnopere ditarit. Nuntios insuper ad Alcetam ejusque socios misisse, qui copias omnes in unum adducere, atque ita junctis viribus communem hostem oppugnare rogarent. Illos vero aliis aliud suadentibus, tandem minime esse assensos. Antipatrum addit cum Eumene pugnare adhuc non ausum, misisse tamen Asandrum (55), qui cum Attalo atque Alceta dimicaret. Certatum esse hic æquo propemodum Marte : sic tamen, ut inferior Asander discesserit. Casandrum adhæc ab Antigono dissensisse, verum animi perturbationem, Antipatro patre inhibente deposuisse. Apud Phrygiam deinde Casan-

VARIÆ LECTIONES.

[26] δὲ τὸν ἀδελφὸν A. [27] καὶ ὅτι A : ὅτι καὶ ς. [28] τοῖς] καὶ τοῖς ς. [29] κρατερῶς ς. [30] εἰς ς. sic et infra. [31] ἐν διαβολῇ A : διαβολὴ ς. [32] ὠνείδιζε ς. [33] ἀντενεκάλει ς. [34] ἀπροσδοκήτως — ὑπ' αὐτὸν ς. [35] πρὸς om. A. [36] ἀναγαγεῖν ς. [37] βουλευσαμένων ς. [38] Ἄσσανδρον et Ἄσσανδρος ς. [39] γενομένης ς.

NOTÆ.

(55) Cui Caria provincia obvenerat, ut hic ait pag. 127, et Dexippus pag. 116.

drum cum parente congressum, ne a regibus longius discederet, sed Antigonum suspectum haberet, hortatum esse. Illum vero cum temperata sua prudentia, tum variis obsequiis atque virtutibus suspicionem pro virili sustulisse. Mitigatum itaque Antipatrum, de illis copiis, quas in Asiam secum transvexerat, peditum illi [Antigono] Macedonici generis octo millia et quingentos tradidisse, equitum vero externorum parem numerum : elephantorum quoque dimidiam partem, id est septuaginta ; quo facilius bellum cum Eumene conficeret. Ita Antigonum bellum hoc administrare exorsum esse : Antipatrum vero, acceptis regibus, cæterisque copiis, tanquam in Macedoniam trajecturum abivisse. Addit iterum ibi tumultuantes milites pecuniam postulasse, Antipatrumque promisisse, ubi Abydum pervenisset, illam sese curaturum præbiturumque fortasse donativum universum : sin vero, majorem certe partem accepturos. Hac ergo spe lactatos, absque seditione deinceps Abydum usque perduxisse ; unde ipse noctu (deceptis astu militibus) una cum regibus Hellespontum, ad Lysymachum trajecerit : postridie ergo ejus diei, etiam ipsos transiisse, de pecunia poscenda in præsens quiescentes. Atque hoc libri decimi extremum est.

A ἐς τὴν Ἀσίαν δυνάμεως πεζοὺς μὲν ἐπιτρέπει αὐτῷ Μακεδόνας ὀκτακισχιλίους καὶ πεντακοσίους, καὶ ἱππέας τῶν ἑτέρων [40] ἴσους, ἐλέφαντας δὲ τῶν πάντων τοὺς ἡμίσεας, ο', ὡς ῥᾷον διαπολεμήσειεν [129 H.] τὸν πρὸς Εὐμένη πόλεμον. Καὶ Ἀντίγονος μὲν τοῦ πολέμου ἥπτετο, Ἀντίπατρος δὲ ἀναλαβὼν τοὺς βασιλεῖς καὶ τὴν ἄλλην δύναμιν ἦει ὡς περαιωσόμενος ἐπὶ [41] Μακεδονίαν. Καὶ στασιάζει πάλιν ὁ στρατὸς, αἰτῶν τὰ χρήματα. Ἀντίπατρος δὲ, ἐπειδὰν ἔλθῃ εἰς Ἄβυδον, ὡμολόγησε [42] πορεῖν αὐτὰ, καὶ δώσειν τυχὸν μὲν πάντα, ὅση ἡ δωρεὰ, εἰ δὲ μὴ, τήν γε [43] πλείστην. Καὶ ταύταις κὐτοὺς ταῖς ἐλπίσιν ἀναρτήσας, ἀστασιάστως [44] τὸ λοιπὸν καταλαμβάνει τὴν Ἄβυδον. Ἐκεῖ δὲ τέχνῃ τούτους [45] παρακρουσάμενος, νυκτὸς ἅμα τοῖς βασιλεῦσι περαιοῦται τὸν Ἑλλήσποντον παρὰ Λυσίμαχον. Τῇ δὲ ὑστεραίᾳ καὶ αὐτοὶ ἐπεραιώθησαν, ὑπὲρ τῆς ἀπαιτήσεως τῶν χρημάτων παραυτίκα ἡσυχάσαντες. Ἐν οἷς καὶ τοῦ δεκάτου λόγου τὸ τέλος.

absque seditione deinceps Abydum usque perduxisse ; unde ipse noctu (deceptis astu militibus) una cum regibus Hellespontum, ad Lysymachum trajecerit : postridie ergo ejus diei, etiam ipsos transiisse, de pecunia poscenda in præsens quiescentes. Atque hoc libri decimi extremum est.

Est sane scriptor hic nemini eorum qui historiam optime contexuerunt postponendus. **73***a* Nam et narrationum brevitate præstat, et importunis digressionibus, aut crebra parenthesi, continentem historiæ tenorem minime lædit. Decori insuper observans, nova orationis compositione magis quam vocabulis usque eo est plane ut alio nullo modo neque clarior, neque dilucidior fieri narratio possit. Dum vero significantes sonantesque ac teretes adhibet dictiones, æqualitate non minus, quam granditate orationem temperat. Verborum item innovatio non est illi longius, sed e propinquo petita, et quæ lumen orationi vel maximum addat, ut sit vocabuli quasi habitus quidam ac gestus potius quam mutatio consuetorum verborum. Quo fit, ut et perspicuitas exoriatur, non in hac solum parte, sed etiam in apparatu, ordine, et narrationis maxime compositione : quod ipsum est totum perspicuitatis artificium. Jam usus tractatioque simplicium ac rectarum periodorum, vel apud indoctos plerumque reperiatur : et vero ad supinum atque humile dicendi genus orationem nimium demittit ; præsertim si merus ille atque impermistus sit usus. Quod hic noster (etsi ad perspicuitatem illud facere videatur) non admisit unquam. Tropis item ellipseos, non ambitum ipsum verborum concidendo, sed voces singulas supprimendo ita utitur, ut ne percipiendi quidem defectus vestigium ullum relinquat : idque adeo, ut si quis quod deest addere tentet, supervacaneum potius addidisse, quam defectum supplevisse, merito censeatur. Schematum etiam copia optime orationem suam

Ἔστι μὲν οὖν [46] ἀνὴρ οὐδενὸς τῶν ἄριστα συνταξαμένων ιστορίας δεύτερος· ἀπαγγελίαι τε γὰρ καὶ μετὰ συντομίας κράτιστος, καὶ παρεκτροπαῖς ἀκαίροις οὐδὲ παρενθήκαις τὸ συνεχὲς τῆς ἱστορίας οὐδαμοῦ λυμαινόμενος, καινοπρεπὴς δὲ συνθήκῃ λόγου μᾶλλον ἢ λέξει, καὶ οὕτως ὥστε μὴ ἂν ἄλλως [228 R.] μήτε σαφέστερον μήτε ἐναργέστερον τὸ διήγημα δηλωθῆναι. Εὐσήμῳ δὲ ταὶ εὐήχῳ καὶ τῷ τῶν λεξεων ἀποκεχρημένος στρογγύλῳ, καὶ τὸ λεῖον ἔχει τῷ μεγέθει συγκιρνάμενον. Καὶ ἡ καινότης τῶν λέξεων οὐχὶ εἰς τὸ πόρρω νεωτερίζεται, ἀλλ' ἔγγιστά τε καὶ εἰς τὸ ἐμφατικώτατον [47], ὡς σχηματισμὸν εἶναι λέξεως, ἀλλ' οὐχὶ ἐναλλαγὴν συνήθους ὀνόματος. Διὸ καὶ τὸ σαφὲς συνεφέλκεται οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ [48] κἀν τῇ διασκευῇ καὶ τάξει καὶ καταστάσει μάλιστα τοῦ διηγήματος· ὅπερ ἐστὶ καὶ τῆς σαφηνείας τὸ ἔντεχνον· ἡ γάρ τοι χρῆσις ἡ κατὰ τὰς εὐθείας τῶν περιόδων καὶ τοῖς ἰδιώταις πρόσεστι μάλιστα, καὶ εἰς ὑπτιότητα καὶ ταπεινότητα λίαν καταβιβάζει τὸν λόγον, ἄκρατος μάλιστα γινομένη· ὅπερ οὗτος [49] εἰ καὶ τοῦ σαφοῦς εἶναι δοκεῖ, οὐ προσήκατο. Καὶ τῷ ἐλλείποντι δὲ τῶν τρόπων οὕτω κέχρηται, οὐ κατὰ τὰς περιοδικὰς ἐλλείψεις τοῦτο ποιῶν, ἀλλὰ κατά γε τὰς τῶν λέξεων, ὥστε μηδ' ἐλλείπειν δοκεῖν συναίσθησιν· καὶ εἴ τις τὸ λεῖπον ἐπιχειροίη προσθεῖναι, εἰς τὸ παρέλκον ἂν ἐπιτεῖναι δοξαι, ἀλλὰ μὴ τοῦ ἐλλιποῦς ἐξευρεῖν τὴν ἀναπλήρωσιν. Ἄριστα δὲ αὐτοῦ καὶ τὸ πολυσχημάτιστον ἔχει, οὐκ ἀθρόον μεταβαλλόμενον ἀπὸ τῆς αὐτοσχηματίστου χρήσεως, ἀλλ' ἠρέμα καὶ ἐξ ἀρχῆς συμπλεκόμενον, ὡς μήτε τῷ προσκορεῖ ἀνιᾷν μήτε τῷ ἀθρόῳ ποιεῖν ἐκταράσσεσθαι [50]. Καὶ ἁπλῶς, εἴ τις κατ' αὐτὸν ἐπὶ τοὺς ἱστορικοὺς ἀναχθείη

VARIÆ LECTIONES.

[40] ἑταίρων A. [41] ἐπὶ A : τὴν ς. [42] ὡμολόγει ς. [43] γε A : τε ς. [44] ἀστασίαστον A. [45] τούτους τεχνη ς. [46] ὁ add. A. [47] ἐμφαντικώτατον ς. [48] ἀλλ' ἐν ς. [49] οὕτως A. [50] ἐκταράττεσθαι ς.

λόγους, πολλοὺς καὶ τῶν ἀρχαίων ἴδοι τῆς αὐτοῦ τάξεως ἱσταμένους ταπεινότερον.

adornat. Non enim repente et simul omnium obvium ac navitum usum immutat, sed sensim atque ab initio statim hæc commiscet. Ita neque satietate molestiam affert, neque repentina mutatione turbat. Denique ut semel dicam, si quis post hunc [lectum] ad cæteros historicos sese contulerit, multos etiam antiquorum humiliores deprehendat.

Libuit hic ἐν τύπῳ subjicere regni Macedonici, exstincto jam Alexandro, distributionem, ac pene dixerim sectionem : cum ut uno aspectu sese offerat, tum ut Græcorum Arriani ac Dexippi, Latinorumque Justini, Curtii atque Orosii dissensio melius appareat.

DIVISIO PROVINCIARUM IMPERII ALEXANDRI MAGNI A PERDICCA FACTA.

Apud Arrianum hic in principio cod. XCII.

Cum prius, ex pacto pedites inter equitesque,

Antipater		Exercitus dux per Europam.
Craterus		Tutor regni Arridæi.
Perdiccas		Tribunus militaris pro Hephæstione constituti fuissent :
Ptolemæus Lagi F.	imperare jussus	Ægypto, Libyæ, et Arabiæ, quoad hæc Ægypti fines attingit.
Cleomenes		Loco Ptolemæi vicaria potestate.
Laomedon		Syriæ.
Philotas		Ciliciæ.
Pithon		Mediæ.
Eumenes Cardianus		Cappadociæ, Paphlagoniæ, et Euxino Ponto finitimis, Trapezuntem usque.
Antigonus		Pamphylis, Lyciis, et Phrygiæ majori.
Casander		Caribus.
Menander		Lydis.
Leonnatus		Phrygiæ, quæ est ad Hellespontum.

Sic Asia partita.

IN EUROPA VERO.

Lysimachus	imperare jussus	Thraciæ, Cherroneso, omnibusque Thracibus finitimis gentibus, ad Salmydessum Euxini Ponti.
Craterus		Omnibus quæ ultra Thraciam sunt locis usque ad Illyrios Triballos et Agrianas, ipsi quoque Macedoniæ, et Epiro ad Ceraunios usque montes, et omnibus Græcis.

ALTERA PROVINCIARUM DIVISIO PER ANTIPATRUM.

Ex eodem Arriano hic in epitome libri noni.

Ptolemæus	accepit	Ægyptum, Libyiam, et vastam, quæ has ultra est, regionem.
Laomedon Mitylenæus		Syriam.
Philoxenus		Ciliciam.
Amphimachus		Mesopotamiam et Arbelem.
Seleucus		Babyloniam.
Antigenes		Susianam satrapiam.
Peucestes		Persida.
Tlepolemus		Carmaniam.
Pithon		Mediam usque ad Caspias portas.
Philippus		Parthyæorum regionem.
Stasander		Aræorum et Drangenorum provinciam.
Stasanor Soliensis		Bactrianen et Sogdianen.
Sibyrtius		Arachotos.
Oxyartes Roxanes P.		Parapamisadas.
Pithon Agenoris F.		Finitimos Parapamisadibus.
Porus Indus		Quæ ad Indum fluvium sunt, et Patala urbem.
Taxiles Indus		Provinciam ad Hydaspen fluvium.
Nicanor		Cappadocas.
Antigonus		Phrygiam majorem, Lycaonas, Pamphylios, Lycios, ut prius.
Asander		Cariam.
Clitus		Lydiam.
Arridæus		Phrygiam ad Hellespontum.

Antigenes		Collectionem vectigalium Susianorum.
Autolycus Agathoclis F. Amyntas Alexandri F. . idemque Peucestæ frater Ptolemæus Ptolemæi F. Alexander Polysperchontis F.	accepit	Regii corporis custodiam.
Casander Antipatri F.		Præturam equitum.
Antigonus		Imperium in Perdiccæ olim copias, et regem præsidium.

DIVISIO IMPERII MACEDONICI

Perdicca distribuente.

Apud Dexippum sup. cod. 82.

In Asia.

Ptolemæo Lagi F.	obvenit	Ægyptus universa, et Libya, et quidquid ultra Ægyptum attingit.
Cleomeni		Ptolemæi vicarium præfectum agere.
Laomedonti Mitylenæo		Syria.
Philotæ		Cilicia.
Pithoni		Media.
Eumeni.		Cappadocia, Paphlagonia, et quidquid ad Pontum Euxinum vergit Trapezuntem usque.
Antigono		Pamphyli et Cilices usque ad Phrygiam.
Asandro		Cares.
Menandro		Lydi.
Leonnato		Phrygia ad Hellespontum.

In Europa.

Lysimacho	obvenit	Thracia et Cherronesus.
Antipatro		Omnes Macedones, Græci, Illyrii, Triballi, Agrianes, et quæcunque in Epiro.
Cratero		Tutoris ac curatoris regii dignitas.
Perdiccæ		Chiliarchia Hephæstionis.

Apud Indos.

Pero	obvenerunt	Indum inter et Hydaspen populi.
Taxilæ		Indi reliqui.
Pithoni alteri		Indorum finitimi, exceptis Paramisadibus.
Oxyarti Bactrio		Caucaseis subjecti montibus populi, Indis proximi.
Roxanes patri		
Sibyrtio		Arachosii atque Gadrosii.
Stasanori Soliensi		Aræi et Drangi.
Philippo		Sogdiani.
Rhadapherno		Hyrcania.
Neoptolemo		Carmania.
Peucestæ		Persæ.
Oropto		Sogdianorum pars.
Seleuco		Babylonii.
Archelao		Mesopotamia.

MACEDONICARUM PROVINCIARUM PARTITIO.

Apud Justinum libro XIII.

Accipiunt a Perdicca	Ptolemæus	Ægyptum, et Africæ Arabiæque partem.
	Laomedon Mitylenæus	Syriam.
	Philotas cum filio	Ciliciam et Illyricos.
	Acropatos	Mediam Majorem.
	Alcetas Perdiccæ frater	Mediam Minorem.
	Synus	Susianam gentem.
	Antigonus Philippi F.	Phrygiam Majorem.
	Learchus	Lyciam et Pamphyliam.
	Cassander	Cariam.
	Menander	Lydiam.
	Leonnatus	Phrygiam Minorem.
	Lysimachus	Thraciam, et regiones Pontici maris.
	Eumenes	Cappadociam cum Paphlagonia.
	Seleucus Antiochi F.	Summum castrorum tribunatum.
	Cassander Antipatri F.	Præfecturam stipatorum regis satellitumque.
	Taxiles	Res Indum inter et Hydaspen flu.
	Pithon Agenoris F.	Colonias in Indiis conditas.

	Parapomenus	Fines Caucasi montis.
	Axiarches	Dracas.
	Statanor	Argæos.
	Amyntas	Bactrianos.
	Scythæus	Sogdianos.
Accipiunt a Perdicca	Nicanor	Parthos.
	Philippus	Hyrcanos.
	Phratafernes	Armenios.
	Neoptolemus	Persas.
	Peucestes	Babylonios.
	Artous	Pelasgas.
	Archesilaus	Mesopotamiam.

DIVISIO IMPERII MACEDONICI A PERDICCA FACTA.

Apud Q. Curtium lib. x.

Rex		Summam imperii.
Ptolemæus		Ægyptum et Africæ gentes, quæ in ditione erant.
Laomedon		Syriam cum Phœnice.
Philotas		Ciliciam.
Antigonus		Lyciam cum Pamphylia, et majore Phrygia.
Cassander		Cariam.
Menander	obtineret	Lydiam.
Leonnatus		Phrygiam minorem Hellesponto adjunctam.
Eumenes		Cappadociam cum Paphlagonia usque ad Trapezunta.
Pithon		Mediam.
Lysimachus		Thraciam. appositasque Thraciæ Ponticas gentes.
Perdiccas		Præfecturam copiarum, quæ regem sequebantur.

ϛΓ'.

Τοῦ αὐτοῦ Βιθυνιακὰ ἐν βιβλίοις η'.

[233 R.] Ἀνεγνώσθη τοῦ αὐτοῦ τὰ Βιθυνιακὰ [51] ἐν βιβλίοις ὀκτώ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἆλλα, ὅσα συνέστη περὶ αὐτὴν, εἰς λεπτὸν [52] ἀναγράψει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια· Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι [130 H.] καὶ τραφῆναι καὶ παιδευθῆναι καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι. Μέμνηται δὲ ἐν ταύτῃ [53] τῇ συγγραφῇ καὶ ἑτέρων πραγματειῶν, ὧν ἡ μὲν ὅσα Τιμολέοντι τῷ Κορινθίῳ κατὰ Σικελίαν ἐπράχθη διαλαμβάνει, [236 R.] ἡ δὲ τὰ Δίωνι τῷ Συρακουσίῳ ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ πρότέρου, ἠλευθέρου, καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. Φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν· μετὰ [54] γὰρ [55] τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα καὶ Δίωνα [μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας] ἤδε αὐτῷ ἡ συγγραφὴ ἐξεπονήθη, ἐξ [56] ἀρχῆς μὲν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῷ ἐνδεῶς αὐτὸν ἔχειν [57] παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτῳ [58] βραδυτῆτος ἀποδίδωσιν αἰτίαν.

Ἄρχεται μὲν οὖν, ὥσπερ [59] εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τελευτῆς τοῦ

XCIII.

Ejusdem Arriani Bithynica.

Legi *Bithynica* ejusdem libris octo: quibus de Bithynia fabulosas narrationes, cæteraque ad ea pertinentia, accurate perscribit: patriæ nimirum patriam historiam offerens. Nicomedia enim genus se ducere hoc opere ostendit; **73***b* eaque in urbe natum, altum litterisque imbutum, sacerdotium Cereris, ejusque filiæ Proserpinæ (quibus sacram esse urbem scribit) gessisse. Meminit vero hoc ipso in libro et aliorum operum: quorum alterum quidem (56) Timoleontis Corinthii res in Sicilia gestas continet; alterum vero res Dionis Syracusani, memoratu dignas refert, cum Syracusas hic omnemque adeo Siciliam a Dionysii secundi (qui primi filius fuit) tyrannide liberavit: insuperque et a barbaris, quos ut tyrannidem firmaret, Dionysius eo adduxerat. Apparet vero hoc opus, quo patriam descripsit post Alexandri magni, Timoleontis, et Dionis rerum gestarum historias, quarto loco confectum esse: et initio quidem certe, ex quo animum ad scribendum appulerit, hoc sibi consulto argumentum proposuisse et præfixisse; verum quod rebus illis hujus apparatus indigeret, tardius absolvisse. Hanc enim ipsemet cessationis tardæque editionis causam affert.

A fabulosis ergo, ut jam diximus, narrationibus ducendum putavit initium, pergitque porro ad ex-

VARIÆ LECTIONES.

[51] Βιθυνιακὰ A, Βιθυνικὰ ϛ. cf. p. 17 *a* 27. [52] εἰς λεπτὸν A : λεπτομερῶς ϛ. [53] ταύτῃ] ταύτῃ αὐτῇ A. [54] μετὰ] μετά τε ϛ. [55] γὰρ — μετὰ om. A. [56] ἐξ] καὶ ἐξ ϛ. [57] αὐτὸν ἔχειν A : ἔχειν αὐτῶν ϛ. [58] τοῦτο ϛ. [59] ὥσπερ εἴρηται post ἱστορίας ponit ϛ.

NOTÆ.

(56) Dionis, qui Timoleontem præcessit, ipsiusque etiam Timoleontis vitam habes apud Plut.

cessum Nicomedis ultimi, qui vita decedens, Romanis regnum testamento reliquit: qui quidem Romani jam inde regibus parere desierant, ex quo urbe Roma exactus est Tarquinius Superbus.

A ἐσχάτου Νικομήδους, ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὔπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.

XCIV.

Jamblichi De rebus Rhodanis et Sinonidis libri XVI.

Lecta est Jamblichi (57) *Actio fictitia*, amores repræsentans. Qui etsi honestius paulo Achille Tatio (58), furtorum arcana detegit, longe tamen impudentius Heliodoro illo Phœnice. Hi enim tres (59), eodem fere sibi proposito scopo, amatorium argumentum tractarunt; attamen Heliodorus gravius atque decentius: minus vero quam ille decenter hic Jamblichus; obscene vero atque inverecunde Achilles ille, qui Leucippes ac Clitophontis amores libris octo narravit. Cujus etiam fluxa et mollis dictio est, ac si quid in ea plausibile, non id ad firmitatem rigoremque, sed ad titillationem quamdam, ut sic loquar, atque lasciviam distortum est. Porro Jamblichus, quod ad verborum et compositionis **74***a* præstantiam ac narrationum ordinem attinet, dignus sane fuerat, qui rhetoricum suum artificium atque facultatem non in ludicris his fictisque, sed in vel maxime seriis rebus ostenderet.

Personæ ergo dramatis inducuntur Sinonis et Rhodanes, pulchra uterque forma et conjugii lege ut copulati, sic etiam invicem amantes. Garmus Babyloniæ rex, amissa conjuge, Sinonidis captus amore, uxorem eam ducere maturabat: renuente vero Sinonide, aureo illa torque vincta est, et Rhodanes propterea (Damæ et Sacæ eunuchis regiis commisso negotio) tollendus in crucem erat. Verum studio Sinonidis inde liberatus, effugit uterque hic crucem, illa nuptias. Idcirco Damæ et Sacæ aures naresque præciduntur, et ad fugitivos investigandos missi, duas in partes divisi, se comparant, propiusque factum est nihil, quam ut ab

ϛΔ'.

Ἰαμβλίχου δραματικόν.

Ἀνεγνώσθη Ἰαμβλίχου [60] Δραματικόν, ἔρωτας ὑποκρινόμενον. Ἔστι δὲ τῇ αἰσχρολογίᾳ τοῦ μὲν Ἀχιλλέως τοῦ Τατίου ἧττον ἐκπομπεύων, ἀναιδέστερον δὲ μᾶλλον ἢ ὁ Φοῖνιξ Ἡλιόδωρος προσφερόμενος· οἱ γὰρ τρεῖς οὗτοι σχεδόν τι τὸν αὐτὸν σκοπὸν προθέμενοι ἐρωτικῶν δραμάτων ὑποθέσεις ὑπεκρίθησαν, ἀλλ' ὁ μὲν Ἡλιόδωρος σεμνότερόν τε καὶ εὐφημότερον, ἧττον δὲ αὐτοῦ ὁ Ἰάμβλιχος, αἰσχρῶς δὲ καὶ ἀναιδῶς ὁ Ἀχιλλεὺς [61] ἀποχρώμενος. Καὶ ἡ γε λέξις αὐτῷ ῥέουσα καὶ μαλακὴ· καὶ ὅσον αὐτῆς ὑπόκροτον, οὐ πρὸς τόνον τινά, ἀλλ' ἐπὶ τὸ γαργαλίζον, ὡς ἄν τις εἴποι, καὶ βλακῶδες παρακεκίνηται. Ὁ μέντοι Ἰάμβλιχος, ὅσα γε εἰς λέξεως ἀρετὴν καὶ συνθήκης καὶ τῆς ἐν τοῖς διηγήμασι τάξεως, καὶ τοῖς σπουδαιοτάτοις τῶν πραγμάτων, ἀλλ' οὐχὶ παιγνίοις καὶ πλάσμασιν ἄξιος τὴν τῶν λόγων τέχνην καὶ ἰσχὺν ἐπιδείκνυσθαι.

Εἰσὶ δὲ αὐτῷ πεποιημένα τοῦ δράματος πρόσωπα Σινωνὶς [62] καὶ Ῥοδάνης, καλὴ καὶ καλὸς τὴν ὄψιν, νόμῳ γάμου ἐρῶντες ἀλλήλων καὶ δὴ καὶ ζευγνύμενοι, καὶ Γάρμος βασιλεὺς Βαβυλῶνος τῆς αὐτοῦ γυναικὸς θανούσης εἰς ἔρωτα ἀναπτόμενος Σινωνίδος, καὶ πρὸς γάμον ἄγειν ἐπειγόμενος. Ἀνάνευσις Σινωνίδος καὶ δεσμὰ χρυσῷ τῆς ἀλύσεως διαπεπλεγμένης, καὶ Ῥοδάνης διὰ τοῦτο, Δάμα καὶ Σάκα τῶν βασιλικῶν εὐνούχων [63] τὴν πρᾶξιν ἐπιτραπέντων, ἐπὶ σταυροῦ ἀναρτώμενος. Ἀλλ' ἐκεῖθεν καθαιρεῖται σπουδῇ Σινωνίδος, καὶ φεύγουσιν ἄμφω, ὁ μὲν τὸν σταυρόν, ἡ δὲ τὸν γάμον. Καὶ περιτέμνεται διὰ τοῦτο Σάκας καὶ Δάμας [64] τὰ ὦτα καὶ τὰς ῥῖνας, καὶ ἐπὶ

B

C

VARIÆ LECTIONES.

[60] Ἰαμβλίχου] οὗτος ὁ Ἰάμβλιχος Σύρος ἦν γένος πατρόθεν καὶ μητρόθεν, Σύρος δὲ οὐχὶ τῶν ἐπωχηκότων τὴν Συρίαν Ἑλλήνων, ἀλλὰ τῶν αὐτοχθόνων, γλῶσσαν δὲ Σύραν εἰδὼς καὶ τοῖς ἐκείνων ἔθεσι ζῶν, ἕως αὐτὸν τροφεὺς, ὡς αὐτός φησι, Βαβυλώνιος λαβὼν Βαβυλωνίαν τε γλῶσσαν καὶ ἦθη καὶ λόγους μεταδιδάσκει, ὧν ἕνα τῶν λόγων εἶναί φησιν καὶ ὃν νῦν ἀναγράφει. Αἰχμαλωτισθῆναι δὲ τὸν Βαβυλώνιον καθ' ὃν καιρὸν Τραϊανὸς εἰσέβαλεν εἰς Βαβυλῶνα, καὶ πραθῆναι Σύρῳ ὑπὸ τῶν λαφυροπώλων. Εἶναι δὲ τοῦτον σοφὸν τὴν βάρβαρον σοφίαν, ὡς καὶ τῶν βασιλέως γραμματέων ἐν τῇ πατρίδι διάγοντα γεγενῆσθαι. Ὁ μὲν οὖν Ἰάμβλιχος οὗτος Σύραν τὴν πάτριον γλῶσσαν εἰδὼς, ἐπιμαθὼν καὶ τὴν Βαβυλωνίαν, μετὰ ταῦτα καὶ τὴν Ἑλληνά φησιν ἀσκήσει καὶ χρήσει λαβεῖν ὡς ἀγαθὸς ῥήτωρ γένοιτο. mg. A. *Jamblichus hic utrumque parentem Syrum habuit, non de illis advenis Græcis, sed de ipsis Syriæ indigenis. Syrorum ergo et lingua est usus, et moribus vixit, donec eum, qui educavit, Babylonius quidam (ut ipsemet narrat) ad se receptum Babylonica quoque lingua, moribusque, ac rhetoricis instruxit: quarum quidem rhetoricarum exercitationum una illa sit, quam hic modo tractat. Captum deinde refert hunc Babylonium, quo tempore Trajanus in Babylonia irrupit, atque a prædarum mercatoribus Syro cuidam esse venditum, barbarica sapientia imbuto, quique inter scribas regios, cum in patria degeret, meruisset. Ipse itaque Jamblichus, cum Syram linguam, quod ei patria esset, bene calleret, ac præterea Babylonicam didicisset, etiam Græca post exercitatum se, rhetorisque non postremi nomen adeptum esse, prædicat.* Alius ergo Jamblichus hic sit necesse, ab illo Porphyrii auditore, et Juliani illius impii παροβάτου familiari, item Syro, cujus liber de Pythagoræ Vita Græco-Latinus exstat, quique ab Eunapio Sardiano et Suida describitur. [61] post Ἀχιλλεὺς cum A omisi, quæ vulgo addunt: ὁ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα ἐρωτικὰ ἐν βιβλίοις η' γράψας. [62] Σινωνὶς Suid. v. Σίννων. [63] εὐνούχων A: ἡμιαῤῥένων ϛ. [64] Δάμας καὶ Σάκας ϛ.

NOTÆ.

(57) Eam Βαβυλωνικὰ vocari solitam docet Suid.

(58) De quod sup. cod. 87 ut de Heliodoro, codice 73.

(59) Vidimus tamen et in Italicis bibliothecis Eustathium quemdam hujus argumenti.

τὴν τούτων ἀποστέλλονται ζήτησιν, καὶ δίχα μεριA σθέντες [131 H.] ἐπὶ τὴν ἔρευναν τρέπονται. Καταλαμβάνονται [65] σχεδόν τι παρά τινα λειμῶνα οἱ περὶ Ῥοδάνην ὑπὸ τοῦ διώκοντος Δάμα · ἁλιεὺς δ' ἦν ὃς τοὺς ποιμένας ἐμήνυσεν, οἳ στρεβλούμενοι τὸν λειμῶνα μόλις δεικνύουσιν. Ἐν ᾧ καὶ χρυσὸν Ῥοδάνης εὗρισκε, τῆς στήλης τοῦ λέοντος ὑποδηλούμενον τῷ ἐπιγράμματι.

A insequente Dama ad pratum quoddam Rhodanes caperetur. Piscator enim quidam pastores indicavit, qui quæstionibus torti, pratum illud vix tandem demonstrant. Quo in prato et aurum Rhodanes repererat, ab inscriptione (60) columnæ, cui leo insidebat, ostensum.

[237 R.] Καὶ τράγου τι φάσμα ἐρᾷ Σινωνίδος · ἐξ ἧς αἰτίας καὶ οἱ περὶ Ῥοδάνην τοῦ λειμῶνος ἀπαίρουσι. Δάμας δὲ τὸν ἀπὸ τοῦ λειμῶνος τῆς Σινωνίδος στέφανον εὑρὼν πέμπει Γάρμῳ παραμύθιον. Φεύγοντες δὲ οἱ περὶ Ῥοδάνην ἐντυγχάνουσιν ἐπὶ καλύβης γραΐ τινι γυναικί, καὶ κρύπτονται ὑπ' ἄντρῳ [66], ὃ διαμπερὲς [67] ἦν ὀρωρυγμένον ἐπὶ σταδίους τριάκοντα · λόχμη δὲ τὸ στόμα ἐβέβυστο. B Καὶ οἱ περὶ τὸν Δάμαν ἐφίστανται, καὶ ἀνακρίνεται ἡ γραῦς, καὶ ξίφος γυμνὸν ἰδοῦσα ἐξέψυξεν. Οἱ δὲ τοῦ Ῥοδάνους ἵπποι καὶ τῆς Σινωνίδος, οἷς ἐπωχοῦντο, συλλαμβάνονται. Καὶ περικαθίσταται [68] στρατὸς τὸ χωρίον ἐν ᾧ Σινωνὶς καὶ Ῥοδάνης ἀπεκρύπτετο, καὶ κατορρήγνυταί τινος τῶν περιπόλων ἀσπὶς ἐκ χαλκοῦ τοῦ ὀρύγματος ὕπερθεν, καὶ τῷ διακένῳ τοῦ ἤχου τῶν κεκρυμμένων μήνυσις γίνεται, καὶ περιορύσσεται τὸ ὄρυγμα, καὶ πάντα Δάμας βοᾷ. Καὶ γίνεται τοῖς ἔνδον συναίσθησις, καὶ φεύγουσιν ὑπὸ τοῖς τοῦ ἄντρου μυχοῖς [69], καὶ διεκπίπτουσι πρὸς τὴν ἑτέραν αὐτοῦ ὀπήν. Καὶ μελιττῶν [70] ἀγρίων σμήνη ἐκεῖθεν ἐπὶ τοὺς ὀρύσσοντας τρέπεται, καταῤῥεῖ δὲ τοῦ μέλιτος καὶ ἐπὶ τοὺς φεύγοντας · αἱ δὲ μέλισσαι καὶ τὸ μέλι ἐξ ἑρπετῶν πεφαρμακευμέναι τροφῆς, C αἱ μὲν κρούσασαι [71] τοὺς ἐπὶ τὸ ὄρυγμα ἠκρωτηρίαζον, οὓς δὲ καὶ ἀπέκτειναν. Τῷ δὲ λιμῷ κρατούμενοι οἱ περὶ Ῥοδάνην διαλιχμησάμενοι [72], καὶ τὰς γαστέρας καταῤῥυέντες [73], πίπτουσι παρὰ τὴν ὁδὸν ὡσεὶ νεκροί. Φεύγουσιν ὁ στρατὸς τῷ τῶν μελισσῶν πολέμῳ πονούμενοι, καὶ τοὺς περὶ Ῥοδάνην ὅμως διώκουσι, καὶ οὓς ἐδίωκον ὁρῶντες ἐῤῥιμμένους παρέτρεχον, νεκρούς τινας ὡς ἀληθῶς ὑπολαμβάνοντες. Ἐν τούτῳ τῷ ἄντρῳ κείρεται τοὺς πλοκάμους ἡ Σινωνὶς, δι' οὗ ὕδωρ αὐτοῖς ἀντλήσονται· καὶ τοῦτο εὑρὼν ἐκεῖσε Δάμας πέμπει τῷ Γάρμῳ, σύμβολον τοῦ ἐγγὺς εἶναι κἀκείνους συλλαβεῖν. Ἐῤῥιμμένων δὲ παρὰ [74] τὴν ὁδὸν τοῦ τε Ῥοδάνους καὶ τῆς Σινωνίδος, ὁ στρατὸς παρερχόμενος ὡς ἐπὶ νεκροῖς κατὰ τὸ πάτριον ἔθος οἱ μὲν χιτωνίσκους ῥίD πτοντες ἐκάλυπτον, ἄλλοι δὲ ἄλλο τι τῶν προσόντων, καὶ κρεῶν δὲ μέρη καὶ ἄρτου, ἐπέῤῥιπτον · καὶ οὕτω παρῆλθεν ὁ στρατός. Οἱ δὲ τῷ μέλιτι κεκαρωθέντες μόλις ἀνίστανται, κοράκων μὲν τῶν περὶ τὰ κρέα διεριζόντων Ῥοδάνην, ἐκείνου δὲ Σινωνίδα διαναστήσαντος. Ἀναστάντες οὖν πορεύονται τὴν ἐναν-

Hirci quoque spectrum quoddam Sinonica illic amare cœpit : quæ causa fuit, ut Rhodanes ex eo prato excederet. Damas vero, repertam ibi Sinonidis coronam solatio Garmo submisit. Ipsi fuga dilapsi, inciderunt in vetulam quamdam in tugurio habitantem, antrumque subeuntes latent, quod antrum per stadia omnino triginta effossum, fauces B habebat densis arbustis obstructas. Damas hic instat, anusque altercatur, sed strictum ut vidit gladium, exanimata est. Equi quibus vehebantur Rhodanes atque Sinonis capiuntur, locumque exercitus cinxit, in quo se illi absconderant. Disrupto tum forte unius, qui locum obibat, æreo clypeo, in superiori defossi antri parte, et per vacuum resonante echo, indicium fit latere nonnullos. Itaque fossa circumfoditur : et Damas per omnes partes inclamat, ut qui intus erant, audierint, atque ad abditos speluncæ recessus diffugerint, et ad alterum tandem ejus foramen delaberentur. Hic apum agrestium examen fodientes (milites) invadit, melle interea in fugitivos defluente. Apes ipsæ **74***b* ac mel, serpentum esu, veneno infecta erant ; inde quos illæ ad fossam C pupugerunt, partim labefactarunt, partim etiam occiderunt. Fame ad hæc Rhodanes atque socia coacti, cum (hujus quoque aliquid) linxissent, postquam id in ventrem defluxit, ad viam veluti mortui afflicti sunt. Copiæ autem illæ obsidentes, cum ab apibus illatum bellum sustinere non possent, terga vertunt, Rhodanemque nihilominus persequuntur : at dum prostratos quos insequebantur vident, cursu pertranseunt, cadavera revera esse putantes. In hoc antro crines attonsa est Sinonis, ut iis aqua ipsis hauriretur, quos repertos inibi Damas Garmo misit, signum, quo intelligeret, in proclivi esse ut (fugitivi) capiantur. Stratis utique juxta viam Rhodane et Sinonide, tanquam ad mortuos accessit exercitus : ac patrio more alii quidem vestes projicientes operiebant, alii vero aliud quid eorum, quæ D ad manum erant, carnium ac panis partem objecerunt, sicque abscesserunt. Neque vero hi ob mellis esum veterno capti (61), nisi ægre expergiscebantur, dum corvi pro carne inter se pugnantes, Rhodanem, et hic Sinonida assurgere cogunt. Jam itaque excitati, aliam quam exercitus viam ingrediun-

VARIÆ LECTIONES.

[65] τρέπονται καὶ καταλαμβ. A. [66] ἄντρον ς. [67] διαμπερὲς] cf. Suidas h. v. [68] περικάθηται ς. [69] τοὺς — μυχοὺς ς. [70] μελισσῶν ς. [71] κρούουσαι ς. [72] διαλικμησάμενοι ς. [73] παραῤῥυέντες ς. [74] παρὰ A : περὶ ς.

NOTÆ.

(60) De leone in cippo lege inf. Ptolem. Hephæst. cod. 190. Habes et in Æsopi Vita repertum ex cippi inscriptione thesaurum.

(61) Negat tamen eam mellis esse vim Adrian. Turneb. lib. xxviii, cap. 45.

tur, quo minus ii esse, qui quærebantur, agnoscerentur. Inventis deinde asellis duobus, conscendunt ipsi, oneraque imponunt, quæ secum attulerant, ex iis rebus quas velut mortuis exercitus adjecerat. Hinc in diversorium se recipiunt, unde tamen fugientes, juxta plenum forum in aliud diversorium concedunt. Accidit interea fratrum ibi cædes, cujus accusati, post etiam liberantur. Fratrum enim natu major, qui minorem veneno sustulerat, hos quidem accusarat, sed sibi ipsi manus inferendo, omni rursus crimine liberarat. Rhodanes inscius venenum hinc secum aufert ; subeuntque post hæc latronis domum, qui in viatores grassabatur, quos et sibi epulandos apponebat. Missi autem huc a Dama milites, postquam latronem comprehenderunt, ignem in ejus domum injecerunt ; quo igne et illi comprehensi, ægre admodum mortem evaserunt, per jugulatos et in ignem conjectos asinos transitu sibi parato. Visi igitur a militibus noctu, qui domum accenderant, et interrogati quinam essent, umbras se esse eorum, quos latro ille jugulasset, respondent : ita pallore macieque vultus, ac vocis remissione militibus satisfecerunt, terroremque incusserunt. Fugam rursum inde capessentes, **75***a* in puellam forte ad sepulcrum elatam inciderunt, atque ad spectandum affluenti se turbæ immiscent. Hic senex Chaldæus propter astans, sepeliri puellam vetat ; spirare enim ac vivere etiamnum affirmans, ut res ipsa declaravit. Rhodani etiam vaticinans, prædixit aliquando regnaturum. Tumulus ergo puellæ inanis deseritur, multa ibi veste, quæ in sepulcro exurenda fuerat, relicta, cum esculentis ac poculis, quibus Rhodanes cum socia lautius epulati, raptis deinde indumentis quibusdam, sese in eodem sepulcro dormituri collocant. At qui latronis domo ignem injecerant, cum deceptos exorto jam sole se esse animadvertissent, vestigia Rhodanis ac Sinonidis sunt insecuti, rati socios esse latronis. Igitur ad sepulcrum per vestigia delati, cum eos jacere ibi viderent, nihilque moveri (quod somno vinoque sepulti essent) cadavera se videre credebant : neque attigerunt, incerti an eo ferrent vestigia. Discessit inde Rhodanes, fluviumque trajecit, cujus aqua dulcis ac limpida regi (62) quoque Babyloniæ potum præbebat : ac dum Sinonis ibi vestimenta vendit, quasi sepulcrum expilasset, comprehenditur, et ad Soræchum Soræchi publicani filium, Justi cognomento, pertrahitur, qui regi Garmo mittere eam ob pulchritudinem constituit. Qua de causa fratrum illud venenum Rhodanes atque Sinonis miscent. Mortem enim optabant potius, quam Garmum videre. Soræcho interim ancilla significat, quid Rhodanes et Sinonis molirentur. Clam igitur

A τίαν τραπόμενοι τῷ στρατῷ, ἵνα μᾶλλον λάθοιεν μὴ ὄντες οἱ διωκόμενοι. Καὶ εὑρόντες ὄνους δύο ἐπέβησάν τε καὶ τὰ φορτία ἐπέθεντο, ἃ συνεκεκόμιστο αὐτοῖς ἀφ' ὧν ὡσεὶ νεκροῖς ἐπέρριψεν ὁ στρατός. Εἶτα καταίρουσιν εἰς πανδοχεῖον, καὶ φεύγουσιν ἐκεῖθεν, καὶ περὶ πλήθουσαν ἀγορὰν εἰς ἄλλον σταθμὸν καταλύουσι. Καὶ γίνεται τὸ πάθος τῶν ἀδελφῶν, καὶ κατηγοροῦνται φόνου, καὶ [132 R.] ἀφίενται, τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, ὃς ἀνῃρήκει φαρμάκῳ τὸν ὕστερον, κατηγορήσαντος μὲν, τῇ δὲ οἰκείᾳ ἀναιρέσει ἀθωώσαντος · καὶ λανθάνει Ῥοδάνης ἀνελόμενος τὸ φάρμακον. Καταίρουσιν εἰς οἴκημα λῃστοῦ τούς παροδίτας λῃστεύοντος καὶ τούτους ἑαυτῷ ποιουμένου τράπεζαν. Καὶ στρατιωτῶν ὑπὸ τοῦ Δάμα σταλέντων, ἐπεὶ ὁ λῃστὴς συνείληπτο, πῦρ ἐμβάλλεται εἰς τὴν οἰκίαν · καὶ περιλαμβάνονται τῷ πυρί,
B [240 R.] καὶ διαφεύγουσι μόλις τὸν ὄλεθρον τῶν ὄνων σφαγέντων καὶ τῷ πυρὶ εἰς δίοδον ἐπιτεθέντων. Καθορῶνται νύκτωρ ὑπὸ τῶν τὸ πῦρ ἐμβαλόντων, καὶ ἐπερωτηθέντες τίνες εἶεν, Εἴδωλα τῶν ὑπὸ τοῦ λῃστοῦ ἀναιρεθέντων, ἀποκρίνονται, καὶ τῇ ὠχρότητι καὶ λεπτότητι τῆς ὄψεως καὶ τῇ ἀτονίᾳ τῆς φωνῆς ἔπεισάν τε τοὺς στρατιώτας καὶ ἐδειμάτωσαν. Καὶ φεύγουσι πάλιν ἐκεῖθεν [75], καὶ καταλαμβάνουσι κόρην ἐπὶ ταφὴν ἀγομένην, καὶ συῤῥέουσιν ἐπὶ τὴν θέαν · καὶ Χαλδαῖος γέρων ἐπιστὰς κωλύει τὴν ταφὴν, ἔμπνουν εἶναι τὴν κόρην ἔτι λέγων · καὶ ἐδείχθη οὕτως. Χρησμῳδεῖ δὲ καὶ τῷ Ῥοδάνει [76] ὡς βασιλεύσοι. Καταλιμπάνεται κενὸς ὁ τῆς κόρης τάφος, καὶ πολλὰ τῶν πέπλων, ἃ ἔμελλεν ἐπικαίεσθαι τῷ
C τάφῳ, ἔτι τε σιτία καὶ ποτά · καὶ οἱ περὶ Ῥοδάνην τούτοις εὐωχοῦνται, καὶ λαμβάνουσί τινα καὶ τῶν ἀλφίων, καὶ καθεύδουσιν ἐν τῷ τῆς κόρης τάφῳ. Οἱ δὲ τὸ πῦρ τῇ τοῦ λῃστοῦ οἰκίᾳ ἐμβαλόντες, ἡμέρας ἐπιλαμβούσης ἡπατημένους, ἑαυτοὺς ἐγνωκότες [77], ἐδίωκον κατ' ἴχνη Ῥοδάνους καὶ Σινωνίδος, συνεργοὺς αὐτοὺς εἰκάζοντες εἶναι τοῦ λῃστοῦ · ἰχνηλατήσαντες δὲ μέχρι τοῦ τάφου, καὶ ἐνιδόντες αὐτοὺς ἐγκειμένους μὲν τῷ τάφῳ, ἀκινητίζοντας δὲ ἅτε ὕπνῳ καὶ οἴνῳ πεπεδημένους, ἔδοξαν νεκροὺς ὁρᾶν καὶ κατέλιπον, ἀπορούμενοι ὅτι ἐκεῖ τὰ ἴχνη ἔφερεν.
D Ἀπαίρουσιν ἐκεῖθεν οἱ περὶ Ῥοδάνην, καὶ περῶσι τὸν ποταμὸν, γλυκύν τε ὄντα καὶ διαυγῆ καὶ βασιλεῖ Βαβυλωνίων εἰς πόσιν ἀνακείμενον. Καὶ πιπράσκει Σινωνὶς τὰ ἱμάτια, καὶ συλλαμβάνεται ὡς τάφον συλήσασα, καὶ ἀναφέρεται εἰς Σόραιχον [78], ὃς ἦν Σοραίχου τοῦ τελώνου υἱός, ἐπίκλην δὲ αὐτῷ δίκαιος. Καὶ βουλεύεται πέμπειν αὐτὴν ἐπὶ βασιλέα Γάρμον διὰ τὸ κάλλος, καὶ κιρνᾶται διὰ τοῦτο τὸ τῶν ἀδελφῶν φάρμακον Ῥοδάνει καὶ Σινωνίδι · αἱρετώτερον γὰρ αὐτοῖς ὁ θάνατος ἢ Γάρμον ἰδεῖν. Μηνύεται Σοραίχῳ διὰ τῆς θεραπαινίδος ἅπερ [79] εἰς ἔργον ἔμελλε χωρεῖν Ῥοδάνει καὶ Σινωνίδι · καὶ λαθὼν ὁ Σόραι-

VARIÆ LECTIONES.

[75] ἐκεῖθεν πάλιν ς. [76] Ῥοδάνῃ A. sic et infra. [77] διεγνωκότες ς. [78] Σηραίχ. Suid. v. Σίννων. [79] περ add. A.

NOTÆ.

(62) E solo Choaspe fluvio aquam bibere solitum Persarum regem ex Herod. I, et Ctesia Cnidio notavit Athenæus Dipnoso II. Ex maximis autem et longinquis fluminibus petitam cum thesauris recondere observat e Dione Plut. in Alexand. Vide Brisson. *Persic.* lib. I.

χος τὸ τοῦ θανάτου μὲν φάρμακον κενοῖ, πληροῖ δὲ A τὴν κύλικα ὑπνωτικοῦ φαρμάκου · καὶ πίνοντας καὶ ὑπνοῦντας λαβὼν ἐφ' ἁρμαμάξης ἤλαυνε πρὸς βασιλέα. Πλησιαζόντων δὲ Ῥοδάνης ἐνυπνίῳ [80] δειματοῦται καὶ βοᾷ καὶ ἐξανιστᾷ Σινωνίδα · ἡ δὲ ξίφει αὐτῆς τὸ στέρνον πλήττει. Καὶ ἀναπυνθάνεται τὰ κατ' αὐτοὺς ἅπαντα Σόραιχος, καὶ λαβόντες πίστεις ἀπαγγέλλουσι, καὶ λύει αὐτούς, καὶ ὑποδείκνυσι τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν τῇ νησίδι, ἐν ᾧ ἔμελλε καὶ τὸ τραῦμα ἡ Σινωνὶς θεραπευθήσεσθαι.

Ὡς ἐν παρεκβολῇ δὲ διηγεῖται καὶ τὰ περὶ τοῦ ἱεροῦ καὶ τῆς νησίδος, καὶ ὅτι ὁ Εὐφράτης καὶ ὁ Τίγρις περιῤῥέοντες αὐτὴν ποιοῦσι νησίδα, καὶ [133 H.] ὅτι ἡ τῆς ἐνταῦθα Ἀφροδίτης ἱέρεια τρεῖς ἔσχε παῖδας, Εὐφράτην καὶ Τίγριν καὶ Μεσοποταμίαν, αἰσχρὰν τὴν ὄψιν ἀπὸ γενέσεως, ὑπὸ δὲ τῆς Ἀφρο- B δίτης εἰς κάλλος μετασκευασθεῖσαν. Δι' ἣν καὶ ἔρις τριῶν ἐραστῶν γίνεται, καὶ κρίσις ἐπ' αὐτούς · Βόχορος [81] ὁ κρίνων ἦν, κριτῶν κατ' ἐκείνους καιροὺς ἄριστος. Ἐκρίνοντο δὲ καὶ ἤριζον οἱ τρεῖς, ὅτι τῷ μὲν ἡ Μεσοποταμία τὴν φιάλην ἐξ ἧς ἔπινεν ἔδωκε, τῷ δὲ τὸν ἀπὸ τῆς κεφαλῆς ἐξ ἀνθέων ἀφελομένη στέφανον περιέθηκε, [241 R.] τὸν δὲ ἐφίλησε. Καὶ τοῦ φιληθέντος κρίσει νικήσαντος οὐδὲν ἔλαττον αὐτοῖς ἡ ἔρις ἤκμαζεν, ἕως ἀλλήλους ἀνεῖλον ἐριζοντες. Λέγει οὖν ὡς ἐν παρενθήκῃ περὶ τοῦ τῆς Ἀφροδίτης ἱεροῦ, καὶ ὡς ἀνάγκη τὰς γυναῖκας ἐκεῖσε φοιτώσας ἀπαγγέλλειν δημοσίᾳ τὰ ἐν τῷ ναῷ αὐταῖς ὁρώμενα ὄνειρα. Ἐν ᾧ καὶ τὰ περὶ Φαρνούχου καὶ Φαρσίριδος καὶ Ταναΐδος, (ἀφ' οὗ καὶ Τάναϊς ὁ ποταμός), λεπτομερῶς διεξέρχεται, καὶ ὅτι τὰ περὶ τὸν C τόπον καὶ τὴν χώραν τοῦ Ταναΐδος τοῖς κατοικοῦσιν Ἀφροδίτης μυστήρια Ταναΐδος καὶ Φαρσίριδός εἰσιν. Ἐν δὲ τῇ προειρημένῃ νησίδι ῥόδων ἐντραγὼν ὁ Τίγρις τελευτᾷ · καθαρὶς γὰρ τοῖς τοῦ ῥόδου φύλλοις ἔτι συνεπτυγμένοις [82] οὖσιν ὑπεκάθητο. Καὶ ἡ τοῦ παιδὸς [83] μήτηρ ἥρωα πείθεται γενέσθαι τὸν υἱὸν ἐκμαγεύσασα. Καὶ διεξέρχεται ὁ Ἰάμβλιχος μαγικῆς εἴδη, μάγον ἀκρίδων καὶ μάγον λεόντων καὶ μάγον μυῶν · ἐξ οὗ καλεῖσθαι καὶ τὰ μυστήρια ἀπὸ τῶν μυῶν (πρώτην γὰρ εἶναι τὴν τῶν μυῶν μαγικήν). Καὶ μάγον δὲ λέγει χαλάζης καὶ μάγον ὄφεων, καὶ νεκυομαντείας [84] καὶ ἐγγαστρίμυθον, ὃν καί, φησιν, ὡς Ἕλληνες μὲν Εὐρυκλέα λέγουσι, Βαβυλώνιοι δὲ Σαρχοῦραν ἀποκαλοῦσι. Λέγει δὲ καὶ ἑαυτὸν Βαβυλώνιον εἶναι ὁ [85] συγγραφεύς, καὶ μαθεῖν τὴν μαγι- D κὴν, μαθεῖν δὲ καὶ τὴν Ἑλληνικὴν παιδείαν, καὶ ἀκμάζειν ἐπὶ Σοαίρου τοῦ Ἀχαιμενίδου τοῦ Ἀρσακίδου, ὃς βασιλεὺς ἦν ἐκ πατέρων βασιλέων, γέγονε δὲ ὅμως καὶ τῆς συγκλήτου βουλῆς τῆς ἐν Ῥώμῃ, καὶ ὕπατος δὲ, εἶτα καὶ βασιλεὺς πάλιν τῆς μεγάλης Ἀρμενίας. Ἐπὶ τούτου γοῦν ἀκμάσαι φησὶν [86] ἑαυτόν. Ῥωμαίων δὲ διαλαμβάνει βασιλεύειν Ἀντωνῖ-

ille mortiferum illud pharmacum abjicit, impletque somnifero potu calicem, quo hausto, ut somno captis unt, vehiculis imponuntur ad regem devehendi. Dum propius accedunt, ecce tibi Rhodanes, e somno experrectus, inclamat, excitatque Sinonida, ac mox illa gladio pectus suum vulnerat. Cuncta ibi, quæ ad eos spectarent, percunctatus Soræchus, fide data intellexit universa, vinculisque eos liberat : qui in Veneris ostendit fanum in ea insula, ubi vulnus Sinonidis sanetur.

Narrat porro a re proposita nonnihil digrediens, de delubro illo, atque insula, quam Euphrates et Tigris circumfluentes efficiant. Veneris ibi sacerdotis feminæ tres fuisse liberos Euphratem, Tigrim et Mesopotamiam : vultu quidem hanc deformem genitam, sed a Venere post donatam venustate (tanta), ut de ipsa etiam lis exorta tres inter amantes fuerit, decretumque judicium Borocho, sive Borycho arbitro, qui suo sæculo judicum præstantissimus habebatur. Addit **75***b* contendisse hos tres, judiciumque subiisse, propterea quod huic quidem Mesopotamia cyathum, unde bibere solita, præbuerat ; alteri deinde direptum capiti suo floridum sertum circumposuerat ; tertio vero osculum tulerat : qui sane tertius judicio victor cum esset, nihilominus contentionem viguisse, dum certantes mutuis se vulneribus confecissent. Refert igitur veluti digrediens, de Veneris fano, utque necesse fuerit matronas eo accedentes publice enuntiare, quæ in eo delubro cubantibus insomnia visa essent. Ubi et de Pharnucho et Pharsiride, ac Tanaide (unde etiam flumen Tanais) accuratam instituit narrationem : mysteriaque Veneris circa Tanaidem habitantibus, hujus esse Tanaidis, atque Pharsiridis. In insula vero supra scripta, rosas edentem Tigrim exstinctum : quod cantharis rosæ foliis invicem adhuc implicatis subsederat ; additque post adhibita incantamenta, matrem ipsius persuasum habuisse, Tigrim jam heroem esse factum. Hic Jamblichus magiæ species persequitur ; magum enim esse locustarum, et magum leonum, et magum murium (atque inde etiam τὰ μυστήρια ἀπὸ τῶν μυῶν derivari, cum cæterarum prima murium magia sit), magum quoque grandinis, et magum serpentum, et divinationis e mortuis, ac ventriloquum, quem, inquit, ut Græci Euryclea (63), sic et Sacchuran Babylonii appellant. Se quoque Babylonium hic scriptor facit, ac magiam didicisse, et Græcorum ei disciplinas adjunxisse : floruisse vero temporibus Soaemi Achæmenidis filii, Arsacæ nepotis : qui rex regibus oriundus, creatus tamen et Romæ senator, imo consul fuerit, ac deinde rex iterum majoris Armeniæ. Hujus igitur se ætate vi-

VARIÆ LECTIONES.

[80] ἐν ὕπνῳ ς. [81] Βόχορος] ἡ βόχορος A post erasum nescio quid. Βόροχος ἢ Βόρυχος ς. [82] συνεπηγμένοις ς. [83] παιδὸς δὴ μήτηρ ς. [84] νεκυομαντίας ς. [85] ὁ add. A. [86] φησὶν ἀκμάσαι ς.

NOTÆ.

(63) Vide Photii epistol. 1, 2, inf. et Delrium *De Magia*, lib. 4, cap. 2, quæst. 6.

guisse affirmat, cum Romæ imperium Antoni- A nus (64) haberet. Qui cum Verum imperatorem fratrem simul et generum (suum) mitteret cum Vologæso Parthorum rege bellum gesturum, tum prædixisse et bellum hoc esse oriturum, et quando debellandum esset. Addit Vologæsum quidem ultra Euphratem ac Tigrim flumina victum fugisse, Parthorum vero regionem in Romanorum ditionem concessisse.

Tigris et Euphrates [sacerdotis illius] filii, **76***a* persimiles invicem erant, et Rhodanes utrosque forma referebat. Post alterum igitur illum filium, per rosam, uti diximus, enectum, Rhodanes in insulam una cum Sinonide trajecit : et mater Rhodanem aspiciens, inclamat natum suum exstinctum revixisse, filiamque pone subsequi eum jubet. Dissimulat hæc Rhodanes, insulanorum simplicitatem B ludificans. Damas interea, quæ Rhodani accidissent, quæque Soræchus cum illo gessisset, indicio cognovit. Index vero ac delator medicus ille fuit, quem Soræchus, ut Sinonidis vulnus curaret, clam submiserat. Capitur hoc nomine Soræchus, et ad Garmum adducitur. Mittitur et delator cum Damæ litteris, ad Veneris sacerdotem, quibus Sinonida comprehendre jubetur. Medicus ergo sacræ insulæ flumen permeans, seipsum de more camelo appendit, litterasque [jumenti] dextræ auri imponit. Verum delatore illo fluminis undis merso, camelus ad insulam adnatavit, ubi Rhodanes rem totam didicit sublata e jumenti aure Damæ epistola. Quare fuga inde se proripiunt, occurruntque Soræcho ad Garmum regem ducto, et una in hospitium diver- C tunt. Ibi noctu Rhodanes auri cupiditate injecta, facile persuadet, Soræchi ut custodes jugulentur. [Quo facinore perpetrato,] fugit cum his Soræchus, mutuam hanc prioris suæ beneficentiæ mercedem nactus. Porro Damas comprehendit Veneris sacerdotem, et de Sinonide quæstionem instituit : atque ubi tandem sententia condemnatus est senex, ut e sacerdote carnifex efficiatur, mores quoque carnificis ac consuetudines Euphrates discit. Pater, idemque sacerdos Euphratem pro Rhodane habet appellatque. Fugit et soror Euphratis Mesopotamia. Dein ad Sacan Euphrates ipse adducitur, interrogaturque de Sinonide : pro Rhodane enim habebatur, atque examinabatur. Indicat ergo Sacas Garmo regi captum esse Rhodanem, captandam quoque propediem D Sinonida. Euphrates enim quasi Rhodanes esset, in judicio respondet, Sinonida, dum ipse caperetur, fugisse. Coactus nimirum et ipse Sinonida appellare sororem suam Mesopotamiam.

Rhodanes interim et Sinonis una cum Soræcho in fugam versi agricolæ tugurium subeunt, cui filia erant eleganti forma, nuper admodum viduata viro,

νον. Καὶ ὅτε Ἀντωνῖνος, φησίν, Οὐήρου [87] τὸν αὐτοκράτωρα καὶ ἀδελφὸν καὶ κηδεστὴν ἔπεμψε Βολογαίσῳ τῷ Παρθυαίῳ πολεμήσοντα, ὡς αὐτός τε προείποι καὶ τὸν πόλεμον, ὅτι γενήσεται, καὶ ὅποι [88] τελευτήσοι [89]. Καὶ ὅτι Βολόγαισος μὲν ὑπὲρ τὸν Εὐφράτην καὶ Τίγριν ἔφυγεν, ἡ δὲ Παρθυαίων γῆ Ῥωμαίοις ὑπήκοος κατέστη.

D Οὗτός ἐστιν ὁ Κλήμης περὶ οὗ φησιν ὁ θεσπέσιος Παῦλος ἐν τῇ πρὸς Φιλιππησίους Ἐπιστολῇ [24], « Μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. » Οὗτος καὶ ἐπιστολὴν ἀξιόλογον πρὸς Κορινθίους γράφει, ἥτις παρὰ πολ-

VARIÆ LECTIONES.

[22] συγγράψαι ς. [23] μεναστάντος ς. [24] ἐπιστολῇ] IV, 3.

NOTÆ.

(70) Earum octo libros Græce primum deinde et Latine doctissime explanatos, firmissimeque defensos edidit Franc. Turrianus noster. Eosdem item cum X *Recognitionum* libris ex Ruffini interpretatione, additis et cæteris quæ tum reperiri potuerunt B. Clement. Operib. dederunt Latine Coloniens. an. 1599.

(71) *Recognitinoum* duo fuisse volumina, in aliquibus inter se diversa, testatur etiam Ruffinus Præf. ad Gaudent.

(72) Franciscus Turrianus, Soc. Jesu, in Clementis *Constitutiones apost.* Prolegomenis hæc eadem solvit.

(73) Lege B. Hieron. cap. 15, Catal.

(74) Vide Hieronymum. *De scriptor. ecclesiast.* cap. 15, et inf. cod. 126.

λοῖς ἀποδοχῆς ἠξιώθη ὡς καὶ δημοσίᾳ ἀναγινώσκεσθαι. Ἡ δὲ λεγομένη δευτέρα πρὸς τοὺς αὐτοὺς ὡς νόθος ἀποδοκιμάζεται, ὥσπερ ὁ [25] ἐπιγραφόμενος ἐπ' ὀνόματι αὐτοῦ Πέτρου καὶ Ἀππίωνος πολύστιχος διάλογος. Τοῦτον φασιν οἱ μὲν δεύτερον μετὰ Πέτρον Ῥώμης ἐπισκοπῆσαι [26], οἱ δὲ τέταρτον· Λίνον γὰρ καὶ Ἀνάκλητον [27] μεταξὺ αὐτοῦ καὶ Πέτρου Ῥώμης ἐπισκόπους διαγεγονέναι· τελευτῆσαι δὲ αὐτὸν τρίτῳ ἔτει Τραιανοῦ.

A a plerisque tanto in pretio est habita, adeoque laudata, ut etiam publice legi soleret. At quæ secunda dicitur ad eosdem, ut spuria rejicitur. Quemadmodum et longa illa disputatio, beati Petri et Appionis nomen falso præferens. Hunc Clementem (75) alterum a Petro urbis Romæ episcopum fuisse quidam autumant, alii vero quartum. Linum enim et Anacletum inter utrumque pontifices intercessisse, ac tertio demum Trajani imperatoris anno vitam finiisse (76).

ΡΙΔ΄.

Λευκίου Χαρίνου αἱ τῶν ἀποστόλων Περίοδοι.

[292 R.] Ἀνεγνώσθη βιβλίον, αἱ λεγόμεναι Τῶν ἀποστόλων Περίοδοι, ἐν αἷς περιείχοντο πράξεις Πέτρου, Ἰωάννου, Ἀνδρέου, Θωμᾶ, Παύλου. Γράφει δὲ αὐτάς, ὡς δηλοῖ τὸ αὐτὸ βιβλίον, Λεύκιος Χαρῖνος. Ἡ δὲ φράσις εἰς τὸ παντελὲς ἀνώμαλός τε καὶ παρηλλαγμένη· καὶ συντάξεσι γὰρ καὶ λέξεσι κέχρηται ἐνίοτε μὲν οὐκ ἠμελημέναις, κατὰ δὲ τὸ πλεῖστον ἀγοραίοις καὶ πεπατημέναις, καὶ οὐδὲν τῆς ὁμαλῆς καὶ αὐτοσχεδίου φράσεως καὶ τῆς ἐκεῖθεν ἐμφύτου χάριτος, καθ' ἣν ὁ εὐαγγελικός τε καὶ ἀποστολικὸς διαμεμόρφωται λόγος, οὐδ' ἴχνος ἐμφαίνων. Γέμει δὲ καὶ μωρίας πολλῆς καὶ τῆς πρὸς ἑαυτὸν [28] μάχης καὶ ἐναντιώσεως. Φησὶ γὰρ ἄλλον εἶναι τὸν τῶν Ἰουδαίων Θεὸν καὶ κακόν, οὗ καὶ Σίμωνα τὸν Μάγον ὑπηρέτην καθεστάναι, ἄλλον δὲ τὸν Χριστόν, ὃν φησιν ἀγαθόν· καὶ φύρων [29] ἅπαντα καὶ συγχέων καλεῖ αὐτὸν καὶ Πατέρα καὶ Υἱόν. Λέγει δὲ μηδ' ἐνανθρωπῆσαι ἀληθῶς, ἀλλὰ δόξαι· καὶ πολλὰ πολλάκις φανῆναι [30] τοῖς μαθηταῖς, νέον καὶ πρεσβύτην πάλιν, καὶ πάλιν παῖδα, καὶ μείζονα καὶ [157 H.] ἐλάττονα καὶ μέγιστον, ὥστε τὴν κορυφὴν διήκειν ἔσθ' ὅτε μέχρις οὐρανοῦ. Πολλάς δὲ καὶ περὶ τοῦ σταυροῦ κενολογίας καὶ ἀτοπίας ἀναπλάττει, καὶ τὸν Χριστὸν μὴ σταυρωθῆναι, ἀλλ' ἕτερον ἀντ' αὐτοῦ, καὶ καταγελᾷν διὰ τοῦτο τῶν σταυρούντων, Γάμους τε [31] νομίμους ἀθετεῖ, καὶ πᾶσαν γένεσιν πονηράν τε καὶ τοῦ πονηροῦ λέγει. Καὶ πλάστην τῶν δαιμόνων ἄλλον εκληροῖ [32]. Νεκρῶν δὲ ἀνθρώπων καὶ βοῶν καὶ κτηνῶν ἄλλων [33] παραλογωτάτας καὶ μειρακιώδεις τερατεύεται ἀναστάσεις. Δοκεῖ δὲ καὶ κατ' εἰκόνων τοῖς Εἰκονομάχοις ἐν ταῖς Ἰωάννου Πράξεσι δογματίζειν. Καὶ ἁπλῶς αὕτη ἡ βίβλος μυρία παιδαριώδη καὶ ἀπίθανα καὶ κακόπλαστα καὶ ψευδῆ καὶ μωρά καὶ ἄλλοις [34] μαχόμενα καὶ ἀσεβῆ καὶ ἄθεα περιέχει· ἣν εἰπών τις πάσης αἱρέσεως πηγὴν καὶ μητέρα οὐκ ἂν ἀποσφαλείη τοῦ εἰκότος.

CXIV.

Lucii Charini Periodi apostolorum.

Lectus liber est hoc titulo : *Apostolorum Periodi.* Complectitur Acta Petri, Joannis, Andreæ, Thomæ, et Pauli, auctore, ut liber ipse ostendit, Lucio Charino. Dictio ejus omnino inæqualis ac varia : constructione vero ac vocibus utitur interdum quidem non abjectis, ut plurimum tamen forensibus, ac protritis : nec ullum in eo æqualis, et subitariæ dictionis, ac nativæ, quæ hinc exsistere solet gratiæ (quo modo evangelicus et apostolicus sermo conformatus est) vestigium apparet. Scatet item stultis, et secum pugnantibus narrationibus. Alium enim Judæorum Deum, eumque malum esse asserit, cujus Simon Magus minister fuerit, alium rursus esse Christum, quem bonum facit. Omnia ergo inquinans atque confundens, eumdem illum et Patrem vocat et Filium. Jactat vero, neque revera hominem factum, sed tantum apparuisse. Varia item forma sæpe discipulis visum, nunc juvenem, mox iterum senem, rursumque puerum; nunc majorem, nunc minorem, interdum et maximum, vertice etiam cœlum attingentem. Multas etiam super cruce nugas fingit atque ineptias, neque Christum fuisse cruci affixum, sed alium pro eo, et hinc illum eos, qui in crucem egerant, irridentem facit. Conjugia insuper legitima rejicit, omnemque adeo generationem malam esse, **91***a* et a malo asserit, aliamque dæmonum formationem comminiscitur. Mortuorum adhæc hominum, boum, ac jumentorum absurdas puerilesque resurrectiones prodigiose fingit. In Actis quoque beati Joannis imaginum usum cum Iconomachis vituperare videtur. Vis verbo dicam? quantus est liber, puerilia continet sine numero, et inopinata, maligneque conficta, ac falsa, imo stulta, et inter se pugnantia, impia denique et detestanda tot, ut qui eum omnis hæresis fontem atque auctorem dixerit, non ille a veritate vel minimum discesserit.

ΡΙΕ΄.

Ἀνωνύμου κατὰ Ἰουδαίων καὶ Τεσσαρεσκαιδεκατιτῶν λόγος. Καὶ Μητροδώρου περὶ τῆς τοῦ ἁγίου Πάσχα ἑορτῆς.

Ἀνεγνώσθη βιβλίον ἀνώνυμον, οὗ ἡ ἐπιγραφὴ Λό-

CXV.

Liber anonymus contra Judæos et Quartadecimanos, itemque Metrodori Calculus Paschalis.

Legi incerti auctoris librum, qui titulum præfert :

VARIÆ LECTIONES.

[25] ὁ add. A. [26] ἐπισκοπῆσαι Ῥώμης ς. [27] ἀνέγκλητον A. [28] libri ἑαυτήν. [29] φυρῶν ς. [30] φανῆναι πολλάκις A. [31] δέ ς. [32] ἐκκληροῖ ς. [33] ἄλλων add. A. [34] ἄλλοις] immo ἀλλήλοις.

NOTÆ.

(75) Vide D. Baron. tom. I, ad annum Christi 96.
(76) Martyrio coronatum ut docet D. card. Baron. t. II, ad annum Christi 102.

Disputatio adversus Judæos, unaque sentientes hæreticos (77), *et Quartadecimanos, ut vocant, qui primo Hebræorum mense sanctum Paschæ festum non celebrant* (78). Hujus oratio vehemens est, neque redundans, fastu jactantiaque non vacans. Asserit vero sacra quinte (die) legale non edisse Pascha Dominum Jesum Christum (neque enim illum ejus edenti statutum fuisse diem), sed sequenti. Ac neque tum, quæ ederit, ex legis præscripto edisse. Nam neque agnum, neque azyma, neque aliud quidpiam eorum fecisse, duæ legale servantes Pascha, more rituque majorum observant. Itaque privatam tantum, mysticam illam tamen, vult cœnam edisse, atque ex ea discipulis panem, et calicem porrexisse.

Alius item liber conjunctus erat Metrodori cujusdam, *Calculus* nimirum *de sacro Paschæ festo celebrando* novem decennalium cyclorum viginti octo in seipsum quasi in orbem redactus. Hic autem Metrodorus, quicunque tandem est (nihil enim aliud de illo dicere statui) a Diocletiano, inchoando quingentorum triginta trium annorum dies festos collegit, idque (quantum videtur) secundum accuratam illam, quam vocant, quartæ-decimæ lunæ computationem. Etenim neque hunc Ecclesia, neque vetus traditio dies illos servasse videntur.

CXVI.

Auctoris incerti de sacro Paschæ festo volumen III.

Lectus quoque liber est, qui scriptoris non expresso nomine inscribitur : *De sacro Paschæ festo volumen tertium libris octo.*

Simplici dictione, styloque apertissimo scriptum opus, multa sane atque præclara sensa continet. Scriptor hic libro quarto Metrodorum sæpe reprehendit, ac dum sacris sese Scripturæ testimoniis communit, non pauca, explanatoris fere methodo, **91***b* in sex dierum opus utilia hisce de Paschate libris intexuit. Dedicat vero Theodoro, quem dilectum fratremque appellat. Scripsit eadem de re alios quoque libros, verum hic uberior est atque utilior ; ut qui in re tenui utilia quæque ad rem pertinentia afferat. Nam de bissexto, et mense intercalari, solisque ac lunæ epactis, et enneacædecaeteridibus (79), et de ratione ac via hæc investigandi, singula excutiendo dilucide tradit. De mensibus item, et neomenia, et hebdomade, ejusque diebus, et quinam communes anni appellantur, quique interjecti anni. De curriculo præterea solis octo et viginti annorum, et novemdecim annorum lunæ, ac quarto decimo ejusdem die. Rursum de mensibus lunaribus

A γος πρὸς Ἰουδαίους καὶ τοὺς μετὰ τούτων αἱρετικοὺς καὶ τοὺς καλουμένους Τεσσαρεσκαιδεκατίτας, μὴ τῷ πρώτῳ καθ' Ἑβραίους μηνὶ ἐπιτελοῦντας τοῦ ἁγίου Πάσχα τὴν ἑορτήν. Οὗτος μὲν ὁ λόγος σύντομος[35] καὶ ἀπέριττος καὶ κόμπου μετέχων. Λέγει μέντοι τῇ ἁγίᾳ Πέμπτῃ μὴ τὸ νομικὸν φαγεῖν Πάσχα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· μηδὲ γὰρ εἶναι τότε τὸν καιρόν, ἀλλὰ τῇ ἐπιούσῃ. Καὶ ὅτι οὐδὲ νομικῶς τελῶν ἔφαγεν, ἅπερ[36] ἔφαγεν, εἰς τὴν ἐπιοῦσαν· οὔτε γὰρ ἀρνὸν οὔτε ἄζυμα οὔτε ἄλλο τι πράττων, ὅσα οἱ τὸ νομικὸν τελοῦντες Πάσχα ἔθος ἔχουσι παραφυλάττειν· ἀλλ' ἴδιον μυστικόν φησι δεῖπνον φαγεῖν, ἐξ οὗ καὶ τοῖς μαθηταῖς ἄρτου καὶ ποτηρίου μεταδοῦναι.

B [293 R.] Ἐνεφέρετο δὲ λόγος ἕτερος Μητροδώρου τινός, ψῆφος ἐννεακαιδεκαετηρίδων κη' εἰς ἑαυτὴν ἀνακυκλουμένη περὶ τῆς τοῦ ἁγίου Πάσχα ἑορτῆς. Οὗτος ὁ Μητρόδωρος, ὅστις ποτέ ἐστι (οὐ γὰρ ἄλλο τι ἔγνων εἰπεῖν περὶ αὐτοῦ), ἀπὸ Διοκλητιάνου ἀρξάμενος φλγ' ἐτῶν συνήγαγε κατὰ τὴν λεγομένην ἀκριβῆ τῆς τεσσαρεσκαιδεκάτης ψηφοφορίαν[37] ἡμέρας, ὅσα τῷ δοκεῖν, ἑορταστικάς· καὶ γὰρ οὔτε νῦν ἡ Ἐκκλησία οὔτε ἡ παλαιὰ παράδοσις ταύταις φαίνεται κεχρημένη.

PIϚ'.

Ἀνωνύμου περὶ τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς λόγοι γ'.

C Ἀνεγνώσθη βιβλίον, ὅσον ἐπὶ τῷ ὀνόματι τοῦ συντεταχότος, ἀνεπίγραφον· ἐπὶ τῇ γε βίβλῳ ἐπεγέγραπτο· « Περὶ τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς λόγος τρίτος, ἐν τόμοις ὀκτώ. » Αὕτη ἡ βίβλος ἁπλῇ μὲν καὶ σαφεστάτῃ συγγέγραπται φράσει, πολλὰ δὲ καὶ καλὰ νοήματα περιέχει[38]. Οὗτος ὁ συγγραφεὺς ἐν τῷ τετάρτῳ τόμῳ καὶ κατὰ Μητροδώρου ποιεῖται ἐλέγχους, καὶ ταῖς Γραφικαῖς δὲ μαρτυρίαις ὠχύρωται, καὶ πολλὰ τῶν εἰς τὴν Ἑξαήμερον χρησίμων, ὡς ἐν ἑρμηνείας τύπῳ, κατὰ τοὺσδε τοὺς περὶ τοῦ Πάσχα λόγους συνυφαίνει. Προσφωνεῖ δὲ Θεοδώρῳ τὸν λόγον ὃν ἀγαπητόν τε καὶ ἀδελφὸν ὑπαγορεύει. Πεποίηκε δὲ καὶ ἑτέρας περὶ τῆς αὐτῆς ὑποθέσεως πρότερον[39] βίβλους· ἀλλ' αὕτη πλατυτέρα τε καὶ χρησιμωτάτη, ὡς ἐπὶ [158 H.] λεπτῷ πάντα τὰ πρὸς τὴν ὑπόθεσιν χρήσιμα διεξιοῦσα. Περί τε γὰρ βισέξτου[40] καὶ ἐμβολίμου μηνὸς καὶ ἐπακτῶν ἡλίου καὶ ἐπακτῶν σελήνης καὶ ἐννεακαιδεκαετηρίδων καὶ μεθόδου τῆς εὑρέσεως αὐτῶν λεπτομερῶς καὶ σαφῶς διαλαμβάνει, καὶ περὶ μηνῶν καὶ νεομηνίας καὶ ἑβδομάδος καὶ τῶν D ἐν αὐτῇ ἡμερῶν, τίνες τε κύκλοι[41] ἐνιαυτοὶ προσαγορεύονται καὶ τίνες ἐμβόλιμοι ἐνιαυτοί, περί τε[42]

VARIÆ LECTIONES.

[35] σύντονος ς. [36] ἅπερ ἔφαγεν add. A. [37] ψηφηφορίαν ς. [38] περιέχει νοήματα ς. [39] πρότερον et mox τε add. A. [40] βισέκτου A. [41] κύκλιοι Rothomag., κοινοί Scaliger. [42] τε add. A.

NOTÆ.

(77) Montanistas, Novatianos, Blasium et similes.

(78) Τεσσαρεσκαιδεκατίτας : qui non lunæ cursum, more Judaico, sed solis sequebantur, texte Sozom. lib. VII, cap. 18, 19, et a Victore Papa damnati sunt. Legendus D. Baron. tom. II, ad ann. Chr. 198, et Theodoret. atque Epiphan., Euseb. quoque lib. V, sub fin.

(79) Ἐννεακαιδεκαετερίδων : quarum auctorem Eusebium facit S. Hieronym. in Hippolyto, lib. *De script. ecclesiast.*, et Beda, *De tempore*, cap. 42.

ὀκτωκαιεικόσαετηρίδος ἡλίου καὶ ἐννεακαιδεκατηρίου σελήνης, καὶ τῆς τεσσαρεσκαιδεκάτης αὐτῆς, καὶ περὶ μηνῶν σεληνιακῶν καὶ μηνῶν ἡλιακῶν, καὶ νουμηνίας σεληνιακοῦ μηνὸς [43] καὶ ἡλιακοῦ, μηνός τε ὁμαλοῦ τῆς σελήνης καὶ μηνὸς ἀκριβοῦς, καὶ ἀπαριθμήσεως τῶν ἐτῶν τοῦ [44] κόσμου. Φησὶ δὲ οὗτος ὅτι κατὰ μὲν τοὺς ἄλλους τῆς παρουσίας αὐτοῦ ἐνιαυτοὺς ὁ Κύριος καὶ Θεὸς ἡμῶν ὁ Χριστὸς τὸ νομικὸν ἐπετέλει Πάσχα, καθ' ὃν δὲ παρεδόθη οὐκέτι · καὶ σκοπεῖν χρή. Ὁ γὰρ Χρυσόστομος καὶ ἡ Ἐκκλησία καὶ τότε φησὶν αὐτὸν ἐπιτελέσαι τὸ νομικὸν πρὸ τοῦ μυστικοῦ δείπνου.

A ac solaribus, et neomenia mensis cum lunaris tum solaris, qui lunari sit par, deque mense exacto ac justo : de annorum denique mundi supputatione. Refert idem secundum illos alios adventus sui annos, Christum Dominum ac Deum nostrum lege præscriptum Pascha celebrasse, non item eo, quo proditum est. Quod consideratione sane dignum, cum Chrysostomus et Ecclesia tunc ipsum doceant legitimum Pascha perfecisse, antequam mysticam institueret cœnam.

ΡΙΣ'.

Ὑπὲρ Ὠριγένους καὶ τῶν αὐτοῦ δογμάτων, τόμοι πέντε.

CXVII.

Apologiæ de Origene, et ejus dogmatibus libri v.

Ἀνεγνώσθη βιβλίον ὑπὲρ Ὠριγένους καὶ τῶν αὐτοῦ θεοστυγῶν δογμάτων, ἐν τόμοις ε'. Ἀνεπίγραφον δὲ τὴν ὀνομασίαν ἐτύγχανε τοῦ συντεταχότος, τὴν δὲ φράσιν οὔτε σαφὲς οὔτε καθαρὸν, οὔτε εἰς ἄλλο τι ἀξιόλογον ἀνηγμένην [45] ἔχον. Ὁ δὲ τοῦ συγγράμματος πατὴρ μάρτυρας ὑπὲρ Ὠριγένους τε καὶ τῶν αὐτοῦ δογμάτων Διονύσιον προκομίζει τὸν Ἀλεξανδρείας, Δημήτριόν τε καὶ Κλήμεντα καὶ ἑτέρους πλείους · μᾶλλον [46] δὲ τῶν ἄλλων ἁπάντων Παμφίλῳ τε τῷ μάρτυρι ἐπερείδεται καὶ τῷ Εὐσεβίῳ, ὃς τῆς κατὰ Παλαιστίνην Καισαρείας ἐπεσκόπησεν. [296 R.] Ἡ δὲ ὑπὲρ αὐτοῦ ἀπολογία οὐκ ἔστι λύσις τῶν ἐπικλημάτων ὡς ἐπὶ πλεῖστον [47], ἀλλὰ συνηγορία τῆς κατηγορίας · οὕτως οὐδ' οὗτος ἀπήλλακτο τῶν ἐκείνου βλασφήμων δοξῶν τελείως. Ψυχῶν τε γὰρ προϋπαρξιν συνομολογεῖ, Γραφικαῖς καὶ Πατρικαῖς φωναῖς, ὡς οἴεται, τὸν λῆρον τοῦτον ἐπισυγκροτῶν, καὶ σωμάτων ἄλλων εἰσάγει ἀνάληψιν. Περὶ μέντοι τῆς ἁγίας Τριάδος οὐδὲν οὗτος τῶν ἐσφαλμένων λέγει · φησὶ δὲ καὶ περὶ τοῦ Ὠριγένους μηδὲν αὐτὸν κατὰ δόξαν ἐσφάλθαι περὶ τῆς Τριάδος, ἀντιφερόμενον δὲ τῇ αἱρέσει Σαβελλίου εἰς μέγα κακοῦ ἠρμένῃ τότε, καὶ τὴν τῶν προσώπων Τριάδα ἐναργεστάτην καὶ πολλοῖς τρόποις διαφέρουσαν ἀγωνιζόμενον παραστῆσαι, πέρα τοῦ [48] προστήκοντος καὶ εἰς τοὐναντίον ἀπενεχθῆναι, ἐξ οὗ δόξαι καὶ τῷ Ἀρειανῷ ἀῤῥωστήματι προσαλωκέναι [49]. Ὑπὲρ μέντοι γε τῶν ἄλλων αὐτοῦ δογμάτων, ὅσοις μήτε συγκαταθέσθαι [50] τοῦ θαῤῥεῖν πρόφασιν ἔχει μήτε τὴν προειρημένην αἰτίαν πορίσασθαι δυνατὸν οἶδε, πολλὴν εἰσάγει σπουδὴν ἀποφῆναι, ἢ γυμνασίας αὐτῷ χάριν εἰρῆσθαι, ἢ ὑπό τινων ἑτεροδόξων τοῖς αὐτοῦ συγγράμμασι παρεμβεβλῆσθαι. Καὶ προάγει καὶ αὐτὸν ἐκεῖνον τοῦτο βοῶντα καὶ διατεινόμενον · φωρᾶσαι γὰρ αὐτόν φησι καὶ ἔτι ζῶντα ταύτην κατ' αὐτοῦ τὴν ῥᾳδιουργίαν. Ἔστι δὲ, ἃ λέγει μάτην αὐτοῦ κατηγορηθῆναι, κεφάλαια πεντεκαίδεκα, [159 H.] ἅτινα καὶ διελέγχει διαβολὰς εἶναι, ἐκ

B Legimus librum pro Origene, ejusque Deo invisis dogmatibus. Libris quinque opus absolvitur, quod nec scriptoris nomen in titulo exhibet. Dictio neque clara est, neque pura, nec laudandum quid præferens. Scriptor autem ipse pro Origene ejusque sententiis hos fere testes laudat, Dionysium Alexandrinum, Demetrium quoque et Clementem (80), aliosque plurimos. Præ cæteris vero Pamphilo martyri innititur, atque Eusebio Cæsareæ Palæstinæ episcopo. Cæterum hæc Apologia non solutio est ut plurimum eorum quæ Origeni objiciuntur, sed accusationis potius astipulatio. Adeo hic a blasphemis illius opinionibus liber omnino non est. Itaque et animas ante corpora exsistere fatetur sacræ quoque Scripturæ ac sanctorum Patrum testimoniis ad hunc errorem stabiliendum, ut putat, adhibitis : et corporum quoque aliam fingit resumptionem. Verum de sancta Trinitate **92***a* nihil erratorum affert. Quin etiam hoc asserit de Origene, nihil eum, quod quidem ad dogma de Trinitate attinet, errasse : pugnantem tantum cum Sabellii (81) hæresi, cujus tum improbitas magnopere sese efferebat, et personarum Triadem, manifestam maxime multisque modis differentem, demonstrare conantem, a recto atque officio etiam in contrariam partem abreptum fuisse videretur. Enimvero pro aliis ejus dogmatibus, quibus neque satis speciose assentiri audet, neque putat posse prædictam causam aptari, pro hujusmodi, inquam, dogmatibus, multam adhibet operam, ut demonstret, vel exercitationis duntaxat causa hæc ab eo esse dicta, vel certe ab aliis, qui diversa sentirent, ejus scriptis inserta fuisse. Testem hujus laudat eum ipsum (82) hoc clamantem atque contendentem, cum viventem etiamnum ipsum talem deprehendisse fallaciam refert. Ipsa dein capita, ob quæ falso illum accusari asserit, quindecim in universum numerat : eadem-

C

D

VARIÆ LECTIONES.

[43] σεληνιακοῦ μηνὸς] σεληνιακῆς A. [44] τοῦ et infra καὶ post Ἐκκλ. add. A. [45] ἀνενηγμένην ς. [46] μᾶλλον] μάλιστα A. [47] ἐπὶ τὸ πλεῖστον ς. [48] πέρα A : παρά ς. [49] ἁλωκέναι ς. [50] libri συγκαθεσθαι.

NOTÆ.

(80) Utrumque etiam Alexandrinum.

(81) Quæ personarum in Trinitate numerum ac differentiam confundebat.

(82) Epistola quam affert B. Hieron. *Apolog.* lib. II.

que meras esse calumnias, ex ipsiusmet scriptis allatis argumentis, libro quarto convincit : ad quæ item refellenda ubi ad quintum venit librum, cæterorum quoque pro ipso affert testimonia. Ipsa vero capita hæc sunt : aiunt illum docere : 1. Filium non esse invocandum. 2. Neque esse ipsum absolute bonum. 3. Neque Patrem cognoscere, ut seipsum. 4. Rationales naturas in brutorum corpora ingredi. 5. Esse in diversas corporum species migrationem. 6. Christi Servatoris animam non aliam quam ipsiusmet Adami fuisse. 7. Non esse pœnam delictorum sempiternam. 8. Neque carnis resurrectionem. 9. Adhæc magiam malam non esse. 10. Astronomiam eorum quæ fiunt causam esse. 11. Unigenitum præterea regnum nullum obtinere. 12. Sanctos [angelos] delapsos in mundum venisse, non ad aliorum obsequium. 13. Deum Patrem ne a Filio quidem videri posse. 14. Cherubim Filii esse cognita. 15. Rursum, quod Dei imago, relata ad illum cujus est imago, quatenus est imago, veritas non est. Hæc fere depellit, uti diximus, quasi falso Origeni objecta, omnique ope ecclesiasticum esse virum et orthodoxum ostendere nititur. At non, bone vir, si quis ostensus est haud omnibus omnino modis impius esse, mox etiam in quibus manifestæ blasphemiæ tenetur, pœnam effugiet.

A τῶν αὐτοῦ ἐκείνου συγγράμματων ποιούμενος τοὺς ἐλέγχους ἐν τῷ τετάρτῳ τόμῳ, κατὰ δὲ τὸν πέμπτον γενόμενος καὶ ἑτέρων ὑπὲρ αὐτοῦ μαρτυρίαις ἀπορράπίζων ταῦτα. Τὰ δὲ κεφάλαιά ἐστι ταῦτα · Φασὶν αὐτὸν παραγγέλλειν μὴ προσεύχεσθαι [51] τῷ Υἱῷ, καὶ μὴ εἶναι αὐτὸν ἁπλῶς · ἀγαθόν, καὶ μὴ γινώσκειν τὸν Πατέρα ὡς αὐτὸν ἑαυτὸν, καὶ τὰς λογικὰς φύσεις εἰς ἀλόγων εἰσκρίνεσθαι σώματα, καὶ εἶναι μετενσωμάτωσιν, καὶ ὅτι ἡ τοῦ Σωτῆρος ψυχὴ ἡ τοῦ Ἀδὰμ ἦν, καὶ ὅτι οὐκ ἔστιν αἰώνιος κόλασις οὐδὲ σαρκὸς ἀνάστασις, καὶ ὅτι οὐ κακὸν ἡ μαγεία [52], καὶ ὅτι ποιητικὴ τῶν πραττομένων ἡ ἀστρονομία, καὶ ὅτι παύεται ὁ Μονογενὴς τῆς βασιλείας, καὶ ὅτι ἐκ καταπτώσεως ἦλθον οἱ ἅγιοι εἰς τὸν κόσμον, ἀλλ' οὐ δι' ἑτέρων θεραπείαν, καὶ ὅτι ὁ Πατὴρ καὶ τῷ Υἱῷ ἀόρατος, καὶ ὅτι τὰ Χερουβὶμ ἐπίνοιαι τοῦ Υἱοῦ εἰσιν, καὶ ὅτι ἡ εἰκὼν τοῦ Θεοῦ ὡς πρὸς ἐκεῖνον οὗ ἐστιν εἰκὼν, καθ' ὃ εἰκὼν, οὐκ ἔστιν ἀλήθεια. Ταῦτα ἀπελέγχει, ὡς προείρηται, ψευδῶς εἰρῆσθαι κατὰ Ὠριγένους, καὶ τό γε ἐπὶ τῇ αὐτοῦ σπουδῇ ἐκκλησιαστικὸν καὶ τῶν ὀρθοδόξων ἀποφαίνεται τὸν ἄνδρα. Ἀλλ' οὐκ εἴ τις, ὦ βέλτιστε, μὴ πάντας τοὺς τρόπους ἐδείχθη δυσσεβῶν, οὐδ' ἐν [53] οἷς προφανῶς βλασφημεῖ τὴν δίκην διαδιδράσκων ὀφθήσεται.

B

CXVIII.

Pamphili martyris, simul et Eusebii, Apologiæ pro Origene libri IV.

Lecti sunt Pamphili martyris, et **92***b* Eusebii *pro Origene* libri sex : quorum quinque sunt a Pamphilo in carcere (83), præsente etiam Eusebio, elaborati : sextus vero, postquam jam martyr ferro privatus vita, ad unice desideratum Deum migrarat, ab Eusebio est absolutus. Quanquam alii quoque plurimi eo ipso tempore magni nominis viri apologiis Origenem defendendum susceperunt. Aiunt igitur Origenem Severi imperatoris persecutione Leonidæ patri scriptum misisse, quod ad martyrii curriculum eum exacueret : et sane stadium fortiter decurrens ille bravium accepit (84). Addunt ipsummet Origenem summo studio idem certamen suscipere conatum fuisse (85), sed matrem impetum vel ipso invito refrenasse : quod ipsum item epistola quadam sua testatum reliquit. Quin Pamphilus martyr, et alii cum eo plurimi, res Origenis ex illis ipsis, qui hominem viderant, accuratius perscrutati, narrant, eum celebri martyrio tum vita decessisse, cum Cæsareæ Decius suam in Christianos crudelitatem effunderet (85*). Alii tamen volunt ad Galli ac Volusiani usque tempora perdurasse, et sexagesimum nonum ætatis

C

D

PIH'.

Παμφίλου τοῦ μάρτυρος καὶ Εὐσεβίου ὑπὲρ Ὠριγένους τόμοι ς'.

Ἀνεγνώσθη Παμφίλου τοῦ μάρτυρος καὶ Εὐσεβίου ὑπὲρ Ὠριγένους. Τόμοι δὲ τὸ βιβλίον ς', ὧν οἱ μὲν ε' Παμφίλῳ τὸ δεσμωτήριον οἰκοῦντι συμπαρόντος Εὐσεβίου [54] ἐξεπονήθησαν, ὁ δὲ ἕκτος, ἐπεὶ ὁ μάρτυς ξίφει [55] τοῦ ζῆν ἀπαχθεὶς ἀνέλυσε πρὸς ὃν ἐπόθει Θεὸν, Εὐσεβίῳ λοιπὸν ἀπαρτίζεται. [297 R.] Καὶ ἄλλοι δὲ πλεῖστοι κατ' ἐκεῖνο καιροῦ καὶ ἀξιολογώτατοι ἀπολογίας ὑπὲρ αὐτοῦ συνετάξαντο. Φασὶ δὲ τὸν Ὠριγένην ἐν τοῖς κατὰ Σεβῆρον διωγμοῖς γράψαι Λεωνίδῃ τῷ [56] πατρὶ ἐπαλείφοντα πρὸς τὸν τοῦ μαρτυρίου δρόμον, ὃν καὶ καλῶς δραμόντι τῶν βραβείων τυχεῖν ἐξεγένετο, καὶ αὐτὸν δὲ ἀποδύσασθαι σπεύδειν πρὸς τὸ τῶν ἀγωνισμάτων στάδιον, τὴν δὲ μητέρα καὶ ἄκοντα δυνηθῆναι τῆς ὁρμῆς ἐπισχεῖν · καὶ τοῦτο καὶ αὐτὸς ἐν ἐπιστολῇ οἰκείᾳ ἐπισημαίνεται. Φασὶ δὲ αὐτὸν ὅ τε Πάμφιλος μάρτυς καὶ ἕτεροι πλεῖστοι, οἵτινες ἀπ' αὐτῶν τῶν ἑωρακότων Ὠριγένην τὰ περὶ τοῦ ἀνδρὸς ἠκριβώσαντο, διαβοήτῳ μαρτυρίῳ τοῦ βίου ἐξελιλυθέναι ἐπ' αὐτῆς τῆς Καισαρείας Δεκίου τὴν κατὰ τῶν Χριστιανῶν ὠμότητα πνέοντος. Οἱ δέ φασιν αὐτὸν ἕως Γάλλου καὶ Βολουσιανοῦ διαρκέσαντα καὶ ἑξηκοστὸν ἔνατον ἔτος [57] τῆς ἡλικίας ἄγοντα, ἐν Τύρῳ καὶ τελευτῆσαι καὶ ταφῇ παραδοθῆναι. Ἔστι

VARIÆ LECTIONES.

[51] εὔχεσθαι ς. [52] μαγία ς. [53] ἐν add. A. [54] συμπ. καὶ Εὐσεβ. ς. [55] ξίφει om. pr. A. [56] τῷ add. A. [57] ἔτος om. A.

NOTÆ.

(83) Communi opera elucubratam hanc *Apologiam* asserit ipse Euseb. lib. VI *Eccles. Hist.* cap. 20. Vide card. Baron. *Annal.* t. II, ad ann. Chr. 256.

(84) Capite truncatus, ut refert Euseb. lib. VI, c. 1.

(85) Ibid. Euseb. cap. 3.

(85*) S. Hieron. De Script. eccles. cap. 54.

fuit) contra duas et triginta hæreses. Auspicatus a Dositheanis (2) usque ad Noeti (3) et Noetianorum hæreses : quas refert, Irenæo disserente, argumentis profligatas : horumque argumentorum summam colligentem se, libellum hunc conscripsisse. Oratio ejus clara est, ac nonnihil gravis, minimeque redundans, etsi ad Atticum sermonem non tendat. Refert autem cum alia non omnino proba, tum epistolam ad Hebræos non esse Pauli apostoli (4). Ferunt item hunc conciones ad populum, Origenis imitatione, habuisse, illoque familiarissime utentem, tantum esse factum scriptorum ejusdem admiratorem, ut ad divinam Scripturam commentario illustrandam hortando impulerit (5) : additis etiam illi suo sumptu septem notariis, qui dictata celeriter exciperent, totidemque librariis, qui accurate describerent. Hæc igitur subministrantem Hippolytum, sine remissione solitum exigere opus, quod elaborasset Origenes : atque hinc etiam operis exactorem epistola quadam ab eo nominari. Commemorant autem (6) et hunc alia præterea plurima scripsisse.

A Εἰρηναίου ὁ Ἱππόλυτος. Ἦν δὲ τὸ σύνταγμα κατὰ αἱρέσεων λβ', ἀρχὴν ποιούμενον [162 H.] Δοσιθεανούς, καὶ μέχρι Νοητοῦ καὶ Νοητιανῶν διαλαμβάνον [83]. Ταύτας δέ φησιν ἐλέγχοις ὑποβληθῆναι ὁμιλοῦντος Εἰρηναίου, ὧν καὶ σύνοψιν ὁ Ἱππόλυτος ποιούμενος τόδε τὸ βιβλίον φησὶ συντεταχέναι. Τὴν δὲ φράσιν σαφής ἐστι καὶ ὑπόσεμνος καὶ ἀπέριττος, εἰ καὶ πρὸς τὸν Ἀττικὸν οὐκ ἐπιστρέφεται λόγον. Λέγει δὲ ἄλλα τέ τινα τῆς ἀκριβείας λειπόμενα, καὶ ὅτι ἡ πρὸς Ἑβραίους Ἐπιστολὴ οὐκ ἔστι τοῦ ἀποστόλου Παύλου. Λέγεται δὲ οὗτος καὶ [84] προσομιλεῖν τῷ λαῷ κατὰ μίμησιν Ὠριγένους, οὗ καὶ συνήθης μάλιστα καὶ ἐραστὴς τῶν λόγων ὑπῆρχεν, ὡς καὶ προτρέψασθαι αὐτὸν τὴν θείαν ὑπομνηματίσαι Γραφήν, ἐγκαταστήσας αὐτῷ καὶ ὑπογραφέας, ἑπτὰ B ταχυγράφους καὶ ἑτέρους τοσούτους γράφοντας εἰς κάλλος, ὧν ἦν καὶ τῆς δαπάνης αὐτὸς χορηγός· καὶ ταῦτα ὑπηρετούμενος αὐτῷ ἀπαιτεῖν αὐτὸν ἀπαραιτήτως τὸ ἔργον, ἐξ οὗ καὶ ἐργοδιώκτην ἐν μιᾷ τῶν ἐπιστολῶν παρὰ Ὠριγένους κληθῆναι. Πλεῖστα δὲ καὶ οὗτος λέγεται συγγεγραφέναι.

CXXII.

Sancti Epiphanii Panariorum libri VII.

94*b* Legimus sanctissimi episcopi Epiphanii adversus octoginta hæreses *Panaria*, voluminibus tribus in libros septem distributa. Ducto igitur a barbarismo initio, tendit inde usque ad Messalianos (7) : cæteris, qui ante ipsum contra hæreses scripserunt (8), copiosior atque utilior : propterea quod C quæ reliqui utilia continebant, hic nequaquam prætermisit ; sed quæcumque præter illa studiose reperire potuit, adjunxit. Dictio ejus humilis, ac plane talis, qualem ejus esse oportuit, qui Atticæ elegantiæ rationem nullam duceret. Infirmus vero ut plurimum est in conflictibus adversus impias hæreses susceptis. Est tamen ubi fortiter aggreditur atque irruit, quamvis neque verborum ipsius, neque constructionis proprietas ulla ex parte præstantior efficiatur.

PKB'.

Ἐπιφανίου ἐπισκόπου Κύπρου τὰ Πανάρια, λόγοι ζ'.

Ἀνεγνώσθη Ἐπιφανίου τοῦ ἁγιωτάτου ἐπισκόπου τὰ Πανάρια, ἐν τεύχεσι μὲν γ', τόμοις δὲ ζ', κατὰ αἱρέσεων δὲ π'. Ἄρχεται μὲν ἀπὸ τοῦ βαρβαρισμοῦ, [304 R.] κάτεισι δὲ μέχρι τῶν Μεσσαλιανῶν. Πάντων δὲ τῶν πρὸ αὐτοῦ κατὰ αἱρέσεων καταβεβληκότων πόνους πλατύτερός τε καὶ χρησιμώτερος, ὅτι ἅπερ τε ἐκείνοις ἐρρήθη τὸ χρήσιμον ἔχοντα, οὗτος οὐ παραλέλοιπε, καὶ εἴ τι προσεξευρεῖν ἠδυνήθη, προσέθηκε. Τὴν δὲ φράσιν ταπεινός τε καὶ οἷα εἰκὸς Ἀττικῆς παιδείας ἀμελέτητον τυγχάνειν. Ἀσθενὴς δὲ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐν ταῖς κατὰ τῶν δυσσεβῶν αἱρέσεων συμπλοκαῖς· ἐνιαχοῦ μέντοι ἀριστεύει ταῖς ἐπιβολαῖς, εἰ καὶ τῶν ῥημάτων αὐτῷ καὶ τῆς συντάξεως οὐδὲν τὸ ἰδίωμα συμβελτιοῦται.

CXXIII.

Ejusdem Ancoratus.

Legimus ejusdem *Ancoratum* (9) quæ quasi comprehensio quædam brevior est *Panariorum*.

PKΓ'.

Τοῦ αὐτοῦ ὁ Ἀγκυρωτός.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ὁ Ἀγκυρωτός, σύνοψις D ὥσπερ τῶν Πανα ρίων ὑπάρχουσα.

VARIÆ LECTIONES.

[83] διαλαμβανόμενον ς. [84] οὗτος καί A : καὶ οὗτος ς.

NOTÆ.

unaque martyrio coronati : de quo D. Baron. tom. II, ad annum Chr. 129 ; et Nicephor. Callist. lib. IV, cap. 31.

(2) De Dositheo Samaritanorum principe meminit B. Hieron. contra Luciferian. et Philastr. in Catalogo hæreseon. Hegesippum quoque vide, et Epiphan. lib. I *Panar.*

(3) Præceptoris Sabellii, de quo vide Epiphan. hæres. 57 ; et Theodoret. lib. II *Contra hæres.* Noetianos autem eosdem videri cum Sabellianis, auctor est B. August. *De hæres.* cap. 4.

(4) Discussam hanc controversiam leges apud duos illustriss. cardd. Bellarm. tom. I, cont. I, lib. I. c. 17 ; et Baron. tom. I *Annal.*, ad annum Ch. 69

(5) Eusebius tamen lib. VI, et ex eo B. Hieron. cap. 61 *De Script. eccles.* et Suidas Ambrosio tribuunt illiquem de Marcionis hæresi Origenes converterat : idque potissimum æmulatione hujus Hippolyti factum.

(6) Euseb. lib. VI, cap. 16 *Histor. eccles.* et plura B. Hieron. in Hippolyto, itemque Niceph. Callist. lib. IV, cap. 31.

(7) De quibus sup. cod. 52.

(8) Justino Martyre, Irenæo, Hippolyto, Theodoreto quoque.

(9) *Al.* Ancyrotum.

λεία, ὥστε καὶ νέον ὀνομασθῆναι Ὠριγένην· ἦν γὰρ τότε ἐν τοῖς ἀξιολογωτάτοις Ὠριγένης. Διαλεκτικὴν δὲ καὶ ῥητορικὴν αὐτὸν φασιν ἀσκηθῆναι, καὶ ἐγκρατείας δὲ καὶ ἑκουσίου πτωχείας ἐραστὴν γενέσθαι. Καὶ οἱ μὲν αὐτὸν καὶ μαρτυρίῳ τὸν βίον τελειῶσαι, οἱ [75] δὲ μετὰ τὸν διωγμὸν τὸν ὑπόλοιπον τοῦ ζῆν χρόνον ἐν Ῥώμῃ διαγεγονέναι [76.77].

A afferret, ut Origenes alter cognominaretur; erat quippe tunc eorum in numero, qui maximo in pretio haberentur, Origenes. Addunt in dialecticis atque rhetoricis versatum, temperantiæ quoque et ultro susceptæ paupertatis amatorem fuisse. Nec desunt, qui eum martyrio vitam finiisse tradant, et si alii (94) post persecutionem reliquum vitæ Romæ transegisse malint.

PK'.

Εἰρηναίου κατὰ αἱρέσεων λόγοι πέντε.

Ἀνεγνώσθη βιβλίον Εἰρηναίου ἐπισκόπου Λουγδούνων (ἐν Κελτοῖς δὲ τὰ Λούγδουνα), λόγοι ε'· οὗ ἡ ἐπιγραφὴ Ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως, τοῦτο δέ ἐστι κατὰ αἱρέσεων. Ὧν ὁ πρῶτος, διαλαμβάνων περὶ Οὐαλεντίνου [301 R.] καὶ τῆς κατ' αὐτὸν ἀθέου πλάνης, ἀπάρχεται ὥσπερ ἀναποδίζων καὶ ἄνωθεν διεξιὼν ἀπὸ Σίμωνος τοῦ μάγου μέχρι [78] Τατιανοῦ, ὃς τὰ πρῶτα μαθητὴς Ἰουστίνου τοῦ μάρτυρος χρηματίσας ὕστερον εἰς πλάνην ἐξεκυλίσθη [79] αἱρέσεως. Ἔτι δὲ διαλαμβάνει περὶ τῶν ἰδίως γνωστικῶν καλουμένων [80] καὶ τῶν Καϊνῶν, τὰ βδελυρὰ αὐτῶν ἐκτιθεὶς δόγματα· ἐν οἷς καὶ ὁ [81] πρῶτος λόγος. Ὁ δὲ δεύτερος ἀνατροπὴν περιέχει τῶν τοῖς αἱρεσιώταις ἀσεβῶς δογματιζομένων. Ὁ δὲ τρίτος καὶ Γραφικὰς κατ' αὐτῶν προκομίζει παντοδαπὰς μαρτυρίας. Ὁ δὲ τέταρτος τὰς παρὰ τῶν αἱρετικῶν προτεινομένας ἀπορίας διελύει. Καὶ ὁ πέμπτος δὲ, ὅσα διὰ παραβολῶν ἐλέχθη τε καὶ ἐπράχθη ὑπὸ τοῦ Κυρίου, ἐκ τῶν ὑπολοίπων τῆς σωτηριώδους αὐτοῦ διδασκαλίας καὶ ἐκ τῶν ἀποστολικῶν ἐπιστολῶν ταῖς αἱρετικαῖς τερθρείαις εἰς ἔλεγχον ἁρμόζειν παρίστησι.

Legimus scriptorum (95) Irenæi episcopi Lugdunensis (est autem Galliæ Celticæ urbs Lugdunum) libros quinque sic inscriptos : *Elenchus atque Confutatio falsæ doctrinæ* sive *contra hæreses*. Quorum primus (96) de Valentino agens atque ab impio ejus errore ducens initium, rursum quasi relato pede, altiusque origine repetita, narrat porro a Simone Mago usque ad Tatianum, qui Justini Martyris primum discipulus, in errorem tandem hæresis præcipitavit. Disserit præterea de iis, qui proprie Gnostici appellantur, itemque de Cainis (97), exsecranda illorum **94***a* dogmata exponens. Et hæc quidem libro primo. Nam secundo ea refellit quæ ab hæreticis impie asseruntur. Tertius varia adversus illos affert sacræ Scripturæ testimonia. Quartus autem ab hæreticis objectas quæstiones diluit. Quintus tandem, quæcunque per parabolas a Christo dicta factave fuerint, cum ex reliqua ejusdem salutifera doctrina, tum ex apostolorum epistolis, hæreticorum imposturis refellendis aptissima esse demonstrat.

Πολλὰ δὲ τοῦ θεσπεσίου Εἰρηναίου καὶ παντοδαπὰ καὶ ἕτερα συγγράμματα καὶ ἐπιστολαὶ φέρονται, εἰ καὶ ἔν τισιν αὐτῶν ἡ τῆς κατὰ τὰ ἐκκλησιαστικὰ δόγματα ἀληθείας ἀκρίβεια νόθοις λογισμοῖς κιβδηλεύεται, ἃ χρὴ παρασημαίνεσθαι.

Plura (98) vero ejusdem sancti Irenæi ac varia scripta et epistolæ circumferuntur; etsi in aliquibus ecclesiasticorum dogmatum certa veritas spuriis rationibus fucari videtur, quæ observasse convenit.

Τοῦτόν φασι γενέσθαι Πολυκάρπου μὲν τοῦ ἱερομάρτυρος Σμύρνης ἐπισκόπου μαθητήν, πρεσβύτερον δὲ Ποθεινοῦ, οὗ καὶ τῆς ἐπισκοπῆς τῶν Λουγδούνων διάδοχος κατέστη. Βίκτωρ δὲ ἄρα κατ' ἐκεῖνο καιροῦ Ῥώμης ἐπεσκόπει, πρὸς ὃν καὶ πολλάκις γράφει, παραινῶν μὴ ἕνεκεν [82] τῆς περὶ τοῦ Πάσχα διαφωνίας τινὰς τῆς Ἐκκλησίας ἀποκηρύττειν.

Aiunt (98') hunc Polycarpi ejus qui sanctus martyr et Smyrnæ episcopus fuit, discipulum fuisse, presbylerum vero Pothini, cui et in Lugdunensi episcopatu successit. Victor ea tempestate Romæ pontificium tenuit : quem crebris litteris hortatus est Irenæus, ne ob Paschatis dissensionem ab Ecclesia aliquos abdicaret (99).

PKA'.

Ἱππολύτου κατὰ αἱρέσεων βιβλιδάριον

Ἀνεγνώσθη βιβλιδάριον Ἱππολύτου· μαθητὴς δὲ

CXXI.

Hippolyti libellus contra hæreses.

Legi libellum Hippolyti (1) (qui Irenæi discipulus

VARIÆ LECTIONES.

[75] ὅ A. [76-77] Οὗτος... διαγεγονέναι add. A. eadem C habet in mg. posita : ἐν ἄλλῳ ἀντιγράφῳ οὕτως ἔχον εὕρηται. [78] ἄχρι ς. [79] μετεκυλίσθη ς. [80] λεγομένων ς. [81] ὁ post καὶ add. A. [82] ἕνεκα ς.

NOTÆ.

(94) B. Hieron. cap. 76 *Catalogi*, ex quo etiam hic locus conformatus videtur. Et *Rom. Martyrologium* 4 Novem.

(95) Quem Græce scripsisse allatis ex Eusebio, Theodoreto et Epiphanio fragmentis, evincit doctiss. Brisson. ad I. Dominicam *Cod. Theodos.* Eoque longe uberius Franc. Feuardentius : cujus Irenæum vide.

(96) Hujus libri primi magnam partem invenies apud Epiphan. hæres. 31.

(97) A Cain dictis, commodiore forma, quam si cum aliis Caianos voces.

(98) Quæ recenset B. Hier. 35 cap. *Catalogi* et Euseb. lib. v, cap. 25.

(98') Euseb. lib. v, cap. 5, et in *Catalogo* B. Hieron.

(99) Episcopos Asianos, ut ait B. Hieron. ubi sup. et Euseb. lib. v, cap. 24.

(1) Antea Arabiæ Metropolitani, post cum Romam venisset a Callisto Pont. Portuensis episc. creati,

templum, domusque a piis hominibus constructa referunt (89). Beatus autem Pamphilus presbyter erat, et Origenis eum pleraque, quibus sacram explanavit Scripturam, sua manu exarasse scribunt (90).

CXIX.

Pierii presbyteri scriptorum libri XII.

Lectum est Pierii presbyteri (quem una cum Isidoro fratre germano martyrii pro Christi nomine certamen subiisse, Pamphili quoque martyris in sacrarum Litterarum studio doctorem, atque Alexandrinæ scholæ præfectum fuisse ferunt) volumen librorum duodecim. Stylus illi clarus, ac perspicuus, et quasi sponte fluens, nihil exquisitum præ se fert, sed velut ex tempore fusus, placide ac leniter, sensimque decurrit. Enthymematis autem, si quis alius, maxime abundat. Plurima quoque præter ea quæ in Ecclesia hodie obtinent, veteri fortassis more, tradit. De Patre tamen et Filio pie **93***b* credit, nisi quod substantias duas, totidemque naturas esse dicit : substantiæ et naturæ nomine (quantum ex iis quæ hunc locum antecedunt et consequuntur, colligitur) pro hypostasi usus ; non ita vero, ut qui Ario adhærent. Verumtamen de Spiritu sancto periculose nimis, atque parum pie docet, dum hunc inferioris esse gloriæ, quam sit Pater et Filius, affirmat. Habet item testimonium quoddam in eo libro qui inscribitur « in Evangelium Lucæ, » ex quo demonstrare licet, imaginis honorem et irreverentiam, prototypi esse honorem sive irreverentiam. Obscurius deinde etiam hic, secundum Origenis nugas, indicat animas præexsistere. In eo vero libro, quem in Pascha, et Oseam prophetam (91) scripsit, agit quoque de Cherubim (92) a Mose factis, et de Jacobi lapide, ubi factos quidem illos fatetur, at divinæ tantum providentiæ ratione fuisse concessos nugatur : quasi aut nihil fuerint, aut aliud quidpiam fuerint, aut aliud [saltem illa fuerint] quæ facta sunt. Neque enim [inquit] vestigium aliud præferebant alicujus formæ, sed alarum duntaxat speciem fabulatur illos ferre.

Hic Pierius (93) presbyter fuit Ecclesiæ Alexandrinæ, cum Theonas illi patriarcha præesset, Carusque ac Diocletianus Romanum tenerent imperium. Quem eo assiduus labor atque ingenii felicitas provexit, cum magnam insuper non absque utilitate voluptatem in suis ad plebem concionibus

τῶν εὐσεβούντων ἱδρύθησαν [65]. Ὁ δὲ θεῖος Πάμφιλος πρεσβύτερος ἦν · καὶ πολλὰ δὲ τῶν Ὠριγένους εἰς τὴν θείαν Γραφὴν ἐξηγήσεων ἰδίᾳ χειρὶ λέγουσιν αὐτὸν γεγραφέναι.

ΡΙΘ'.

Πιερίου πρεσβυτέρου λόγοι διάφοροι.

Ἀνεγνώσθη βιβλίον Πιερίου πρεσβυτέρου, ὃν καὶ σὺν τῷ ἀδελφῷ Ἰσιδώρῳ τὸν ὑπὲρ Χριστοῦ ἀγωνίσασθαί φασιν ἀγῶνα, Παμφίλου τε τοῦ μάρτυρος ὑφηγητὴν τῶν ἐκκλησιαστικῶν γενέσθαι μαθημάτων καὶ τοῦ κατὰ Ἀλεξάνδρειαν ἡγήσασθαι παιδευτηρίου. Λόγους δὲ τὸ βιβλίον περιεῖχε ιβ'. Ἔστι δὲ τὴν φράσιν σαφής τε καὶ λαμπρὸς καὶ [66] ὥσπερ ῥέων τῷ λόγῳ, μηδέν τε ἐπιμελὲς ἐνδεικνύμενος, ἀλλ' ὡς ἐξ αὐτοσχεδίου ὁμαλῶς τε καὶ λείως καὶ ἠρέμα φερόμενος, τοῖς δὲ ἐνθυμήμασιν, εἴπερ τις ἄλλος, γονιμώτατος. [161 H.] Πολλὰ δὲ ἔξω τῶν νῦν ἐν τῇ Ἐκκλησίᾳ καθεστηκότων, ἀρχαιοτρόπως ἴσως, ἀποφαίνεται · ἀλλὰ περὶ μὲν Πατρὸς καὶ Υἱοῦ εὐσεβῶς πρεσβεύει, πλὴν ὅτι οὐσίας δύο καὶ φύσεις δύο λέγει τῷ τῆς οὐσίας καὶ φύσεως ὀνόματι, ὡς δῆλον ἔκ τε τῶν ἑπομένων καὶ προηγουμένων τοῦ χωρίου, ἀντὶ τῆς ὑποστάσεως, καὶ οὐχ ὡς οἱ [67] Ἀρείῳ προσανακείμενοι, χρώμενος. Περὶ μέντοι τοῦ Πνεύματος ἐπισφαλῶς λίαν καὶ δυσσεβῶς δογματίζει · ὑποβεβηκέναι γὰρ αὐτὸ τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ ἀποφάσκει δόξης. Ἔχει δὲ χρῆσιν εἰς τὸν λόγον οὗ [68] ἐπιγραφὴ « εἰς τὸ κατὰ Λουκᾶν, » δι' ἧς ἔστι παριστᾷν ὅτι ἡ τῆς εἰκόνος τιμὴ καὶ ἡ [69] ἀτιμία τοῦ πρωτοτύπου ἐστὶ τιμὴ ἢ πάλιν ἀτιμία. Ὑπαινίττεται δὲ οὗτος, κατὰ τὸν Ὠριγένους ὕθλον, καὶ προϋπαρξιν ψυχῶν. Ἔχει δὲ καὶ ἐν τῷ εἰς τὸ Πάσχα καὶ τὸν Ὡσηὲ λόγῳ περί τε τῶν ποιηθέντων Χερουβὶμ τῷ Μωϋσεῖ [70] καὶ περὶ τῆς τοῦ Ἰακὼβ στήλης, ἐν οἷς τὴν μὲν ποίησιν αὐτῶν ὁμολογεῖ, οἰκονομίας δὲ λόγῳ συγχωρηθῆναι ματαιολογεῖ, ὡς οὐδὲν ἦσαν, ὡς ἕτερον ἦσαν [71], ὡς ἕτερον τὰ [72] γεγενημένα, οὐδὲ [73] τύπου ἄλλου ἔφερε μορφῆς, ἀλλὰ μόνον πτερύγων κενολογεῖ [74] φέρειν αὐτὰ σχῆμα.

Οὗτος ὁ Πιέριος πρεσβύτερος ἦν τῆς κατὰ Ἀλεξάνδρειαν Ἐκκλησίας Θεωνᾶ τηνικαῦτα ταύτης ἀρχιερατεύοντος, ἡνίκα Κᾶρος καὶ Διοκλητιανὸς τὰ Ῥωμαίων σκῆπτρα ἔφερον. Καὶ ἐπὶ τοσοῦτον δ' αὐτὸν ἐλάσαι λέγουσι φιλοπονίας καὶ εὐφυΐας καὶ τῆς ἐν πλήθεσιν ὁμιλίας τέρψιν παρέχειν σὺν ὠφε-

VARIÆ LECTIONES.

[65] ἰδρύνθησαν ς. [66] καὶ add. A. [67] οἱ add. A. [68] οὗ] οὗ ἡ ς. [69] ἡ post καὶ add. A. [70] post Μωϋσεῖ cum Roth. omisi ὡς οὐδὲν ἦσαν. [71] ὡς ἕτερον ἦσαν add. A. [72] ἕτερα τὰ ς. [73] οὐδὲ A : ὡς οὐδὲ ς. [74] καινολογεῖ A.

NOTÆ.

(89) Epiphan. inter cæteros, hæres. 69.

(90) In his et S. Hieronym. *De eccles. scriptor.* cap. 75 ubi hæc addit : « Sed et in duodecim prophetas XXV Ἐξηγήσεων Origenis volumina manu ejus exarata reperi, quæ tanto amplector et servo gaudio, ut Crœsi opes habere me credam. »

(91) Hujus, inquit B. Hieron., est longissimus *Tractatus de propheta Osee,* quem in pervigilio Paschæ habitum sermo ipse demonstrat.

(92) Quæ autem deinceps sequuntur, ex supplemento, quod in Græci exemplaris Notationibus exstabat, translata sunt.

(93) Laudatur et a Niceph. lib. VI, cap. 35 *Hist. eccl.*

δὲ μᾶλλον οὗτος ὁ λόγος ἀληθὴς, εἴ γε αἱ φερόμεναι αὐτοῦ μετὰ τὸν Δεκίου διωγμὸν [58] ἐπιστολαὶ οὐκ ἔχουσι τὸ πλαστόν. Παντὸς δὲ μαθήματος ἰδέαν φασὶν αὐτὸν [59] καὶ μετελθεῖν [60] καὶ διδάσκειν. Τοῦτον τοίνυν τὸν Ὠριγένην, ὃν καὶ Ἀδαμάντιον ἐπονομάζεσθαί φασιν, ὅτι ἀδαμαντίνοις δεσμοῖς ἐῴκεσαν οὓς ἂν δήσειε λόγους, ἀκροατὴν, καὶ διάδοχον λέγουσι γενέσθαι Κλήμεντος τοῦ Στρωματέως καὶ τοῦ κατὰ [160 H]. τὴν Ἀλεξάνδρειαν ἐκκλησιαστικοῦ διδασκαλείου· Κλήμεντα δὲ Πανταίνου γενέσθαι λέγουσι καὶ ἀκροατὴν καὶ τοῦ διδασκαλείου διάδοχον, Πάνταινον δὲ τῶν τε τοὺς ἀποστόλους ἑωρακότων ἀκροάσασθαι, οὐ μὴν ἀλλὰ καὶ τινων αὐτῶν ἐκείνων διακοῦσαι.

A annum agentem Tyri mortuum, in eademque urbe sepultum. Quæ quidem verior narratio est : si modo germanæ sunt, quæ feruntur, epistolæ illius post Decii persecutionem conscriptæ. Omnes autem omnino disciplinas ipsum et percepisse et docuisse ferunt. Hunc item Origenem (quem etiam Adamantium cognominatum ex eo tradunt, quod (86) rationes, quas colligaret, adamantinis quibusdam quasi vinculis non absimiles viderentur) auditorem fuisse Clementis ejus qui *Stromateus* dictus est, ejusdemque in catechetica schola quæ Alexandriæ erat, successorem. Clementem porro Pantænt fuisse discipulum scholæque successorem : ei Pantænum rursum iis usum magistris, qui apostolos vidissent : quin et illorum nonnullos audiisse.

Τὰς δὲ κατὰ Ὠριγένους κινήσεις ἐκεῖθεν λέγουσιν ἐκρυῆναι· Δημήτριος Ἀλεξανδρείας ἐπεσκόπει, ὃς Ὠριγένην δι' ἐπαίνων εἶχε καὶ ἐς τοὺς φιλτάτους συνέταττεν. Ἀλλ' Ὠριγένης μέλλων [61] ἀπαίρειν εἰς Ἀθήνας, χωρὶς τῆς τοῦ οἰκείου γνώμης ἐπισκόπου, εἰς πρεσβύτερον οὐ δέον [62] ἀνεβιβάζεται. Θεόκτενος δ' ἦν ὁ κατὰ Καισάρειαν τὴν ἐν Παλαιστίνῃ τὸν ἀρχιερατικὸν χειρίζων νόμον ὁ τῆς Ὠριγένους αὐτουργὸς χειροτονίας, ἔχων συνευδοκοῦντα καὶ τὸν Ἱεροσολύμων Ἀλέξανδρον. Τρέπεται διὰ τοῦτο Δημητρίῳ εἰς μῖσος τὸ φίλτρον καὶ οἱ ἔπαινοι πρὸς τοὺς ψόγους, καὶ σύνοδος ἀθροίζεται κατὰ Ὠριγένους [63] ἐπισκόπων καί τινων πρεσβυτέρων. Ἡ δὲ, ὡς ὁ Πάμφιλός φησι, ψηφίζεται μεταστῆναι μὲν ἀπὸ Ἀλεξανδρείας τὸν Ὠριγένην, καὶ μήτε διατρίβειν ἐν αὐτῇ μήτε διδάσκειν, τῆς μέντοι τοῦ πρεσβυτερίου τιμῆς οὐδαμῶς ἀποκεκινῆσθαι. Ἀλλ' ὅ γε Δημήτριος ἅμα τισὶν ἐπισκόποις Αἰγυπτίοις καὶ τῆς ἱερωσύνης ἀπεκήρυξε, συνυπογραψάντων καὶ τῇ ἀποφάσειν τῶν συμψήφων αὐτῷ γεγενημένων. Φυγαδευθέντα δὲ τῆς Ἀλεξανδρείας τὸν Ὠριγένην [64] Θεόκτενος ὁ Παλαιστίνης ἀσμένως τε διάγειν ἐν Καισαρείᾳ ὑπεδέξατο, καὶ τοῦ διδάσκειν πᾶσαν ἐξουσίαν ἐνεχείρισε. Καὶ τὰς μὲν αἰτίας, ἐξ ὧν συνέβη τὰς διαβολὰς ἐκραγῆναι τῷ Ὠριγένει, ταύτας φησίν.

Cæterum hinc in Origenem excitatam omnem tempestatem commemorant. Demetrius Alexandriæ præsul Origenem multum laudans, in paucis charissimum habebat. At cum hic absque bona episcopi venia Athenas profecturus esset, Theotecnus (87) Cæsareæ Palæstinæ tum archiepiscopus, secus eum quam oporteret, presbyterum ordinavit, non improbante factum hoc Alexandro Hierosolymorum episcopo. **93***a* Hinc Demetrio amor in odium vertit, laudesque mox cum vituperatione commutatæ. Synodus insuper episcoporum coacta et presbyterorum quorumdam contra Origenem : quæ, ut Pamphilus refert, decretum fecit Alexandria quidem pellendum Origenem, neque in ea versari aut docere permittendum ; sacerdotii tamen dignitate nequaquam submovendum. Verum Demetrius una cum Ægyptii episcopis aliquot, sacerdotio quoque illum abjudicat, subscribentibus etiam edicto huic, quotquot antea suffragati ei fuissent. Ita igitur Alexandria in exsilium pulsum Origenem, Theotecnus Palæstinæ episcopus libenter Cæsareæ et degere jussit, et de superiore loco docendi potestatem fecit. Has ille causas affert, ex quibus omnes illæ calumniæ in Origenem eruperint.

Τὴν δὲ ὑπὲρ Ὠριγένους ἀπολογίαν, ὡς ἔφημεν, ὁ Πάμφιλος σὺν Εὐσεβίῳ καθειργμένος τῷ οἰκήματι συνεγράψατο, καὶ ταύτην πρὸς τοὺς ἐν μετάλλοις διὰ Χριστὸν ταλαιπωρουμένους [300 R.] διεπέμψατο ὧν ἦν τὸ ἀκροθίνιον Πατερμούθιος, ὁ μετὰ βραχὺ τῆς Παμφίλου ἀναλύσεως διὰ πυρὸς καὶ αὐτὸς οὐν ἑτέροις τὸν βίον τελειωθείς. Ἦν δὲ Παμφίλου διδάσκαλος ὁ Πιέριος, τοῦ ἐν Ἀλεξανδρείᾳ καὶ αὐτὸς προεστηκὼς διδασκαλείου· μάρτυς δὲ καὶ ὁ Πιέριος ἅμα τῷ ἀδελφῷ Ἰσιδώρῳ τῶν ἀθλητικῶν ἀξιωθέντες στεφάνων, οἷς, ὥς φασι, καὶ νεὼς καὶ οἶκοι ὑπὸ

Ejus porro Apologiam, ut diximus, Pamphilus una cum Eusebio, communi carcere inclusi, conscripserunt, eademque ad eos, qui pro Christi nomine ad metalla damnati exercebantur, consolationi miserunt, quorum princeps erat Patermuthius (88), qui post Pamphili per martyrium emigrationem, brevi interjecto tempore, flammis et ipse cum aliis vita pulsus est. Pamphili præceptor Pierius fuit, ipse quoque scholæ Alexandrinæ magister, martyrque idem, una cum fratre Isidoro certaminis coronam adeptus est : quibus etiam

VARIÆ LECTIONES.

[58] διωγμὸν Δεκίου ς. [59] αὐτὸν φασι ς. [60] καὶ ante μετελθεῖν om. pr. A. [61] μέλλων add. A. [62] post δέον cum A omisi ὅν. κατὰ Ὠριγένους post πρεσβυτέρων ponit ς. [63] τὸν Ὠριγ. τῆν Ἀλεξ. ς.

NOTÆ.

(86) S. Epiphan. et alii.

(87) Theoctistum vocat S. Hieron. lib. *De script. eccles.* cap. 54 ; et Euseb. lib. VI, *Hist. eccles.* c. 7.

(88) Alius hic videtur. Patermuthius ab eo, qui in Græcorum *Menologio* et *Rom. Martyrologio* 9 Julii sub Juliano Apostata passus dicitur.

ΡΚΔ'.

Τοῦ αὐτοῦ [περὶ μέτρων καὶ σταθμῶν].

Ἀνεγνώσθη τοῦ αὐτοῦ [85].

ΡΚΕ'.

Ἰουστίνου τοῦ μάρτυρος ἀπολογία ὑπὲρ Χριστιανῶν, ἀπορίαι καὶ ἕτερά τινα.

Ἀνεγνώσθη Ἰουστίνου τοῦ μάρτυρος Ἀπολογία ὑπὲρ Χριστιανῶν καὶ κατὰ Ἑλλήνων καὶ κατὰ Ἰουδαίων, καὶ ἔτι ἑτέρα αὐτοῦ πραγματεία κατὰ τοῦ πρώτου καὶ δευτέρου τῆς φυσικῆς ἀκροάσεως, ἤτοι κατὰ εἴδους καὶ ὕλης καὶ στερήσεως, ἐπιχειρηματικοὶ καὶ βίαιοι καὶ χρειώδεις λόγοι, καὶ κατὰ τοῦ πέμπτου σώματος ὁμοίως, καὶ κατὰ τῆς ἀιδίου κινήσεως, ἣν Ἀριστοτέλης δεινότητι λόγισμῶν ἐναπέτεκεν, ἔτι τε Ἀποριῶν κατὰ τῆς εὐσεβείας κεφαλαιώδεις ἐπιλύσεις.

Ἔστι δὲ φιλοσοφίας μὲν ὁ ἀνὴρ τῆς τε καθ' ἡμᾶς καὶ μάλιστά γε τῆς θύραθεν εἰς ἄκρον ἀνηγμένος, πολυμαθίᾳ [86] τε καὶ ἱστοριῶν περιῤῥεόμενος πλούτῳ· ῥητορικαῖς δὲ τέχναις οὐκ ἔσχε σπουδὴν ἐπιχρῶσαι τὸ ἔμφυτον αὐτοῦ τῆς φιλοσοφίας κάλλος. Διὸ καὶ οἱ λόγοι αὐτοῦ ἄλλως ὄντες δυνατοὶ καὶ τὸ ἐπιστημονικὸν διασώζοντες, τῶν ἐκεῖθεν οὐκ εἰσὶν ἀποστάζοντες [163 H.] ἡδυσμάτων, οὐδὲ τῷ ἐπαγωγῷ καὶ θελκτηρίῳ τοὺς πολλοὺς τῶν ἀκροατῶν ἐφελκόμενοι. Τέσσαρας δὲ πραγματείας κατὰ τῶν ἐθνῶν συνέταξεν, ὧν τὴν μὲν πρώτην Ἀντωνίνῳ τῷ ἐπίκλην Πίῳ καὶ τοῖς υἱέσι τῇ τε συγκλήτῳ ἐπέδωκε [87], τὴν δὲ δευτέραν ὁμοίως τοῖς ἐκείνου διαδόχοις. Ἐν δὲ τῇ τρίτῃ περὶ φύσεως δαιμόνων διείλεκται. Ὁ δὲ τέταρτος αὐτῷ λόγος, ὁμοίως κατὰ τῶν ἐθνῶν συγκείμενος, Ἔλεγχος ἐπιγραφὴν ἔχει. Ἔστι δὲ αὐτῷ καὶ ὁ Περὶ Θεοῦ μοναρχίας, καὶ ὁ ἐπιγραφόμενος Ψάλτης, καὶ μὴν [88] καὶ Κατὰ Μαρκίωνος, ἀναγκαῖοι λόγοι, καὶ ἡ Κατὰ πασῶν αἱρέσεων χρήσιμος πραγματεία.

Οὗτος υἱὸς μὲν ἦφυ Πρίσκου Βακχείου, πατρίδα δὲ εἶχε Νεάπολιν τὴν ὑπὸ τὴν ἐπαρχίαν τελοῦσαν Παλαιστίνης, ἐν Ῥώμῃ δὲ τὰς διατριβὰς ἔσχε, φιλοσόφων καὶ τοῖς λόγοις καὶ τῷ βίῳ καὶ τῷ σχήματι. Διάπυρος δὲ τῆς εὐσεβείας ὢν ἐραστὴς [305 R.] ἔσχε Κρίσκην [89] ἔνα τινὰ τῶν καλουμένων κυνικῶν ἀντιπολιτευόμενον αὐτῷ καὶ τῷ βίῳ καὶ τῇ θρησκείᾳ. Ὑφ' οὗ καὶ συσκευασθεὶς ἀξίως τῆς ὅλης τοῦ βίου προαιρέσεως καὶ τὴν ἐπιβουλὴν συνδιέθηκε [90]· μαρτυρίου γὰρ ταύτην ὑπόθεσιν ἐνστησάμενος, λαμπρῶς καὶ χαίρων τὸν ὑπὲρ Χριστοῦ θάνατον ἀνεδέξατο.

ΡΚϚ'.

Κλήμεντος ἐπιστολαὶ πρὸς Κορινθίους β', καὶ Πολυκάρπου ἐπιστολὴ πρὸς Φιλιππησίους.

Ἀνεγνώσθη βιβλιδάριον ἐν ᾧ Κλήμεντος Ἐπιστο-

A

CXXIV.

Ejusdem de mensuris et ponderibus liber.

Legimus ejusdem *De mensuris et ponderibus* libellum (10).

CXXV.

Justini Martyris Apologia pro Christianis, Quæstiones et alia.

Lecta est (11) Justini Martyris *Apologia pro Christianis*, cum adversus gentes, tum adversus Judæos. Et præterea alter ejus tractatus *contra primum et secundum librum physicæ auscultationis*, sive contra formam, materiam et privationem, rationibus epicherematicis ac violentis, quod ex usu est inferens : itidemque *Contra quintum illud corpus, motumque sempiternum*, quem rationum suarum vi Aristoteles peperit, *Quæstionum* denique *contra* [*Christianam*] *religionem summariæ solutiones*.

B

Est autem vir ille ad philosophiæ tum nostræ, tum potissimum profanæ summum evectus fastigium, multiplicisque eruditionis et historiarum copia circumfluens. Sed rhetorico artificio nativam philosophiæ suæ pulchritudinem colorare haud studio habuit. Quamobrem etiam oratio ejus, pollens alioqui ac valida, scientificumque servans stylum, rhetoricæ illa condimenta non spirat, nec illecebris et blandimentis vulgus auditorum attrahit. Porro qualuor adversus gentes composuit tractatus: quorum primum Antonino cognomento Pio, filiisque ipsius, ac senatui obtulit. Alterum similiter ipsius successoribus (12) : in tertio autem de dæmonum natura disseruit. Quartus denique liber,

C

95*a* et ipse contra gentes, *Elenchus* [sive *Refutatio*] inscribitur. *De Dei* insuper *monarchia* conscriptus ab eo liber est, et alius, cui titulus *Psaltes ;* tum etiam *Contra Marcionem* libri sunt lectu necessarii, et *Contra omnes hæreses* utile opus.

Fuit ipse Prisci Bacchii filius : patriamque habuit Neapolim, Palæstinæ provinciæ. Romæ autem commoratus, sermonibus ibidem ac vita, pariter ut habitu philosophum egit. Itaque ferventi cum esset pietatis amore ac studio incensus, Crescentem quemdam ex iis qui Cynici vocitantur, adversarium habuit, cum ipsi, tum vitæ cultuique ac religioni ejus obnitentem : a quo tandem insidiose accusatus, ita ut toto ipsius vitæ instituto

D

dignum erat, insidias istas pertulit. Martyrii namque hac ansa captata, splendide lætoque animo pro Christo mortem oppetiit.

CXXVI.

Clementis Epistolæ ad Corinthios II, et sancti Polycarpi Epistola ad Philippenses.

Legi libellum, quo Clementis *Epistolæ duæ ad*

VARIÆ LECTIONES.

[85] τοῦ αὐτοῦ om. pr. A. deinde lacuna in a versuum 3 1/2, in C 1 1/2. Ed. Roth. [λείπει ἴσως περὶ μέτρων καὶ σταθμῶν.] [86] πολυμαθείᾳ ϛ. [87] ἐπέθηκε ϛ. [88] καὶ post μὴν om. A. [89] Κρισκῇ corr. A. [90] συνέθηκε ϛ.

NOTÆ.

(10) Cujus quædam illustrat Georg. Agricola in suo *De Mensuris* opere.

(11) De quo vide B. Hieron. cap. 24 *De scriptoribus eccles.*, et D. Baron. card. t. I *Annal.*

(12) Hoc est M. Antonino Vero et L. Aurelio Commodo, ait B. Hieronymus in *Catalog.*

Corinthios continebantur (13). Quarum prima ipsos accusat, quod seditionibus, turbis ac schismatis violarint, quam inter eos servari oportuerat, pacem concordiamque : hortaturque ab hoc malo temperare. Simplex ejus oratio est ac perspicua, ad ecclesiasticam et inelaboratam accedens dicendi formam. Reprehendat vero hoc in illis quispiam, quod extra Oceanum mundos aliquos collocet. Deinde forte et illud, quod phœnicem avem uniam tanquam p ro verissimo adhibet argumento (14). Tertio, quod summum sacerdotem præsidemque Dominum nostrum Jesum Christum appellans, ne illas quidem Deo convenientes et sublimiores de eo voces pronuntiet, tametsi nec aperte ipsum ulibi in his blasphemet. Altera vero epistola et ipsa institutionem admonitionemque vitæ continet melioris : atque ipso mox initio Christum Deum prædicat, etsi dicta quædam peregrina velut e sacra Scriptura subinducit, quibus ne prima quidem epistola omnino vacat. Interpretationes præterea locorum quorumdam alieniores profert. Alioquin ipsa quæ in his epistolis insunt sensa, nonnihil abjecta, continentem quoque seriem ac consequentiam non servant.

A λαὶ πρὸς Κορινθίους β' ἐνεφέροντο, ὧν ἡ πρώτη δι' αἰτίας αὐτοὺς ἄγει, στάσεσι καὶ ταραχαῖς καὶ σχίσμασι τὴν πρέπουσαν αὐτοῖς εἰρήνην καὶ ὁμόνοιαν ἐμπολιτεύεσθαι λύσαντας, καὶ παραινεῖ παύσασθαι τοῦ κακοῦ. Ἁπλοῦς δὲ κατὰ τὴν φράσιν καὶ σαφὴς ἐστι καὶ ἐγγὺς τοῦ ἐκκλησιαστικοῦ καὶ ἀπεριέργου χαρακτῆρος. Αἰτιάσοιτο δ' ἄν τις αὐτὸν ἐν ταύταις ὅτι τε τοῦ Ὠκεανοῦ ἔξω κόσμους τινὰς ὑποτίθεται εἶναι, καὶ δεύτερον ἴσως ὅτι ὡς παναληθεστάτῳ τῷ κατὰ τὸν φοίνικα τὸ ὄρνεον ὑποδείγματι κέχρηται, καὶ τρίτον ὅτι ἀρχιερέα καὶ προστάτην τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξονομάζων, οὐδὲ τὰς θεοπρεπεῖς καὶ ὑψηλοτέρας ἀφῆκε περὶ αὐτοῦ φωνάς · οὐ μὴν οὐδ' ἀπαρακαλύπτως αὐτὸν οὐδαμῇ ἐν τούτοις βλασφημεῖ. Ἡ δὲ δευτέρα καὶ αὐτὴ νουθεσίαν B καὶ παραίνεσιν κρείττονος εἰσάγει βίου, καὶ ἐν ἀρχῇ Θεὸν τὸν Χριστὸν [91] κηρύσσει, πλὴν ὅτι ῥητά τινα ὡς ἀπὸ τῆς θείας Γραφῆς ξενίζοντα παρεισάγει · ὧν οὐδ' ἡ πρώτη ἀπήλλακτο παντελῶς. Καὶ ἑρμηνείας δὲ ῥητῶν τινων ἀλλοκότους ἔχει. Ἄλλως τε δὲ καὶ τὰ ἐν αὐταῖς νοήματα ἐῤῥιμμένα πως καὶ οὐ συνεχῆ τὴν ἀκολουθίαν ὑπῆρχε φυλάττοντα.

Legebatur autem in eodem libello et Polycarpi (15) Epistola ad Philippenses, multis referta admonitionibus, cum perspicuitate ac simplicitate, ecclesiastici more interpretis. Refert quoque **95***b* divini Ignatii litteras ad illos se misisse, postulatque certior vicissim fieri, si quid forte de eo inaudierint.

Ἐν τῷ αὐτῷ δὲ βιβλιδαρίῳ ἀνεγνώσθη καὶ Πολυκάρπου Ἐπιστολὴ πρὸς Φιλιππησίους, γέμουσα πολλῆς νουθεσίας μετὰ σαφηνείας καὶ ἁπλότητος κατὰ τὸν ἐκκλησιαστικὸν τῆς ἑρμηνείας τύπον. Λέγει [92] δὲ καὶ τὰς ἐπιστολὰς αὐτοῖς Ἰγνατίου τοῦ θεοφόρου ἀπεσταλκέναι, καὶ αἰτεῖται ἀναδιδαχθῆναι παρ' αὐτῶν εἴ τι περὶ ἐκείνου C διακούσαιεν.

CXXVII.

Eusebii Pamphilii De vita Constantini M. libri IV.

Leguntur Eusebii Pamphili *De vita Constantini Magni August.* laudatorii libri quatuor. Continent autem hujus viri cum cæteram vivendi formam,

PKZ'.

Εὐσεβίου τοῦ Παμφίλου ἡ εἰς Κωνσταντῖνον τὸν μέγαν βασιλέα τετράβιβλος.

Ἀνεγνώσθη Εὐσεβίου τοῦ Παμφίλου ἡ Εἰς Κωνσταντῖνον τὸν μέγαν βασιλέα [308 R.] ἐγκωμιαστικὴ τετράβιβλος, ἐν ᾗ περιέχεται ἥ τε τοῦ ἀνδρὸς

VARIÆ LECTIONES.

[91] Χριστὸν τὸν Θεόν ς. [92] λέγεται A.

NOTÆ.

(13) De quibus sup. quoque Photius. cap. 113, et B. Hieron. cap. 14.

(14) Adhibent tamen pro carnis resurrectione Patrum plurimi : Tertull. lib. *De resurrect.* cap. 13, ubi etiam illud Psal. XCI, *δίκαιος ὡς Φοῖνιξ ἀνθήσει*, reddere ausus est, *Velut Phœnix florebit*. B. Ambros. lib. VI in *Hexaemer.* cap. 23, iterumque lib. *De fide resurrect.* S. Greg. Nazianz. *Carm. ad Virgin.* S. Epiphan. Ancorato : atque ex ipsius B. Clem. *Constit.* lib. V, c. 6 ; B. Cyrill. *Catechesi* 18, meminitque hujus avis Euseb. lib. IV *De Constant. vita* ; cui adde gentium scriptorum turbam : Lucian. in *Sectis*, Plin. lib. X, cap. 11 ; Tacitum, *Annal.* V ; Aurel. Victor. *Histor. Augusta* ; Pomp. Melam, lib. III, cap. 9 ; Solin. cap. 36 ; Claudian. et Auct. *Carm. de Phœnice*, apud Lactant. ; et de Græcis Xiphilin. in *Tiberio* ; Herodot. lib. II ; Horapol. lib. I, cap. 35 et alibi ; Ælian. *De animal. nat.* lib. VI, cap. 58. Etsi ante Photium dubitando de hac ave locuti sint, B. Clem. supra, cum B. Greg. Naz. orat. de Spiritu sancto quæ est 37, B. vero Maximus martyr ; etiam logica dissertatione eamdem planissime negavit, ibi ad Petrum illustrem contra Severi dogmata, quem ipsum hic tibi locum e Notis Græcis, sed Latine, appendere placuit. Quod si, ait, avis est phœnix, etiam animal sit, omnino necesse est. Quod si animal eam esse concedis, primum, non omnino potest illud esse singulare, quantum saltem animal est, nullum enim solum animal. Deinde, si animal est, utique corpus, animatum simul et sensu præditum. Jam si corpus est animatum et sensu præditum, certe etiam generationi atque corruptioni obnoxium erit. Ipsos, si libet, sapientes consule, rerum quæ exsistunt inspectores, fierine possit, ut generationi quod obnoxium est atque corruptioni corpus, animatum item ac sensu præditum, singularis esse naturæ (ad exsistentiam quod attinet) possit : cum aliorum in his ex aliis successio, evidentissimum sit exsistendi indicium, certissimusque terminus. Quemadmodum in Scriptura ipsa sacra testatur justo illi Noemo hujus rei certitudinem exhibens, ubi Gen. VII, ait : *Ingredere tu et omnis*, etc. Itemque *ex omnibus volatilibus*, etc., in quibus si phœnix, quod alatum ille sit animal, numerandus est, sane singularis, quoad exsistentiam, naturæ non est, ut Deus ipse pronuntiavit.

(15) Exstat ea hodie, vel ex hic indicatis signis nobilis, Latine cum operibus S. Clementis Rom. Coloniæ excusa.

ἄλλη πολιτεία ἐξ αὐτῆς πρώτης ἡλικίας ἀρχομένη, καὶ ὅσαι πρὸς τὴν ἐκκλησιαστικὴν [164 H.] ἱστορίαν συντελοῦσι πράξεις, μέχρις οὗ τὸν βίον ἀπέλιπεν, εἰς ἑξηκοστὸν καὶ τέταρτον παραταθέντα χρόνον. Ἔστι μὲν οὖν κἀνταῦθα τὴν φράσιν ὅμοιος ἑαυτῷ, πλὴν μικροῦ τε πρὸς τὸ λαμπρότερον ἐκβεβίασται αὐτῷ ὁ λόγος, καὶ λέξεις εἰς τὸ ἀνθηρότερον ἐνιαχοῦ συνελήφθησαν· τῆς μέντοι κατὰ τὴν ἑρμηνείαν ἡδονῆς καὶ χάριτος οὐδὲν μέγα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, ἐμφαίνεται. Καταστρώννυσι δὲ ἐν ταύτῃ αὐτοῦ τῇ τετραβίβλῳ πάμπολλα χωρία ἐξ ὁλοκλήρου τῆς Ἐκκλησιαστικῆς αὐτοῦ δεκαλόγου ἱστορίας.

A jam inde a pueritia inchoando, tum quæcunque ad ecclesiasticam pertinentia historiam ille gessit, ad extremum usque finem, hoc est, quatuor et sexaginta annorum spatio. Est porro etiam in hoc opere sui satis in dictione similis, nisi quod nonnihil ad splendorem magis trahitur oratio, vocesque ad floridum alicubi genus tendunt: etsi jucunditatis et gratiæ in explicando modicum adhibere, ut in aliis quoque libris, videtur. Afferuntur vero loca plurima in his quatuor libris ex universa ejus decem librorum *Ecclesiastica Historia*.

Λέγει μὲν οὖν καὶ αὐτὸς ἐν Νικομηδείᾳ τὸν μέγαν Κωνσταντῖνον βαπτίσασθαι, μέχρι τότε τὸ λουτρὸν ἀναβαλλόμενον, ἅτε δὴ ἐν ἐπιθυμίᾳ ποιούμενον τοῖς Ἰορδάνου τὸ λουτρὸν ὑποδέξασθαι· τίς δὲ ὁ βαπτίσας, οὐδὲν διασαφεῖ. Περὶ μέντοι γε τῆς Ἀρειανῆς αἱρέσεως οὐδὲν σαφὲς ἀπαγγέλλει, οὐδ' εἰ τῆς δόξης ἐκείνης εἴχετο, οὐδ' ὅτι μεταβέβληται, ἀλλ' οὐδ' ὅτι φαύλως ἢ ὀρθῶς ἐδόξαζεν Ἄρειος, καίπερ ἀνάγκην ἔχων ἐν μνήμῃ ταῦτα ποιήσασθαι, ἅτε δὴ μέγα μέρος ἐπεχούσης τῆς συνόδου τῶν τοῦ μεγάλου πράξεων Κωνσταντίνου, κἀκείνης πάλιν ἐξαπαιτούσης τὴν περὶ τούτων λεπτομερεστάτην ἱστορίαν. Ἀλλὰ στάσιν μὲν ἐμπεσεῖν μεταξὺ Ἀρείου καὶ Ἀλεξάνδρου, τὴν αἵρεσιν οὕτω λέγων καὶ ὑποκρυπτόμενος, ἀποφαίνεται, ἐπί τε τῇ στάσει λίαν ἀλγῆσαι τὸν θεοφιλῆ βασιλέα, καὶ ἀγωνίσασθαι διά τε ἐπιστολῶν, διά τε τοῦ Ὁσίου, ὃς Κουδρόβης ἐπεσκόπει, εἰς φιλίαν καὶ ὁμόνοιαν συζεῦξαι τὸ στασιάζον τῆς πρὸς ἀλλήλους ἔριδος ἀφεμένους καὶ τῶν τοιούτων ζητήσεων· ὡς δ' οὐκ ἔπειθε, σύνοδον πανταχόθεν ἀθροῖσαι καὶ τὴν ἐμπεσοῦσαν ἔριν εἰς εἰρήνην διαλύσασθαι· οὐ μὴν εἰς τὸ ἀκριβὲς καὶ ἐπίδηλον ἀναγράφεται. Οὗτος οὖν ὥσπερ αἰσχυνομένῳ ἐοικὼς καὶ μὴ βουλομένῳ δημοσιεύειν Ἄρειον [93*] τήν τε τῆς συνόδου ἐξενηνεγμένην κατ' αὐτοῦ ψῆφον καὶ τῶν συνασεβησάντων αὐτῷ καὶ συνεξωσθέντων τὴν δικαίαν εἴσπραξιν, οὐ μὴν ἀλλ' οὐδ' ἣν θεόθεν πᾶς ὀφθαλμὸς εἶδεν ἔνδικον Ἀρείου καταστροφήν, οὐδὲν τούτων ἄγων εἰς φῶς, τήν τε περὶ τῆς συνόδου καὶ τῶν ἐν αὐτῇ πραχθέντων καὶ περὶ αὐτὴν [94] ἱστορίαν παρέδραμε. Διὸ καὶ περὶ τοῦ θεσπεσίου Εὐσταθίου διηγεῖσθαι μέλλων [95] οὔτε τοῦ ὀνόματος μέμνηται, οὐδ' ὅσα περὶ αὐτὸν ἐτολμήθη καὶ εἰς ἔργον ἀποβέβηκεν· ἀλλ' εἰς στάσιν καὶ ταραχὴν ἀνάγων καὶ ταῦτα, γαληνίας καί πάλιν ἐπιλέγει, ἐπισκόπων κατὰ τὴν Ἀντιόχειαν συνεδραμηκότων σπουδῇ βασιλέως καὶ συνεργίᾳ, καὶ τὸ στασιάζον καὶ ταραττόμενον εἰς τὸ εἰρηναῖον μεταβεβληκότων. Ὁμοίως δὲ καὶ ἐν οἷς ὁ πολύαθλος ἐτκευωρήθη Ἀθανάσιος, εἰς ταῦτα τὴν ἱστορίαν ὁρμήσας ἐπαφεῖναι, στάσεως μὲν

Refert ergo hic Nicomediæ baptizatum magnum Constantinum (16), hactenusque lavacrum distulisse, quod in votis haberet in Jordane baptismo tingi: quis vero baptizarit, silentio præterit. De Ariani insuper hæresi prorsus nihil manifeste commemorat, neque an Constantinus illi aliquando adhæserit, neque an eam abjecerit, sed neque an recte, aut secus senserit Arius: tametsi necessitas eum compelleret horum meminisse, quando et magna pars fuit synodus rerum a magno Constantino gestarum, et alioquin illa ipsa vicissim postularet exactissimam his de rebus historiam. Itaque dissensionem quidem ortam Arium inter et Alexandrum commemorat (sic nimirum hæresim appellare ac tegere videtur), ac dissidii hujus gratia valde indolentem pientissimum imperatorem allaborasse, cum per epistolam, tum per Hosium Cordubensis Ecclesiæ episcopum, ut, missa contentione illa mutua, et hujusmodi quæstionibus, ad amicitiam concordiamque dissidentes adigeret: atque ubi non persuasit synodum undique convocasse et natam contentionem pace permutasse. Quæ tamen neque accurate neque perspicue ab eo scribuntur. Quare præ pudore videtur hic Arium, et a synodo factum contra illum decretum, publicare non voluisse, ut nec ejus erroris socios, aut simul expulsorum justam ultionem, quin neque illam, **96***a* quam divinitus sumptam omnis oculus vidit, justam Arii vindictam (17): quando horum nihil in lucem proferens, synodi ipsius rerumque in ea gestarum historiam obiter tantum percurrit. Quo etiam fit, ut de divino Eustathio (18) narraturus, ne nominis quidem meminerit; tantum abest ut quæ in ipsum audacissime machinati sunt (19), reque ipsa præstiterunt, recensuerit. Igitur ad dissensionem duntaxat atque tumultum ea referens, tranquillitatem rursum commemorat episcoporum eorum, qui cum Antiochiam imperatoris studio atque opera convenissent, seditionem turbamque pace commutarunt. Similiter ubi narrationem instituit de

VARIÆ LECTIONES.

[93] οὕτω A : δ' οὕτω ς. [93*] Ἀρείου A. [94] καὶ περὶ αὐτήν add. A. [95] μέλλων διηγεῖσθαι ς.

NOTÆ.

(16) Supr. cod. 88, et ibi Scholion in fine.
(17) Eam legas supr. cod. 88, circa medium.
(18) Antiocheno episc. quo de Baron. card. tom. III ad ann. Chr. 340.
(19) Theodoretus ea refert lib. 1 *Hist. eccles.*, cap. 21.

iis quæ in magnum illum athletam Athanasium (20) improbe comparata fuerunt, seditione quidem ac tumultu impletam iterum Alexandriam refert, sed eam episcoporum, qui imperatoris auctoritate niterentur, præsentia placatam fuisse. Neque interim quis seditionem concitarit, aut quænam illa fuerit, neque quo pacto contentionem alii sedarint, omnino manifeste ostendit. Quin fere quotiescunque episcoporum inter ipsos de fidei capitibus contentiones, vel aliæ denique dissensiones fuerunt, eumdem servat in narrando celandi modum.

A ἐμπλησθῆναι πάλιν καὶ ταραχῆς τὴν Ἀλεξάνδρειαν λέγει [96], καὶ ταύτην πραῦνθῆναι ἐπισκόπων παρουσίᾳ τὴν βασιλικὴν ἐχόντων συμμαχίαν· οὔτε δὲ τίς ἦν ὁ [97] στασιάζων, οὐδ' ἥτις ἡ στάσις, ἢ τί καὶ πράξαντες τὴν ἔριν ἐπράῦναν, οὐδὲν οὐδ' ὅλως ποιεῖται ἐπίδηλον. [309 R.] Καὶ σχεδὸν ἐν οἷς [165 H.] ἐπισκόπων πρὸς ἀλλήλους φιλονεικίαι περὶ δογμάτων ἢ περί τινων ἄλλων διαφωνίαι γεγόνασι, τὸν αὐτὸν τῆς ἐπικρύψεως ἐν τῇ διηγήσει τύπον διαφυλάττει.

CXXVIII.

Luciani Opera varia.

Leguntur Luciani (27) *Pro Phalaride* [*orationes duæ*], *et mortuorum amantiumque dialogi varii*; alii item diversis de rebus libelli, in quibus fere singulis gentium res comice irridet: ut in diis fingendis errorem illorum atque amentiam; in libidinem præterea immoderatum impetum atque intemperantiam; poetarum item apud ipsos prodigiosas opiniones ac fictiones, indeque natum in republica errorem; reliquæ etiam vitæ inconstantem cursum atque casus: philosophorum ad hæc ipsorum fastu plenos mores, qui nonnisi fictarum inaniumque opinionum referti sint; denique gentes tanquam per comœdiam, iuti diximus, pedestri numerisque soluta oratione irridere studio illi fuit. Ex eorum autem numero esse videtur, qui nihil omnino certi pronuntiant (22). Aliorum enim perstringens atque irridens opiniones, ipse quid sentiat tacet: nisi quis hanc illius fuisse certam opinionem contendat, nihil esse certo de rebus ullis statuendum. Ad stylum quod attinet, longe optimus: dictione usus significante ac propria, quæque efficax dicendi genus deceat. Distinctionis adhæc atque puritatis, æque ut perspicuitatis et aptæ magnitudinis, si quis alius perstudiosus est. Compositionem quoque adeo commode concinnat, ut lector credat non se orationes legere, **96***b* sed jucundum aliquod carmen, sine manifesto cantu, audientium auribus instillari. Uno verbo, ut repetam, venustissima ejus oratio est, nec satis subjectæ rei decens, quam ille voluit ridendo ludere. Quod autem de iis unus ipse fuerit, qui nihil certo asserent, vel libro inscriptum hoc epigramma satis ostendit:

Scripsi hæc Lucianus prisci stultique peritus:
Stulta etenim, vulgo credita docta tamen,
Ergo nil hominum certo mens concipit unquam;
Ast quod miraris, ridiculum est aliis.

B C D

PKH'.

Λουκιανοῦ διάφοροι λόγοι.

Ἀνεγνώσθη Λουκιανοῦ Ὑπὲρ Φαλάριδος, καὶ Νεκρικοὶ καὶ Ἑταιρικοὶ διάλογοι διάφοροι, καὶ ἕτεροι διαφόρων ὑποθέσεων λόγοι, ἐν οἷς σχεδὸν ἅπασι τὰ Ἑλλήνων κωμῳδεῖ, τήν τε τῆς θεοπλαστίας αὐτῶν πλάνην καὶ μωρίαν καὶ τὴν εἰς ἀσέλγειαν ἄσχετον ὁρμὴν καὶ ἀκρασίαν, καὶ τῶν ποιητῶν αὐτῶν τὰς τερατώδεις δόξας καὶ ἀναπλάσεις, καὶ τὸν ἐντεῦθεν πλάνον τῆς πολιτείας, καὶ τοῦ ἄλλου βίου τὴν ἀνώμαλον περιφορὰν καὶ τὰς περιπτώσεις, καὶ τῶν φιλοσόφων αὐτῶν τὸ φιλόκομπον ἦθος καὶ μηδὲν ἄλλο πλὴν ὑποκρίσεως καὶ κενῶν δοξασμάτων μυστόν, καὶ ἁπλῶς, ὡς ἔφημεν, κωμῳδία τῶν Ἑλλήνων ἐστὶν αὐτῷ ἡ σπουδὴ ἐν λόγῳ πεζῷ. Ἔοικε δὲ αὐτὸς τῶν μηδὲν ὅλως πρεσβευόντων εἶναι· τὰς γὰρ ἄλλων κωμῳδῶν καὶ διαπαίζων δόξας, αὐτὸς ἦν θεάζει οὐ τίθησι, πλὴν εἴ τις αὐτοῦ δόξαν ἐρεῖ τὸ μηδὲν δοξάζειν. Τὴν μέντοι φράσιν ἐστὶν ἄριστος λέξει εὐσήμῳ τε καὶ κυρίᾳ καὶ τῷ ἐμφατικῷ διαπρεπούσῃ κεχρημένος, εὐκρινείας τε καὶ καθαρότητος μετὰ τοῦ λαμπροῦ καὶ συμμέτρου μεγέθους, εἴ τις ἄλλος, ἐραστής. Συνθήκη τε αὐτῷ οὕτως ἥρμοσται, ὥστε δοκεῖν τὸν ἀναγινώσκοντα μὴ λόγους λέγειν, ἀλλὰ μέλος [98] τι τερπνὸν χωρὶς ἐμφανοῦς ᾠδῆς τοῖς ὠσὶν ἐναποστάζειν τῶν ἀκροατῶν. Καὶ ὅλως, ὥσπερ ἔφημεν, ἄριστος ὁ λόγος αὐτῷ καὶ οὐ πρέπων ὑποθέσεσιν, ἃς αὐτὸς ἔγνω σὺν τῷ γελοίῳ διαπαῖξαι. Ὅτι δὲ αὐτὸς τῶν μηδὲν ἦν ὅλως δοξαζόντων, καὶ τὸ τῆς βίβλου ἐπίγραμμα δίδωσιν ὑπολαμβάνειν· ἔχει γὰρ ὧδε

Λουκιανὸς τάδ' ἔγραψα, παλαιά τε μωρά τε εἰδώς·
Μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
Οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νοήμα·
Ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

CXXIX.

Lucii Patrensis Metamorphoses.

Lectæ sunt Lucii Patrensis *Transformationum narrationes variæ*. Dictio ejus clara, pura et dulcedine delectans: fugiens vero orationis novitatem, supra modum prodigiosas consectatur narrationes,

PKΘ'.

Λουκίου Πατρέως Μεταμορφώσεων λόγοι.

Ἀνεγνώσθη Λουκίου Πατρέως Μεταμορφώσεων [99] λόγοι διάφοροι. Ἔστι δὲ τὴν φράσιν σαφής τε καὶ καθαρὸς καὶ φίλος γλυκύτητος· φεύγων δὲ τὴν ἐν λόγοις καινοτομίαν, εἰς ὑπερβολὴν διώκει τὴν ἐν

VARIÆ LECTIONES.

[96] libri λέγεται. [97] ὁ et infra οὐδὲν add. A. [98] μέρος ς. [99] μεταμορφώσεως ς.

NOTÆ.

(20) Cujus vitam infr. lege cod. 238.
(21) Videndus de hoc scriptore Suidas aliique.
(22) Quales Pyrrhonii et Academici, utrique hinc σκεπτικοὶ καὶ ἀπορητικοὶ appellati Videndus Agellius lib. II, cap. 5, et Diog. Laer. in Pyrrhone. Sex. quoque Empiricus in Hypotyposibus Pyrrhonianis.

τοῖς διηγήμασι τερατείαν, καὶ ὡς ἄν τις εἴποι, ἄλλος ἐστὶ Λουκιανός. Οἱ δέ γε [1] πρῶτοι αὐτοῦ δύο λόγοι μόνον οὐ μετεγράφησαν Λουκίῳ ἐκ τοῦ Λουκιανοῦ λόγου ὃς ἐπιγέγραπται Λοῦκις ἢ ὄνος, ἢ ἐκ τῶν Λουκίου [2] λόγων Λουκιανῷ. Ἔοικε δὲ μᾶλλον ὁ Λουκιανὸς μεταγράφοντι, ὅσον εἰχάζειν· τίς γὰρ χρόνῳ πρεσβύτερος, οὔπω ἔχομεν γνῶναι. Καὶ γὰρ ὥσπερ ἀπὸ πλάτους τῶν Λουκίου λόγων ὁ Λουκιανὸς ἀπολεπτύνας, καὶ περιελὼν ὅσα μὴ ἐδόκει αὐτῷ πρὸς τὸν οἰκεῖον χρήσιμα σκοπὸν, αὐταῖς τε λέξεσι καὶ συντάξεσιν εἰς ἕνα τὰ λοιπὰ συναρμόσας λόγον, Λοῦκις ἢ ὄνος ἐπέγραψε τὸ ἐκεῖθεν ὑποσυληθέν. [312 R] Γέμει δὲ ὁ ἑκατέρου λόγος πλασμάτων μὲν μυθικῶν, ἀῤῥητοποιίας δὲ αἰσχρᾶς. Πλὴν ὁ μὲν Λουκιανὸς [166 H.] σκώπτων καὶ διασύρων τὴν Ἑλληνικὴν δεισιδαιμονίαν, ὥσπερ κἀν τοῖς ἄλλοις, καὶ τοῦτον συνέταττεν· ὁ δὲ Λούκιος σπουδάζων τε καὶ πιστὰς νομίζων τὰς ἐξ ἀνθρώπων εἰς ἀλλήλους μεταμορφώσεις τάς τε ἐξ ἀλόγων εἰς ἀνθρώπους, καὶ ἀνάπαλιν καὶ τὸν ἄλλον τῶν παλαιῶν μύθων ὕθλον καὶ φλήναφον, γραφῇ παρεδίδου ταῦτα καὶ συνύφαινεν.

A ut jure dixeris alterum eum esse Lucianum. Priores certe duo ipsius libri, tantum non descripti sunt a Lucio ex Luciani libro, qui inscriptus est *Lucius, vel Asinus*, nisi contra ex Lucii libris a Luciano ille transcriptus est. Ac si conjectare licet (neque enim uter tempore prior fuerit, cognoscere hactenus potui) Lucianus potius tanscripsisse videtur. Nam quasi copiosiores Lucii libros, resecatis quæ ad proprium pertinere scopum minime videbantur, Lucianus accidisset, iisdemque verbis et compositionibus cætera uni aptasset narrationi, *Lucium, seu Asinum*, quem inde furto compilavit, librum inscripsit. Fabulosarum autem fictionum (23) ac nefandæ turpitudinis pleni sunt utriusque libri, hoc solo discrimine, quod Lucianus, ut cæteros suos B libros omnes, ad irridendum atque perstringendum gentium superstitiosum deorum cultum, hunc quoque composuerit; Lucius vero serio agens, et certas ratus hominum in alios transformationes, et brutorum rationis expertium in homines, ac vice versa, aliasque antiquarum fabularum ineptias ac nugas his litteris prodiderit atque contexuerit.

ΡΛ΄.

Δαμασκίου Περὶ παραδόξων λόγοι δ΄.

Ἀνεγνώσθησαν Δαμασκίου λόγοι δ΄, ὧν ὁ μὲν πρῶτος ἐπιγραφὴν ἔχει Περὶ παραδόξων ποιημάτων κεφάλαια τνβ΄, ὁ δὲ δεύτερος Παραδόξων περὶ [3] δαιμονίων διηγημάτων κεφάλαια νβ΄, ὁ δὲ τρίτος Περὶ τῶν μετὰ θάνατον ἐπιφαινομένων ψυχῶν παραδόξων διηγημάτων κεφάλαια ξγ΄, ὁ δὲ τέταρτος καί παραδόξων φύσεων κεφάλαια ρε΄· ἐν οἷς ἅπασιν ὀδύνατά τε καὶ ἀπίθανα καὶ κακόπλαστα τερατολογήματα καὶ μωρὰ καὶ ὡς ἀληθῶς ἄξια τῆς ἀθεότητος καὶ δυσσεβείας Δαμασκίου, ὃς καὶ τοῦ φωτὸς τῆς εὐσεβείας τὸν κόσμον πληρώσαντος αὐτὸς ὑπὸ βαθεῖ σκότῳ τῆς εἰδωλολατρείας ἐκάθευδε. Κεφαλαιώδης δὲ αὐτῷ ἐν τούτοις ὁ λόγος, καὶ οὔτε ἄκομψος οὔτε τὸ σαφὲς ὑπερορῶν, ὡς ἐν διηγήμασι τοιούτοις.

C In quibus omnibus plurima reperies, quæ neque fieri **97** *a* neque credi possint, male conficta et stulta mendaciorum portenta, impio atque atheo Damascio vere digna : qui dum Evangelii lumen orbem terrarum illustraret universum, ipse in densissima idololatriæ caligine immersus jacuit. Brevis ac velut compendiaria hic ejus est oratio, non incompta tamen, neque perspicuitatem, ut in talibus narrationibus solet, negligens.

ΡΛΑ΄.

Ἀμυντιανοῦ εἰς Ἀλέξανδρον τὸν βασιλέα, καὶ ἑτερά τινα.

Ἀνεγνώσθη Ἀμυντιανοῦ Εἰς Ἀλέξανδρον· προσφωνεῖ δὲ τὸν λόγον τῷ αὐτοκράτορι Ῥωμαίων Μάρκῳ, καὶ ἐπαγγέλλεται μὲν ἀξίως εἰπεῖν τῶν Ἀλεξάνδρου πράξεων, ἐδείχθη δὲ προοίων ὡς ἐπαγγεῖλαι [4] μέν ἐστιν ἔνθερμος καὶ τολμητὴς, πληρῶσαι δὲ τὴν ἐπαγγελίαν ψυχρὸς καὶ δειλός· πολὺ γὰρ καταδεέστερον καὶ τῶν ἔμπροσθεν εἰρηκότων λέγει

D Lectus est Amyntiani *de Alexandri laudibus liber*. Dedicat eum Marco Antonino Romanorum imperatori : prædicatque se stylo res Alexandri gestas æquaturum. At deprehensus est in orationis progressu calidus quidem et audax promissor, in promisso vero implendo, frigidus atque imbecillus. Multo enim in dicendo iis etiam inferior est, qui

VARIÆ LECTIONES.

[1] δέ γε an habeat A non liquet. [2] Λουκίς ς, sic et infra. [3] περὶ om. A. [4] ἐπαγγεῖλαι] rectius scripseris ἐπαγγείλασθαι.

NOTÆ.

(23) Ut ex Luciano vicissim D. Apuleius Madaurensis, fabulæ Milesiæ *Asinum aureum*. Vide ejus interpretes.

(24) Damascii sive hujus, sive alterius, philosophica quædam exstant Ἀνέκδοτα in Vaticana Pontificis bibliotheca. Habes item ex ejus Isidori Vita excerpta infra capita 142, et de eadem χρίσεις cap. 181. Plura Suidas.

(25) In Græco leg. παραδόξ. διηγημ. κεφάλαια ξ΄γ. Ὁ δὲ τέταρτος, καὶ παραδόξων φύσεων κεφάλαια ρε΄.

ante ipsum de Alexandro scripserunt. Tenui atque elumbi usus est dicendi genere. Etsi autem perspicuitate non caret, plurima tamen necessaria prætermittit.

A περὶ αὐτοῦ, ἀτόνῳ δὲ καὶ ἐκλύτῳ χαρακτῆρι χρῆται [5]. Τοῦ μέντοι σαφοῦς οὐ διαπίπτει, πολλὰ δὲ τῶν ἀναγκαίων παραλιμπάνει.

Scripsit idem, cum alios non unius generis libros, tum *vitas* invicem *comparatas* ; ut Dionysii et Domitiani, libris duobus ; Philippi quoque Macedonum regis et Augusti, libris totidem. Fertur ejusdem et *de Olympiadis*, Alexandri matris *Vita* liber singularis.

Ὁ αὐτὸς δὲ καὶ ἑτέρους λόγους ἔγραψε διαφόρους, καὶ παραλλήλους συνέθηκε βίους, ὥσπερ Διονυσίου καὶ Δομιτιανοῦ [6] ἐν δυσὶ λόγοις, Φιλίππου τε Μακεδόνων καὶ Αὐγούστου ἐν ἑτέροις δυσίν. Ἔτι δὲ καὶ Περὶ Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς λόγον ἔγραψεν.

CXXXII-CXXXV.

Palladii, Aphthonii, Eusebii, et Maximi Declamationes.

ΡΑΒ′-ΡΑΕ′.

Παλλαδίου σοφιστοῦ, Ἀφθονίου, Εὐσεβίου, καὶ Μαξίμου Μελέται.

Lectæ sunt Palladii (26) Sophistæ *Declamationes variæ*, Aphthonii (27) quoque et Eusebii (28) Sophistarum, item Maximi sophistæ Alexandrini. Verum cæteros Palladius omni dicendi artificio multis partibus superavit.

Ἀνεγνώσθησαν Παλλαδίου σοφιστοῦ Μελέται διάφοροι, καὶ Ἀφθονίου καὶ Εὐσεβίου σοφιστοῦ καὶ Μαξίμου σοφιστοῦ Ἀλεξανδρέως. Ἀλλὰ τῶν ἄλλων ὁ Παλλάδιος κατὰ πᾶσαν ἀρετὴν τὴν ἐν λόγοις ἐπὶ πλεῖστον διενήνοχεν.

CXXXVI.

Cyrilli Thesauri.

ΡΑϚ′.

Κυρίλλου οἱ Θησαυροί.

Leguntur Cyrilli *Thesauri*. Epicherematis refertus est liber, pugnatque valide ac varie cum Arii et Eumonii furibunda rabie. Etenim et logicis argumentis sapienter illorum destruit amentiam, quibus dum sacræ Scripturæ annectit attexitque testimonia, quam sitilla doctrina futilis omni ex parte divulgat. Adhibet idem nuda quoque sacræ Scripturæ testimonia, ut quo se fastuosi vertant, obsepti undique atque conclusi, non habeant. Est autem inter omnia ejus scripta liber hic maxime perspicuus, iis potissimum, qui logicorum argumentorum sensum capere possunt.

Ἀνεγνώσθησαν Κυρίλλου οἱ θησαυροί. Ἐπιχειρηματικόν ἐστι [7] τὸ βιβλίον, καὶ [313 R.] κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου λύσσης γενναίως καὶ πολυτρόπως ἀγωνιζόμενον· καὶ γὰρ καὶ λογικαῖς ἐφόδοις ἐπιστημόνως αὐτῶν ἀπελέγχει τὴν ἄνοιαν, καὶ Γραφικὰς αὐταῖς συμπλέκων καὶ συνυφαίνων χρήσεις πανταχόθεν τὸ σαθρὸν αὐτῶν στηλιτεύει τοῦ δόγματος. Τίθησι δὲ καὶ μαρτυρίας ἁπλῶς τῆς Γραφῆς ὁ θεσπέσιος Κύριλλος, εἰς ἀμηχανίαν αὐτῶν διὰ πάντων συγκλείων τὸ φρύαγμα. Ἔστι δὲ τῶν ἑαυτοῦ λόγων ἐνταῦθα, καὶ μάλιστα τοῖς ἔννοιαν λαβοῦσι τῶτ λογικῶν ἐφόδων, σαφέστατος.

CXXXVII.

Eunomii hæretici libellus.

ΡΑΖ′.

Εὐνομίου τοῦ δυσσεβοῦς βιβλιδάριον.

Legi libellum Eumonii (29), quo **97** *b* suam ipse prodit impietatem, cujus hic titulus :... Libellum hunc, quod Eunomianis in admiratione esset, de industria, ne ad alios perveniret, occultatum vix tandem nactus Basilius magnus, fortiter eum ac splendide, omnemque adeo dicendo vim ac facultatem pervadens, evertit ac jugulavit. Diceres eum Babylonicum infantem ad firmam fidei petram allidendo contudisse, ac putidi cadaveris instar risu dignum ostendisse, quod tantam antea sui admirationem concitarat.

[167 H.] Ἀνεγνώσθη βιβλιδάριον Εὐνομίου, τῆς οἰκείας δυσσεβείας ἔκθεσις, οὗ ἡ ἐπιγραφὴ [8]..... Τοῦτο τὸ βιβλιδάριον ἐπεὶ τοῖς συναιρεσιώταις Εὐνομίου διὰ θαύματος μὲν ἤγετο, κρύφιον δὲ καὶ ἀνέκφορον τοῖς ἄλλοις εἶναι διεσπούδαστο, μόλις ποτὲ ὁ μέγας Βασίλειος ἐπὶ χειρᾶς λαβεῖν δυνηθείς, γενναίως τε καὶ λαμπρῶς, καὶ εἴ τις ἀρετὴ λόγων καὶ ἰσχύς, διὰ πασῶν ἐλθών, ἀνέτρεψέ τε καὶ ἀνεσκεύασεν, ὥσπερ [9] τι νήπιον Βαβυλώνιον τῇ στερρᾷ τῆς ἀληθείας [10] προσαράξας πέτρᾳ, καὶ θυησιμαῖον καὶ γέλωτα δείξας τὸ ποτε θαυμαζόμενον.

CXXXVIII.

Ejusdem Eunomii Refutationis B. Basilii magni libri III. *Item Epistolæ XL.*

ΡΑΗ′.

Τοῦ αὐτοῦ κατὰ τῆς πραγματείας τοῦ ἁγίου Βασιλείου, ἐν ᾗ δυσσεβὲς αὐτοῦ ἀνέτρεπε δόγμα· καὶ Ἐπιστολαὶ μ′.

Lectum ejusdem impii hominis tres libros continens volumen, quod velut confutatio est illarum ineptiarum, quas in ipsius reperiri blasphemiis sanctus Basilius demonstrarat. Hoc in opere partu-

Ἀνεγνώσθη τοῦ αὐτοῦ δυσσεβοῦς Εὐνομίου βιβλίον, ἐν λόγοις τρισὶν, ὡς δῆθεν τῶν ἀποδεδειγμένων κατὰ τῆς βλασφημίας αὐτοῦ τῷ θείῳ Βασιλείῳ ἀτόπων ἔλεγχος. Ταύτην τὴν βίβλον ὠδίνοντα πολλάς φασιν

VARIÆ LECTIONES.

[5] χρῆται AC : κέχρηται ς. [6] Δομετιανοῦ ς. [7] ἐστι A : δέ ἐστι ς. [8] post ἐπιγραφὴ lacuna in A versuum 2 1/2, in C litterarum 13 vel 14. [9] ὥσπερ] Ps. CXXXVII, 9. [10] ἀληθείας A : πίστεως ς.

NOTÆ.

(26) Suidas inspiciendus.

(27) Cujus exstant *Progymnas.* et *Fabulæ Græcolat.* in Germana edit. ubi plura.

(28) An hic ille Arab. quem ἀντισοχεσεῦσαι ultimo legimus apud Suidam ?

(29) Vide Suid.

αὐτὸν ἐτῶν Ὀλυμπιάδας κατατρῖψαι, ἐν οἰκίσκῳ A riendo, multas eum annorum Olympiadas ædiculæ
ἑαυτὸν καθειργνύντα, καὶ λαθραίαις μίξεσι τὸ πονη- inclusum suæ absumpsisse ferunt ; ac vix tandem
ρὸν ἐκεῖνο τέρας κύοντα μόλις εἰς φῶς δι' ἐτῶν ἀμ- post multorum annorum intervallum, abortiendo
βλωθρίδιον ἐκτρῶσαι, θάλπειν τε ἐκεῖθεν, καὶ μόλις improbum illum ac prodigiosum, quem furtivis con-
καὶ αὐτοῖς τοῖς συμμύσταις ἐπιδεικνύναι τὸ κύημα, gressibus conceperat, fetum in lucem ejecisse.
δεδιότα μάλιστα μή πως καὶ αὐτὸ ταῖς Βασιλείου Quin tunc etiam miserum illic fovendo partum,
χερσὶ περιπεσὸν [11] πρὶν ἢ πῆξιν λαβεῖν διασπασθῇ ipsis quoque sectæ asseclis non temere exhibuisse,
καὶ πρὸ τοῦ ἀνθῆσαι ξηρανθῇ ἄωρον ἀποφθαρέν. veritum nimirum maxime, nequando et hoc opus
Διόπερ ἐπιμελῶς καὶ ὥσπερ ὁ τοῦ Κρόνου μῦθος τὸ in Basilii manus prius veniens, quam coalesceret,
γέννημα καταπιὼν ἔκρυπτέ τε καὶ συνεκάλυπτε, dissiparetur, et antequam floreret, præmature
μέχρις ἂν ἡ Βασιλείου ζωὴ τῷ ἐπικήρῳ παρατεινο- corruptum marcesceret. Igitur studiose, velut alter
μένη βίῳ τὸν φόβον ἐπέσειεν. Ἐπεὶ δὲ ὁ θεῖος ἐκεῖ- in fabulis Saturnus, natum devorando texit atque
νος ἀνὴρ τὴν παροικίαν λιπὼν εἰς τὸν οἰκεῖον καὶ abscondit, quandiu quidem Basilius in fluxa ista
οὐράνιον κλῆρον ἀνέδραμε, τοῦ πολλοῦ λυθέντος δέους vita degens metum incuteret. Postquam vero vir
ὀψὲ [12] τοῦ καιροῦ, δημοσιεύειν [13] οὐδὲ τότε πᾶσιν, ille divinus, peregrina habitatione relicta, in suam,
ἀλλὰ τοῖς φίλοις ἐθάρρησεν. Ὧ περιτυχόντες Θεόδω- B hoc est, in cœlestem commigravit hæreditatem, et
ρος καὶ Γρηγόριος Νύσσης καὶ Σωφρόνιος, ὧν ἐμνή- ingenti illo metu discusso, vix tandem sero edendi
σθημεν ἄνωθεν, πολλαῖς αἰκίαις λόγων λωβησάμενοι advenit occasio, ne tunc quidem omnibus, sed ami-
οὐδὲν ἧττον τοῦ προτέρου νεκρὸν καὶ πάσης ἀποζον cis duntaxat [evulgare] ausus est. In quem inciden-
ἀκαθαρσίας τῷ γεγεννηκότι ἀπέῤῥιψαν. Τὰ μὲν tes Theodorus (30) et Gregorius Nyssenus, atque
οὖν τῆς ἀσεβείας οὕτως ἔδωκε δίκην, ὁ δὲ τοῦ λόγου Sophronius (quorum supra (31) est a me habita
χαρακτὴρ χάριτος μὲν καὶ ἡδονῆς οὐδ' εἴ τις ἔστιν mentio), multis verborum plagis, non secus quam
οὐδ' [14] ἐγγὺς γέγονε τοῦ εἰδέναι, κόμπον δέ τινα τε- priorem [illum ejusdem libellum] Basilius, confi-
ρατώδη καὶ δύσηχον ἦχον φιλοτιμεῖται ψοφεῖν τῶν cientes, jugulatum jam et præ impuritate olidum,
τε συμφώνων τῇ ἐπαλληλίᾳ [316 R.] καὶ τῶν λέξεων in auctorem suum conjecerunt. Has itaque tum im-
ταῖς δυσεκφράστοις καὶ πολυσυμφώνοις καὶ τοῦ ποιη- pietas pœnas dedit. Ad stylum quod attinet, tan-
τικοῦ τύπου, ἢ μᾶλλον ἀκριβέστερον εἰπεῖν, τοῦ tum is ab omni et gratia et jucunditate remotus
διθυραμβικοῦ εἴδους τυγχανούσαις. Συνθήκη τε αὐτῷ est, ut ne cognovisse quidem, an tale quid exsta-
ἐκβεβιασμένη καὶ συμπεπιεσμένη καὶ ἔκκροτος, ὡς ret, videatur. Jactantiam tantummodo quamdam
ἀνάγκην εἶναι τῷ ἀναγινώσκοντι τὰ ἐκείνου τύπτειν prodigiose ostentat, sonumque dissonum stridendo
σφοδρῶς τὸν ἀέρα τοῖς χείλεσιν, εἰ μέλλοι τρανῶς C edere affectat, tum consonantium alterna vicissitu-
ἀπαγγέλλειν ἃ περιτραχύνων [15] καὶ συστρέφων συν- dine, tum vocibus pronuntiatu difficilibus, et quæ
θλίβων τε καὶ παρεμβάλλων καὶ ἀκρωτηριάζων multis abundent consonantibus ; idque poetico
ἐκεῖνος μόλις συνέταττε. Μακραί τε ἐνίοτε εἰς ἀμε- more, vel, ut verius dicam, dithyrambico potius
τρίαν περίοδοι ἐκτεινόμεναι, καὶ τὸ σκοτεινόν τε ritu. Compositio ipsius coacta est, et vi compressa,
καὶ ἄδηλον δι' ὅλου κεχυμένον τοῦ συγγράμματος, **98***a* atque extusa, ut necesse habeat illius scripta
ἵνα δοκῇ τε τοῖς πολλοῖς δυνάμει δεινότητος ἐκφεύ- legens, aerem vehementer labiis verberare, si modo
γειν αὐτῶν τὴν κατάληψιν, καὶ ὅσον ἀσθενὲς τῶν aperte pronuntiare velit, quæ forte nanciscens atque
νοηθέντων (καὶ γάρ ἐστι πολὺ) τῷ ἀσαφεῖ καὶ δυσ- contorquens, aut collidens etiam, ac temere inter-
καταλήπτῳ ἐπισκιάζειν ἔχῃ [168 H.] καὶ κρύπτειν jiciens, imo et truncans, vix tandem ille conjunxit.
τῆς διανοίας τὰ ἀῤῥωστήματα. Δοκεῖ δὲ καὶ ταῖς λο- Longas quoque interdum et immodice productas
γικαῖς ἐπερείδεσθαι μεθόδοις, ἄλλους τε διασύρων periodos facit : obscuritatem insuper atque incer-
ἐπὶ τούτῳ, καὶ αὐτὸς προθυμούμενος μὲν ἀποκεχρῆ- titudinem per omne opus offundens, cum ut vulgo
σθαι τούτοις ὅτι μάλιστα, ὀψιμαθὴς δὲ κἀν τούτοις videatur ipsa suæ eloquentiæ vi eorum longe ca-
καὶ οὐδ' εἰς τὸ βαθος αὐτῶν ἐλθὼν ἐν πολλοῖς πολ- ptum excedere ; tum ut, quod in ejus sensis atque
λάκις ἐλεγχόμενος. D cogitatis imbecillum est (ut est sane plurimum) hac
ipsa obscuritate, et intelligendi difficultate obtegere, sententiæque celare vitium possit. Videtur vero et
logicis inniti argumentis, dum partim alios hoc nomine insectatur, partim ipse libentissime iis utitur,
tametsi frequenter (cum sero hoc studium arripuerit. neque ad ejus intima penetrarit) in multis sæpe
merito erroris notatur.

Ἀνεγνώσθησαν δὲ καὶ Ἐπιστολαὶ αὐτοῦ πρὸς Ejusdem quoque *Epistolæ ad varios* lectæ numero
διαφόρους, μέχρι τεσσαράκοντα. Ἀλλὰ καὶ ἐν ταύταις quadraginta. At dum in his item eamdem dicendi
τὸ αὐτὸ τῶν λόγων εἶδος λεπτουργῶν, παντελῶς τοῦ formam subtiliter affectat, qui omnino epistolicæ di-
τῶν ἐπιστολῶν χαρακτῆρος οὐδὲ τοὺς νόμους ἀκού- ctionis nec leges audiverat unquam, nec in iisdem

VARIÆ LECTIONES.

[11] ἐμπεσόν ς. [12] ὀψέ A : ὅτε ς. [13] δημοσιεύειν A : τὸ δημοσιεύειν ὑπῆρχεν ς. [14] alterum οὐδ' add. A. [15] περιτυγχάνων ς.

NOTÆ.

(30) Antiochenus idemque Mopsuestiæ epic. (31) Cod. 4, 5, 6.

se exercuerat, publicam per ea infamiæ notam incurrit.

CXXXIX.

Beati Athanasii in Ecclesiasten et Cantica canticorum Commentarius.

Legi magni Athanasii *in Ecclesiasten et Cantica canticorum Commentarium*. Dilucide dicit, ut in omnibus suis scriptis. Ad earum tamen (32) epistolarum gratiam et venustatem, quibus secessum excusat suum, quæque ad exsilium pertinent exponit, neque hic liber, neque alius ejus (qui quidem in meas inciderit manus) attingit.

CXL.

Ejusdem contra Arium libri v.

Lecti sunt ejusdem sancti viri *contra Arium ejusque dogmata* libri quinque.

Hujus dictio perspicua, ut et in cæteris ejus omnibus, sobria item et candida, vehemensque ac profunda, et argumenta valide torquens : ejus vero ubertas in his ac fecunditas admodum sane fuit mirabilis. Dialecticis adhæc usus est argumentis, non illis nude propositis, et ipsismet ex ea arte petitis vocibus (quod pueri recentioresque discipuli, juveniliter sese ac gloriose ostentantes, solent), verum philosophorum more, magnificeque prolatis, ac per nudas duntaxat notiones, et has quidem bene ornatas. Sacræ quoque Scripturæ testimoniis ac **98***b* demonstrationibus valide communitur : et ut uno verbo absolvam, solus hic liber ad Arianismum universum refellendum sufficere queat. Imo qui Gregorium Theologum, sanctumque Basilium dixerit ex hoc tanquam fonte haustos egregios illos et limpidos librorum suorum rivos contra eumdem errorem profudisse, sane a scopo minime aberrarit.

CXLI.

Basilius Magnus in Hexaemeron.

Legimus B. Basilium *in opus sex dierum* (33), [seu de mundi fabrica]. Præstantissimus est in libris omnibus. Pura enim dictione, significante, propria, et omnino civili ac panegyrica, si quis alius, uti novit: sensuumque ordine ac puritate primus, et nemini secundus apparet. Jam persuadendi quoque vim, ac jucunditatem cum perspicuitate amat, atque ita ejus fluit oratio, quasi ultro, tanquam e fonte rivulus, scaturiret. Verisimilitudine autem usque eo est usus, ut si quis ejus sermones pro civilis orationis exemplo sibi proposuerit, in iisque sese exercuerit (modo ne eorum, quæ huc conferunt,

ΡΛΘ΄.

Ἀθανασίου τοῦ μεγάλου ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστὴν καὶ εἰς τὰ Ἄσματα τῶν ἀσμάτων.

Ἀνεγνώσθη τοῦ μεγάλου Ἀθανασίου Ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστὴν καὶ εἰς τὰ Ἄσματα τῶν ἀσμάτων. Σαφὴς [17] μέν ἐστιν, ὥσπερ πανταχοῦ τῶν λόγων αὐτοῦ, εἰς μέντοι τὴν χάριν καὶ τὸ κάλλος τῶν ἐπιστολῶν, αἳ τὴν ἀπολογίαν αὐτῷ τῆς φυγῆς καὶ τὰ περὶ αὐτὴν ἐξεργάζονται [18], οὔτε τόδε τὸ βιβλίον, ἀλλ' οὐδ' ἄλλο τι, ὅσα ἐμὲ τῶν αὐτοῦ εἰδέναι, οὐδὲν ἀναφέρεται [19].

ΡΜ΄.

Τοῦ αὐτοῦ κατὰ τῶν τοῦ Ἀρείου δογμάτων ἡ πενταβιβλος.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου ἡ Κατὰ Ἀρείου καὶ τῶν αὐτοῦ δογμάτων πενταβιβλος. Τὴν μὲν [20] φράσιν σαφής τέ ἐστιν, ὡς καὶ ἐν πᾶσι, καὶ ἀπέριττος καὶ ἀφελής, δριμὺς δὲ [21] καὶ βαθὺς καὶ λίαν τοῖς ἐπιχειρήμασιν εὔτονος. Καὶ τὸ γόνιμον δὲ αὐτοῖς ἡλίκον ὅσον καὶ θαυμάσιον. Λογικαῖς τε μεθόδοις οὔτι [22] γυμνῶς καὶ ἀπὸ τῶν [23] ἐκεῖθεν λέξεων, ὥσπερ οἱ παῖδες καὶ ἀρτιμαθεῖς μειρακιώδη φιλοτιμίαν ἐπιδεικνύμενοι πράττουσιν, ἀλλ' ἐμφιλοσόφως τε καὶ μεγαλοπρεπῶς καὶ ταῖς ἐννοίαις μόναις, καὶ ταύταις διεσχηματισμέναις, ἀποκέχρηται, Γραφικαῖς τε μαρτυρίαις καὶ ἀποδείξεσιν εἰς τὸ χαρτερὸν κατωχύρωναι. Καὶ ἁπλῶς ἀρκεῖ τὸ βιβλίον τοῦτο κατὰ πάσης Ἀρειανῆς παρατάξεως. Καὶ εἴ τις τὸν Θεολόγον Γρηγόριον καὶ τὸν θεῖον Βασίλειον ἐκ ταύτης ὥσπερ ἀπὸ [24] πηγῆς ἀρυσαμένους φαίη τῆς βίβλου τοὺς καλοὺς ἐκείνους [317 R.] καὶ διειδεῖς τῶν οἰκείων λόγων κατὰ τῆς πλάνης ῥεῦσαι ποταμοὺς, οὐκ ἂν, οἶμαι, σφαλείη τοῦ παραδείγματος.

ΡΜΑ΄.

Βασιλείου τοῦ μεγάλου εἰς τὴν Ἑξαήμερον.

Ἀνεγνώσθη Βασιλείου τοῦ θεσπεσίου τὰ εἰς τὴν Ἑξαήμερον. Ἄριστος μὲν [25] ἐν πᾶσι τοῖς αὐτοῦ λόγοις ὁ μέγας Βασίλειος · λέξει τε γὰρ καθαρᾷ καὶ εὐσήμῳ καὶ κυρίᾳ καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινός, εἴ τις ἄλλος, χρήσασθαι, νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος, ἀλλ' οὐδενὸς δεύτερος ἆδεται [26]· πιθανότητος δὲ καὶ γλυκύτητος καὶ γελαμπρότητος ἐραστὴς, καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον. Καὶ τῷ πιθανῷ δὲ [27] ἐπὶ τοσοῦτον ἦκεν ἀποκεχρημένος, ὡς εἴ τις πολιτικοῦ λόγου τοὺς αὐτοῦ λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐκμελετῴη, μηδὲ τῶν

VARIÆ LECTIONES.

[16] ἀκοῦσαι A. [17] σαφὴς A : καὶ σαφὴς ς. [18] αἳ — ἐξεργάζονται A : αἷς — ἐξεργάζεται ς. [19] ἄρα φέρεται ς. [20] μέν A : μέν οὖν ς. [21] δὲ add. A. [22] οὔτε ς. [23] τῶν add. A. [24] ἀπὸ add. A. [25] μέν A : δέ ς. [26] ᾄδεται an εἴδεται habeat A non liquet : εἴδεται C : om. ς. [27] δὲ om. A.

NOTÆ.

(32) Lectæ sunt sup. codic. 32.

(33) Plutarchi libellum, *De animantium natura*, magnam partem æmulum. Sicut vicissim B. Ambrosius, *De opere sex dierum*, tractatum ab hoc Basilio est mutuatus.

εἰς τοῦτο συντελούντων δηλονότι νόμων ἄπειρος ὑπάρχων, οὐδενὸς [28] αὐτὸν ἑτέρου δεήσεσθαι οἶμαι, οὔτε Πλάτωνος οὔτε Δημοσθένους, οἷς οἱ παλαιοὶ ἐνδιατρίβειν προτρέπονται, εἰς τὸ πολιτικόν τε καὶ πανηγυρικὸν ῥήτορα γενέσθαι.

PMΒ΄.

Τοῦ αὐτοῦ Ἠθικοὶ λόγοι.

[169 H.] Ἀνεγνώσθησαν αὐτοῦ καὶ οἱ λεγόμενοι Ἠθικοὶ λόγοι, ἐν οἷς ἅπασιν ἡ προειρημένη ἀρετὴ τῶν λόγων μάλιστα διαφαίνεται.

PMΓ΄.

Τοῦ αὐτοῦ Ἐπιστολαί.

Ἀνεγνώσθησαν δὲ αὐτοῦ καὶ Ἐπιστολαί, αἵ τε κανονικαὶ καὶ τὸ ἄλλο πλῆθος, ἃς διαφόροις ἐπέστειλεν· ἐξ ὧν τό τε ἦθός ἐστι τοῦ ἀνδρὸς, οἷόν τινα ἦν ἀξιάγαστον, χαρακτηρίσαι, καὶ κανόνα λαβεῖν ἂν ἄλλως [29] τις μὴ ἔχῃ, ἐπιστολιμαίου χαρακτῆρος [30].

PMΔ΄.

Τοῦ αὐτοῦ Ἀσκητικά.

Ἀνεγνώσθη καὶ τὰ Ἀσκητικά, ἤγουν [31] ἀσκότικῆς πολιτείας ὑποθῆκαι, καθ' ἃς τις βιοὺς τὴν οὐράνιον οἰκήσει βασιλείαν. Ἔν μέντοι [32] παρηλλαγμένον ἔστιν ἰδεῖν, τὸ κεχρῆσθαι αὐτὸν ἐμφάσεσιν ἐν πολλοῖς κεφαλαίοις.

PMΕ΄.

Ἑλλαδίου Λεξικόν.

Ἀνεγνώσθη Λεξικὸν κατὰ στοιχεῖον Ἑλλαδίου, ὧν ἴσμεν λεξικῶν πολυστιχώτατον. Οὐ λέξεων δὲ μόνον ἡ συναγωγὴ, ἀλλ' ἐνίοτε καὶ κομματικῶν τινων χαριεστάτων λόγων καὶ εἰς κῶλου πολλάκις σύνθεσιν ἁπαρτιζομένων. Πεζοῦ δὲ λόγου ἐστὶ τὸ πλεῖστον τῶν λέξεων, ἀλλ' οὐχὶ ποιητικοῦ, ὥσπερ ἡ Διογενιανῷ ἐκπονηθεῖσα συλλογή· οὐδὲ κατὰ πάσας τὰς συλλαβὰς τὴν τοῦ στοιχείου τάξιν φυλάττει, ἀλλὰ κατὰ μονὴν τὴν ἄρχουσαν. Πολύστιχος δὲ οὕτως ἡ συλλογὴ, ὥστε μηδ' εἰς πέντε σύμμετρα τεύχη τὴν ὅλην πραγματείαν ἀπαρτίζεσθαι· ἡμεῖς δ' ἐν ἑπτὰ τεύχεσιν αὐτῇ ἐνετύχομεν. [320 R.] Χρήσιμον δὲ τὸ βιβλίον τοῖς τε [33] συγγράφουσι καὶ τοῖς ἄλλως πολυμαθίαν τιμῶσιν· ἔχει γὰρ καὶ μαρτυρίας ῥητόρων τε καὶ τῶν εἰς ποιητικὴν μέγα κλέος ἐχόντων.

PMϚ΄.

Λεξικὸν τῆς καθαρᾶς ἰδέας.

Ἀνεγνώσθη Λεξικὸν κατὰ στοιχεῖον καθαρᾶς ἰδέας. Μέγα καὶ πολύστιχον τὸ βιβλίον, μᾶλλον δὲ πολύβιβλος ἡ πραγματεία. Καὶ χρήσιμον, εἴπερ τι ἄλλο, τοῖς τὸν χαρατῆρα μεταχειριζομένοις τῆς τοιαύτης ἰδέας.

præceptionum rudis sit), nullum alium præterea, quantum quidem existimo, desideraturus esse videatur ; non ipsum quoque Platonem, sive Demosthenem, quos tamen versandos antiqui præcipiunt iis, qui in oratores civiles ac panegyricos evadere cupiant.

CXLII.

Ejusdem Orationes ethicæ.

Legimus ejusdem et *morales orationes* : in quibus omnibus supradicta dicendi virtus maxime elucescit.

CXLIII.

Ejusdem Epistolæ.

Leguntur ejusdem *Epistolæ* cum canonicæ, tum reliquæ, sane multæ, ad varios missæ. Ex his et viri mores, quam admirandi fuerint, facile appareret, et norma esse queant (si alia nulla suppetat) conscribendarum epistolarum.

CXLIV.

Ejusdem Ascetica.

Legimus et *Ascetica* (34), hoc est monasticæ vitæ præceptiones : ex quarum quidem præcepto qui vixerit, cœlesti certe regno aliquando potiatur. Hic unum illud insolitum videas, quod in plerisque capitibus indicationibus (35) sit usus.

CXLV.

Helladii Lexicon.

Legi *Lexicon* (35*) Helladii alphabeti serie conscriptum, maximum eorum quæ novimus Lexicorum, non verborum duntaxat in eo **99***a* facta collectione, sed interdum etiam incisorum quam elegantissimorum, quæ et perfecta cola non raro adæquent. Voces autem ipsæ maximam partem e soluta sunt oratione, non evincta numeris, quales habet Diogeniani (36) collectio. Nec item hic ordinem alphabeti per singulas servavit syllabas, sed in ipso duntaxat vocabuli principio. In immensum plane crevit hæc congeries, ut nec quinque justis voluminibus opus integrum contineri queat ; nos illud in septem divisum partes nacti sumus. Scribentibus sane perutilis liber, quique variam rerum cognitionem consectantur. Nam et oratorum adhibet testimonia, et eorum præterea, qui in poetica magnam sunt laudem consecuti.

CXLVI.

Lexicon puræ ideæ.

Lexicon legi *ideæ puræ* litterarum ordine. Magnus et hic liber, ut multi potius, quam unus esse videatur. Utilis autem, si quis alius, iis est, qui hanc ideam tractant.

VARIÆ LECTIONES.

[28] οὐδενος A : καὶ οὐδενός ϛ. [29] ἄλλως] ἄλλον Casaubonus. [30] ἐπιστολιμαίους χαρακτῆρας ϛ. [31] ἤγουν om. A. [32] ἔν μέντοι[ἐν μὲν τοῖς A. [33] τε et infra ἐστιν add. A.

NOTÆ.

(34) Quæ a multis Eustathio Sebastiensi episcopo tribui refert Niceph. lib. IX, cap. 10, et rursus lib. XIII, cap. 29.

(35) Ἐμφάσεσι, quæ summa quædam capita sunt quæstionum brevius aut fusius tractandarum.

(35*) Ejusdem Helladii Χρηστομαθειῶν librorum quatuor excerpta habes infr. cod. 279, quem scriptorem forsitan indicatum voluit Stephan. in Βηρύτος. Plura de eo Suidas.

(36) Libros huic 5, redactis in compendium 400 et 5, Pamphili cujusdam de vocabulis opere, tribuit Suid.

CXLVII.

Lexicon gravis styli.

Legi *ideæ gravioris Lexicon*, quod ipsum quoque in immensum crevit, ut legentibus aptius fore arbitrer, si in duos opus illud aut tres tomos distribuatur. Digestum item est litterarum ordine, patetque utile esse iis qui sublimi tumidoque dicendi genere excellere studio habent.

CXLVIII.

Lexicon sermonis politici.

Vidimus *Lexicon civilis sermonis* seorsim, tribus voluminibus, ingens plane opus ac vastum. Utilissimum, si quod aliud, ad præclare rem suam agendam, et ex quo facillime objectiones suppetant. Non enim nunc ediscere, sed adnotare tantum hic voces, quibus indigeat, legentem oportet: qui quidem non omnino in antiquis scriptoribus legendis hospes sit. Alphabeti ordine hoc item opus contextum est.

CXLIX.

Pollionis Lexicon.

Legimus et Pollionis (37) *Lexicon* alphabeticum. Plurimas quidem voces poeticas continet: pauciores tamen quam Diogenianus, cujus duplo majus opus.

CL.

Juliani, Philostrati Tyrii, et Diodori Lexicon e decem oratoribus.

Legi Juliani *Lexicon*, vocum e decem Græciæ oratoribus alphabeti serie collectarum. Immensus vero hic item liber, qui cum voces omnium, quæ apud Athenienses (38) **99***b* certa atque constituta habebantur, explicat, tum quidquid ad privatam ipsorum historiam pertinens rhetores hi adhibuerunt, sive patrio aliquo more usurparunt. Illud certe manifestum, ad oratorias conciones legendas hoc opus plurimum conferre posse.

Incidimus autem, et in Philostrati Tyrii (39) ejusdem argumenti non ignobile opus: etsi præstantior tamen hic Juliani labor.

Juliano præterea in nullo inferior Diodorus quoque idem argumentum tractavit, nisi quod testimonia plerumque Julianus advocat. Uter vero tempore prior sit (alter enim alterum descripsisse, et non ab utroque separatim collectum opus videtur), uter, inquam, ab altero mutuatus sit non habeo dicere.

CLI.

Timæi Lexicon vocum Platonicarum.

Lectum est Timæi ad Gentianum *De vocibus*

A

PMZ′.

Λεξικὸν σεμνῆς ἰδέας.

Ἀνεγνώσθη Λεξικὸν σεμνῆς ἰδέας. Εἰς μέγεθος ἐξετείνετο τὸ τεῦχος, ὡς ἄμεινον εἶναι δυσὶ μᾶλλον τεύχεσιν ἢ τρισὶ τοῖς ἀναγινώσκουσι τὸ φιλοπόνημα περιέχεσθαι. Κατὰ στοιχεῖον δὲ ἡ πραγματεία, καὶ δῆλον ὡς χρησίμη τοῖς εἰς μέγεθος καὶ ὄγκον ἐπαίρειν τοὺς λόγους αὐτῶν ἐν τῷ συγγράφειν ἐθέλουσιν.

PMH′.

Λεξικὸν τοῦ πολιτικοῦ λόγου.

Ἀνεγνώσθη Λεξικὸν ἰδίως λόγου πολιτικοῦ, ἐν τρισὶ τεύχεσι πολυστίχοις. Αὕτη ἡ πραγματεία πλήθει μέν ἐστι πολλή, κατορθωθῆναι δὲ χρησιμωτάτη, καὶ ῥάστη δὲ εἰς ἀντίληψιν, εἴ τις ἄλλη· οὐ γὰρ νῦν μανθάνειν, ἀλλὰ μόνον ἀποσημειώσασθαι τὰς ἐν αὐτῇ λέξεις τὸν ἀναγινώσκοντα θεήσει, εἴπερ μὴ παντάπασίν ἐστιν ἀνήκοος παλαιῶν ἀναχνωσμάτων. Κατὰ στοιχεῖον δὲ καὶ ὁ πόνος οὗτος.

B

PMΘ′.

Λεξικὸν Πολλίωνος.

Ἀνεγνώσθη Πολλίωνος [34] Λεξικὸν κατὰ στοιχεῖον. Ἔχει πλείστας μὲν [35] ποιητικὰς λέξεις, ἧττον δὲ Διογενιανοῦ· εἰς τὸ διπλάσιον δὲ αὐτῷ τῆς ἐκείνου πραγματείας τὸ φιλοπόνημα παρατείνεται.

PN′.

Λεξικὸν τῶν παρὰ τοῖς δέκα ῥήτορσι κεχρημένων, τοῦ Ἰουλιανοῦ, καὶ Φιλοστράτου Τυρίου, καὶ Διοδώρου.

C

[170 H.] Ἀνεγνώσθη λεξικὸν Ἰουλιανοῦ τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων κατὰ στοιχεῖον. Πολύστιχον δὲ καὶ τοῦτο τὸ βιβλίον, καὶ τῶν τε παρ' Ἀθηναίοις δικῶν [36] ἑρμηνεῦον τὰ ὀνόματα, καὶ εἴ τι καθ' ἱστορίαν ἰδιάζουσαν αὐτοῖς οἱ ῥήτορες παρειλήφασιν ἢ κατά τι πάτριον ἔθος ἐπεχρήσαντο. Δῆλον δ' ὅτι εἰς τὰς τῶν ῥητορικῶν λόγων συναναγνώσεις τὰ μέγιστα ἡ πραγματεία συμβάλλοιτ' ἄν.

Ἐνετύχομεν δὲ καὶ Φιλοστράτου Τυρίου εἰς τὴν αὐτὴν ὑπόθεσιν οὐκ εὐδοκίμῳ σπουδάσματι· ἀλλ' ἄμεινον ὁ Ἰουλιανὸς διεπόνησεν.

D

Οὐδὲν δὲ ἧττον Ἰουλιανοῦ καὶ Διόδωρος εἰς τὴν αὐτὴν ὑπόθεσιν διεπραγματεύσατο· πλὴν Ἰουλιανῷ ἡ τῶν μαρτυριῶν χρῆσις ἐπὶ πλέον παρατίθεται. Ὅστις δὲ χρόνῳ τῶν δύο πρεσβύτερος (δοκεῖ γὰρ ὥσπερ μεταγραφὴ θατέρῳ τὸ σπούδασμα, ἀλλ' οὐχὶ ἰδία ἑκατέρῳ αὐτῶν [37] συνειλέχθαι), ἀλλὰ τὶς ἐξ ἄλλου μετέγραψε, τέως οὐκ ἔχω λέγειν.

PNA′.

Τιμαίου Λεξικὸν περὶ τῶν παρὰ Πλάτωνι λέξεων.

[321 R.] Ἀνεγνώσθη Τιμαίου πρὸς Γαιτιανὸν [38]

VARIÆ LECTIONES.

[34] Πολίωνος, AC, A, quidem ante lacunam litterarum 12 Ἀλεξανδρέως inserit Hoeschelius. [35] μὲν om. A. [36] δικῶν A. ῥητῶν ς. [37] αὐτῶν add. A. [38] Γεντιανόν.

NOTÆ.

(37) Alexandrini illius philosophi, cujus mentio apud Suidam suo loco, et in Diodoro Valerio.

(38) Hujus etiam historiam de Vita Apollonii Tyanei habes supr. cod. 44, et excerpta infr. cod. 241; Suidas tamen Τὰ ζητούμενα παρὰ τοῖς ῥήτορσι Philostrati Lemnio tribuit.

(33) Cognomento *Valerius*, Pollionis F., de quibus videndus Suidas.

περὶ τῶν παρὰ Πλάτωνι λέξεων κατὰ στοιχεῖον βραχὺ πονημάτιον ἐν ἑνὶ λόγῳ.

PNB'.

Αἰλίου Διονυσίου Ἁλικαρνασσέως Ἀττικῶν Ὀνομάτων λόγοι.

Περιείχετο [39] δὲ τῷ τεύχει καὶ Αἰλίου Διονυσίου Ἁλικαρνασσέως Ἀττικῶν Ὀνομάτων τῆς πρώτης ἐκδόσεως λόγοι πέντε, ἀπὸ τοῦ α μέχρι τοῦ ω τὰς Ἀττικὰς λέξεις κατὰ στοιχεῖον ἀναγράφοντες. Σκύμνῳ δὲ τὸ σύνταγμα προσφωνεῖ. Χρησιμώτατος δ' ὁ πόνος οὗτος τοῖς τε ἀττικίζειν ἔχουσι φροντίδα καὶ τοῖς τῶν Ἀττικῶν συγγράμμασιν ἐνομιλεῖν προαιρουμένοις. Ὅσαι τε γὰρ ἐπιχωριάζουσι λέξεις τοῖς Ἀθηναίοις περί τε τὰς ἑορτὰς καὶ τὰς δίκας, ἐντεῦθεν ἔστιν ἐκμαθεῖν· καὶ εἴ τι ἄλλο ἰδιοτρόπως αὐτοῖς λέγεται, οὐ χαλεπὸν εὑρεῖν, μάλιστα εἴ τις μὴ τοὺς τῆς πρώτης ἐκδόσεως μόνον τόμους διερευνῴη ἀλλὰ καὶ τῆς δευτέρας ἐκδόσεως, καὶ αὐτοὺς πέντε τόμους ὄντας, καὶ ἀπὸ τοῦ α μέχρι τοῦ ω τὰς Ἀττικὰς λέξεις περιέχοντας, ὅσαι γε [40] τῇ προτέρᾳ [41] οὐ συμπεριελήφθησαν ἢ περιελήφθησαν μέν, μαρτυρίαις δὲ ταῖς οὔσαις οὐκ ἐβεβαιώθησαν· ἐν γὰρ τῇ δευτέρᾳ ἐκδόσει πλατύτερόν τε [42] καὶ ἀφθονώτερον [43] αἱ μαρτυρίαι παρατέθειναι. Ὧν εἴ τις τὰς δύο πραγματείας εἰς ἓν συναγαγεῖν σύνταγμα [44] βουληθείη, χρησιμώτερόν τε τὸ φιλοτέχνημα ἐπιδείξει καὶ μετὰ ῥᾳστώνης ἐκτελέσει.

PNΓ'.

Παυσανίου Λεξικόν.

Ἀνεγνώσθη δὲ ἐν τῷ αὐτῷ τεύχει Παυσανίου Λεξικὸν κατὰ στοιχεῖον, οὐδὲν ἔλαττον τῶν προειρημένων εἰς τὰς Ἀττικὰς συναναγνώσεις χρήσιμον, εἰ μὴ καὶ μᾶλλον. Εἰ γὰρ καὶ ταῖς μαρτυρίαις ἐνδεέστερον ἔχει, ἀλλ' οὖν ἔν τισι τῶν στοιχείων πολὺ ταῖς λέξεσι πλεονάζει, ὡς ἀμφοτέραις ἅμα ταῖς Αἰλίου Διονυσίου Ἁλικαρνασσέως πραγματείαις τὴν μίαν ταύτην, (καίτοι τῶν χρήσεων ἐπ' ἔλαττον ὡς ἔφημεν ἀπτομένην), ἐξισάζεσθαι τῷ τῆς γραφῆς ὄγκῳ. Εἰ δέ τις ἐκείναις ταῖς δυσὶν ἐκδόσεσιν καὶ τὴν Παυσανίου ἐγκατατάξας ἓν ἀπεργάσαιτο [45] σύνταγμα (ῥᾷστον δὲ τῷ βουλομένῳ) οὗτος ἂν εἴη τὸ κάλλιστον καὶ χρησιμώτατον τοῖς ἀναγινώσκουσι τὰς Ἀττικὰς βίβλους σπούδασμα εἰσενηνεγμένος [46].

PNΔ'.

Βοηθοῦ Λέξεων Πλατωνικῶν Συναγωγή.

[171 H.] Ἀνεγνώσθη δ' ἐν τῷ αὐτῷ τεύχει καὶ Βοηθοῦ Λέξεων Πλατωνικῶν Συναγωγὴ κατὰ στοιχεῖον, πολλῷ τῆς [47] Τιμαίου συναγωγῆς χρησιμώτερον. Προσφωνεῖ δὲ Μελάντᾳ τινὶ τὸ συνταγμάτιον.

PNE'.

Τοῦ αὐτοῦ περὶ τῶν παρὰ Πλάτωνι ἀπορουμένων λέξεων.

Συνετάγη δὲ αὐτῷ καὶ ἕτερόν τι Ἀθηναγόρᾳ

apud Platonem alphabeti serie, breve opusculum libri unius.

CLII.

Ælii Dionysii Halicarnassei Dictionum Atticarum libri x.

Continebat idem volumen et Ælii (40) Dionysii Halicarnassei *Atticorum Verborum* primæ editionis libros quinque : in quibus a prima littera ad ultimam usque Atticas voces elementorum serie collegit. Dedicat opus illud Scymno, laborque hic iis perutilis exsistit, qui Atticæ linguæ studio tenentur, et in Atticis versantur scriptoribus. Quæcunque enim Atheniensibus patrio more vocabula cum in festis, tum in foro usitata sunt, hinc haurire licet ; imo et si quid aliud proprie illi usurpant, facile hic reperias. Idque adeo maxime, si quis non primæ editionis tantum tomos scrutetur, sed et secundæ, quæ et ipsa libros quinque continet, et ab A usque ad Ω Attica nomina complectitur, quæ prima editio non continebat quidem : sed aptis ea scriptorum testimoniis non confirmabat. Copiosius enim in secunda editione, uberiusque veterem loca laudata adhibentur. Quare si quis ex utraque editione unam fabrefecerit, næ ille utilissimum opus nullo negotio exhibuerit.

CLIII.

Pausaniæ Lexicon.

Legi in hoc ipso volumine **100***a Lexicon* Pausaniæ (41), litterarum serie concinnatum, nihilo illis prioribus minus Atticæ linguæ studiosis utile futurum, imo et magis. Etsi enim testimoniorum minus afferat, in quibusdam tamen alphabeti litteris plures habet voces, ut cum utroque Ælii Dionysii Halicarnassei opere unum hoc (etsi testimoniorum minus, ut diximus, adhibeat) mole saltem ipsa adæquare liceat. Si vero quis Ælii duabus illis editionibus Pausaniæ quoque librum adjiciens unum corpus effecerit (et facile conanti fuerit) pulcherrimum hic opus, et utilissimum scriptores Atticos versanti, elaboraverit.

CLIV.

Boethi Vocum Platonicarum Collectanea.

Legimus in eo ipso codice, et Boethi *Vocum Platonicarum Collectanea*, serie litterarum. Utilius longe hoc opus Timæi Collectione, Melaniæ cuidam inscriptum.

CLV.

Ejusdem opusculum de dubiis apud Platonem vocibus.

Conscripsit et alterum *Opusculum* Athenagoræ

VARIÆ LECTIONES.

[39] περιείχοντο ς. [40] γε] libri τε. [41] προτεραίᾳ ς. [42] τε add. A. [43] ἀφθονέστερον apographum Stephani. [44] σύνταγμα συναγαγεῖν. [45] ἀπειργάσατο A. [46] εἰσενεγκάμενος ς. supra (p. 89 *b* 10) εἰσὶ τὸν ἀγῶνα εἰσενηνεγμένοι. [47] τῆς add. A.

NOTÆ.

(40) Quem sæpius advocat Eustath. in Hom.

(41) Citatur identidem ab Eustath.

nuncupatum, cui titulus : *De dubiis apud Platonem vocibus*. Horum libellorum si quis vocabula in unum conferens componat, compositasque Timæo addiderit, is sane magnam Platonis lectoribus utilitatem attulerit.

προσφωνούμενον σπουδασμάτιον, ὃ Περὶ τῶν παρὰ Πλάτωνι ἀπορουμένων λέξεων ἐπιγράγει. Ὧν εἴ τις τὰς λέξεις εἰς ἕν συναγάγοι, συνεντάσσων καὶ τὰς συνηγμένας Τιμαίῳ, ἀπηρτισμένην τὴν ὠφέλειαν παράσχοι [48] τοῖς τὰ Πλάτωνος ἀναγινώσκειν ἐθέλουσιν.

CLVI.

Dorothei de vocibus externorum more usurpatis libellus.

Lectus ibidem Dorotheus *De externorum more usurpatis vocibus*, alphabeti ordine ; quod item utilissimum esse studiosis opus apparet.

PNϛ'.

Δωροθέου περὶ τῶν ξένως εἰρημένων λέξεων.

[324 R.] Ἀνεγνώσθη δὲ ἐν τῷ αὐτῷ καὶ Δωροθέου Περὶ τῶν ξένως εἰρημένων λέξεων κατὰ στοιχεῖον. Δῆλον δὲ ὡς οὐκ ἄχρηστον τοῖς φιλοπόνοις τὸ σύνταγμα.

CLVII.

Mœridis Atticista.

Lectus ad hæc etiam Mœridis (42) *Atticista* : qui libellus et ipse litterarum serie decurrit.

PNZ'.

Μοίριδος ἀττικιστής.

Ἔτι δὲ καὶ Μοίριδος Ἀττικιστής· κατὰ στοιχεῖον δὲ καὶ τοῦτο τὸ πονημάτιον.

CLVIII.

Phrynichi Arabi Apparatus oratorii libri XXXVI.

Legi Phrynichi (43) Arabii *Oratorii apparatus* libros sex et triginta. Collectio est vocum atque incisorum, etsi ex his aliqua, quæ nimirum venuste, et cum novitate non indecenter dicta atque composita fuere, ad membra etiam integra extendantur. Horum pleraque et in Helladii Collectaneis reperias licet : sed ea passim ibi in vasta illa congerie dispersa jacent, hic vero simul id genus collecta. Quando et Phrynicho talia congerere propositum fuit, et Helladius, si quid hujusmodi, dum vocabula simpliciter accumulat, **100***b* in communem vocabulorum librum retulit, id tantum cum cæteris una inclusum, ibique relictum voluit. Alphabeti autem hæc etiam ordine digeruntur.

Floruit hic scriptor, imperante Romæ Marco Antonino Augusto ejusque filio Commodo, cui etiam operis initium ita inscribit : « Commodo Cæsari Phrynichus Salutem. » Commodo itaque librum dedicans, dum in sua ad eum Præfatione ad discendi studium hortatur, et opus hoc verbis extollit, septem sese ait supra triginta in illum usque diem composuisse libros, quos et imperatori obtulerit, seque alios totidem præter hos editurum promittit, si longior vitæ usura daretur. Horum nos sex tantum et triginta (44), uti dictum est, legimus, a prima littera ad extremam usque deductos.

Etsi vero imperatori eos libros se offerre ait, variis tamen eosdem nuncupasse constat. Confestim enim primum illorum Aristocli cuidam mittit, eumque velut ludum quemdam natali Aristo-

PNH'.

Φρυνίχου Ἀραβίου σοφιστικῆς Παρασκευῆς λόγοι λς'.

Ἀνεγνώσθησαν Φρυνίχου Ἀραβίου [49] σοφιστικῆς Παρασκευῆς λόγοι λς'· ἔστι δὲ τὸ βιβλίον λέξεών τε συναγωγὴ καὶ λόγων κομματικῶν, ἐνίων δὲ καὶ εἰς κῶλα παρατεινομένων τῶν χαριέντως τε καὶ καινοπρεπῶς εἰρημένων τε καὶ συντεταγμένων. Πολλὰ δὲ αὐτῶν ἔστι καὶ ἐν τῇ Ἑλλαδίου τῶν λέξεων εὑρεῖν συλλογῇ, ἀλλ' ἐκεῖ μὲν διεσπαρμένα ἐν τῷ πλήθει τῆς συναγωγῆς, ἐνταῦθα δὲ ὁμοῦ τὰ τοιαῦτα συνηγμένα, ἐπεὶ καὶ Φρυνίχῳ μὲν τὰ τοιαῦτα συναγαγεῖν γέγονε σκοπός, Ἑλλάδιος δὲ λέξεις ἀθροίζων ἁπλῶς, καὶ εἴ τι τῶν τοιούτων συνέταξε, τῷ κοινῷ λόγῳ τῶν λέξεων καί ταῦτα συμπεριειλημφώς ἐναπέθετο. Κατὰ στοιχεῖον δὲ καὶ αὕτη ἡ συναγωγή.

Ἦκμασε δὲ ὁ ἀνὴρ ἐν τοῖς χρόνοις Μάρκου βασιλέως Ῥωμαίων καὶ τοῦ παιδὸς αὐτοῦ Κομμόδου, πρὸς ὃν καὶ τὴν ἀπαρχὴν [50] τοῦ συντάγματος ποιεῖται ἐπιγράφων· « Κομμόδῳ Καίσαρι Φρύνιχος χαίρειν. » Ἀλλὰ Κομμόδῳ τὸ βιβλίον προσφωνῶν, κἀκείνῳ προοιμιαζόμενος, καὶ παραίνεσιν φιλομαθίας [51] κατατιθέμενος, καὶ ἐξαίρων τῷ λόγῳ τὸ βιβλίον, ἐν οἷς λέγει λζ' αὐτῷ μέχοι τοῦ [52] τότε καιροῦ συντετάχθαι λόγους, οὓς καὶ ἀναθέσθαι λέγει τῷ βασιλεῖ, ἐπαγγέλλεται καὶ ἄλλους τοσούτους φιλοπονήσεθαι τῆς ζωῆς αὐτὸν οὐκ [53] ἀπολιμπανούσης. Ἡμεῖς δὲ, ὡς ἔφημεν, ἓξ καὶ τριάκοντα μόνους ἀνέγνωμεν, ἀπὸ τοῦ α περιλαμβάνοντας μέχρι τοῦ ω.

Ἀλλ' εἰ καὶ τῷ βασιλεῖ φησι τοὺς λογους ἀναθεῖναι, ὅμως διαφόροις αὐτοὺς φαίνεται προσπεφωνηκώς. Αὐτίκα [54] τὸν πρῶτον αὐτὸν τοῦτον [55] λόγον Ἀριστοκλεῖ τινι γράφει, παιδιάν τινα τῇ γενεθλίῳ

VARIÆ LECTIONES.

[48] παράσχοιτο τὴν ὠφέλειαν ϛ. [49] ἀράβιου ϛ. [50] ἀρχὴν ϛ. [51] φιλομαθείας ϛ. [52] τοῦ om. A. οὐ καταλιμπανούσης ϛ. [54] αὐτίκα] καὶ αὐτίκα ϛ. [55] αὐτῶν τούτων ϛ.

NOTÆ.

(42) Exstare fertur in Vaticana pontificis Bibliotheca.

(43) Lege Petri Nunnesii Præfat. ad Phrynici Atticistæ Epitomen, et Suid.

(44) Suidas septem et quadraginta numerat.

ἡμέρᾳ τοῦ Ἀριστοκλέους ἁρμόττουσαν φιλοτιμούμενος γενέσθαι τὴν γραφὴν καὶ συμπαίστην [56] ὑπάρχειν αὐτόν. Ὡσαύτως δὲ καὶ τὸν δεύτερον λόγον αὐτῷ προσφωνεῖ, καὶ δὴ καὶ τὸν τρίτον. Τὸν δὲ τέταρτον Ἰουλιανῷ τινι συμπολίτῃ καὶ φίλῳ προσφωνεῖ, καί φησιν ὅτι Ἀριστοκλεῖ μὲν ἐξ ἀρχῆς ὥριστο ἡ πραγματεία προσειρῆσθαι, ἐπεὶ δὲ ἐκεῖνος βασιλικῷ δόγματι τῆς ἐν Ῥώμῃ μεγάλης βουλῆς ἐγένετο [57] κοινωνός, τοῦτον ἀντ' ἐκείνου καὶ φίλον καὶ συνουσιαστὴν τῶν καλῶν λαβεῖν, καὶ αὐτῷ καὶ κριτῇ καὶ ἐπιγνώμονι χρῆσθαι τῶν συγγραφομένων [172 H.] Ἀλλ' οὕτως εἰπὼν καὶ ὑποσχόμενος τὸν πέμπτον ὅμως λόγον Μηνοδώρῳ τινὶ φίλῳ τε καὶ πεπαιδευμένῳ ἀνδρὶ προσφωνεῖ, ὃς καὶ κίτίαν ἐπήνεγκεν αὐτῷ τοῦ ἐνδεῶς εἰρῆσθαι τὸ πρὸ τούτου περὶ κρίσεως [58] ὀνομάτων πρόβλημα· [325 R.] ἐπιτάξαντος δὲ Μηνοδώρου λέγει τὸν λόγον συντάττειν, ὑστερῆσαι δὲ, ὅτι τρία νοσήματα αὐτῷ συμπεσεῖν συνέβη, τὴν σύντροφον τῷ γήρᾳ στραγγουρίαν, καὶ διωλύγιόν τινα καὶ μακρὰν φρενῖτιν, καὶ διὰ γαστρὸς αἵματος ῥύσιν καὶ ἔτι δὲ καὶ ἕτερα πλεῖστα τῶν ἀῤῥωστημάτων· ἂν μέντοι τῶν νοσημάτων ἀπαλλαγείς ἐπιβιώῃ, καὶ τὸ νῦν ἐπίταγμα ἐς πέρας ἀγαγεῖν ὑπισχνεῖται, καὶ εἴ τι ἄλλο προστάττοι φιλοκαλίας τε καὶ πολυμαθείας καὶ καινότητος ἐχόμενον. Ἀλλὰ καὶ τὸν ἕκτον λόγον τῆς σοφιστικῆς ταύτης παρασκευῆς ἄλλῳ τινὶ πάλιν Τιβερίνῳ προσφωνεῖ.

Καὶ δὴ καὶ τὸν ἕβδομον ἑτέρῳ Μηνοφίλῳ, ὃν καί φησι παιδείας εἰς ἄκρον ἥκοντα καὶ ῥήσεις ὁλοκλήρους πρὸς τὰς ἀποδείξεις συντελούσας τοῦ ἕκτου λόγου τῆς Σοφιστικῆς Παρασκευῆς παραθεῖναι, καὶ προτρέπειν καὶ αὐτὸν ἐπὶ πλεῖστον ταύτας ἀθροίζειν τοῖς συγγράμμασι. Τὸν μέντοι ὄγδοον πάλιν Ἰουλιανῷ ἀνατίθησι, καὶ αἰτεῖται αὐτὸν, εἴ τι ἀτελῶς εἴρηται, ἅτε δὴ καὶ μετὰ νόσον γράφοντι, ταῦτα διαθεῖναι πρὸς διόρθωσιν. Τὸν δὲ ἔνατον Ῥουφίνῳ, φάσκων αἴτιον μὲν τοῦ [59] ἀπάρξασθαι τῆς συγγραφῆς Ἀριστοκλέα γενέσθαι, τοῦ δὲ ἐπὶ πέρας ἐλθεῖν αὐτὸν αἴτιον [60] ἔσεσθαι, ὅτι ἐντυχὼν τοῖς γεγραμμένοις τό τε χρήσιμον συνιδεῖν ἔσχε καὶ ἐπαινέσειε τὸν πόνον. Τὸν δὲ δέκατον πάλιν ἐπαναστραφεὶς πρὸς Ἀριστοκλέα συντάττει. Ὁ δὲ ἑφεξῆς Μηνοδώρῳ προσπεφώνηται πάλιν, ἐν ᾧ καὶ Ἀριστείδου τοῖς λόγοις (ὥς φησιν) ἐντυχὼν ἄρτι, τότε ἀκμάζοντος, πολὺν τοῦ ἀνδρὸς ἔπαινον ποιεῖται, καὶ Μαρκιανὸν φησι τὸν κριτικὸν [61] συγγραφέα ὑπεροράν μὲν Πλάτωνος καὶ Δημοσθένους τὰς δὲ Βρούτου τοῦ Ἰταλοῦ ἐπιστολὰς προκρίνειν καὶ κανόνα τῆς ἐν λόγῳ ἀρετῆς ἀποφαίνειν. Ταῦτα δὲ οὗτός φησιν οὐχὶ τὴν τοιαύτην κρίσιν ἀποδεχόμενος, ἀλλ' εἰς τὸ μὴ θαυμάζειν εἴ τινες καὶ τῆς Ἀριστείδου δόξης ἐλάττονα τὸν ἄνθρωπον ἡγοῦνται, καὶ τὸν λόγον ἐπαινοῦσιν ὃν ἐπὶ τῷ Ἀριστοκλεῖ πεποίηται.

A clis (45) die accommodum fieri exoptat, quo ille se oblectet. Similiter et alterum librum, imo et tertium eidem inscribit. Quartum dein Juliano cuidam civi suo, atque amico : addens id eo factum, quod Aristocli quidem ab initio opus exhibere destinasset ; at postquam Cæsaris decreto Romæ in intimum consilium ascitus esset, hunc sibi pro illo amicum sociumque honesti laboris adoptasse, quo et judice, et cognitore suorum scriptorum esset usurus. Verum ista locutus, atque pollicitus, quintum tamen subinde librum Menodoro cuidam amico, et erudito viro exhibet : qui et reprehenderat, quod parcius antea illam de nominum inflexione quæstionem agitasset. Jubente ergo Menodoro sententiam dicere, hunc se ait librum conB scripsisse. Serius autem id præstitisse, quod in tria morborum genera incidisset, in urinæ nimirum stillicidium, senectutis comitem, in diuturnum graveque mentis delirium ; et sanguinis e ventre fluxum, morbosque alios quamplurimos. Siquidem autem his aliquando liberatus superesset, et hoc opus ad exitum adducturum se pollicetur, et si quid forte aliud ipse jubeat ab honesta doctaque novitate non alienum. **101***a* At sextum nihilominus librum rhetorici hujus apparatus, iterum alii cuidam Tiberino dedicat.

Ut et septimum alteri Menophilo, quem ad summum eruditionis culmen pervenisse ait, et integras C etiam loquendi formulas suppeditasse, non parum profuturas ad ea comprobanda, quæ sexto hujus *Oratorii Apparatus* libro traduntur. Exhortari ergo etiam hunc ad voces hujusmodi quamplurimas scriptis amplificandas. Octavum rursum Juliano dedicat, rogatque si quid minus perfectum exciderit morbo laboranti, corrigere ne gravetur. Nonum Ruffino inscribens, Aristoclem ait huic causam scriptioni dedisse ; quod autem ad finem eadem deducta sit, ipsum auctorem futurum ; propterea quod nactus ea quæ hactenus erant edita, et utilitatem eorum agnoverit, et laborem probaverit. Decimum porro, graduiterum reducto, ad Aristoclem refert. Sequens quoque Menodoro rursum offertur : ubi et in Aristidæ etiam tum vigentis orationes (46) sese incidisse affirmat, ac virum laudibus in cœlum tollit. Refert D et Marcianum eum qui *Critica* conscripsit, Platone atque Demosthene despecto, Bruti Romani epistolas (47) cæteris anteponere, atque hunc pro norma omnis in dicendo virtutis statuere. Quæ quidem a Phrynicho allata sunt, non quod hoc judicium ipse probaret ; at ne quis miretur, si quidam Aristidis

VARIÆ LECTIONES.

[56] συμπαιέκτης ς. [57] ἐγίνετο ς. καὶ ante φίλον add. A. [58] κρίσεως AC : κινήσιως ς. [59] τοῦ — συγγραφῆς A : τῷ — γραφῆς ς. [60] αἴτιον Scaliger : libri ἄξιον. [61] κρητικὸν corr. A. κριτικῶν Schottus, κρητικῶν Fabricius.

NOTÆ.

(45) Quo de mittendorum munerum natali die Alexand. ab Alex. lib. II *Genial* cap. 22 ; et ibi Tiraquel. Gul. Stuckius, lib. I *Convivial.* cap. 16, noster Mart. de Roa Cord. singulari libello.

(46) De quibus infr. cod. 246. et seq.

(47) Quas a brevitate commendatas refert Plutarch. in ejus Vita init. exstantque 70 a Mithridate olim collectæ et nuper Græce ac Latine evulgatæ in Germania.

gloria superatum existiment hunc virum, qui ad summum in orationibus gloriæ decus pervenisset. Læsit enim nonnullorum invidia ipsum quoque Aristidem, ut et alios plurimos doctrina excellentes viros. Undecimus quoque idem dicatur Menodoro. Sequentium vero (ne et nos hic loquacitatis nimiæ cum illo incusemur) alius quidem liber Rhigino, alius Aristocli, rursum alius Basididi Milesio Sophistæ nuncupatur : in quo ait, simul ut a morbo recreatus esset, hunc se ad illum scripsisse : postulatque errata, quæ morbi vitio, ut fit, accidissent, lima sua emendet. Reliquos omnes libros, quos quidem nos vidimus, Menophilo rursum usque ad Ω obtulit.

Utile sane hoc opus esse constat, cum scribendi tum bene dicendi studiosis. Collectas autem a se voces **101***b* ad hunc modum discernere se ait, ut aliæ oratoribus tribuantur, aliæ historicis addicantur, aliæ familiari aptentur sermoni; nonnulla etiam vocabula convitiis subserviant, ad hæc et in amatoriis adhibeantur. Sinceri deinde et puri et Attici sermonis regulam, normam atque exemplum esse præstantissimum vult, Platonem atque Demosthenem, cum reliquo novem Græciæ oratorum choro, Thucydidem quoque et Xenophontem, et Æschinem (48) illum Lysanii filium Socraticum appellatum. Critiam item Calæschri filium et Antisthenem cum germanis ejus orationibus duabus de Cyri et Ulyssis laudibus. E comicis, Aristophanem cum suis (49), ubi quidem Atticos imitentur. De tragicis, Æschylum illum maxime grandiloquum ac Sophoclem suavem, et usquequaque sapientem Euripidem. Hos cæteris omnibus anteponit sive oratoribus, sive historicis sive poetis. Ex his tamen rursum cæteris præfert, quos, ait, ne ipse quidem Momus reprehenderit, aut omnino accesserit; non etiam si maxime deus ille, quem Corycæum (50) fabulæ indigitant, illis inhiasset. Platonem indicat, Demosthenem, et Lysanii filium Æschinem, propter hujus septem Dialogorum (51) excellentiam : quos etiam quidam scriptis ejus eximentes, ad Socratem referunt. Sed hæc hactenus.

Scriptor hic, si quis alius, varia tinctus est doctrina, verbosus alioqui, et modum excedendo redundans. Enimvero ipsum hoc opus, nihil necessariorum omittendo, quinta totius parte potuit absolvisse, cum interim ipse, intempestiva sua verborum profusione, inutilem extenderit in vastitatem. Ita dum elegantis ac venustæ orationis silvam aliis

δρα νομίζουσιν, οὕτω κλέους τοῦ ἐν λόγοις εἰς ἄκρον ἐλάσαντα · ἤψατο γὰρ ὁ φθόνος ὑπ' ἐνίων πεμπόμενος καὶ Ἀριστείδου, ὥσπερ καὶ ἄλλων πολλῶν παιδείᾳ διενεγκόντων. Ἀλλ' ὁ μὲν ἑνδέκατος Μηνοδώρῳ ἐπιπεφώνηται · τῶν δὲ ἑφεξῆς, ἵνα μὴ καὶ ἡμεῖς κατ' ἐκεῖνον πολυλογίας αἰτίαν λάβοιμεν, ὁ μὲν Ῥηγίνῳ [62] ὁ δὲ πάλιν Ἀριστοκλεῖ, ὁ δὲ Βασιλείδῃ τῷ Μιλησίῳ σοφιστῇ προσεφωνήθη [63], ἐν ᾧ φησιν αὐτίκα τοῦ ἀνακύψαι τῆς νόσου ποιήσασθαι τὴν πρὸς αὐτὸν γραφήν, καὶ αἰτεῖται τῶν διὰ τὴν νόσον (ὡς εἰκός) αὐτῷ ἐν τῷ γράμματι παρασφαλέντων ἐπιθεῖναι τὴν διόρθωσιν. Οἱ δὲ λοιποὶ σύμπαντες λόγοι, οὓς ἡμεῖς ἀνέγνωμεν, τῷ Μηνοφίλῳ πάλιν μέχρι τοῦ ω ἀνετέθησαν.

Χρήσιμον δὲ δηλονότι τὸ βιβλίον τοῖς τε συγγράφειν καὶ ῥητορεύειν ἐθέλουσιν. [173 H.] Αὐτὸς δὲ διακρίνεσθαί φησι τὰς συνειλεγμένας αὐτῷ φωνὰς τοῦτον τὸν τρόπον · τὰς μὲν γὰρ αὐτῶν ῥήτορσιν ἀποδεδόσθαι, τὰς δὲ τοῖς συγγράφουσι [64], τὰς δὲ συνουσίαις ἐφαρμόζειν, ἐνίας δὲ καὶ εἰς τὰς σκωπτικὰς ὑπάγεσθαι λαλιάς, ἃ καὶ εἰς τοὺς [65] ἐρωτικοὺς ἐκφέρεσθαι τρόπους. Εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην μετὰ τοῦ ῥητορικοῦ τῶν ἐννέα χοροῦ, Θουκυδίδην τε καὶ Ξενοφῶντα καὶ Αἰσχίνην τὸν Λυσανίου τὸν Σωκρατικόν, [328 R.] Κριτίαν τε τὸν Καλλαίσχρου [66] καὶ Ἀντισθένην μετὰ τῶν γνησίων αὐτοῦ δύο λόγων, τοῦ περὶ Κύρου καὶ τοῦ περὶ Ὀδυσσείας [67]· τῶν μέντοι κωμῳδῶν Ἀριστοφάνην μετὰ τοῦ οἰκείου, ἐν οἷς ἀττικίζουσι, χοροῦ, καὶ τῶν τραγικῶν Αἰσχύλον τὸν μεγαλοφωνότατον καὶ Σοφοκλέα τὸν γλυκὺν καὶ τὸν πάνσοφον Εὐριπίδην. Τούτους προκρίνων τῶν ἄλλων ἁπάντων καὶ ῥητόρων καὶ συγγραφέων καὶ ποιητῶν, ἐξ αὐτῶν πάλιν προτάττει, οὓς ἂν, φησίν, οὐδ' αὐτὸς ὁ Μῶμος καταμέμψαιτο, οὐδ' εἴ τις δαίμων ὁ μυθολογούμενος Κωρυκαῖος εἰ ἐπεγχάνοι, χαιρήσειεν [68] · οὗτοι δ' εἰσὶ Πλάτων καὶ Δημοσθένης καὶ ὁ τοῦ Λυσανίου Αἰσχίνης δι' ἀρετὴν τῶν ἑπτὰ Διαλόγων, ἃ καὶ ἀφαιρούμενοί τινες τῶν συγγραμμάτων Σωκράτει προσνέμουσιν. Ἀλλ' ἐν τοσούτῳ περὶ τούτων.

Ἔστι δὲ ὁ συγγραφεύς, εἴ τις πολυμαθέστατος, ἄλλως δὲ λάλος καὶ περιττός · καὶ γὰρ καὶ ταύτην τὴν πραγματείαν, μετὰ τοῦ μηδὲν τῶν ἀναγκαίων παραλιπεῖν, ἐνὸν μηδ' εἰς πέμπτον [69] μέρος τοῦ ὅλου συγγράμματος ἀπαρτίσαι, αὐτὸς ἀκαιρολογῶν εἰς πλῆθος ἐξέτεινε δύσχρηστον, καὶ καλοῦ καὶ ὡραίου λόγου ὕλην ἄλλοις συναθροίζων αὐτὸς

VARIÆ LECTIONES.

[62] Ῥιγίνῳ ς. cf. Vales. add. in annot. ad Socrat. p. 44. C. ed. Amst. [63] προσεπεφωνήθη ς. [64] συγγραφεῦσι Scaliger. [65] τοὺς add. A. [66] Καλαίσχρου ς. [67] ὀδυσσῇ τὸν — κωμῳδον ς. [68] χαιρήσειεν A. et corr. C. qui pr. χαῤῥήσειεν : χωρήσειεν ς. Leichius χωρίσειεν, omisso (ante ἐπεγχάνοι εἰ. [69] πέμπτον' ἓν corr. A, qui quid pr. habuerit, non liquet.

NOTÆ.

(48) De quo item supr. cod. 61.
(49) Veteris comœdiæ scriptoribus.
(50) Vide Suidam et Adagia.
(51) Quos in ejus Vita Laert. Diogenes enumerat. In quibus et Axiochus, seu De morte, ab Harpocratione quoque eidem tributus : etsi hodie, sed falso, Platoni adscribitur. Vide et Suidam in Æschine.

οὐ λίαν τοιούτῳ περὶ αὐτῶν ἀπαγγέλλων ἐχρήσατο [70].

ΡΝΘ'.

Ἰσοκράτους τοῦ ῥήτορος λόγοι κα', καὶ ἐπιστολαὶ θ'.

Ἀνεγνώσθη [71] Ἰσοκράτους τοῦ ῥήτορος Λόγοι κα' καὶ Ἐπιστολαὶ θ'. Συμβουλευτικοὶ μὲν τῶν αὐτοῦ λόγων εἰσὶν ὅ τε πρὸς Δημόνικον καὶ ὁ πρὸς Νικοκλέα, χρησίμους παραινέσεις περιέχοντες, καὶ ἔτι ὁ δεύτερος πρὸς Νικοκλέα καὶ ὁ [72] Περὶ τῆς εἰρήνης. Καὶ ὁ Πανηγυρικὸς δὲ σκοπὸν ἔχειν ὑποτίθεται τὴν συμβουλήν, δι' ἧς ὁμόνοιά τε πρὸς ἀλλήλους τοῖς Ἕλλησι καὶ κοινὸς ὁ πρὸς τοὺς βαρβάρους καταπραχθείη πόλεμος· τὸ δὲ πλεῖστον τοῦ λόγου εἰς τὰ τῶν Ἀθηναίων ἐγκώμια κατατρίβεται. Καὶ ὁ Ἀρεοπαγιτικὸς δὲ τῶν συμβουλευτικῶν ἐστι, προτρέπων τοὺς Ἀθηναίους ἐπ' ἀρετὴν ἐξ ἐπαίνου μὲν τῶν προγεγονότων, καταδρομῆς δὲ τῶν ἔτι τῷ βίῳ [73] περιόντων. Καὶ ὁ Πλαταϊκὸς δὲ συμβουλευτικός ἐστι. Καὶ ὁ ἐπιγραφόμενος δὲ Ἀρχίδαμος συμβουλευτικός ἐστι· παρακαλεῖ [74] Λακεδαιμονίους ἐπὶ τὸν κατ' Ἀθηναίων πόλεμον ὑπὲρ Μεσσηνίων [75]. Ὁ δὲ Κατὰ τῶν Σοφιστῶν ἐπιγραφόμενος κατηγορία τῶν ἀντιπολιτευομένων αὐτῷ ἐστι σοφιστῶν. Ὁ δὲ ἑφεξῆς λόγος Βουσίριδος αὐτῷ ἐστιν ἐγκώμιον, ὥσπερ καὶ ἐπιγέγραπται. Ὁ δὲ ἑνδέκατος Ἑλένης ἐγκώμιον. Καὶ ὁ δωδέκατος Εὐαγόρου ἐγκώμιον, ὃς Εὐαγόρας ἐπιγράφεται, προσπεφωνημένος Νικοκλεῖ τῷ υἱεῖ. Ὁ δὲ ἐπιγραφόμενος Φίλιππος συμβουλευτικός ἐστι, Φιλίππῳ συμβουλεύων τῆς τε τῶν Ἑλλήνων φροντίζειν ὁμονοίας [174 H.] καὶ τῆς κατὰ τῶν ἐν Ἀσίᾳ βαρβάρων συστρατείας. Ὁ δὲ Παναθηναϊκὸς ἐγκωμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων, ὃν ἀπάρξασθαι μὲν φησι συγγράφειν ἐνενήκοντα καὶ τεττάρων ἐτῶν ἄγων ἡλικίαν, νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον. Ὁ δὲ Περὶ τῆς ἀντιδόσεως ἐπιγραφόμενος λόγος δικανικός τις εἶναι δοκεῖ, καὶ ἀπολογίαν ἔχων ὧν Λυσίμαχος κακῶς εἶπεν Ἰσοκράτην. [329 R.] Δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτῷ [76] μέγιστος ὢν τῶν ἄλλων ὁ λόγος συνετάγη ἔστι δ' ὁ λόγος [77] σύμμικτος καὶ ποικίλος, μᾶλλον ἢ οἱ ἄλλοι· παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας, ἐξ ὧν οὐ φθείρειν τοὺς νέους ἀλλ' ὠφελεῖν τὸ κοινὸν ἐπιδείκνυσιν ἑαυτόν. Δικανικὸς δὲ καὶ ὁ Πρὸς Καλλίμαχον· ὁμοίως δὲ καὶ ὁ Αἰγινητικὸς [78] ὑπὲρ κλήρου ἀγωνιζόμενος. Τῶν δικανικῶν δὲ καὶ ὁ Πρὸς Εὐθύνουν ὑπὲρ Νικίου, καὶ ὁ Τραπεζιτικός, καὶ ὁ Πρὸς Λοχίτην, ὕβρεως καὶ πληγῶν δίκην ἀπαιτῶν. Οὕτω μὲν καὶ τοσούτους ἐγνω-

A accumulat, ne illa quidem ipsa, de qua cæteris præcepta tradit, recte satis Phrynichus est usus.

CLIX.

Isocratis Orationes XXI. *et Epistolæ* IX.

Legimus Isocratis oratoris *unam supra viginti Orationes, et Epistolas novem*. Deliberativi quidem generis orationes habet ad Demonicum et ad Nicoclem, quæ admonitiones continent perutiles ; et alteram item ad Nicoclem, unamque (52) *De pace*. *Panegyrica* autem etsi illa proposita deliberatio videatur, qua Græcis, concordia inter ipsos inita, sociali bello Barbaros esse oppugnandos persuadeatur, **102***a* longe tamen maxima illius orationis pars in Atheniensium laudibus recensendis consumpta est. B *Areopagiticus* quoque in suasoriarum numero, Athenienses ad virtutem incitat, cum a majorum laudibus, tum eorum reprehensione, qui adhuc superstites essent. *Plataicus* item deliberatio est, uti et *Archidamus* qui inscribitur, Lacedæmonios ad bellum cum Atheniensibus (53) super Messeniis gerendum hortatur. At oratio illa *Contra Sophistas* inscripta, eosdem a se dissidentes accusat. Sequens deinde, quod titulus ipse præfert, Busiriden (54) laudat. Undecima *encomium* est *Helenæ*. Duodecima vero Evagoræ laus, unde et *Evagoras* inscribitur, Nicocli ejusdem filio dedicata. Oratio sequens, cui *Philippi* titulus est, suasorii rursum generis, Philippum adhortatur, ut et Græcorum studeat concordiæ, et de communi adversus barbaras Asiæ C gentes expeditione adjuvanda cogitet. *Panathenaicus* laudatio est urbis Athenarum, majorumque ejus illustrium : quam se scribere (55) cœpisse ait, annos jam natum quatuor et nonaginta ; morbo autem gravi triennium vexante, tertio demum ante centesimum ætatis annum ad exitum eam adduxisse. Oratio vero, cui *De permutatione* titulus, judicialis esse videtur, continetque purgationem eorum, quibus Isocratem Lysimachus esset calumniatus. Hanc anno ætatis octogesimo secundo, orationum (56) cæterarum maximam conscripsit, et mistam quidem eam magisque variam, quam e reliquis ullam, insertis insuper aliarum ejus orationum segmentis (57), quibus non corrumpere se juventutem, sed rem juvare publicam ostendit. Forensis æque est et illa *Contra Callimachum* ; similiter et *Æginetica* D de hæreditate contendens. Judiciorum quoque sunt, oratio (58) *Adversus Euthymum pro Nicia* et *Trapezitica*, et *Adversus Lochitem*, injuriarum plagarumque pœnam reposcens. Has quidem Isocratis ora-

VARIÆ LECTIONES.

[70] ἐχρήσατο] add. ς. ὁ Φρύνιχος. [71] Ἀνεγνώσθησαν Coræs. Isocrat. 2, p. μζ'. [72] ὁ ante περὶ add. A. [73] βίῳ A : βιβλίῳ ς. [74] παρακαλεῖ AC : καὶ παρακαλεῖ ς. [75] μεσηνίων A. [76] αὐτῷ A : αὐτὸς ς. ὁ add. A. [77] λόγος καὶ σύμμ. καὶ A. [78] αἰγινικὸς A.

NOTÆ.

(52) Hujus non esse hanc Paræsin, sed alterius cujusdam Isocratis, disputat M. Ant. Muretus lib. lect. et alii.

(53) Imo Thebanis, pene nulla Græcorum elementorum mutatione, κατὰ Θηβαίων, hic restituendo.

(54) De quo videndus Diod. Siculus lib. 1, cap. 2 extremo.

(55) Cic. *De senectute*, et Luc. ἐν Μακρόβιος.

(56) Intellige judicialium. Alioquin omnium longissima Panathenaica, et hinc Panegyrica.

(57) Præsertim Panegyricæ, et de pace.

(58) Quæ et Ἀμάρτυρος vulgo inscribitur.

tiones unam et viginti legimus (59). Jam e novem ipsius epistolis, una est ad Dionysium Siciliæ tyrannum, altera ad Archidamum, duæ ad Philippum, una ad Alexandrum, alia ad Antipatrum. Quin et ad Timotheum, et ad Mitylenæorum magistratus nona.

μεν Ἰσοκράτους [79] λόγους, ἕνα καὶ εἴκοσιν ὄντας. Τῶν δ' ἐννέα ἐπιστολῶν αὐτοῦ μία μέν ἐστι πρὸς Διονύσιον τὸν Σικελίας τύραννον, ἑτέρα δὲ πρὸς Ἀρχίδαμον, καὶ πρὸς Φίλιππον δύο, μία δὲ πρὸς Ἀλέξανδρον, καὶ πρὸς Ἀντίπατρον ἄλλη, καὶ δὴ καὶ πρὸς Τιμόθεον, καὶ πρὸς τοὺς Μιτυληναίων ἄρχοντας ἡ ἐνάτη.

Cæterum orator iste rhetoricæ artis præceptiones **102***b* discipulis tradere maluit, quam ut reliqui novem Græciæ oratores, quos inter et Demosthenes, rempublicam gerere : tametsi ut ante horum tempora dicendi laude clarebat,ita nec eorum temporibus ulli gloria cederet. Maxima est in eo, ut cuivis legenti statim patet, orationis distinctio ac puritas ; tantamque in eadem elaboranda accurationem præfert (60), ut in supervacaneum quoque incidat ornatum diligentiamque. Quin operosus nimis hic ejus conatus, non tam argumentis fecundum, quam decoris servandi parum studiosum eum declarat. Jam neque lenior saltem affectus ullus, neque simulatione carens sinceritas, neque incitatior paulo dicendi ulla vis in eo deprehenditur. Granditatis duntaxat tantum, quantum ad civilem orationem satis est, non male, et pari fere cum perspicuitate ab eo adhibetur. Etsi justo languidior ejus sit oratio, nec parum illa membrorum æqualium ad fastidium usque copia, minutam ejus anxiamque diligentiam arguat. Verum hæc adversus ejus in dicendo præstantiam dicta sint, ad ea tantummodo indicanda, in quibus lapsa, sibique dissimilis ejus virtus fuit. Nam cum quibusdam certe, qui orationes scribere instituunt, comparatus, etiam vitia ipsius in virtutibus numerari queant.

Οὗτος μὲν οὖν ὁ ῥήτωρ σοφιστεύειν μᾶλλον ἢ τῶν κοινῶν προστάττειν, ὥσπερ οἱ ἄλλοι ἐννέα ῥήτορες, ὧν καὶ Δημοσθένης ἦν, εἵλετο, καίτοι καὶ πρὸ ἐκείνων τοῖς τῆς ῥητορικῆς ἀκμάζων λόγοις, καὶ κατ' ἐκείνους τὴν ἐπ' αὐτοῖς δόξαν οὐκ ἐλαττούμενος. Κέχρηται δὲ μάλιστα μέν, ὡς αὐτίκα τοῖς ἀναγινώσκουσι δῆλον, εὐκρινείᾳ καὶ καθαρότητι, πολλήν τε ἐπιμέλειαν περὶ τὴν ἐργασίαν τῶν λόγων ἐπιδείκνυται, ὥστε καὶ εἰς περιττὸν αὐτῷ [80] διεκπίπτειν τὸν κόσμον καὶ τὸ ἐπιμελές. Καὶ αὐτὸ δὲ τὸ τῆς ἐργασίας πλεονάζον παρ' αὐτῷ οὐ τὸ γόνιμον μᾶλλον τῶν ἐπιχειρημάτων ἢ τὸ ἀπειρόκαλον παριστᾷ. Ἦθος δὲ καὶ ἀλήθεια καὶ γοργότης οὐδὲ μέτεστιν αὐτῷ [81], μεγέθους δὲ αὐτῷ ὅσον εἰς τὸν πολιτικὸν ἐναρμόζει λόγον, ἄριστα καὶ παραπλησίως κέκραται τῇ σαφηνείᾳ. Ἄτονος δὲ πλέον τοῦ δέοντος ὁ λόγος. Οὐχ ἥκιστα δὲ αὐτοῦ σμικρολογίαν καὶ τὸ προσκορὲς τῶν παρισώσεων αἰτιᾶται. Ἀλλὰ ταῦτά φαμεν πρὸς τὴν ἐν λόγοις αὐτοῦ ἀρετὴν τὸ ἐκπῖπτον [82] ἐκείνης καὶ ἀνόμοιον ἐνδεικνύμενοι, ἐπεὶ πρός γε ἐνίους τῶν [83] γράφειν λόγους ἐπαιρομένων ἀρεταὶ ἂν δόξωσι καὶ τὰ ἐκείνου ἐλαττώματα.

Habes syllabum Isocratis *Orationum, et Epistolarum. Intercidisse autem quædam, idoneos testes habeo. Orationes enim quatuor desiderat Dionysius Halicarnasseus, Cæcilius Romanus septem, undecim Suidas. Epistolarum vero unam ad Antipatrum legit Photius, nos quærimus. Nam ad Archidamum, quæ hactenus latuit e Cod. Ful. Ursini Rom. hominis doctissimi descriptam, et jam Latine utcumque loquentem, volentes damus. Duas autem ad Philippum, et ad Jasonis liberos alteram, invisas Photio, vulgatas observo.*

Isocrates Archidamo Lacedæmoniorum regi.

Cognito, Archidame, quam multi te, parentemque tuum (61), cum vestro genere universo (62) laudibus ornare aggressi essent, eam ipsis dicendi materiam, cum facilis admodum esset et obvia, relinquendam putavi.Illud enim mihi in animo est, hortari te, non ad ejusmodi expeditionem aliquam quales hoc tempore suscipiuntur : sed ad ea, ex quibus civitati non minus tuæ, quam Græciæ plane universæ commodorum maximorum auctor futurus sis. Neque vero istud scribendi argumentum delegi, quod nescirem, quidnam esset ad pertractandum facilius : sed ex eo potius, quod certo scirem, quam arduum foret parumque obvium adinvenire tibi, quas geras res, præclaras, magnas, utiles,

Ἰσοκράτης Ἀρχιδάμῳ, Λακεδαιμονίων βασιλεῖ.

Εἰδὼς, ὦ Ἀρχίδαμε, πολλοὺς ὡρμημένους ἐγκωμιάζειν σε, καὶ τὸν πατέρα, καὶ τὸ γένος ὑμῶν· εἱλόμην τοῦτον μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν, ἐκείνοις παραλιπεῖν· αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις· ἀλλ' ἐξ ὧν μεγάλων ἀγαθῶν αἴτιος γενήσῃ καὶ τῇ πόλει τῇ σαυτοῦ, καὶ τοῖς ἕλλησιν ἅπασι· ταύτην δὲ ἐποιησάμην τὴν αἵρεσιν, οὐκ ἀγνοῶν τὸν λόγον τὸν εὐμεταχειριστότερον· ἀλλ' ἀκριβῶς εἰδὼς, ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ μεγάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν· ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷός τ' ἂν ἐγενόμην. Οὐ γὰρ ἔδει με παρ' ἐμαυτοῦ πορίζεσθαι τὰ λεχθησόμενα περὶ αὐτῶν, ἀλλ' ἐκ τῶν

VARIÆ LECTIONES.

[79] Ἰσοκράτου A. [80] αὐτῷ A : τῷ ς. [81] μετ. παρ' αὐτῷ ς. [82] ἐμπίπτον ς. [83] ἐνίους τῶν A : ἐνίων ς.

NOTÆ.

(59) Una tamen hic sive auctori sive librario excedit, Περὶ ζεύγους, De bigis, et una item epistola.

(60) *In compositione adeo diligens,* ait Quintil. lib. x, ut cura ejus reprehendatur.

(61) Agesilaum de cujus vita Xenoph.et Plutarc.

(62) Heraclidarum.

ὑμῖν πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορ- A cum tamen virtutes vestras laudare non ita magna
μὰς ἔλαβον, ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ cum difficultate potuissem. Neque enim de meo af-
κατὰ μικρὸν ἐναμίλλους γενέσθαι τῇ περὶ ὑμᾶς ῥη- ferre, quæ de his dicerentur, opus fuisset : quando
θείσῃ. Πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν ὑπερεβάλλετο ex ipsis per vos gestis rebus, talis mihi ac tanta
τῶν γεγονότων ἀφ' Ἡρακλέους καὶ Διός, ἣν πάντες dabatur laudandi facultas, ut quæ de aliis prædi-
ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν · ἢ τὴν cantur laudes, ne vel tantillum cum ea conferri
ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς δωρικὰς πόλεις κτι- possint, qua vos celebrati estis. Quisnam enim ali-
σάντων, καὶ τὴν χώραν ταύτην κατασχόντων · quando vel ab Hercule Joveque ipso genus ducen-
ἢ τὸ πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων, tium nobilitatem superet, quam omnes æque con-
τῶν διὰ τὴν ὑμετέραν ἡγεμονίαν καὶ βασι- sentiunt in vobis solis inveniri : vel virtutem eo-
λείαν σταθέντων ; τίς δ' ἂν ἠπόρησε διεξιέναι βου- rum, qui Doricas in Peloponeso urbes condiderunt,
ληθεὶς τὴν ἀνδρείαν ὅλην τῆς πόλεως καὶ σωφροσύ- atque hanc regionem universam tenuerunt : vel
νην καὶ πολιτείαν τὴν ὑπὸ προγόνων τῶν ὑμετέρων illam præliorum tropæorumque multitudinem, quæ
συνταχθεῖσαν ; πρὸς οἷς δ' ἂν λόγοις ἐξεγένετο χρή- vestro ductu atque auspiciis facta statutaque sunt?
σασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ πατρὸς, καὶ τὴν Quinam etiam dicendi materia deesse possit ei,
ἐν ταῖς συμφοραῖς διοίκησιν, καὶ τὴν μάχην τὴν ἐν B qui velit cum fortitudinem ac temperantiam totius
τῇ πόλει γενομένην ; Ἧς καὶ ἡγεμὼν σὺ καταστάς, civitatis, tum a vestris majoribus institutum reipu-
καὶ μετ' ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας, καὶ πάν- blicæ statum percensere? Quam item non licuisset
των διενεγκών, αἴτιος ἐγένου τῇ πόλει τῆς σωτη- adhibere orationem ad explicandam cum parentis
ρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν. Οὔτε tui prudentiam, tum ejus in adversis rei gerendæ
γὰρ πόλεις ἑλεῖν, οὔτε πολλοὺς ἀποκτεῖναι τῶν πολε- rationem, tum illud quod eo regnante in ipsa urbe
μίων, οὕτω μέγα καὶ σεμνόν ἐστιν, ὡς εἴη, τῶν τοιού- commissum est prælium? In quo tunc quidem præ-
των κινδύνων σῶσαι τὴν πατρίδα μὴ τὴν τυχοῦσαν, lio, postquam dux tu ipse creatus cum paucis ad-
ἀλλὰ τὴν τοσοῦτον ἐπ' ἀρετῇ διενεγκοῦσαν. Περὶ ὧν versus multos pugnando omnibus antecelluisti, ur-
μὴ κομψῶς, ἀλλ' ἁπλῶς διελθών · μηδὲ τῇ λέξει bem simul ipsam servasti. Quo quid præclarius ab
κοσμήσας μόνον, ἀλλ' ἐξαριθμήσας καὶ χύδην εἰπών, ullo afferri possit ? Neque enim vel urbes expu-
οὐδεὶς ὅστις οὐκ ἂν εὐδοκιμήσειεν. gnare, vel hostium magnum numerum interimere
magnum adeo est, aut honorificum, ut fuit e tantis periculis liberare patriam, non illam vulgarem ali-
quam, sed quæ tantopere virtutis causa emineret. De quibus nemo non dico cum ostentatione, sed
plene narrando diseruerit, nec cum verborum ornatu, sed enumerando duntaxat, et sine discri-
mine quidvis effundendo dixerit, qui non ex eo magnam sibi laudem paraverit.

Ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούν- C Ego itaque, qui vel de his poteram satis multa
τως διαλεχθῆναι, κἀκεῖνο γινώσκω · πρῶτον μὲν, ὅτι dicere, illud quoque sentio, facilius in primis esse
ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν, de præteritis copiose disserere, quam de futuris
ἢ περὶ τῶν μελλόντων νουνεχούντως, εἰπεῖν. Ἔπειθ', admonendo, verba facere. Omnes deinde homines
ὅτι πάντες ἄνθρωποι πλείω χάριν ἔχουσι τοῖς ἐπαι- majorem habere gratiam suis laudatoribus, quam
νοῦσιν, ἢ τοῖς συμβουλεύουσι. Τοὺς μὲν γὰρ ὡς consilia suggerentibus , quando illos ut sui stu-
εὐνους ἀποδέχονται · τοὺς δ' ἂν μὴ κελευσθέντες diosos libenter excipiunt, hos vero, si forte injussi
παραινῶσιν, ἐνοχλεῖν νομίζουσιν. admonent, pro turbatoribus habent.

Ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς, τῶν μὲν πρὸς Quæ etsi omnia satis providi antea, nihilo ta-
χάριν ἂν ῥηθησομένων ἀπεσχόμην · περὶ δὲ τοιούτων men secius ab his, quæ ad gratiam ineundam di-
μέλλω λέγειν, περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν · cenda essent, abstinere volui ; de iis tantummodo
ἡγούμενος δεῖν τοὺς [περὶ] ἐπιεικείας καὶ φρονή- dicturus, quæ nemo alius ausit : ratus decere eos,
σεως ἀμφισβητοῦντας, μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι qui de æquitate atque prudentia cum æqualibus
τῶν λόγων, ἀλλὰ τοὺς ἐργωδεστάτους · μηδὲ τοὺς ἡ certant, nequaquam illa sibi deligere, quæ ipsi fa-
δίστους τοῖς ἀκούουσιν, ἀλλ' ἐξ ὧν ὠφελήσουσι καὶ cillime oratione persequi possint, sed quæ difficilli-
τὰς πόλεις τὰς αὑτῶν, καὶ τοὺς ἄλλους Ἕλληνας, D me persuaderi queant : neque rursum ea quæ au-
ἐφ' οἷσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς. ditu sint jucundissima, sed ex quibus emolumenti
plurimum afferant, cum civitatibus suis, tum Græcis
omnibus, quorum ego modo causa ad te accessi.

Θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ Magnam autem hic mihi admirationem concitant
λέγειν δυναμένων, εἰ μηδὲ πώποτ' αὐτοῖς ἐπ- cæteri, quibus vel agendi est, vel dicendi aliqua
ῆλθεν ἐνθυμηθῆναι, περὶ τῶν κοινῶν πραγμάτων, facultas, quod nulla unquam de communibus rebus
μηδ' ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως illorum animos cogitatio subeat, neque infelicis
αἰσχρῶς καὶ δεινῶς διατιθεμένης. Ἧς οὐδεὶς παρα- Græciæ commiseratione ducantur, cujus jam sta-
λέλειπται τόπος, ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέ- tus miserandum in modum adeo deformatus est ut
μου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων. angulus in ea nullus reperiatur, qui non bellorum,
Ὧν πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας seditionum, cædium, et infinitorum malorum ple-
τὴν παραλίαν οἰκοῦντες. Οὓς ἐν ταῖς συνθήκαις nus sit. Quorum quidem partem longe maximam

sustinent ii qui Asiæ maritima incolunt, et a nobis omnibus fœderibus exclusi, non barbaris tantummodo gentibus permissi sunt, sed iis item Græcis, qui etsi lingua nobiscum utantur eadem, a moribus certe Barbarorum nihil discrepant. Quos equidem, si quidquam in nobis esset mentis reliquum, nequaquam sineremus per tantam nostram negligentiam coire, a quibusvis in expeditionem educi, majoraque et validiora colligi agmina e vagis, quam legitimo imperio gubernatis hominibus. Qui cum exiguam admodum regionis ejus partem, quæ regi paret, damno afficiant, Græcas potius, ad quascunque accesserint civitates, devastant, dum in his alios interficiunt, alios suis sedibus pellunt, alios bonis exuunt. Taceo puerorum ac mulierum injurias ; et forma in his maxime præstantes violari, cæteras etiam iis quibus corpora sua tegunt, exui, ut nudæ jam a multis conspiciantur, quas in peregrina veste antea nunquam ne ornatus quidem gratia vidisses, præterquam quod aliquæ in vilibus præ inopia pannis pereuntes obeant. Quæ cum tanto hactenus tempore mala durent ; nulla tamen hæc vel civitas ex iis quæ Græcos inter principatum obtinet, vel vir de principibus aliquis molestius tulit : unum excipio parentem tuum. Solus enim Agesilaus, quod noverimus, in magno semper vixit desiderio, tum Græcos in libertatem vindicandi, tum belli Barbaris inferendi. Qui tamen et ipse una saltem adhuc in re aberrasse visus est. Neque mireris velim, si tecum ego disserens, mentionem faciam eorum, quæ minus ille recte sensit. Nam et libere semper animi sensa proferre soleo, et malim ob justam reprehensionem invidiam sustinere, quam per immeritam laudem gratificari. Me igitur quæ attingunt, hoc sese modo habent.

Verum ille, qui in cæteris alios superabat omnes, cum esset maxime temperans, idemque justissimus, ac reipublicæ studiosissimus, duplicem præ se tulit cupiditatem, præclaram illam quidem utramque per se, ut apparebat ; sed ita invicem dissidentes, nunquam ut simul ambæ confici possent. Cupiebat itaque et cum rege [Persarum] bellum gerere, et amicos, qui ad se confugissent, in civitates suas reducere, ac negotiis ibi publicis summa cum potestate præficere. Ergo illud inde sequebatur, ut et ob studium erga alios, in bellis ac calamitatibus Græci versarentur, et propter exortam inde rerum perturbationem, neque otii satis, neque virium ad lacessendos bello Barbaros invenirent. Quare vel ex iis quæ tunc temporis contigerunt, non est difficille intelligere, non expedire (ubi recta saltem obtineant consilia) bellum inferre regi prius, quam Græcos quispiam inter se conciliatos ab hoc contendendi furore abduxerit. Qua de re, ut alias disserui, ita neque modo supersedebo. Tametsi maxime quidam ex iis qui alios docere se posse pollicentur, cum sint ipsi doctrinæ omnis expertes, et mea carpere audent, quæ tamen imitari desiderant, amentis forsitan esse dicant, quod Græciæ me calamitatum cura tangat aliqua, quasi mea oratione melius cum illa agi deinceps possit aut dete-

A ἅπαντες ἐκδεδώκειμεν οὐ μόνον τοῖς βαρβάροις, ἀλλὰ καὶ τῶν ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ τῷ τῶν βαρβάρων χρωμένοις. Οὕς, εἰ νοῦν εἴχομεν, οὐκ ἂν περιορῶμεν ἀθροιζομένους, οὐδ' ὑπὸ τῶν τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείττους συντάξεις στρατοπέδων γιγνομένας ἐκ τῶν πλανωμένων ἢ πολιτευομένων. Οἱ τῆς μὲν βασιλέως χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς ἑλληνίδας εἰς ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποιοῦσιν, τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες, τῶν δὲ τὰς οὐσίας διαρπάζοντες. Ἔτι δὲ παῖδας καὶ γυναῖκας ὑβρίζοντες · καὶ τὰς μὲν εὐπρεπεστάτας καταισχύνοντες, τῶν δ' ἄλλων, ἃ περὶ τοῖς σώμασιν ἔχουσι περισπῶντες, ὥστε, ἃς πρότερον οὐδὲ κεκοσμημένας ἦν ἰδεῖν τοῖς ἀλλοτρίοις ταύτας ὑπὸ πολλῶν ὁρᾶσθαι γυμνάς · ἐνίας δ' αὐτῶν ἐν ῥάκεσι περιφθειρομένας, δι' ἔνδειαν τῶν ἀναγκαίων. Ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων οὔτε πόλις οὐδεμία τῶν προστῆναι τῶν ἑλλήνων ἀξιουσῶν ἠγανάκτησεν · οὔτ' ἀνὴρ τῶν πρωτευόντων οὐδεὶς βαρέως ἤνεγκε. Πλὴν ὁ σὸς πατήρ. Μόνος γὰρ Ἀγησίλαος, ὧν ἡμεῖς ἴσμεν, ἐπιθυμῶν ἅπαντα τὸν χρόνον διετέλεσε τοὺς μὲν ἕλληνας ἐλευθερῶσαι, πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν · οὐ μήν ἀλλὰ κἀκεῖνος ἑνός πράγματος διήμαρτε · καὶ μὴ θαυμάσειας, εἰ πρός σε διαλεγόμενος μνησθήσομαι τῶν οὐκ ὀρθῶς ὑπ' αὐτοῦ γνωσθέντων · εἴθισμαί τε γὰρ μετὰ παῤῥησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους. Καὶ δεξαίμην ἄν δικαίως ἐπιτιμήσας ἀπέχθεσθαι μᾶλλον, ἢ παρὰ τὸ προσῆκον ἐπαινέσας χαρίσασθαι. Τὸ μὲν οὖν ἐμὸν οὕτως ἔχον ἐστίν.

B

C Ἐκεῖνος δ' ἐν ἅπασι τοῖς ἄλλοις διενεγκών, καὶ γενόμενος ἐγκρατέστατος, καὶ δικαιότατος, καὶ πολεμικώτατος, διττὰς ἔσχεν ἐπιθυμίας. Χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ συμφωνούσας δ' ἀλλήλαις, οὐδ' ἅμα πράττεσθαι δυναμένας · ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν, καὶ τῶν φίλων τοὺς φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν, καὶ κυρίους καταστῆσαι τῶν πραγμάτων. Συέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας, τῆς ὑπὲρ τῶν ἑτέρων, ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς ἕλληνας · διὰ δὲ τὴν ταραχὴν, τὴν ἐνθάδε γιγνομένην, μὴ σχολὴν ἄγειν, μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. Ὥστ' ἐκ τῶν κατ' ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς ἕλληνας, καὶ παύσῃ τῆς μανίας καὶ τῆς φιλονεικείας ἡμᾶς. Περὶ ἧς ἐγὼ καὶ πρότερον εἴρηκα, καὶ νῦν ποιήσομαι τοὺς λόγους. Καί τοί τινες τῶν μηδεμιᾶς μὲν παιδείας μετεσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπισχνουμένων, καὶ ψέγειν μὲν τὰ ἐμὰ τολμώντων, μιμεῖσθαι δὲ γλιχομένων · τάχα ἂν μανίαν εἶναι, φήσαιεν τὸ μέλειν ἐμοὶ τῶν τῆς ἑλλάδος συμφορῶν, ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν · ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀνανδρίαν καὶ μικροψυχίαν καταγνοῖεν ὅτι προσποιούμενοι φιλοσοφεῖν, αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλο-

D

τιμοῦνται· τοὺς δὲ δυναμένους περὶ τῶν μεγίστων συμβουλεύειν φθονοῦντες διατελοῦσιν. Οὗτοι μὲν οὖν βοηβοῦντες ταῖς αὑτῶν ἀσθενείαις, καὶ ῥᾳθυμίαις ἴσως τοιαῦτ' ἐροῦσιν. Ἐγὼ δὲ οὕτως ἐπ' ἐμαυτῷ μέγα φρονῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα, καὶ παντάπασιν ἀπειρηκώς, ὥστε οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μάλιστα περὶ τούτων, καὶ καλῶς βεβουλεῦσθαι πρὸς σὲ ποιούμενον τοὺς λόγους· καὶ τυχὸν ὑπ' αὐτῶν γενήσεσθαί τι τῶν δεόντων. Ἡγοῦμαι δὲ καὶ τοὺς ἄλλους ἕλληνας, εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι τόν τε τῷ λόγῳ κάλλιστα δυνηθέντα παρακαλέσαι τοὺς ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν, καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ' ἡμῶν προκριθῆναι. Καί τοι πῶς οὐκ ἂν αἰσχρὸν ποιήσαιμεν, οὕτως ἐντίμων ὄντων, ὧν ἅπαντες ἂν ἡμᾶς ἀξιώσειαν; τὸ μὲν οὖν ἐμὸν ἔλαττόν ἐστιν· ἀποφήνασθαι γὰρ ἃ γινώσκει τις, οὐ πάνυ τῶν χαλεπῶν πέφυκε. Σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι πότερον ὀλιγωρητέον ἐστὶ τῶν ἑλληνικῶν πραγμάτων, γεγονότι μὲν ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον· ἡγεμόνι δὲ λακεδαιμονίων ὄντι· βασιλεῖ δὲ προσαγορευομένῳ· μεγίστην δὲ τῶν ἑλλήνων ἔχοντι δόξαν· ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' ἐπιχειρητέον. Ἐλῶ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων, δυοῖν τούτοιν προσέχειν τὸν νοῦν· ὅπως τοὺς μὲν ἕλληνας ἀπαλλάξῃς τῶν πολέμων, καὶ τῶν ἄλλων κακῶν, τῶν νῦν αὐτοῖς παρόντων· τοὺς δὲ βαρβάρους παύσῃς ὑβρίζοντας, πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. Ὡς δ' ἐστὶ ταῦτα δυνατὰ ἐμὸν ἔργον διδάξαι περὶ αὐτῶν ἐστίν.

A rius. Quos merito sane pusilli nimis, ac parum virilis animi omnes æque censeant; quod se philosophos jactitantes, non solum ipsi parvis e rebus gloriolam aliquam venentur, sed aliis quoque, qui de majoribus consilia suggerere possint, non desinant invidere. Atque illi quidem, imbecillitati et ignaviæ obsequentes suæ talia forsan dicturi sunt: ego vero, quanquam octogesimum jam natus annum penitus defeci, magnifice tamen adeo de me adhuc sentio, ut putem non tantum mei vel in primis fuisse muneris de his dicere, sed etiam tecum agendo præclara suggessisse consilia, ac fortasse per hæc aliqua recte esse gerenda. Quin et cæteros ego Græcos existimo, si ex omni suorum numero deligendi ipsis essent, cum qui Græcos posset optime oratione sua incitare ad invadendos bello Barbaros, tum qui celerrime conficere posset, quæ utiliter gerenda viderentur, nullos omnino alios nobis præposituros. Et vero quomodo non alioqui turpem prorsus rem committeremus, cum honorifica forent adeo illa, quibus nos omnium judicio ornaremur? Etsi a me quod proficisci potest, minoris id sane momenti est; cum non ita soleat esse arduum, suam de re quapiam sententiam proferre. Cum tuum sit ad ea animum, quæ modo indicavimus, advertentem dispicere, Græciæne res negligendæ tibi sint, eo quod paulo ante dixi genere nato, Lacedæmoniorum duci, regi quoque declarato, et maximum inter Græcos nomen sustinenti, an potius præsentia sint omittenda negotia, quo his majora suspicias. De quibus sane ego illud sentio, in hæc duo potissimum, cæteris omnibus prætermissis, esse tibi incumbendum, ut Græcos hisce bellis, ac miseriis, quibuscum hodie conflictantur, liberes: utque barbarorum coerceas insolentiam, qui jam pluribus, quam par sit, bonis abundant. Id autem confieri posse, meas partes duxi commonefacere.

B

C

ΡΞ'.

Χορικιου Σοφιστοῦ λόγοι διάφοροι, καὶ Προκοπίου σοφιστοῦ Γάζης στίχων Ὁμηρικῶν Μεταφράσεις.

[336 R.] Ἀνεγνώσθη Χορικίου σοφιστοῦ Γάζης Μελέται καὶ Συντάξεις λόγων διάφοροι. Οὗτος χαίρει μὲν εὐκρινείᾳ καὶ καθαρότητι, εἰς τὸ χρήσιμον δὲ καὶ τῇ περιβολῇ κεχρημένος τῷ τε εὐκαίρῳ καὶ τῷ [84] μὴ εἰς μῆκος περιόδου ταύτην παρατείνειν οὐδὲν τῇ σαφηνείᾳ λυμαίνεται, ἦθει τε καὶ ἀληθείᾳ συγκέκραται, οὐδὲ τῆς γνωμολογικῆς [85] σπουδῆς ἀστοχῶν. Ἡ δέ γε λέξις αὐτῷ τῶν λογάδων [175 H.] οὖσα ἐν πολλοῖς οὐκ ἀεὶ τὸ γνήσιον διώκει· ἔσθ' ὅτε γὰρ διὰ τὴν ἄκρατον τῆς τροπῆς [86] ἐκτροπὴν εἰς ψυχρολογίαν ἐκπίπτει. Καὶ πρὸς τὸ ποιητικώτερον δὲ ἔστιν οὗ παρασύρεται. Χρήσιμος δέ ἐστιν αὐτὸς ἑαυτοῦ μᾶλλον ἐκφράσεις καὶ ἐγκώμια διερχόμενος [87]· Ἔστι δὲ καὶ τῆς εὐσεβείας ἐραστής, τὰ Χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν οὐκ οἶδ'

CLX.

Choricii Sophistæ declamationes variæ, et Procopii Gazæi Homericorum versuum Metaphrases.

Lectæ sunt Choricii Sophistæ Gazæi *Declamationes Orationumque classes variæ* (63). Gaudet hic accurata distinctione atque puritate: ac si quando utilitatis alicujus gratia etiam circumductione utitur, tam eam opportune adhibet, in periodi longitudinem nequaquam excurrendo, nihil ut perspicuitatem lædat. Mitior item affectus apud ipsum egregio candore temperatur, neque tamen ideo a docta recedit diligentia. Selectis utitur plerumque vocibus, etsi non semper genuinum illæ suum servent usum. Interdum enim ob nudam figurarum deflectionem in frigidam incidit dictionem: et est ubi ad poeticum potius stylum delabitur. Vincit autem seipsum, præstantiorque est, dum in descriptionibus ac laudationibus versatur. Religionis item

D

VARIÆ LECTIONES.

[84] τῷ post καὶ om. A. [85] γνωμονικῆς C ς. [86] προτροπῆς ς. [87] διεξερχόμενος.

NOTÆ.

(63) Συντάξεις quales mox quinque numerantur.

amans, Christianorum sacra ritusque veneratur: nisi quod nescio qua negligentia, et sine ulla causa, cum minime decet, fabulas historiasque gentilium scriptis suis admisceat : interdum etiam cum de rebus sacris disserit. Varia autem plurimaque ab illo litterarum monumentis prodita in manibus versantur. Reperias enim ejus fictorum (64) argumentorum orationes panegyricas (65), lamentabiles, nuptiales, refutationes, et id genus alia. Æqualis fuit Justiniani Augusti, discipulus vero Procopii rhetoris (non illius (66) Cæsariensis tamen) **103***a* unius e summis viris : qui temporibus illis multa et utilia scribendo, perpetuam sui memoriam hominibus paululum modo humanioribus reliquit. Altero (67) item in ea ipsa sua patria doctore usus est, perinde rhetore, cui jam ætate affecta gratissimum accidit discipulum suum videre docendi pro se munus occupantem. Hujus quoque libri multi (68) variæque doctrinæ circumferuntur, lectu atque imitatione digni. Est item liber ejus integer *Homericorum versuum Metaphrases* (69), variis dicendi formis commutatæ, quæ summam viri cum dicendi facultatem, tum declamitandi vim satis per se queant ostendere, quam virtutem, quoad ejus a discipulo fieri potest, in Orationibus Choricius expressit. Uterque pius est, ac sæpenumero in suis orationibus, neque abs re, de sacro faciendarum imaginum usu disserunt. Ex Procopii vero præceptoris obitu epitaphii argumentum Choricio est oblatum.

A ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας Ἑλληνικὰς, οὐ δέον [88], ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν [337 R.] ἔστιν ὅτε καὶ ἱερολογῶν. Ποικίλα δὲ αὐτοῦ καὶ πολλὰ συγγράμματα φέρεται · πλασματικοῖς τε γὰρ καὶ πανηγυρικοῖς καὶ μονῳδίαις καὶ ἐπιθαλαμίοις καὶ ἀντιρρητικοῖς ἔστιν αὐτοῦ λόγοις ἐντυχεῖν καὶ τοιούτοις ἑτέροις. Ἤκμασε δὲ ἐν τοῖς Ἰουστινιανοῦ χρόνοις. Γέγονε δὲ μαθητὴς Προκοπίου ῥήτορος, ἑνὸς τῶν ἀρίστων, οὐ τοῦ Καισαρέως δὲ, ὃς εἰς μέγα κτῆμα καὶ ὄφελος κατ' ἐκεῖνο καιροῦ τὰς ἱστορικὰς [89] γραφὰς συντάξας ἀείμνηστον αὐτοῦ κλέος τοῖς σπουδαιοτέροις καταλέλοιπεν · ἑτέρῳ δέ τινι προσωμίλησεν ἐν τῇ αὐτῇ πατρίδι καὶ αὐτῷ λαχόντι σοφιστεύειν, ὃν καὶ εἰς γῆρας ἐλάσας ἡδέως εἶχεν ὁρᾷν ἀνθ' ἑαυτοῦ τὸν ὁμιλητὴν τῆς σχο-
B λῆς ἐξηγούμενον. Τούτου λόγοι πολλοί [90] τε καὶ παντοδαποὶ φέρονται, ἄξιον ζήλου καὶ μιμήσεως χρῆμα, καὶ δὴ καὶ βιβλίον ὅλον, στίχων Ὁμηρικῶν Μεταφράσεις εἰς ποικίλας λόγων ἰδέας ἐκμεμορφωμέναι αἱ μάλιστα τὴν τοῦ ἀνδρὸς περὶ ῥητορικὴν δύναμιν καὶ μελέτην ἱκαναὶ πεφύκασιν ἀπαγγέλλειν · οὗ τινος, ὡς ἔστι δυνατὸν μαθητῇ, Χορίκιος μιμητὴς κατὰ τοὺς λόγους γέγονεν. Ἄμφω δὲ ἦστην εὐσεβέε [91], καὶ πολλαχοῦ τοῖς λόγοις αὐτῶν, οὐδὲ παρέργως, περὶ τῆς ἱερᾶς εἰκονουργίας διαλαμβάνουσιν. Γέγονε δὲ Χορικίῳ καὶ ἡ τοῦ διδασκάλου τελευτὴ ἐπιταφίου ὑπόθεσις.

CLXI.

Sopatri Excerptorum variorum libri XII.

Lectæ sunt *Eclogæ variæ doctrinæ* libris duodecim Sopatri sophistæ (70). Collegit autem hoc opus e multis et diversis historicis, atque scriptoribus. Primus itaque liber de fabulosis gentium diis agit. Electa hæc ex Apollodori (71) libro tertio *De diis*, qui patria Atheniensis grammaticam docuit. Nec vero e tertio duntaxat libro hæc selegit ; sed et e quarto, quinto, ac nono. Item e primo, duodecimo, decimo quinto, et decimo sexto, usque ad quartum et vicesimum. Quibus collectaneis, quæ de diis fabulose ficta sunt, quæque historice narrantur, complectitur universa, ut et de heroibus, ac Dioscuris (72), de iis item, qui apud inferos degunt, aliaque id genus plurima. Colligit hæc quoque et secundo libro Jubæ (73) *De pictura*, et

C

ΡΞΑ.

Σωπάτρου Ἐκλογαὶ διάφοροι ἐν βιβλίοις ιβ΄.

Ἀνεγνώσθησαν Ἐκλογαὶ διάφοροι ἐν βιβλίοις [92] ιβ΄ Σωπάτρου σοφιστοῦ. Συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων. Τὸ μὲν οὖν πρῶτον περὶ τῶν παρ' Ἕλλησι μυθολογουμένων Θεῶν διαλαμβάνει · ὃ συνείλεκται ἐκ τῶν Ἀπολλοδώρου Περὶ Θεῶν γ΄ λόγου (Ἀθηναῖος δὲ ὁ Ἀπολλόδωρος, καὶ γραμματικὸς τὴν τέχνην). Οὐκ ἐκ τοῦ τρίτου δὲ μόνον ἡ διαλογὴ αὐτῷ πεποίηται, ἀλλὰ δὴ καὶ ἐκ δ΄ καὶ ε΄ καὶ θ΄, τοῦ τε [93] α΄ πάλιν καὶ ιβ΄ τε΄ [94] τε καὶ ις΄ [95] καὶ μέχρι τοῦ κδ΄. Ἐν ᾗ συλλογῇ τά τε μυθικῶς περὶ θεῶν [96] διαπεπλασμένα, καὶ εἴ τι καθ' ἱστορίαν εἴρηται, περιείληφε, περί τε τῶν παρ' αὐτοῖς ἡρώων καὶ Διοσκούρων, καὶ περὶ τῶν ἐν ᾅδου, καὶ ὅσα παραπλήσια.
D Ἔτι δὲ καὶ συνείλεκται αὐτῷ ἡ βίβλος καὶ ἐκ τοῦ

VARIÆ LECTIONES.

[88] δέον οὐ ἐγκ. ς. [89] ἱστορικὰς add. A. [90] λόγοι πολλοί] vid. Boissonad. ad Marin. p. 76. [91] εε in εὐσεβέε corr. A. [92] βίβλοις A. [93] τε post τοῦ om. A. [94] νε A : καὶ ιε΄ ς. [95] καὶ ante μέχρι add. A. [96] θεῶν] αὐτῶν. A.

NOTÆ.

(64) Μονῳδίας, quas describit Suidas, aliique.
(65) Quem *Illustrem* Suidas nominat.
(66) Ut *Historiarum* libros, de quibus supr. cod. 63.
(67) Procopio Gazæo, ex Max. Margunii scholio.
(68) Quos habes infr. cod. 206 et 207.
(69) Qualem scripsisse Dorionem meminit Seneca rhetor Suasor. I, ad quem locum plures notavimus.
(70) Quem Suid. Apameensem, sive Alexandrinum potius putat.
(71) Est hujus mentio infr. cod. 186, in fine, et in Prolegomenis Bened. Ægii ad ejusdem Apollodori Bibliothecam.
(72) Castore, et Polluce.
(73) Lege Suidam de hoc regum doctissimo et multis eruditissime scriptis libris clarissimo.

δευτέρου λόγου τῶν [97] Περὶ γραφικῆς Ἰόβα, καὶ μὴν καὶ [98] ἐκ τῶν Ἀθηναίου τοῦ Ναυκρατίτου Δειπνοσοφιστῶν. Καὶ ὁ μὲν πρῶτος λόγος ἐκ τούτων ἠθροίσθη καὶ τάδε περιλαμβάνει.

Ὁ δὲ δεύτερος ἔκ τε τῶν Σωτηρίδα Παμφίλης Ἐπιτομῶν πρώτου λόγου καὶ καθεξῆς μέχρι τοῦ δεκάτου, καὶ [176 H] ἐκ τῶν Ἀρτέμωνος τοῦ Μάγνητος Τῶν κατ' ἀρετὴν γυναιξὶ πεπραγματευμένων διηγημάτων, ἔτι δὲ καὶ ἐκ τῶν Διογένους τοῦ Κυνικοῦ Ἀποφθεγμάτων, καὶ μὴν καὶ ἐξ ἄλλων διαφόρων, ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου [99] τῆς Σαπφοῦς. ἐν οἷς καὶ ἡ δευτέρα βίβλος τῶν συλλόγων.

Ὁ δὲ τρίτος λόγος συλλέγεται αὐτῷ ἐκ τῆς Φαβωρίνου Παντοδαπῆς Ὕλης [1], ἔκ τε τοῦ ν καὶ τοῦ [2] ξ καὶ καθεξῆς, πλὴν τοῦ τ, μέχρι τοῦ ω, ἐν οἷς διάφοροι ἱστορίαι καὶ τῶν κατὰ τὰ ὀνόματα θέσεων αἰτιολογίαι καὶ τοιαῦτα ἕτερα· εἰς ἃ καὶ ὁ τρίτος αὐτῷ συμπεραίνεται λόγος.

Ὁ δὲ τέταρτος αὐτῷ λόγος ἔκ τε ἀνεπιγράφου αὐτῷ βιβλίου συνηθροίσθη (Θαυμάτων δὲ μόνον ἐπιγράφεται Συναγωγὴ τὸ [340 R.] βιβλίον) καὶ ἐκ τῶν τοῦ Ἀριστοξένου Συμμίκτων ὑπομνημάτων, οὐκ ἐκ πάντων δὲ, ἀλλ' ἔκ γε τοῦ ἑνκαιδεκάτου λόγου μόνου, καὶ ἐκ τοῦ ὀγδόου λόγου τῆς [3] Ῥούφου Δραματικῆς ἱστορίας· οἷς παράδοξά τε καὶ ἀπίθανα μάλιστα ἔνεστιν [4] εὑρεῖν, καὶ τραγῳδῶν καὶ κωμῳδῶν διαφόρους [5] πράξεις τε καὶ λόγους καὶ ἐπιτηδεύματα, καὶ τοιαῦθ' ἕτερα. Ἀλλ' ἐν τούτοις μὲν καὶ ὁ τέταρτος.

Ὁ δὲ πέμπτος σύγκειται αὐτῷ ἔκ τε τῆς Ῥούφου Μουσικῆς Ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου ᾧ τραγικῶν τε καὶ κωμικῶν ποικίλην ἱστορίαν εὑρήσεις· οὐ μόνον [6] δὲ, ἀλλὰ καὶ διθυραμβοποιῶν τε καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἐπιθαλαμίων τε ᾠδῶν καὶ ὑμεναίων καὶ ὑποχρημάτων ἀφήγησιν, περί τε ὀρχηστῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς Ἑλληνικοῖς θεάτροις ἀγωνιζομένων, ὅθεν τε καὶ ὅπως οἱ τούτων ἐπὶ μέγα κλέος παρ' αὐτοῖς ἀναδραμόντες γεγόνασιν, εἴτε ἄῤῥενες εἴτε καὶ τὴν θήλειαν φύσιν διεκληρώσαντο· τίνες τε τίνων ἐπιτηδευμάτων ἀρχὴ διεγνώσθησαν, καὶ τούτων δὲ τίνες τυράννων ἢ βασιλέων ἐρασταὶ καὶ φίλοι γεγόνασιν· οὐ μὴν ἀλλὰ καὶ τίνες τε οἱ ἀγῶνες καὶ ὅθεν, ἐν οἷς ἕκαστος τὰ τῆς τέχνης ἐπεδείκνυτο. Καὶ περὶ ἑορτῶν δὲ, ὅσαι πάνδημοι τοῖς Ἀθηναίοις. Ταῦτα δὴ πάντα, καὶ εἴ τι ὅμοιον, ὁ πέμπτος ἀναγινώσκοντί σοι παραστήσει λόγος.

Ὁ δὲ ἕκτος αὐτῷ συνελέγη λόγος ἔκ τε αὐτῆς [7] Ῥούφου Μουσικῆς βίβλου πέμπτης καὶ τετάρτης, αὐλητῶν δὲ καὶ αὐλημάτων ἀφήγησιν ἔχει, ἄνδρες τε ὅσα ηὔλησαν καὶ δὴ καὶ γυναῖκες. Καὶ Ὅμηρος

A vero etiam ex Athenæi Naucratitæ filii *Dipnosophistis*. Et ex his quidem primus liber compositus, tantumdemque comprehendit.

Aliter deinde liber e Pamphiles (74) Soteridæ filii *Epitomarum* libro primo, ac deinceps ad decimum usque, et ex Artemonis Magnetis filii *Narrationibus de recte factis mulierum*. Ad hæc etiam e Diogenis Cynici *Apophthegmatis*, aliisque diversis. Quin et ex octavo libro Sapphus. Quæ secundi libri collectanea sunt.

103*b* Tertius tum liber legitur ex *Omnigena* Favorini *Silva* (75), ex ejus, inquam, N, Ξ, et ordine sequentibus, uno excepto T, usque ad Ω. Variæ hic afferuntur historiæ, et impositorum nominum rationes, atque id genus alia, in quæ tertius desinit liber.

Quartus autem ex incerti auctoris libro concinnatus, cujus titulus est: *Admirandorum Collectanea*, et ex Aristoxeni (76) *Miscellaneorum commentariis*, ac ne iis quidem omnibus, sed a decimo sexto duntaxat libro, atque ex octavo libro Rufi, *Dramaticæ Historiæ*. Hic incredibilia atque inopinata maxime reperias, et cum tragœdorum, tum comœdorum varia gesta, sermones, vitæque instituta, et similia, ex quibus quartus liber conficitur.

Quintus vero collectus e Rufi *Musicæ historiæ* libris primo, secundo, et tertio, ubi tragicorum, ac comicorum variam invenies historiam. Quin et dithyrambos scribentium, et aulœdorum ac citharœdorum, epithalamiorumque carminum, et hymenæorum, atque cantilenarum in chorea enumerationem. Item de saltatoribus, aliisque in Græcorum theatris usitatis certaminibus. Unde item, et quo genere nati fuerint, qui apud ipsos viri sive feminæ, ad summum in his decus pervenerunt. Quinam etiam singulorum auctores ac principes studiorum exstiterint: et qui horum regibus aut imperatoribus in deliciis, et amici fuerint. Hoc amplius, qui ludi, et unde, in quibus artem quisque suam ostendit. De festis quoque diebus, qui a toto Atheniensi populo celebrantur. Hæc igitur omnia, et si quid his forte simile, legentibus quintus liber, exhibet.

Sextus ab illo collectus liber, ex ejusdem Rufi *Musicæ historiæ* libro quarto, et quinto. Tibicinum vero, et carminum, quæ vel a viris, vel a feminis ad tibiam cantata fuere, narratio instituitur. Home-

VARIÆ LECTIONES.

[97] τῶν] τοῦ A. [98] καὶ ante ἐκ om. A. [99] λόγου AC : βίβλου ς. [1] πύλης C. [2] τοῦ ante ξ add. A. [3] τῆς τοῦ P ς. [4] μάλιστα ἔνεστιν A. ἔστιν ς. [5] διαφόρους add. A. [6] μόνον A : μὴν η'. [7] αὐτῆς αὐτοῦ A.

NOTÆ.

(74) De quo etiam infr. cod. 75, et Suid.
(75) Videndus de hoc Suidas, et frequens ejus apud Agel. mentio.
(76) Quem vel ex Suida noveris.

rus item, Hesiodus, et Antimachus poetæ, aliique plurimi ex hoc poetarum genere, magnam hujus narrationis partem efficiunt. Addit vero et de feminis vaticinandi arte claris. Quæ item, et unde dictæ Sibyllæ. Atque hæc quidem a Rufo mutuatur. Sumitet e secundo libro **104***a Halieuticon* Damostrati (77). Quin et ex Diogenis Laertii *De philosophorum vita*, libro primo, quinto, nono, et decimo, ubi philosophorum res exponit. Unde nimirum nata primum divina illa res philosophia, utque viguerit : qui quarum sectarum auctores ac principes exstiterint, quos quisque sui studiosos, aut artis forsitan æmulos habuerit, quos singuli mores præ se tulerint, unde genus duxerint ; quale ab initio vitæ genus sectati sint, quibusque temporibus floruerint. Hinc de rhetoribus, rebusque ad artem dicendi pertinentibus, ex hoc cognoscas libro licet. Idem etiam ex Ælii Dionysii (78) scriptis *De Alexandria urbe* decerptus liber, et ex Hellanici *Ægyptiacis*. E quibus ubi fabulosa et fictitia multa cum aliorum item magna varietate collegeris, in sexti tandem libri extremum incides.

Septimus postea liber ex Herodoti *Historia* velut e floribus eleganter ac varie contextus est.

Octavus autem liber excerpta continet e veteri quodam codice (79), qui ille ipse, cui colligentis haud est ascriptum nomen. Feminas hic recenset, quarum illustris gloria famaque esset : virorum item quorumdam præclare gesta, et ab his instituta dicendi artis gratia colloquia. Amicitiæ quoque vim, et proborum hominum apophthegmata refert. Sublegit hæc Plutarchi opuscula (80) : *Quomodo adolescentem audire deceat poetas* ; *De natura et laboribus*. Ut nimirum multi sæpenumero labore vitiosam naturam correxerint ; alii contra bonam ignavia corruperint : utque in multis, qui in pueritia tardi omnibus videbantur, atque inepti, florente post ætate acrius ingenium ac perspicacius emicuerit. Librum item, *De inutili verecundia* ; *De garrulitate* ; *De iracundia* ; *Quomodo quis ex inimicis utilitatem capiat* ; *De animi tranquillitate* ; *Politicas ipsius præceptiones* ; *De divitiis* ; *Quomodo se quis in virtute proficere sentiat*. Rursum *Valetudinis tuendæ*, et *Conjugales ejusdem præceptiones*. In quibus plurima reperias cum gesta prædicatione digna, tum ad multa tibi perutilia. Hæc fere octavus liber complectitur.

Jam nonus ex ejusdem similiter Plutarchi libellis compendio factus. Ut ex opusculo *De sera Numinis*

A δὲ αὐτῷ καὶ Ἡσίοδος καὶ Ἀντίμαχος οἱ ποιηταὶ τῆς διηγήσεως μέρος, καὶ τῶν ἄλλων πλεῖστοι τῶν εἰς τοῦτο τὸ γένος τῶν ποιητῶν ἀναγομένων. Ἔτι δὲ καὶ περὶ γυναικῶν μαντικῶν ἀναγράφει, τίνες τε καὶ ὅθεν αἱ καλούμεναι Σίβυλλαι, καὶ ταῦτα μὲν ὡς ἀπὸ τῶν Ῥούφου, σύγκειται δὲ αὐτῷ καὶ ἐκ τῶν Δαμοστράτου Ἁλιευτικῶν δευτέρου λόγου [8], καὶ ἐκ τῶν Λαερτίου Διογένους Φιλοσόφων βίων βιβλίου πρώτου καὶ πέμπτου ἐννάτου τε [9] καὶ δεκάτου, ἐν οἷς τὰ περὶ τῶν φιλοσόφων διέξεισιν, ὅθεν τε τὸ φιλοσοφίας ἱερὸν χρῆμα τὴν ἀρχὴν ἔφυ, καὶ ὅπως ἤκμασε, τίνες τε τίνων αἱρέσεων ἀρχηγοὶ καὶ προστάται κατέστησαν, τίνας τε ἔσχον ἐραστὰς καὶ τίνας ἀντιτέχνους τίνες, ποῖόν τε ἕκαστος [177 H.] αὐτῶν ἐπεδείκνυτο ἦθος, καὶ ποθεν εἵλκε τὸ γένος, B καὶ οἷον τὸ ἐξ ἀρχῆς ἐπιτήδευμα, καὶ πότε καιροῦ ἤκμασε. Καὶ περὶ ῥητόρων δὲ καὶ ῥητορικῆς τὰ παραπλήσιά σοι ἔστιν ἐκεῖθεν ἀναλαμβάνειν. Ἔτι μὴν [10] σύγκειται ὁ αὐτὸς λόγος καὶ ἐκ τῶν Αἰλίου Δίου [11] Περὶ Ἀλεξανδρείας, καὶ ἐκ τῶν Αἰγυπτιακῶν Ἑλλανίκου [12], δι' ὧν μυθικά τε καὶ πλασματικὰ πολλὰ συλλέξας καὶ διάφορα ἕτερα εἰς τὸ τέλος τοῦ ἕκτου λόγου καταντήσεις.

Ὁ δὲ ἕβδομος αὐτῷ λόγος διήνθισται ἐκ τῆς Ἡροδότου Ἱστορίας.

Ὁ δὲ ὄγδοος ἐκ τόμου τινὸς ἀρχαίου· ἐκλογαὶ καὶ αὐτὸ τυγχάνει τὸ βιβλίον, οὐκ ἔχον ἐπιγραφόμενον τὸν συνηθροικότα· ἐν οἷς τὰς εἰς μέγα δόξης καὶ ὄνομα λαμπρὸν ἀρθείσας γυναῖκας καταλέγει, καὶ ἀνδρῶν ἐνίων ἔργα, καὶ ἐπὶ παιδείᾳ λόγων συνουσίας, ἀρετήν τε αὖ φιλίας, καὶ τῶν σπουδαίων C ἀποφθέγματα [341 R.] Σύγκειται δὲ αὐτῷ καὶ ἐκ τῶν Πλουτάρχου Περὶ τοῦ πῶς δεῖ τὸν νέον ἀκούειν ποιημάτων. Περί τε φύσεως καὶ πόνων, ὅπως τε πολλοὶ πολλάκις πόνῳ τὴν φύσιν οὐκ εὖ φερομένην ὠρθωσαν, ἕτεροι δὲ καλῶς ἔχουσαν ἐξ ἀμελείας διέφθειραν, ὅπως τε ἔνιοι ἐν μὲν νέοις βραδεῖς ἐνωρῶντο πᾶσι ἀσύνετοι, ἀκμασάντων δὲ εἰς τὸ ταχὺ καὶ συνετὸν αὐτοῖς ἡ φύσις ἐξέλαμψε· καὶ ἐκ τοῦ Περὶ δυσωπίας δὲ λόγου, καὶ Περὶ ἀδολεσχίας, καὶ Περὶ ὀργῆς, καὶ ἐκ τοῦ Πῶς ἄν τις ὑπὸ ἐχθρῶν ὠφελοῖτο, καὶ Περὶ εὐθυμίας δὲ, καὶ Τῶν πολιτικῶν αὐτοῦ παραγγελμάτων, Περί τε πλούτου, καὶ Ὅπως ἄν τις συναισθοιτο ἑαυτοῦ πρὸς ἀρετὴν ἐπιδιδόντος, ἔκ τε τῶν Ὑγιεινῶν αὐτοῦ καὶ γαμικῶν παραγγελμάτων. Ἐν οἷς ἔστιν εὑρεῖν πλεῖστα καὶ ἀξιομνημόνευτα, λόγους καὶ [13] ἔργα, D καὶ πρὸς πολλά σοι χρησιμεύοντα. Ταῦτα μὲν καὶ ἐκ τούτων καὶ [14] ὁ ὄγδοος λόγος.

Καὶ δὴ καὶ ὁ ἔννατος αὐτῷ ὁμοίως ἐκ τῶν Πλουτάρχου συνετμήθη, ἔκ τε τοῦ Ὅτι βράδιον οἱ [15]

VARIÆ LECTIONES.

[8] ἐκ τοῦ δευτέρου λόγου τῶν Δαμ. ἁλ. ς. [9] τε om. pr. A. [10] μὲν ς. [11] Δίου A ; δι' οὗ ς. Hoeschelius Διονυσίου. [12] ἑλανίκου A. [13] λόγους καὶ A· ἐν λόγοις ς. [14] καὶ ante ὁ add. A. [15] οἱ add. A.

NOTÆ.

(77) Qui et a Suida referuntur. Meminit item Ælian. *Hist. animal.* lib. XIII, cap. 21.

(78) Αἰλίου Διονυσίου emendo cujus supr. Lexicon Atticarum vocum legas 232.

(79) Superiore pag. forsitan indicatus.

(80) Quorum omnium Catalogum texuit Lampriας a Suida laudatus et nuper evulgatus. — Quæ autem ex his interciderunt, ea tibi asterisco indicanda putavi.

θεοὶ τιμωροῦνται, καὶ δὴ καὶ ἐκ τοῦ Βίου Δημητρίου καὶ Βρούτου τοῦ Ῥωμαίου, καὶ ἐκ τοῦ λόγου ὃς ἐπιγέγραπται αὐτῷ, Ἀνδρῶν ἐνδόξων Ἀποφθέγματα, ἔκ τε τοῦ Περὶ ποταμῶν [15_16], καὶ Πῶς ἂν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου, καὶ μὴν καὶ ἐκ τοῦ Κράτητος βίου, Δαϊφάντου τε [17] καὶ Πινδάρου, καὶ ἐκ τοῦ βιβλίου δὲ ὃ ἐπιγέγραπται αὐτῷ Βασιλέων καὶ στρατηγῶν Ἀποφθέγματα, σὺν οἷς καὶ ἐκ τῶν Συμποσιακῶν αὐτοῦ ἀπό τε τοῦ πρώτου καὶ ἑφεξῆς μέχρι τοῦ ὀγδόου. Καὶ ἀπὸ μὲν τῶν Πλουτάρχου ἐκ τούτων· συνείλεκται δὲ καὶ ἐκ τῆς Ῥούφου Ῥωμαϊκῆς Ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου καὶ τετάρτου, ἐν οἷς ἔστι περιτυχεῖν πολλοῖς ἀξιολόγοις, εἰ καὶ ἔνια αὐτῶν εἰς μύθους καὶ μακρὸν ἐκπίπτουσι [18] λῆρον. Ἀλλ' ὧδε μὲν καὶ ὁ ἔννατος.

A *vindicta*, e Vita Demetrii ac Bruti Romani ; ex libro cujus index est **104***b* *Clarorum virorum Apophthegmata*. Ex libello *De fluminibus* (81) ; *Quomodo assentatorem ab amico discernas*.* Rursum ex Cratetis Vita,* Daiphantique , et* Pindari : et ex opusculo, quod *Regum atque imperatorum Apophthegmata* inscripsit ; atque ex *Convivalium* ejus *Sermonum* libris, a primo ad octavum usque. Hæc fere Plutarchus suppeditavit. Allata vero nonnulla e Rufi *Historiæ Romanæ* libris, primo, secundo, tertio et quarto : in quibus occurrent pleraque memoratu non indigna, tametsi horum quædam in fabulas incidant, et prolixiores nugas. Ita se nonus habet liber.

Ὁ δέκατος δὲ συνηθροίσθη ἔκ τε τῆς Κεφαλίωνος Ἐρατοῦς, διαλαμβανούσης τὰ κατὰ Ἀλέξανδρον, καὶ δὴ καὶ ἐκ τῶν Ἀπολλωνίου τοῦ Στωϊκοῦ, ὅσαι γυναῖκες ἐφιλοσόφησαν ἢ καὶ [19] ἄλλως τι ἐπίδοξον διέπραξαντο, καὶ δι' ἃς οἰκίαι [20] εἰς εὔνοιαν συνεχράθησαν, καὶ ἐκ τῶν Θεαγένους δὲ Μακεδονικῶν πατρίων, ἔκ τε τῶν Πλουτάρχου περὶ βίων Νικίου καὶ Ἀλκιβιάδου [178 H], Θεμιστοκλέους τε καὶ Θησέως καὶ Λυκούργου Σόλωνός τε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, ἔκ τε τῶν βίων Κίμωνος καὶ Περικλέους καὶ Πελοπίδου καὶ Φωκίωνος καὶ Ἀριστείδου, ὧν τὰ πλεῖστα ἀξιαφήγητά τε καὶ ἀξιομνημόνευτα. Ἀλλ' ἐν τούτοις μὲν καὶ ὁ δέκατος.

B Decimus vero coaluit e Cephalionis (82) Erato, quo libro Alexandri gesta referuntur. Item ex Apollonii Stoici libris, quæ sint unquam mulieres philosophatæ, quidve aliud præclare gesserint, et per quas familiæ aliquando in concordiam redactæ, ex Theagenis quoque *Macedonicis patriis*. Rursum e Plutarchi Vitis Niciæ, Alcibiadis, Themistoclis, Thesei, Lycurgi, Solonis et Alexandri Philippi filii. Item e Vitis Cymonis, ac Lysandri, Demosthenis, Periclis, Pelopidæ, Phocionis, et Aristidæ : quorum pleraque memoranda, admiratione que digna. Atque hic decimus liber est.

Ὁ δὲ ἑνδέκατος ἔσχε τὴν συναγωγὴν ὁμοίως ἐξ ὧν Πλούταρχος συνέταξε βίων, Ἐπαμινώνδου [21] καὶ Δίωνος καὶ Ἀγησιλάου καὶ Ἄγιδος καὶ Κλεομένους, Εὐμένους τε τοῦ Καρδιανοῦ καὶ Φιλοποίμενος καὶ Τιμολέοντος καὶ Ἀράτου, ὃς δημαγωγὸς καταστὰς τῶν Ἀχαιῶν ἑπταεκαιδεκάκις ἐν αὐτοῖς ἐστρατήγησε, μεγάλα πράξας στρατηγῶν ἔργα· καὶ δὴ καὶ ἐκ τοῦ βίου Πύρρου τοῦ Ἠπειρώτου, ἀλλὰ μὴν καὶ ἐκ τῶν Ἀριστοφάνους τοῦ γραμματικοῦ Περὶ ζώων βιβλίου πρώτου καὶ δευτέρου, καὶ ἐκ τῆς [22] Ἰόβα τοῦ βασιλέως Θεατρικῆς Ἱστορίας ἑπταεκαιδεκάτου λόγου· Οὕτω μὲν καὶ ὁ ἑνδέκατος.

C Undecimus perinde e Plutarchi Vitis selecta continet, puta Epaminondæ, Dionis, Agesilai, Agidis, Cleomenis, Eumenis Cardiani, Philopœmenis, Timoleontis, et Arati, qui Achæorum creatus tribunus plebis decies septies copias eorum duxit, multa in eo imperio præclare gerens. Rursum e Vita Pyrrhi Epirotarum regis. Quin et ex Aristophanis (83) grammatici, *De animalibus* libro primo, et secundo, atque ex *Historiæ theatricæ* (84) Jubæ regis libro decimo septimo. Atque his quidem undecimus liber constat.

Ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων, καὶ ἐκ τῆς Καλλιξένου Ζωγράφων τε [23] καὶ ἀνδριαντοποιῶν Ἀναγραφῆς, καὶ ἐκ τῶν Ἀριστονίκου [24] Περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ μουσείου, καὶ ἐκ τῶν Ἀριστοτέλους Πολιτειῶν, Θετταλῶν τέ φημι καὶ Ἀχαιῶν καὶ Παρίων [344 R.] Λυκίων τε καὶ Κίων, καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει· ὧν τὸ χρήσιμον οὐκ ἄδηλον. Ἀλλ' ἐν τούτοις μὲν Σωπάτρῳ καὶ ὁ δωδέκατος τῶν συλλογῶν πόνος.

D Duodecimus denique coacervatus est e variis: ut e Callixeni *Pictorum ac statuariorum Relatione ;* ex Aristonico, *De Museo Alexandrino ;* ex Aristotelis, *Politicis ;* Thessalorum, inquam, Achæorum, **105***a* Pariorum, Lyciorum ; Chiorum, atque adeo omnium (85) quos ille suis in Politicis commemorat, quorum non vulgarem esse usum constat. Qua in re Sopatri labor hoc duodecimo ejus libro consumitur.

VARIÆ LECTIONES.

[16] ποταμοῦ A. [17] τε add. A. [18] ἐπιπίπτουσι ς. [19] καὶ post ἢ om. pr A. [20] οἰκίαι AC : οἰκείας ς. [21] Ἐπαμεινώνδου ς. [22] τῆς] τῆς τοῦ ς. [23] ζωγρ.] καὶ ζωγρ. ς. [24] ἀριστονείκου A.

NOTÆ.

(81) Et montibus ; exstatque hodie, sed alterius esse Plutarchi critici judicant.

(82) Quem novem Musarum appellatione historicam Epitomen scripsisse supra retulit Photius cod. 63. Unum autem hinc elementum *α* fugisse suspiceris cum κεφαλαίων ibi dictus sit, nisi apud Suid. κεφαλίων ἢ κεφάλων legeretur.

(83) Cujus apud Suidam mentio.

(84) Hujus operis librum IV ab Athenæo laudatum reperies lib. IV.

(85) Quorum nomina aliquot collegit diligenter Is. Cas. cod. Laertii lib. V.

Magnam sane utilitatem hæc legentibus lucubratio affert. Etsi enim fabulis, prodigiis, mendaciis, atque incredibilibus, ut sæpius a me dictum, non caret, ex his ipsis tamem, quæ ad variam veluti e penu aliquo promendam doctrinam faciunt, etiam ad virtutem atque honestatem facientia decerpere quam plurima licet. Ad bene dicendi vero facultatem, ut ipsemet ad amicos præfatur, non modicum eadem afferunt emolumentum, insignemque utilitatem legenti pariunt. Dictio ejus varia, neque unius formæ, tametsi perspicuitatem in omnibus servarit.

A

Πολλὴν δὲ τὴν χρείαν τοῦτο δὴ τὸ φιλοπόνημα τοῖς ἀναγινώσκουσι παρέχεται· εἰ γὰρ καὶ μύθων καὶ τεράτων ψευδῶν τε καὶ ἀπιθάνων, ὥς μοι πολλάκις εἴρηται, οὐ καθαρεύει, ἀλλ' οὖν ἐν οἷς τε εἰς πολυμάθειαν ἐκ τοῦ ἑτοίμου συντελεῖ, καὶ πρὸς ἀρετὴν καὶ καλοκἀγαθίαν πλεῖστα ἔστιν αὐτῶν ἀπανθίσασθαι, πρός τε τὸ ῥητορεύειν καὶ σοφιστεύειν (ὡς καὶ αὐτὸς τοῖς ἑταίροις [25] γράφων προοιμιάζεται) οὐκ ἐλαχίστην φέρει ῥοπήν [26], ἱκανὸν εἰς χρείαν καθέστηκεν. Ἡ δὲ φράσις αὐτῷ ποικίλη καὶ οὐ μία τὴν ἰδέαν, εἰ καὶ διὰ πάσης τὸ σαφὲς ὤδευεν.

CLXII.

Eusebii episcopi (Thessalonicæ) contra Andream quemdam libri X.

Lecti sunt Eusebii cujusdam, ut dignitate episcopi (86), sic et fide orthodoxi, decem libri adversus Andream quemdam inclusum (87), qui horum illi scribendorum causam dedit. Scripserat enim hic ad Eusebium epistolam, quam παραναγνωστικὸν nominarat (88), jurejurando ipsum ad eam legendam adigens. Qua lecta, Eusebius primum quidem hominem increpat, imperitiam iuxta ejus (89), atque audaciam reprehendens, ostendendo in ipsis etiam syllabis lapsum; et cum versum nullum potuerit sine solœcismo facere, ad scribendum tamen sese extulisse, instituti sui, simul et quietis oblitum. Hæreticam dein illius sententiam pluribus refellere aggreditur. Erat enim ille ex eorum numero, qui ab improba quam tenebant opinione, *Aphthartodocetæ* (90) sunt dicti. Primum itaque ostendit illi rationem esse reddendam, cur in una duntaxat significatione *corruptionis* vocabulo accepto, de solo id peccato dici arbitretur : cum suo vocabulorum usu sancti Patres tradiderint, ad varias omnino res hanc vocem extendi. Secundo, quod immortale, et impatibile, et incorruptibile ex ipsa unitione corpus Christi Domini dixerit, quemadmodum et Julianus ausus (91) est asserere, cum tamen in eadem hac affirmet epistola contra Severum et Julianum, hunc a se susceptum esse laborem, ut qui duas naturas, vel substantias duas in Christo dicere non sustineant, neque duas proprietates, neque actiones duas. Tertio quod Adami corpus asserat ante lapsum, neque **105***b* mortale esse conditum, neque suapte natura corruptibile, ut nimirum ex hoc, pro ipsius opinione, illud item sequeretur, Christum Dominum ex ipsa conjunctione incorruptibile corpus, atque im-

B

C

D

ΡΞΒ'.

Εὐσεβίου ἐπισκόπου κατὰ Ἀνδρέου τινός λόγοι ι'.

Ἀνεγνώσθησαν Εὐσεβίου τινὸς (ἐπίσκοπος ἦν [27] τὸ ἀξίωμα καὶ τὴν πίστιν ὀρθόδοξος)· τούτῳ λόγοι ι' κατὰ Ἀνδρέου τινὸς ἐγκλειστοῦ συνεγράφησαν, τὴν αἰτίαν λαβόντες ἐκ τοῦ εἰρημένου ἐγκλειστοῦ. Οὗτος γὰρ ἔγραψεν ἐπιστολὴν Εὐσεβίῳ (παραναγνωστικὸν δὲ καλεῖ τὴν ἐπιστολήν), ὅρκοις αὐτὸν εἰς τὴν ταύτης ἀνάγνωσιν ἐκκαλούμενος· ἣν Εὐσέβιος ἀναγνοὺς πρῶτον μὲν τὸν ἄνθρωπον ἐπιτιμᾷ, ἀμαθίαν ἅμα καὶ θράσος ἐπικαλῶν, καὶ δεικνὺς καὶ περὶ αὐτὰς πταίοντα τὰς συλλαβάς, καὶ ὅτι μηδένα στίχον ἀσόλοικον εἰπεῖν δεδυνημένος, ὁ δὲ καὶ ἐπὶ τὸ συγγράφειν ἠρθη, τοῦ ἐπαγγέλματος καὶ τῆς ἐν ἀσκήσει ἡσυχίας ἐπιλελησμένος· εἶτα τὸ αἱρετικὸν αὐτοῦ φρόνημα διὰ πολλῶν ἀπελέγχει. Ἦν δὲ ἄρα τῶν λεγομένων ἀπὸ τῆς φαύλης δόξης τῶν ἐχόντων Ἀφθαρτοδοκητῶν. Καὶ πρῶτον μὲν δείκνυσιν αὐτὸν εὐθύνας ὑπέχοντα, ὅτι μονοσήμαντον τὸ τῆς φθορᾶς ἐξειληφὼς ὄνομα ἐπὶ μόνης ἁμαρτίας οἴεται τάττεσθαι, τῶν ἁγίων Πατέρων ἡμῶν, δι' ὧν ταῖς φωναῖς ἀπεχρήσαντο, κατὰ διαφόρων πραγμάτων [179 H.] τοῦτο τὸ ὄνομα φέρεσθαι παραδεδωκότων. Β' ὅτι [28] ἀθάνατον καὶ ἀπαθὲς καὶ ἄφθαρτον ἐξ αὐτῆς ἑνώσεως τὸ σῶμα τοῦ Κυρίου, ὥσπερ [29] ὁ Ἰουλιανός, ἐτόλμησεν ἀποφήνασθαι, καίτοι [30] διατεινόμενος ἐν αὐτῷ τῷ γράμματι κατὰ Σεβήρου [31] καὶ Ἰουλιανοῦ τὸν τοιοῦτον αὐτῷ διαπεπονῆσθαι πόνον, ἅτε δύο φύσεις ἢ **δύο οὐσίας** ἐπὶ Χριστοῦ εἰπεῖν ἐκείνων οὐκ ἀνεχομένων, οὐδὲ δύο ἰδιότητας, οὐδὲ δύο ἐνεργείας· Γ' ὅτι πρὸ τῆς παραβάσεως τὸ τοῦ Ἀδὰμ σῶμα οὔτε θνητὸν λέγει διαπεπλάσθαι οὔτε φθαρτὸν φύσει, ἵν' ἐκ τούτου καθ' ὁδὸν αὐτῷ [32] χωρήσῃ τὸ καὶ τὸν Χριστὸν ἐξ αὐτῆς ἑνώσεως σῶμα ἄφθαρτον ἀνειληφέναι καὶ ἀπαθὲς, δέον καὶ νοεῖν καὶ λέγειν ὡς τὸ τοῦ

A

B

C

D

VARIÆ LECTIONES.

[25] ἑτέροις ς. [26] ῥοπὴν καὶ ἱκανὸν ς. [27] ἦν A : οὗτος ἦν ς. [28] ὅτι] cf. Suidas v. Ἰουλιανὸς Ἁλικαρνασσεύς. [29] κυρίου ἐξεῖπεν ὥσπερ ς. [30] καίτοι add. A. [31] Σευήρου ς. [32] αὐτοῦ ς.

NOTÆ.

(86) Thessalonicæ, ut te docebit B. Gregor. Mag. epist. 69, lib. 9.

(87) Monachum ad. S. Paulum Romæ, ut ibi B. Greg.

(88) Quasi juxta legendum scriptum dicas, quod ex diverso et altrinsecus cum aliorum scriptis legatur, ut ea inter se componentur.

(89) Imperitum litterarum, et divinæ Scripturæ nescium appelat B. Greg. sup.

(90) Quasi dicas *incorruptionis assertores*. De quibus legendus Niceph. lib. XVII, cap. 29.

(91) Episc. Halicarnassensis, qui cum Severo Chalcedonense concilium prædicare abnuens, a Justiniano imp. sede pulsus est, ut ait Liberatus in Breviario, cap. 19.

Ἀδὰμ σῶμα θνητὸν ἦν φύσει καὶ παθητόν, θείᾳ δὲ A χάριτι ἀθάνατον διεφυλάττετο καὶ ἀπαθές, μέχρις ἂν αὐτὸ ἡ παράβασις τῆς φυλακῆς ἀπεγύμνωσεν· οὕτω γὰρ καὶ ὁ τῶν ἁγίων χορὸς ἀποφαίνεται. Δ' ὅτι τὸν παρόντα κόσμον ἄφθαρτον καὶ ἀνώλεθρον λέγει, δέον εἰδέναι ὅτι φθαρτὸς καὶ ἀλλοιωτός. Καὶ [33] ἕτερα δὲ σὺν τούτοις κεφάλαια κατὰ τὴν πρώτην ἀντιγραφὴν ὁ ἐπίσκοπος, τὰ μὲν ἀσαφῶς, τὰ δὲ [34] βλασφήμως ἀπελέγξας ἔχοντα, διορθωθῆναι παρηγγυήσατο [35] τὸν Ἀνδρέαν.

patibile assumpsisse. Ubi sentiendum ipsi fuerat, atque dicendum Adami corpus mortale quidem natura sua fuisse, ac patibile, verum divina gratia immortale atque impatibile custoditum, donec eum prævaricatio custodia illa privavit. Hæc enim concors est sanctorum Patrum sententia. Quarto, quod hunc mundum incorruptibilem, interitusque expertem asserat, cum tenendum sit corruptibilem eum esse, atque mutabilem. Plura id genus alia capita, prima hac responsione episcopus, partim obscure, partim blaspheme dicta reprehendens, corrigere hæc eadem Andream cohortatus est.

[345 R.] Ὁ δὲ δεξάμενος τὴν ἐπὶ τῇ διορθώσει παραίνεσιν ἐπὶ τὸ χεῖρον ἀπέκλινε, καὶ βιβλίον δεύτερον συνέταξεν, ἐν ᾧ καὶ τὰ προγεγραμμένα αὐτῷ [36] πλατύτερον καὶ (ὡς οἴεται) δι' ἀποδείξεων [37] συγχροτεῖ. Καθ' οὗ δὴ καὶ τὴν εἰρημένην δεκάλογον ὁ εὐσεβὴς Εὐσέβιος συντάττει, δι' ἧς ἐλέγχει [38] μὲν αὐτὸν ὡς μὴ ἀρεσθέντα τῷ τῆς πίστεως ὅρῳ, ὃν αἱ ἅγιαι ἐξέθεντο σύνοδοι, ἰδίαν δέ τινα τολμηρῶς συνταξάμενον ἔκθεσιν πίστεως· εἶτα δὲ καὶ ὅτι πολλὰ τῶν ἁγίων [39] ἀποσπαράξας ῥητὰ καὶ παραποιησάμενος εἰς τὴν ἰδίαν ὑπόληψιν ἐξεβιάσατο [40], καὶ ὅτι ἐναντιοῦται τῇ τε νέᾳ καὶ παλαιᾷ [41] Γραφῇ καὶ τοῖς ἁγίοις ἡμῶν Πατράσιν ἄφθαρτον καὶ ἀνώλεθρον τὸν κόσμον δοξάζων. Ἔτι δὲ καὶ ὅτι τὴν ἀλλοίωσιν καὶ μεταστοιχείωσιν καὶ ῥεῦσιν εὐδιάβλητα εἶναι λέγει ὥσπερ τὰ ἀπὸ κακίας πάθη, καὶ δὴ καὶ διὰ τοῦτο τὸν [42] Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναλλοίωτον καὶ ἀπαθὲς καὶ ἄφθαρτον καὶ ἄῤῥευστον ἀναλαβεῖν σῶμα. Καὶ πάλιν εἰπόντα διελέγχει ἀΐδιον καὶ ἄφθαρτον καὶ ἀγένητον τὸν κόσμον, τὴν δὲ λεγομένην πρὸς τὸ ἀΐδιον αὐτοῦ μεταστοιχείωσιν μὴ παραδεχόμενον, ἅτε καὶ αὐτῆς τῶν εὐδιαβλήτων [43] παθῶν παρ' αὐτῷ δογματιζομένης. Καὶ ὅτι τοῦ Ἀδὰμ ἄφθαρτον καὶ ἀθάνατον κατὰ φύσιν καὶ ἀπαθὲς διαπλασθῆναι λέγει τὸ σῶμα, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς ὁ χοῦς ἄφθαρτος ἦν, ἐξ οὗ τὸ σῶμα διεπλάσθη. Πάλιν ἐλέγχει αὐτὸν μονοσήμαντον τὸ τῆς φθορᾶς ὄνομα ἐξειληφότα, ἐν ᾧ καὶ δείκνυσιν ὅτι οὔτε φθορᾶς οὔτε θανάτου οὔτε τοῦ κατὰ κακίαν πάθους, ἀλλ' οὐδὲ τῶν ἁμαρτητικῶν λογισμῶν οὐδενὸς τούτων δημιουργὸς ὑπάρχει ὁ Θεός, εἰ καὶ τῶν φθαρτῶν καὶ τῶν [44] θνητῶν οὐσιῶν καθέστηκε δημιουργός· ἐκεῖνα γὰρ [180 H.] τῶν ἀνυπάρκτων [45] ἐστὶ καὶ καθ' ἑαυτὰ μὴ ἐχόντων ὑπόστασιν. Ἔτι δὲ διελέγχει αὐτὸν τὸ κυριακὸν σῶμα ἐξ αὐτῆς ἑνώσεως ἀπαθὲς καὶ ἄφθαρτον καὶ ἀναλλοίωτον ἀποφαινόμενον· ὅπερ ἵνα συστήσῃ, ὡς ἐνόμισε, δείκνυσιν αὐτὸν καὶ τὴν ἄλλην ἀτοπίαν περί τε τοῦ κόσμου καὶ τοῦ Ἀδὰμ ἀποφθέγξασθαι. Δείκνυσι δὲ ἐν ταὐτῷ ὁ Εὐσέβιος καὶ τὸ τῆς φθορᾶς καὶ

Verum ille, accepta de emendandis suis admonitione, in sinistram inclinavit, et deteriora arripuit (92). Alterum enim mox librum scripsit, quo planius ea quæ prius asseruerat, et (ut arbitratur) demonstratione quadam astruit. In quem librum decem hos, uti diximus, pius ille Eusebius conscripsit: quibus probat ipsum non contentum illis fidei terminis, quos sacra concilia statuissent, peculiarem quamdam fidei expositionem audacter composuisse: multa quoque sanctorum Patrum dicta decerpta atque adulterata, vi in suam detorsisse sententiam. Veteri ad hæc, et Novo Testamento, sanctis Patribus eum adversari, dum incorruptibilem et expertem interitus mundum asserit. Mutationem præterea illum, transformationem, ac fluxum, reprehendenda esse dicere, non minus quam illæ quæ ex vitiositate ortum habent perpessiones; ac Christum propterea Dominum nostrum immutabile corpus, atque impatibile, et incorruptum, minimeque fluxum assumpsisse. Rursum autem eum reprehendit, dum affirmat mundum hunc æternum esse, et ingenerabilem atque incorruptibilem; neque tamen elementorum illam transmutationem recipit, quæ ad æternitatem illius constituendam affertur, utpote quod hæc etiam inter illas passiones sit, quas reprehensibiles illæ esse certo docet. Deinde quod Adamum incorrupto et immortali suapte vi, et impatibili corpore effictum dicat: hoc amplius addito, ipsum quoque terræ lutum, ex quo formatum corpus erat, corruptionis expers fuisse. Reprehendit eumdem iterum quod *corruptionis* vocabulo, unicam duntaxat subesse notionem asseruerit. Ubi etiam illud demonstrat, neque corruptionis, **106***a* neque mortis neque vitiosæ alicujus passionis, sed neque culpandarum quidem cogitationum auctorem esse Deum, tametsi corruptibilum ac mortalium substantiarum auctor exsistat: quod illa de non exsistentium numero sint, et per se ipsa subsistentiam nullam habeant. Carpit item Andream, quod Christi Domini corpus ex ipsa Verbi unitione impatibile, incorru-

B C D

VARIÆ LECTIONES.

[33] καὶ om. A. [34] δὲ] δὲ καὶ ς. [35] παρεγγυήσατο A. [36] αὐτῷ om. pr. A. [37] ἀποδείξεως ς. [38] ἐλέγχει A; λέγει ς. [39] ἁγίων A: ἰδίων ς. [40] παρεβιάσατο ς. [41] παλαιᾷ καὶ νέᾳ ς. [42] εὐδιάβλητα Casaubonus: libri ἐνδιάβλητα. [43] τὸν] καὶ τὸν A. [44] τῶν add. A. [45] an forte ἐνυπάρκτων?

NOTÆ.

(92) Quare nec multo post damnatus in concil. Rom., ut refert card. Baron. ad ann. Chr. 601, sub fin.

ptibile, et incommutabile dixerit; ostenditque ipsum ad hoc stabiliendum, ut quidem putabat, reliqua illa de mundo, et Adamo absurde tradidisse. Demonstrat autem eodem hoc in opere Eusebius, quot quantisque notionibus corruptionis vocabula in sacris Litteris usurpentur. Etenim dici ait de naturalibus minimeque reprehendendis affectionibus, et de labore, morbo, atque senectute usurpari. Nam et adolescentiæ corruptio senectus est, ut et labores fatigationesque robur corporis destruunt. Dicitur insuper de corporis afflictione in Asceticis, ac spiritali certamine. Sic enim loqui Apostolum: « Licet is, qui foris est, noster homo corrumpatur, tamen is, qui intus est, renovatur de die in diem : » et quæ sequuntur. Adhiberi quoque affirmat in illata corpori afflictione, sive in tabe et plagis, atque punitione. Dici vero et de noxa sive partis sive totius in animantibus, semine ac stirpibus : imo et de morte ipsa. Adhæc de dissolutione usurpari, ac de fluxu corporum, quæ humi conditis accidere solet. Præterea de vitiosa quoque in malum affectione, sive de peccatis. Tot igitur modis *corruptionis* nomen adhiberi cum possit, lapsum esse merito Andream ostendit, qui unam duntaxat his vocibus subesse significationem tradiderit.

Confirmat deinde hasce suas Reprehensiones e libris sacræ Scripturæ, veteris juxta, ac novi instrumenti : Patrum item lectissimorum sententiis, Athanasii, et trium Gregoriorum, admirandorum, inquam, illius patratoris, et Gregorii Theologi, ac beati Nysseni episcopi. Basilii similiter Cæsareæ antistitis, et Joannis Chrysostomi, Cyrilli Alexandriæ, et Constantinopolitanæ sedis præsulis Procli (93), sancti adhæc martyris Methodii (94), et Codrati (95). Quorumdam enim ex his dicta quædam Andreas avulserat, ac perverterat, simulque malitiose, aut imperite interpretando, errorem suum ex illis, ut sibi quidem persuasit, confirmarat. Verum ob hæc omnia, quæ modo dixi, justas Eusebio pœnas dedit, **106***b* ob adulterationem (96), inquam, sanctorum Patrum, et improbitatem, atque inscitiam: quodque hæreticorum dicta quædam compilans, sanctis ea Patribus attribuere sit ausus.

Ostendit postea ex iis, quæ ineptiendo proferebat, statuere illum certo, nihil Christum Dominum resurgendo mutatum de corruptione in incorruptionem, æque esse impatibilem in humanitate, ut in divinitate: ausumque blasphemos appellare cæteros, qui sentirent et dicerent, mortali ac patibile corpore

A καταφθορᾶς καὶ δὴ καὶ [46] τῆς διαφθορᾶς ὄνομα ἐπί τίνων καὶ πόσων σημαινομένων ἡ θεία Γραφὴ ἀποδέχεται, καί φησιν ὅτι φέρεται μὲν ἐπὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν, καὶ ἐπί τε τῶν ἀπὸ κόπου καὶ καμάτου καὶ γήρους [47]· καὶ γὰρ φθορὰ μὲν τὸ γῆρας νεότητος καὶ οἱ κόποι δὲ καὶ κάματοι τοῦ σωματικοῦ τόνου. Ἔτι δὲ ἐπὶ [48] τῆς τοῦ σώματος ἐν ἀσκήσει καὶ πνευματικοῖς ἀγῶσι ταπεινώσεως· καὶ γάρ φησιν ὁ Ἀπόστολος· « Εἰ [49] καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦνται, » καὶ ἑξῆς [50]. Φέρεσθαι δέ φησι καὶ ἐπὶ τῆς ἐγγινομένης τῷ σώματι ταπεινώσεως ἤτοι τηκεδόνος ἀπό τινων αἰκιῶν καὶ κολάσεων· ἔτι δὲ καὶ ἐπὶ τῆς βλάβης τῆς ἐγγινομένης τοῖς ζώοις καὶ σπέρμασι καὶ φυτοῖς, τῆς τε μερικῆς καὶ τῆς καθόλου. Οὐ μὴν ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ θανάτου τὸ ὄνομα φέρεσθαι, καὶ ἔτι χωρὶς τῶν εἰρημένων ἐπὶ [51] τῆς διαλύσεως καὶ ῥεύσεως τῶν σωμάτων τῆς ἐν τοῖς τάφοις συμβαινούσης· ἀλλὰ καὶ παρὰ [52] ταῦτα ἐπὶ τοῦ κατὰ κακίαν πάθους ἤτοι τῶν ἁμαρτημάτων. Τοσαυταχῶς οὖν [53] τῆς φθορᾶς καὶ καταφθορᾶς καὶ διαφθορᾶς λαμβάνεσθαι δυναμένης [348 R.] εἰκότως διεσφάλθαι δεικνύει τὸν Ἀνδρέαν ὡς μονοσήμοις ἀποχεχρημένον ταῖς λέξεσι.

B

Παρατίθησι δὲ τὰς κατὰ τοὺς ἐλέγχους ἀποδείξεις ἔκ τε τῆς θείας [54] Γραφῆς, Παλαιᾶς τε καὶ Νέας, καὶ ἐκ τῶν λογάδων Πατέρων, Ἀθανασίου καὶ τῶν τριῶν Γρηγορίων, τοῦ τε [55] θαυματουργοῦ λέγω καὶ τοῦ Θεολόγου καὶ τοῦ θεσπεσίου Νύσσης, Βασιλείου τε

C τοῦ Καισαρείας καὶ Ἰωάννου τοῦ Κρυσοστόμου Κυρίλλου τε [56] τοῦ Ἀλεξανδρείας καὶ τοῦ Κωνσταντινουπόλεως Πρόκλου, ἀλλὰ δὴ καὶ Μεθοδίου τοῦ ἱερομάρτυρος καὶ Κοδράτου· ὧν ἐνίων καὶ ῥήσεις τινὰς ὁ Ἀνδρέας ἀποσπαράξας καὶ παραπλασάμενος, ἃ δὲ καὶ κακούργως ἢ καὶ ἀνοήτως ἐξειληφὼς, ἐκεῖθεν (ὡς ᾤετο) τὴν οἰκείαν πλάνην ἐκράτυνεν. Ἀλλὰ πάντων ἕνεκεν τῶν εἰρημένων Εὐσεβίῳ δίδωσι δίκας, τῆς τε παραποιήσεως φημι καὶ κακουργίας ἢ καὶ ἀνοίας, καὶ ὅτι αἱρετικῶν ῥητά τινα παραλεξάμενος τοῖς ἁγίοις ἡμῶν Πατράσιν ἐτόλμησεν ἀναθεῖναι ταῦτα.

D

Ἐπὶ τούτοις δείκνυσιν αὐτὸν, ἐξ ὧν ἐματαιολόγει, δοξάζοντα ὅτι μὴ ἀλλοιωθεὶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῆς ἀναστάσεως ἐκ φθορᾶς εἰς ἀφθαρσίαν ὡσαύτως ἐστὶν ἀπαθὴς κατὰ [57] τὴν ἀνθρωπότητα, ὥσπερ ἐστὶν ἀπαθὴς κατὰ τὴν θεότητα, καὶ ὅτι ἐτόλμησε βλασφήμους ἀποκαλέσαι τοὺς φρονοῦν-

VARIÆ LECTIONES.

[46] καὶ an. τῆς om. A. [47] γήρως ς. [48] δὲ καὶ ἐπὶ ς. [49] εἰ] II Cor. IV, 16. [50] καὶ τὰ ἑξῆς ς. [51] ἐπὶ A : καὶ ἐπὶ ς. [52] παρὰ A : περὶ ς. [53] οὖν add. A. [54] θείας add. A. [55] τε om. A. [56] τε add. A. [57] κατὰ] καὶ κατὰ A.

NOTÆ.

(93) De quo Baron. card. V, et Notis ad Martyrol. 24 Octobr.

(94) Cujus meminit B. Hieron. in Catalogo sancti Epiphan. hæres. 64; Suidas Tabulæ sacræ martyrum, 18 Septembr. et infr. Phot.

(95) Pro Quadrati, ut Latini. V. B. Hier. in Catal. Euseb. lib. IV Hist. eccles. cap. 3 et alibi, et Martyrol. Rom. 26 Maii. De his omnibus lege Niceph.

(96) Sicut et Eusebii hujus apud se depositam ad B. Greg. epistolam corrupit et sermones errorum plenos ejusdem pontif. nomine falso inscripsit ut propterea damnatum in synodo Romana Greg. anno 12 e superiore discas epist.

τας καὶ λέγοντας θνητῷ καὶ παθητῷ σώματι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ κόσμῳ πολιτεύσασθαι, αὐτὸς οὐκ ἐρυθριῶν μετὰ νίκην παθῶν καὶ θανάτου καὶ φθορᾶς ἀναίρεσιν παθητὸν τὸ κυριακὸν τερατεύεσθαι σῶμα, καὶ ὁ [58] φθαρτολάτρας ἐνυβρίζων τοὺς ὀρθοδόξους λέληθεν αὑτὸν [181 H.] δι' ὧν λέγει παθητολάτρης ἀληθῶς ἀπελεγχόμενος. Ἐντεῦθέν τε παρατίθησι πάλιν φωνὰς [59] πατρικὰς, καὶ παρίστησι παθητὸν καὶ θνητὸν καὶ κατὰ τοῦτο φθαρτὸν τὸ κυριακὸν σῶμα ἕως τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως, ἐκεῖθεν δὲ δι' αὐτῆς μεταβληθὲν εἰς ἀθανασίαν καὶ ἀπάθειαν. Λέγει δὲ ὡς ματαιολογεῖ φθαρτολάτρας ὁ Ἀνδρέας ἐπιφημίζων τοὺς ὀρθοδόξους· Ἀρείῳ γὰρ καὶ Ἀετίῳ καὶ Εὐνομίῳ, Ἀπολλιναρίῳ τε καὶ Νεστορίῳ, ἀλλ' οὐ τοῖς εὐσεβέσι κατάλληλος καὶ οἰκεία ἡ τοιαύτη κλῆσις. Δογματίζει δὲ καὶ τοῦτο, ὡς ὁ Κύριος καὶ Θεὸς ἡμῶν τὰ φυσικὰ μὲν καὶ ἀδιάβλητα πάθη ὡς τῆς φύσεως Δημιουργὸς ἀνεδέξατο (ἃ οὐδὲ κυρίως πάθη, ἀλλ' ἔργα ἂν οἰκειότερον καλοῖτο τῆς φύσεως), τῶν δὲ κυρίως παθῶν, ἤτοι τῶν ἀπὸ κακίας, παντελῶς ἀνεπίδεκτος ἦν· καὶ ὅτι οὐχ, ὡς πρὸ τῆς ἀναστάσεως ἤσθιε καὶ ἔπινεν, οὕτω καὶ μετὰ τὴν ἀνάστασιν συνέφαγε καὶ συνέπιε τοῖς μαθηταῖς, ἀλλὰ τὸ μὲν ἔπραττε νόμῳ φύσεως, τὴν ῥέουσαν σάρκα βρώσει καὶ πόσει ὡς ἀληθῶς ἀνακτώμενος καὶ περικρατῶν, τὸ δὲ ἐτέλεσεν ὑπερφυῶς δι' οἰκονομίαν, ἵνα τοῖς μαθηταῖς πιστώσηται, καὶ δι' αὐτῶν πᾶσι πιστοῖς, ὡς αὐτὸ τὸ πεπονθὸς καὶ σταυρωθὲν ἀνέστη σῶμα, ἀλλ' οὐχ ἕτερον παρ' ἐκεῖνο, εἰ καὶ πρὸς ἀφθαρσίαν καὶ ἀπάθειαν μετεστοιχειώθη. Ταῦτα φιλοθέως ἐπιδογματισάμενος τέλος ἐπιτίθησι τῇ δεκαλόγῳ. Ἔστι δὲ σαφὴς καὶ ἁπλοῦς τὴν φράσιν, καθαρότητι χρώμενος, καὶ εἴ που δέοι, καὶ εὐκρινείᾳ.

versatum in terris Christum Dominum, cum ipse non erubesceret, etiam post superatos cruciatus, et mortem a corruptionem sublatam, patibile esse Domini corpus prodigioso mendacio asserere, nihil interim advertens, dum orthodoxos Phthartolatras (97) per injuriam appellat, suis ipsum verbis Pathetolatram (98) se revera probare. Addit dein iterum sanctorum Patrum sententias, ostenditque patibile ac mortale, et quod hinc sequitur, corruptibile Christi corpus fuisse, usque ad gloriosam ejus resurrectionen : inde vero immortale atque impatibile per ipsam esse redditum. Vanum item esse Andream indicat, qui orthodoxis probrosum Phthartolatrarum objiciat cognomentum ; in Arium enim, Aetium, Eunomium, Apollinarium atque Nestorium, non in pios, hanc quadrare appellationem. Illud quoque docet Eusebius, Dominum Deumque nostrum, ut naturales, minimeque reprehendendas perpessiones, tanquam naturæ opifex atque architectus assumpsit (quæ non passiones (99) proprie, sed opera naturæ magis proprie appellentur), sic proprie dictas passiones, sive a vitiositate profectas, omnino suscipere non potuisse : non item quo ante resurrectionem ederat ac biberat modo, etiam post resurrectionem cum discipulis una edisse, ac bibisse ; sed prius illud quidem ex naturæ legibus fecisse, fluxam carnem cibo ac potu revera reparando atque corroborando, hoc vero supra naturæ ordinem procurandæ salutis nostræ gratia gessisse, ut discipuli crederent, et per illos fideles omnes, idem omnino corpus, quod cruciatibus excarnificatum, atque in crucem actum fuisset, a mortuis surrexisse : neque aliud esse ab illo, quantumvis jam ad incorruptionem et indolentiam transformatum esset.

Hæc ubi Eusebius divine docuit, decimum tandem librum absolvit. Stylus ei clarus est, et simplex puroque dicendi genere utitur, atque, ubi opus est, etiam bene distincto.

ΡΞΓ'.

Οὐινδανίου Ἀνατολίου Βηρυτοῦ Συναγωγὴ γεωργικῶν ἐπιτηδευμάτων ἐν τομοῖς ιβ'.

[349 R.] Ἀνεγνώσθη Οὐινδανίου Ἀνατολίου Βηρυτου [60] Συναγωγὴ γεωργικῶν ἐπιτηδευμάτων· συνήθροιστται δὲ αὐτῷ τὸ βιβλίον ἔκ τε τῶν Δημοκρίτου Ἀφρικανοῦ τε καὶ Ταραντίνου καὶ Ἀπουληίου καὶ Φλωρεντίου καὶ Οὐάλεντος καὶ Λέοντος καὶ Παμφίλου, καὶ δὴ καὶ ἐκ τῶν Διοφάνους Παραδοξων· τόμοι δέ εἰσι τὸ βιβλίον ιβ'. Χρήσιμον δὲ τὸ βιβλίον, ὡς καὶ διὰ πείρας αὐτῆς ἐπι πολλῶν εἴδομεν, πρὸς τὰς κατὰ γῆν ἐργασίας καὶ τοὺς γεωργικοὺς πόνους, καὶ σχεδόν τι χρησιμώτερον τῶν ἄλλων, ὅσοι τῆς αὐτῆς αὐτῷ πραγματείας ἥψαντο. Ἔχει δ' ὅμως ἔνια καὶ τοῦτο τὸ βιβλίον τερατώδη καὶ ἄπιστα καὶ τῆς Ἑλληνικῆς πλάνης ὑπόπλεα, ἃ δεῖ τὸν εὐσεβῆ γηπόνον ἐκτρεπόμενον τῶν λοιπῶν, συλλέγειν τὰ χρήσιμα καὶ ἐπωφελῆ, καὶ ἐκ τῶν ἀλλοτρίων ἐπιμελῶς ἐκλεγόμενον, ἐπὶ τὰ οἰκεῖα μεταφέρειν.

CLXIII.

Vindanii Anatolii Beryti Collectaneorum de agriculturæ disciplina libri XII.

Legi Vindanii Anatolii Beryti *De agriculturæ disciplina collectanea.* **107** *a* Conflatus autem hic ab eo liber est e Democriti et Africani atque Tarantini scriptis, Apuleii quoque et Florentii, Valentis, Leonis Pamphili (1) ; tum vel maxime ex Diophanis *Paradoxis*. Opus duodecim absolvitur libris, utile sane, ut ipsa nos experientia in multis docuit, ad terram excolendam, laboresque rusticos ; Quin fere cæteris utilior hic liber, quotquot in ea ipsa re elaborarunt. Continet tamen nonnulla prodigiis similia, fidemque excedentia, et Græcis referta fabulis, quæ præterire pium decet agricolam, cætera quæ usui futura sint, arripientem. Et vere alii omnes, qui de re rustica scripserunt, eadem fere de iisdem, quan-

VARIÆ LECTIONES.

[58] ὁ add. AC. [59] πάλιν παρατίθησι ς. [60] Βηρύττου A.

NOTÆ.

(97) Quasi dicas Corruptibilicolas.
(98) Pari forma Patibilicolam dixeris.
(99) Theologi nostri in scholis hodie Propassiones.

(1) Tres huic *Georgicorum* libros tribuit Suidas.

tum videre potui, prodiderunt, neque in multis adeo dissentiunt. Quibus autem inter se dissident, in his Leonis experimenta cæteris anteponuntur omnibus.

CLXIV.

Galenus De sectis medicorum.

Legimus Galeni librum *De sectis*. Disserit autem de sectis quæ in arte medica inter se conspirarunt. Eas tres ait esse potissimas. Unam *logicam* appellatam, quam et *dogmaticam* agnominat, et *analogisticam*. Alteram vero *empiricam* dictam : hanc *observatricem* quoque ac *memorialem* nominat. Tertiam denique *methodicam*. Differunt autem inter se cum aliis rebus, tum inventionis modo. Dogmaticus enim medicus, ex eo quod ratiocinando curandi methodos reperiat, artem suam constituit. Empiricus vero non ratiocinatione, sed experimento atque observatione artem colligit. Jam methodicus, qui et ratione usum se, et experimento profiletur, etsi horum neutro satis accurate utatur, ab utrisque illis merito distinctus censebitur.

Liber hic tres in partes secatur : quarum in prima quidem empiricam atque dogmaticam graphice describit : ubi etiam, qualis utriusque natura sit, ostendit. Altera vero parte duas invicem sectas valde contendentes, et de principatu certantes componit. Tertia denique methodicam producit, et quidem cum aliis suprascriptis duabus pugnantem, qualibet e tribus sectis sua jura proferente, et reliquas vincere satagente. Atque hic tertii libri finis est. Illud clarum, opus hoc inter cætera artis medicæ scripta omnibus præferri oportere. Siquidem discere convenit, quæ secta inter omnes optima sit, ut eam deinde secteris. Videtur autem non proprie medicus habendus liber hic, sed proœmii vicem præbere, atque ad philosophiam potius pertinere. **107** *b* Certum item illud, ad dictionem quod attinet, atque compositionem, purum eum esse, ac venustum. Harum enim ubique formarum studiosus imprimis Galenus exstitit, tametsi in plerisque scriptis intempestivis suis sermonibus ac digressionibus, prælongisque periodis non sine molestia libros commisceat, dictorum sensum obscuret, et orationis seriem quodammodo abrumpat, lectorem etiam ipsum longioribus hisce deliramentis in negligentiam abducens : quibus saltem vitiis vacat hoc de sectis opus.

CLXV.

Himerii sophistæ Declamationes.

Lectæ sunt Himerii (2) sophistæ *Declamationes* (3) seu *Orationes variæ*. Suasoriæ duæ, judiciales tres : quarum etiam edit argumenta (4). Et suasoriarum

A σιμα. Καὶ οἱ ἄλλοι δὲ τῶν τὰς γεωργικὰς πραγματείας συγγραψαμένων σχεδόν τι τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ὅσα ἐμὲ εἰδέναι, ἀποφαίνονται, οὐκ ἐπὶ πολλοῖς δὲ διαφωνοῦσιν. Ἐν οἷς δὲ διαπεφωνήκασιν, ἡ τοῦ Λέοντος τῶν ἄλλων προκρίνεται πεῖρα.

ΡΞΔ′.

Γαληνοῦ περὶ αἱρέσεων.

Ἀνεγνώσθη Γαληνοῦ Περὶ αἱρέσεων. Περὶ αἱρέσεων δὲ τῶν κατὰ τὴν ἰατρικὴν σύστασιν ἐσχηκυιῶν διαλαμβάνει, καὶ φησι τρεῖς κατ' ἰατρικὴν καθολικὰς αἱρέσεις συστῆναι, τήν τε καλουμένην λογικήν, ἣν καὶ δογματικὴν ἐπονομάζει, ἔτι δὲ καὶ ἀναλογιστικήν· δευτέραν δὲ τὴν καλουμένην ἐμπειρικήν, ἥτις καὶ τηρητικὴ καὶ μνημονευτικὴ ἐπικαλεῖται· τρίτην [182 H.] δὲ τὴν μεθοδικήν. Διαφέρουσι δὲ ἀλλήλων αὗται ἄλλοις τε καὶ τῷ τρόπῳ τῆς εὑρέσεως· B ὁ μὲν γὰρ δογματικὸς λόγῳ κεχρημένος καὶ τὰς μεθόδους τῆς ἰατρείας εὑρίσκων τὴν τέχνην συνίστησιν, ὁ δὲ ἐμπειρικὸς οὐκέτι τῷ λόγῳ, ἀλλὰ τῇ πείρᾳ καὶ τῇ τηρήσει· ὁ δὲ μεθοδικὸς ἐπαγγελλόμενος καὶ λόγῳ καὶ πείρᾳ κεχρῆσθαι, ἀκριβῶς δὲ μηδετέρῳ χρώμενος, εἰκότως ἀμφοῖν διοίσει.

Εἰς γ′ δὲ τμήματα διαιρεῖται τὸ παρὸν βιβλίον. Καὶ ἐν μὲν τῷ πρώτῳ τὴν σύστασιν τῆς ἐμπειρικῆς καὶ δογματικῆς ἀναγράφει, ἐν ᾧ καὶ ὁποία ἡ ἑκάστης οὐσία διδάσκει· ἐν δὲ τῷ δευτέρῳ εἰσάγει τὰς δύο διαφιλονεικούσας αἱρέσεις ἀλλήλαις καὶ τῶν [61] πρωτείων ἀμφισβητούσας· ἐν δὲ τῷ γ′ τμήματι τὴν καλουμένην εἰσάγει μεθοδικὴν ταῖς προειρημέναις δυσὶ μαχομένην, κἀκείνας [62] πρὸς ταύτην, ἑκάστης τῶν τριῶν τὰ οἰκεῖα προβαλλομένης δίκαια καὶ σπευ- C δούσης εἰς τὴν κατὰ τῶν ὑπολοίπων νίκην. Ἐν οἷς καὶ τὸ τρίτον ἀπαρτίζεται τμῆμα. Δῆλον δ' ὅτι τὸ βιβλίον τοῦτο τῶν κατὰ τὴν ἰατρικὴν ἀναγνωσμάτων πάντων προτάττεσθαι ὀφείλει, εἴπερ δεῖ μαθεῖν ποία πασῶν ἀρίστη αἵρεσις, εἰθ' οὕτω ταύτῃ κεχρῆσθαι. Εἴη δ' ἂν οὐδὲ κυρίως ἰατρικὸν τὸ βιβλίον, ἀλλὰ προοιμίου τόπον ἐπέχον καὶ φιλοσοφίᾳ μᾶλλον ἀνακείμενον. Δῆλον δὲ ὅτι, ὅσα γε ἐπὶ τε λέξει καὶ συντάξει, καθαρόν ἐστι καὶ εὐκρινές· τούτων γάρ ἐστιν ἐν πᾶσιν ὁ Γαληνὸς φροντιστής, εἰ καὶ ἐν πολλοῖς αὐτοῦ τῶν συγγραμμάτων ἀκαιρολογίαις καὶ παρεκτροπαῖς [352 R.] καὶ τῷ τῶν περιόδων σχοινοτενεῖ φορτίζων [63] τὰ βιβλία συγχεῖ καὶ σκοτοῖ τῶν γεγραμμένων τὸν νοῦν, τήν τε σύμφρασιν οἰονεὶ διακόπτων, καὶ εἰς ἀκηδίαν ἄγων διὰ τοῦ μακροῦ λήρου τὸν ἀκροατήν· ὧν τέως τὸ παρὸν βιβλίον ἀπήλλα- D κται.

ΡΞΕ′.

Ἰμερίου σοφιστοῦ Λόγοι διάφοροι.

Ἀνεγνώσθησαν Ἰμερίου σοφιστοῦ Μελέται, καὶ ἄλλως Λόγοι διάφοροι, ὧν [64] συμβουλευτικαὶ μὲν δύο, δικανικαὶ δὲ μελέται τρεῖς· τούτων δὲ καὶ προ-

VARIÆ LECTIONES.

[61] καὶ τῶν AC : καὶ περὶ τῶν ς. [62] κἀκείνην ς. [63] φροντίζων ς. [64] ὧν add. A.

NOTÆ.

(2) Vide Suidam.

(3) Earum excerpta quædam inf. reperies cod. 243.

(4) *προθεωρίας*, quasi præfationes ad ea quæ dicentur.

θεωρίας ἐκτίθεται. Καὶ τῶν συμβουλευτικῶν μὲν τὴν πρώτην εἰς Ὑπερίδην διατυποῖ [65] δῆθεν ὑπὲρ Δημοσθένους συμβουλεύουσαν, τὴν δὲ εἰς Δημοσθένην αὐτὸν ὑπὲρ Αἰσχίνου τὴν συμβουλὴν σχηματίζοντα. Οἱ δὲ λοιποὶ τρεῖς, ὁ μὲν κατ' Ἐπικούρου διαπλάττεται ἀσεβείας γραφὴν ὡσανεὶ φεύγοντος, ὁ δὲ κατὰ πλουσίου, πένητος ἀνδρὸς οἰκίαν ὅλην μυσαροῖς κενώσαντος δράμασι, καὶ αὐτὸν εἰσάγει τὸν πένητα διαγωνιζόμενον· ὁ δὲ τρίτος Θεμιστοκλέα παράγει βασιλεῖ Περσῶν ἀντιλέγοντα, ἐπειδὰν ὑποσχέσεις ἐκεῖνος προΰτεινεν [66] ὑπὲρ τῆς τοῦ πολέμου καταλύσεως.

A quidem primam Hyperidi affingit, quasi super Demosthene deliberatio sit. Alteram vero ipsi Demostheni, consultationem super Æschine efformanti. Trium reliquarum prima contra Epicurum, velut impietatis reum instituitur. Altera adversus divitem, qui pauperis integram domum scelestis suis facinoribus exhauserat, ipsumque adeo pauperem inducit causam hanc perorantem. Tertia Themistoclem facit adversus Persarum regem sententiam dicentem, quando hic ad amoliendum bellum promissa pacis afferebat.

Οὗτοι δὴ αὐτῷ οἱ λόγοι τήν τε ἐν λόγοις ἀρετὴν αὐτοῦ καὶ τῶν νοημάτων τὸ ἀνδρῶν καὶ ἦκον εἰς δύναμιν μᾶλλον τῶν ἄλλων δεικνύειν πως ἐμελετήθησαν· περιβολαῖς τε γὰρ κατὰ ζῆλον Δημοσθένους πλεονάζει, καὶ τῷ πολυσχηματίστῳ ποικίλλεται, καὶ ταῖς ἰδέαις καλῶς τοὺς λόγους κεράννυσι, τῷ μεγάλῳ [67] μᾶλλον ὑψούμενος· καὶ λέξει δὲ χρῆται, ὅσον μὲν εἰς τύπον [183 H.] καὶ τῇ καθ' ἑαυτὴν σημασίᾳ καὶ ἐμφάσει, οὐδὲν [68] τοῦ σαφοῦς, λειπομένῃ· τὸ δὲ λύσεις αὐτὰς ὀνομάτων ὡς ἐπὶ τὸ πλεῖστον εἶναι ξενίζει μὲν μετὰ τοῦ ἡδέος τὴν ἀκοήν, οὐ μέντοι τοῖς πολλοῖς ἐπ' ἴσης παρέχεται τὴν κατάληψιν. Σαφὴς δὲ καὶ τοῖς τῆς εὐκρινείας ἰδιώμασι. Χρώμενος δ', ὡς ἔφην, περιβολῇ τῇ τε κατ' αἰτιολογίαν καὶ ἄλλως [κεχρημένος [69]] φαίνεται· γοργοῖς μέντοι τοῖς σχήμασιν ἀποδιδοὺς τὴν [70] ἐντεῦθεν ἀσάφειαν ἐκκαθαίρει. Καὶ ὑπερβατῷ δὲ καὶ τροπῇ, εἰ καὶ τῆς περιβολῆς ἐπ' ἔλαττον, ὅμως ἐνταῦθα πολλῇ καὶ εὐφυῶς χρῆται. Καὶ σύντονος ἐν τούτοις καὶ γοργός, ὅπου δεήσοι. Ἀλλ' ἐν μὲν τοῖς εἰρημένοις λόγοις τοιοῦτος.

Hæ autem ab eo sunt orationes conscriptæ, ut in iis quodammodo, plus quam in cæteris, dicendi vim suam, sententiarumque florem pro viribus exhiberet. Ad imitationem enim Demosthenis circumductionibus (5) abundat, ac multis schematibus varie distinguitur. Ideis item pulchre orationes temperat, sublimi se dicendi genere magis efferens. Verbis ad hæc utitur, quæ (ad formam saltem quod attinet) neque ob propriam suam notionem, neque ob emphasim a perspicuitate recedunt : etsi, quia nominum dissolutiones (6) ut plurimum sunt, aures quidem cum jucunditate peregrino suo sono feriunt : sed non æque a vulgo intelliguntur. Clarus quoque est earum rerum observatione, quæ ad distinctam orationem proprie pertinent. Utitur etiam, ut diximus, complexione cum alibi, tum ubi rei alicujus rationem reddit. Dum vero incitatis schematibus suam redditionem apponit, simul etiam omnem, quæ ex illis orta fuerat, obscuritatem tollit. Hyperbatum præterea, ac tropum, **108***a* etsi rarius quam complexionem, frequenter tamen hic et scite adhibet, non sine contentione atque velocitate, cum quidem ita opus est. Talem igitur se in iis, quas enumeravi, orationibus exhibet.

Ἐφεξῆς δὲ τούτων τάττει τὸν Πολεμαρχικόν, ὃς ἐγκώμιον ἐστι τῶν ὑπὲρ ἐλευθερίας πρὸς Πέρσας ἐν μάχῃ πεσόντων καὶ πολέμου ἔπαινος. Μεθ' ὃν ἐστιν ὁ Ἀρεοπαγιτικὸς ἢ καὶ ἐλευθερωτικὸς Ῥουφίνου τοῦ οἰκείου υἱοῦ. Οὗτος οὐ [71] πλασματικός, οὐδ' ὁ ἐφεξῆς, ἢ εἰς τὸν αὐτὸν υἱὸν τελευτήσαντα μονῳδία. Εἶτα ἐπιθαλάμιος εἰς ἑταῖρον Σεβῆρον· οὐδ' [72] οὗτος δὲ δηλονότι τῶν [73] πλασματικῶν. Τούτου δὲ πάλιν καὶ θεωρίαν προκαθίστησιν. Ἐφ' οἷς Διογένης ἢ προπεμπτικός· σεμνύνεται δὲ καὶ οὗτος προθεωρίᾳ, καί γε καὶ ὡς διαλόγῳ τυποῦται πλαττόμενος. Εἶτα πρὸς τοὺς ἑταίρους συνταχτήριος, ὅτε ἐξῄει εἰς Κόρινθον. Πάλιν εἰς Φλαβιανὸν προπεμπτήριος, προαχθέντα

Subjicit iis Polemarchicum [ut vocat] : quæ quidem oratio eorum qui pro patriæ libertate cum Persis fortiter pugnando ceciderunt, laudatio est, et belli simul brevem laudem continet. Hanc excipit Areopagitica, sive pro libertate Rufini filii, quæ fictitia non est, ut neque sequens in eumdem filium recens vita functum monodia. Dehinc epithalamius sermo in Severum socium, qui nec ipse fictitius est, et iterum argumentum præfixum habet. Deinceps Diogenes, seu Propempticus (7). Hæc quoque argumento ornatur ac dialogorum more fictis personis conformata est. Hinc ad socios Syntacterius (8), quando Corinthum proficiscebatur. Pro-

VARIÆ LECTIONES.

[65] ἐκτυποῖ ς. [66] προτείνειεν ς. [67] μεγαλείῳ ς. [68] οὐδὲ ς. [69] κεχρημένος om. pr. C. [70] τὴν A : τὴν τε ς. Stephanus : libri ὁ. [71] οὐδ' add. A. [72] τῶν om. A.

NOTÆ.

(5) περιβολαῖς. De quibus Hermogenes, lib. I *Idearum*.

(6) Λύσεις ὀνομάτων, quas Demetrius Phalareus fieri scripsit λυθέντος ὀνόματος εἰς λόγον οἷον σίτου πομπή, ἀντὶ σιτοπομπίας. Vide ibi doctiss. P. Victorii *Comment.* et Aristot. *Rhetor.* lib. III.

(7) Qui fausti ominis causa ad hominem mox profecturum habetur.

(8) Idem qui ἀποταχτήριος, ut docet doctiss. Billius ad S. Joan. Damasceni orat. *De fidelib. defunct.* schol. 48, et S. Greg. Nazian. orat. 32 describitur :, Ὁ ἐν ἐξόδοις τῶν πόλεων ἐπὶ τῶν ἀρχόντων ἀποχαιρετισμός. Vide de hoc, aliisque apud Himerium orationum generibus, Menandrum sophistam in *Epidicticis*.

pempterius alter ad Flavianum Asiæ consulem factum. Deinde in Pisonem advenam (9). Rursum *Protreptica*, quæ et *Diogenes* inscribitur. Hinc *Schedium* (10), ob contentionem in schola exortam. In Cyprorum adventum. In primum suum e Cappadocia auditorem. Mox ingenii quoddam specimen, quando ut diceret rogatus recusavit primum : de quo tamen ipso postea disseruit, Pulchra omnia eliam esse rara. In Musonium (11) Græciæ proconsulem ; in Severum quoque advenam, Symplegadæ præfectum. Hinc sermocinatio (12) ; in Ursacium comitem ; in Severum sodalem ; in Scylacium Græciæ proconsulem ; in Ephesios hospites, ac Mysos, Leonisque cives ; in sodales e patria ; in Athenæum comitem ; in Privatum Romanum, qui Ampelii proconsulis filium instituebat ; in reditum Corintho ; in Phœbum Alexandri proconsulis filium ; in Arcadium medicum et comitem. Oratio quoque propemptica in amicos, qui nuper venerant ; alteraitem in Flavianum ; Epithalamium quoque dictum in Panathenæum. Hinc sermocinatio una, et item altera. Disputatio habita Philippis, cume vocatus a Juliano imperatore iter illac haberet. Post oratio, habitas in urbe, in ipsius Constantinopolis laudem ac Juliani Cæsaris. In sacrificium Mythræ (13). Dissertatio in Sallustium præfectum, cui et argumentum annexum ; iterum in Flavianum proconsulem ; in sodalis sui natalem diem. Sermocinatio quoque in sanitatem socii ; in insidiantes ; **108***b* in Basilium proconsulem ; in eumdem rursum ; in Hermogenem pariter, qui Græciæ proconsulatum gerebat ; in Plotianum itidem proconsulem ; iterumque in Ampelium (14) proconsulem ; in Græciæ proconsulem Prætextatum, atque sodales. Hinc ad Julianum imperatorem discessum adornans. Deinde Nicomediæ habita oratio hortatu prætoris Pompeiani. Mox in advenas ; rursum in advenam ; deinde in Zenonem socium ; et in Aphobinum advenam ; in eum qui a Neptuni oraculo reverterat ; in eos pariter qui ex Ionia adventassent ; in Ionas hospites. Ex tempore quoque in sociorum laudem recitatum. Oratio, quam amico Constantinopolitano tradidit. Sermo quoque inter amicos post reditum e patria. De suo docendi munere extemporalis disputatio. Objurgatio eorum qui negligenter orationes audirent. Schedium in quosdam ad se ventilantes discipulos, qui respuere frenos videbantur. In Cytianum cum sociis, qui cum petulantia eum audierant, dum schedium suum recitaret. Adhorta-

τῆς Ἀσίας ὕπατον. Ἐφεξῆς εἰς τοὺς περὶ Πείσωνα νεήλυδας. Πάλιν προπεμπτικὸς [74] ὁ Διογένης. Καὶ σχέδιον ἐφεξῆς ἐπὶ τῇ γενομένῃ στάσει ἐν [353 R.] τῇ διατριβῇ, εἴς τε τὴν τῶν Κυπρίων ἐπιδημίαν, καὶ εἰς τὸν πρῶτον ἐκ Καππαδοκίας αὐτοῦ ἀκροασάμενον. Εἶτα ἐπίδειξις, ὅστε ἀναβαλλόμενος εἰπεῖν ἀξιούμενος εἰς αὐτὸ τοῦτο διείλεκται, ὅτι Σπάνια τὰ καλά. Καὶ εἰς Μουσώνιον δὲ τὸν ἀνθύπατον Ἑλλάδος, καὶ εἰς Σεβῆρον νέηλυν ἐπιστάντα συμπληγάδι. Εἶτα λαλιά, καὶ εἰς τὸν κόμητα Οὐρσάκιον, καὶ εἰς Σεβῆρον ἕτερον [75], καὶ εἰς Σκυλάκιον ἀνθύπατον Ἑλλάδος, καὶ εἰς νεήλυδας Ἐφεσίους καὶ Μυσοὺς καὶ πολίτας τοῦ Λέοντος. Εἶτα εἰς τοὺς ἐκ πατρίδος ἑταίρους, καὶ εἰς Ἀθήναιον κόμητα, καὶ εἰς Ἡριβάτον Ῥωμαῖον παιδεύοντα τὸν παῖδα Ἀμπελίου τοῦ ἀνθυπάτου, καὶ δὴ καὶ εἰς τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, καὶ εἰς τὸν Ἀλεξάνδρου τοῦ ἀνθυπάτου παῖδα Φοῖβον, καὶ εἰς Ἀρκάδιον τὸν ἰατρὸν καὶ κόμητα. Καὶ προπεμπτήριος εἰς τοὺς προσελθόντας ἑταίρους, προπεμπτικός τε εἰς Φλαβιανόν, καὶ ἐπιθαλάμιος ῥηθεὶς εἰς Παναθήναιον. Εἶτα λαλιά, ἑτέρα λαλιά, καὶ διάλεξις ἐν Φιλίπποις, ὅτε ἀπήει παρὰ Ἰουλιανοῦ βασιλέως καλούμενος, εἶτα ῥηθεὶς ἐν Κωνσταντινουπόλει [76] εἴς αὐτήν τε τὴν πόλιν [77] καὶ [78] Ἰουλιανὸν τὸν βασιλέα, καὶ εἰς τὴν Μίθρου τελετήν. Διάλεξις εἰς Σαλούστιον ἔπαρχον, ἣς ἐστι καὶ θεωρία. Εἰς Φλαβιανὸν πάλιν τὸν ἀνθύπατον, καὶ εἰς τὴν γενέθλιον τοῦ ἑταίρου. Καὶ λαλιὰ εἰς τὸ ὑγιαίνειν τὸν ἑταῖρον. Ἔτι δὲ εἰς τοὺς ἐπιβουλεύοντας, καὶ εἰς τὸν ἀνθύπατον Βασίλειον, καὶ πάλιν εἰς τὸν αὐτὸν Βασίλειον. Εἰς Ἑρμογένην τε τὸν τῆς Ἑλλάδος ἀνθύπατον, καὶ εἰς Πλωκιανὸν τὸν ἀνθύπατον. Πάλιν εἰς Ἀμπέλιον τὸν ἀνθύπατον, καὶ εἰς τὸν ἀνθύπατον τῆς Ἑλλάδος [184 H.] Πραιτεκστάτον καὶ τοὺς ἑταίρους [79]. Εἶτα πρὸς τὸν βασιλέα Ἰουλιανὸν ἀπαίρειν μελλων. Εἶτα ἐν Νικομηδείᾳ, προτραπεὶς ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος Πομπηϊανοῦ. Μεθ' ὃν ὁ εἰς νεήλυδας. Εἶτα εἰς νέηλυν. Ἐπὶ τούτοις ὁ εἰς Ζήνωνα τὸν ἑταῖρον, καὶ μετ' αὐτὸν [80] εἰς Ἀφοβῖνον νέηλυν, καὶ εἰς τὸν ἐκ τοῦ χρησμοῦ τοῦ Ποσειδῶνος φοιτήσαντα, εἴς τε τοὺς ἀπὸ Ἰωνίας ἐπιδημήσαντας, καὶ εἰς τοὺς Ἴωνας ξένους [81]. Καὶ εἰς τοὺς ἑταίρους σχέδιον ῥηθέν. Καὶ ἣν ἐξέδωκε ἑταίρῳ Κωνσταντινουπολίτῃ. Διάλεξίς τε ἐν τοῖς ἑταίροις μετὰ τὴν ἀπὸ τῆς πατρίδος ἐπάνοδον, καὶ εἰς τὴν αὐτοῦ διατριβὴν ἐξ αὐτοσχεδίου διάλεξις. Καὶ ἐπίπληξις τοῖς ῥᾳθύμως ἀκροωμένοις τῶν λόγων καὶ σχέδιον εἴς τινας τῶν φοιτώντων δόξαντας ἀφυιάζειν, καὶ εἰς τοὺς περὶ Κυτιανὸν ἀτάκτως ἀκοισαντας, ὅτε τὸ σχέδιον εἶπε. Καὶ προτροπὴ πρὸς τ

VARIÆ LECTIONES.

[74] προτρεπτικὸς ς. [75] ἑταίρου ς. [76] Κωνσταντίνου A : τῇ ς. [77] πόλιν A : Κωνσταντινούπολιν ς. [78] τὸν ante Ἰουλιανὸν ponit A. [79] ἑτέρους ς. [80] μετὰ τοῦτον ς. [81] ξένους Ἴωνας ς.

NOTÆ.

(9) Hæc illa forsitan est, quæ inter excerpta, *In advenam Ægyptium* inscribitur inf. cod. 245.

(10) *Ex tempore dictum* reddit Glossar. vetus, inf. αὐτοσχέδιον vocat.

(11) De quo Suidas.

(12) λαλιά, de qua multa legas apud Menandrum Sophist in *Epidicticis*.

(13) Quem Persæ solem putant. Lege Suid Brisson. et alios : qui hanc vocem per ἰῶτα fe scripserunt.

(14) Propemptica ad Ampelium inf.

χρῆναι τὴν ἐν τοῖς [82] λόγοις ποικιλίαν ἀσπάζεσθαι. Καὶ ἡ μετὰ τὴν τοῦ τραύματος θεραπείαν διάλεξις. Εἶτα ὁ μετὰ τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, εἴς τε τὸ γραφεῖον καὶ τοὺς ἑταίρους, καὶ εἰς τὴν Λακεδαιμονίων πόλιν, ὅτε ὀνείρατι πειθόμενος τῷ Ἀμυκλαίῳ θεῷ ἐφοίτησεν εὔξασθαι. Καὶ ὅτι οὐ δεῖ πάντως δημοσίᾳ τὰς ἀκροάσεις ἀπαγγέλλειν. Καὶ λαλιὰ ὅτι δεῖ ἐν γυμνασίοις εἶναι. Καὶ λαλιὰ ἐν Κορίνθῳ ἐκδεδομένη.

A tio quoque ad rerum varietatem in dicendo sectandam. Dissertatio post vulneris medelam. Dein oratio post reditum Corintho. In Stylum ac socios. In urbem Lacedæmoniorum, quando somnio obsequens, Amiclæum (15) deum precaturus accessit : et non oportere recitationes omnes publice pronuntiare. Sermocinatio, oportere in gymnasio versari. Altera Corinthi edita.

Τούτους οἶμαι τοὺς λόγους μόνους [83] τοῦ σοφιστοῦ Ἱμερίου, περί που ὄντας, κατὰ πρόσωπον ἡμῶν τὴν σὴν φιλοπονίαν ἀνεγνωκέναι. Ἐν οἷς ἐστὶ πᾶσι τὸν μὲν τῆς λέξεως τύπον καὶ τὸ αὐτὸ σχῆμα φυλάττων, τῇ τε περιβολῇ καὶ τῇ τροπῇ χρώμενος, εἰ καὶ τὸν κόρον οὐκ ἔτεκεν ἡ μετ' εὐφυΐας χρῆσις καὶ οἰκείωσις τῆς τροπῆς · καὶ κατά γε ἐμὴν [356 R.] B εἴδησιν οὐδεὶς οὕτως [84] (οἶμαι) χρησάμενος τῇ τροπῇ καλῶς οὕτω καὶ ἡδέως ἀπήλλαξε. Παραδείγμασι δὲ ἐξ ἱστορίας τε καὶ ἐκ μύθων παντοδαπῶν μεστὰ αὐτοῦ τυγχάνει τὰ γράμματα, ἢ πρὸς ἀπόδειξιν ἢ πρὸς ὁμοιότητα ἢ πρὸς ἡδονὴν καὶ κάλλος ὧν λέγει, τούτοις ἀπευθύνων τὸν λόγον καὶ ποικιλλόμενος. Καὶ τὰ προοίμια δὲ καὶ οἱ ἐπίλογοι, ἔστι δὲ οὗ καὶ οἱ οἷον ἀγῶνες ἀπὸ τούτων αὐτῷ διασκευάζονται. Πολλῇ δὲ κέχρηται καὶ τῇ προδιατυπώσει. Ἀλλὰ τοιοῦτος ὢν ἐν τοῖς λόγοις ἀσεβὴς (ὡς δῆλον) ἐστὶ τὴν θρησκείαν, εἰ καὶ τοὺς λαθραίους μιμεῖται τῶν κυνῶν καθ' ἡμῶν ὑλακτῶν. Ἤκμασε δὲ ἐπὶ Κωνσταντίου καὶ τοῦ δυσσεβεστάτου Ἰουλιανοῦ, καὶ τοῦ ἐν Ἀθήναις κατὰ ῥητορείαν προϋστη διδασκαλείου.

Has, puto, nec plures orationes Himerii sophistæ fere septuaginta (16), me præsente, studiose legisti (17). In quibus omnibus eadem dictionis forma, eademque figura servata ; circumductionem ita ac tropum adhibet, tædium ut nullum pariat ingeniosus et quasi familiaris redditus troporum usus. Imo nemo hactenus, mea quidem sententia, aut venustius, aut jucundius tropis usus est. Exemplis porro ex historia, fabulisque omnigenis scripta ejus referta sunt, vel ad demonstrationem, vel similitudinem, vel voluptatem, et pulchritudinem rei, de qua agitur : quibus orationem suam et emendatiorem efficit, et varie exornat. Quin et exordia interdum ipsa, atque epilogi, et quæ quasi contentiones (18) (vocant,) his ab eo rebus exornantur : non raro insuper iis antea delineatis quæ post tractaturus est. Verum in dicendo talis tantusque cum esset **109***a*, impie tamen de religione sensisse perspicuum est, latenterque mordentes imitatus canes, Christianos allatravit. Vixit Constantio et impiissimo Juliano imperatoribus, atque Athenis eloquentiæ ludo doctor præfuit.

C

ΡΞϚ'.

Ἀντωνίου Διογένους τῶν ὑπὲρ Θούλην Ἀπίστων λόγοι δ' καὶ κ'.

Ἀνεγνώσθησαν Ἀντωνίου Διογένους Τῶν ὑπὲρ Θούλην Ἀπίστων λόγοι κδ'. Δραματικὸν οἱ λόγοι, σαφὴς ἡ φράσις, καὶ οὕτω καθαρὰ ὡς ἐπ' ἔλαττον εὐκρινείας δεῖσθαι, καὶ τότε κατὰ τὰς ἐκτροπὰς τῶν διηγημάτων. Ταῖς δὲ [85] διανοίαις πλεῖστον ἔχει τοῦ ἡδέος, ἅτε μύθων ἐγγὺς καὶ ἀπίστων ἐν πιθανωτάτῃ πλάσει καὶ διασκευῇ ὅλην ἑαυτῇ διηγημάτων ποιουμένη.

Εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἱστορίας ἅμα τῷ παιδὶ Δημοχάρει [185 H.] ἀποπλανηθεὶς τῆς πατρίδος, καὶ διὰ τοῦ Πόντου καὶ ἀπὸ τῆς κατὰ Κασπίαν καὶ Ὑρκανίαν θαλάσσης πρὸς τὰ Ῥιπαῖα καλούμενα ὄρη καὶ τοῦ Ταναΐδος ποταμοῦ τὰς ἐκβολὰς ἀφιγμένοι, εἶτα διὰ τὸ πολὺ τοῦ ψύχους ἐπὶ τὸν Σκυθικὸν ἐπιστραφέντες ὠκεανόν, καὶ δὴ

Inducitur itaque Dinias quidam nomine, ut exigebat historia, una cum filio Demochare patria profugus, qui per Pontum, et a Caspio atque Hyrcanio mari ad Riphæos, ut vocantur, montes, et Tanais fluminis ostia primum delati : ingentibus deinde adacti rigoribus ad Scythicum conversi Oceanum, atque hinc ad Orientalem tendentes, ad

D

CLXVI.

Antonii Diogenis Incredibilium de Thule insula libri XXIV.

Lecti sunt Antonii Diogenis *Incredibilium de Thule* (19) *insula libri quatuor et viginti.* Dramatici sunt, et dictio ipsa ita clara, ita pura, ut minus egeat perspicuitate. Per narrationum quoque diverticula jucunditatis plurimum sensis inest : quando et ad fabulas propius accedit elocutio, et incredibilium narrationum silvam, cum verisimili tamen fictione atque apparatu sibi suppeditat.

Inducitur itaque Dinias quidam nomine, ut exigebat historia, una cum filio Demochare patria profugus, qui per Pontum, et a Caspio atque Hyrcanio mari ad Riphæos, ut vocantur, montes, et Tanais fluminis ostia primum delati : ingentibus deinde adacti rigoribus ad Scythicum conversi Oceanum, atque hinc ad Orientalem tendentes, ad

VARIÆ LECTIONES.

[82] τοῖς add. A. [83] μόνους om. C. [84] οὔπως ϛ. [85] δὲ add. A.

NOTÆ.

(16) Apollinem qui Amyclis Laconicis colebatur Nam quæ proverbio celebrantur Amyclæ, in Latio fuerunt.

(16) Unam supra septuaginta hic numero. Excerpta vero duarum, hoc loco præteritarum, inf. cod. 243, colligo, ex Propemptico, et ex oratione in Anatolium cons.

(17) Tarasium fratrem alloquitur.

(18) Vulgo *Confirmationes*.

(19) Adi geographos de hac veriora narraturos, et in primis Procop. *Gothicorum* II ; Ortelii *Islandiam* in *Theatro* ; Petrarch. lib. III, epist. 1 ; Gul. Camden, *De insulis Britan.* et alios.

solis orientis partes venerunt; unde circulo facto, exterius mare longo tempore, variisque erroribus circumiere. Errorum socii fiunt Carmanes, Meniscus et Azulis: atque in Thule denique insula stationem interim errorum quamdam constituerunt. In hac ipsa insula cum Dercyllide quadam Dinias consuetudinem habuit: quæ genere Tyria, et claris in ea urbe natalibus orta, cum fratre (20) Mantinia hoc in loco versabatur. Cum illa igitur Dinias consuescens, ejus audit fratris que jactationes, et quanta mala Paastius (21) quidam, Ægyptius sacrificulus, intulerit. Hic enim cum vastata ejus patria, Tyrum migrasset, et hospitio acceptus a parentibus horum fratrum, Mantiniæ atque Dercyllidis, benevolus primum in bene de se meritos, familiamque adeo universam esse videretur: ingentibus postea malis domum, hosque et eorum parentes affecit. Refert deinde quomodo in Rhodum, post tantas familiæ calamitates, cum fratre abducta sit, indeque in Cretam errore delata fuerit, inox ad Tyrrhenos et rursum inde ad Cimmerios, quos nominant, utque apud hos inferos spectarit, et eorum multa, quæ ibidem sunt, didicerit: Myrto magistra usa, **109***b* sua quadam pedisequa, quæ olim vita abierat, et a morte dominam docebat.

Hæc itaque narrare incipit Dinias Cymbæ cuidam nomine, domo Arcadia, quem commune Arcadum legatum miserat Tyrum, Diniam ibi rogantes, ut ad ipsos in patriam suam rediret. At quoniam ipsum jam gravis senii ætas prohibebat, fingitur hic referre, tum ea quæ ipsemet erroribus jactatus viderat, tum quæ ab aliis conspecta acceperat, quæque a Dercyllide in Thule narrata didicerat: supradictum, inquam, ejus errorem, utque post suum illa reditum ab inferis, cum Ceryllo et Astræo (jam enim a fratre segregata erat) ad Sirenes venerit sepulcrum; et quæ rursum ipsa ex Astræi sermone cognoverit de Pythagora, et Mnesarcho: qualia vicissim Astræus ex Philotide didicerit, et in oculis ipsius spectrum, visumque plane fabulosum: et quascunque rursum Dercyllis ad suos reversa errores retulit, ut in hominum civitatem inciderit in Iberia, qui noctu quidem viderent: interdiu autem quotidie cæcutirent. Quæ item ibi Astræus tibia canens, hostibus eorum fecerit, utque benevoli inde dimissi in Celtas inciderint, gentem immanem ac stolidam, quos in equis ipsi effugerint, quæque in mutato equorum colore acciderint: ut hinc ad Aquitanos penetrarint, quantosque honores ibi adepti sint Dercyllis atque Ceryllus; et hoc amplius Astræus, quod oculorum suorum incremento at-

καὶ εἰς τὸν ἑῷον ἐμβαλόντες καὶ πρὸς ταῖς τοῦ ἡλίου ἀνατολαῖς γεγονότες, ἐντεῦθέν τε κύκλῳ τὴν ἐκτὸς περιελθόντες θάλασσαν ἐν χρόνοις μακροῖς καὶ ποικίλαις πλάναις· οἷς συνεφάπτονται τῆς πλάνης Καρμάνης καὶ Μηνίσκος καὶ Ἄζουλις. Γίνονται δὲ καὶ ἐν Θούλῃ τῇ νήσῳ, ἐνταῦθα τέως καὶ σταθμὸν [86] ὥσπερ τῆς πλάνης τινὰ ποιούμενοι. Ἐν ταύτῃ τῇ Θούλῃ Δεινίας κατ' ἔρωτος νόμον ὁμιλεῖ Δερκυλλίδι τινὶ καλουμένῃ, ἥτις γένει μὲν ὑπῆρχε Τυρία τῶν κατὰ τὴν πόλιν εὐπατριδῶν, ἀδελφῷ [87] δὲ συνῆν ὄνομα Μαντινίᾳ. Ταύτῃ Δεινίας ὁμιλῶν ἀναμανθάνει τήν τε τῶν ἀδελφῶν πλάνην, καὶ ὅσα Παάπις [88] τις ἱερεὺς Αἰγύπτιος, τῆς πατρίδος αὐτοῦ λεηλατηθείσης καὶ παροικήσας Τύρον καὶ φιλοξενηθεὶς ὑπὸ τῶν τεκόντων τοὺς ἀδελφοὺς Δερκυλλίδα καὶ Μαντινίαν, καὶ δόξας τὰ πρῶτα εὔνους εἶναι τοῖς εὐεργέταις καὶ ὅλῳ τῷ οἴκῳ, μετὰ ταῦτα ὅσα κατὰ τόν τε οἶκον καὶ αὐτοὺς καὶ αὐτῶν γονέας εἰργάσατο· ὅπως εἰς Ῥόδον ἀπὸ τῆς κατὰ τὸν οἶκον συμφορᾶς σὺν τῷ ἀδελφῷ ἀπήχθη, κἀκεῖθεν εἰς Κρήτην ἐπλανήθη, εἶτα εἰς Τυρρηνούς, κἀντεῦθεν εἰς Κιμμερίους οὕτω καλουμένους· καὶ ὡς τὰ ἐν Ἅιδου παρ' αὐτοῖς ἴδοι καὶ πολλὰ τῶν ἐκεῖσε μάθοι, διδασκάλῳ χρωμένη Μύρτῳ [89] θεραπαινίδι οἰκείᾳ, πάλαι τὸν βίον ἀπολιπούσῃ καὶ ἐκ τῶν νεκρῶν τὴν δέσποιναν ἀναδιδασκούσῃ.

[357 R.] Ταῦτα τοίνυν ἀπάρχεται Δεινίας διηγεῖσθαι Κύμβα τινὶ ὀνόματι ἐξ Ἀρκαδίας πατρίδος, ὃν στείλειε τὸ κοινὸν τῶν Ἀρκάδων ἐς Τύρον, αἰτούμενοι Δεινίαν πρὸς αὐτούς τε καὶ πατρίδα ἐπαναζεῦξαι. Ἐπεὶ δὲ αὐτὸν τὸ βάρος τοῦ γήρως ἐκώλυεν, εἰσάγεται διηγούμενος ἅπερ τε αὐτὸς κατὰ τὴν πλάνην θεάσοιτο ἢ καὶ ἄλλων θεασαμένων ἀκήκοε, καὶ ἃ Δερκυλλίδος ἐν Θούλῃ διηγουμένης ἀνέμαθε, λέγω δὴ τήν τε [90] προειρημένην πλάνην αὐτῆς, καὶ ὅπως μετὰ τὴν ἐξ Ἅιδου αὐτῆς ἀναχώρησιν σὺν Κηρύλλῳ καὶ Ἀστραίῳ, ἤδη τοῦ [91] ἀδελφοῦ διασπασθεῖσα, ἐπὶ τὸν Σειρήνης ἀφίκοντο [92] τάφον· καὶ ὅσα πάλιν αὐτὴ ἐξ Ἀστραίου λέγοντος ἤκουσε, περί τε Πυθαγόρου φημὶ καὶ Μνησάρχου· οἷά τε Φιλώτιδος αὐτὸς Ἀστραῖος ἤκουσε, καὶ τὸ κατὰ τοὺς ὀφθαλμοὺς [93] αὐτοῦ μυθῶδες θέαμα· καὶ ὅσα αὖθις Δερκυλλὶς ἐπὶ τὴν οἰκείαν ἐπανιοῦσα πλάνην ἀπήγγελλεν, ὡς περιπέσοι ἀνθρώπων πόλει κατὰ τὴν Ἰβηρίαν, οἳ ἑῴων μὲν ἐν νυκτί, τυφλοὶ δὲ ὑπὸ ἡμέρᾳ ἑκάστῃ [94] ἐτύγχανον· καὶ ὅσα ἐκεῖ Ἀστραῖος αὐλῶν τοῖς πολεμίοις ἐκείνων εἰργάσατο. Καὶ ὡς ἀφεθέντες εὐμενῶς ἐκεῖθεν περιπεπτώκασι τοῖς Κελτοῖς [95], ἔθνει ὠμῷ καὶ ἠλιθίῳ, ἵπποις τε αὐτοὺς ἐξέφυγον, καὶ ὅσα αὐτοῖς περὶ τῆς κατὰ τὴν χρόαν τῶν ἵππων ἐναλλαγῆς ἐγεγόνει. Ὅπως τε κατὰ τοὺς Ἀκυτανοὺς ἐγένοντο, καὶ οἵας ἐκεῖ τιμῆς [186 H.] ἀπήλαυσαν

VARIÆ LECTIONES.

[86] καὶ σταθμὸν — ποιούμενοι A : σταθμαίου — ποιούμενα ς. [87] ἀδελφῇ ς. [88] Παάπις] Παάπιος A : παάστιος ς. [89] Μύρθῳ ς : Scaliger Μυρτοΐ. [90] τε add. A. [91] τοῦ om. A. [92] ἀφίκοντο apographum Stephani : ἀφίκοιντο ς. [93] ὀφθαλμοὺς A : ἀδελφοὺς C ς. [94] ἡμέραν ἑκάστην ς. [95] βελτοῖς A.

NOTÆ.

(20) ἀδελφῷ legendum docent sequentia.

(21) Qui *Paapis* deinceps perpetuo nominatur.

Δερκυλλίς τε καὶ Κήρυλλος, καὶ ἔτι μᾶλλον Ἀστραῖος τῇ περὶ τοὺς οἰκείους ὀφθαλμοὺς αὐξομειώσει τὰς σεληνιακὰς σημαίνων αὐξομειώσεις, καὶ λύων ἔριδος τοὺς ἐκεῖσε περὶ τῆς ἀρχῆς βασιλεῖς, οἳ δύο ὄντες κατὰ τὰ τοιαῦτα τῆς σελήνης πάθη ἀλλήλων ἀντικαθίσταντο διάδοχοι· δι' ἃ καὶ ὁ ἐκεῖσε δῆμος τοῖς περὶ Ἀστραῖον ἔχαιρον.

A que decremento, lunæ quoque designaret alternationes, quodque contentionem dirimeret, duos inter reges de principatu contendentes, qui juxta tales lunæ vicissitudines invicem succedebant in imperio, ut ob ista etiam populo illi Astræus charus acceptusque fuerit.

Ἐντεῦθεν ἐπιμυθεύεται ὅπως τά τε ἄλλα Δερκυλλὶς εἶδέ τε καὶ ὑπήνεγκε, καὶ ὡς ἐν Ἀρτάβροις ἦχθη, οὗ γυναῖκες μὲν πολεμοῦσιν, ἄνδρες δὲ οἰκουροῦσι καὶ τὰ γυναικῶν ἐπιμελοῦνται. Ἐπὶ τούτοις οἷα κατὰ τοὺς Ἀστύρους τὸ ἔθνος αὐτῇ τε καὶ Κηρύλλῳ συνεκύρησε, καὶ ἔτι ὅσα ἰδίως Ἀστραίῳ συνηνέχθη, καὶ ὡς παρ' ἐλπίδας πάσας τοὺς ἐν Ἀστύροις συχνοὺς κινδύνους ἐκπεφευγότες Κήρυλλος σὺν Δερκυλλίδι τὴν δίκην ὅμως, ἣν ἀδικήματος παλαιοῦ ὠφληκὼς ἐτύγχανεν, οὐκ ἀπέφυγεν, ἀλλὰ παρὰ δόξαν [96] πᾶσαν ὡς ἐσώθη τῶν κινδύνων, οὕτω καὶ ἐκρεουργήθη. Μετὰ ταῦτα οἷα κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν πλανωμένη ἐθεάσατο, καὶ ὡς ἐν Ἔρυκι γενομένη πόλει Σικελίας συλλαμβάνεται καὶ πρὸς Αἰνησίδημον [97] (ἐτυράννει δὲ τότε Λεοντίνων οὗτος) ἀπάγεται. Ἐν ᾧ πάλιν Παάπιδι τῷ τρισαλιτηρίῳ περιπίπτει τῷ τυραννοῦντι συνόντι, καὶ τῆς ἀπροσδοκήτου συμφορᾶς ἀνέλπιστον εὑρίσκει παραμυθίαν τὸν ἀδελφὸν Μαντινίαν, ὃς πολλὰ πλανηθείς, καὶ πολλῶν ἀπιστοτάτων θεαμάτων περί τε ἀνθρώπους καὶ ἕτερα ζῶα περί τε αὐτὸν ἥλιον καὶ σελήνην καὶ φυτὰ καὶ νήσους μάλιστα ἐξηγητὴς αὐτῇ καταστάς, ὕλην ἄφθονον παρέσχε μυθοποιίας ἀπαγγέλλειν ὕστερον τῷ Δεινίᾳ· ἄπερ αὐτὸς συνειρῶν εἰσάγεται διηγούμενος τῷ Ἀρκάδι Κύμβᾳ.

Narrat præter hæc Dinias, Dercyllida cum alia vidisse atque pertulisse, tum ut ad Artabros (22) pervenerit, ubi feminæ bella gerunt, viri autem domum custodiunt, ac muliebria quæque obeunt officia : quæ item apud Asturum gentem ipsi Cerylloque contigerint, et quæ Astræo quoque privatim acciderint : utque præter omnem spem frequentia apud Asturos pericula cum effugissent Cerylluscum Dercyllide, pœnam tamen ille, **110***a* quam improbitatis olim causa commeritus esset, non effugerit, sed ut inopinato pericula hæc evaserit, ita etiam tandem excarnificatum fuisse. Refert postea quænam per Italiam Siciliamque oberrans illa viderit. Ut in Eryce Siciliæ civitate comprehensa, ad Sænisidemum, qui tunc Leontinis imperabat, adducta fuerit : ubi rursum in Paapidem, sceleratissimum illum hominem, apud regem agentem incidit, reperitque nec opinato calamitatis ingentis solatium, Mantiniam fratrem, qui diu multumque jactatus, varia quoque et incredibilia, quæ cum in hominibus ac cæteris animantibus, tum circa solem ipsum et lunam, plantasque, et insulas potissimum spectarat, sorori commemoravit, uberemque admodum præbuit fabularum materiam, quas Diniæ postmodum illa referret, quæ hic omnia ipse connexuisse, et Cymbæ Arcadi retulisse fingitur.

Ἔπειτα ὡς λαβόντες Μαντινίας καὶ Δερκυλλὶς ἐκ Λεοντίνων [98] τὸ Παάπιδος πηδίδιον μετὰ τῶν ἐν αὐτῷ βιβλίων, καὶ τῶν βοτανῶν [360 R.] τὸ κιβώτιον, ἀπαίρουσιν εἰς Ῥήγιον κἀκεῖθεν εἰς Μεταπόντιον, ἐν ᾧ αὐτοὺς Ἀστραῖος ἐπικαταλαβὼν μηνύει κατὰ πόδας διώκειν Παάπιν. Καὶ ὡς συναπαίρουσιν αὐτῷ ἐπὶ Θρᾷκας καὶ Μασσαγέτας [99], πρὸς Ζάμολξιν τὸν ἑταῖρον αὐτοῦ ἀπιόντι. Ὅσα τε κατὰ ταύτην τὴν ὁδοιπορίαν ἴδοιεν [1] καὶ ὅπως ἐντύχοι Ἀστραῖος Ζαμόλξιδι παρὰ Γέταις· ἤδη Θεῷ νομιζομένῳ· καὶ ὅσα εἰπεῖν αὐτῷ καὶ δεηθῆναι Δερκυλλίς τε καὶ Μαντινίας Ἀστραῖον ὑπὲρ αὐτῶν ἠξίωσαν· καὶ ὡς χρησμὸς αὐτοῖς ἐκεῖθεν ἐξέπεσεν ἐπὶ Θούλην εἶναι πεπρωμένον ἐλθεῖν, καὶ ὡς ἐς ὕστερον καὶ πατρίδα ὄψονται, πρότερον ἄλλα τε ἐνταλαιπωροῦντες, καὶ δίκην τῆς ἐς τοὺς τοκέας ἀνοσιότητος (εἰ καὶ ἄκοντες ἥμαρτον) τινύντες τῷ τὸν βίον αὐτοῖς εἰς ζωὴν καὶ θάνατον διαμερισθῆναι, καὶ ζῆν μὲν ἐν νυκτί, νε-

Addit dehinc, ut Mantinias cum Dercyllide (Paapidis pera cum libris, herbarumque arcula sublata) Rhegium e Leontinis trajecerint, indeque Metapontium, ubi eos Astræus assecutus, Paapin vestigia eorum subsequi significarit, utque Astræum hi in Thraciam, et Massagetas ad Zamolxin (23) socium proficiscentem secuti sint. Quid item ille hac in profectione conspexerit, ac quomodo in Zamolxida inciderit, apud Getas jam tum pro deo cultum : quæque dicere, ac postulare pro se Astræum jusserint Dercyllis atque Mantinias ; ut ibi oraculum illis datum sit, in Thulen insulam deferri fatis esse destinatum : tandem tamen in patriam redituros, sed cum alia prius adversa passuros, tum impietatis in parentes (tametsi deliquissent inviti) pœnas daturos : vitam nimirum ipsis cum morte alternis vicibus commutatum iri, et noctu quidem victuros (25), interdiu vero semper mortuos fu-

VARIÆ LECTIONES.

[96] περὶ ς. [97] Αἰνησίδημον Leichius, p. IX : αἰνισίδημον A : σαινισίδημον C ς. [98] Λεοντιόνων ς. [99] Μασσαγέτας ς· [1] ἴδοι ς. [2] Γέτας ς.

NOTÆ.

(22) Hodie *Cabo de Finistera*, nautarum vulgo apud Ortel. in *Thesauro*. Meminere Plin., Strabo, Mela et alii.

(23) Plura de hoc apud Strab. lib. VII, Suidan, et Herodot. *Melpomene*.

(24) De qua seq. pag.

(25) Qua ratione noctes vixisse 60 supra septingentas sepulcrales docebunt inscriptiones inf. in fine hujus codicis.

turos. Refert insuper, ut hoc audito vaticinio, inde discesserint, Astræo cum Zamolxide summa apud Getas in existimatione relictis : quæ item ad Boream videre admiranda atque audire ipsis contigerit.

Hæc cum omnia Dinias in Thule Dercyllide narrante audisset, eadem nunc referre pergit Cymbæ Arcadi. Ad hæc etiam, ut Paapis, Dercyllidis vestigia insecutus, in ea **110***b* insula ipsis supervenerit, et arte sua magica hoc effecerit, ut interdiu morerentur, nocte vero accedente reviviscerent, hoc tantum ritu ad illud efficiendum usus, quod publice in illorum faciem conspueret. Thruscanum item quemdam, Thule oriundum, Dercyllidis amore captum, viso amatam suam Paapidis malis artibus in eum morbum incidisse, ingentem adeo ex eo B cepisse dolorem, ut subito Paapida invadens gladio percusserit, atque interfecerit. Hunc vix tandem Tyrios malorum reperisse exitum. Thruscanum tamen postquam Dercyllida mortuæ similem jacere conspexit, mortem sibi quoque conscivisse. Hæc igitur omnia, et alia id genus plurima, ut eorum sepulturam, et e tumulo reditum, amores Mantiniæ, quæque hinc illis acciderunt, et ejus farinæ multa cum Dinias in Thule insula, Dercyllide referente, cognovisset, inducitur nunc eadem Cymbæ Arcadi commemorans. Atque hic tandem finis est tertii et vicesimi libri, Antonii Diogenis *Incredibilium de Thule* inscripti, cum nihil pene, ac nisi pauca tantum ab initio hujus operis de hac insula memoriæ prodiderit.

Quartus vero et vicesimus liber inducit Azulin narrantem, atque inde etiam Diniam ad ea quæ antea Cymbæ retulisset, Azulidis gesta cumulantem. Quomodo nimirum præstigiarum illarum rationem deprehenderit, quibus Paapis Dercyllida et Mantiniam ludificarat, nocte quidem ut viventes apparerent, interdiu vero mortui : utque malum illud depulerit, cum modum ac rationem hujus cruciatus, ejusque curandi viam didicisset ex perula Paapidis, quam secum Mantinias atque Dercyllis attulerant. Neque hoc solum, sed et illud reperit, quomodo Dercyllis et Mantinias parentes jacentes ingenti malo liberare possent. Hos enim illi ex Paapidis præscripto, quasi hoc sibi profuturum esset, gravi affecerant incommodo, cum longo eos tempore mortuorum instar jacere fecissent. Accedit D huc, uti Dercyllis, et Mantinias in patriam properarint, parentibus ut vitam salutemque rederent.

Dinias interim una cum Carmane et Menisco, separato ab ipsis Azulide, ultra ipsam Thulen etiam oberravit; quo quidem in errore quæ supra Thulen incredibilia viderit, nunc inducitur referre Cymbæ : ea nimirum a se conspecta esse dicens, quæ et

χρούς δὲ ἐν ἑκάστῃ εἶναι ἡμέρᾳ· εἶτα ὡς τοιούτους χρησμοὺς λαβόντες ἀπαίρουσιν ἐκεῖθεν, τὸν Ἀστραῖον σὺν Ζαμόλξι λείποντες [3] ὑπὸ Γετῶν δοξαζόμενον· καὶ ὅσα περὶ Βορέαν αὐτοῖς τεράστια ἰδεῖν καὶ ἀκοῦσαι συνηνέχθη.

Ταῦτα πάντα Δεινίας κατὰ [187 H.] Θούλην ἀκούσας διηγουμένης Δερκυλλίδος εἰσάγεται νῦν ἀπαγγέλλων τῷ Ἀρκάδι Κύμβᾳ. Ἐπὶ τούτοις καὶ ὡς Παάπις διώκων μετ' ἴχνια τοὺς περὶ Δερκυλλίδα ἐπέστη αὐτοῖς ἐν τῇ νήσῳ, καὶ τὸ πάθος ἐκεῖνος τέχνῃ μαγικῇ ἐπέθηκε, θνήσκειν μὲν ἡμέρας, ἀναβιώσκειν δὲ νυκτὸς ἐπιγινομένης. Καὶ τὸ πάθος αὐτοῖς ἐνέθηκεν ἐμπτύσας αὐτῶν κατὰ τὸ ἐμφανὲς τοῖν προσώποιν [4]. Καὶ ὡς Θρουσκανός τις Θουλίτης, ἐραστὴς διάπυρος Δερκυλλίδος, ἰδὼν πεσοῦσαν τῷ ἐκ Παάπιδος πάθει τὴν ἐρωμένην καὶ ὑπεραλγήσας, ἀθρόον τε [5] ἐπιστὰς, παίει ξίφει ἐκ τοῦ κἀρνιδίου τὸν Παάπιν καὶ ἀναιρεῖ, τοῦτο μόλις τῶν μυρίων κακῶν [6] τέλος εὑράμενον. Καὶ ὡς Θρουσκανὸς, ἐπεὶ Δερκυλλὶς ἔκειτο δοκοῦσα νεκρὰ, ἑαυτὸν ἐπικατασφάττει. Ταῦτα πάντα καὶ τούτων ἕτερα πολλὰ παραπλήσια, τήν τε ταφὴν αὐτῶν καὶ τὴν ἐκεῖθεν ὑπαναχώρησιν καὶ τοὺς ἔρωτας Μαντινίου [7], καὶ ὅσα διὰ τοῦτο συνέβη, καὶ ἕτερα ὅμοια κατὰ Θούλην τὴν νῆσον Δεινίας μαθὼν μυθολογούσης Δερκυλλίδος εἰσάγεται νῦν συνυφαίνων τῇ Ἀρκάδι Κύμβᾳ· καὶ συμπληροῦται Ἀντωνίῳ Διογένει ὁ εἰκοστὸς τρίτος λόγος Τῶν ὑπὲρ Θούλην ἐπιγραφομένων Ἀπίστων, καίτοι μηδὲν ἧ βραχέα κατ' ἀρχὰς περὶ Θούλης τῆς συγγραφῆς ὑποδηλωσάσης.

C

Ὁ δὲ εἰκοστὸς τέταρτος λόγος εἰσάγει Ἄξουλιν διηγούμενον, κἀκεῖθεν Δεινίαν τοῖς ἔμπροσθεν αὐτῷ μυθολογηθεῖσι πρὸς Κύμβαν συνείροντα τὰ Ἀζούλιδος, ὡς κατανοήσοι τῆς γοητείας τὸν τρόπον, καθ' ὃν Παάπις ἐγοήτευσε Δερκυλλίδα καὶ Μαντινίαν νυκτὶ μὲν ζῶντας ἐν ἡμέρᾳ [8] δὲ νεκροὺς εἶναι, καὶ ὡς ἀπήλλαξεν αὐτοὺς τοῦ πάθους, τόν τε τρόπον τῆς τιμωρίας ταύτης καὶ δὴ καὶ τῆς ἰάσεως ἐκ τοῦ πηριδίου ἀνευρὼν τοῦ Παάπιδος, ὃ συνεπεφέροντο Μαντινίας καὶ Δερκυλλίς. Οὐ μόνον δὲ, ἀλλ' εὗρε καὶ ὅπως [9] Δερκυλλὶς καὶ Μαντινίας ἀπαλλάξειαν μεγάλου κακοῦ τοὺς τοκέας κειμένους, οὓς ὑποθήκαις Παάπιδος, [361 R.] ὡς ἂν ἐπὶ τῷ ἐκείνων συμφέροντι, αὐτοὶ ἐλυμήναντο, ἴσα κεῖσθαι νεκροῖς μακρὸν χρόνον κατεργασάμενοι. Εἶτα ὡς ἐκεῖθεν Δερκυλλὶς ἅμα Μαντινίᾳ ἐπὶ τὴν πατρίδα ἔσπευδον ἐπὶ τῇ τῶν τεκόντων ἀναβιώσει καὶ σωτηρίᾳ.

Δεινίας δὲ ἅμα Καρμάνῃ καὶ Μηνίσκῳ, ἀποχωρισθέντος αὐτοῖς Ἀζούλιδος, πρὸς τὰ ὑπὲρ τὴν Θούλην τὴν πλάνην ἐξέτεινον· καθ' ἣν πλάνην τὰ ὑπὲρ τὴν Θούλην ἄπιστα θεάσασθαι νῦν ἀπαγγέλλων εἰσάγεται Κύμβᾳ, ἐκεῖνα λέγων ἰδεῖν ἃ καὶ οἱ τῆς ἀστροθεά-

VARIÆ LECTIONES.

[3] λιπόντες A. [4] τὸ πρόσωπον ς. [5] τε add. A. [6] τούτων μόνων τῶν τυρίων κακὸν — εὑραμένων ς. [7] Μαντίον ς. [8] ἐν ἡμέρᾳ A : ἡμέρας ς, [9] ὅπως A : πῶς ς.

μονος τέχνης σπουδασται ὑποτίθενται, οἷον ὡς ἔστιν ἐνίοις δυνατὸν κατὰ κορυφὴν τὴν ἄρκτον εἶναι, καὶ τὴν νύκτα μηνιαίαν, καὶ ἔλαττον δὲ καὶ πλέον, καὶ ἑξαμηνιαίαν δὲ, καὶ τὸ ἔσχατον ἐνιαυσιαίαν· οὐ μόνον δὲ τὴν νύκτα ἐπὶ τοσοῦτον παρατείνεσθει, ἀλλὰ καὶ τὴν ἡμέραν ταύταις συμβαίνειν ἀνάλογον· καὶ ἕτερα δὲ ἀπαγγέλλει ἰδεῖν ὅμοια. [188 H.] Καὶ ἀνθρώπους δὲ ἰδεῖν καὶ ἑτερά τινα τερατεύεται, ἃ μηδεὶς μήτε ἰδεῖν ἔφη μήτε ἀκοῦσαι, ἀλλὰ μηδὲ φαντασίαις ἀνετυπώσατο. Καὶ τὸ πάντων ἀπιστότατον, ὅτι πορευόμενοι πρὸς Βοῤῥᾶν ἐπὶ σελήνην, ὡς ἐπί τινα γῆν καθαρωτάτην, πλησίον ἐγένοντο, ἐκεῖ τε γενόμενοι ἴδοιεν ἃ εἰκὸς ἦν ἰδεῖν τὸν τοιαύτην ὑπερβολὴν πλασμάτων προανακλάσαντα. Εἶτα καὶ ὡς ἡ Σίβυλλα τὴν μαντικὴν ἀπὸ Καρμάνου ἀνέλαβε. Μετὰ δὲ ταῦτα ὅτι εὐχὰς ἰδίας ἕκαστος ηὔξατο, καὶ τοῖς μὲν ἄλλοις ἑκάστῳ συνέπεσεν ὥσπερ ηὔξατο, αὐτὸν δὲ φησιν ἐκεῖθεν ἀφυπνώσαντα εἰς Τύρον εἰς τὸν τοῦ Ἡρακλέος νεὼν εὑρεθῆναι, ἐκεῖθέν τε ἀναστάντα τήν τε Δερκυλλίδα καὶ τὸν Μαντινίαν ἀνευρεῖν εὖ πεπραχότας καὶ τούς τε γονεῖς τοῦ μακροῦ ἀπαλλάξαντας ὕπνου, μᾶλλον δὲ ὀλέθρου, καὶ τἆλλα εὐδαιμονοῦντας.

A astrorum studiosi docere solent. Qualia sunt ista : habitare quosdam posse sub polo arctico, et noctem inveniri unius mensis, aliamque qua breviorem, **111***a* qua longiorem, ut sex etiam mensium, et summum anni unius spatium teneat. Neque vero noctem solum eo usque produci, sed diem etiam ipsum noctibus his proportione respondere : aliaque id genus a se visa nuntiat. Homines item conspexisse se, et quædam alia fabulatur, qualia mortalium nemo vidit, nec audivit, sed ne mente quidem effinxit. Hoc autem omnium maxime omnem excedit fidem, quod Boream versus profecti ad lunam propius, tanquam ad purissimam quamdam tellurem (26), accesserint, indidemque cernere potuerint ea quæ vidisse par est eum qui nugas hujusmodi supra fidem confinxerit. Ad hæc et Sibyllam vaticinandi artem a Carmane didicisse tradit, ac vota post ista quemque sua et preces concepisse, atque ut optarant, res dein singulis cecidisse : hinc enim e somno ait excitatum se Tyri in templo Herculis (27) repertum : unde cum surrexisset, ipsam quoque Dercyllida et Mantiniam reperisse, cum cætera belle hactenus egisse, tum parentes suos e longo illo sive somno, sive interitu potius, feliciter excitasse (28) beatamque modo in omnibus-vitam ducere.

Ταῦτα Κύμβᾳ Δεινίας διεμυθολόγησε, καὶ κυπαριττίνας δέλτους προενεγκών ἐγγράψαι ταύτας τὸν Ἀθηναῖον Ἐρασινίδην [10] συνεπόμενον τῷ Κύμβᾳ (ἦν γὰρ τεχνίτης λόγων) παρεκελεύσατο. Ὑπέδειξε δὲ αὐτοῖς καὶ τὴν Δερκυλλίδα· αὕτη γὰρ καὶ τὰς κυπαριττίνας δέλτους ἤνεγκε. Προσέταξέ τε τῷ Κύμβᾳ δίχα ταῦτα τὰ διαμυθολογηθέντα ἀναγράψασθαι, καὶ θατέραν μὲν τῶν δέλτων αὐτον ἔχειν, τὴν ἑτέραν δὲ, καθ' ὃν ἀποβιῳη καιρὸν, τὴν Δερκυλλίδα πλησίον τοῦ τάφου κιβωτίῳ ἐμβαλοῦσαν καταθεῖναι.

Ὁ γοῦν [11] Διογένης, ὁ καὶ Ἀντώνιος, ταῦτα πάντα Δεινίαν εἰσαγαγὼν πρὸς Κύμβαν τερατευσάμενον, ὅμως γράφει Φαυστίνῳ ὅτι τε συντάττει [12] περὶ τῶν ὑπὲρ Θούλην ἀπίστων, καὶ ὅτι τῇ ἀδελφῇ Ἰσιδώρᾳ φιλομαθῶς ἐχούσῃ τὰ δράματα προσφωνεῖ. Λέγει δὲ ἑαυτὸν ὅτι ποιητής ἐστι κωμῳδίας παλαιᾶς, καὶ ὅτι εἰ καὶ ἄπιστα καὶ ψευδῆ πλάττοι, ἀλλ' οὖν ἔχει [13] περὶ τῶν πλείστων αὐτῷ μυθολογηθέντων [14] ἀρχαιοτέρων μαρτυρίας, ἐξ ὧν σὺν καμάτῳ ταῦτα συναθροίσειε· προτάττει δὲ καὶ ἑκάστου βιβλίου τοὺς ἄνδρας οἳ τὰ τοιαῦτα προαπεφήναντο, ὡς μὴ δοκεῖν μαρτυρίας χηρεύειν τὰ ἄπιστα. Ἐπιστολὴν μὲν οὖν κατ' ἀρχὰς τοῦ βιβλίου γράφει πρὸς τὴν ἀδελφὴν Ἰσιδώραν, δι' ἧς εἰ [15] καὶ τὴν προσφώνησιν αὐτῇ τῶν συγγραμμάτων δείκνυται πεποιημένος, ἀλλ' οὖν εἰσ-

Hæc Cymbæ Dinias fabulose retulit, prolatisque cupressinis tabulis, inscribere eas jubet Erasinidem Atheniensem, Cymbæ comitem, litterarum non imperitum. Ostenditetiam ipsis Dercyllida (hæc enim cupressinas illas tabulas attulit) Cymbæque negotium dedit, ut duplici exemplo eis hactenus narrata inscriberentur : et alteram quidem tabellarum ille penes se haberet : alteram vero Dercyllida cum e vita decessisset, suo in tumulo capsulæ impositam collocaturam.

Diogenes igitur, idemque Antonius, qui hasce omnes prodigiis similes fabulas Diniam facit Cymbæ narrantem, Faustino tamen scribit : *De incredibilibus* se, *quæ ultra Thulen essent*, scribere, et Isidoræ sorori, litteris cum primis deditæ, hæc ipsa dedicare. Veteris præterea comœdiæ poetam se profitetur : ac licet falsa, eaque incredibilia finxerit, habere tamen de his ipsis fabulis testes longe antiquiores, e quorum scriptis summo hæc labore contulerit. Singulis deinde libris auctores laudat, qui eadem antea in litteras miserint, ne teste scilicet idoneo carere etiam incredibilia illa viderentur. Ipso igitur operis initio epistolam ad Isidoram sororem scribit, qua licet hoc **111***b* illi volumen inscriptum esse ostendat, Balagrum nihilo secius

VARIÆ LECTIONES.

[10] Ἐρασινίδην ἀθηναῖον A. [11] γοῦν] γὰρ A ; malim δ' οὖν [12] συντάττω A. [13] ἔχοι ς. [14] μυθολ. αὐτῷ ς. addendum ante pronomen τῶν. [15] εἰ om. A.

NOTÆ.

(26) Habitari in luna, eamque esse terram multarum urbium et montium dixit olim Xenophanes, ut refert Cic., *Acad. Quæst.*, quæst. 4.

(27) Vide Arrian., Curt., Greg., Gyrald. de hoc Hercule.

(28) Herbis etiam homines ad vitam revocatos fabulatur Plin. lib. xxv, cap. 2, et Apollod. lib. III *Biblioth.* Glaucum Minois filium sic quoque vitæ restitutum refert.

quemdam ibi uxori suæ, Philæ nomine, Antipatri filiæ, scribentem narrantemque facit, cum ab Alexandro Macedonum rege Tyrus caperetur, et ignis plurima devastaret, venisse ad Alexandrum militem, qui se peregrinum quid, præterque opinionem indicandum habere diceret. Esse enim quid extra oppidum spectatu dignum. Regem itaque assumptis una secum Hephæstione et Parmenione sociis, militem secutum ad tumulos e lapide subterraneos quosdam pervenisse, quorum alius sic esset inscriptus: *Lysilla vixit annos* XXXV. Alter vero sic: *Mnason Mantiniæ filius vixit annos* LXVI (29), *post* LXXI. Alius vero titulus erat: *Aristion Philoclis filius vixit annos* XLVII, *post* LII (29). Alius rursum sic inscriptus lapis: *Mantinias Mnasonis filius annos vixit* XLII, *noctesque* LX *et* IDCC. Item alius: *Dercyllis Mnasonis filia annos vixit* XXXIX *noctesque* LX. *et* IDCC. Sextus vero tumulus hoc epigrammate: *Dinias Arcas vixit annos* C *et* XXV. His lectis dum animi pendent (præterquam in primo tumulo, cujus clarior erat titulus), ad parietem inciderunt in arculam e cupresso fabricatam, cui sic inscriptum: *Hospes quisquis es, aperi ut discas quæ admiraris.*

Aperto igitur ab Alexandri sociis scriniolo, cyparissinas inveniunt tabellas, quas, ut apparet, Dercyllis ibi Diniæ mandato collocarat. Hæc fere uxori scribentem Balagrum inducit, quodque cyparissinas istas tabulas transcribens, eidem conjugi transmiserit. Ab hac occasione fertur deinceps oratio ad cupressinarum lectionem, scriptionemque tabularum, et Dinias quoque adest narrans, quæ prædiximus Cymbæ. Ad hunc ergo modum, ac de his fere rebus dramatis est fictio ab Antonio Diogene composita.

Videtur autem ipse tempore prior esse iis qui talia studiose confinxerunt (30), ut Luciano, Lucio (31), Jamblicho (32), Achille Tatio (33), Heliodoro (34), atque Damascio (35). Nam et *Verarum* Luciani *narrationum et transformationum* Lucii fontem hunc et radicem dixeris. Quin et eorum quæ de Sinonide ac Rodane, de Leucippe ac Clitophonte, de Chariclea ac Theagene, deque fictis eorum rebus, erroribus, amoribus quoque et raptu atque periculis composita sunt, Dercyllis, Ceryllus, Thruscanus ac Dinias exemplum præbuisse merito censeri queant. Qua vero tempestate **112***a* fabularum hic auctor, Diogenes ille Antonius vixerit, non habeo certo affirmare. Illud tantum conjicere liceat, non ita diu post Alexandri Magni tempora floruisse. Meminit item Antiphanis cujusdam se antiquioris, quem id

ἄγει Βάλαγρον [364 R.] πρὸς τὴν οἰκείαν γυναῖκα, Φίλαν τοὔνομα, γράφοντα (θυγάτηρ δὲ ἦν Ἀντιπάτρου αὕτη) ὅτι τῆς Τύρου ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως Μακεδόνων εἰς ἅλωσιν ἐλθούσης καὶ πυρὶ τὰ πλεῖστα διαπαντὸς στρατιώτης ἥκει ὡς [16] Ἀλέξανδρον, ξένον τι καὶ παράδοξον λέγων μηνύειν, εἶναι δὲ τὸ θέαμα τῆς πόλεως ἔξω. Ὁ δὲ βασιλεὺς Ἡφαιστίωνα καὶ Παρμενίωνα συμπαραλαβὼν εἵποντο τῷ στρατιώτῃ, καὶ καταλαμβάνουσιν ὑπογείους λιθίνους [17] σοροὺς, ὧν ἡ μὲν ἐπεγέγραπτο « Δυσίλλα ἐβίω ἔτη πέντε καὶ τριήκοντα [18], » ἡ δὲ « Μνάσων Μαντινίου ἐβίω ἔτη ς' καὶ ξ' ἀπὸ ἑνὸς καὶ ο', » [189 H.] ἡ δὲ « Ἀριστίων Φιλοκλέους ἐβίω ἔτη ζ' καὶ μ' ἀπὸ β' καὶ ν', » ἄλλη δὲ « Μαντινίας Μνάσωνος ἔτη ἐβίω β' καὶ μ' καὶ νύκτας ξ' καὶ ψ'. » ἑτέρα δὲ « Δερκυλλὶς Μνάσωνος ἐβίω [19] ἔτη θ' καὶ λ' καὶ νύκτας ξ' καὶ ψ', » ἡ δὲ ἕκτη σορὸς « Δεινίας Ἀρκὰς ἐβίω ἔτη ε' καὶ κ' καὶ ρ'. » Τούτοις διαπορούντες πλὴν τῆς πρώτης σοροῦ (ταφὲς γὰρ τὸ ἐκείνης ἐπίγραμμα [20]) ἐντυγχάνουσι παρὰ τοίχῳ [21] κιβωτίῳ μικρῷ κυπαρίττου πεποιημένῳ, ᾧ ἐνεγέγραπτο· « Ὦ ξένε, ὅστις εἶ, ἄνοιξον, ἵνα μάθῃς ἃ θαυμάζεις. »

Ἀνοίξαντες οὖν οἱ περὶ Ἀλέξανδρον τὸ κιβώτιον, εὑρίσκουσι τὰς κυπαριττίνας δέλτους, ἃς (ὡς ἔοικε) κατέθηκε Δερκυλλὶς κατὰ τὰς ἐντολὰς Δεινίου. Ταῦτα Βάλαγρον εἰσάγει τῇ γυναικὶ γράφοντα, καὶ ὅτι τὰς κυπαριττίνους δέλτους μεταγραψάμενος διαπέμψειε τῇ γυναικί. Καὶ λοιπὸν εἰσβάλλει [22] ἐντεῦθεν ὁ λόγος εἰς τὴν τῶν κυπαριττίνων δέλτων ἀνάγνωσιν καὶ γραφήν, καὶ πάρεστι Δεινίας Κύμβᾳ διηγούμενος ἅπερ προείρηται. Οὕτω μὲν οὖν καὶ ἐπὶ τούτοις ἡ τῶν δραμάτων πλάσις τῷ Ἀντωνίῳ Διογένει ἐσχημάτισται.

Ἔστι δ', ὡς ἔοικεν, οὗτος χρόνῳ πρεσβύτερος τῶν τὰ τοιαῦτα ἐσπουδακότων διαπλάσαι, οἷον Λουκιανοῦ, Λουκίου, Ἰαμβλίχου, Ἀχιλλέως Τατίου, Ἡλιοδώρου τε καὶ Δαμασκίου· καὶ γὰρ τοῦ περὶ ἀληθῶν διηγημάτων Λουκιανοῦ καὶ τοῦ περὶ μεταμορφώσεων Λουκίου πηγὴ καὶ ῥίζα ἔοικεν εἶναι τοῦτο. Οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν περὶ Σινωνίδα καὶ Ῥοδάνην, Λευκίππην τε καὶ Κλειτοφῶντα, καὶ Χαρίκλειαν καὶ Θεαγένην, τῶν τε περὶ αὐτοὺς πλασμάτων καὶ τῆς πλάνης ἐρώτων τε καὶ ἁρπαγῆς καὶ κινδύνων, ἡ Δερκυλλὶς καὶ Κήρυλλος καὶ Θρουσκανὸς καὶ Δεινίας ἐοίκασι παράδειγμα γεγονέναι. Τὸν χρόνον δὲ, καθ' ὃν ἤκμασεν ὁ τῶν τηλικούτων πλασμάτων πατὴρ Διογένης [23] ὁ Ἀντώνιος, οὔπω τι σαφὲς ἔχομεν λέγειν, πλὴν ἔστιν ὑπολογίσασθαι, ὡς οὐ λίαν πόρρω τῶν χρόνων τοῦ βασιλέως Ἀλεξάνδρου. Μνημονεύει

VARIÆ LECTIONES.

[16] ὡς] πρὸς A. [17] λιθίνους] quidni λιθίνας? et intr. κυπαριττίνας. [18] τριάκοντα ς. [19] ἐβίω Μνάσωνος ς. [20] ἐκείνης ἦν ἐπίγρ. ς. [21] τοῖχον ς. [22] ἐμβάλλει ς. [23] ὁ ante Διογένης ponit A.

NOTÆ.

(29) Jacuerunt enim mortui toto eo tempore quo Mantinias atque Dercyllis in Thulen usque aberrarunt, donec post ad horum reditum revixerant, ut fabulatur supra.

(30) De quibus supra.

(31) Cod. 323.

(32) Cod. 94.

(33) Cod. 82.

(34) Cod. 73.

(35) Cod. 130.

δ' οὗτος ἀρχαιοτέρου τινὸς Ἀντιφάνους, ὃν φησι περὶ τοιαῦτά τινα τερατολογήματα κατεσχολακέναι. Ἔστι δὲ ἐν αὐτοῖς καὶ μάλιστα, ὡς ἐν τηλικούτοις πλάσμασί τε καὶ μυθεύμασι, δύο τινὰ θηρᾶσαι χρησιμώτατα, ἓν μὲν ὅτι τὸν ἀδικήσαντά τι, κἂν μυριάκις ἐκφυγεῖν δόξῃ, εἰσάγει πάντως δίκην δεδωκέναι, καὶ δεύτερον ὅτι πολλοὺς ἀναιτίους, ἐγγὺς μεγάλου γεγονότας κινδύνου, παρ' ἐλπίδας [24] δείκνυσι πολλάκις διασωθέντας.

A genus prodigiosis narrationibus simillima conscripsisse ait. Ex ipsis vero potissimum, ut et e cæteris hujus farinæ fictis narrationibus duplex parari, eaque non modica utilitas potest. Primum quidem, quod hinc, etsi qui injuste quidpiam admiserunt, effugere sæpius videantur, tandem tamen meritas dare pœnas, discas. Insontes deinde multos, ingentibus vicinos periculis, præter spem omnem sæpenumero servari.

ΡΞΖ΄.

Ἰωάννου Στωβαίου Ἐκλογαί, Ἀποφθεγμάτων Ὑποθετικῶν βιβλία δ΄.

CLXVII.

Joannis Stobæi Eclogarum, Apophthegmatum, et vitæ Præceptionum libri IV.

[365 R.] Ἀνεγνώσθη Ἰωάννου Στοβαίου Ἐκλογῶν [25], Ἀποφθεγμάτων, Ὑποθηκῶν, βιβλία τέσσαρα ἐν τεύχεσι δυσί. Προσφωνεῖ δὲ ταῦτα, δι' ὃν καὶ τὴν συνάθροισιν φιλοπονῆσαι λέγει, Σεπτιμίῳ [26] ἰδίῳ υἱῷ. Ἡ δὲ συναγωγὴ αὐτῷ ἔκ τε ποιητῶν καὶ ῥητόρων καὶ τῶν κατὰ τὰς πολιτείας [190 H.] λαμπρῶς βεβιωκότων ἐγένετο, ὧν (ὡς καὶ αὐτὸς φησι) τῶν μὲν τὰς ἐκλογὰς [27] τῶν δὲ τὰ ἀποφθέγματα καί τινων ὑποθήκας συλλεξάμενος, ἐπὶ τῷ ῥυθμίσαι καὶ βελτιῶσαι τῷ παιδὶ τὴν φύσιν, ἀμαυρότερον ἔχουσαν πρὸς τὴν τῶν ἀναγνωσμάτων μνήμην [28], στείλειεν.

Ἔστι δὲ αὐτῷ τὸ μὲν α΄ βιβλίον φυσικόν, τοῦ δὲ β΄ τὸ μέν τι κατ' ἀρχὰς μέρος λογικόν, τὸ [29] δὲ λοιπὸν καὶ πλεῖστον [30] ἠθικόν· καὶ τὸ γ΄ δὲ καὶ τὸ δ΄, πλὴν ὀλιγίστων, ἠθικὰ καὶ πολιτικά. Καὶ γὰρ τὸ μὲν α΄ ἔχει μὲν κεφάλαια Ξ΄, οἷς καὶ τὰς τῶν παλαιῶν ἀρμόζει χρήσεις καὶ χοείας· ταῦτα δέ εἰσι μετὰ τὸ περὶ Θεοῦ διαλαβεῖν, ὅτι Δημιουργὸς τῶν ὄντων καὶ διέπει τὸ ὅλον τῷ τῆς προνοίας λόγῳ, δεύτερον περὶ τῶν νομιζόντων μὴ εἶναι πρόνοιαν καὶ ἑπομένας ταύτῃ θείας ἐπὶ τῇ τοῦ παντὸς διοικήσει δυνάμεις, εἶτα περὶ δίκης παρὰ τοῦ Θεοῦ τεταγμένης ἐποπτεύειν τὰ γινόμενα ὑπὸ τῶν ἀνθρώπων, τιμωρὸν οὖσαν τῶν ἁμαρτανόντων, καὶ περὶ ἀνάγκης θείας, καθ' ἣν ἀπαραιτήτως τὰ κατὰ τὴν τοῦ Θεοῦ γίνεται βούλησιν· περί τε εἱμαρμένης καὶ τῆς τῶν γινομένων εὐταξίας· περί τε τύχης ἢ ταυτομάτου, καὶ ὅτι ἀλόγιστος ἡ φορὰ τῆς τύχης· περὶ τε [31] χρόνου οὐσίας καὶ μερῶν, καὶ πόσων εἴη αἴτιος· καὶ περὶ Ἀφροδίτης οὐρανίας καὶ ἔρωτος θείου· δέκατον περὶ ἀρχῶν καὶ στοιχείων καὶ τοῦ παντός. Εἶτα περὶ ὕλης, περὶ ἰδέας, περὶ αἰτίων, περὶ σωμάτων καὶ περὶ τῆς [32] τούτων τομῆς καὶ περὶ ἐλαχίστου, περὶ σχημάτων, περὶ χρωμάτων, περὶ μίξεως καὶ κράσεως, περὶ κενοῦ [33] καὶ τόπου καὶ χώρας, περὶ

Legimus Joannis Stobæi *Eclogarum, Apophthegmatum, et Præceptionum vitæ* libros quatuor, voluminibus duobus. Dedicat eas, cujus maxime gratia collectos affirmat, Sestimio (36) filio suo. Collegit autem (ut ipsemet indicat) e [philosophis,] poetis, oratoribus, atque ex iis qui in omni republica rebus gestis claruerunt, partim eclogas, partim apophthegmata, partim denique instituendæ vitæ præcepta, quæ instar columnæ alicujus erigere voluit, quo ad hanc rerum lectarum stelen dubium nonnihil filii ingenium componeret, meliusque redderet.

Primus autem liber totus est physicus : alter deinde (37) aliqua sui parte ad sermonem ab initio pertinet : cætera vero, et longe maxima, ethicus est. Tertius denique et quartus, pauca si demas, ethica rursum et politica continent (38). Primus itaque liber capita complectitur XL, ad quæ veterum sententias (39) celebriaque dicta redegit. Sunt autem ista : Postquam de Deo disseruit (40), cunctorum eum Opificem esse, et providentia sua gubernare universum. Secundum caput de iis agit, qui providentiam tollunt, divinasque facultates eas, quæ illam ipsam ad universum administrandum consequuntur. 3. Deinde de constituta a Deo justitia ad hominum facta inspicienda, et peccata puuienda. 4. De divina necessitate, qua necessario cuncta quæ ex Dei voluntate sunt, fiunt. 5. De fato, et apto eorum quæ fiunt ordine. 6. De fortuna sive casu. 7. Temere huc illuc fortunam ferri. 8. De temporis natura ac partibus, et quot quantarumque rerum causa sit (41). 9. De venere cœlesti et divino amore. 10. De principiis, et elementis, atque universo. 11. Hinc **112***b* De materia. 12. De idea. 13. De causis. 14. De corporibus, eorumque sectione, et de minimo. 15. De figuris. 16. De co-

VARIÆ LECTIONES.

[24] ἐλπίδα ς. [25] ἐκλογαὶ ς. [26] Σεστιμίῳ ς. [27] ἐκλογὰς] ἴσ. γνώμας Stephanus. [28] μνήνην A : στήλην ς. [29] τὸ ante μέν om. pr. A. [30] πλεῖστον A : πολιτικὸν καὶ ς. [31] τε add. A. [32] περὶ τῆς] τῆς πέρι A.

NOTÆ.

(36) Suidas (Ἐπίμιον vocat) puto legend. utrobique Ἐπτίμιον qui et ipse quatuor Stobæi libros numerat, quorum vix tres hodie integri circumferuntur.

(37) Sex prima capita, quæ et interciderunt.

(38) Quin et œconomica quædam.

(39) Habes ea omnia, aut pene omnia, Græce et Latine a Gul. Cantero pridem edita, sed aliter alicubi distincta, et nonusquam perturbata, aut varie sine titulis dispersa, præterquam quod multis in locis corrupta sint ac mutila.

(40) Quod hic intercedit in Canteri editione. *De numeris caput, e Prolegomenis huc male trajectum docet Phot. pag. seq. et nostra fragmenta* ἀνέκδοτα. *Constat idem ex cod. ms. Bibliothecæ Augustanæ.*

(41) Emenda hinc in Canteri edit. καὶ πόσων εἴη αἴτιος.

loribus. 17. De mistione et temperamento. 18. De vacuo, loco, et spatio. 19. De motu. 20. De ortu atque interitu. 21. De mundo ; et, Animatusne sit ac Providentia regatur, atque ubi principatum habeat, et unde nutriatur. 22. De munde ordine ; et An unum sit universum. 23. De cœli natura ac divisione. 24. De siderum natura, figura, motu, significatione. 25. De solis natura, magnitudine, figura, conversionibus, defectu, signis et motu. 26. De lunæ natura, magnitudine, figura et illustratione, deque eclipsi, ejusdem intervallo (42), ac signis. 27. De lactea via. 28. De cometis, transvolantibus stellis, ac similibus. 29. De tonitruis, fulguribus, fulminibus, igneis turbinibus, et typhonibus (43). 30. De iride, de corona, parelio, ac virgis. 31. Item de nubibus, nebula, pluviis, rore, nive, pruina, et grandine. 32. De ventis. 33. De terra : sitne una, et finita. 34. Quantæ magnitudinis terra sit, deque ejus situ. 35. De figura ipsius terræ. 36. Fixane terra sit atque immota, an mobilis. 37. De terræ motu. 38. De mari ; quonam pacto æstus ejus modo recedat, modo accedat. 39. De aquis. 40. De universo. 41. De natura, causisque ex ea ortis. 42. De animantium generatione, cæterisque (44). 43. Quot sint animantium genera : et, An omnia ratione sensuque prædita ? 44. De somno et morte. 45. De stirpibus (45). 46. De animantium nutrimento, edendique appetitu. 47. De natura hominis. 48. De mente. 49. De anima (46). 50. De sensibus, et sensuum objectis : et, An etiam veræ sint sensiones? 51. Quot sint sensus, cujusque naturæ singuli, atque efficaciæ. 52. De visu, et speciebus visibilibus. 53. De auditu. 54. De odoratu. 55. De gustatu. 56. De tactu. 57. De voce ; et, An corporis expers, ac quid sit in ea præcipuum. 58. De imaginatione, ac dijudicandi facultate. Nonum vero et quinquagesimum : De opinione. Sexagesimum denique : De respiratione atque [ejus] affectionibus. Et hæc quidem libri primi capita sunt, taliaque continent, ad naturam nimirum pertinentia, pauci duntaxat initio exceptis, quæ ad metaphysica quispiam rectius retulerit. Per hæc ergo capita, ut diximus, veterum sententias, sive consentientes, sive repugnantes legendas Stobæus apposuit. Hoc ipso tamen libro, antequam ea, quæ modo recensui, aggrediatur capita, **113***a* de aliis duobus disserit. Quorum primum philosophiæ laudatio est, et ea quidem ex variis congesta scriptoribus. Alterum vero de sectis, quæ in ea conspirarunt. Ubi pariter veterum opniones de geometria, musica et arithmetica describit.

A κινήσεως. Εἰκοστὸν δὲ περὶ γενέσεως καὶ φθορᾶς, περὶ κόσμου, καὶ εἰ ἔμψυχος καὶ προνοίᾳ διοικούμενος, καὶ ποῦ ἔχει τὸ ἡγεμονικὸν, καὶ πόθεν τρέφεται· περὶ τάξεως τοῦ κόσμου· εἰ ἓν τὸ πᾶν· περὶ τῆς οὐρανοῦ οὐσίας καὶ διαιρέσεως· περὶ οὐσίας ἄστρων καὶ σχημάτων κινήσεώς τε καὶ ἐπισημασίας περὶ οὐσίας ἡλίου καὶ μεγέθους σχήματός τε καὶ τροπῶν καὶ ἐκλείψεως καὶ σημείων καὶ κινήσεως· περὶ σελήνης οὐσίας μεγέθους καὶ σχήματος φωτισμῶν τε, καὶ περὶ ἐκλείψεως καὶ ἐμφάσεως [34], καὶ περὶ ἀποστημάτων καὶ σημείων· περὶ γάλακτος· περὶ κομητῶν καὶ διαττόντων καὶ τῶν τοιούτων· περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων, τυφώνων. Τριακοστὸν δὲ περὶ ἴριδος, περὶ ἅλω καὶ παρηλίου καὶ ῥάβδων, καὶ δὴ καὶ περὶ νεφῶν, ὁμίχλης, ὑετῶν, δρόσου, χιόνος, πάχνης, χαλάζης· περὶ ἀνέμων· περὶ γῆς, εἰ μία καὶ πεπερασμένη· καὶ [περὶ [35]] ποίου μεγέθους, καὶ περὶ θέσεως αὐτῆς, καὶ περὶ σχήματος γῆς [36]· καὶ πότερα μένει ἡ γῆ ἢ κινεῖται· περί τε σεισμῶν [37] γῆς· καὶ περὶ θαλάττης, πῶς ἄμπωτις καὶ πλημμῦραι γίνονται· περὶ ὑδάτων, περὶ τοῦ παντὸς, περὶ φύσεως καὶ τῶν συμβαινόντων ἐξ αὐτῆς αἰτίων, περὶ τῆς τῶν ζώων γενέσεως, καὶ τὰ ἑξῆς· [368 R.] πόσα γένη ζώων, καὶ εἰ πάντα λογικὰ καὶ αἰσθητά· περὶ ὕπνου καὶ θανάτου· περὶ φυτῶν, περὶ τροφῆς καὶ ὀρέξεως τῶν ζώων, περὶ φύσεως ἀνθρώπων, περὶ [191 H.] νοῦ, περὶ ψυχῆς, περὶ αἰσθήσεως καὶ αἰσθητῶν, καὶ εἰ ἀληθεῖς αἱ αἰσθήσεις· πόσαι εἰσὶν αἱ αἰσθήσεις, καὶ ποίας οὐσίας καὶ ἐνεργείας ἑκάστη· περὶ ὁράσεως καὶ κατοπτρικῶν ἐμφάσεων, περὶ ἀκοῆς, περὶ ὀσφρήσεως, περὶ γεύσεως, περὶ ἁφῆς· περὶ φωνῆς, καὶ εἰ ἀσώματος ἡ φωνὴ, καὶ τί αὐτῆς τὸ ἡγεμονικόν· περὶ φαντασίας καὶ κριτηρίου· νθ' περὶ δόξης, καὶ ξ' περὶ ἀναπνοῆς καὶ παθῶν. Καὶ τὰ μὲν τοῦ α βιβλίου κεφάλαια τοσαῦτα καὶ περὶ τούτων, καὶ δηλονότι φυσικὰ, πλὴν ἐνίων τῶν ἐν ἀρχῇ, ἃ μᾶλλον ἄν τις εἰς τὰ [38] μετὰ τὰ φυσικὰ ἀνάξοι. Τούτοις δὲ, ὡς ἔφημεν, τὰς τῶν παλαιῶν δόξας, εἴτε συμφώνους οὔσας εἴτε καὶ [39] διαφώνους, παρατίθησιν. Ἐν μέντοι τούτῳ τῷ βιβλίῳ, πρὸ τοῦ τοῖς εἰρημένοις κεφαλαίοις ἐπιβαλεῖν, περὶ δύο κεφαλαίων διαλαμβάνει, ὧν τὸ μὲν ἔπαινός ἐστι φιλοσοφίας, καὶ οὗτος ἐκ διαφόρων αὐτῷ συνηρανισμένος, τὸ δὲ περὶ τῶν κατ' αὐτὴν [40] συνεστηκυιῶν αἱρέσεων. Ἐν ᾧ καὶ περὶ γεωμετρίας καὶ μουσικῆς καὶ ἀριθμητικῆς δόξας παλαιὰς συναναγράφει.

VARIÆ LECTIONES.

[33] καινοῦ A. [34] καὶ ἐμφάσεως add. A. [35] περὶ ante ποίου expungit A. [36] γῆς A : αὐτῆς τῆς γῆς ς· [37] σεισμοῦ ς : θαλάσσης ς. [38] τὰ post μετὰ om. pr. A. [39] καὶ om. A. [40] κατὰ ταύτην ς.

NOTÆ.

(42) Addit Cant. liber *Faciem* : de qua Plutarchi in opusculis libellus.

(43) περὶ πρηστήρων. Vide Plin. lib. II, cap. 48 et seq.

(44) Cujusmodi illa, quæ apud Gul. Canterum inscribuntur, *De causis similitudinis parentum*, etc

(45) Huc refero Canteri illud : *Quomodo stirpes alantur et animalia*.

(46) De qua duodecim tractasse Stobæum indicat Cant. codex.

Τὸ δὲ β' βιβλίον συμπληροῦται μὲν κεφαλαίοις ς' καὶ Μ'· διαλαμβάνει δὲ πρῶτον μὲν περὶ τῶν τὰ θεῖα ἑρμηνευόντων, καὶ ὡς εἴη ἀνθρώποις ἀκατάληπτος ἡ τῶν νοητῶν κατὰ τὴν οὐσίαν ἀλήθεια, εἶτα περὶ διαλεκτικῆς, καὶ περὶ ῥητορικῆς, καὶ περὶ λόγου καὶ γραμμάτων, περὶ ποιητικῆς, περὶ χαρακτῆρος τῶν παλαιῶν [41], περὶ τοῦ ἠθικοῦ εἴδους τῆς φιλοσοφίας, περὶ τῶν ἐφ' ἡμῖν, ὅτι οὐδεὶς ἑκὼν πονηρὸς, οἷον χρὴ εἶναι τὸν φιλόσοφον, ὅτι χρὴ σέβειν τὸ θεῖον, ὅτι τοῖς εὐσεβέσι καὶ δικαίοις βοηθεῖ τὸ κρεῖττον· περὶ μαντικῆς· ὅτι χρὴ περὶ πολλοῦ ποιεῖσθαι τὰς τῶν σοφῶν συνουσίας, ἐκκλίνειν δὲ [42] τοὺς φαύλους καὶ ἀπαιδεύτους· περὶ τοῦ δοκεῖν καὶ τοῦ εἶναι, καὶ ὅτι οὐ τῷ λόγῳ χρὴ κρίνειν τὸν ἄνθρωπον, ἀλλὰ τῷ τρόπῳ· ὅτι οἱ ἄλλοις ἐπιβουλεύοντες ἑαυτοὺς λανθάνουσι καταβλάπτοντες· περὶ εὐδοξίας· περὶ φήμης· ὅτι μέτρον ἄριστον· ὅτι δυσκατόρθωτον ἡ ἀρετή, εὐμεταχείριστον δὲ ἡ κακία· ὅτι οὐ χρὴ λόγον ποιεῖσθαι τῆς [43] τῶν ἀσυνέτων δοκιμασίας· ὅτι τὴν ὑπόκρισιν, τοῖς κεχρημένοις ἐπιβλαβῆ οὖσαν καὶ πρὸς οὓς γίνεται, τῆς ψυχῆς ἐκβλητέον· ὅτι οὐ χρὴ πολυπραγμονεῖν, φθόνου γὰρ καὶ διαβολικῆς αἴτιον γίνεται τὸ τοιοῦτον· ὅτι ἐν οἷς πλημμελεῖ τις τὸ μεταμελεῖσθαι κάλλιστον· περὶ λοιδορίας, ὡς οὐκ ἀγαθόν· ὅτι ἐν τῷ λοιδορεῖσθαι χρὴ σκοπεῖν μὴ τοῖς αὐτοῖς περιπεπτώκαμεν ἐλαττώμασι· περὶ ἀνάγκης τῆς κατὰ τὸν βίον· ὅτι εὐκαίρως δεῖ πρᾶττειν· περὶ τοῦ βούλεσθαι· ὅτι οὐ δεῖ ὡς ἔτυχεν ἀναβάλλεσθαι· ὅτι τὸ δυστυχῆσαι πολλάκις ἐπωφελὲς γίνεται, καὶ μάλιστα τοῖς ἄρροσι· περὶ ἀγωγῆς καὶ [44] παιδείας· ὅτι κάλλιστον ἡ φιλία τῶν ἀγαθῶν· [369 R] ὅτι ἡ ὁμοιότης τῶν τρόπων τὴν [45] φιλίαν ἀπεργάζεται· [192 H.] ὅτι χρὴ ἐν ταῖς δυστυχίαις καὶ τοῖς κινδύνοις μὴ περιορᾶν τοὺς φίλους· ὅτι οὐ χρὴ συναδικεῖν τοῖς φίλοις· περὶ γνησίων [46] καὶ ἀβεβαίων φίλων· ὅτι χρη ταχείας ποιεῖσθαι τὰς πρὸς τοὺς φίλους διαλλαγὰς, τὰ ἁμαρτήματα αὐτῶν ῥᾷον φέροντας μετὰ τῆς ἀμνηστίας [47]· ὅτι ἐν ταῖς ἀτυχ²αις τοὺς γνησίους τῶν φίλων διαγινώσκομεν· φιλικὰ παραγγέλματα· περὶ ἔχθρας καὶ τοῦ ὁποίον τινα χρὴ εἶναι [48] πρὸς τοὺς ἐχθρούς· περὶ τοῦ πῶς ἔστιν ἀπ' ἐχθρῶν ὠφεληθῆναι· περὶ τοῦ εὐεργετεῖν· ὅτι μεῖζων ἡ χάρις ἐν καιρῷ δοθεῖσα· περὶ τοῦ ἀντευεργετεῖν· ὅτι τοὺς πονηροὺς οὐ χρὴ εὖ ποιεῖν οὐδὲ παρ' αὐτῶν εὐεργετεῖσθαι, καὶ τὸ τελευταῖον περὶ ἀχαριστίας [49]. Ἐν οἷς καὶ τὰ τοῦ β' κεφάλαια.

Alter deinliber XLVI absolvitur capitibus (47). Primum quidem de sacrorum interpretibus, et quod a mortalibus spiritualium vera natura comprehendi nequeat. 2. Hinc de arte disserendi. 3. De bene dicendi facultate. 4. De Oratione, ac litteris (48). 5. De arte poetica. 6. De charactere, seu forma orationis. 7. De morum philosophia (49) 8. De iis quæ in nostra sunt potestate. 9. Neminem sponte esse improbum. 10. Qualem deceat esse philosophum. 11. Pietatem erga Deum colendam esse. 12. Piis ac justis Numen auxilio esse. 13. De vaticinio. 14. Sapientum consuetudinem magni esse faciendam : fugiendos vero, ac declinandos improbos atque imperitos. 15. De eo quod videtur tantum, et de eo quod vere est. 16. Non e verbis, sed moribus de homine esse judicandum. 17. Eos qui aliis insidientur, seipsos potius imprudentes lædere. 18. De nominis gloria. 19. De fama. 20. Modum esse optimum. 21. Virtutem ægre parari : vitium contra facile acquiri. 22. Non oportere stultorum judicii rationem habere. 23. Fictionem sive hypocrisin, quæ non iis tantum apud quos exercetur, sed ipsis quoque fingentibus nocet, ex animo esse pellendam. 24. Curiositatem esse vitandam (50) : præbere enim ansam invidiæ, atque calumniæ (51). 25. Optimum esse resipiscere, in quibus ipse deliqueris. 26. Convicium minime esse bonum. 27. In conviciando considerandum, ne in eadem ipsi quandoque errata inciderimus. 28. De vitæ necessitate. 29. Oportune res agi debere. 30. De voluntate : non esse eam temere differendam. 31. Adversis affligi summæ sæpenumero utilitati esse : maxime vero imprudentibus. 32. De educatione atque institutione. 33. Optimum bonorum omnium esse amicitiam. 34. Morum similitudinem amicitiam conciliare. 35. In adversis suis atque periculis non esse negligendos amicos. 36. Non esse amicos juvandos, cum quid injuste faciendum suscipiunt. 37. De fidis atque infidis amicis. 38. Cito esse cum amicis in gratiam redeundum, eorumque vitia ferenda, cum erratorum oblivione. 39. In adversis fidos explorari amicos. 40. Præcepta amicitiæ. 41. De inimicitiis, et, **113***b* quo se quis modo cum hoste gerat. 42. Qua ratione ex inimicis (52) capi possit utilitas. 43. De benemerendi studio. 44. Majus esse beneficium quod in tempore confertur. 45. De remunerandis beneficiis. 46. Non esse benigne faciendum

VARIÆ LECTIONES.

[41] τῶν παλαιῶν add. A. [42] δὲ om. A. [43] τῆς A : περὶ τῆς ς. [44] καὶ] περὶ A. [45] τὴν add. A. [46] περὶ μὴ γν. A. [47] ἀμνηστείας ς. [48] εἶναι χρὴ ς, [49] εὐχαριστίας ς. cf. Gaisford. Stob. 4, append. p. 30 u.

NOTÆ.

(47) De quibus vix tria hæc, primum, septimum et octavum : utcunque integra posteriore *Eglogarum* libro a Cant. edito legas : quinque inter hæc mediis capitibus, partim turbatis, partim alio rejectis. Reliqua porro 38 hujus libri alterius capita, magno sane damno publico periisse, vel solæ inscriptiones hæ testantur.

(48) Huc plane pertinent quæ serm. 80, 81 et 82, in Conradi edit. hodieque leguntur.

(49) Cui rursum capita quinque subjicit Cant. codex, quorum tamen ultimum illud est, quod octavum hic locum obtinet.

(50) Vide Plutarchum libello *De curiositate*.

(51) Lege Luciani libell. *Non esse calumniæ credendum*.

(51) De quo et Plutarchi libellus.

improbis, neque ab iis beneficium ullum accipiendum. Denique de gratitudine (53). Atque hæc summa capitum secundi libri.

Tertius dehinc capita continet XLII (54). Primum de virtute. Alterum de vitio. 3. De prudentia. 4. De imprudentia. 5. De temperantia. 6. De intemperantia. 7. De fortitudine. 8. De timiditate. 9. De justitia. 10. De habendi cupiditate atque injustitia. 11. De veritate. 12. De mendacio. 13. De loquendi libertate. 14. De assentatione. 15. De prodigalitate. 16. De parcimonia [seu tenacitate]. 17. De continentia. 18. De incontinentia. 19. De patientia [seu malorum tolerantia]. 20. De iracundia. 21. De cognoscendo seipsum. 22. De fastu. 23. De cæco sui amore. 24. De conscientia. 25. De memoria. 26. De oblivione. 27. De jurejurando. 28. De perjurio. 29. De laboris studio. 30. De ignavia. 31. De pudore. 32. De impudentia. 33. De silentio. 34. De tempestiva oratione. 35. De dicendi brevitate. 36. De garrulitate (55). 37. De benignitate. 38. De invidia. 39. De patria. 40. De peregrina terra. 41. De arcanis, et 42. De calumnia.

A Ἐν δὲ τῷ γ' περιέχεται κεφάλαια ΜΒ', πρῶτον περὶ ἀρετῆς, εἶτα περὶ κακίας, περὶ φρονήσεως, περὶ ἀφροσύνης, περὶ σωφροσύνης, περὶ ἀκολασίας, περὶ ἀνδρίας, περὶ δειλίας, περὶ δικαιοσύνης, περὶ πλεονεξίας καὶ ἀδικίας, περὶ ἀληθείας, περὶ ψεύδους, περὶ παῤῥησίας, περὶ κολακείας, περὶ ἀσωτίας [50], περὶ φειδωλίας, περὶ ἐγκρατείας, περὶ ἀκρασίας, περὶ ἀνεξικακίας, περὶ ὀργῆς, περὶ τοῦ γνῶθι σαυτόν, περὶ ὑπεροψίας, περὶ φιλαυτίας, περὶ τοῦ συνειδότος, περὶ μνήμης, περὶ λήθης, περὶ ὅρκου, περὶ ἐπιορκίας, περὶ φιλοπονίας, περὶ ἀργίας, περὶ αἰδοῦς, περὶ ἀναιδείας, περὶ σιγῆς, περὶ τοῦ εὐκαίρως λέγειν, περὶ βραχυλογίας, περὶ ἀδολεσχίας, περὶ χρηστότητος, περὶ φθόνου, περὶ παῤῥησίας, περὶ ξένης, περὶ ἀπορῥήτων, καὶ μβ' περὶ διαβολῆς.

Quarti denique libri capita hæc sunt. Primum de republica (56), alterum de legibus et consuetudinibus. 3. De plebe (57). 4. De potentibus in civitate. 5. De principatu; et Qualem esse principem ac magistratum deceat. 6. Optimum esse unius imperium. 7. Regni administrandi præceptiones. 8. Vituperatio tyrannidis. 9. De bello. 10. De audacia (58). 11. De juventute (59). 12. De belli imperatoribus; et, De iis quæ militiæ usui esse possint præcepta (60). 13. De pace. 14. De agricultura*. 15. De tranquillitate. 16. De navigatione (et naufragio). 17. De artibus*. 18. De dominis et servis. 19. De Venere vulgari (quæ generationis humanæ (61) causam fovet). 20. De amore voluptatum corporis (62). 21. De pulchritudine.* 22. De nuptiis, et ejus capitis cætera (63). 23. Connubialia præcepta. 24. De liberis, et ejus generis reliqua (63). 25. Debito parentes honore a liberis esse afficiendos [et, An per omnia eis obedire conveniat]. 26. Quales deceat esse parentes erga liberos (64), [et quod utrinque naturali quadam necessitate mutuo afficiantur]. 27. Fraternum amorem, et animi affectum, erga cognatos esse honestissimum [quodque hi necessarii sint.] 28. De rei familiaris tuendæ ratione. 29. De nobilitate [nobiles illos esse, qui ex virtutis præscripto vivant, tametsi nec bonis moribus præditis parentibus orti sint] et reliqua ejusdem ar-

qui deinceps secuti sunt, in omni pæne lamentationum genere Linus decantatus inseratur. Quin et mensem Ἄρνειον a Arneum (96) appellarunt, quod inter agnos Linus educatus fuisset. Imo sacrificium eidem, festumque diem, Arnida utrumque nominatum, instituerunt, mactantes eo die, quotquot uspiam reperire canes potuissent. At ne sic quidem cessavit malum, donec Crotopus (97) ipse Argos ex oraculo reliquit, conditamque urbem in Megaride Tripodiscium nomine inhabitavit.

A ᾄδεται. Μῆνά τε ὠνόμασαν ἀρνεῖον, ὅτι ἀρνάσι Λίνος συνανετράφη· καὶ θυσίαν ἄγουσι καὶ ἑορτὴν ἀρνίδα, κτείνοντες ἐν τῇ ἐκείνῃ τῇ ἡμέρᾳ καὶ κυνῶν ὅσους ἂν εὕρωσι. Καὶ οὐδ' οὕτως ἐλώφα τὸ κακὸν, ἕως Κρότωπος κατὰ χρησμὸν ἔλιπε τὸ Ἄργος, καὶ κτίσας πόλιν ἐν τῇ Μεγαρίδι καὶ Τριποδίσκιον ἐπικαλέσας κατῴκησεν.

Vicesima : Theoclus Chalcidensis captus a Bisaltis (Thraciæ hi populi sunt, ex adversum Pallenes habentes) Chalcidenses (98) occulte accersens, Bisaltas prodidit. Turbarunt itaque primum illi subita sua irruptione Bisaltas, post etiam intra mœnia compulsos, et Bucoli ac Doli apud eos captivorum opera urbem capientes, Risaltas ejiciunt. Bucolum tamen proditorem rupta fide jam data cum occidissent, divina propterea in eos ira irruit, donec ex oracolo pulchrum Bucolo illi monumentum ponentes, et tanquam heroi sacrificantes, malum tandem averterunt.

Ἡ κ' ὡς Θέοκλος ὁ Χαλκιδεὺς αἰχμάλωτος ὑπὸ Βισαλτῶν γεγονὼς (οἱ δὲ Βισάλται Θρᾳκικὸν ἔθνος, ἀντίπερα Παλλήνης οἰκοῦντες), οὗτος Χαλκιδεῖς λάθρα [74] μεταπεμψάμενος προδίδωσι Βισάλτας· καὶ αὐτοὶ πρῶτον μὲν τῷ αἰφνιδίῳ ἐτάραξαν Βισάλτας, εἶτα τειχήρεις ποιήσαντες βουκόλου δόλῳ αἰχμαλώτου [75] παρ' αὐτῶν γεγενημένου αἱροῦσι τὴν πόλιν, ἐκδιώξαντες τοὺς Βισάλτας. Τὸν δὲ προδότην βουκόλον, παραβάντες τὰς συνθήκας, κτείνουσί. Καὶ μῆνις αὐτοῖς διὰ τοῦτο θεόθεν [223 H.] ἐνέσκηψε [76]. Καὶ κατὰ χρησμὸν τάφον περικαλλῆ χώσαντες τῷ βουκόλῳ καὶ ὡς ἥρωϊ θύοντες τοῦ κακοῦ ἀπηλλάγησαν.

Vicesima prima : Dardanus et Jason Jovis erant filii ex Electra Atlantis filia, habitabantque Samothraciam insulam. Verum Jason (99) apparens Cereris spectrum fœdare stupro conatus, fulmine ictus interiit. Dardanus autem fratris exemplo conterritus in oppositam terram, ubi agri multi, monsque Ida fuit, ratibus (nondum enim navigiorum usus erat) profectus est. Ea vero tempestate regionem illam tenebat Teucer, Scamandri fluminis et nymphæ [Idææ (1)] filius : a quo Teucri incolæ dicti, et Teucria regio. Cum illo Dardanus sermone habito dimidiam regionis partem accipit : urbemque, ubi ratibus appulsus exscenderat, Dardaniam nomine, ædificavit. Teucro deinde vita functo, omnis ea ora in Dardani ditionem concessit.

Ἡ κα', Δάρδανος καὶ Ἰάσων [77] παῖδες ἦστην Διὸς ἐξ Ἠλέκτρας τῆς Ἀτλαντίδος, καὶ ᾤκουν Σαμοθρᾴκην τὴν νῆσον. Ἀλλ' ὁ μὲν Ἰάσων φάσμα Δήμητρος αἰσχῦναι βουληθεὶς, ἐκεθαυμώθη, Δάρδανος δὲ ἐπὶ τἀδελφῷ συγχυθεὶς εἰς τὴν ἀντίπερα γῆν, ἐν ᾗ καὶ πεδιὰς πολλὴ καὶ τὸ ὄρος ἡ Ἴδη, σχεδίαις (πλοίων γὰρ χρῆσις οὐδέπω ἦν) διαβαίνει. Εἶχε δὲ τὸ κράτος τότε τῆς χώρας ὁ Σκαμάνδρου τοῦ ποταμοῦ καὶ νύμφης Τεύκρος, ἐξ οὗ Τεῦκροί τε οἱ οἰκήτορες καὶ Τευκρία ἡ γῆ· ᾧ κατὰ λόγους συνελθὼν Δάρδανος λαμβάνει τὴν ἡμίσειαν, καὶ πόλιν, ἐν ᾗ τῆς σχεδίας ἀπέβη, κτίζει Δαρδανίαν. Ὕστερον δὲ τελευτήσαντος Τεύκρου ἡ πᾶσα τῆς χώρας εἰς αὐτὸν ἀρχὴ περιῆλθεν.

Vicesima secunda (2) : Cretensi puero tanquam pro amasio datus est draconis fetus. Hunc eo usque educavit ille, studioseque curavit, dum grandior factus metum etiam incolis injiceret. Coegerunt itaque puerum in solitudinem draconem deferre. Et paruit ille, multum ploraus. Tandem vero cum ad venationem aliquando adolescens egressus in latrones incidisset, opemque inclamasset : agnita voce draco, et corporibus sese implicans, prædones occidit, atque adolescentem, veteris signa necessitudinis ostendens, periculo eripuit.

Ἡ κβ' μειρακίῳ Κρητὶ γέννημα δράκοντος ἐραστὴς δωρεῖται. Ὁ δὲ ἔτρεφέ τε καὶ ἐπεμελεῖτο, ἕως ηὐξήθη καὶ φόβον ἐνεποίει [78] ὁ δράκων τοῖς ἐπιχωρίοις· οὗτοι γὰρ τότε ἠνάγκασαν τὸ μειράκιον ἐκθεῖναι τὸ θηρίον ἐπὶ τῆς ἐρημίας, καὶ πολλὰ κλαίων [79] ἐξέθετο. Ὕστερον δ' ἐπὶ θήραν ἐξελθόντος τοῦ μειρακίου καὶ λῃσταῖς περιπεσόντος [80], ἀνακαλουμένου τοὺς βοηθήσοντας [81], ἀναγνωρίσας ὁ δράκων τὴν φωνὴν τοὺς μὲν λῃστὰς διέφθειρεν, ἑκάστῳ περιειλῃθείς, σημεῖα δὲ τῷ παιδὶ παλαιᾶς αἰσθήσεως ἐνδειξάμενος ἀπαλλάσσει τῆς ἐπιβουλῆς.

VARIÆ LECTIONES.

[73] ἐν add. A. [74] Χαλκίδης μεταπεμψάμενος λάθρα ς. [75] libri βουκόλῳ καὶ δόλῳ αἰχμαλώτῳ — γεγενημένῳ. correxerunt Kannius et Heynius. [76] ἐπέσκηψε ς. [77] Ἰασίων Heynius cf. Car. Otfr. Muller. Orchomen. p. 265. [78] ἐποίει A. [79] κλαῖον ς. [80] περιπεσ. καὶ ἀνακαλ. ς. [81] βοηθήσοντας Heynius : libri βοηθήσαντας.

NOTÆ.

(96) Eustath. quoque teste.

(97) Pausan. Coræbo hæc tribuit.

(98) Lege Χαλκιδεῖς.

(99) Lege Steph. voce *Dardan.* et Strab. lib. VII extremo *De Samothrace* ; Apollod. quoque lib. III ex quo hæc pæne ad verbum descripta narratio ; ubi et Jasion legi observandum puto.

(1) Id nymphæ nomen, quod hinc forte fugerat, ex Apollodoro et Diod. Siculo lib. IV revocare visum.

(2) Refert hanc etiam Ælianus *Variar. Histor.* lib. XIII, cap. 46.

Ἡ κγ' ὡς Ἀλεξάνδρου τοῦ Ηάριδος [83] καὶ Οἰνώ- A
νης, ἣν ἐγήματο πρὶν ἢ τὴν Ἑλένην ἁρπάσαι, παῖς
Κόρυθος γίνεται, κάλλει νικῶν τὸν πατέρα. Τοῦτον
ἡ μήτηρ Ἑλένῃ προσέπεμπε, ζηλοτυπίαν τε κινοῦ-
σα Ἀλεξάνδρῳ καὶ κακόν τι διαμηχανωμένη Ἑλέ-
νῃ. Ὡς δὲ συνήθης [83] ὁ Κόρυθος πρὸς Ἑλένην ἐγέ-
νετο, Ἀλέξανδρός ποτε παρελυὼν εἰς τὸν θάλαμον
[436 R.] καὶ θεασάμενος τὸν Κόρυθον τῇ Ἑλένῃ
παρεζόμενον καὶ ἀναφλεχθεὶς ἐξ ὑποψίας εὐθὺς
ἀναιρεῖ. Καὶ Οἰνώνη τῆς τε εἰς αὐτὴν ὕβρεως καὶ
τῆς τοῦ παιδὸς ἀναιρέσεως πολλὰ Ἀλέξανδρον ἀρα-
σαμένη, καὶ ἐπειποῦσα (καὶ γὰρ ἦν ἐπίπνους μαν-
τείας καὶ τομῆς φαρμάκων ἐπιστήμων (ὡς τρωθείς
ποτε ὑπ' Ἀχαιῶν καὶ μὴ τυγχάνων θεραπείας δεή-
σεται αὐτῆς, οἴκαδε ἥει. Ὕστερον δ' Ἀλέξανδρος ἐν B
τῇ πρὸς Ἀχαιοὺς ὑπὲρ Τροίας μάχῃ τρωθεὶς ὑπὸ
Φιλοκτήτου καὶ δεινῶς ἔχων δι' ἀπήνης ἐκομίζετο
πρὸς τὴν Ἴδην, καὶ προεκπέμψας κήρυκα ἐδεῖτο
Οἰνώνης· ἡ δὲ ὑβριστικῶς μάλα τὸν κήρυκα διωσα-
μένη πρὸς Ἑλένην ἰέναι Ἀλέξανδρον ἐξωνείδιζε [84].
Καὶ Ἀλέξανδρος μὲν κατὰ τὴν ὁδὸν ὑπὸ τοῦ τραύ-
ματος τελευτᾷ, τὴν δὲ μήπω πεπυσμένην τὴν τελευ-
τὴν μετάμελος ὅμως δεινὸς [85] εἶχε, καὶ ὀρεψαμένη
τῆς πόας ἔθει φθάσαι ἐπειγομένη. Ὡς δ' ἔμαθε παρὰ
τοῦ κήρυκος ὅτι τεθνήκοι καὶ ὅτι αὐτὴ αὐτὸν ἀνή-
ρηκεν, ἐκεῖνον μὲν [224 H.] τῆς [86] ὕβρεως, λίθῳ τὴν
κεφαλὴν πατάξασα, ἀναιρεῖ, τῷ δ' Ἀλεξάνδρου νε-
κρῷ περιχυθεῖσα, καὶ πολλὰ τὸν κοινὸν ἀμφοῖν κα-
ταμεμψαμένη δαίμονα, ἑαυτὴν ἀνήρτησε τῇ ζώνῃ.

Ἡ κδ', ἐν Θεσπείᾳ τῆς Βοιωτίας (ἔστι δ' ἡ πόλις
οὐχ ἑκὰς τοὺς Ἑλικῶνος) παῖς ἔφυ Νάρκισσος πάνυ
καλὸς καὶ ὑπερόπτης Ἔρωτός τε καὶ ἐραστῶν. Καὶ
οἱ μὲν ἄλλοι τῶν ἐραστῶν ἐρῶντες ἀπηγόρευσαν,
Ἀμεινίας [87] δὲ πολὺς ἦν ἐπιμένων καὶ δεόμενος· ὡς
δ' οὐ προσίετο ἀλλὰ καὶ ξίφος προσέπεμψεν, ἑαυτὸν
πρὸ τῶν θυρῶν Νάρκισσου διαχειρίζεται, πολλὰ
καθικετεύσας τιμωρόν οἱ γενέσθαι τὸν θεόν. Ὁ δὲ
Νάρκισσος ἰδὼν αὐτοῦ τὴν ὄψιν καὶ τὴν μορφὴν ἐπὶ
κρήνης ἐνδαλλομένην τῷ ὕδατι, καὶ μόνος καὶ πρῶ-
τος ἑαυτοῦ γίνεται ἄτοπος ἐραστής. Τέλος ἀμη-
χανῶν, καὶ δίκαια πάσχειν οἰηθεὶς ἀνθ' ὧν Ἀμει-
νίου ἐξύβρισε τοὺς ἔρωτας, ἑαυτὸν διαχρᾶται. Καὶ
ἐξ ἐκείνου Θεσπιεῖς [88] μᾶλλον τιμᾷν καὶ γεραίρειν
τὸν Ἔρωτα καὶ πρὸς [89] ταῖς κοιναῖς θεραπείαις καὶ D
ἰδίᾳ θύειν ἔγνωσαν. Δοκοῦσι δ' οἱ ἐπιχώριοι τὸν νάρ-
κισσον τὸ ἄνθος ἐξ ἐκείνης πρῶτον τῆς γῆς ἀνα-
σχεῖν, εἰς ἣν ἐξεχύθη τὸ τοῦ Νάρκισσου αἷμα.

134 *b* Vicesima tertia : Alexandri seu Paridis et OEnones (3) (quam uxorem priusquam Helenam raperet, domum duxerat) filius fuit Corythus, pulchritudine patrem superans. Hunc mater ad Helenam misit, cum ut Alexandrum ad zelotypiam provocaret, tum ut Helenæ malum machinaretur. Ut ergo Corythus Helenæ familiarior esse cœpit, superveniens aliquando in thalamum Alexander, et cum Helena filium sedentem conspicatus, ira incensus, suspectum gnatum occidit. OEnone, et ob hanc injuriam, et ob filii interitum, multa Alexandro imprecata, hoc insuper adjecit (ut erat vaticinandi perita (4), legendarumque herbarum (5) gnara) vulneratum eum aliquando ab Achivis, neque medelam reperientem, se etiam obsecraturum ; atque ita domum discessit. Post igitur Paris (6) in pugna pro Troja adversus Achivos a Philoctete vulneratus, graviterque saucius, ad Idam curru vehebatur, præmissoque nuntio, Œnonem deprecatus est. Hæc contumeliose valde nuntio rejecto, ad Helenam ire Paridem per convicium jussit. Ille interim per viam ex vulnere diem clausit extremum. Antequam tamen de illius interitu quidquam OEnone inaudisset, pœnitentia gravi ducta est, herbisque lectis, curriculo festinabat prævertere. At ubi mortuum esse jam, et quidem ab ea necatum, nuntius retulit, hunc primum, lapide in caput impacto, ob illatam [exprobrando] injuriam occidit, cadaver vero Paridis amplexa, et communem utriusque fortunam diu questa, zona scipsam strangulavit.

Vicesima quarta : In Bœotiæ civitate Thespeia quæ non longe ab Helicone stia est, puer natus Narcissus, pulcher admodum, sed amoris amatorumque contemptor. Quare alii quidem despondere (7) animum amanter cœperunt : Aminiasque tantum assiduus erat et pertinax precator. At cum neque hunc audiret ille, sed gladium insuper mitteret, se ipse pro Narcissi foribus occidit, deum vehementer precatus, ultor sibi ut fieret. Narcissus (8) igitur vultum aliquando suum contemplatus, formæque simulacrum in aqua fontis apparens, et solus et primus incipit cæco sui amore flagrare. Ergo consilii tandem inops, et justas sese dare pœnas arbitratus, quod Aminiam amatorem injuria læsisset, mortem sibi conscivit. Ex eo, responso dato, ut amor magis honoraretur colereturque, præter communem **135** *a* cultum, privatim quoque sacrificare decreverunt. Ea autem incolarum opinio est (9), primum ex illa terra exstitisse narcissum florem, in quam effusus Narcissi sanguis fuisset.

VARIÆ LECTIONES.

[82] Ηάριδος] καὶ Ηάριδος Scaliger. [83] συνήθης] μυηθείς A. [84] ἐξωνείδιζε A : διωνείδιζε ς. [85] δεινός corr. A : δεινῶς ς. [86] τῆς A : ἀντὶ τῆς ς. [87] ἀπηγορεύθησαν ς. Ἀμινίας A, et infra Ἀμινίου. [88] Θεσπιεῖς A : Θεσπίσας ς. [89] καὶ ante πρὸς add. A.

NOTÆ.

(3) Lege Parthen. Ἐρωτικῶν cap. 4 et 34, et Lycophron Cassan. ejusque interpr.

(4) A Rhea edocta, ut vult Apollod. lib. III, ubi et plura de his.

(5) Dono Apollinis, ut ipsa sua docet epistola ad Paridem apud Ovid. in fin.

(6) Hæc Q. Calaber posteriore parte libri sui X, paulo aliter describit. Vult enim fato decretum fuisse ut non nisi ab OEnone Paris curari posset, et ipsam se in rogum mariti conjecisse, etc.

(7) Sequor τὸ ἀπηγόρευσαν.

(8) Pausan. *Bœotic.* legendus, et Ovid. *Metam.* III.

(9) Sed vana, ut docet Pausan. *Bœotic.*

Vicesima quinta. Minos Jovis et Europæ filius Cretam rex tenuit, Dædalumque (10) quæsiturus classe instructa navigavit in Sicaniam (quæ hodie *Sicilia* dicitur), ubi a Cocali oræ illius regis filiabus est interfectus. Natio hinc Cretensium, regis sui cædem ultura, bellum adversus Siculos suscepit. Sed victi Cretes cum domum redeunt, ad Iapygas (14) sunt tempestate delati : ubique tum sedes fixerunt, Iapyges pro Cretensibus facti. Post horum pars quædam per seditionem inde expulsa, oraculi responsum illud consulentes acceperunt, ubi quis ipsis terram et aquam præberet, ibi ut habitarent. Atque ita Bottiæorum terram incoluerunt. Ibi enim pueri, panis cæterorumque condimentorum varia genera per ludum et jocum ex luto fingentes, petentibus ipsis panis loco distribuerunt luteos panes : et illi impletum esse oraculum interpretati, sedem a Macedonum rege postulantes, Bottiæorum oram habitandam acceperunt, et Cretensium nomen jam tertio cum Bottiæorum commutantes, portio nunc sunt Macedonum.

Ἡ κε' ὡς Μίνως υἱὸς Διὸς καὶ Εὐρώπης, ὁ βασιλεύων Κρήτης, κατὰ ζήτησιν Δαιδάλου στόλῳ πλεύσας εἰς Σικανίαν (αὕτη δ' ἐστὶν ἡ νῦν Σικελία) ὑπὸ τῶν Κωκάλου θυγατέρων (ἐβασίλευε δ' οὗτος Σικελῶν [90]) ἀναιρεῖται. Καὶ τὸ Κρητικὸν πολεμεῖ Σικελοῖς ὑπὲρ τοῦ βασιλέως καὶ ἡττᾶται. Καὶ ἐπανιόντες ὑπὸ χειμῶνος ἐξέπεσον εἰς Ἰάπυγας, καὶ αὐτόθι τότε ἱδρύσαντο, ἀντὶ Κρητῶν γεγονότες Ἰάπυγες. Χρόνῳ δὲ ὕστερον μοῖρά τις κατὰ στάσιν ἐκπεσόντες τῆς χώρας χρησμὸν ἔλαβον, ἔνθα ἄντις αὐτοῖς γῆν καὶ ὕδωρ ὀρέξῃ [91], ἐνταῦθα οἰκίζεσθαι. Καὶ ὦχησαν [92] τὴν Βοττιαίων · ἐκεῖ γὰρ παῖδες ἄρτων εἴδη καὶ ἄλλων ὄψων παίζοντες ἀπὸ πηλοῦ καὶ πλάττοντες, αἰτουμένοις ἐπέδωκαν αὐτοῖς ἀντὶ ἄρτων τοὺς πηλίνους ἄρτους · καὶ οἵ γε τὸν χρησμὸν τετελέσθαι νομίσαντες ἠτήσαντο τὸν βασιλέα Μακεδόνων, καὶ ἔλαβον οἰκεῖν τὴν Βοττιαίων, [437 R.] καὶ Βοττιαῖοι μὲν τρίτον γένος ἀπὸ Κρητῶν ἀμείψαντες μοῖρα νῦν εἰσὶ Μακεδόνων.

Vicesima sexta narrat Appollinis spectrum, cui Carno (12) nomen, Dorienses sequi solitum, ab Hippota (13) quodam e stirpe Herculis tum esse interfectum, cum in Peloponnesum Heraclidæ redirent. Cum ergo propterea peste graviter laborarent, oraculo accepto e castris Hippoten expulerunt. Erat autem spectrum hoc Doriensibus vatis loco. Et Heraclidæ quidem tum in Peloponnesum trajecerunt : Hippotes vero ille oberrans, filium genuit cui ex re Aletæ (14) nomen dedit. Hic ubi ad ætatem virilem pervenit, Dorici populi parte collecta, pulsisque Sisyphidis, qui tum Corinthi reges erant, cum ipsorum sociis Ionibus, urbem illam denuo incolis replet, pergebatque adversus Atticam, cum oraculi responsum eidem datum, victorem fore, si ab Atheniensium rege abstineret (15). Hoc oraculo ab Atheniensibus cognito, Codro septuagenario persuadent, libens se pro patria ut devoveat. Ille veste mutata, quasi lignatorum unus esset, a Doriensi quodam interficitur. Dorienses re postea cognita, de victoria desperantes, cum Atheniensibus pacis fœdera inierunt.

Ἡ κς' διέξεισιν ὡς φάσμα Ἀπόλλωνος, ὄνομα Κάρνος, Δωριεῦσιν ἑπόμενον, Ἱππότης τις τῶν ἀφ' Ἡρακλέους ἀναιρεῖ, ὅτε κατῆσαν εἰς Πελοπόννησον Ἡρακλεῖδαι. Καὶ λοιμοῦ τούτοις προσπεσόντος, χρησμὸν [93] λαβόντες ἤλασαν τὸν Ἱππότην τοῦ στρατοπέδου. Μάντις δ' ἦν τὸ φάσμα [94] τοῖς Δωριεῦσιν. Ἡρακλείδαις μὲν κάθοδος εἰς Πελοπόννησον ἐγένετο · ὁ δ' Ἱππότης ἁλώμενος [95] τίκτει παῖδα, ἐκ τοῦ πράγματος Ἀλήτην καλέσας, ὃς ἀνδρωθεὶς καὶ μοῖραν τοῦ Δωρικοῦ συλλέξας, καὶ Σισυμφίδας ἐκβαλὼν Κορίνθου βασιλέας ὄντας καὶ τοὺς σὺν αὐτοῖς Ἴωνας, ἀνοικίζει τὴν πόλιν καὶ ἐπήει κατὰ τῆς Ἀττικῆς, [225 H.] ὅτε καὶ χρησμὸν λαμβάνει νικήσειν, εἰ ἀπόσχοιντο τοῦ βασιλέως Ἀθηναίων. Καὶ τοῦ χρησμοῦ γνωσθέντος Ἀθηναίοις, πείθουσι Κόδρον ἑβδομηκοντούτην ὄντα ἑκόντα δοῦναι ἑαυτὸν ὑπὲρ τῆς πατρίδος. Καὶ ἀμειψάμενας τὴν στολήν, ὡς εἷς τῶν ξυλοφόρων ὑφ' ἑνὸς τῶν Δωριέων ἀναιρεῖται. Καὶ γνόντες ὕστερον Δωριεῖς, καὶ ἀπογνόντες τὴν νίκην, ἐσπείσαντο Ἀθηναίοις.

Vicesima septima refert de rebus Deucalionis, qui in Phthiotide regnavit, deque Græciæ inundatione ejus temporibus : ac de Hellene filio ejus 135 *b* (quidam Jovis esse dicunt) qui et Deucalione mortuo, in regno successit, habuitque filios tres. Ex his Æolum natu maximum, merito voluit ejus regionis sceptrum tenere, cui ipsemet antea impe-

Ἡ κζ' τὰ περὶ Δευκαλίωνος ἀπαγγέλλει, ὃς ἐβασίλευε [96] τῆς Φθιώτιδος, καὶ τοῦ κατ' αὐτὸν τῆς Ἑλλάδος κατακλυσμοῦ · καὶ περὶ Ἕλληνος τοῦ παιδὸς αὐτοῦ, ὃν ἔνιοι τοῦ Διὸς παῖδα εἶναί φασιν, ὃς καὶ διεδέξατο τὴν βασιλείαν τελευτήσαντος Δευκαλίωνος, καὶ τίκτει παῖδας [97] τρεῖς. Ὧν Αἴολον μὲν τὸν πρῶτον βασιλεύειν ἐδικαίωσεν ἧς ἦρχε γῆς,

VARIÆ LECTIONES

[90] Σικελῶν mg. : libri Σικεῶν. [91] ὀρέξει ς. [92] ὤχισαν ς. [93] χρησμόν] καὶ χρησμόν A. [94] φάντασμα ς. [95] ἁλώμενος] cf. Ruhnken. ad Vellej. p. 12. [96] ἐβασίλευσε ς. [97] παῖδας om. A.

NOTÆ

(10) Lege Pausan. *Achaic.* init.
(11) Vide Strab. lib. VI.
(12) Hæc de Carno aliter aliquanto refert Pausan. in *Laconic.*
(13) Quem Phylantii filium facit Pausan. cum Apollod. lib. II *Biblioth.*, qui hanc ad Naupactum patratam cædem tradit.
(14) Quasi *Erronem* a parentis erroribus dixeris.
(15) Pausan. init. *Corinthiac.*

Ἀσωπῷ καὶ Ἐνιπεῖ δυσὶ ποταμοῖς τὴν ἀρχὴν διορι- A raverat, quamque Asopo et Enipeo fluviis disterσάμενος, ἐξ οὗ τὸ Αἰολικὸν κατάγεται γένος· Δῶρος δ' ὁ δεύτερος μοῖραν τοῦ λαοῦ λαβὼν παρὰ τοῦ πατρὸς ἀποικίζεται, καὶ ὑπὸ τὸν Παρνασσὸν τὸ ὄρος κτίζει πόλεις, Βοιὸν, Κυτίνιον [98], Ἐρινέον, ἐξ οὗ Δωριεῖς· ὁ δὲ νεώτατος Ἀθήναζε [99] ἀφικόμενος κτίζει τετράπολιν καλουμένην τῆς Ἀττικῆς, καὶ γαμεῖ Κρέουσαν τὴν Ἐρεχθέως, καὶ τίκτει ἐκ αὐτῆς Ἀχαιὸν καὶ Ἴωνα. Καὶ ὁ μὲν Ἀχαιὸς ἀκούσιον φόνον ἐργασάμενος ἠλάθη, καὶ εἰς Πελοπόννησον ἐλθὼν Ἀχαΐαν κτίζει τετράπολιν, ἐξ οὗ Ἀχαιοί· Ἴων δὲ, θανόντος τοῦ μητροπάτορος, διά τε τὴν ἀρετὴν καὶ τὴν ἄλλην ἀξίωσιν αἱρεθεὶς βασιλεύει Ἀηναθέων, ἐξ οὗ Ἴωνες οἵ τε Ἀθηναῖοι ἤρξαντο καλεῖσθαι· καὶ τὸ ἄλλο πᾶν Ἰωνικόν.

minaverat. Atque hinc Æolicum genus derivatur. Alter deinde Dorus, accepta a parente populi parte, coloniam alio traduxit, condiditque has ad Parnassi montis radicem urbes, Bœum, Cytinium et Erineum. Ab hoc Dores dicti. Natu denique minimus cum Athenas pervenit (16), Atticæ quam vocant tetrapolim (17) ædificavit, duxitque uxorem Creusam Erechthei filiam, e qua Achæum et Iona (18) sustulit. Achæus hic, cum cædem imprudens patrasset, pulsus, in Peloponnesum venit, condiditque Achaiam tetrapolim. A quo etiam Achæi originem ducunt. Ion vero, mortuo avo materno Erechtheo, cum virtutis, tum reliquæ dignitatis ergo creatus
B rex, Atheniensibus imperavit. Unde et Iones appel. lari cœperunt Athenienses, omnisque adeo regio Ionia dicta.

Ἡ κη' ὡς Τέννης καὶ Ἡμιθέα παῖδες ἦστην Κύκνῳ βασιλεῖ Τρῳάδος, καὶ Κύκνος [1] ἀποθανούσης αὐτῷ τῆς γυναικὸς ἑτέραν ἐπεισάγεται· ἡ δ' ἐπιμανεῖσα Τέννῃ καὶ μὴ τυγχάνουσα καταψεύδεται τοῦ παιδὸς τὰ ἑαυτῆς· καὶ ὁ πατὴρ ἀκρίτως εἰς λάρνακα [2] Τέννην κατακλείει, ἀλλὰ καὶ τὴν Ἡμιθέαν περιαλγοῦσαν τὰδελφοῦ [3], καὶ ἀφίησι τῇ θαλάσσῃ. Ἡ δ' εἰς νῆσον ἐκφέρεται, καὶ οἱ ἐπιχώριοι τὴν λάρνακα ἀνακομίζονται, καὶ τὸ κράτος τῆς γῆς ἐκείνης ἴσχουσι [4] Τέννης καὶ Ἡμιθέα, καὶ ἡ νῆσος Τένεδος ἀντὶ Λευκόφρυος ὠνομάσθη. Ὁ δὲ Κύκνος μεταγνοὺς καὶ ὁρμισάμενος πρὸς τὴν νῆσον, ἐδεῖτο τοῦ παιδὸς ἀπὸ τῆς νεὼς ἀμνηστίαν ἔχειν. Ὁ δὲ, ὡς μὴ ἐπιβαίη τῆς νήσου, πέλεκυν ἁράμενος τὰ πείσματα τῆς νεὼς διακόπτει· [440 R.] καὶ ἀπ' αὐτοῦ οἱ ἄνθρωποι ἐπὶ παντὸς ἀποτόμου πράγματος τὸν Τέννου πέλεκυν ἐπιλέγουσιν.

Vicesima octava: Tennes et Hemithea liberi erant Cycni regis Troadis (19). Cycnus autem mortua conjuge duxit alteram (20), quæ insano Tennæ privigni amore capta, cum potiri non posset, suum crimen falso illi imponens accusavit. Parens igitur indicta causa Tennem filium arculæ inclusit, quin et una Hemitheam, fratris infortunio immodice dolentem, atque ita mari commisit. Hæc arcula in insulam quamdam delata, atque ab incolis sublata est, et totius regionis imperio potiuntur Tennes atque Hemithea: ipsa vero insula Tenedos pro Leucophry dici cœpta. Cycnus postea facti pœ-
C nitens, et ad insulam profectus, filium precabatur e navi, præteritarum rerum ut oblivisceretur. Ille autem, ne ad insulam appelleret parens, securim arripiens navis retinacula dissecuit. Unde dici cœptum in omni abrupto atque præciso negotio, Tennæ (21) bipennem fuisse adhibitam.

Ἡ κθ' ὡς Μάγνητες οἱ Μαγνησίαν τὴν ἐν Ἀσίᾳ νῦν οἰκοῦντες τὸ πρότερον περὶ Πηνειὸν ποταμὸν καὶ τὸ Πήλιον ὄρος ᾤκησαν, καὶ συνεστράτευσαν [5] Ἀχαιοῖς κατὰ Τροίας ἡγουμένου αὐτῶν Προθόου, καὶ ἐκαλοῦντο Μάγνητες. Εἶτα δεκάτῃ [6] Μαγνήτων ἀνακομιζομένων αὐτῶν ἀπὸ Τροίας οἰκίζει κατ' εὐχὰς εἰς Δελφούς. Μετὰ χρόνον δὲ ἀναστάντες τοῦ ἱεροῦ καὶ κατιόντες ἐπὶ θάλασσαν ἐπεραιώθησαν εἰς Κρήτην [7]. Ὕστερον [226 H.] δὲ βιασθέντες ἀνέστησαν ἐκ Κρήτης, καὶ πλεύσαντες εἰς τὴν Ἀσίαν ἐρρύοντο κακῶν νεόκτιστον οὖσαν τὴν Ἰωνίαν καὶ τὴν Αἰολίδα, συμμαχοῦντες αὐτοῖς κατὰ τῶν ἐπιτιθεμέ-

Vicesima nona: Magnetes, qui Magnesiam Asiæ nunc incolunt, antea ad Peneum flumen montemque Pelium habitarunt, et adversus Trojam ductu atque auspiciis Prothoi militantes, Magnetes item dicti sunt. Ille postea hos, decimam Troja reportantes. Delphis ex voto collocavit. Post tamen relicto fano, navibusque conscensis, in Cretam transmiserunt. Inde quoque vi repulsi Cretam deserunt, et in **136** *a* Asiam adnavigantes, malis afflictam
D nuper conditam Ioniam atque Æolidem liberant, pugnantes una cum his adversus eos, qui mala illa inferebant. Hinc denique eodem quo nunc sunt

VARIÆ LECTIONES.

[98] Κτίνιον ς, [99] Ἀθήναζεν ς. [1] καὶ Κύκνος A : Κύκνος δέ ς. [2] εἰς λάρνακα A : λάρνακι ς. [3] ἀδελφοῦ ς. [4] ἀνίσχουσι A. [5] καὶ συνεστρ. A : συνεστρ. δέ ς. [6] δεκάτην ς. [7] εἰς Κρήτην] cf. Ruhnken. ad Vellei. p. 13.

NOTÆ.

(16) Strabo lib. VIII, initio Achaiæ *Xuthum* nominat, ubi hanc leges historiam.

(17) Œnoen, Probalinthum, Tricorithum, et Marathona, ut refert Steph. et Strabo supr.

(18) Steph. in *Ionia* facit eum ex Atheniens. opinione Apollinis et Creissæ filium.

(19) Strabo lib. XIII Colonarum hunc regem facit, in Troade tamen. Vide Lycophr. interp. et Servium, ac Pausan. *in Phocicis*. Diodor. quoque Sicul. extremo lib. V.

(20) Philonomen vocat Steph. in *Tenedos*: quem fusius hæc tractantem lege, et Adag. opus.

(21) Suidas etiam Τενέδιος ἄνθρωπος et Τινέδιος ξυνήγορος παροιμιωδῶς dici refert.

loco perveniunt, urbemque condunt, quam veteri de nomine patriæ Magnesiam item nuncuparunt.

A νων. Ἐκεῖθεν ἀφικνοῦνται ἐν ᾧ νῦν εἰσὶ, καὶ κτίζουσι πόλιν, ἀπὸ τῆς κατὰ τὸ ἀρχαῖον πατρίδος Μαγνησίαν αὐτὴν ἐπικαλέσαντες.

Tricesima de Pithenio (22) Apolloniate, qui, oves Soli sacras pascens, cum sua incuria sexaginta de grege oves lupi discerpsissent, oculis a civibus est orbatus, quare tellus, irato Deo, fructus Apolloniatis non protulit, donec astu et suburbanis prædiis duobus Pithenium placantes et una insuper domo, quam ipsemet elegisset, sterilitatem effugerunt. Erat autem Pithenius illustris genere, sicut et quotquot alii ejus successores sacrarum curam ovium gesserunt. Ipsa vero Apollonia (23) Græca civitas est in Illyrica regione mari adjacens, quam Lous fluvius (24), qui in Ionium mare exit, mediam dividit.

Ἰλ λ' τὰ περὶ Πειθηνίου τοῦ Ἀπολλωνιάτου, ὃς τὰ ἱερὰ Ἡλίου [8] νέμων πρόβατα, ἐπεὶ αὐτῶν ἑξήκοντα λύκοι διεσπάραξαν, ἀμελήσαντος, τὰς ὄψεις ὑπὸ τῶν πολιτῶν ἐκκόπτεται. Καὶ ἡ γῆ καρπὸν Ἀπολλωνιάταις μηνίσαντος αὐτοῖς τοῦ θεοῦ οὐκ ἐδίδου, ἕως τέχνῃ καὶ προαστείοις δυσὶν ἱλασάμενοι Πειθήνιον καὶ οἰκίᾳ μιᾷ, ὧν [9] αὐτὸς [10] ἠρετίσατο, τὴν ἀκαρπίαν διέφυγον. Τῶν ἐπιφανῶν δ' ἦν ὁ Πειθήνιος, καὶ ὅσοι ἄλλοι ἐκ διαδοχῆς τῶν ἱερῶν εἶχον προβάτων τὴν ἐπιμέλειαν. Καὶ ἡ Ἀπολλωνία πόλις Ἑλλάς ἐστιν ἐν τῇ Ἰλλυριῶν γῇ, κεῖται δ' ἐπὶ τῆς θαλάσσης, καὶ ποταμὸς Λῶος [11] διὰ μέσης αὐτῆς ῥέων εἰς τὸ Ἰόνιον ἐκβάλλει πέλαγος [12].

Tricesima prima : Tereus (25), Thracum rex, eorum qui ad Daulian cæteramque Phocida pertinent, uxorem duxit Procnen. Pandionis Athenarum regis filiam. Hic postquam insano captus amore, per vim constupravit invitam Philomelam, Procnes sororem, linguam quoque ejus exsecuit, veritus nimirum ne factum proderet. At illa peplum texens, dolorem ei suum filis inscripsit. Procne, re cognita, et facinus ulcisci cupiens, filium [Ityn] marito suum epulandum in cœna apposuit. Tum Tereus, ubi vel ex ipsa Procne exsecrandum convivium didicit, et hanc et sororem veluti facti consciam gladio percussurus insequitur. Illis vero per fabulam inde sublatis, Procne quidem in lusciniam (26), Philomela vero in hirundinem vertitur, canuntque perpetuo suas illas calamitates. Sed et Tereus in upupam avem, ut fabulæ referunt, mutatus : aiuntque hos, ne aves quidem factos, iram deposuisse, quando upupæ perpetuo hirundines atque lusciniias insectantur.

Ἰλ λα' ὡς Τηρεὺς, βασιλεὺς Θρᾳκῶν τῶν περὶ Δαυλίαν καὶ τὴν ἄλλην Φωκίδα, ἄγεται Πρόκνην γυναῖκα τὴν Πανδίονος βασιλεύοντος Ἀθηνῶν, καὶ ὡς ἐπεμάνη καὶ ἐμίγη ἀκούσῃ Φιλομήλᾳ τῇ ἀδελφῇ Πρόκνης, καὶ τέμνει [13] τὴν αὐτῆς γλῶσσαν, δεδιὼς τὸν ἐκ λόγων θρίαμβον. Ἡ δὲ πέπλον ὑφαίνουσα γράφει τὰ πάθη τοῖς νήμασι. Καὶ ἡ Πρόκνη μαθοῦσα καὶ ἀμυνομένη παρατίθησιν αὐτῷ δεῖπνον τὰ αὐτοῦ γεννήματα. Ὁ δὲ Τηρεὺς, μαθὼν τοῦ δείπνου τὸ μύσος ὑπ' αὐτῆς Πρόκνης, ἐδίωκεν αὐτήν τε καὶ τὴν ἀδελφὴν ὡς συνεργὸν ξίφει ἀνελεῖν. Τὰς δὲ μῦθος [14] λαβὼν ἐντεῦθεν Πρόκνην μὲν ἀηδόνα ποιεῖ, Φιλομήλαν δὲ χελιδόνα· καὶ ᾄδουσι διὰ παντὸς τὰς τότε συμφοράς. Ἀλλὰ καὶ ὁ Τηρεὺς εἰς ἔποπα [15] ἔπτη τῷ μύθῳ. Καὶ οὐδ' ἐν ὄρνισιν αὐτοὺς [16] φασι πεπαῦσθαι τῆς ὀργῆς, ἀλλ' ἔποπες ἀεὶ ἀηδόνας καὶ χελιδόνας [17] διώκουσιν.

Tricesima secunda : De Europa (27) Phœnicis (28) filia e conspectu sublata, utque filios pater ad sororem investigandam dimiserit. In his etiam Cadmus fuit, quicum una et Proteus, Busiridis tyrannidem veritus, ex Ægypto trajicit. Addit quomodo post varios errores nihil invenientes, in Pallenam venerint, utque Proteus, hospitalibus muneribus Clito oblatis, amicitiaque inita **136***b* (erat Clitus hic rex prudens et justus Sithonum Thraciæ populorum) filiam ejus Chrysonoen uxorem duxerit. Bisaltis deinde patria sua eo bello pulsis, quod ipsis a Clito et Proteo illatum est, regioni illi Proteus imperavit, genuitque patris longe dissimiles liberos,

Ἡ λβ' τὰ περὶ Εὐρώπης τῆς Φοίνικος θυγατρὸς ἀφανοῦς γεγενημένης, καὶ ὡς πέμψειε τοὺς υἱεῖς ὁ πατὴρ κατὰ ζήτησιν τῆς ἀδελφῆς, ὧν ἦν καὶ Κάδμος, μεθ' οὗ συναπαίρει καὶ Πρωτεὺς ἐξ Αἰγύπτου, τὴν Βουσίριδος δεδιὼς βασιλείαν. Καὶ ὡς μετὰ πολλὴν πλάνην μηδὲν εὑρόντες κατέσχον εἰς Ἑλλήνην. καὶ ὡς Πρωτεὺς ξένια δοὺς Κλίτῳ καὶ λαβὼν φιλίαν (βασιλεὺς δ' ἦν ὁ Κλίτος σώφρων καὶ δίκαιος Σιθώνων Θρᾳκίου ἔθνους) ἄγεται Πρωτεὺς γυναῖκα τὴν θυγατέρα Χρυσονόην. [441 R.] Καὶ Βισαλτῶν [227 H.] ἀπελαθέντων τῆς οἰκείας γῆς τῷ πρὸς αὐτοὺς πολέμῳ, ὃν ἐπολέμησε Κλῖτος καὶ Πρωτεὺς, βασιλεύει τῆς χώρας Πρωτεὺς, καὶ τίκτει παῖδας οὐχ ὁμοίους

VARIÆ LECTIONES.

[8] ἡλίου A : τοῦ ἡλίου ς, αὐτῶν (vel αὐτοῦ) ἐξήκ. λ. διεσπ. ἀμελ. A : ἀμελ. τούτου αὐτῶν ἐξήκ. λ. διεσπ. ς. [9] ὧν] ἦν corr. A. [10] αὐτὸς] ultimæ litteræ correctæ in A. ἐπιφ. δ' A : δ' ἐπιφ. ς. [11] Λῶος Kannius. [12] εἰς τὸ Ἰόνιον εκβ. πέλ. A : καὶ οὗτος ἐκβ. εἰς τὸ Ἰώνιον πέλ. ς. [13] τέμνει ς. [14] δὲ ὡς μῦθος ς. [15] εἰς ἔποπα] vid. Wyttenbach. Eunap. 2, p. 186. [16] αὐτὰς ς. [17] χελιδόνας καὶ ἀηδόνας ς.

NOTÆ.

(22) Evenium nominat Herodot. *Calliope*, sub fin. ubi integra hæc narratio legitur.

(23) De quo Strabo, lib. VII *in Illyride*.

(24) Abus. Strab. et Liv.

(25) Pausan. in *Atticis*, et mythologi omnes. Vide quoque Ælian. *Variar. hist.* lib. XII, cap. 20.

(26) Cum hoc sentit Aristoph. in *Avibus;* Apollod. lib. XXXI *Biblioth.* et alii plures.

(27) Vide *Nat. Comit.* et cæteros mythologos.

(28) Apollodorus lib. III *Biblioth.* init. Agenoris fuisse mavult : ubi et alia quædam aliter quam hic narrata legas.

αὐτῳ, ἀλλ' ὠμοὺς καὶ παρανόμους, οὓς Ἡρακλῆς μισοπόνηρος ὢν ἀναιρεῖ. Καὶ αὐτοῖς μὲν [18] ὁ πατὴρ χῶμα ἔχωσεν, Ἡρακλέα δὲ (ἦν γὰρ ἐναγὴς) καθῆρε τοῦ φόνου.

Ἡ λγ' ὡς Δήμοκλος ὁ Δελφὸς γεννᾷ παῖδα ἐκπρεπῆ Σμῖκρον [19] ὄνομα· καὶ ὡς πλεῖ κατὰ χρησμὸν ἐπὶ Μιλήτου, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν παῖδα ἐν ἡλικίᾳ· καὶ ὡς καταλιμπάνει τοῦτον σπουδῇ τοῦ ἐκπλεῦσαι καὶ ἀγνοίᾳ, τρισκαιδέκατον ἔχοντα ἔτος· καὶ ὡς παῖς Ἐριθάρσου αἰπόλος καταλαμβάνει τὸν Σμῖκρον ἀθυμοῦντα, καὶ ἄγει πρὸς τὸν πατέρα· καὶ ὁ Ἐριθάρσης οὐκ ἔλαττον τοῦ ἰδίου παιδὸς, μαθὼν τὰς τύχας καὶ τὸ [20] γένος τοῦ Σμίκρου, τοῦτον περιεῖπε. Καὶ περὶ τοῦ Κύκνου τοῦ συλληφθέντος ἄμφω τοῖς παισὶ, καὶ τῆς ἔριδος, καὶ τοῦ τῆς Λευκοθέας φάσματος, ὡς [21] εἶποι τε τοῖς παισὶ πρὸς Μιλησίους φάναι τιμᾶν αὐτὴν καὶ παίδων ἀγῶνα γυμνικὸν τελεῖν αὐτῇ· ἥσθῆναι γὰρ αὐτὴν τῇ ἔριδι τῶν παίδων. Καὶ ὡς ὁ Σμῖκρός τινος τῶν ἐν Μιλησίοις ἐνδόξων θυγατέρα γαμεῖ, καὶ αὕτη τίκτουσα ὁρᾷ δῦναι τὸν ἥλιον αὐτῇ [22] διὰ τοῦ στόματος εἰσδύντα διὰ τῆς γαστρὸς [23] καὶ τῶν αἰδοίων διεξελθεῖν· καὶ ἦν τὸ ὅραμα τοῖς μάντεσιν ἀγαθόν. Καὶ ἔτεκε κόρον, Βράγχον ἀπὸ τοῦ ὀνείρου καλέσασα, ὅτι ὁ ἥλιος αὐτῆς διὰ τοῦ βράγχου διεξῆλθε [24]. Καὶ ἦν ὁ παῖς κάλλιστος ἀνθρώπων, καὶ αὐτὸν ἐφίλησεν ἐρασθεὶς Ἀπόλλων, εὑρὼν ποιμαίνοντα, ἔνθα βωμὸς Ἀπόλλωνος φιλίου ἵδρυται. Ὁ δὲ Βράγχος ἐξ Ἀπόλλωνος ἐπίπνους μαντικῆς γεγονὼς ἐν Διδύμοις τῷ χωρίῳ ἔχρα. Καὶ μέχρι [25] νῦν χρηστηρίων Ἑλληνικῶν ὧν ἴσμεν, μετὰ Δελφοὺς κράτιστον ὁμολογεῖται τὸ τῶν Βραγχιδῶν.

Ἡ λδ' ὡς μετὰ τελευτὴν Ἀλεξάνδρου τοῦ Πάριδος οἱ Πριάμου παῖδες Ἕλενος καὶ Δηΐφοβος ἤριζον ὑπὲρ τῶν Ἑλένης γάμων, καὶ κρατεῖ βίᾳ καὶ θεραπείᾳ τῶν δυνατῶν Δηΐφοβος, νεώτερος ὢν Ἑλένου. Ἕλενος δὲ, τὴν ὕβριν οὐ φέρων, εἰς τὴν Ἰδην ἀποχωρήσας ἡσύχαζε. Καὶ κατὰ συμβουλὰς [26] Κάλχαντος οἱ πολιορκοῦντες Τροίαν Ἕλληνες λόχῳ τὸν Ἕλενον συλλαμβάνουσι· καὶ τὰ μὲν ἀπειλαῖς τὰ δὲ δώροις, πλέον δὲ τῇ πρὸς Τρῶας ὀργῇ, ἀποκαλύπτει αὐτοῖς Ἕλενος ὡς ξυλίνῳ ἵππῳ πεπρωμένον ἐστὶν Ἴλιον ἁλῶναι, καὶ τὸ τελευταῖον, ἐπειδὰν Ἀχαιοὶ λάβωσι τὸ διοπετὲς Ἀθηνᾶς Παλλάδιον, πολλῶν ὄντων τὸ σμικρότατον. Στέλλονται οὖν ἐπὶ τῇ κλοπῇ τοῦ Παλλαδίου Διομήδης καὶ Ὀδυσσεὺς, καὶ ἀναβαίνει ἐπὶ τὸ τεῖχος [27] Διομήδης, ἐπιβὰς τῶν ὤμων Ὀδυσσέως· ὁ δὲ οὐκ ἀνελκύσας Ὀδυσσέα, καίτοι τὰς χεῖρας ὀρέγοντα, ἦει τὴν ἐπὶ τὸ Παλλάδιον, καὶ ἀφελόμενος αὐτὸ πρὸς Ὀδυσσέα ἔχων ὑπέστρεφε. Καὶ διὰ τοῦ πεδίου κατιόντων πυνθανομένῳ [228 H.] ἕκαστα τῷ Ὀδυσσεῖ Διομήδης, τὸ δόλιον τἀνδρὸς [28] εἰδὼς, οὐχ

A crudeles admodum atque injustos, qui post ab Hercule, quod improbos valde odisset, occisi sunt. Et parens ipse tumulum suis effodit, Herculemque cæde pollutum expiavit.

Tricesima tertia : Democlus Delphus filium genuit insigni forma, cui *Smicro* (29) nomen, navigavitque Miletum ad consulendum oraculum, ducto secum filio annorum tredecim : quem, nimis festinato navigandi studio, atque imprudens, ibi reliquit. Inventum itaque tristem Smicrum, caprarius quidam, Eritharsi filius, ad patrem adducit : qui non secus atque suum filium, cognita pueri et conditione et stirpe, honeste eum apud se habuit. Narrat et de Cycno cum duobus filiis capto, deque contentione, ac de

B Leucotheæ spectro. Quomodo hæc pueris dixerit, Milesios ut admonerent, ipsam honorandam, et puerorum certamen gymnicum ipsi exhibendum : lætari enim se pueorum contentione. Addit etiam, ut Smicrus, clari cujusdam apud Milesios viri filiam uxorem duxerit, quæ pariens secundum quietem videre visa sit, solem per os ipsam subire, et per ventrem atque verenda egredi. Quod visum bonum esse omen vates interpretati, peperit illa filium, Branchumque a somnio nominavit, eo quod per fauces ex ipsa sol egressus esset (30). Hic mortalium formosissimus puer, ab Apolline est adamatus, cum oves pascentem reperisset. Ubi et ara Apollinis amantis consecrata. Branchus vero, Apollinis dono vaticinandi arte donatus, Didymis oracula reddidit, hodieque, inter omnia

C quæ novimus, Græca oracula, Branchidarum oraculum (31) post Delphicum maximum prædicatur.

Tricesima quarta. Paride mortuo, Helenus et Deiphobus Priami filii super Helenæ nuptiis contenderunt, vicitque per vim et potentium opem Deiphobus, ætate licet minor. Helenus ergo, injuriæ impatiens, in Idam **137** *a* secedens otium egit : ubi Calchantis suasu, qui Trojam obsidebant Græci ex insidiis eum capiunt : ille partim minis, partim donis, vel potius odio Trojæ, Græcis indicavit, ligneo equo Trojam capiendam, fato esse designatum. Imo et hoc denique, cum Achivi cepissent cœlo delapsum (32) illud Minervæ Palladium (33), quod inter multa erat minimum. Igitur missi ad Palladium furtò auferendum, Diomedes et Ulysses : evaditque in murum per Ulys-

D sis humeros conscendens Diomedes, neque tamen manus tendentem socium attraxit, sed ad Palladium abiit, eoque ablato, ad Ulyssem revertit. Ita cum per plana redirent, interroganti singulatim omnia Ulyssi, hominis astutiam non ignorans, respondit, non quod Helenus Palladium indicasset se accepisse, sed pro eo aliud quoddam. Verum moto forte fortuna

VARIÆ LECTIONES.

[18] μὲν add. A. [19] Σμικρός ς. [20] τὸ om. A. [21] ὡς] καὶ ὡς ς. εἶποι A : εἴ τοι ς. [22] αὐτῇ τὸν ἥλιον ς. [23] γαστρὸς δε καί ς. [24] ἐξῆλθε ς. [25] μέχρι τοῦ νῦν ς. [26] συμβουλήν ς. [27] ἐπὶ τὸ τεῖχος] νοῦ τείχους A. [28] τοῦ ἀνδρός ς.

NOTÆ.

(29) Simerum vocat Lactantius ad vers. 198, lib. VII *Thebaid* Stat. Papin. Ubi plura ex Varrone.

(30) Εἰσῆλθε potius legendum videtur.

(31) De quo Strabo et Pausan. non semel.

(32) Διοπετές. De qua voce lege Suidam.

(33) Vide Suid. et interpr. Virg. Apollod. item lib. III *Biblioth.*, ac Dictyn. Cretens. lib. V init.

Palladio, agnovit Ulysses illud ipsum esse. Quare a tergo se statuens Diomedis, interfecturus illum, gladium strinxit, quo ipsemet Achivis Palladium afferret. At dum plagam inflicturus esset, vidit Diomedes, splendente tum forte luna, ensis vibrati lucem. Ita Ulysses a cæde abstinuit, stringente vicissim gladium Diomede, qui et timiditatem illi exprobans, et gladii lamina, quod antecedere nollet, humeros verberans, eumdem ante se egit. Unde proverbium (33*) natum : *Diomedeia necessitas*, adhiberi solitum in eo, qui aliquid faciat invitus.

A

ὅπερ ἔφησεν Ἕλενος Παλλάδιον λαβεῖν αὐτὸν, ἀλλ' ἀντ' ἐκείνου ἕτερον, ἀποκρίνεται. Κινηθέντος δὲ τοῦ Παλλαδίου κατὰ τινα δαίμονα, γνοὺς Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο εἶναι καὶ κατόπιν γεγονὼς σπᾶται τὸ ξίφος, ἐκεῖνον μὲν ἀνελεῖν βουληθείς, [444 R.] αὐτὸς δ' Ἀχαιοῖς τὸ Παλλάδιον κομίζειν. Καὶ αὐτοῦ μέλλοντος πληγὴν ἐμβαλεῖν (ἦν γὰρ σελήνη), ὁρᾷ Διομήδης τὴν αὐγὴν τοῦ ξίφους. Ὀδυσσεὺς δ' ἀναιρεῖν μὲν ἀπέσχετο ἀντισπασαμένου κἀκείνου ξίφος, δειλίαν δ' ὀνειδίσας πλατεῖ τῷ ξίφει οὐκ ἐθέλοντα προϊέναι τύπτων τὰ νῶτα ἤλαυνεν. Ἐξ οὗ ἡ παροιμία « ἡ Διομήδειος [29] ἀνάγκη, » ἐπὶ παντὸς ἀκουσίου λεγομένη.

Tricesima quinta duos inducit pastores ad Lyssum Ephesini agri montem pascentes : qui apum examen in profundo quodam atque ad descendendum perdifficili antro cum vidissent, alter sportulam ad descendendum ingressus est, alter eam e fune suspensam demittebat. Cum autem qui descenderat, mellis atque auri ingentem copiam reperisset, impositum sportulæ onus tertio attrahere sursum jussit. Auro dein deficiente, seipsum deinceps sportam ingredi acclamavit. At postquam insidiarum ipsi suspicio cum verbo illo in mentem venit, lapidem pro se sportæ imposuit, jussitque attrahere. Alter itaque, ut jam pæne ad oram usque speluncæ onus attraxit, ratus se socium occidere, confestim per præcipitium quoddam sportam præcipitavit, auroque humi defosso, verisimiles de pastore qui desiderabatur, causas interrogantibus commentus est. Hinc cum alter ille in spelunca **137***b* pastor nullam salutis viam reperiret, Apollo in somnis jussit, ut acuto lapide sibi corpore lacerato, quietus jaceret. Paruit ille monenti, et vultures tanquam ad cadaver advolantes, ungues-que alii comæ, alii vestibus infigentes, in sublime hominem sustulerunt, avexeruntque illæsum in subjectam vallem. Inde profectus in curiam, cuncta magistratui exposuit. Quare Ephesii insidiatorem illum convictum, aurumque defossum vel invitum ostendere coactum [pro meritis] multarunt : injuria vero affecto auri dimidium attribuentes, alterum dimidium Apollini ac Dianæ obtulerunt. Servatus ergo pastor ille, auroque donatus, ad summas pervenit divitias, et aram in summo montis vertice Apollini, Vulturii nomine, in rei gestæ memoriam sempiternam, dedicavit.

B

C

D

Ἡ λε' δύο ποιμένας ὑπὸ Λυσσὸν τὸ ὄρος τῆς Ἐφεσίας, γῆς εἰσάγει νέμοντας, οἳ μελισσῶν ἔσμὸν ἔν τινι βαθεῖ καὶ δυσκαθόδῳ θεασάμενοι σπηλαίῳ, ὁ μὲν [30] εἰς φορμίδα κατιέναι ἐνέδη, ὁ δὲ καθίει κάλῳ ἀρτησάμενος. Ὁ κατελθὼν δὲ καὶ τὸ [31] μέλι καὶ χρυσὸν πολὺν εὑρὼν καὶ τῇ φορμίδι ἕως τρὶς ἐμβαλὼν [32] ἀνιμᾶν ἐκέλευσεν, ἐπιλείψαντος δὲ [33] τοῦ χρυσοῦ ἑαυτὸν ἐμβαίνειν λοιπὸν προσδοκήσας, ἐπεὶ ἐπιβουλῆς ἔννοια αὐτῷ ἅμα τῷ ῥήματι συνεισήει, λίθον ἀνθ' αὑτοῦ τῇ φορμίδι βαλὼν ἐκέλευσεν [34] ἀνιμᾶν· Ὡς δ' ἐγγὺς τῆς στεφάνης ὁ ἀνιμῶν ἀπηωρήσατο, αὐτίκα ὡς διαφθερῶν [35] τὸν ἕτερον [36] ἀφίησι κατά τινος φάραγγος, καὶ τὸ χρυσίον κατορύξας πιθανὰς ὑπὲρ τοῦ ἀφανοῦς ποιμένος ἐπλάττετο τοῖς πυνθανομένοις τὰς προφάσεις. Ὡς δ' ἦν ἄπορα πανταχόθεν τῷ ἐν τῷ σπηλαίῳ ποιμένι τὰ τῆς σωτηρίας, Ἀπόλλων ὄναρ κελεύει ὀξεῖ λίθῳ τὸ σῶμα ἀμύξαντα κεῖσθαι ἠρέμα. Τοῦ δὲ πράξαντος τὸ προσταχθὲν γῦπες ὡς ἐπὶ νεκρὸν ἐφιπτάμενοι, καὶ τοὺς ὄνυχας οἱ μὲν εἰς τὴν χαίτην, οἱ δ' εἰς τὴν ἐσθῆτα πηξάμενοι, ἐκούριζον καὶ κατέφερον αὐτὸν κακῶν ἀπαθῆ ἐπὶ τὸν ὑποκείμενον αὐλῶνα. Ἐλθὼν δ' ἐπὶ τὸ ἀρχεῖον ἅπαντα φράζει. Καὶ τὸν μὲν ἐπιβουλεύσαντα οἱ Ἐφέσιοι, ἐλεγχθέντα καὶ τὸν χρυσὸν κατορωρυγμένον καὶ ἄκοντα ἐπιδείξαντα, τιμωροῦνται, τῷ δ' ἠδικημένῳ τὴν ἡμίσειαν τοῦ χρυσοῦ νείμαντες, τὴν ἑτέραν ἡμίσειαν ἱερὰν ἀπέφηναν Ἀρτέμιδι καὶ Ἀπόλλωνι. Ὁ δὲ διασωθεὶς καὶ τῷ χρυσίῳ τιμηθεὶς ποιμὴν τῶν τε πάνυ πλουσίων ἐγένετο καὶ βωμὸν ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ ὄρους Ἀπόλλωνος εἵσατο [37], Γυπαιέως εἰς μνημεῖον τῶν συνενεχθέντων ὀνομάσας.

Tricesima sexta. Philonomus Lacedæmonius (34), Sparta Doriensibus prodita, Amyclas mercedis loco accepit, in eamque ex Imbro atque Lemno incolas coegit. Qui cum tertia dein ætate seditionem adversus Dorienses excitassent, Amyclis pulsi sunt. Assumptis itaque secum e Spartiatis quibusdam, ducibusque usi Polide et Delpho, in Cretam adna-

Ἡ λς' ὡς Φιλόνομος ὁ Σπαρτιάτης [38] προδοὺς Λακεδαίμονα Δωριεῦσι δῶρον ἔχει Ἀμύκλας, καὶ συνοικίζει ταύτην ἐξ Ἴμβρου καὶ Λήμνου. Τρίτῃ δὲ γενεᾷ στασιάσαντες πρὸς Δωριέας μετανίστανται [229 H.] Ἀμυκλῶν, συμπαραλαβόντες δὲ καὶ τινας Σπαρτιατῶν, ἡγουμένων αὐτοῖς Πόλιδος καὶ Δελφοῦ, ἔπλεον ἐπὶ τὰς Κρήτης. Ἐν τῷ παράπλῳ δὲ τοῦδε [39]

VARIÆ LECTIONES.

[29] ἡ Διομ.] cf. Schol Platon. p. m. 408. [30] ὁ μὲν ὅμως ὁ μέν A. [31] καὶ τὸ add. A. [32] ἐμβάλλων A. [33] δέ A : καὶ ς. [34] ἐκέλευεν A. [35] διαφθείρων ς. [36] ἑταῖρον corr. A. τινος] τῆς Kannius. [37] εἵσατο] ἐδωμήσατο corr. A. [38] cf. Muller. Orchom. p. 316. [39] τοῦδε add. A.

NOTÆ.

(33*) Quod ipsum alia etiam ratione affert Suidas.

(34) Meminit Strabo lib. VIII, initio *Laconicæ*.

τοῦ στόλου Μῆλον Ἀπόδασμος οἰκίζει, καὶ τὸ τῶν Μηλιέων [40] γένος ἐνθένδε οἰκειοῦται Σπαρτιάτας [41]. Οἱ δὲ λοιποὶ ἅπαντες Γόρτυναν μηδενὸς εἴργοντος λαβόντες, ταύτην ἅμα τῶν περιοίκων [42] Κρητῶν συνοικίζουσιν.

Ἡ λζ' ὡς ἀπὸ Θάσου τοῦ Κάδμου ἀδελφοῦ Θάσος ἡ νῆσος ὠνομάσθη· ἐκεῖ γὰρ αὐτὸν ὁ ἀδελφὸς, δοὺς τοῦ στρατοῦ μοῖραν, ἀπολείπει. Καὶ ὡς Κάδμος ὑπὸ τοῦ Φοινίκων βασιλέως, μέγα καὶ αὐτὸς δυνάμενος παρὰ Φοίνιξιν, ἐπὶ τὴν Εὐρώπην σταλείη. Οἱ δὲ Φοίνικες τότε [445 R.] μέγα τε (ὡς λόγος) ἴσχυον, καὶ πολλὴν τῆς Ἀσίας καταστρεψάμενοι τὸ βασίλειον ἐν Θήβαις ταῖς Αἰγυπτίαις εἶχον. Στελλῆναι δὲ Κάδμον οὐχ ὡς Ἕλληνές φασι, κατὰ ζήτησιν Εὐρώπης, ἣν παῖδα Φοίνικος οὖσαν ἥρπασε Ζεὺς ἐν σχήματι ταύρου, ἀλλ' ἀρχὴν μὲν ἰδίαν ἐν Εὐρώπῃ μηχανώμενον [43] πλάττεσθαι ἀδελφῆς ἡρπασμένης ποιεῖσθαι ζήτησιν, ἐξ οὗ καὶ ὁ τῆς Εὐρώπης μῦθος ἦκεν εἰς Ἕλληνας. Περιπλέων δὲ τὴν Εὐρώπην τὸν μὲν ἀδελφὸν Θάσον, ὡς εἴρηται, τῳ νήσῳ λείπει, αὐτὸς δ' εἰς Βοιωτίαν πλεύσας ἄνεισι πρὸς [44] τὰς νῦν καλουμένας Θήβας, καὶ σὺν τῇ δυνάμει περιτειχίσας τὸ χωρίον Θήβας ἀπὸ τῆς οἰκείας ἐπωνόμασε πατρίδος. Τῶν δὲ Βοιωτῶν εἰς μάχην αὐτοῖς συμπλακέντων ἡττῶνται Φοίνικες, εἶτα κρατοῦσιν ἐνέδραις καὶ προλοχισμοῖς καὶ τῇ ἀήθει τῶν ὅπλων ὄψει· κράνος γὰρ [45] καὶ ἀσπὶς οὔπω τοῖς Ἕλλησιν ἔγνωστο. Καὶ κρατεῖ Κάδμος τῆς Βοιωτῶν γῆς, καὶ φυγόντων τῶν διασωθέντων ἐπὶ τὰς οἰκείας πόλεις οἰκίζει Φοίνικας ἐν Θήβαις, καὶ τὴν Ἄρεως [46] καὶ Ἀφροδίτης Ἁρμονίαν γαμεῖ. Βοιωτοῖς δὲ πρὸς τὴν ἔκπληξιν τῶν ὅπλων καὶ τῶν προλοχισμῶν καὶ τῆς ἐνέδρας δόξα παρέστη αὐτοῖς ὅπλοις ἀνεῖναι τῆς γῆς [47] τοὺς ἄνδρας, καὶ Σπαρτοὺς ὡς ἐκ τοῦ χωρίου φύντας αὐτοὺς ἐκάλεσαν. Περὶ μὲν [48] Κάδμου καὶ Θηβῶν οἰκίσεως [49] οὗτος ὁ ἀληθὴς λόγος, τὸ δ' ἄλλο μῦθος καὶ γοητεία ἀκοῆς.

A vigarunt. Sed dum classis præternavigat, Apodasmus Melum (35), habitatoribus instruit, indeque Pelieorum genus Spartanos sibi conciliat. Cæteri omnes, Gortynam, repugnante nemine, occupantes, una cum Cretensium accolis eam incoluerunt.

Tricesima septima. A Thaso (36) Cadmi fratre Thasum insulam appellatam refert. Ibi enim illum frater, data exercitus parte, reliquit. Cadmus (37) hic a Phœnicum rege, magnæ alioquin et ipse apud Phœnicas auctoritatis, in Europam missus est. Quippe Phœnices eo tempore viribus plurimum ac potentia, ut ferunt, valebant, magnaque Asiæ parte in potestatem redacta, regiam sedem Thebis Ægyptiis constituerunt. Missus ergo Cadmus, non (ut Græci fabulantur) Europam quæsiturus, quam Phœnicis filiam, tauri mentitus formam Jupiter rapuisset, sed proprium sibi in Europa imperium constituere molitus, raptæ sororis investigationem prætexuit. Atque hinc illa de Europa fabula ad Græcos prodiit. Europam igitur circumnavigans ille, Thasum fratrem, ut diximus, in ea insula reliquit, ipse in Bœotiam tendens, 138 *a* Thebas illas, quæ nunc appellantur, ædificavit, muroque comitum opera cinctum locum a patriis ita Thebis appellavit. Bœotis autem pugna concurrentibus, victi primum Phœnices, per insidias mox, ac stratagemata, et inusitatum armorum aspectum, superiores evaserunt : neque enim galea et scutum fuerunt unquam Græcis ad eam diem cognita. Ita Cadmus, Bœotorum potitus regione, fugientibus qui cladi supererant in suas quisque urbes, Thebis Phœnicas qui incolerent, collocat, ipse Harmoniam Martis ac Veneris filiam uxorem ducit. Bœotorum interim animis, ob armorum illum atque insidiarum metum, hæc opinio insedit, cum armis ipsis viros illos e terra exstitisse, ut inde etiam Spartas (38), velut ex eo ipso loco satos, nominarint. Igitur de Cadmo Thebarumque inhabitatione vera hæc narratio est : altera illa, fabula auriumque præstigia.

Ἡ λη' ὡς Μιλήσιός τις ἀνὴρ, τῆς πατρίδος αὐτῷ ὑπὸ Ἁρπάγου τοῦ Κύρου ἐν κινδύνῳ οὔσης, εἰς τὸ ἐν Σικελίᾳ Ταυρομένιον ἀπαίρει [50], κἀκεῖ φίλῳ τινὶ τραπεζίτῃ παραθέμενος τὸ χρυσίον οἴκαδ' ἔπλει. Εἶτα δεδούλωτο μὲν Μίλητος Κύρῳ, δεινὸν δ' οὐδὲν ἄλλο ὧν ὑφεωρᾶτο [51] ἐπεπόνθει· καὶ ὁ Μιλήσιος ἦκεν εἰς Ταυρομένιον ἀνακομισόμενος [52] τὴν παρακαταθήκην. Ὁ δὲ λαβὼν ὁμολογεῖ μὲν λαβεῖν, διετείνετο δ' ἀποδεδωκέναι. Ὡς δὲ μετὰ πολλὴν ἔριν καὶ λογομαχίαν ὁ Μιλήσιος εἰς ὅρκον τὸν ἀδικοῦντα [230 H.] προὐκαλεῖτο, ὁ τραπεζίτης μηχανᾶται τοιόνδε· Νάρθηκα κοιλάνας καθάπερ αὐλὸν καὶ συντήξας τὴν παραθήκην [53] τῷ νάρθηκι ἐγχεῖ καὶ ἀσφαλίζεται·

Tricesima octava : Milesius quidam, periclitante sub Harpago Cyri filio patria, Tauromenium, Siciliæ urbem adnavigavit, ibidemque apud notum quemdam trapezitam auro deposito, domum rediit. Cyrus post hæc Miletum in potestatem redegit, nihilque in eam gravius, ut metuerant constituit. Rediit itaque Milesius Tauromenium, ut depositum illud suum reciperet. Ibi mensarius quidem depositum accepisse non abnegabat, sed reddidisse contendebat. Ut vero Milesius, post multas tandem rixas atque contentiones, ad jusjurandum hominem adegit, trapezita tale quid machinatus est : Ferulam tibiæ instar excavans, in eaque depositum lique-

VARIÆ LECTIONES

[40] Πηλιέων ς. ἐνθένδε Heynius : libri ἐνθάδε. [41] Σπαρτιᾶναι ς. [42] τοῖς περιοίκοις Κρησί ς. [43] μηχανούμενον ς. [44] πρός A : καί ς. [45] γὰρ A : δέ ς. τοῖς Ἕλλησιν A : αὐτοῖς ς. cf. Muller. Orchom. p. 217. [46] Ἄρεος ς. [47] τὴν γῆν Heynius, recte, nisi legendum ἀνιέναι, i. e. prodire. [48] μὲν οὖν K. ς. [49] οἰκήσεως A. [50] ἀπῇει ς. [51] ὑφωρᾶτο ς. [52] ἀνακομισάμενος ς. [53] παρακαταθήκην ς. τῷ] τῇ A.

NOTÆ

(35) Cycladum una Steph. cum ejusdem nominis urbe.

(36) Apollod. Thasum Neptuni filium facit, lib. III init. Stephan. *Thassus* gemmato sibilo profert.

(37) De Cadmo Pausan. legendus in *Bœotic.*

(38) Pausan. init. *Bœotic.* et alibi.

factum infundens, probe obturat. Accedens igitur ad jurandum, ferensque pro scipione ferulam, quasi pedibus æger ea fulciebatur. Antequam tamen juraret, Milesio sibi astanti, veluti mox repetiturus arundinem tradidit. Ita dum manibus sublatis dejerat, se depositum eidem, a quo accepisset, reddidisse, Milesius indignans arundinem projecit, simul etiam hominum fidem defecisse clamans. Tum fracta arundine oculis etiam patuit compositum illud auri causa perjurium. Milesius itaque aurum sibi suum vindicavit: trapezita vero præ verecundia, et quod improbus coram omnibus deprehenderetur, laqueo vitam sibi abrupit.

Tricesima nona. Melanthus ex genere fuit Elidarum, **138** *b* qui Pylo et Messanæ jam inde a Neptuno imperarunt. Hunc cum Heraclidæ expulissent, armis regione potiti sunt. Ille Athenas versus ex oraculo discessit, civitateque donatus, claruit ibi in paucis. Accidit autem ut Athenienses cum Bœotis super Œnoe (39) bellum gererent, placuitque singulari regum certamine litem dirimi. Ibi Thymœtes (40), qui tum Athenis regnabat, duellum formidans, regno etiam cessit ei, quicunque cum Xantho Bœotorum rege dimicare vellet. Melanthus itaque regni præmio invitatus, pugnandi conditionem accipit, et pacta conficiuntur. Ubi ad manus ventum est, vidit Melanthus visum quoddam imberbis viri specie Xanthum sequi. Ut vero injuste fieri ille exclamavit, quod contra pacta auxiliatorem adduxisset, Xanthus falso sermone turbatus, vertit se : atque ita illico Melanthus lancea trajectum transfodit. Sic uno certamine Œnoen Atheniensibus, sibi regnum acquisivit. Certe Erechthidarum genus ad Melanthidas, quo in numero et Codrus erat, ab hoc traductum est. Athenienses vero postea Baccho Melanthidæ (41) ex oracolo fanum dedicarunt, et quotannis rem divinam fecerunt : Jovi insuper deceptori sacras litantes victimas, quod in pugna dolo fuissent usi.

Quadragesima historia (42) de Andromeda secus narrat, quam Græci fabulantur. Duos fratres fuisse refert, Cephea et Phinea : ac Cephei quidem regnum, Phœnices postea nomen induisse, cum ad eum diem Joppe (43) a maritima civitate appellatum fuisset, habuisseque imperii terminos a mari nostro ad eam usque Arabiam, quæ ad Erythræum mare pertinet. Fuisse item Cepheo insigni pulchri-

ἐπὶ δὲ τὸν ὅρκον ἰὼν [54], κατέχων ὡς βακτηρίαν προφάσει ποδῶν [55] ἀσθενείας, τῷ νάρθηκι ἐπηρείδετο· μέλλων δ' ὀμνύειν πλησίον ἑστῶτι τῷ Μιλησίῳ, ὡς αὐτίκα πάλιν ἀναληψόμενος, τὸν νάρθηκα ἐπιδίδωσιν. Ὡς δὲ τὰς χεῖρας ἀνασχὼν κατώμνυτο τὴν παρακαταθήκην ἀποδοῦναι τῷ παραθεμένῳ [56], περιπαθήσας ὁ Μιλήσιος ῥίπτει τὸν νάρθηκα, ἔρρειν ἅμα ἀνακραγὼν τὴν ἐν ἀνθρώποις πίστιν. Καὶ ὁ νάρθηξ ἐρρήγνυτο, καὶ περιφανὲς ἦν πρὸς τὴν ὄψιν τοῦ χρυσίου τὸ σόφισμα τῆς ψευδορκίας. Καὶ ὁ μὲν Μιλήσιος τὸ ἴδιον εἶχεν, ὁ δὲ τραπεζίτης ὑπ' αἰδοῦς καὶ τοῦ κακίζεσθαι πρὸς ἁπάντων βρόχῳ τοῦ ζῆν ἑαυτὸν ἐξάγει.

Ἡ λθ' ὡς [57] Μέλανθος γένος μὲν ἦν τῶν Νηλειδῶν, οἳ Πύλου καὶ Μεσσήνης ἀπὸ Ποσειδῶνος ἐβασίλευον. Τοῦτον ἀναστήσαντες Ἡρακλεῖδαι πολέμῳ τὴν γῆν ἔσχον· ὁ δὲ κατὰ χρησμοὺς Ἀθήναζε ἀφικνεῖται, καὶ πολίτης γίνεται, καὶ ἦν τῶν τιμωμένων. Ἀθηναίοις δὲ καὶ Βοιωτοῖς πόλεμος ὑπὲρ Οἰνόης συνίστατο, [448 R.] καὶ ἐδόκει ἐν τῇ τῶν βασιλέων μονομαχίᾳ τὴν κρίσιν εἶναι. Θυμοίτης μὲν οὖν βασιλεύων Ἀθηναίων ἐδεδοίκει τὸν ἀγῶνα, καὶ ἐξίστατο τῆς βασιλείας τῷ βουλομένῳ διακινδυνεῦσαι πρὸς Ξάνθον, ὃς ἐβασίλευσε Βοιωτῶν. Καὶ Μέλανθος ἐπ' ἄθλῳ τῆς βασιλείας [58] ὑπέρχεται τὸν ἀγῶνα, καὶ προβαίνουσιν αἱ συνθῆκαι. Ἐπεὶ δ' [59] εἰς μάχην ἦκον, καθορᾷ ὁ Μέλανθος φάσμα τι τῷ Ξάνθῳ ἄνδρα ἑπόμενον ἀγένειον. Ὡς δ' ἀνεβόησε μὴ δίκαια ποιεῖν παρὰ τὰς συνθήκας ἐπαγόμενον [60] βοηθὸν, μετεστράφη ὁ Ξάνθος, πρὸς τὸ ἄπιστον τοῦ λόγου ἐκπλαγείς· καὶ αὐτὸν εὐθὺς ὁ Μέλανθος τῷ δόρατι βαλὼν κτείνει, καὶ τὴν τε Οἰνόην Ἀθηναίοις καὶ ἑαυτῷ τὴν βασιλείαν ἐνὶ περιεποιήσατο ἀγωνίσματι. Τὸ μὲν δὴ τῶν Ἐρεχθειδῶν [61] γένος εἰς τοὺς Μελανθίδας, ὧν ἦν καὶ Κόδρος, ἀπὸ τούτου μετέστη· Ἀθηναῖοι δ' ὕστερον Διονύσῳ Μελανθίδῃ [62] κατὰ χρησμὸν ἱερὸν ἱδρυσάμενοι θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ τῷ ἀπατουρίῳ Διὶ ἱερὰ ἀνάπτοντες, ὅτι αὐτοῖς ἐκ τῆς ἀπάτης ἀγώνισμα ἐγένετο.

Ἡ μ' ἱστορία τὰ περὶ Ἀνδρομέδας ἱστορεῖ ἑτέρως ἢ [63] ὡς ὁ Ἑλλήνων μῦθος. Ἀδελφοὺς μὲν γὰρ δύο γενέσθαι, Κηφέα καὶ Φινέα, καὶ εἶναι τὴν τοῦ Κηφέως βασιλείαν τότε ἐν τῇ μετονομασθείσῃ μὲν ὕστερον Φοινίκῃ, τηνικαῦτα δ' Ἰώππᾳ [64] ἀπὸ Ἰώππης τῆς ἐπιθαλασσιδίου πόλεως τοὔνομα λαβούσῃ [65]· καὶ ἦν τὰ τῆς ἀρχῆς ὅρια ἀπὸ τῆς καθ' ἡμᾶς θαλάσσης μέχρι Ἀράρων [66] τῶν πρὸς τὴν Ἐρυθρὰν θά-

VARIÆ LECTIONES

[54] ἰὼν καὶ κατ. ς. [55] προσφ. τῆς τῶν ποδῶν ς. [56] περιθεμένῳ ς. [57] ὡς om. A. Νηλειδῶν Leichius p. IX : libri ἡλίδων. [58] malim τῇ βασιλείᾳ [59] ἐπειδή ς. [60] ἐπαγόμενος A. [61] Ἐρεχθίδων A : Ἐρεγθούντων ς. [62] Μελανθίδι A, [63] ἢ] ἢ καί A. post γενέσθαι cum A omisi φασί. [64] δ' Ἰόππᾳ A : δ:' ὅπα ς. Heynius δ' Ἰοπίᾳ. ἀπὸ] ὃ ἀπό A. [65] λαβούσης A. [66] Ἀῤῥάβων ς.

NOTÆ

(39) Περὶ Κελαινῶν Suid. et Polyæn.

(40) Oxinthæ filius qui postremus de Thesidis regnavit. Pausan. *Corinth.* Attingit quoque hanc historiam Strabo lib. IX init. et maxime Suid. Ἀπατουρία. Interp. Aristoph. Polyæn. lib. I. *Stratagem.* Frontin. lib. II, cap. 3.

(41) Suidas voce ἀπατουρία Dionysium hunc μελαναίγιδα vocat ex eo quod τραγῆν ἐνημμένος μέλαιναν visus ille post Xanthum apparuerit. Hujus tamen Bacchi ædem Pausan. in *Corinthiac.* apud Trœzenios statuit.

(42) Vide Hyginum Apollodorum, et interpret. Apollon. Arati, atque Lycophr. Ovid. V *Metamorph.*

(43) Strabo hanc item sententiam affert lib. I, et iterum XVI ; Plinius quoque, Pausan, ac plerique omnes.

λασσαν ὠκημένων. Εἶναι δὲ τῷ Κηφεῖ καὶ θυγατέρα πάνυ καλὴν Ἀνδρομέδαν, καὶ αὐτὴν μνᾶσθαι Φοινικά τε καὶ τὸν ἀδελφὸν Κηφέως Φινέα. Κηφεὺς δὲ μετὰ πολλοὺς τοὺς ἐφ' ἑκατέρῳ [231 H.] λογισμοὺς ἔγνω δοῦναι μὲν Φοίνικι, ἁρπαγῇ δὲ τοῦ μνηστῆρος τὸ αὐτοῦ ἑκούσιον ἀποκρύπτειν· καὶ ἁρπάζεται ἀπό τινος νησῖδος ἐρήμου ἡ Ἀνδρομέδα, ἐν ᾗ εἰώθει ἀπιοῦσα θυσίας τῇ Ἀφροδίτῃ θύειν. Φοίνικος δ' ἁρπάσαντος νηΐ (Κῆτος δ' αὕτη ἐκαλεῖτο, ἢ μίμησιν ἔχουσα τοῦ ζώου ἢ καὶ [67] κατὰ τύχην) ἡ Ἀνδρομέδα, ὡς κατὰ ἄγνοιαν τοῦ πατρὸς ἁρπαζομένη, ἀνωλοφύρατό τε καὶ μετ' οἰμωγῆς τοὺς βοηθήσοντας ἀνεκαλεῖτο. Περσεὺς δ' ὁ Δανάης κατὰ δαίμονα παραπλέων κατίσχει, καὶ πρὸς τὴν πρώτην ὄψιν τῆς κόρης οἴκτῳ καὶ ἔρωτι συσχεθεὶς τό τε πλοῖον, τὸ Κῆτος, διαφθείρει, καὶ τοὺς ἐμπλέοντας [68] ὑπὸ ἐκπλήξεως μόνον οὐχὶ λιθωθέντας ἀναιρεῖ. Καὶ τοῦτο Ἕλλησι τὸ τοῦ μύθου Κῆτος καὶ οἱ παγέντες εἰς λίθους ἄνθρωποι τῆς [69] Γοργόνος τῇ κεφαλῇ. Ἄγεται δ' οὖν γυναῖκα τὴν Ἀνδρομέδαν, καὶ οἴχεται αὐτὴ συμπλέουσα εἰς τὴν Ἑλλάδα τῷ Περσεῖ, καὶ βασιλεύοντος τὸ Ἄργος οἰκεῖται.

Quaternarius item magno ipsis miraculo est, novus deus, et quidem multiplex, vel potius omnideus. Fons enim ipsis est naturalium effectuum, atque naturæ claviger. Sed et suam hic disciplinis constitutionem ac permansionem affert, atque conciliat; imo natura ipsa est et varietas. Idem quoque

Ἡ δὲ τετρὰς πάλιν αὐτοῖς θαῦμα μέγιστον, ἄλλη θεὸς πολύθεος, μᾶλλον δὲ πάνθεος· ἔστι γὰρ αὐτοῖς τῶν τε φυσικῶν ἀποτελεσμάτων πηγὴ καὶ κλειδοῦχος τῆς φύσεως. Ἀλλὰ καὶ τῆς κατὰ τὰ μαθήματα συστάσεώς τε καὶ διαμονῆς αὕτη προαγωγὸς καὶ αἰτία. Ἀλλὰ καὶ αὐτὴ φύσις καὶ αἰόλα ἐστὶν αὐτοῖς καὶ

VARIÆ LECTIONES

[45] νάστιν A : ναέτιν ς. κρατᾳνίδα ς. [46] οὕτω A : ὅςῳ ς.

NOTÆ

(84) De Dindymene matre Pausan. et Gyrald. Syntagm. IV.

(85) Suida quoque ὄνομα θεᾶς.

(86) Vide Pausan. et Gyrald. Syntagm. XII, et reliquos mytholog.

(87) Ἑστώ. Nisi hic Εὐεστὼ legendum malis. De qua Diogen. Laert. in *Democrit.*, Clemens Alexand., II *Strom.*, Hesych. et Suid.

(88) Διωναία, inquit Suid., ἡ Ἀφροδίτη, καὶ Διώνη ἡ αὐτή.

(89) Μυχεία, ἡ Ἀφροδίτη. Suidæ, a μύχω forsitan.

(90) Ἀδιοριστία, ἀδιόριστον, Suida, ἀδιαχώριστον, Hesych. etiam ἀναμίξ.

(91) Ophioneus Messeniorum vates celebratur D apud Pausan. in *Messen.*

(92) *Eryanam* forte legendum. De hæc enim Minerva multa Pausan. et illius etiam hic mentio seq. p.

(93) F. vers. major, de qua Hom. *Illad.* Σ. Οἵα δ' ἔμμορός ἐστι λοετρῶν ὠκεανοῖο. D. H.

(94) Minerva poetis dicitur Διὸς κούρη.

(95) Minervæ matrem eam facit Hesiod. *Theog.* Vide et Apollod. et Gyrald. Syntagm. XI.

(96) Empusam forsitan intelligit. Porro de Curetibus θεολογούμενα multa Strabo, lib. x et Pausan. Lege et Gyrald. Syntag. III, de Junone Cureti.

(97) Κρατᾳίς Scylles mater Hesychio.

(98) Quo nomine Bacchum Nonnus ornat.

Ἡρακλῆς καὶ ἔξαρμα καὶ ἀλκιμωτάτη καὶ ἀῤῥενικὴ καὶ ἀθήλυντος, Ἑρμῆς τε καὶ Ἥφαιστος καὶ Διόνυσος καὶ Σωρίτας, καὶ Μαιαδεὺς ἢ Μαιάδης (τῆς γὰρ Μαίας υἱὸς ἤτοι τῆς δυάδος ἡ τετρὰς) καὶ Ἐριούνιος καὶ Σῶκος καὶ Διάκτορος [47], καὶ Βασσαρεὺς καὶ διμάτωρ, μητρὸς τετευχὼς δυάδος, θηλύμορφός τε καὶ ἔπανδρος καὶ ἀῤῥενουργὸς καὶ βακχασμὸν ἀνεγείρων [48], καὶ Ἁρμονία, καὶ τῶν Μουσῶν ἡ Οὐρανία. Ἀλλ' οὕτω μὲν αὐτοῖς καὶ ἡ τετρὰς τερατολογουμένη θεολογεῖται, καὶ τὸ α' τῶν θεολογουμένων ἀριθμῶν Νικομάχῳ συναπαρτίζεται βιβλίον.

A iis Hercules, et impetus ac maximum robur, virilis potentia, nihilque habens femineum. Mercurius item et Vulcanus, Bacchus, Soritas, Maiadeus, vel Maiades. Est enim Maiæ filius, hoc est binarii, quaternarius. Eriunius (99) adhæc, et Socus, atque Dioscorus (1). Bassareus (2) insuper, et Bimater (matrem nactus binarium) feminea forma, virilis viriliaque patrans, bacchari faciens. Item Harmonita seu Harmonia, et in Musis Urania. Ad hunc fere modum de quaternario nugando philosophantur, ubi et primi libri theologice expositorum a Nicomacho numerorum terminus est.

Ἐν δὲ τῷ β' μετὰ τὸ προοίμιον ἡ πεντὰς αὐτῷ πληροῖ τὸν ἀγῶνα. Ἡ γὰρ πεντὰς πρώτη μεσότητος τῆς ἀρίστης καὶ φυσικωτάτης ἐμφατική, κατὰ διάζευξιν ἀμφοτέροις πέρασι τοῦ φυσικοῦ ἀριθμοῦ, μονάδι μὲν ὡς ἀρχῇ, δεκάδι δὲ ὡς τέλει συνεζευγμένη, καὶ συλληπτικὴ τῶν ἐν τῇ κοσμικῇ φύσει φαινομένων· καὶ γὰρ κατά μὲν τὴν μονάδα ὁ κόσμος ἐῤῥίζωται, ἤνυσται δὲ καὶ πέφανται [49] κατὰ τὴν δεκάδα· Ἀλλὰ καὶ ὅτι προσεχέστατον καὶ μόνον μέρος τῆς δεκάδος. Καὶ τὰ στοιχεῖα δὲ τοῦ παντὸς κατὰ τὴν πεντάδα· προστίθησι γὰρ τοῖς τέσσαρσι καὶ τὸν αἰθέρα, ὃ οὐκ ἂν ἀνέξοιτο ὑμνῶν τὴν τετράδα. Καὶ πολλὰ τοιαῦτα. Ἀλλ' οὔπω ταῦτα κομψὰ καὶ σοφά, τὰ δ' ἑφεξῆς σκόπει. Ἀνεικία γὰρ ἡ πεντὰς καὶ ἀλλοίωσις καὶ φάος καὶ δικαιοσύνη, καὶ ἐλαχίστη ἀκρότης τῆς ζωότητος, καὶ Νέμεσις, καὶ Βουβάστια, καὶ δίκησις καὶ Ἀφροδίτη, καὶ Γαμηλία, καὶ Ἀνδρογυνία [50], καὶ Κυθέρεια, καὶ Ζωναία, καὶ κυκλιοῦχος, καὶ Ἀμίθεος, καὶ Ζανὸς πύργος, καὶ Διδυμαία, καὶ ἄξων ἑδραία. Ἄμβροτόν τε αὐτὴν [51] ὑψηλολογοῦσι καὶ Παλλάδα, καὶ Κραδεᾶτιν [52] καὶ Ἀγεμονίαν, καὶ Ἀκρεῶτιν, καὶ ἀτάλαντον, καὶ ἄζυγα, καὶ Ὀρθιᾶτιν, καὶ Μουσῶν Μελπομένην, καὶ ἀμειβομένην ὀπὶ καλῇ, καὶ μέσων μέσην καὶ ἀκρότητα γονίμων. Ἐπὶ τούτοις μὲν οὖν σεμνύνει καὶ τὴν πεντάδα.

B junctionem ab utraque extremitate numeri naturalis : cum interim unitati quidem tanquam principio, denario vero tanquam fini coagmentetur : comprehendere simul potens ea omnia, quæ in mundi natura apparent. Per unitatem etenim mundus tanquam fixis radicibus stabilitus est ; per denarium vero perfectus, atque in lucem productus. Sed id non nisi ad extremam denarii partem [conficitur] cum universi elementa per quinarium [perficiantur, atque in lucem producantur]. Nam etiam æthera ad quatuor illa adjicit : etsi hanc additionem nunquam admitteret, si vel in quaternarii, vel multorum similium laude versaretur. Sed nondum hæc elegantia, aut scita, quæ consequuntur, considerandæ sunt. Quinarius enim sive pentas (3) quies est a rixis, et alteratio, jubar quoque ac justitia, minimaque extremitas facultatis vivendi. Nemesis adhæc, et Bubastia (4), jurisdictio, Venus, Gamelia (5), Androgynia (6), Cythereia : Zonæa (7), circulorum præses, Semidea, arx Jovis, Didymæa, et axis stabilis. Hanc etiam divinam esse sublimibus verbis prædicant, et Pallada, et Credeaten, Ductricem (8), Acreotin, æquilibrem, expertem jugi. Orthiatin (9), atque inter Musas Melpomenem, pulchraque voce respondentem (10), mediorumque medium, et fecundorum culmen. Et sic quidem ille quinarium extollit.

[240 H.] Ἡ δὲ ἑξὰς εἶδος εἴδους αὐτῷ αἰτιολογεῖται, καὶ τῇ ψυχῇ μόνος ἀριθμῶν ἁρμόζων, καὶ διάρθρωσις τοῦ παντὸς ψυχοποιὸς καὶ τῆς ζωτικῆς ἕξεως [53] ἐμποιητικὴ (παρὸ καὶ ἑξὰς) καὶ Ἁρμονία

144*b* Senarius ab illo formæ forma, ratione reddita dicitur, et solus inter numeros animæ accommodus, atque universi articulatio, animi effector, et qui vitalem appetitum indere solet. Unde etiam

VARIÆ LECTIONES

[47] Διόσκορος ς. [48] post ἀνεγ. καὶ cum Roth. omisi ἁρμονία ἡ. [49] πέφ.] πεπέρανται Astius, προσεχέστατον A : πρὸς ἔσχατον ς. [50] Ἀνδρογυνία καὶ Ζανός πύργος καὶ ς. [51] αὐτὴν add. A. [52] Κρεδεάτην ς, [53] ἕξεως A : ὀρέξεως ς.

NOTÆ

(99) Mercurii epitheta. Lege Notas exemplaris Græci, et Eustath. in Hom.

(1) Quasi Jovis filius dicas, quo modo Apollo; *Anthol.* διόπαις dicitur.

(2) Bacchi cognomenta.

(3) Ἀνεικία, quæ vox etiam alias admittit expositiones.

(4) Bubastin ab Ægyptiis dictam esse Dianam docet Herod. Euterpe, et alii.

(5) De Junone Gamelia sive Nuptiali vide Gyrald. Syntag. III.

(6) An biformem barbatamque illam Venerem indicat, quam a Roman. mulieribus erectam describit Suid. ?

(7) Ἀπατουρίαν forsitan illam Minervam innuit, cui Træzeniorum virgines zonas ante nuptias dicare solitas scripsit Pausan. *Corinthiac.* Est et Λυσιζώνη Diana apud Apollon. et alios ut *Cinxia Juno* apud Festum.

(8) Unde Ἡγεμότης nomine Diana coli cœpta, docebit Pausan. *Arcadic.*

(9) De Orthia Diana multa Pausan.

(10) Periphrasis est Calliopes, quam hic, alibi nusquam nominat.

senarius Harmonia atque universa natura, et magis proprie ipsamet Venus, cum luga, tum nuptialis, et androgynea theologice ab eo constituitur. Jugalis adhæc et illecebra : pax quoque, amicitia, sanitas, et Acmon (10*), ac veritas. Hexada insuper volunt hi Parcas inter Lachesin esse, principiumque ac dimidium totius, et longe jaculantem (11), ac Triviam, Dichroniam (11*), Perseiam (12), Triformem, Amphitriten, Anchidica (13), et de Musarum numero Thaleiam, ac Panaceiam. Ita neque senarius ab ipsis præteritus est, quin deum deamque esse omni studio probaretur.

A [465 R.] καὶ οὐλομέλεια [54], καὶ κυρίως αὕτη [55] μᾶλλον Ἀφροδίτη ζυγία τε καὶ γαμηλία καὶ ἀνδρογυνία [56] θεολογεῖται. Ἀλλὰ καὶ ζυγῖτις καὶ φιλοτησία καὶ εἰρήνη καὶ φιλία καὶ ὑγεία, Ἄκμων τε καὶ ἀλήθεια. Καὶ μοιρῶν δὲ Λάχεσιν αὐτὴν ποιοῦσι, καὶ ἀρχὴν καὶ ἥμισυ παντὸς, καὶ ἑκατηβελέτιν, καὶ Τριοδῖτιν, καὶ Διχρονίαν, καὶ Περσείαν, καὶ Τρίμορφον, καὶ Ἀμφιτρίτην, καὶ Ἀγχιδίκαν, καὶ Μουσῶν Θάλειαν, καὶ Πανάκειαν. Οὕτω μὲν οὐδ' ἡ ἐξὰς αὐτοῖς θεὸς εἶναι καὶ θεοῖς [57] διέφυγε φιλοτιμεῖσθαι.

Jam hebdomas (quid dicas?) confestim fit (14) σεπτὰς· ubi si consuetudo (15) Σ forte exterat, trahit hoc facile ex duplici littera Ξ, quam ipsa natura ad præcedentis (16) numeri finem veluti sorte attribuit, ut hæc adminiculo adversus vulgi insidias augusto illi numero esset. Atque hæc admiranda illa demonstratio est, qua ita exsistere docet [vocem] σεπτὰς, et cultu dignum numerum ἑπτὰ. At rursum etiam (17) hic unitatis est ac denarii medietas. Fortuna item, et Occasio, Minerva, Mars, Acreotis, Agelia (18), Atrytone, et Capta (19) eademque valido (20) patre nata, Tritogeneia, cæsios habens oculos, Alalcomeneia (21), Panteuchia (22), Ergana (23) et multis precibus expetita, integritas naturæ, Amaltheiæ stirps, Ægis, Osiris, somnus, vox, sonus, et de Musarum numero Clio. Si libet, etiam judicium, et Adrasteia, et ejusmodi ineptiæ multæ. Sic plane ille adorandus septenarius, ingenti longoque labore, ut magnus multiplexque deus ab ipsis laudibus celebratur.

Ἡ δὲ ἑβδομὰς, τί ἂν τις καὶ εἴποι; εὐθὺς μὲν γάρ ἐστι σεπτὰς · κἂν τὸ σ' ᾠθείροι ἡ σύνήθεια, ἕλκει τοῦτο ῥᾷστα ἐκ διπλοῦ τοῦ ξ', ὅπερ τῷ πρὸ αὐτοῦ ἀριθμῷ ἡ φύσις πρὸς τῷ τέλει ἀπεκλήρωσεν, ἵν' ᾖ τοῦτο ἐπικούρημα τῷ σεβαστῷ ἀριθμῷ πρὸς τὴν ἐπιβουλὴν τὴν ἀπὸ τῶν πολλῶν. Τοιαύτη μὲν ἡ ἀπόδειξις θοαυμαστὴ, ὡς ἔστι πάντως [57*] σεπτὰς καὶ σεβασμοῦ ἄξιος ὁ ἑπτά. Πάλιν δὲ καὶ αὐτὴ μεσότης μονάδος καὶ δεκάδος, τύχη καὶ καιρὸς, Ἀθηνᾶ καὶ Ἄρης, καὶ Ἀκρεῶτις, καὶ Ἀγελεία [58], καὶ Ἀτρυτώνη, φυλακῖτις, ὁβριμοπάτρα, Τριτογένεια, γλαυκῶπις, Ἀλαλκομένεια, Παντευχία, Ἐργάνη, πολυαρήτη, οὐλομέλεια, Ἀμαλθείας γένος, Αἰγίς, Ὄσιρις, ὄνειρος, φωνὴ, αὐδὴ, καὶ Μουσῶν ἡ Κλειὼ, εἴ βούλει δὲ, καὶ κρίσις καὶ Ἀδράστεια καὶ πολὺς φλύαρος [59] τοιοῦτος. Οὕτω μὲν ἡ πάνσεπτος αὐτοῖς ἑπτὰς μακροτέρῳ πόνῳ μέγας καὶ πολὺς θεὸς ἀνυμνεῖται.

Octonarius deinde, etsi nequaquam tantam laudem (ne octava quidem ex parte) obtinuit : quando tamen pro deo etiam hic ipsis est, e sede sua non excidit. Adorant enim ipsum quasi summam Harmoniam et Cadmeiam (24) matrem, ac Rheam mulierificam (25), Cybelen, Cybeben Dindymen, urbisque custodem, velut amorem item, atque amicitiam, prudentiam, intelligentiam, Oreiam (26), Themin (27), legem, natum (28) ante exactos menses, et Musarum Euterpen.

Ἡ δὲ ὀκτὰς, εἰ καὶ μὴ τοῖς ἴσοις μηδ' ὀγδόῳ μέρει, ἀλλ' οὖν τῷ θεὸς αὐτοῖς εἶναι οὐδ' αὐτὴ τοῦ θρόνου ἀπεῤῥίφη · Ἁναρμονίαν γὰρ αὐτὴν προσκυνοῦσι, καὶ Καδμείαν [60] μητέρα τε καὶ Ῥέαν καὶ θηλυποιὸν καὶ Κυβέλην, Κυβήβην τε καὶ Δινδύμην καὶ πολιοῦχον, ἔρωτά τε καὶ φιλίαν, μῆτιν, ἐπίνοιαν, Ὀρείαν, Θέμιν, νόμον, ἡλιτομήναν, καὶ τῶν Μουσῶν τὴν Εὐτέρπην.

Novenarius item posthabetur, et in deitate, et in longa descriptione, qua septenarius in altum

Καὶ ἡ ἐννὰς δὲ ὑστερεῖ μὲν καὶ τῆς θειότητος καὶ τῆς μακρᾶς συγγραφῆς, οἷς [61] ἡ ἑβδομὰς ὑπερῆρτο ·

VARIÆ LECTIONES

[54] οὐλομελία A. [55] αὐτὴ ς. [56] ἀνδρογυναία ς. καὶ post ζυγῖτις add. A. [57] Θεὰ ς. [57*] πάντως A : οὕτω ς. [58] ἀγελία libri ἀκρέωσις ς. [59] καὶ πολυφλύαρος ς. [60] Καδμείας ς. τε add. A. [61] οἷς A : ἧς ς.

NOTÆ

(10*) Eustathio Oceanus, et Saturni pater. Cons. et Varini Lexicon.

(11) ἑκατηβελέτιν Dianæ epith.

(11*) *Bitempoream* Latina forma dicas.

(12) Hecates a patre Perseo, epith. apud Valer. Flac. lib. VI, ex Apol. lib. III, et Orpheo.

(13) Quasi *vicina justitia*, et quæ ad manum sit.

(14) *Septenio* Latina formatione. De septenario autem multa quoque Philo scripsit lib. *De creatione mundi*, in quibus aliqua his non absimilia M. Varron. *Hebdomadum* libri interciderunt, quales nuper Fabius Paulinus Venetiis dedit.

(15) ἑπτὰ enim vulgo dicimus.

(16) τὸ ξ̃ intelligit.

(17) Ut supra quinarius.

(18) Lege Eustat. in Hom. et Gyrald. Syntag. XI, voce ἀλαλκομενηὶς Ἀθηνᾶ.

(19) Φυλακῖτες. Ovid. inspiciendus, XXXV *Fast.*

(20) ὁβριμοπάτρα rationem nominis docet Eustat.

(21) Gyrald. supr.

(22) Quod omni armorum genere instructa esset.

(23) Multis a Pausan. celebrata.

(24) Semelen, puto, vult.

(25) θηλυποιόν, ob emasculatos gallos.

(26) Suid. ἐν ὄρεσι ἀναστρεφομένην.

(27) De qua copiose Steph. Pighius libello singulari.

(28) Ἡλιτόμηνα. Bacchum accipio.

πλὴν τῆς ὀκτάδος ἔγγὺς θεολογεῖται. Ὠκεανὸς γὰρ αὐτοῖς αὕτη περιῤῥεῖται [62], καὶ ὁρίζων ἀνυμνεῖται· Προμηθέα τε αὐτὴν καὶ ὁμόνοιαν καὶ Περσείαν [63] καὶ Ἄλιον ἱερολογοῦσιν, ἀνεικίαν, ὁμοίωσιν, Ἥφαιστον, Ἥραν, Διὸς ἀδελφὴν καὶ σύνευνον, ἐκάεργου, Παιᾶνα, Νυσσηΐδα, Ἀγυιέα, Ἐνυάλιον, Ἀγελείαν, Τριτογένειαν, Ὁμόνοιαν, Πειθώ, Κουρήτιδά τε καὶ Κόρην, Ὑπερίονα [64], καὶ Μουσῶν Τερψιχόρην.

A nimium quantum evectus fuerat: at proximum saltem in divinitate gradum cum octonario obtinet. Circumfunditur enim ab ipsis tanquam Oceanus, atque ut visum finiens circulus [Horizonta Græci vocant] celebratur. Promethea quoque ipsum faciunt, et Concordiam. Perseiam, et Solem indigitant. Quietem quoque a rixis, et similitudinem, Vulcanum, Junonem, Jovis **145***a* sororem et conjugem, eminus operantem (29) Pæana, Nysseida, Agyrea (30), Enyalium (31), Ageliam, Tritogeniam, Concordiam, Suadam, Curetidem, Proserpinam, et Hyperionem, Musarum denique Terpsichoren.

Ἡ μέντοι δεκὰς αὕτη ἐστὶν αὐτοῖς τὸ πᾶν, Θεὸς ὑπέρθεος καὶ Θεὸς Θεῶν, ὅτι δέκα χειρῶν καὶ δέκα ποδῶν δάκτυλοι, καὶ δέκα κατηγορίαι, καὶ τοῦ λόγου δέκα μέρη· ἵνα γὰρ ᾖ αὐτοῖς πάντα ἡ δεκὰς, προστιθέασι τοῖς τοῦ λόγου [241 H.] μέρεσι προσηγορίαν καὶ παραπλήρωμα. Τί δεῖ λέγειν ὡς ἐν αὐτῇ περιλαμβάνουσι τά τε [65] στερεὰ καὶ τὰ ἐπίπεδα, ἄρτια, περισσὰ, ἀρτιοπέρισσα, τέλεια [66], πρῶτα καὶ ἀσύνθετα, ἴσότητα καὶ ἀνισότητα, τὰς δέκα σχέσεις, τὰ σφαιρικὰ, τὰ κυκλικὰ, γεννητικὰ, τελεστικὰ, ἐναρμόνια, τὰ τοιαῦτα; ἀλλ' ὅπως αὐτοῖς κόσμος ἡ δεκὰς καὶ οὐρανὸς, εἱμαρμένη, αἰὼν, κρὰτος, πίστις, ἀνάλκη, [468 R.] Ἄτλας, ἀκάμας θεὸς, Φάνης, Ἥλιος, Οὐρανία, Μνήμη, Μνημοσύνη; καὶ πάντα ἂν οἶμαι τὰ προειρημένα τῶν θεῶν αὐτῶν ὀνόματα τῇ δεκάδι ἀνήψαντο ἄν, εἰ μὴ προλαβόντες [67] ἐκεῖνοι ταῦτα ἰδιοποιήσαντο καὶ συνεχῶς τὰ αὐτὰ κατὰ πάντων λέγειν οὗτοι ἀπώκνησαν, ἐπεὶ ὑπέρθεός γε αὐτοῖς ἡ δεκὰς, καὶ τὸ κράτος τῆς ἐν ἀριθμοῖς ἔχουσα θεότητος. Διά τοῦτο Νικομάχῳ καὶ πολύστιχος, ὁ περὶ αὐτὴν πόνος. Εἰ γὰρ καὶ πολλῷ [68] μακροστιχώτερος ὅ τε τῆς μονάδος καὶ ἑβδομάδος, ἀλλ' ὁ μὲν τῆς μονάδος, ὅτι καὶ περὶ τῶν ἑξῆς ἀριθμῶν οὐκ ὀλίγα διεξέρχεται καὶ προοιμίοις πλατύνεται. Πλὴν ἐν [69] ἀμφοῖν πολλὰ καὶ περὶ τῆς δεκάδος ἐμφιλοχωρεῖ, ὥσπερ καὶ ἐν τῷ περὶ τῆς πεντάδος λόγῳ μικροῦ πρὸς τὸν τῆς ἑβδομάδος παρισουμένῳ κατὰ μῆκος.

Denarius denique ipsis est universum, Deus summus, et deorum Deus, quod manuum pedumque decem sint digiti, decemque [ut logici vocant] prædicamenta, et orationis partes decem. Omnia enim ipsis decas ut sit, allocutionem cæteris orationis partibus apponunt et supplementum. Quid attinet dicere, complecti illos hic solida, plana, paria, imparia, pariter imparia, perfecta, prima et simplicia, æqualia, inæqualia, decem ipsas habitudines, sphærica, circularia, ad genituras atque imitationes spectantia, et his consentientia. Ut itidem ipsis decas sit mundus, cœlum, fatum, ævum, potentia, fides, necessitas, Atlas, indefessus deus (32), Phanes, Sol, Urania, Memoria, Mnemosyne. Et vero omnia, opinor, prædicta deorum nomina decadi attribuissent: nisi his ipsis antea occupatis, propria jam illa aliis fecissent, et continenter eadem de singulis dicere piguisset. Quando enim superdeus (33) ipsius denarius est, qui etiam omnem ejus divinitatis vim, quæ in numeris invenitur, obtineat: propterea quoque fusus adeo Nicomachus in hoc describendo esse voluit, quanquam multo adhuc longior sit in monade atque septenario. Verum id ita in monade accidit, quod de reliquis item numeris non modica ibi disputat, et præfationibus insuper extenditur. Ubi et hoc observo, libentius eum sermoni de decade, dum de utroque illo numero disputat, inhærere: quod idem in quinario facit, de quo æque pene multis atque de septenario disserit.

Ἀλλὰ γὰρ αὕτη σοι, ὦ φίλτατε ἀδελφῶν, καὶ τῶν Νικομάχου ἀριθμῶν ὡς ἐν κεφαλαίῳ ἡ πολυθρύλητος καὶ δυσεύρετος θεολογία, οὐ (μὰ τὴν [70] ὑμῶν ἀρχίνοιαν καὶ φιλοπονίαν) διὰ τὸ ἐν αὐτῇ δυσέμβατόν τε καὶ δυσκατάληπτον μικροῦ τῶν ἀνθρώπων ἀνακεχωρηκυῖα, ἐπεὶ νῦν τά τε γεωμετρικὰ καὶ ἀριθμητικὰ καὶ τἆλλα τῶν μαθημάτων, ὡς καὶ σὺ συνεπίστασαι, πολλοὶ τῶν ἡμᾶς ἐγνωκότων οὐκ ἔλαττον οἶμαι τοῦ παιδὸς Ἑρμείου (οἶδας [71] πάντως τὴς περὶ ταῦτα δεξιότητα τοῦ Ἀμμωνίου) διακριβοῦσι, καὶ οὐδὲν

En tibi, charissime frater, per summa capita recensitam Nicomachi illam celebrem, repertuque difficilem in numeris theologiam, quæ tamen hercle ob inaccessa pene sua, præceptuque difficilia sensa, nequaquam perspicax vestrum ingenium atque diligentiam extra humanam propemodum conditionem removere potuit: quandoquidem jam geometrica, arithmetica, cæterasque mathematicas disciplinas (ut et tu scis) plerique nobis non ignoti nihilo negligentius, opinor, tractant,

VARIÆ LECTIONES.

[62] περιρεῖται A : περιερρεῖται ς. Fortasse legendum περιῤῥεῖ τε. [63] Ηερσίαν A. [64] Ὑπερίονα A : καὶ Ὑπερίονα ς. [65] τε add. A. [66] τέλα ς. καὶ ante ἀνις. et mox τὰ add. A. [67] προβάντες ς. [68] πολλῶν A. δ' τε A; οὔτε ς. [69] ἐν A : ἓν ἐν ς. [70] οὐ μὰ τὴν] ἡ μὰ τῆν corr. A· οὐ μάτην ς. [71] οἶδας γὰρ π. ς.

NOTÆ.

(29) Ἑκάεργον, id est, Apollinem.

(30) Apollinis epitheton apud Macrob. lib. I *Saturnal.* Vide Pausan. et Gyrald. Syntag. VII.

(31) Vide H. St. *Thesaur. linguæ Græc.*

(32) Ἀκάμας θεός. Quomodo ἀκάμαντα ἥλιον non semel dixit Homerus.

(33) Ὑπέρθεος. Quemadmodum ὑφ' ἓν legendum censet Servius illud Virg. *semperdeus*, aliasque alii.

quam Hermeiæ [quondam] filius (neque enim ignoras Ammonii in his artibus dexteritatem); plane ut nullum ipsos latere possit eorum theorematum, quæ numerorum huic studio Nicomachus innexuit. **145***b* Verum unde hæc defecerunt? Tempus, opinor, et quod ne utilibus quidem parcatur, dum inutilia quæque facillime labefactantur, validam invexit consuetudinem invictamque vim, per quam etiam id commodi acceperit illud Nicomachi studium, quod pene cum multis utilibus censeretur periisse. Quanquam hodieque attonsum atque accisum ut est, non exigeam (quemadmodum et modo vides, et post etiam, scio, clarius videbis) gloriam parit.

A αὐτοὺς λάθοι ἂν τῶν θεωρημάτων, ἃ συνεπεισκυλεῖ Νικόμαχος τῷ περὶ ἀριθμῶν πόνῳ. Ἀλλὰ πόθεν; Ἐσπάνισεν ὁ χρόνος, οἶμαι, καὶ τὸ μὴ φείδεσθαι τῶν χρησίμων ἐκ τοῦ ῥᾴστα τὰ ἄχρηστα φθείρειν ἔθος ἔλαβε μέγα καὶ ἄμαχον κράτος, καὶ ἐκέρδανεν ἂν καὶ ἡ Νικομάχου σπουδὴ τὸ μετὰ πολλῶν χρησίμων μικροῦ νομίζεσθαι διεφθάρθαι. Ἀλλ' ἔστι καὶ πράττεται, οὐκ ὀλίγην δόξαν, ὡς ὁρᾷς καὶ οἶδα ὄψει σαφέστερον, ἀποκειραμένη.

CLXXXVIII

Alexandri Admirabilium Collectio, et Protagoræ Geometriæ universi orbis libri VI.

Lecta est *Admirabilium* Alexandri (34) *Collectio*. Qui multa quidem prodigiosa hoc volumine atque incredibilia commemorat, sed alios non incelebres laudat auctores, qui eadem prius narrarint. Scribit autem de animalibus, de plantis, de regionibus nonnullis, de fluminibus, de fontibus et herbis, atque id genus aliis. Clara ejus est dictio, summatimque cum narret, non omnino jucunditatis expers est.

In hoc eodem volumine Protagoræ quoque *Geometriæ*, quæ *Universi orbis* titulum præ se ferebat, libri sex continebantur. Horum quinque, etsi non studiosam, neque (ut postea fecit) accuratam, Asiæ tamen, et Africæ, quin et Europæ situs descriptionem complectuntur. Sextus vero liber Alexandri quodammodo Collectioni respondet. Describit enim, quæ in mundo universo paradoxa referuntur: quorum pleraque veteribus accepta refert scriptoribus: plurima etiam a se visa narrat, non minus omnium opinionem, quam superiora illa exsuperantia. Perspicua et hujus dictio est, ac brevis narratio, hoc sexto libro maxime.

B

C

CLXXXIX

Sotion De fluminibus, fontibus, ac lacubus. — Nicolai Damasceni Morum incredibilium Collectanea. — Acestoridæ Mythologiæ politicæ libri IV.

Legi quæ Solion (35) sparsim inopinata de fluviis, fontibus ac lacubus referri scripsit. Respondet et hic libellus, convenitque cum Protagoræ sexto, et Alexandri Collectaneis, nisi quod hic de fontibus tantum et lacubus incredibilia commemoret, cum illi ejusmodi de aliis etiam plurimis scribant. Sermo autem non longe ab illorum dictione recessit.

In hoc item volumine lectus est Nicolai liber, Herodi (36) Judæorum regi inscriptus, quo *Incredibilium morum Collectio* continebatur. Incidit au-

D

ΡΠΗ'.

Ἀλεξάνδρου Θαυμασίων Συναγωγή, καὶ Πρωταγόρου Γεωμετρίας τῆς οἰκουμένης λόγοι ἕξ.

Ἀνεγνώσθη Ἀλεξάνδρου Θαυμασίων Συναγωγή. Λέγει μὲν ἐν τῷ βιβλίῳ πολλὰ τερατώδη καὶ ἄπιστα, πλὴν ἄλλους τῶν οὐκ ἀφανῶν εἰσάγει ταῦτα προϊστορήσαντας. Λέγει δὲ περὶ τε ζώων καὶ φυτῶν καὶ χωρῶν τινων καὶ [72] ποταμῶν, καὶ κρηνῶν, καὶ βοτανῶν, καὶ τῶν τοιούτων. Σαφὴς δὲ τὴν φράσιν καὶ κεφαλαιώδης ἐστὶ, καὶ οὐδὲ τοῦ ἡδέος ἀπεστερημένος.

Ἐν ταὐτῷ δὲ καὶ Πρωταγόρου Γεωμετρίας τῆς Οἰκουμένης ἐπιγραφὴν ἔχον, λόγοι ς', ὧν τὰ μὲν ε', εἰ καὶ μὴ σπουδαίως καὶ ὡς οἱ [74] ὕστερον ἀκριβῶς, ἀλλ' οὖν τὴν τῆς Ἀσίας καὶ Διβύης, ἀλλὰ καὶ Εὐρώπης περιήγησιν ποιεῖται. Τὸ δὲ ἕκτον σύστοιχόν [75] πώς ἐστι τῇ Ἀλεξάνδρου Συναγωγῇ· τῶν γὰρ κατὰ τὴν οἰκουμένην παραδοξολογουμένων ἀναγράφει τὴν ἱστορίαν, ὧν τὰ μὲν εἰς ἀρχαιοτέρους ἀναφέρει, πολλὰ δὲ καὶ εἰς αὐτοψίαν [242 H.] ἦλθε, οὐκ ἔλαττον τῶν ἄλλων προβαλλόμενα τὸ παράδοξον. Σαφὴς δὲ καὶ οὗτος καὶ κεφαλαιώδης κατὰ τὸ ἕκτον τὴν φράσιν μάλιστα.

ΡΠΘ'.

Σωτίωνος Τῶν σποράδην Περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων. — Νικολάου Παραδόξων ἐθῶν Συναγωγή. — Ἀκεστορίδου Τῶν Κατὰ πόλιν μυθικῶν λόγοι δ'.

[469 R.] Ἀνεγνώσθη Σωτίωνος Τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνων καὶ λιμνων παραδοξολογουμένων. Σύστοιχον καὶ τοῦτο τὸ βιβλιδάριον τῷ ἕκτῳ τε τῶν Πρωταγόρου καὶ τῇ Ἀλεξάνδρου Συναγωγῇ, πλὴν ὅτι ἐνταῦθα τὰ περὶ κρηνῶν μόνον [76] καὶ λιμνῶν παραδοξολογούμενα ἱστορεῖται, ἐν ἐκείνοις δὲ καὶ πλειόνων ἄλλων. Ἡ δὲ φράσις παραπλήσιος ἐκείνοις.

Ἐν ταὐτῷ δὲ συνανεγνώσθη [77] καὶ Νικολάου λόγος Ἡρῴδῃ τῷ Ἰουδαίων βασιλεῖ προσπεφωνημένος, ἐν ᾧ Παραδόξων ἐθῶν ἐστι Συναγωγή. Συμβαίνει [78]

VARIÆ LECTIONES.

[72] καὶ ante ποταμῶν om. A. [73] δὲ A : γὰρ δὲ ς. γεωγραφίας Casaubonus. [74] οἱ add. A : cum eodem post Ἀσίας omisi τε. [75] σύστοιχον] στοιχεῖον A. [76] μόνων ς. [77] συνανέγνω — λόγον A. [78] συμβαίνει μὲν εἰς ταὐτὸν A : καὶ συμβαίνει μὲν ς.

NOTÆ.

(34) Polyhistoris illius Milesii, de quo Suid. et Athenæus.

(35) An hic ille forsitan Alexandrinus, qui ab Athenæo laudatur?

(36) Hujus enim ὑπογραφία fuisse Nicolaum scribit quoque Constantinus Porphyrogen. libello *De Thematibus Orient.*

μὲν εἰς ταὐτὸν ἐνίοις τῶν ὑπὸ Ἀλεξάνδρου παραδόξων συνειλεγμένων, καὶ περὶ ὧν δὲ Κόνων συνέταξεν, οὐκ ὀλίγα προσέγραψε [79] · πλὴν ἔν τισι παραλλάσσει ταῖς ἱστορίαις, ἑτεροτρόπως αὐτὰ διεξιών. Τὴν δὲ φράσιν ἐστὶ [80] μὲν καὶ αὐτὸς κεφαλαιώδης, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀνακεχωρηκώς, μετέχων δέ πως καὶ τῶν προειρημένων μᾶλλον συστροφῆς τινος [81] καὶ δεινότητος. Λέγει δ' ἔνια μὲν πολλοῖς, εἰ καὶ ξενίζοντα εἴη, ὅμως ὁμολογούμενα, τινὰ δ' ἀγνοούμενα μέν, οὐ μὴν ἐκ τοῦ ἐμφανοῦς πρὸς μάχην τῷ πιθανῷ καθιστάμενα · ἔθη γὰρ ἐθνῶν ἰδιότροπα τὰ πολλὰ περιαγγέλλει · εὑρεῖν δ' ἔστιν ἐν αὐτοῖς καὶ τὸ ἀπίθανον προϊσχόμενα. Ὁ ἐκ Δαμασκοῦ δ' ἔστιν οὗτος, οἶμαι, Νικόλαος, ὁ ἐπὶ τῶν Αὐγούστου χρόνων ἀκμάσας καὶ φίλος αὐτῷ χρηματίσας· ἐξ οὗ καὶ πλακούντων τι εἶδος, ἃ διέπεμπε Καίσαρι, εἰς τιμὴν τοῦ δεξιουμένου [82] νικογάους ὁ Καῖσαρ ἐκάλεσεν. Οὗτος καὶ Ἀσσυριακὴν [83] Ἱστορίαν ἓν πολυστίχῳ βιβλίῳ, ὅσα παλαιὰν μνήμην [84] ἀναγνωσμάτων ἔχομεν, καταλέλοιπεν.

Ἐν ταὐτῷ δὲ τεύχει συνανεγνώσθη ἐν λόγοις δ' Ἀκεστορίδου Τῶν Κατὰ πόλιν Μυθικῶν [85]. Ἔοικε μὲν οὖν οὗτος ὁ ἀνὴρ οὐκ ὀλίγων εὐστοχώτερον τῇ ἐπιγραφῇ κεχρῆσθαι · ἃ γὰρ ἕτεροι ἢ οἵ γε μετριώτεροι μηδὲν ἐπισημηνάμενοι, ἢ ἔνιοι καὶ ὡς ἀληθῆ σπουδαιολογήσαντες [86] ἀνεγράψαντο, ταῦθ' οὗτος σὺν τῷ φιλαλήθει μύθους καλέσας τὴν περὶ αὐτῶν ἱστορίαν ἢ μυθολογίαν, ὡς καὶ αὐτὸς χαίρει λέγων, συνετάξατο. Πολλὰ μὲν οὖν ἔστιν ἐν τούτοις εὑρεῖν, ἅ τε συνείλεκται Κόνωνι, καὶ Ἀπολλόδωρος ἐν τῇ αὐτοῦ εἶπε Βιβλιοθήκῃ καὶ Ἀλέξανδρος ἤθροισε καὶ Νικόλαος προσεφώνησε καὶ Πρωταγόρας προδιέλαβεν· ἔστι δ' Ἀκεστορίδῃ τούτῳ καὶ πολλὰ μὲν τῶν ἐκείνοις ἀφειμένων ἀναγεγραμμένα, πλὴν καὶ ἐν πολλοῖς, περὶ ὧν οὗτός τε κἀκεῖνοι διεξέρχονται, ἀσύμβατον ἔστιν αὐτῶν θεάσασθαι τὴν ἀφήγησιν. Πολλὰ μὲν οὖν ὁ ἀνὴρ καὶ ἱστορίαις ἐπιδόξοις μαρτυρούμενα ἐν τοῖς αὐτοῦ λόγοις ἀναγράφει, ἔστι δ' ἃ καὶ ταῖς ἐναργείαις τὸ πιστὸν [87] ἐνδείκνυσθαι δεδυνημένα. Καὶ ἔοικε μᾶλλον τὸ μυθικὸν οὐκ ἐπὶ διαβολῇ τῶν συντεταγμένων αὐτῷ ἐπειρῆσθαι, ἀλλὰ τὸ χαρίεν καὶ ψυχαγωγὸν αὐτῶν ἐνδεικνυμένῳ, [472 R.] πλὴν ἀλλ' ἔμοιγε κριτῇ εὐγνώμονος ἂν ἀπενέγκοι [243 H.] δόξαν, ὅτι πολλὰ ψευδῆ τοῖς γεγενημένοις συναναγράφειν μέλλων ἀμφιβόλῳ ῥήματι τῆς ἐπιγραφῆς ἀφοσιοῦται τὴν μέμψιν. Παράπλησιος δὲ τὴν φράσιν καὶ οὗτος.

tem interdum in eadem inopinata, quæ ab Alexandro collecta fuerunt, ascriptis etiam non paucis ex Cononis (37) narrationibus. Attamen in quibusdam historiis, aliter instituta narratione, dissentit. Hujus quoque oratio **146***a* summis quasi capitibus absolvitur, nec a perspicuitate unquam discedit: adhibita interim frequentiore, quam prædicti, inversione ac gravitate. Refert item nonnulla, quæ licet sua novitate turbent, multis tamen in confesso sunt: et rursum incognita multa, sed quæ manifesto tamen cum veritate non pugnent. Gentium enim mores unicuique proprios, ut plurimum commemorat. Quanquam et in his reperias, quæ mox nullam mereri fidem indicent. Damascenus autem hic, uti ego existimo, Nicolaus ille est, qui Augusti temporibus floruit, eoque est usus familiari (37*). A quo (38) et placentarum genus nicolaos Cæsar nominabat, quas ideo ad hunc ille honoris gratia mittere solebat, quod parem sibi familiaritate reddidisset. Hic idem ingenti volumine Assyriam (39) Historiam, quantum potuit ex antiqua memoria legendo assequi, reliquit.

Eo ipso in codice legimus Acestoridæ *Politicarum Fabularum* (40) libros quatuor. Videtur autem hic scriptor majore solertia in libri sui titulo usus esse, quam plerique alii. Quæ enim cæteri in suis scriptis, partim moderatiores cum essent, ne indicarunt quidem, partim pro veris etiam venditare voluerunt, eadem hic veritatis studio Fabulas nominavit, et earum rerum historiam, seu mythologiam (quomodo libenter ipse appellat) composuit. Multa igitur in his reperias, quæ et Conon collegit, et Apollodorus in suam retulit Bibliothecam, congessitque Alexander, et Nicolaus (41) dedicavit, occupavitque Protagoras. Acestorides porro plurima quoque ab illis prælerita memoriæ mandavit; etsi in plerisque, quæ et hic et illi narrant, discrepantem videas ipsorum historiam. Plurima igitur hic scriptor, certis confirmata historiis, suos in libros retulit: et vero nonnulla, quæ evidenter ut plurimum demonstrari queant, ut fabularum vocabulum non tam ad calumnianda ejus scripta, quam ad eorum gratiam jucunditatemque indicandam additum esse videatur. At vero, me judice, æquus hic rerum æstimator haberi mereatur, quod falsa multa rebus vere gestis additurus, ambiguo tamen titulo reprehensioni satisfecerit. Ad stylum vero quod attinet, etiam hic similis est præcedentium.

VARIÆ LECTIONES.

[79] προσανέγραψε ς. [80] ἐστὶ add. A. [81] τινὸς A : τε ς. [82] ἐξισουμένου ς. [83] Ἀσυριακὴν A. [84] παλαιᾶς μνήμης — ἐχόμενα Scaliger. [85] Σκυθικῶν ς. [86] δικαιολογήσαντες ς. [87] πιστὸν A : πλεῖστον ς.

NOTÆ.

(37) De quo supra Cod. 187.

(37*) Ἑταῖρος habet Athenæus lib. XIV qui palmulæ misisse Nicolaum refert: ut et Plutarch. *Convival.* lib. VIII, cap. 4.

(38) Teste Hesychio illustri in *Nicolao*, et Suida, qui de hoc multa meminit; ejusdem non semel et Fl. Joseph.

(39) Monet Suidas, aliique ἱστορίας sed καθολικῆς, octogesimum explesse librum. Josephus vero etiam ad 124 nos ablegat.

(40) Pro Σκυθικῶν hic, cum mss. aliquot μυθικῶν lego: et infra cod. seq. lib. v. Ptolom. Hephæst. Antiochi cujusdam τὰ κατὰ πόλιν μυθικά laudata video.

(41) Herodi suo.

CXC

Ptolemæi Hephæstionis Novæ ad variam parandam eruditionem historiæ libri VI.

Legi Ptolemæi Hephæstionis (42) *Novæ ad variam parandam eruditionem* **146***b historiæ libros sex.* Operæ pretium sane hoc opus iis attulerit, qui in multijugæ lectione historiæ horas collocare sat-agunt. Brevi enim tempore ejusmodi collecta simul cognoscenda suppeditat, quæ nonnisi longo temporis intervallo quispiam per libros passim dispersa laboriose comportare possit. Continent autem prodigiosa multa, et falso conficta : quodque absurdum magis, quarumdam etiam fabellarum causas, ob quas vere evenisse putandæ sint, reddere conatur. Ipse tamen earum collector subinanis est, et in arrogantiam proclivis, neque satis urbanus ejus sermo. Dedicat suum opus Tertullæ cuidam ; quam non dominam solum nominat, sed eam insuper litteris variæque doctrinæ deditam prædicat. Nonnullos interim reprehendit eorum, qui ante se hoc argumentum non recte tractassent. Etsi pleraque ab ipso enarrata (illa maxime, quæ nec improbabilia sint, nec fide indigna) variam, et cognitu non ingratam scientiam suggerunt.

Primo igitur libro, Sophoclis mortem enarrat, præmissa etiam Protesilai. Dein quoque de Hercule scribit, ut igne vitam sibi abstulerit, quod arcum suum intendere non posset, annos jam natus quinquaginta. De Crœso servato in rogo : de Achillis interitu, de Laide meretrice ossis (43) olivæ haustu exstincta. Quæ ubi singulatim retulit, eadem non recte ab aliis antea fuisse tractata docet. Deinceps vero de Alexandro rege commemorat, dum Ephesi Palamedem (44) per dolum occisum in tabula spectaret, turbatum animo fuisse, quod illi per fraudem interempto similis esset Aristoneicus Alexandri in pilæ lusu socius. Tanta nimirum erat Alexandri animi mansuetudo, tantumque amicorum studium. Illud deinde apud Euphorionem (45) in Hyacintho ignoratum :

Solus Cocytus sua vulnera lavit Adonim (46) ;

hoc [ait] significat : Cocytus quidam nomine, Chironis in re medica discipulus, Adonim curavit ab apro sauciatum. Refert item illum, qui apud Herodotum, libro I *Historiarum*, ab Adrasto Gordii filio interfectus dicitur, Agathonem fuisse appellatum, et de coturnice quidem contendentem occubuisse. Cadmum quoque et Harmoniam in leones esse transformatos (47). Tiresiam ad hæc formam suam se-

Ρλ'.

Πτολεμαίου τοῦ Ἡφαιστίωνος Περὶ τῆς εἰς πολυμαθίαν καινῆς ἱστορίας λόγοι ς'.

Ἀνεγνώσθησαν Πτολεμαίου τοῦ Ἡφαιστίωνος Περὶ τῆς εἰς πολυμαθίαν [88] καινῆς ἱστορίας λόγοι ς'. Χρήσιμον ὡς ἀληθῶς τὸ βιβλίον τοῖς περὶ τὴν ἱστορικὴν πολυμαθίαν πονεῖν ὡρμημένοις · ἔχει γὰρ δοῦναι συνειλεγμένα [89] βραχεῖ χρόνῳ εἰδέναι, ἃ σποράδην τις τῶν βιβλίων ἀναλέγειν πόνον δεδεγμένος μακρὸν κατατρίψει βίον [90]. Ἔχει δὲ πολλὰ καὶ τερατώδη καὶ κακόπλαστα, καὶ τὸ ἀλογώτερον, ὅτι καὶ ἔνίων μυθαρίων αἰτίας, δι' ἃς ὑπέστησαν, ἀποδιδόναι πειρᾶται. Ὁ μέντοι τούτων συναγωγεὺς ὑπόκενός τέ ἐστι καὶ πρὸς ἀλαζονείαν ἐπτοημένος, καὶ οὐδ' ἀστεῖος τὴν λέξιν. Προσφωνεῖ δὲ τὸ σύνταγμα Τερτύλλᾳ τινί, ἣν καὶ δέσποιναν ἀνυμνεῖ καὶ τὸ φιλολόγον αὐτῇ καὶ πολυμαθὲς ἐπιφημίζει. Διαβάλλει δ' [91] ἐνίους καὶ τῶν πρὸ αὐτοῦ οὐχ ὑγιῶς ἐπιβαλόντας τῇ ὑποθέσει. Τά γε μὴν πλεῖστα τῶν ἱστορουμένων ὑπ' αὐτοῦ, καὶ ὅσα τοῦ ἀπιθάνου καὶ ἀπίστου καθαρεύει, παρηλλαγμένην ὅμως καὶ οὐκ ἄχαριν εἰδέναι τὴν μάθησιν ἐμπαρέχει.

Περιέχει μὲν οὖν τὸ α' βιβλίον περὶ Σοφοκλέους τῆς τελευτῆς, καὶ πρὸ αὐτοῦ περὶ τῆς Πρωτεσιλάου, εἶτα καὶ περὶ τῆς Ἡρακλέους, ὡς πυρὶ αὐτὸν ἀνεῖλε μὴ δυνηθεὶς τὸ οἰκεῖον ἐντεῖναι τόξον πεντηκοντούτης γενόμενος, περί τε τῆς Κροίσου ἐν τῇ πυρᾷ σωτηρίας, περί τε τῆς Ἀχιλλέως τελευτῆς, καὶ περὶ Λαΐδος τῆς ἑταίρας, ὡς τελευτήσοι ὀστοῦν ἐλαίας καταπιοῦσα. Τούτων ἕκαστον διεξιὼν ἀποφαίνεται τοὺς πρὸ αὐτοῦ ἐσφαλμένως τὰ περὶ τούτων ὑπολαβεῖν τε καὶ ἀναγράψαι. Ἐφεξῆς δὲ περὶ Ἀλεξάνδρου τοῦ βασιλέως φησὶν, ὡς ἐν Ἐφέσῳ θεασάμενος Παλαμήδην δολοφονούμενον ἐν πίνακι ἐθορυβήθη, διότι ἐψκει τῷ δολοφονουμένῳ Ἀριστόνεικος ὁ σφαιριστὴς Ἀλεξάνδρου ' τοιοῦτος γὰρ ἦν Ἀλέξανδρος τὸ ἦθος, ἐπιεικὴς καὶ φιλέταιρος. Εἶτα ὅτι τὸ παρ' Εὐφορίωνι ἐν Ὑακίνθῳ ἀπορούμενον,

Κωκυτὸς [92] μοῦνος ἀφ' ἕλκεα νίψεν Ἄδωνιν ·

τοιοῦτόν ἐστι · Κωκυτὸς ὄνομα, Χείρωνος ἐπὶ τῇ ἰατρικῇ μαθητὴς, ἐθεράπευσε [93] τὸν Ἄδωνιν ὑπό τοῦ συὸς τρωθέντα. Λέγει δ' ὅτι; ὁ παρ' Ἡροδότῳ ἐν τῇ πρώτῃ τῶν Ἱστοριῶν ὑπὸ Ἀδράστου τοῦ Γορδίου ἀνῃρημένος Ἄγαθων ἐκαλεῖτο, καὶ ἀναιρεθῆναι αὐτὸν περὶ ὄρτυγος φιλονεικοῦντα. Καὶ ὡς Κάδμος καὶ Ἁρμονία εἰς λέοντας μετεμορφώθησαν, καὶ ὡς Τειρεσίας ἑπτάκις μετεμορφώθη, διὰ τί τε ὑπὸ Κρητῶν

VARIÆ LECTIONES.

[88] πολυμάθειαν ς. [89] συνειλεγμένα post χρόνῳ ponit ς. [90] βίον A : χρόνον ς. [91] δ' om. A. [92] Κωκυτὸς] Κωκυτός τοι Scaliger. ἀφέλκεα A. cf. Meinek. de Euphorion. p. 92. [93] θεραπεῦσαι A.

NOTÆ.

(42) Suidas etiam χέννον agnominatum tradit. Lege apud eum plura : observa hic latissimum τοῖς φιλομύθοις ματαιόπονοις campum aperiri, dum e tot falsis mendaciores fabulæ procuduntur.

(43) Ut acino uvæ passæ Anacreon teste Plinio, lib. IX, cap. 7.

(44) De quo plurima Philost. *Heroic.* Suid. et Paus. *Phocie.*

(45) Ad Athenæo iste adductus non semel.

(46) Sic et Propert. Eleg. ult. lib. I, *mortuus interna vulnera lavit aqua.*

(47) In angues conversos fingit Ovid. *Metamorphos.* IV.

οὗτος Φόρβαντος κόρη ἐκαλεῖτο. Ὅτι Ἐρύμανθος ὁ παῖς Ἀπόλλωνος ἐτυφλώθη, διότι ἴδοι λουμένην [94] Ἀφροδίτην ἀπὸ τῆς Ἀδώνιδος μίξεως, καὶ Ἀπόλλων μηνίσας ἑαυτὸν εἰς σύαγρον μετεμόρφωσε, καὶ τοῖς ὀδοῦσι πλήξας ἀνεῖλε τὸν Ἄδωνιν. [473 R.] Διὰ τί [244 H.] ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς τῶν θεῶν διακόνους, καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον, καὶ περὶ Ὁμήρου καὶ πελειάδων. Ὅτι Ἐπίχαρμος ὁ ποιητὴς ἀπ' Ἀχιλλέως τοῦ Πηλέως εἵλκε τὸ γένος. Ὅτι Πάτροκλον ἐξόχως Ὅμηρος ἱππέα καλεῖ ὡς παρὰ [95] Ποσειδῶνος ἐραστοῦ γεγονότος μαθόντα τὴν ἡνιοχικήν. Ὅτι Ὀδυσσεύς, διότι ὦτα μεγάλα εἶχεν. Οὖτις πρότερον ἐκαλεῖτο· ὑετοῦ δέ φησι γινομένου μὴ ἀντισχοῦσαν τὴν μητέρα ἔγκυον οὖσαν κατὰ τὴν ὁδὸν τεκεῖν, καὶ τὸν Ὀδυσσέα διὰ τοῦτο οὕτως ὀνομασθῆναι. Ὅτι Περιτάνος [96] τις ὄνομα Ἀρκὰς Ἑλένην συνοῦσαν Ἀλεξάνδρῳ ἐν Ἀρκαδίᾳ [97] ἐμοίχευσεν, Ἀλέξανδρος δ' αὐτὸν ποινὴν τῆς μοιχείας εἰσπραττόμενος ἐξευνούχισε [98], καὶ ἐξ ἐκείνου Ἀρκάδες τοὺς εὐνούχους [99] περιτάνους λέγουσιν. Ὡς Ἀχιλλέα μὲν Ἀριστόνικος ὁ Ταραντῖνος διατρίβοντα ἐν ταῖς παρθένοις παρὰ Λυκομήδει Κερκυσέραν καλεῖσθαί φησιν, ἐκαλεῖτο δὲ καὶ Ἰσσὰν καὶ Πυρράν καὶ Ἄσπετος [1] καὶ Προμηθεύς. Ὅτι Βοτρύας ὁ Μύνδιος τοὺς [2] Νιόβης παῖδας πάντας ὑπὸ Ἀπόλλωνός φησιν ἀνῃρῆσθαι. Ὅτι Ὀδυσσεῖ ἕπεσθαι δίδωσιν ὁ πατὴρ μνήμονα [3] Μυΐσκον τοὔνομα, Κεφαλλῆνα. Εἵπετο καὶ Ἀχιλλεῖ μνήμων τοὔνομα Νοήμων, γένει Καρχηδόνιος, καὶ Πατρόκλῳ Εὔδωρος. Ἀντίπατρος δέ φησιν ὁ Ἀκάνθιος Δάρητα, πρὸ Ὁμήρου γράψαντα τὴν Ἰλιάδα, μνήμονα γενέσθαι Ἕκτορος ὑπὲρ τοῦ μὴ ἀνελεῖν ἑταῖρον Ἀχιλλέως. Καὶ Πρωτεσιλάου δέ φησι Δάρδανον γενέσθαι, γένος Θεσσαλόν. Καὶ Ἀντιλόχῳ δὲ Χάλκωνα ὑπασπιστὴν καὶ μνήμονα ὑπὸ Νέστορος συνεζεῦχθαι τοῦ πατρός. Ταῦτα μὲν ἐν τῇ α΄ βίβλῳ τὰ κεφάλαια.

Ἡ δὲ β' περὶ Ἡρακλέους, ὡς μετὰ [4] τὴν μανίαν ἐλλεβόρῳ καθαρθείη ὑπὸ Ἀντικυρέως τοῦ καὶ τὸ φάρμακον εὑρόντος τὸ ἐν Ἀντικύρᾳ τῆς Φωκίδος πλεονάζον, κἂν ἄλλοι ἄλλως αὐτόν φασι καθαρθῆναι. Ὅτι Νέστορά φασιν [5] ἐρώμενον Ἡρακλέους γενέσθαι. Ὅτι οὐ Φιλοκτήτης, φησίν, ἀλλὰ Μόρσιμος ὁ Τραπties mutasse (48), et cur apud Cretas ipse Phorbantis sit filia dictus. Erymanthum Apollinis filium excæcatum, quod post congressum cum Adonide lavantem **147***a* Venerem vidisset, et Apollinem indignatum, apri forma induta, dentibus vulneratum necasse Adonim. Quare poeta columbas (49) cibi deorum ministras fecerit, et quid Alexander rex, atque adeo Aristoteles super hac re censuerit: et de Homero ipso atque columbis. Epicharmum poetam ab Achille Pelei filio genus ducere. Patroclum per excellentiam Equitem ab Homero nominari (50), quasi a Neptuno aurigandi artem didicerit, cum illius hic amator fuit. Ulyssem, quod magnas aures haberet, Outin initio appellatum. At quia pluvia aliquando exorta, cum amplius partum gestare mater gravida non posset, in via pepererat, Odyssea inde esse nominatum. Arcas quidam Peritanus nomine Helenam apud Paridem in Arcadia agentem adulterarat: quare Paris adulterii pœnam irrogans, genitalia illi exsecuit. Unde factum, ut Arcades sic affectos atque exsectos περιτάνους vocent. Achillem Aristonicus Tarentinus cum virginibus apud Lycomedem versantem Cercyseram appellatum esse scribit. Issan quoque Pyrrham Aspetum, atque Promethea, Botryas item Myndius Niobes liberos omnes ab Apolline interemptos tradit. Ulyssi [ait] monitorem (51) parens addidit Myiscum nomine, ex insula Cephalenia. Sequebatur et Achillem monitor [Phœnix (52)] nomine, prudens, Calydonius (53) genere: ut et Patroclum Eudorus. Cæterum Antipater Acanthius refert Daretem (54), qui ante Homerum *Iliadem* conscripsit, monitorem fuisse Hectoris, auctoremque ne Achillis socium interimeret. Sic Protesilao docet Dardanum affuisse, origine Thessalum: et Antilocho Chalconem Armigerum simul, et monitorem a Nestore patre datum. Hæc primi libri capita.

Altero deinde libro de Hercule agit, ut a dementia elleboro sit liberatus ab Anticyreo, qui hoc remedium Anticyræ (55) Phocidis valde frequens primus reperit: etsi alii aliter purgatum memoriæ prodiderunt. A Nestore quoque Herculem adamatum narrat. Item non Philoctetem, sed Morsimum Tra-

VARIÆ LECTIONES.

[94] λουμένην pr. A : λουομένην ς. [95] ὡς παρὰ] libri ὥσπερ. [96] Περιτέτανος ς. [97] Ἀρκαδία corr. A : Ἀρκάδι ς. [98] ἐξευνούχισε A : τὰ παιδογόνα ἀπέτεμε ς. [99] εὐνούχους A : οὕτω παθόντας καὶ ἐκτετιμημένους ς. [1] Ἄσπετος] Plutarchi locum (Pyrrh or.) apponit Leichius p. x. [2] τοὺς A : τῆς ς. [3] μημόσυνα ς. Κεφαλῆνα ς. [4] κατὰ ς. [5] φησιν A. οὐ] ὁ A.

NOTÆ.

(48) Lege Eustath. ad *Odyss.* K.

(49) Ἠελειάδας. Vide Eustath. ad versum 639 *Odyss.* M.

(50) Vide Eustath. ad versum 63 *Odyss.* M.

(51) Μνήμονα. Pædagogorum id, sive potius consiliariorum intimorum genus, heroibus addi solitum maxime junioribus. Quales fere hodie gubernatores majoris potestatis significativos appellamus. Quomodo etiam dixit Stat.:

Indomiti Phœnix moderator alumni.

(Syl. v, Epiced. in patrem.)

Similem huic pædagogorum catalogum (in quo et Phœnix Achilli tributus) lege apud Clem. Alexan. lib. I *Pædagogi*, c. 8. Cf. Plutarch. in *Præcept. politiæ.*

(52) Ausus sum celebratissimum apud omnes nomen hic inserere: nihil dubitans quin τὸ νοήμων prudentissimi viri epitheton fuerit.

(53) Sic enim hic malo legere quam Καρχηδόνιος: etsi non ignorem, Scepsium apud Strab. lib. XII, *Thessal.* Ormenium Phœnicis patriam facere.

(54) Dares etiam quidam sacerdos Trojanus ab Homero laudatus *Iliad.* E. At quod in manibus jam de bello Trojano Poema, Dareti falso suppositum censent eruditi.

(55) Vide Proverbia.

chinium pyram Herculi incendisse. Herculem præterea, devorato a Nemeæo leone **147***b* digito uno, novem duntaxat digitos habuisse, exstareque tumulum digiti avulsi. Alii tamen pastinacæ (56) piscis aculeo digitum amissum ferunt. Leonem vero ex lapide Lacedæmone videre est digiti tumulo impositum, symbolum nimirum Herculei roboris. Unde mos inolevit in reliquorum quoque sepulcris, lapideos statuere leones. Verum alii aliter de leone in cippo monumentis imposito tradunt. Ex Herculis rogo magnam locustarum vim enatam, quæ regionem veluti peste vastavit, et quo modo ea lues exstincta fuerit. Ut Venus propter Adonidem, suum et Herculis amasium, Nessum Centaurum, quas Herculi insidias strueret, edocuerit. Ut Nireus, Symæus Herculis amasius, contra Heliconium leonem una pugnarit: quidam tamen Herculis filium Nirea faciunt. Quænam sint illæ apud poetam gratiæ, cum quibus Euphorbi crines componit (57). Herculem a natali Nilum fuisse appellatum asserit: at post servatam Junonem, interfectis qui illam invadebant Anonymo et Peripnoo gigantibus, exinde (quod bellum a Junone profligasset) nomen mutasse. Auderus Herculis amasius, cum de hujus rogo Theseo nuntiasset, ab eodem est interemptus. Dimidium Hydræ caput aureum fuisse, auctor est Aristonicus Tarentinus. Alexander vero Myndius refert, draconem terra genitum una cum Hercule pugnasse, adversus Nemeæum leonem: quem et enutritum (58) ab Hercule, Thebasque ductum in hujus tentorio mansisse, eumdemque illum esse, qui pullos (59) passeris cum devorasset, in lapidem conversus fuerit. Argo navem in Ossa Thessaliæ monte Hercules quidem exædificavit: nomen vero ipsi inditum ab Argo, Jasonis filio, qui ipsi in deliciis erat, propter quem etiam ille una cum Jasone ad Scythas adnavigavit. Junonem cum Geryone pugnantem ab Hercule vulnus accepisse secundum dexterum uber, et quæ inde consecuta sint. Curythus, genere Iberus atque Herculis amasius, galeam primus fabricavit. Hinc et his armis nomen id primum datum. Sepulcrum illud in Creta, quod Jovis appellatur, Olympi illius Cretensis esse, qui ereptum Saturno Jovem educavit, religionemque edocuit. Verum enim vero nutritorem doctoremque suum Jupiter fulmine, inquit, percussit, quod **148***a* gigantes regnum ejus invadere velle suspicaretur. At cum Jovem postea icti cadaver jam habentem facti pœnituisset, neque posset aliter dolorem lenire, suum saltem nomen

A χίνιος ὑφῆψεν Ἡρακλεῖ τὴν πυράν. Ὅτι Ἡρακλῆς ἀποβρωθέντος αὐτῷ [6] τῶν δακτύλων ἑνὸς ὑπὸ τοῦ Νεμεαίου λέοντος ἐννεαδάκτυλος γέγονε, καὶ ἔστι τάφος τοῦ ἐκκεκομμένου δακτύλου· οἱ δὲ κέντρῳ τρυγόνος ἀποβαλεῖν τὸν δάκτυλον ἔφασαν. Λέοντα δ' ἔστιν ἰδεῖν τῷ τοῦ δακτύλου τάφῳ ἐφεστῶτα λίθινον ἐν Λακεδαίμονι, σύμβολον τῆς τοῦ ἥρωος [7] ἀλκῆς. Ἐξ ἐκείνου δὲ καὶ τοῖς ἄλλων τάφοις λιθίνους ἐφιστῶσι [8] λέοντας. Ἄλλοι δ' ἄλλως περὶ τῆς τοῦ λέοντος ἀναστηλώσεώς φασιν. Ὡς ἐκ τῆς Ἡρακλέους πυρᾶς ἀκρίδων [9] πλῆθος ἀνήφθησαν καὶ λοιμοῦ δίκην τὴν χώραν ἐσίνοντο, καὶ ὡς ἀνῃρέθησαν. Ὡς Ἀφροδίτη δι' Ἄδωνιν τὸν αὐτῆς τε καὶ Ἡρακλέους ἐρώμενον Νέσσον τὸν Κένταυρον διδάξειε τὴν κατὰ

B Ἡρακλέους ἐνέδραν. Ὡς Νιρεὺς ὁ Συμαῖος Ἡρακλέους ἦν ἐρώμενος, [245 H.] καὶ συγκατειργάσατο τὸν Ἐλικώνιον λέοντα· οἱ δὲ υἱὸν Ἡρακλέους τὸν Νιρέα φασί. Τίνες αἱ παρὰ τῷ ποιητῇ χάριτες, αἷς παραβάλλει τὰς Εὐφόρβου κόμας. Ὅτι Νεῖλος ὁ Ἡρακλῆς ἀπὸ γενέσεώς φησιν [10] ἐκαλεῖτο, ἐπεὶ δ' Ἥραν ἔσωσεν ἐπερχόμενον αὐτῇ ἀνελὼν τὸν ἀνώνυμον καὶ πορίπνοον Γίγαντα, [476 R.] ἐκεῖθεν διὰ τὸ ἀπαλαλκεῖν [11] τῆς Ἥρας τὸν πόλεμον μετέβαλε τὴν κλῆσιν. Ὅτι Ἄβδηρος [12] ὁ Ἡρακλέους ἐρώμενος τὰ περὶ τῆς πυρᾶς αὐτοῦ Θησεῖ ἀναγγελλας ὑπ' αὐτοῦ ἀναιρεῖται. Ὅτι τὴν μέσην κεφαλὴν τῆς ὕδρας Ἀριστόνικός [13] φησιν ὁ Ταραντῖνος χρυσῆν εἶναι. Ὅτι Ἀλέξανδρος ὁ Μύνδιός φησι δράκοντα γηγενῆ συμμαχῆσαι Ἡρακλεῖ πρὸς τὸν Νεμεαῖον

C λέοντα, ὃν καὶ ἀνατραφῆναι ὑπὸ Ἡρακλέους, καὶ συνακολουθήσαντα αὐτῷ ἐς Θήβας ἐν αὐλιδι μεῖναι· καὶ τοῦτον εἶναι τὸν τοὺς νεοσσοὺς καταφαγόντα τῆς στρουθοῦ καὶ ἀπολιθωθέντα. Ὡς τὴν Ἀργὼ ἐν Ὄσσῃ τῆς Θεσσαλίας Ἡρακλῆς [14] μὲν κατασκευάζει, ὄνομα δ' αὐτῇ τίθησιν ἀπὸ Ἄργου τοῦ Ἰάσονος, ὃς ἦν ἐρώμενος αὐτῷ, δι' ὃν καὶ Ἰάσονι τὸν ἐπὶ Σκυθίας συνήρατο πλοῦν. Ὡς Ἥρα συμμαχοῦσα τῷ Γηρυόνῃ [15] τιτρώσκεται ὑφ' Ἡρακλέους κατὰ τὸν δεξιὸν μαζὸν, καὶ ὅσα ἐξ ἐκείνου τελεῖται. Ὡς Κόρυθος, Ἴβηρ τὸ γένος ὢν καὶ Ἡρακλέους ἐρώμενος, πρῶτος κόρυθα κατεσκεύασεν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν

D λαβεῖν φησι τὸ ὅπλον. Ὡς ὁ [16] ἐν Κρήτῃ τάφος λεγόμενος τοῦ Διὸς Ὀλύμπου τοῦ Κρητός ἐστιν, ὃς παρὰ τοῦ Κρόνου λαβὼν τὸν Δία ἔτρεφέ τε καὶ ἐπαίδευε τὰ θεῖα. Ἀλλὰ γὰρ βάλλει (φησιν) ὁ Ζεὺς τὸν τροφέα καὶ διδασκαλον κεραυνῷ, ὅτι δὴ τοὺς Γίγαντας αὐτοῦ τῇ βασιλείᾳ ἐπιθέσθαι ὑπετίθετο. Ἀλλὰ βαλὼν καὶ νεκρὸν ἔχων μετεμελεῖτο· μὴ ἔχων δ' ἄλλως τὸ πάθος ἐκκλῖναι, δίδωσι τὸ ἴδιον ὄνομα τῷ τάφῳ

VARIÆ LECTIONES.

[6] αὐτοῦ A. [7] ἥρωος A : Ἡρακλέους ς. [8] ἐφεστῶσι ς. [9] ἀκρίδος A. ἀνήφθησαν] imo ἀνέπτησαν. [10] φασιν ς. [11] ἀπαλαλκεῖν] παλαλκὴν A. [12] αὔδηρος ς. [13] Ἀριστύνεικος A. [14] Ἡρακλέως A. [15] Γηρυὸν: A. [16] ὁ add. A : λεγόμενος τάφος ς.

NOTÆ.

(56) De pastinacæ incurabili morsu, Ælian. variis locis, et alii multi.

(57) *Iliad.* P. vers. 51. De Euphorbo multa Philostr. *Heroic.*

(58) De χειρέχθει dracone Atacis Locrii legendus Philostratus *Heroic.* in Ajace Locr. De aliorum draconibus, alii. Heroibus enim sacros fuisse dracones a multis observatum.

(59) De quibus Homer. *Iliad.* B, v. 331 et seqq. Tu ibi Eustath. lege.

τοῦ ἀνῃρημένου. Τίνος [17] ἐστὶ τὸ ὑπ' Ἀλεξάνδρου τοῦ Φιλίππου εἰρημένον.

Πρωτέα, τῇ, πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα, κρέα.

Καὶ πάλιν [18] Πρωτέου, « Ποίαν ᾠδὴν εἶχεν ἐν συνηθείᾳ Ἀλέξανδρος ; » καὶ τίνος ἦν ποίημα εἰς τίνα ἔγραψεν ἐπικήδειον ὁ αὐτὸς Ἀλέξανδρος ὁ Φιλίππου. Ταῦτα καὶ τὰ τοῦ β' κεφάλαια βιβλίου.

Τὸ δὲ γ' περὶ τοῦ Ὕλλου τοῦ Ἡρακλέους υἱοῦ, ὡς κέρας εἶχε περὶ τὸ ἀριστερὸν μέρος τῆς κεφαλῆς ἐκπεφυκὸς μικρὸν, καὶ τοῦτο λάβοι ὁ Σικυώνιος Ἐπωπεύς, ἐκ μονομαχίας ἀνελὼν αὐτὸν, καὶ κομίσοι ἐν τῷ κέρατι τὸ Στυγὸς ὕδωρ, καὶ βασιλεύσοι τῆς χώρας. Ὅτι περὶ τοῦ ἐν Ἀρκαδίᾳ Στυγὸς ὕδατος οὕτω φασὶν, ὡς Δημήτηρ πενθοῦσα τὴν θυγατέρα, ἐπεὶ Ποσειδῶν αὐτὴν [19] ἐν κατηφείᾳ οὖσαν ἐπείρα, εἰς ἵππον ἑαυτὴν μετεμόρφωσε χαλεπήνασα, ἐλθοῦσα δ' ἐπὶ τὴν πηγὴν [20] καὶ θεασαμένη τὴν μορφὴν ἐστύγησέ τε καὶ τὸ ὕδωρ μέλαν ἐποίησε. Περὶ Ἐκάλης, καὶ πόσαις [21] γέγονεν ἐπώνυμον τοὔνομα. Ὅτι Ἀλεξάνδρου πατὴρ οὐχ ὁ Φίλιππος γένοιτο, ἀλλὰ τις τοὔνομα Δράκων, γένος Ἀρκὰς, ἐξ οὗ καὶ τὸν περὶ τοῦ δράκοντος μῦθον ῥυῆναι. Περὶ τοῦ Πτολεμαίου κυνὸς, καὶ ὡς συνεμάχει τῷ δεσπότῃ. [246 H.] καὶ ὡς μετὰ τελευτὴν [22] ἀνασχισθεὶς τὴν καρδίαν εὑρέθη ἔχων τετριχωμένην· ἦν δὲ [23] γένος Μολοττὸς, ὄνομα Βριάρεως· Περὶ Πουλυδάμαντος [24]. Τί ἐστι τὸ παρὰ τῷ ποιητῇ.

Ὡς δ' ὅτε Πανδαρέου [25] κούρη χλωρηΐς ἀηδών ;

καὶ ἑξῆς. Περὶ τοῦ Παλλαδίου, ὅτι δύο κλέψειαν Διομήδης καὶ Ὀδυσσεύς. Περὶ τοῦ καλάμου τοῦ εἰπόντος ὅτι Μίδας ὄνου ἔχει ὦτα. Περὶ τῶν παρὰ [26] Στησιχόρῳ ζητουμένων Ἀκεσταλίων ὀρνίθων. Περὶ τῆς παρὰ τὸν ὠκεανὸν Γιγωνίας πέτρας, καὶ ὅτι μόνῳ ἀσφοδελῷ κινεῖται, πρὸς πᾶσαν βίαν ἀμετακίνητος οὖσα. [477 R] Ὅτι Ῥόπαλος υἱὸς Ἡρακλέους ἦν, ὃς [27] ἐν ἡμέρᾳ μιᾷ καὶ ὡς ἥρωϊ τῷ πατρὶ ἐνήγισε καὶ ὡς θεῷ θύσειεν. Ὅτι Ἀμφιάραος ἐκλήθη, ἐπεὶ ἄμφω οἱ τῆς μητρὸς γονεῖς ἠράσαντο αὐτὴν ἄνευ τεκεῖν μόγου. Τίνος ἐστὶν ὁ ὕμνος ὁ ᾀδόμενος ἐν Θηβαίοις [28] εἰς Ἡρακλέα, ἐν ᾧ λέγει Διὸς καὶ Ἥρας υἱός. Ἔνθα περὶ τῶν κατὰ πόλεις τοὺς ὕμνους ποιησάντων, καὶ ὡς Φιλοστέφανος ὁ Μαντινεὺς ὁ ποιητὴς ἐκ γενετῆς ἱματίῳ οὐκ ἐχρήσατο, καὶ ὡς Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐσιτεῖτο. Καὶ ὡς Εὐπόμπου τοῦ Σαμίου, ὃς δράκοντα θηρίον τέρας ἔτρεφεν ἄπιστον καὶ εἰπεῖν καὶ ἀκοῦσαι, τούτου τοῦ Εὐπόμπου παῖδα Δράκοντα τοὔνομα ὀξυωπέστατον γενέσθαι

A interempti sepulcro indidit. Cujus sit hoc dictum ab Alexandro Philippi filio usurpatum :

Protea, cape, bibas vinum humana carne refectus (60).

Et rursum Proteæ : « Quali consuevit cantione uti Alexander ? » et « Cujus id fuit poema ? In quemnam epicedium idem ille Philippi filius Alexander conscripsit ? » Atque hæc secundi libri capita.

Tertio vero libro de Hyllo Herculis filio commemoral, cornu eum parvum ad lævam capitis partem adnatum habuisse, quod Epopeus Sicyonius, cum in pugna illum occidisset, acceperit, tuleritque in eo Stygis (61) aquam, et regnum oræ illius occupaverit. De Stygis aqua in Arcadia ita narrari, cum Cererem filiæ raptum lugentem eo ipso mœroris tempore Neptunus sollicitaret, in equam illa sese præ indignatione transformavit. Delata itaque ad fontem, ubi formam hanc suam conspexit, exhorruit, ipsamque aquam nigram reddidit. De Hecale (62), et quam multis illud nomen commune fuerit, Alexandri patrem non Philippum fuisse, sed Arcadem quemdam genere, cui Draconi nomen. Atque hinc illam de dracone fabulam manasse. De Ptolemæi cane, qui pro hero depugnarit, utque a morte sectus habere inventus sit cor pilis obsitum (63). Erat autem genere Molossus, Briarei nomine. De Polydamante. Quid sit apud poetam :

Ut cum Pandarei soboles Chloreis aedon (64) ?

et quæ sequuntur. De Palladio (65) a duobus, id est, Diomede et Ulysse, furto fuisse sublatum. De calamo (66) sic sonante : *Auriculas asini Midas habet.* De avibus Acestaliis apud Stesichorum quæsitis. De lapide Gigonio juxta oceanum, quodque solo asphodelo moveatur, cum vi nulla alia cieri aut moveri queat. Ropalum Herculis filium fuisse, et hunc una eademque die patri ut heroi parentasse, et ut deo sacrificasse. Amphiaraum sic appellatum, quod uterque matrts parens precatus sit, ut filiæ sine labore parere concederetur. Cujus sit hymnus, qui apud Thebanos in Herculis honorem canebatur, dicebatque ei : *Jovis ac Junonis fili ;* ibidemque de iis qui hymnos per singulas urbes cani solitos composuerunt. Philostephanum **148***b* vatem ac poetam jam inde a natali die veste nunquam esse usum. Matrim quoque Thebanum (67) hymnorum scriptorem per omnem vitam myrti baccis assidue victitasse. Eupompum Samium (qui, quod visu auditu que incredibile est, ferum admodum monstrum [id

VARIÆ LECTIONES.

[17] τίνος] fortasse legendum τί. [18] πάλιν] πολλάπερ A : ut cum Stephano legendum videatur πολλὰ περί. [19] αὐτὴν — οὖσαν ἐπείρα A : αὐτῆς οὔσης ἐπήρα ς. [20] πηγὴν mg. libri γῆν. [21] πόσαις] πόσις A, i. e. πόσοις. [22] μετὰ τὴν τελ. ς. [23] δὲ τὸ γ. . [24] Πολυδάμαντος ς. [25] Πανδαρέη ς. καὶ τὰ ἑξῆς ς. [26] παρὰ A : περὶ ς. [27] ὃς add. A. [28] malim Θήβαις.

NOTÆ.

(60) *Odyss.* IX, vers. 347.

(61) Quo vero vase teneri posset aqua stygia docuimus Vitis comparatis ad Olymp. 114, an. 1.

(62) Ovidius, lib. II. *De remed.* Hecalen feminam pauperem adducit. Suidæ ἡ ἡρωὶς ἡ παρὰ Καλλιμάχῳ, ἡ πρὸς ἑαυτὴν καλοῦσα, etc. Politiani *Miscellan.* cap. 24, lege.

(63) Vide inf. in excerptis ex lib. VII Hephæst.

(64) Hom. *Odyss.* T, v. 518.

(65) Vide supr. Conon. narrat. 34.

(66) Vide Ovid. *Metamorph.* XI ; Persii *Sat.* I ; et Scholiast. Aristoph. *in Plutum.*

(67) Athen. *Dipnosophist.* II, Atheniensem facit : is ergo videndus.

In eodem volumine lectus item est Nili monachi liber in centum (89) et quinquaginta tria capita divisus : quibus precandi formam vir ille divinus exposuit. Feruntur ejusdem et alia plurima lectu digna diversi argumenti opuscula (90), partim epistolæ, partim historiæ forma conscripta, quæ non operum tantum perfectionem insignem, sed in dicendo quoque facultatem ejus testantur. Verum etsi diffusus æque Diadochus non est, quæ tamen ab ipso conscripta sunt centum capita, nullam partem inferiore gradu collocantur, quam quæ modo retuli. Nam et dictio ita composita est, ut reprehendi nequeat, et sensus ex actionibus natam sapientiam præfert. Cæterum Marci librum cum utraque [quam dixi] forma præcedat, alicubi insuper sententiis antecellit. Dederit vero et illè ad finem cujusque capitis ansam iis qui incorrupte pronuntiant, quod sive accessione alicujus adulteratus, sive alias hallucinatione aliqua abreptus ista dixerit. Vellem enim, ne vere confirmare possem, opinionem saltem ejus damnatam fuisse.

Ἐν ταυτῷ δὲ τεύχει καὶ Νείλου μοναχοῦ λόγον [81] ἀνέγνων, τρισὶ καὶ ν' καὶ ρ' κεφαλαίοις διαιρούμενον [82]. Τὸν τῆς προσευχῆς δὲ ἐν τούτοις ὁ θεῖος ἀνὴρ ἀναπτύσσει τύπον. Πολλὰ δὲ καὶ ἄλλα αὐτοῦ ἀξιόλογα, ποικίλας ὑποθέσεις ὑποβαλλόμενα, εἴς τε τὸν ἐπιστολιμαῖον τρόπον καὶ εἰς τὸν [83] συγγραφικὸν ἀνηγμένα συντάγματα φέρεται, τήν τε κατὰ τὰ ἔργα τελειότητα καὶ τὴν ἐν λόγοις μαρτυρόμενα δύναμιν. Πλὴν εἰ καὶ μὴ πολύχους ὁμοίως ὁ Διάδοχος, ἀλλὰ τά γε ἀναγεγραμμένα αὐτῷ ἑκατὸν κεφάλαια οὐκ εἰς ἐλάττονα βαθμὸν ἐν οὐδετέρῳ μέρει τῶν εἰρημένων τίθησιν· ὅ τε γὰρ λόγος αὐτῷ εἰς τὸ ἀμώμητον σύγκειται, καὶ ὁ νοῦς τὴν ἀπὸ τῶν πράξεων σοφίαν προβάλλεται. Τοῦ μέντοι Μάρκου δι' ἑκατέρας προέχων ἰδέας, καὶ ἐνιαχοῦ ταῖς γνώμαις ἀντιφέρεται. Δοίη δ' ἂν καὶ αὐτὸς λαβὴν τοῖς ἀδεκάστως ἀκριβολογουμένοις κατὰ τὸ τέλος τοῦ ἑκατοστοῦ [84] κεφαλαίου, εἴτε παρενθήκη τινὸς νοθευόμενος, εἴτε ἄλλως τινὶ συναρπασθεὶς παραράματι [85]· τὸ γὰρ κατὰ δόξαν ἁλῶναι εὐξαίμην ἂν μὴ ἐπαληθεύειν.

Valde autem in iis, quæ paulo ante recensui,

Κρατεῖ δ' οὖν ἐν τοῖς πρὸ ὀλίγου εἰρημένοις πολλῷ

VARIÆ LECTIONES.

[79] ὡς add. A. [80] τῇ ἐμβατεύει διδασκαλίᾳ ς. [81] λόγος ἀνεγνώσθη ς· [82] διαιρούμενος ς. [83] τὸ ς. [84] ἑκατοστοῦ] ρ' A : ἑκάστου ς. [85] παρομάματι ταῦτ' εἴρηκε. τὸ ς.

NOTÆ.

(89) 148 duntaxat exhibent libri evulgati a P. Franc. Turriano.

(90) Ut, De nihil possidendo ; Περὶ προστασίας. De philosophia Christiana, de virtutibus et vitiis ; De comparatione vitæ monachorum qui in solitudine, et qui in civitate degunt ; De cæde SS. martyrum monachorum in monte Sina. Liber item Epistolarum, quæ in Italiæ bibliothecis exstant. Hec noster Turrianus recenset ad suum Nilum. Niceph. lib. XIV, cap. 54. addit ad Græcæ superstitionis sectatores, scripsisse, et ad Eulogium quemdam. At cum plures enumerentur Nili, forsitan non ejusdem sunt omnia.

καὶ Ἰωάννου τοῦ Καρπαθίου, ὃς ἐπιγραφὴν αὐτοῦ τῷ πονήματι δίδωσι· Πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς παρακλητικός. Ρ' δὲ καὶ οὗτος κεφαλαίοις περαιοῖ αὐτό [86].

ΣΒ'.

Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος εἰς τὸν Δανιὴλ ἑρμηνεία· καὶ λόγος περὶ Χριστοῦ καὶ Ἀντιχρίστου.

[525 R.] Ἀνεγνώσθη Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος ἑρμηνεία εἰς τὸν Δανιήλ. Κατὰ λέξιν μὲν οὐ ποιεῖται τὴν ἀνάπτυξιν, πλὴν τόν γε, ὡς ἔπος εἰπεῖν, οὐ παρατρέχει· πολλὰ μέντοι ἀρχαιοτρόπως καὶ οὐκ εἰς τὸ ὕστερον διηκριβωμένον καταλέγει. Ἀλλ' ἐκείνων οὐκ ἂν εἴη δίκαιος λόγον ὑπέχειν· τοὺς γὰρ ἀρχὴν θεωρίας καταβαλλομένους οὐ [87] δίκας ἀπαιτεῖν τῶν παρειμένων, ἀλλ' ἀγαπᾷν μάλιστα αὐτῆς τε τῆς ἐπιβολῆς καὶ ἐφ' ὅσον ἂν καταλήψεως τῶν διασκοπουμένων προχωροίη. Τὸ δὲ τὴν τοῦ Ἀντιχρίστου παρουσίαν, καθ' ἣν καὶ ἡ τοῦ αἰσθητοῦ κόσμου τοῦδε συντέλεια ἵσταται, μηδὲ τοῖς μαθηταῖς δεομένοις τοῦ Σωτῆρος ἀποκαλύψαντος, εἶτα αὐτῶν ταύτην πεντακοσίοις [271 II.] ἔτεσιν ἀπὸ Χριστοῦ ὑπαχθέντα περιγράψασθαι, ὡσανεὶ τῶν ἀπὸ πρώτης τοῦ κόσμου καταβολῆς ἑξακισχιλίων ἐτῶν συντελουμένων, καὶ τὴν διάλυσιν αὐτοῦ ἐφεστάναι, τοῦτο καὶ θερμοτέρας ἂν εἴη τοῦ προσήκοντος γνώμης, καὶ ἡ ἀπόφασις ἀνθρωπίνης ἀγνοίας, ἀλλ' οὐκ ἐπιπνοίας τῆς ἄνωθεν διελέγχει. Ἡ δὲ φράσις αὐτῷ τὸ σαφὲς ὅτι μάλιστα οἰκειουμένη πρέποι ἂν ἑρμηνείᾳ [88], εἰ καὶ τοὺς Ἀττικοὺς οὔ τι μάλα θεσμοὺς [89] δυσωπεῖται.

Συνανεγνώσθη αὐτοῦ καὶ ἕτερος λόγος περὶ Χριστοῦ καὶ Ἀντιχρίστου, ἐν ᾧ ἥ τε αὐτὴ τῶν λόγων ἰδέα διαπρέπει, καὶ τὸ τῶν νοημάτων ἁπλούστερόν τε καὶ ἀρχαιότροπον [90].

ΣΓ'.

Τοῦ μακαρίου Θεοδωρήτου ἐπισκόπου Κύρου ἑρμηνεία εἰς τὸν Δανιήλ.

Ἀνεγνώσθη τοῦ μακαρίου Θεοδωρήτου, ἐπισκόπου Κύρου, Ἑρμηνεία εἰς τὸν Δανιήλ. Μακρῷ μὲν οὗτος ὁ σοφὸς ἀνὴρ οὐχ Ἱππολύτου μόνον, ἀλλὰ καὶ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξει τε καὶ διακαθάρσει κρατεῖ· ἔστι δὲ τὴν φράσιν, εἴ τις ἄλλος, ἑρμηνείαις πρέπων, τῷ τε καθαρῷ καὶ εὐτρήμῳ τῶν ῥημάτων ἀνακαλύπτων τὰ συνεσκιασμένα, καὶ τῷ ἡδύνοντι, ἅτε δὴ διαγλυκαίνων [91], προθυμοτέρους πρὸς τὴν ἀνάγνωσιν παρασκευάζων, καὶ δὴ [92] καὶ τῷ πρὸς μηδεμίαν ἐκτροπὴν καὶ παρέκβασιν ἀποφέρεσθαι τοῦ προκειμένου κόρον τε ἀφαιρούμενος πάντα, καὶ τὴν μάθησιν τῶν ζητουμένων ἀσύγχυτόν τε καὶ ἀδιασκέδαστον καὶ εὐχερῆ τοῖς ἀναλεγομένοις αὐτοῦ [93] τὸν πόνον ἐμποιῶν. Καὶ ἡ λέξις δὲ αὐτῷ καὶ ἡ συνθήκη τῆς Ἀττικῆς εὐγενείας οὐ φεύγει τὰς γονάς, πλὴν εἴ τι περιεργότερον

A etiam antecellit Joannem (91) illum Carpathium, qui hunc operi suo titulum indidit : *Ad Indiæ monachos, quem postularant, Consolatorius.* Porro centum et hic capitibus librum suum absolvit.

CCII.

Beati Hippolyti episc. et mart. Interpretatio Danielis, et Homilia de Christo et Antichristo.

Legi Hippolyti (92) episcopi ac martyris *Interpretationem Danielis ;* quem etsi ad verbum non explicat, nullum tamen sensum, ut verum dicam, prætermittit. Pleraque porro veteri more, non ut postea fuere accuratius excussa, recenset, quanquam eorum ipsum reddere rationem æquum non est. Decet enim ab iis, qui principium scientiæ alicujus statuerunt, non reposcere rationem eorum quæ prætermiserunt : 164 (*a*) sed contentum esse potius conatu ipso, et iis quæ quatenus licuit, e considerandis assecuti sunt. Cæterum, quod Antichristi adventum (quando etiam mundi hujus aspectabilis interitus sequetur) quem ne discipulis quidem roganti bus manifestavit Christus, Hippolytus hic quingentesimo post Christum anno ascribere ausus sit, quasi a prima mundi constitutione sex millibus annorum tum decursis ejus interitus instaret, hoc sane calidioris quam par sit animi est. Verum hæc ejus assertio humanam ignorantiam potius, quam cœlestem aliquam inspirationem arguit. Genus ejus dicendi clarum in primis ac perspicuum, interpretem satis decet, etsi Atticas revera leges valde repudiat.

Legimus una ejusdem *Homiliam* (93) *de Christo et Antichristo :* in qua eadem dicendi forma servata, et sensuum simplicitas major est ac vetustas.

CCIII.

Theodoreti Cyrensis episc. Interpretatio Danielis.

Legimus Theodoreti episcopi Cyri *Interpretationem Danielis.* Vir sane doctus, non Hippolyto modo, verum etiam aliis multis propheticorum sermonum interpretatione atque explanatione longe antecellit. Dictio ejus commentationi (si cujusquam alius) aptissima. Nam et puris signantibusque verbis abdita quæque et obscura revelat, et jucunditate quadam quasi delinimento, suavique lepore ad sui lectionem invitat. Quin et ex eo quod ad ambages nullas digressionesque a proposito argumento recedat, satietatem non modo nullam affert, sed ea insuper, quæ in dubium vocantur, sine ulla vel confusione vel dissipatione facile, et commoda ratione lectores suos docet. Vocum item ejus delectus, atque ipsa compositio ab Atticæ elegantiæ origine non refugit, nisi quid forte curiosius illic occur-

VARIÆ LECTIONES.

[86] post αὐτό in versus vacui 7 1/2, in C 2 1/2. [87] οὐ] deest δεῖ. [88] ἑρμηνείᾳ — οὔτι A : ἑρμηνείας — ὄντι ς. [89] θερμοὺς ς. [90] ἀρχαιότροπον om. pr. C. [91] διαγλυκαίνοντι ς. [92] δὴ A : μὴν ς. [93] αὐτῆς A : αὐτοῦ ς.

NOTÆ.

(91) Hujus Περὶ *ἀσκήσεως* exstare feruntur in Italia, et bibliotheca Regia et Augustana.

(92) Vide B. Hieronym. in *Catal.* cap. 61.

(95) Ea Græce et Latine typis vulgata exstat.

rat, quod quis multorum auribus insolitum dicat. Hoc constat, nihil eum, quod ad interpretandum faciat, declinare, adeoque in summum evasisse optimorum interpretum culmen, ut non facile sis aliquem reperturus, qui illo melius obscura explicet. Sunt quidem et alii pure loquentes, qui propositarum sibi rerum sensum haud segniter investigent : at simul et perspicue dicere, et nihil interim cognitu necessarium (vel brevitatis causa) prætermittere ; non item ad diverticula, vel ad doctrinæ ostentationem digredi (nisi hæc forsitan, non sine utilitate, sic adhibeantur, ut percipi nequeat, quod a re proposita discedatur), **164** (*b*) hoc certe præ cæteris rebus omnibus a bono Theodoreto studiose curatum est, non in hoc solum opere, sed fere dixerim in omnibus ejus scriptis, quæ multa sane reliquit, quibus sacram Scripturam industria sua mirifice illustravit. Igitur in aliquibus quidem illi in hac divini Danielis expositione cum Hippolyto martyre convenit, sed plura in quibus dissentit : quorum hæc illustriora sunt*** (94).

A

B

CCIV.

Ejusdem Octateuchi expositio, et In libros Regum ac Paralipomena.

Legi ejusdem divini viri explanationem Octateuchi, quæ inscriptionem certe operi egregie congruentem nacta est, *In impedita sacræ Scripturæ loca* (95) ; in quibus et ad libros Regum ac Paralipomena. Utilissimum in primus hoc opus, quodque cum ipsis quasi naturalibus parentis mox genium lectorum oculis subjiciat. Præterquam autem quod hic consueta ipsi dicendi forma egregie eluceat : habet quoque (si ad majorem perspicuitatem et comprehendendi facilitatem respicias) cum aliud quoddam commodum, tum quod in summa veluti capita per quæstiones solutionesque liber distinctus sit.

C

CCV.

Idem in XII *Prophetas.*

Legimus ejusdem *in duodecim prophetas* eadem dictionis ac sententiæ venustate adornatum librum.

CCVI.

Procopii sophistæ Scholæ commentariorum in Octateuchum, et in libros Regum ac Paralipomena.

D

Lectæ sunt Procopii sophistæ *Scholæ commentariorum in Octateuchum Veteris Testamenti, et in Regna ac Paralipomena.* Diffusus autem est interpres hic atque prolixus : non quidem propterea, quod id supervacaneas, quæque ad rem nihil perti-

αὐτῆς ἐστι καὶ τῆς ὡς φάναι πολλῶν ἀκοῆς ἀνακεχωρηκός · τοῦτο δὲ, ὅτι μηδὲ προσῆκον ἑρμηνείᾳ, ἀποκλίνει. Καὶ ὅλως [94] εἰς τὸ ἄριστόν ἐστι τῶν ἐξηγητῶν καὶ οὐκ ἔχον [95] ῥᾳδίως τὸν ἄμεινον διασαφοῦντα ἀνηγμένος. Ἔστι μὲν γὰρ καὶ ἄλλοις τὸ καθαρῶς εἰπεῖν καὶ ἀνιχνεῦσαι τὸν νοῦν τῶν θεωρουμένων · τὸ δ' ἅμα τε σαφῶς εἰπεῖν καὶ μηδὲν τῶν ἀναγκαίων ἐν τῷ συντόμῳ παραλιπεῖν, μηδὲ πρὸς ἐκδρομὰς ἢ ἐπιδεικτικὰς σοφίας [96], ἢ ἄλλως μὲν οὐκ ἀχρήστους, παρασυρούσας [97] δὲ τοῦ προκειμένου, μὴ ἀπιδεῖν, εἴ τινι ἄλλῳ [98], καὶ τῷ χρηστῷ Θεοδωρήτῳ ἔνεστι διεσπουδασμένον, οὐκ ἐν ταύτῃ μόνον τῇ πραγματείᾳ, ἀλλά γε [99] μικροῦ δέω φάναι καὶ ἐν πάσαις — πολλαὶ δὲ αὗται — ἐν αἷς τῶν ἱερῶν Γραμμάτων αὐτῷ ἡ διασάφησις φιλοπονεῖται. Ἔστι μὲν οὖν ἐν τῇ περὶ τὸν θεσπέσιον Δανιὴλ ἀναπτύξει κατ' ἔνια τῷ μάρτυρι συμφερόμενος Ἱππολύτῳ · πλείω δὲ πρὸς ἃ φέρεται τὴν ἑτέραν, ὧν τὰ ἐπιφανέστερα ταῦτα [1].

[826 R.] ΣΔ'.

Τοῦ αὐτοῦ εἰς τὴν Ὀκτάτευχον, καὶ τὰς Βασιλείας, καὶ τὰ Παραλειπόμενα.

Ἀνεγνώσθη [2] τοῦ αὐτοῦ μακαρίου [3] ἀνδρὸς ἐξηγήσεις [4] εἰς τὴν Ὀκτάτευχον. Ἐπιγραφὴν δ' ἔλαχε [5] συμβαίνουσαν τῷ ἔργῳ · Εἰς τὰ ἄπορα γὰρ χρηματίζει τῆς Γραφῆς (95) ἐν οἷς ἐστι καὶ εἰς τὰ τῶν Βασιλειῶν καὶ εἰς τὰ Παραλειπόμενα. Χρήσιμον δ' ἐς τὰ μάλιστα τὸ βιβλίον, καὶ αὐταῖς γοναῖς τοῖς ἐντυγχάνουσι τὸ γνήσιον ἐπιδεικνύμενον αὐτίκα τοῦ γεγεννηκότος. Τῆς δὲ συνήθους αὐτῷ ἰδέας διαπρεπούσης, ἔγει τι πρὸς τὸ σαφέστερον ὁρᾶν καὶ εὐκατάληπτον καὶ ἕτερον πλεονέκτημα, καὶ τὸ ὡς ἐν κεφαλαίῳ κατὰ τὸ ἀπορούμενον καὶ ἐπιλυόμενον τὸ βιβλίον διατετυπῶσθαι.

ΣΕ'.

Τοῦ αὐτοῦ Εἰς τοὺς δώδεκα προφήτας.

[272 H.] Ἀνεγνώσθη τοῦ αὐτοῦ Εἰς τοὺς ιβ' προφήτας ἐν τῇ αὐτῇ τῶν λόγων καλλονῇ καὶ τῆς διανοίας διεσκευασμένον [6].

ΣΣ'.

Προκοπίου σοφιστοῦ εἰς τὴν Ὀκτάτευχον, καὶ τὰ τῶν Βασιλειῶν καὶ τὰ Παραλειπόμενα ἐξηγητικαὶ σχολαί.

Ἀνεγνώσθησαν Προκοπίου σοφιστοῦ Ἐξηγητικαὶ σχολαὶ εἴς τε τὴν Ὀκτάτευχον τῶν Παλαιῶν Γραμμάτων καὶ εἰς τὰς Βασιλείας καὶ δὴ καὶ τὰ Παραλειπόμενα. Πολύχους μὲν οὗτος καὶ πολύστιχος ὁ ἐξηγητὴς, πλὴν οὐκ εἰς περιττάς τινας καὶ ἐξ-

VARIÆ LECTIONES.

[94] ὅλος Σ. [95] libri ἔχων. [96] σοφίας χώρειν ἢ — ἀχρήστους ποιεῖν παρ. Σ [97] παρασύροντας A, παρασύροντα Σ. [98] τι ἄλλο. ἐσπουδασμένον Σ. [99] γε add. A. [1] post ταῦτα versus vacui in A et sinistræ columnæ 34 1/2 : et dextræ omnes (i. e. 38) in C. 4. [2] ἀνέγνω A. [3] μακαρίου A : θεσπεσίου Σ. [4] ἐξηγήσεις A. [5] ἔλαχεν οὐ συμβ. Fabricius. [6] διεσκευασμένον βιβλίον Σ.

NOTÆ.

(94) Desiderari hic ea, argumento est vacuum in quibusdam codicibus relictum spatium.

(95) Εἰς τὰ ἄπορα τῆς Γραφῆς. Addunt editi libri κατ' ἐκλογήν. Unde interpretes fecerunt : *De selectis Scripturæ sacræ quæstionibus ambiguis.* Quæ autem hoc loco, e cod. Bavar. descripta, exhibentur in Notis exemplaris Græci, eadem et plura vidit atque convertit olim Gent. Hervetus.

αγωνίους ἀποδιατρίβων παρεκδρομὰς, ἀλλὰ τῷ διαφορὰς δοξῶν περὶ τῆς αὐτῆς ὑποθέσεως ἀναγράφειν [7] πολλάκις. Τοῦτο δὲ καὶ προοιμιάζεται εἰς ὄγκον αὐτῷ διαπλαττόμενον, καὶ μάλιστα πρὸς τὴν Θεοδωρήτου σύνοψίν τε καὶ φιλοκαλίαν τὸ σύνταγμα αἴρεται. Καὶ εἴη ἂν οἰκειότατόν τε καὶ χρειωδέστατον, εἰ μετὰ τὴν ἐν ἐκείνοις τριβὴν ἡ περὶ ταῦτα τοῦ ἀνδρὸς τὰ σπουδάσματα σχολὴ διαδέχοιτο. Καὶ ἡ φράσις δὲ αὐτῷ ἐς τὸ ἄριστον ἦσκηται, εἰ καὶ τῆς [8] ἐξηγητικῆς διατυπώσεως ἔχει τι καὶ κομψότερον.

ΣΖ'.

Τοῦ αὐτοῦ Εἰς τὸν Ἡσαΐαν.

Ἀνεγνώσθη τοῦ αὐτοῦ φιλοπόνου ἀνδρὸς Εἰς τὸν προφήτην Ἡσαΐαν, τήν τε ὁμοίαν τοῖς προειρημένοις διάθεσιν φυλαττόμενον, καὶ τὴν αὐτὴν τῶν λόγων ἐπιδεικνύμενον δύναμιν, καὶ δῆλον ὅτι καὶ τὸ λυσιτελοῦν παραπλήσιον [9].

ΣΗ'.

Εὐλογίου ἀρχιεπισκόπου Ἀλεξανδρείας κατὰ Ναυατιανῶν λόγοι ε'.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις Εὐλογίου ἀρχιεπισκόπου Ἀλεξανδρείας Κατὰ Ναυατιανῶν, ἐν λόγοις ε'. Τούτῳ τῷ ἀνδρὶ ὄνομα μὲν [529 R.] λιπεῖν ἐπὶ δεξιότητι λόγων οὐδ' ὁτιοῦν προσεμέλησε, τὰ δὲ Ναυάτου σοφισματιώδη προβλήματά τε καὶ δελεάσματα διελέγξαι καὶ αἰσχῦναι οὐδὲν τὸ ἀπαράσκευον τῆς κατὰ τοὺς λόγους μελέτης ἐμποδὼν ἔστη· τοῖς γὰρ Γραφικοῖς πλουτῶν νοήμασί τε καὶ θεωρίαις, ὅτα ἐκεῖνος ἀποσπαράσσων τῆς ἰδίας αἱρέσεως πρόβλημα καὶ συνηγορίαν ἐποιεῖτο, ταῦτα αὐτὸς ἀναπτύσσων, καὶ τὸ περὶ αὐτὰ κακοῦργον τῆς αἱρέσεως ἐπιδεικνὺς, ἀφαιρεῖται αὐτοῦ· οὐ μὴν ἀλλὰ καὶ ἑτέροις τῶν Γραφῶν ῥήμασι τὸ ἀπονενοημένον αὐτοῦ καὶ ἀσύγγνωστον καὶ ἀλλόφυλον τῆς αἱρέσεως στηλιτεύει. Ἐν δὲ τῷ τελευταίῳ τῶν λόγων καὶ τὸ νόθον καὶ κακόπλαστον, ὃ εἰς Ναυάτον ἀναφέρουσιν οἱ αὐτοῦ σπουδασταὶ, μαρτύριον διελέγχει. Ἔστι μὲν οὖν καὶ αὐτὸ τοῦτο ὁ κατὰ Ναυάτου ἔλεγχος τὸ χρήσιμον ἔχων, πλὴν καὶ Γραφικῶν οὐκ ὀλίγων ἐνθεωρεῖται τούτοις πολλαχοῦ τοῖς ἀξιολογωτάτοις τῶν ἐξηγητῶν συμφερομένη ἑρμηνεία. Ἀλλὰ καὶ τὸ πιθανόν τε καὶ ἡδὺ ὡς ἐν τοιούτῳ λόγων χαρακτῆρι οὐκ ἄν τις ἀγασθεὶς μεταγνοίη.

ΣΘ'.

Δίωνος Λόγοι π'.

Ἀνεγνώσθη Δίωνος βιβλίον ἐν Λόγοις π'. Οὗτος ἔστι μὲν τὴν πατρίδα Προυσαεὺς, φυγὰς δ' ἐγεγόνει

A neant egressiones divertat, sed quod opinionum eadem de re diversitates sæpenumero commemoret. Et vero etiam præfatur hoc a se opus magnam in molem esse aggestum : quod item maxime ad Theodoreti brevitatem venustatemque assurgit : ut aptissimum illud plane sit, atque utilissimum, si post illum lectum, ad hujus etiam viri labores legendos otium contingat. Dictio ab eo est optime quidem exculta, sed comptior aliquanto, quam commentarii rudiorem formam deceat.

CCVII.

Idem in Isaiam prophetam.

Legimus ejusdem perstudiosi hominis (96) *In Isaiam prophetam* opus : quod similem suprascriptis servat commentandi rationem, eamdemque dicendi B vim præfert, pari cum lectoris (ut constat) utilitate.

165*a* CCVII.

Eulogii Alexandrini archiepisc. Contra Navationos libri v.

Legi B. Eulogii archiepiscopi Alexandrini *Adversus Navationos* (97) libros quinque. Qui etsi scriptor dicendi elegantia nomen sibi quærere nullo modo curarit, nihiltamen, quo minus Navati sophismatum plenæ assertiones captionesque refellantur, atque ignominia notentur, sermonis neglecti incuria impedimento fuerit. Sacræ enim Scripturæ commentationibus ac contemplationibus abunde instructus, quæ hinc ad suam hæresim asserendam atque propugnandam ille discerpserat, eadem hic interpretando, et una hæresis in iis fraudes detegendo. C Navato eripit ac tollit. Quanquam et aliis Scripturarum locis, ipsius venia indignam amentiam, ac peregrinam hæresim, velut cippo eam inscribendo, divulgat. Extremo (98) denique libro falsum illud et improbe confictum, quod Navato ejus studiosi attribuunt, martyrium exagitat. Est igitur hæc Navati confutatio legentibus utilis : præterquam quod hic non paucorum Scripturæ (99) locorum passim sese offerat explicatio, ipsis etiam interpretum principibus profutura (1). Sed et illius persuadendi vim ac jucunditatem, ut in hoc charactere, nemo qui eum veneretur, contemnendam ducat.

D

CCIX.

Dionis Chrysostomi Orationes LXXX.

Lectus est Dionis (2) *orationum* octoginta liber (3). Patria hic fuit Prusensis, sed tyrannidis (4) dum

VARIÆ LECTIONES.

[7] ὑπογράφειν Ϛ. [8] τῆς om. A. [9] post παρπλήσιον unus in A versus vacuus.

NOTÆ.

(96) Quod cum Latina sua insigni interpretatione, et sacri prophetæ textu edidit Parisiis doctiss. Joan. Curterius. an. 1580.

(97) De iisdem pluribus supr. cod. 182.

(98) Qui sextus numeratur cod. 182 iterumque, cod. 280.

(99) Quæ excerpta leges cod. 230.

(1) Eadem plane χρῖσι etiam supra codice 182.

(2) De quo lege interpretis Latini præfationem et Suidam.

(3) Quæ hodie omnes exstant Parisiis nuperrime cum Notis Græce et Latine editæ.

(4) A cujus mentione orat., 15 quam de exsilio Athenis habuit, inchoatam videas.

fugit servitutem, exsul factus, varias oberrando peragravit regiones. Idem in dicendi arte acutus ac solers est habitus, præsertim si de componendis moribus dandum esset consilium. Viguit Trajano Romæ imperante, cum quo diu multumque vixit, et in ea existimatione atque honore, ut et cum Augusto communi interdum carpento veheretur. Patrem habuit Pasicratem, rhetor ipse instituto atque philosophus. Tantam autem morum severitatem affectasse feruut, ut **165** (*b*) leonina sæpe indutus pelle in publicum prodiret. Vocem mittebat placidam et firmam, incessus minime quidem incitatus, sed non ideo segnis aut fractus, a quo nec reliqui corporis motus discrepabant. Gracilis adhæc erat, et corpore haudquaquam vasto.

Orationes conscripsisse plurimas referunt, quarum octoginta in meas inciderunt manus : quæ quidem orationes Chrysostomi [hoc est *aurei oris*] cognomentum illi apud ejus ætatis homines pepererunt. Cæterum pleræque, ut dicebam, orationum ejus quas quidem noverim, suasoriæ. Sed quando æquum est deliberativo generi quiddam etiam judiciale permisceri, parem ipse virtutem in hoc quoque orationis genere ostendit : et inter omnes quidem maxime *Rhodiaca*. Nam et acrius enthymematis instat, et brevem atque contortam orationem (quod saltem ad characterem) adhibet, et vehementia cum ubertate abundat. Exemplis insuper maxime præstat, quæ ubique multa e variis petita rebus, aptissime ad propositum argumentum accommodat. Libentissime quoque fabulosas narrationes aliquas monitionibus intexit, ut eam etiam ob rem simplex dicendi genus consectatus videri possit. Rarius enim Platonis exemplo ejusmodi cum fabulas afferentem videas, quæ (ut in Borysthenica) elationem aliquam granditatemque orationi addant. Simplici igitur idea plurimum est usus (ut paulo ante diximus) in sensibus, vocabulis item familiaribus, et passim obviis, nihilque compositio habet aut sublimitatis ostentandæ, aut captandæ jucunditatis gratia innovatum. Et vero, in verbis saltem, nominumque conjunctione, perspicuum dicendi genus scriptorem hunc propositum habuisse existimes : sed dum longius sententiæ redditionem producit, digressionibusque ut plurimum orationem intertexit, non parum ab hoc instituto deflectit. Quanquam hæc quidem varietas quædam ideæ, characteris proprietas, non pro vitii indicio haberi forsitan possint. At quod exordia, aut quæ exordiorum instar sunt, longissime producat, id jam palam facit, et eum nequaquam familiarium congressibus accommodatam dicendi formam pro civili et historica usurpare, et majus quasi caput, quam reliquum sit orationis corpus, effingere.

Orationum igitur ejus quatuor priores, de regno

A ταύτης [10] τυραννίδος ἐκκλίνων δουλείαν, καὶ πολλὴν ἐπῆλθε πλανώμενος γῆν. Δεξιὸς δὲ περὶ τοὺς λόγους ἔδοξεν εἶναι, καὶ μάλιστα τοὺς ὅσοι ῥυθμίζειν συμβούλεύουσι τὰ ἤθη. Ἤκμασε δὲ κατὰ τοὺς χρόνους τοῦ βασιλέως Τραϊανοῦ, καὶ πλεῖστον διέτριψε χρόνον παρ' αὐτῷ, καὶ τῆς ὅτι μάλιστα τιμῆς καὶ δεξιώσεως ἔτυχεν, ὡς καὶ συγκαθέζεσθαι αὐτὸν τῷ [273 H.] βασιλείῳ ὀχήματι. Ἦν μὲν οὖν [11] οὗτος Πασικράτους, σοφιστὴς δὲ καὶ φιλόσοφος τὸ ἐπιτήδευμα. Ἐπὶ τοσοῦτον δ' αὐτὸν τῆς κατὰ τὸ σχῆμά φασι σεμνότητος ἀντιποιεῖσθαι, ὡς καὶ λεοντῆν πολλάκις ἐνημμένον ποιεῖσθαι τὴν πρόοδον. Φωνὴν δ' ἠρεμαίαν ἠφίει καὶ σταθεράν. Καὶ σχολαῖον μὲν ἀλλ' οὐκ ἀναβεβλημένον

B βάδισμα, καὶ τἄλλα [12] τῶν κινημάτων οὐκ ἀσύμφωνα · ἰσχνὸς δ' [13] ἦν καὶ οὐδὲ μέγας τὸ σῶμα.

Τοῦτον πολλοὺς φασι καὶ ποικίλους γράψαι λόγους · οἱ δ' εἰς ἡμετέραν φθάσαντες γνῶσιν τὸν π' ἐπλήρουν ἀριθμόν. Χρυσόστομον δ' αὐτὸν οἱ λόγοι τῇ κατ' αὐτὸν γενεᾷ δεδώκασιν ἐπονομάζειν. Ἔστι μὲν οὖν, ὅπερ ἔφην, τὸ πλεῖστον αὐτοῦ τῶν λόγων, οὓς ἡμεῖς ἴσμεν, συμβουλευτικόν · οἷα δ' εἰκὸς, καὶ τῷ συμβουλευτικῷ παραπλεκόμενον τὸ οἷον δικανικὸν παραπλήσιον τὴν ἀρετὴν κἀν τῷ μέρει τῷδε τοῦ λόγου δεικνύει, καὶ μάλιστα τῶν ἄλλων ὁ Ῥοδιακός. Ἀριμός τε γάρ ἐστι τοῖς ἐνθυμήμασι, καὶ τὸ συνεστραμμένον πρός γε τὸν αὐτοῦ χαρακτῆρα τῶν λόγων ἔχων, καὶ τὸ ἔντονον μετὰ τοῦ γονίμου πλουτῶν. Ἄριστος δὲ τοῖς παραδείγμασι καὶ πολύς ἐστι πανταχοῦ, καὶ ποικίλης ὕλης λαμβάνων αὐτὰ καὶ

C προσφυῶς ἁρμοζόμενος. Χαίρει δὲ μάλιστα καὶ μυθολογήμασι τὰς παραινέσεις συνδιαπλέκειν, διὸ καὶ τὸ ἀφελὲς διώκειν δοκεῖ · σπάνιον γὰρ εἴ τις εὕροι κατὰ τὸν Πλατωνικὸν ζῆλον τοῖς δίαρμα καὶ ὄγκον ἐνεργαζομένοις τῷ λόγῳ, ὥσπερ ἐν τῷ Βορυσθενικῷ, μύθοις αὐτὸν ἀποχρώμενον. [532 R.] Ἀφελὴς μὲν οὖν ἐστι τὰ πολλὰ, ὡς ἔφθην [14] εἰπὼν, ταῖς ἐννοίαις, καὶ τῶν τε καθωμιλημένων αὐτῷ καὶ ἐπιπολαζουσῶν αἱ λέξεις, καὶ οὐδὲν οὐδ' ἡ σύνταξις οὐδ' ἐπὶ τὸ βαθύτερον οὐδὲ τὸ καθηδυνόμενον ἐκνεωτερίζει. Καὶ τό γε ἐπὶ τοῖς ῥήμασι καὶ τῇ συμπλοκῇ τῶν ὀνομάτων τοῦ σαφοῦς ἄν τις ἐλπίσειε τὸν συγγραφέα κατεστοχάσθαι · ἀλλὰ τό γε διὰ μακροῦ τὴν τῆς διανοίας ἀπόδοσιν προϊέναι, καὶ ταῖς ἐπιβολαῖς ἐκ τοῦ

D ἐπὶ πλεῖστον τὸν λόγον διαπεπλέχθαι, οὐκ ἐπὶ μικρῷ τῆς τοιαύτης αὐτὸν ἐκκλείει ἰδέας. Ἀλλὰ ταῦτα μὲν παραλλαγὴ [15] ἰδέας καὶ χαρακτῆρος ἰδίωμα, ἀλλ' οὐκ αἰτίας ἴσως ἔνδειξιν ἔχει [16] · τὸ δ' ἐπὶ μακρότατον ἀποτείνειν τὰ προοίμια ἢ τὰ οἷον προοίμια οὐκέτι ἀφίησιν αὐτὸν τὸ μὴ οὐχὶ ἀντὶ [17] πολιτικοῦ καὶ συγγραφικοῦ τύπου τὸν ἐπὶ ταῖς συνουσίαις ἀλλάξασθαι παραδεδυκότα, καὶ μείζω τὴν κεφαλὴν τὴν ὡς ἐν λόγῳ [18] τοῦ λοιποῦ σώματος διαπλάττειν.

Τῶν τοίνυν λόγων αὐτοῦ δ' περὶ βασιλείας μὲν

VARIÆ LECTIONES.

[10] ταύτης A : τὴν τῆς ς. [11] ἦν] ἦν οὖν A. [12] τἄλλα A : τὰ λοιπὰ δὲ ς. [13] δ' A. : τε ς. [14] ἔφην A. [15] παραλλαγῆς A. [16] ἔξει ς. [17] ἀντὶ οὐχὶ ς. [18] ἐν τῷ λόγῳ ς.

εἰσιν εἰρημένοι · καὶ ὁ Ε' δὲ, Λιβυκὸς ἐπιγραφόμενος, μῦθον μὲν Λίβυν ἀπαγγέλλει, ἐκείνων δ' ἐστὶν ἐξημμένος. Ὁ δ' ἕκτος [19] περὶ τυραννίδος δίεισι, καὶ περὶ ἀρετῆς ὁ ἐπὶ τούτῳ. Ὁ δὲ Η' Διογένης μὲν ἢ Ἰσθμικὸς ἐπιγραφὴν ἔχει, πρᾶξιν δέ τινα καὶ λόγους Διογένους κατὰ τὰ Ἴσθμια διαγγέλλει. Καὶ ὁ Θ', Διογένης [20] ἢ Περὶ οἰκετῶν [21], παραινεῖ μὲν ἅπαντας δι' ἑνὸς προσώπου αὐτοῦ μὲν ἕκαστον [22] πολλὴν ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖσθαι [23], ὀλίγην δὲ τῶν ἔξωθεν συμπιπτόντων · καὶ μὴ χρῆναι φεύγοντα διώκειν οἰκέτην · [274 H.] ἄτοπον γὰρ ἐκείνους μὲν κακοὺς ὄντας ἐλπίζειν ἄνευ τῶν δεσποτῶν ἄμεινον βιώσεσθαι, τοὺς δεσπότας δὲ μὴ ἀξιοῦντας [24] φαύλους εἶναι μὴ νομίζειν ἄμεινον διάξειν, εἰ μὴ παραπολαύοιεν τῆς τῶν δραπετῶν σκαιότητος. Ὁ δὲ Ι' Τρωϊκὸς μὲν ἔλκει τὴν ἐπιγραφὴν, ὑπὲρ τοῦ μὴ ἁλῶναι δὲ τὸ Ἴλιον διεσπούδασται, Ὁμήρῳ τε κατὰ τὸ τραχύτερον προσφέρεται, καὶ ὅσα ἄλλα κατὰ τὴν Ἰλιάδα αὐτῷ πεποίηται, τἀναντία τούτοις πραγματεύεται. Ὁ δὲ Ολυμπικος ἢ Περὶ τῆς πρώτης τοῦ Θεοῦ ἐννοίας, αὐτὸ τοῦτο πειρώμενος ἐπιδεικνύειν, ἐνδέκατός ἐστιν. Ὁ δὲ ΙΒ', Ἐν Ἀθήναις περὶ φυγῆς ἐπιγραφὴν ἔχων, εἴρηται μὲν ἐν αὐταῖς, δίεισι δὲ ὡς οὐδὲν ἡ φυγὴ χαλεπὸν, καὶ ὡς [25] πλοῦτος μὲν καὶ δόξα καὶ δυναστεία θᾶττον ἀπὸ τῶν ἐχόντων ἐπὶ τοὺς μηδ' ἐλπίσαντας μεταῤῥεῖ, τὸ δὲ φιλοσοφεῖν καὶ τὴν ἀρετὴν ἀσκεῖν διὰ βίου τε κτῆμα διαμένει ἀγαθὸν καὶ ἀποιχομένοις συνέπεται. Ὁ δὲ ΙΓ' Εὐβοϊκὸς [26] ἢ Κυνηγετικὸς ἔλαχεν ἐπιγραφὴν, εἰσάγει δέ τινας ἐν Εὐβοίᾳ τοιοῦτον βίον βιοῦντας, δι' ὧν κατασκευάζει ὡς ὁ ἀπράγμων βίος, εἰ καὶ πενόμενος εἴη, πολλῷ τῶν ἐν ἄστει θορυβουμένων τε καὶ τρυφώντων ἡδίων τε καὶ λυσιτελέστερος. Ῥοδιακὸς δὲ ὁ ΙΔ' ἐπιγράφεται · ἐν τούτῳ ἔθος ἄλογον παρὰ Ῥοδίοις ἐπιτιμᾷ ἐπιπολάσαν [27]. Τὸ δ' ἦν, οὓς ἐβούλοντο τιμᾷν ἀνδριᾶσι, τούτοις μὲν ἀνδριάντα ἀνίστασαν οὐδένα, τοὺς δὲ τοῖς πάλαι ἀνεστηκότας, τούτων ἄρα [28] ἢ τὰς ἐπιγραφὰς μεταξέοντες εἰς τὰ τῶν μελλόντων τιμηθῆναι ὀνόματα, ἢ τῷ χρόνῳ μηδὲ φαινομένων ἐπιγράφοντες, τῶν τε οἰχομένων τό γε ἐπ' αὐτοῖς τὴν [29] τιμὴν ἐλυμαίνοντο, καὶ οὓς τιμᾷν ὑπεπλάττοντο, ἀλλοτρίαις καὶ κατ' οὐδὲν ἐοικυίαις εἰκόσιν ἐνύβριζον. [533 R.] Ἐν τῷδε τῷ λόγῳ μεγάλη τοῦ ἀνδρὸς τῆς ἀνασκευαστικῆς [30] ἰσχύος ἡ ἀρετὴ [31] διαφαίνεται. Ὁ δὲ ΙΕ' Πρὸς Ἀλεξανδρεῖς μὲν ἐπιγέγραπται, δήμου δὲ φύσιν ἀναπτύσσων ταύτης κατατρέχει · καὶ ὅτι μὴ χρὴ τὸν Ἀλεξανδρέων δῆμον, ἴδια πολλὰ τὰ πρὸς ἀρετὴν παρακαλοῦντα ἔχοντα, τῆς ἐν τῷ κοινῷ ἐπιπολαζούσης ταραχῆς καὶ ἀταξίας καὶ αὐτὸν εἶναι [32] ἀνδράποδον, μάλιστα δὲ παραφυλάττεσθαι τὸ ἁμάρτημα κατὰ τὰς δημοτελεῖς πανηγύρεις καὶ τὰ θέατρα. Ταρσικοὶ δὲ δύο ἐφεξῆς ἐπιγραφῆς ἔτυχον, ὧν ὁ μὲν α' ἔπαινόν τινα τῆς πόλεως ἐπιτρέχων οὐκ εὐδαίμονας ἐκείνας ἀπο-

dictæ sunt. Quinta dein, quæ *Libyca* vocatur, et ab illis etiamnum dependet, fabulam Libyn refert. **166** (*a*) Eam excipit sexta, quæ de tyrannide commemorat : ut de virtute septima. Octava, *Diogenis*, sive *Isthmicæ* titulum præferens, facta quædam dictaque Diogenis in Isthmicis narrat. Nona, *Diogenes* quoque dicitur, seu *De servis*. Hortatur singulatim universos, satagere quosque, ac sollicitos esse sui, neglectis quæ extrinsecus adveniant, Non expedire insuper fugitivum servum insequi. Absurdum enim esse, si vel illi, cum improbi sint, sperent absque dominis melius sibi fore, vel heri illorum nequitiæ velut ignari, non judicent melius secum agendum, si nec obiter ullum e fugitivorum servorum stoliditate damnum ferant. Decima oratio *Troica* inscribitur, de eo studiose elaborata, quod Ilium non fuerit captum. Homero igitur asperius adversatur, iisque omnibus contraria describit, quæ sunt ab illo in *Iliade* composita. *Olympica*, seu *De prima Dei cognitione* (quæ idem illud demonstrare conatur) undecima est. Duodecima *Athenis de exsilio habita* titulum præfert. Et habita vere ibidem est, docetque exsilium nihil habere molestiarum : divitias item et gloriam atque imperium citius a possidentibus ad eos qui minime sperabant, transferri : sapientiæ vero studium, ac virtutis exercitationem, et perpetuas in hac vita constantesque divitias esse, et hinc etiam emigrantes comitari. XIII. *Euboica* seu *Venatoria* inscribitur. Inducit autem quosdam hanc in Eubœa vitam ducentes : per quos docet vitam privatam, etsi pauperior sit, longe jucundiorem esse, et utiliorem, quam eorum qui in urbibus turbas juxta ac delicias experiuntur. XIV. *Rhodiaca* nominatur. Absurdum hac oratione morem, qui tum Rhodi invalescebat, reprehendit. Quos enim statuis honorandos censuerant, his nullas statuebant, sed earum, quæ priscis fuerant collocatæ, vel inscriptiones in eorum, qui venturi essent nomina mutantes : vel si temporis injuria non apparerent tituli, novos insculpentes, simul vita functorum gloriam (quantum in ipsis erat) fœdabant, simul quos honorare decreverant, alienis, et quæ nihil similitudinis haberent, imaginibus dedecore potius afficiebant. Qua quidem in oratione ingens Dionis refutandi alios vis atque facultas insigniter elucescit. XV. *Ad Alexandrinos habita*, inscribitur. Vulgi in ea ingenium moresque exponit, ac perstringit. Nequaquam insuper decere, ut etiam populus Alexandrinus, **166** (*b*) qui propria tot haberet virtutis incitamenta, exortorum in republica tumultuum ac seditionum velut mancipium fiat. Præsertim vero illum errorem cavendum esse monet, qui in publicis conventibus ac theatris committebatur. *Tarsi-*

VARIÆ LECTIONES

[19] ἕκτος καὶ περί A. [20] Διογένους A, [21] οἰκ. καὶ παραινεῖ ζ. [22] μὲν ἕκαστον Λ : ἕκαστον μέν ζ. [23] ποιεῖσθαι αὐτοῦ ὁλ. ζ. [24] ἀξιοῦντες ζ. [25] ὡς A : ὅτι ζ. [26] Εὐβοεικός ζ. [27] ἐπιπολάζον ζ. [28] ἄρα] δὲ παρά pr. A. [29] τὴν add. A. [30] ἀνασκευτικῆς ἀττικῆς ἰσχ. A. [31] ἡ ἀρετὴ add. A. [32] εἶναι om. A.

carum, quæ duæ sequuntur, appellationem nactæ sunt. Harum prior post urbem illam cursim laudatam, nunquam civitatum felicitatem metiendam docet a fontibus, fluminibus, venustis porticibus aut ædificiis, fructuumque abundantia, quæque his similia laudantur, sed eas urbes commendari, in quibus disciplina ac virtus civium clarescerel. Hæc quoque oratio absurdum quemdam ac probrosum castigat morem in vocis emissione quadam [lasciva] ex Alexandrinorum consuetudine petita, monens ei assuetos ut abstineant, vel potius acerbius ipse in eos incurrens. Altera vero hortatur, ne calumniis magistratus persequantur; neve parvis offensionibus statim irritentur, atque illos temere accusent. XVIII. Cui nullus præfixus titulus, Celænis Phrygiæ urbe habita est. Disserit autem non esse virtutis indicium comam illam promissiorem, ut nec alia quæ ad corporis cultum pertinent, ac ne horum quidem contraria. Huic et ipsius urbis laudatio adjungitur. XIX. Ipso mox titulo indicat (5-3), habitam quidem primum Borysthene, sed recitatam postea in patria. In ea cum alia refert auctor, tum Platonis imitatione prædicat de universitatis opifice apud Borysthenitas se disseruisse, ac de mundi totius ornatu motuque, et elementis ejusdem. Est autem illustrior hæc graviorque præ cæteris orationibus. *Corinthica* autem numero vicesima, Corinthi habita, cives ibi objurgat, quod statua se prius honorassent, quam tamen post ipsius profectionem, falsa quadam calumnia adducti, iterum sustulissent. Proxima est hæc dicendi vi ac virtute Rhodiacæ orationi. Quanquam ejus quod exordii loco statuit longitudo, hic, perinde atque alibi fere ubique, virtute vacat. XXI. Inscribitur *De Nicomediensium concordia cum Nicæensibus*. Quam quidem potissimum contendit efficere hæc oratio, quæ non sine jucunditatis ex ea re commemoratione, opportune profertur. Sic enim melius persuadendi vis hominum sese animis insinuare solet. XXII. Nicææ **167** (*a*) pronuntiatam titulus significat: *De concordia, seditione jam exstincta*. Hoc autem est hic viri institutum, rem ibi tum gestam laudibus celebrare. XXIII. In patria recitata est, *De concordia cum Apamensibus:* quod ipsum ibi pertractat; ut et proxime sequenti Apamenses hortatur ad concordiam cum Prusensibus ineundam. XXV. *Disputatio est in patriam*. Ignorare vero se fingit causam ipse qui disputat, cur libenter cum et cupide audiant, cum nihil utile ipsius orationes proponant. *Politica* dehinc inscripta est vicesima sexta oratio, recitata in patria: quemadmodum et quæ proxime sequitur, *Benevolentiæ testificatio in patriam*, quod se benevolo eam animo prosequentem honorifice excepisset. Succedit his *Apologia*, seu *Defensio*, de suo

A φαίνει τῶν πόλεων, ὅσαι κρήνας καὶ ποταμοὺς καὶ κάλλη στονῶν καὶ οἰκοδομημάτων καὶ καρπῶν ἀφθονίαν καὶ τὰ παραπλήσια προβάλλονται, ἀλλ' ἐν ὅσαις τάξις καὶ ἀρετὴ τῶν πολιτευομένων διαδείκνυται, Οὗτος ὁ λόγος καὶ παράλογόν τε καὶ ἐφύβριστον ἔθος κατὰ φωνῆς ἀπήχησιν [33] τοῖς Ἀλεξανδρεῖσι πραττόμενον εὐθύναις ὑπάγει, παραινῶν ἀποσχέσθαι τοὺς χρωμένους, ἢ μᾶλλον αὐτῶν [34] πληκτικώτερον καθαπτόμενος. Ὁ δὲ δεύτερος παραινεῖ μὴ συκοφαντικῶς πρὸς τοὺς ἄρχοντας διακεῖσθαι, μηδ' ἐπὶ τοῖς βραχέσι τῶν παραλυπούντων εὐθὺς ἀνερεθίζεσθαι καὶ ἐπαιτιᾶσθαι τούτους. Ὁ δὲ ΙΗ', ὃς οὐκ ἐπιγέγραπται, ἔν Κελαιναῖς [35] ἐρρήθη τῆς Φρυγίας, διαλαμβάνει δὲ ὡς οὐκ ἀρετῆς εἴη σημεῖον τὸ κομᾶν, ὥσπερ οὐδ' ἄλλο τι τῶν σχημάτων τῶν περὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τούτων τὰ ἐναντία · διαπλέκεται [275 H.]
B δ' αὐτῷ καὶ τῆς πόλεως ἔπαινος. Τὸν δὲ ΙΘ' μηνύει ἡ ἐπιγραφὴ ῥηθῆναι μὲν ἐν τῷ Βορυσθένει, ἀναγνωσθῆναι δὲ ἐν τῇ πατρίδι · ἐν ᾧ ἆθλα τε δίδωσιν ὁ συγγραφεὺς, καὶ κατὰ τὸν Πλατωνικὸν συνομολογεῖ ζῆλον περί τε [36] τοῦ δημιουργοῦ τῶν ὅλων τοῖς Βορυσθενίταις διειλέχθαι τῆς τε τοῦ παντὸς διακοσμήσεως καὶ κινήσεως καὶ τῶν ἐν αὐτῷ στοιχείων. Ἔχεταί δέ τινος λαμπρότητος καὶ σεμνότητος οὗτος ὑπὲρ τοὺς ἄλλους ὁ λόγος. Καὶ ὁ Κορινθιακὸς, δὲ Κ' ὤν,
C ἐν Κορίνθῳ μὲν ἐρρήθη, ἐπιτίμησιν δ' αὐτῶν διαπεραίνει ἀνθ' ὧν εἰκόνι τὰ πρῶτα τιμήσαντες αὐτὸν ὕστερον ἀποδημήσαντος ἐκ διαβολῆς, οὐ δικαίας περιείλοντο τὸ γέρας. Ἐγγὺς δ' ἐστὶ τοῦ Ῥοδιακοῦ κατὰ τὴν ἐν λόγοις ῥώμην καὶ ἀρετὴν οὗτος [37] · ἡ δὲ τοῦ οἷον προοιμίου παράτασις κἀνταῦθα, ὡς καὶ παρὰ μικρὸν πανταχοῦ, τῆς ἀρετῆς οὐ μετέχει. Τοῦ δὲ ΚΑ' ἡ ἐπιγραφὴ Περὶ τῆς πρὸς Νικαεῖς ὁμονοίας τῶν Νικομηδέων ἐστί · καὶ τοῦτον ὑπέρχεται τὸν ἀγῶνα [38] ὁ λόγος εὐκαίρως διὰ τῆς ἡδονῆς προενηνεγμένος · μᾶλλον γὰρ οὕτω ταῖς ψυχαῖς τὸ πιθανὸν ἐθέλει διαδύειν. Τὸν δὲ Β' καὶ Κ' ἐν Νικαίᾳ εἰρῆσθαι ἡ ἐπιγραφὴ δηλοῖ Περὶ ὁμονοίας, πέπαυμένης τῆς στάσεως · αὐτὸ δὲ τοῦτο διατίθησιν ὁ ἀνὴρ, ἔπαινον τοῦ γεγενότος. Ὁ δὲ ΚΓ' Περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας εἴρηται ἐν τῇ πατρίδι, αὐτὸ δὲ διαπράττεται τοῦτο. Καὶ ὁ ἑφεξῆς δὲ περὶ
D ὁμονοίας τῆς [39] πρὸς τοὺς Προυσαεῖς παρακαλεῖ τοὺς Ἀπαμέας. Ὁ δὲ ΚΕ' Διάλεξίς ἐστιν ἐν τῇ πατρίδι · ἄγνοιαν δὲ ὁποπλάττεται τῆς αἰτίας ὁ διαλεγόμενος, δι' ἣν μηδὲν χρήσιμον αὐτοῦ τῶν λόγων προβεβλημένων ἡδέως καὶ ποθοῦντες ἀκούουσι. Πολιτικὸς δέ ἐστι τῷ ΚΣ' ἡ ἐπιγραφὴ, Καὶ εἴρηται ἐν τῇ πατρίδι ὥσπερ καὶ ὁ ἑφεξῆς, φιλοφρονητικὸς ὑπάρχων αὐτῇ ἀνθ' ὧν τιμαῖς τὸν φιλοφρονούμενον ἐδέξιοῦτο. Ἀπολογισμὸς [536 R.] δέ ἐστιν ὁ μετ' αὐτοὺς, ὅπως διέκειτο πρὸς τὴν πατρίδα. Ὁ δὲ Θ' καὶ Κ' Ηρὸ τοῦ φιλοσοφεῖν μὲν ἐν τῇ πατρίδι ἐπιγράφεται, τοὺς δ' ἐπιχειρήσαντας καταλεύειν αὐτόν τε καὶ σὺν αὐτῷ

VARIÆ LECTIONES.

[33] ἀπέχεσθαι Σ. [34] αὐτῶν A : αὐτός Σ. [35] Κελεναῖς Σ. [36] τε add. A. [37] οὗτος] καὶ οὗτος A. [38] τῶν ἀγώνων pr. A. [39] τῆς add. A.

NOTÆ.

(5-3) Boristhenica quam in patria recitavit.

ἕτερον, εἶτα δὲ καὶ πυρὶ [40] τὴν οἰκίαν δοῦναι, τούτους ἠρέμα πως ἐπιτιμῶν, τὸ πλανᾶσθαι ἐπὶ τῆς ξένης τῆς οἴκοι διατριβῆς διὰ τὰς ἐν πόλει ἀταξίας ἄμεινον κατασκευάζει. Ἡ δὲ τῶν πολιτῶν ὀργὴ κατ' αὐτοῦ, διότι, φησὶ, καταῤῥέουσαν ἐπὶ τὸ βέλτιον ἀνέλαβε τὴν οἰκίαν. Καὶ ὁ Λ' δὲ, Δημηγορία ἐν τῇ πατρίδι, τὴν ἐπιγραφὴν φέρων, εἰς τὴν αὐτὴν ὑπόθεσιν ἀποβλέπει. Καὶ ὁ Λ' καὶ Λ' ἐν τῇ πατρίδι μὲν ἐλέχθη, Ηολιτικὸς δ' ἐπιγέγραπται ἐν ἐκκλησίᾳ, καὶ [41] συμβουλεύει τῶν εἰς ἀλλήλους ὕβρεων ἀποσχομένους καὶ προπηλακισμῶν τὴν στάσιν εἰς ὁμόνοιαν διαλύειν. Ὡσαύτως ἐν τῇ πατρίδι μὲν ἐλέχθη καὶ ὁ ἑφεξῆς, ὁ δὲ ἐπιγράφεται, Παραίτησις ἀρχῆς ἐν τῇ βουλῇ, τοῦτο καὶ ἐνδείκνυται· ἐκ ψηφίσματος γὰρ ἄρχειν [42] ὁ συγγραφεὺς ἠρημένος παραιτεῖται. Ὁ δὲ ΛΓ', Περὶ τῶν ἔργων ἐν βουλῇ, τὴν ἐπιγραφὴν παρέχων, ἔπαινον μέν τινα τῆς βουλῆς ἐπιτρέχει, ἀπολογεῖται δὲ καὶ [43] ὑπὲρ ὧν ὁ [276 H.] Δίων ὑπενοεῖτο, ὡς μὴ τὰ τοῦ παιδὸς ἔργα καὶ αἱ πράξεις αἱ κατὰ τὴν πόλιν τῆς πατρικῆς [44] εἰσι βουλῆς ἐξημμέναι. Ὁ ἑφεξῆς δὲ Πρὸς Διόδωρον ἐπιγραφόμενος, προτροπὴν μὲν τινα ἐπ' ἀρετὴν εἰσάγει, ἐπαινεῖν δὲ τὴν πόλιν φησὶ δι' ὧν τὸν ἐγκωμιάσαντα Διόδωρον ἐπαίνοις περιβάλλει. Ὁ δὲ ΛΕ', Περὶ Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου ἢ Περὶ τῶν Φιλοκτήτου [45] τόξων ἐπιγεγραμμένος, τὴν τοῦ Φιλοκτήτου πλάττει ἐξαπάτην, ἣν προβεβλημένος Ὀδυσσεὺς λαβὼν ᾤχετο τὰ τόξα. Τῷ δὲ ς' καὶ Λ' λόγῳ ἡ μὲν ἐπιγραφὴ Περὶ Ὁμήρου λέγει, ἔπαινος δέ τις [46] τοῦ ποιητοῦ διυφαίνεται, ὥσπερ καὶ τῷ περὶ Σωκράτους ἐπιγραφομένῳ τοῦ φιλοσόφου. Ὁ δὲ Περὶ Ὁμήρου καὶ Σωκράτους ΛΗ' λόγος ὢν, ζηλωτὴν Ὁμήρου Σωκράτην καὶ μαθητὴν ἐπιδείκνυσι [47], καὶ τό τε οἰκεῖον τῆς τῶν παραδειγμάτων μεταχειρίσεως ἐκεῖθεν ἀναμαθεῖν τὸν φιλόσοφον ἐπιδεικνύει, καὶ τὴν ἄλλην τοῦ λόγου χάριν καὶ δύναμιν ἐναπομάξασθαι. Ὁ δὲ ΛΘ' Ἀγαμέμνων ἢ Περὶ βασιλέως ἐπιγραφόμενος, διέξεισιν ὡς δεῖ συμβούλων τοῖς ἀρίστοις τὸν βασιλέα κεχρημένον ἐκείνοις τε πείθεσθαι καὶ μὴ κατὰ τὸ δοκοῦν ἀπαυθαδιάζειν. Καὶ ᾧ δὲ Νέστωρ ἡ ἐπιγραφὴ, ὅπως κεχρῆσθαι προσῆκε τῇ πρὸς τοὺς βασιλεῖς παραινέσει περιλαμβάνεται. Ὁ δὲ ἑφεξῆς, Ἀχιλλεὺς οὐ πειθόμενος τῷ Χείρωνι, προνοίᾳ καὶ τέχνῃ, ἀλλὰ μὴ θράσει καὶ χειρῶν ἰσχύϊ συμβουλεύοντι μεταχειρίζεσθαι πόλεμον, ὕστερον οὐκ ἀπώνατο τῆς ἀπειθείας. Καὶ ὁ Φιλοκτήτης δὲ παράφρασίς ἐστι τοῦ κατ' αὐτὸν ἀτυχήματος. Ἐφ' οἷς ὁ Νέσσος καὶ ἡ Δηϊάνειρα [48] τῶν ἀπιθάνως περὶ αὐτοὺς πεπλασμένων διά τινος θεραπείας εἰς εἰρμόν τινα καὶ τάξιν δοκεῖ τὸ ἀπίθανον μεταῤῥυθμίξειν. Καὶ ὁ [49]

in patriam amore. XXIX. *Ante philosophiæ studium in patria habita* inscribitur. Eos autem qui lapidibus ipsum cum alio quodam obruere aggressi essent, ac post etiam ejus domum igni cremandam tradere, clementer objurgans, melius ob civiles turbas esse confirmat peregre vagari, quam domi degere. Civium vero suorum erga se indignationem hinc ortam ait, quod ruens jam ædificium quoddam instaurasset. Tricesima deinde *Concio in patria* inscribitur, idemque respicit argumentum. XXXI. In patria habita, *Politicæ in concione* titulum præfert: suadetque ut posthac, injuriis invicem ac probrosis contumeliis valere jussis, seditionem in concordiam vertant. Similiter et ea quæ sequitur habita est in patria, inscribiturque ex eo quod palam indicat: *Recusatio magistratus in senatu.* Magistratum enim scriptor, ad quem suffragio delectus erat, repudiat. XXXIII. *De administrationibus in senatu*, inscriptionem præfert. In ea post brevem senatus laudem, de iis se purgat Dion, ob quæ in suspicionem venerat: nimirum a paterno non esse profecta consilio, quæ in administranda civitate filius egisset. Proxima *Ad Diodorum* inscripta oratio, et ad virtutem hortatur, et se laudare (4) civitatem ait, quando qui eam laudarat Diodorum laudibus ornat. XXXV. *De Æschylo, Sophocle, et Euripide:* seu, *De Philoctetæ arcu et sagittis*, inscripta est. Philocteten (5) hæc dolo deceptum facit, quo **167** (*b*) Ulysses usus, cum illius arcu et sagittis abierit. Sextæ porro et tricesimæ titulus est *De Homero:* cujus poetæ laudes prædicat: quemadmodum et Socratis illa, quæ hujus philosophi nomen præfert. Hinc illa *De Homero et Socrate.* XXXVIII. Oratio, Homeri æmulum fuisse Socratem ostendit, ac discipulum. Ab hoc item philosophum non illam tantum familiarem adeo sibi exemplorum tractationem hausisse, sed reliquam insuper dicendi vim omnem ac venustatem imbibisse. XXXIX. *Agamemnon*, seu *De rege* inscribitur: docetque oportere regem optimis usum consiliariis, iisdem parere, neque suum arbitrium pervicaciter sequi. Proxima vero quæ inscribitur, *Nestor*, quanam ratione reges admonendi sint instruit. Mox *Achilles* sequitur: qui Chironi non acquiescens, monenti (5*) prudentia potius atque arte quam audacia aut corporis viribus res bellicas geri, tandem neglecti consilii pœnas dedit. Quæ vero *Philoctetes* post hanc inscripta, fusius ejus infortunia commemorat. Post quas *Nessus et Dejaneira* [quæ vocatur oratio] absurdius de iis obsequii cujusdam causa conficta,

VARIÆ LECTIONES.

[40] πυρί A : περί ς. [41] καὶ om. A. [42] ἀρχήν ς. [43] καὶ add. A. [44] τῆς πατρικῆς A: πνευματικῆς ς. [45] τῶν Φιλοκτήτου] libri τῶν Ἐπικτήτου. [46] δὲ τις A: τις δὲ ς. [47] ἐπιδεικνύει ς. [48] καὶ Δηϊάνειρα] ἢ Διάνειρα A. [49] ὁ] ἡ corr. A.

NOTÆ

(4) Imo contra Photium dixit Dio, Laudasse se Diodorum, cum quæ hunc prædicarat laudavit civitatem.

(5) Lege Sophoclis *Philocteten*. Nam Æschyli atque Euripidis intercidere, et hujus mox nostri Philoctetæ meminit quoque M. Tullius *Tusc.* II, et ibi Beroald.

(5*) Hesiodum Chironis ad Achillem instituendum Præceptionem scripsisse ex aliquorum sententia Pausan. *Bœotic.*

in seriem quamdam atque ordinem meliorem videtur reformare. *Chryseis* [item dicta oratio] laudatio Chryseidis est. *De regno* vero *et tyrannide* oratio, de his ipsis disserit, ut tres deinceps sequentes *De Fortuna* gratas simul ac philosophicas meditationes exhibent. Ad eumdem modum, quæ has excipiunt, totidem *De gloria* orationes, suadent et monent contemnendam esse vulgi gloriam : ubi pulchræ simul et utiles considerationes inter hortandum miscentur. LII. *De virtute* et inscribitur, et disserit. LIII. Agit *De philosophia*, ut LIV. *De philosopho*. At LV. *De habitu cultuque corporis* inscripta, docet non ob tunicam mox et calceos philosophorum, neque ob externam cultus speciem philosophum quemquam esse judicandum. LVI. *De fiducia* titulum sortitur ; ut contra huic proxima *De diffidentia*. Suadent hæ cavendum cui fidas, aut te credas ; ne iis quidem, qui vel maxime amare videntur. Multos enim aliis confisos in magnam incidisse calamitatem : cum diffidentia munitis manifesta contigerit salus. Sed hæc quidem illa *De diffidentia* oratio. Præcedens enim edisserit, fiduciam magna utplurimum **168** (*a*) damna confidentibusattulisse. Argumentum deinde orationis LVIII. quod docet inscriptio, *De lege* est, ut et insequentis LIX. *De consuetudine* : quam quidem tantumdem præstare, quantum lex solet, ostendit, sed cum voluptate id potius atque inductione, quam vi, multoque securius. Duæ vero orationes, quæ sequuntur, *De invidia* agunt, ut LXII. *De divitiis*, quarum molestias atque insidias ita omnibus notas facit, ut utiliorem longe esse statuat justitia comitatam paupertatem. LXIII. Inter Cilicas orationes *De libertate* habita inscribitur. Illum (6) autem liberum pronuntiat, qui suarum sit dominus perturbationum, affectionumque animi, tametsi mille ejus corpori imperent domini ; illum contra servum, qui malis suis parens affectionibus, servitutem serviat, licet mundi totius imperium tenere videatur. Quam in sententiam subsequens quoque disserit, *De servitute et libertate* inscripta : ut et sequens, quæ *De servis* altera est. Hinc *De ægritudine*, hortatur non oportere virum generosum ac prudentem vinci aut perturbationi succumbere, sed contemnere potius, atque obterere. LXVII. *De avaritia* inscripta, vitare hoc malum jubet. LXVIII. oratio titulum præfert : *De bene dicendi exercitio*, atque hoc idem argumentum suggerit. Mox LXIX. agit inscribiturque *De sua* [*alios*] *audiendi cupiditate*. Septuagesimæ titulus est, *De secessu*, docetque non loca sola sectando, mox etiam vitiosas animi affectiones, ac vitæ tumultus vitari, sed ad seipsum sese convertendo, et ad sui cognitionem contendendo, aliunde accedentis mali

A Χρυσηΐς ἔπαινός ἐστι Χρυσηΐδος. Ὁ δὲ Περὶ βασιλείας καὶ τυραννίδος περὶ αὐτῶν τούτων διαλαμβάνει. Καὶ οἱ ἑφεξῆς δὲ γ' Περὶ τύχης λόγοι χαρίεντά τινα καὶ φιλοσοφίας ἅμα ἐχόμενα θεωρήματα διατυποῦσιν. Ὡσαύτως καὶ οἱ μετὰ τούτους Περὶ δόξης γ' λόγοι συμβουλεύουσι καὶ παραινοῦσι μηδένα λόγον τῆς τῶν πολλῶν δόξης ποιεῖσθαι· καλὰ δὲ καὶ ὠφέλιμα τῇ παραινέσει συνδιαπλέκεται θεωρήματα. [537 R.] Ὁ δὲ ΝΒ' Περὶ ἀρετῆς καὶ ἐπιγράφεται καὶ δίεισι [50]. Περὶ φιλοσοφίας δέ ἐστιν ὁ Γ' καὶ Ν'. Ὁ δὲ [51] ΝΔ' Περὶ τοῦ φιλοσόφου. Ὁ δὲ Ε' καὶ Ν', Περὶ τοῦ σχήματος ἐπιγεγραμμένος, δείκνυσιν ὡς οὐ χιτῶνι καὶ ὑποδήματι φιλοσόφων ὁ κατεσχηματισμένος [52] ἥδη, καὶ τὸν βίον φιλόσοφός ἐστιν. Ὁ δὲ ς' καὶ Ν', Περὶ πίστεως ἐπιγραφῆς τυχών, καὶ ὁ ἑφεξῆς,
B Περὶ ἀπιστίας, προτρέπονται φυλάσσεσθαι τὸ θαῤῥεῖν καὶ καταπιστεύειν καὶ τοῖς μάλιστα φιλεῖν δοκοῦσι· πολλοῖς γὰρ πιστεύσασι μὲν μεγάλη ἀπήντησε συμφορὰ, ἀπιστίᾳ δὲ φραξαμένοις λαμπρὰ περιγέγονε σωτηρία. Ἀλλὰ ταῦτα μὲν ὁ Περὶ ἀπιστίας λόγος· ὁ δὲ πρὸ αὐτοῦ διέξεισιν ὡς καὶ τὸ πιστεύεσθαι ὡς ἐπίπαν μεγάλα τοὺς πιστευομένους ἐζημίωσεν. Ἡ δ' ὑπόθεσις τοῦ ΝΗ' λόγου, ὥσπερ καὶ ἡ ἐπιγραφὴ, Περὶ νόμου ἐστίν· ὡς καὶ ἡ τοῦ ΝΘ' Περὶ ἔθους, ὃ πράττειν μὲν ὅσα ὁ νόμος ἀποδείκνυσι, μεθ' ἡδονῆς δὲ καὶ πειθοῦς μᾶλλον [277 H.] ἢ βίας, καὶ ἀσφαλέστερον. Δύο δὲ οἱ ἑφεξῆς Περὶ φθόνου διαλαμβάνουσι, καὶ ὁ Β' καὶ Ξ' Περὶ πλούτου, τὸ ὀχληρὸν αὐτοῦ καὶ ἐπίβουλον στηλιτεύων, καὶ πολλῷ
C λυσιτελεστέραν αὐτοῦ παριστῶν τὴν μετὰ δικαιοσύνης πενίαν. Ὁ δὲ Γ' καὶ Ξ' ἐπιγράφεται τῶν ἐν Κιλικίᾳ Περὶ ἐλευθερίας, ἐκεῖνον δὲ ἐλεύθερον παριστᾷ, ὃς τῶν ἐν αὐτῷ κύριος εἴη παθῶν, κἂν μυρίοι ἔξωθεν αὐτοῦ τοῦ σώματος ὦσι δεσπόται, καὶ δοῦλον ἐκεῖνον, ὃς ἀνδράποδόν ἐστι παθῶν, εἰ καὶ συμπάσης [53] ἄρχειν τῆς οἰκουμένης δοκεῖ. Εἰς τὴν αὐτὴν δ' ἀναφέρεται διάνοιαν καὶ ὁ ἑφεξῆς, Περὶ δουλείας καὶ ἐλευθερίας ἐπιγραφὴν ἔχων· ὥσπερ καὶ ὁ ἑφεξῆς δεύτερος Περὶ δούλων ὤν. Καὶ ὁ μετ' αὐτὸν δὲ, Περὶ λύπης, ὡς οὐ χρὴ παρεγγυᾶται τὸν γενναῖον καὶ νοῦν ἔχοντα ἄνδρα ὑποκατακλίνεσθαι τῷ
D πάθει, περιορᾷν δὲ μᾶλλον καὶ ἀποτρίβεσθαι. Καὶ ὁ Περὶ πλεονεξίας, Ζ' καὶ Ξ' [54] ὤν, ἀποτρέπεσθαι ταύτην παρεγγυᾷ. Καὶ ὁ ΞΗ', ὥσπερ ἐπιγέγραπται Περὶ λόγου καὶ ἀσκήσεως, τοιαύτην καὶ τὴν ὑπόθεσιν ὑποβάλλει. Περὶ δὲ τῆς αὐτοῦ φιληκοΐας ὁ ΞΘ' καὶ ἐπιγράφεται καὶ διαλαμβάνει. Ὁ δὲ Ο' ἐπιγραφῆς μὲν Περὶ ἀναχωρήσεως τυγχάνει, κατασκευάζει δὲ ὡς οὐχὶ τὸ τὰς ἐρήμους διώκειν ἀναχωρησίς ἐστι παθῶν καὶ τῶν ἐν βίῳ θορύβων, ἀλλὰ τὸ εἰς ἑαυτὸν ἐπεστράφθαι καὶ σπεύδειν γνῶναι ἑαυτὸν, τῆς ἀπὸ τῶν ἄλλων κακίας [55] φορολίγον ἔχοντα λόγον. Περὶ κάλλους δὲ ὁ μετὰ τοῦτον λόγος, ὃν ἐπιγέ-

VARIÆ LECTIONES.

[50] διέξεισι apographum Stephani : sed δίεισιν est etiam p. 166 *a* et 19, *b* 24. [51] ὁ δὲ A : καὶ ὁ μὲν ς. [52] κατεσχηματισμένος ἥδη καὶ τὸν βίον A : οὐ κατεσχηματισμένῳ εἴδει ς. [53] πάσης ς. [54] ὁ ξς' π. πλ. ὤν ς. [55] κακίας φορολίγον] συμφορῶν ὀλίγον corr. A : pr. om. κακίας.

NOTÆ.

(6) Cicero in *Paradoxis*, et Philo Judæus atque Horatius.

γραπται τρόπον, τὸν αὐτὸν καὶ περὶ νεανίσκου διέξεισιν· ἐν ᾧ ὡς οὐ παρὰ πᾶσιν ἔθνεσι καὶ βαρβάροις τὸ αὐτὸ νομίζεται κάλλος, ἄλλο δὲ παρ' ἄλλοις νικᾷ. Ὁ δὲ ΟΒ' Περὶ εἰρήνης καὶ πολέμου τήν τε ἐπιγραφὴν προβάλλεται καὶ διαλαμβάνει. Ὁ δὲ Γ' καὶ Ο'. Ὅτι εὐδαίμων ὁ σοφός. Καὶ ὁ ἐπ' αὐτῷ Περὶ εὐδαιμονίας. Ὁ δε ἐπὶ τούτοις Περὶ τοῦ δαίμονος· δαίμονας δὲ καλεῖ τοὺς ὅσοι λαχόντες ἄρχειν [56] ἑτέρων ἄμεινον πράττειν τοὺς ἀρχομένους ἢ καὶ χεῖρον συμμετεσκεύασαν [57]. Περὶ δὲ τοῦ βουλεύεσθαι ὁ ς' καὶ Ο' διαλαμβάνει. Ὁ δὲ Ζ' καὶ Ο', Διατριβὴ περὶ τῶν ἐν συμποσίῳ τὴν ἐπιγραφὴν πεποιημένος, τινὰ τῶν ἐν αὐτῷ διέξεισι συμπιπτόντων, καὶ ὡς ὁ πολὺς ἄνθρωπος τηνικαῦτα πρὸς φιλοσοφίαν ὁρᾷν εἴωθεν, ἡνίκα αὐτοῦ ὁ βίος ἀνίαις περιῤῥεῖται. Ὁ δὲ Η' καὶ Ο' καὶ ὁ μετ' αὐτὸν, Μελαγκόμας α' καὶ β' ἐπιγεγραμμένοι, ἔπαινόν τε διαγράφουσι τοῦ νεανίσκου καὶ μνήμην ἐπὶ χρηστοῖς τελευτήσαντος καὶ λύπην. Ὁ δὲ Η', Χαρίδημος μὲν αὐτῷ ἡ ἐπιγραφὴ, [540 R.] ἔπαινον δὲ καὶ πένθος ἐπὶ τελευτήσαντι συνδιαπλέκει τῷ νέῳ.

ΣΙ'.

Καισαρίου Ἐκκλησιαστικὰ Κεφάλαια σκ'.

Ἀνεγνώσθη Καισαρίου βίβλος· ἐν ᾗ Κεφάλαια περιείχετο [58] Ἐκκλησιαστικά, τοῦτο μὲν ῥητῶν ἀναπτύξεις, τοῦτο δὲ συζητήσεων [59] ἐπιλύσεις, κ' καὶ σ'. Ὁ μὲν ἀνὴρ ἔοικε νεάζειν τε, καὶ πρὸς γονὰς μὲν λόγων καὶ [60] μάθησιν τὴς τε θύραθεν σοφίας καὶ τῆς ἡμετέρας σφριγᾷν, δεῖσθαι δ' ὅμως οὐκ ἐλαχίστων [61], ἵνα συντόμως εἴπω, εἰς τὸ μὴ καταισχύνειν τὰς ὁρμὰς. Πλὴν σαφής τέ ἐστι τὴν φράσιν, εἰ καὶ πρὸς ποιητικὰς ἐκνεωτερίζει λέξεις πολλάκις, καὶ τὸ κοινὸν τῆς συντάξεως μετιὼν ἐστιν, ὅπου ἐπ' ἔλαττον φέρεται καὶ τούτου, καὶ [278 H.] πρὸς τὴν τῶν δογμάτων ἀκρίβειαν ὀλίγων αὐτῷ δεῖ. Εἰς ἐρωτήσεις δὲ καὶ ἀποκρίσεις μεθ' ὑποβολῆς [62] προσώπων τὸ τοῦ λόγου σχῆμα πεποίηται. Εἶναι δέ φασι Γρηγορίου, οὗ τὸ Θεολόγος ἐπώνυμον, τὸν συγγραφέα ἀδελφόν [63],

ΣΙΑ'.

Διονυσίου Αἰγέως Δικτυακῶν βιβλιδάριον κεφαλ. ρ'.

Ἀνεγνώσθη Διονυσίου Αἰγέως· Δικτυακῶν ἔφερε τὴν ἐπιγραφήν. Ἦν δὲ ἄρα τὸ βιβλιδάριον κεφαλαίοις ἀπαρτιζόμενον ρ', ὧν τὰ μὲν ἰδίαν ἑκάστην [64] ὑπόθεσιν κατεσκεύαζε (ν' δὲ ταῦτα ἦν), τὰ δὲ λοιπὰ ν' ἀνασκευὴν ἕκαστον πρὸς ἑκάστην τῶν κατεσκευα-

A exigua (7) interim habita ratione. Proxima ut est *De pulchritudine* inscripta, sic et de adolescente disserit. Ibidem nec apud omnes gentes, etiam barbaras, idem pulchrum videri ait, sed aliud apud alios obtinere. LXXII. *De pace belloque* et agit, et titulum gestat. LXXIII. *Sapientem etiam felicem* prædicat; et sequens *De felicitate* disputat. Hinc *De genio* agitur. Genios autem nominat, qui aliorum ita sortiantur imperium, ut per eos aut melius cum subditis agatur, aut pejus. LXXVI. est *De consultando*. LXXVII. Titulus est *Disputatio de iis, quæ in symposiis accidere solent*, eorumque nonnulla etiam narrat, ac mortalium plerosque tunc ad philosophiam respectum habere consuevisse, cum rebus tribus vita infestatur. **168** (*b*) LXXVIII. et altera inseB quens *Melancomas prima et secunda* inscripta, cum laudem adolescentis illius continent, tum memoriam mœroremque in secundarum rerum affluentia vita functi. Ultima et octogesima, quæ *Charidemi* nomen præfert, laudationem simul ac luctum exstincti juvenis commiscet.

CCX.

Cæsarii Capita Ecclesiastica CCXX.

Legi Cæsarii librum, *Capita* (8) continentem *Ecclesiastica* 220, quibus partim enuntiata quædam explicantur, partim quæstiones solvuntur. Dicas autem hunc scriptorem, et ætate etiamnum florere, et cum rhetoricæ quasi fetura, tum externæ non minus quam nostræ philosophiæ eruditione turgere. Quanquam non minima deesse videntur, ut verbo C dicam, quo motus illi atque impetus dedecore careant. Attamen clara ejus dictio est (crebro licet ad poeticas voces juveniliter deflectat, atque ab usitata constructione, non sine defectu aliquo, recedat) et ad summam dogmatum accurationem parum sane ei deest. Per quæstiones porro et responsiones, suppositis quoque personis [interloquentibus], composita illi oratio est, et quidem Gregorii, ut aiunt, cujus hunc auctorem esse fratrem *Theologi* cognomentum indicat (9).

CCXI.

Dionysii Ægei Dictyacorum capita C.

Lecta Dionysii Ægei, *Dictyaca* (10) quæ inscribuntur. Libellus erat centum absolutus capitibus, D quorum quinquaginta suam singula sententiam asserebant: totidem vero suam quodlibet astructam antea hypothesin, evertere conabantur; ita ut sua

VARIÆ LECTIONES

[56] ἀρχήν ς. [57] μετεσκεύασαν ς. [58] ἐν ᾗ κεφάλαια περιείχετο] ἐν η' κεφαλαίοις· περιείχετο δέ A. [59] συζητήσεως A. [60] καὶ ante μάθ. et infr. τῆς ante τε add. A. [61] ἐλαχίστων A : ἐλαχίστως ς. [62] ὑπερβολῆς ς. [63] post ἀδελφὸν cum A omisi δηλοποιεῖ. [64] malim ἕκαστον.

NOTÆ

(7) Infrequens quidem illud φοροlίγον, sed quod vel ex suo ἀναστρέφω τῷ ὀλιγόφορον facile percipias.

(8) An hæc jam in quatuor illos dialogos distributa legimus quod ad finem Operum D. Gregorii Nazianzeni Jac. Billius edidit?

(9) Negat id Jac. Billius argumento in orationem 10 B. Greg. Nazianz.

(10) Sui, ut videtur, oblitus Photius, propositum semel antea opus (supr. cod. 185.) hic denuo repetit, commissis tantum ἀντιῤῥητικῶς capitibus et brevissima κρίσει adjecta.

cuique assertioni refutatio statim opponeretur. Ipsa porro elocutio neque admodum exornatur, neque tamen, sine venustate negligitur : præsertim cum non ad ostentationem aliquam, sed ad disputationem potius opus hoc comparatum sit a suo auctore, cui tenue dicendi genus et cognatarum rerum series curæ fuit. Utilis autem liber iis est, qui in dialecticis exercentur, atque ista fere suo argumento comprehensa. 1. Ab utroque parente mitti semen, animantiaque gigni ; et contra non ab utroque. 2. Ex universo corpore semen excerni : contra vero a testiculis. 3. Concoctionem calore fieri : contra vero non item. 4. Attritu concoctionem fieri : et attritu minime fieri. 5. Putrefactione fieri concoctionem : contra vero minime. 6. **169** (*a*) Proprietate spiritus concoctionem fieri : contra non item. 7. Succorum proprietate concoctio fit ; vel minime. 8. Proprietate caloris fit concoctio : et non item. 9. Calore digestionem fieri : et non item. 10. Ciborum distributionem per caloris ad se attractionem fieri ; vel minime. 11. Spiritu fit digestio : aut non item. 12. Arteriarum applicatione digestio fit : minime vero sic. 13. Digestio fit per absentiam cum vacuitate : et quod per incertam sive quamcunque absentiam fieri soleat digestio. 14. Ex eo glaucedo nascitur, quod alimento suo visualis porus destituatur : et non item. 15. Sanguinis illapsu in visionis porum glaucedo fit oculorum : et non item. 16. Humidorum crassitie, atque exhalatione fit glaucedo : et non fit. 17. Phrenitidem fieri per distensionem meningis, sanguinisque corruptionem : et non ita fieri. 18. Ex caloris excessu nasci phrenitidem : et non item. 19. Per inflammationem phrenitidem nasci : et non item. 20. Lethargum ex inflammatione fieri : et non ita. 21. Per distentionem corruptionemque lethargicos fieri : et non item. 22. Per universum corpus diffundi appetitum edendi atque bibendi : et tantum in stomacho existere. 23. Edendi atque bibendi appetitum in imaginatione situm esse. 24. Ex humorum inopia sitim nasci : et non item. 25. In stomacho duplicem spectari efficiendi vim : et vero minime. 26. Inferior (11) cerebri pellicula in concavitate principium est nervorum : et vero minime, sed exterior. 27. Pharmaca diffusa per corpus purgare ; et non item, sed ipso allapsu. 28. Non esse utendum purgantibus medicamentis : imo esse. 29. Vini haustum febricitantibus esse concedendum : et non esse, cum perniciosus sit. 30. Balnea febricitantibus utilia esse : imo noxia esse. 31. In morborum incrementis clystere utendum : et non utendum. 32. Non esse morborum initio unctionibus utendum : imo id perutile esse. 33. Caput cataplasmatis curandum : et non item, sed olfactoriis duntaxat utendum.

A σμένων ἐσπούδαζεν, ἑκάστῃ κατασκευῇ ἀντιπαρατιθεμένης παρευθὺ καὶ κατὰ συνέχειαν τῆς ἀνασκευῆς. Ἡ μὲν ἑρμηνεία τοῦ λόγου οὔτε ἐξωράϊσται [65] οὔτε ἐῤῥίπται τοῦ κάλλους, ἄλλως τε καὶ ὅτι οὐδ' ἐπιδεικτικῶς, ἀλλ' ἐς τὸ γύμνάσιον τῷ συγγραφεῖ τὸ σπούδασμα τείνει [66], καὶ ἰσχνότητος αὐτῷ καὶ τῶν συστοίχων μέλει· χρήσιμον δὲ τὸ βιβλίον τοῖς τὴν διαλεκτικὴν τριβὴν ἀσκουμένοις. Ἡ δὲ ὑπόθεσις λέγει ταῦτα, ὅτι ἐξ ἀμφοτέρων ἡ καταβολὴ τοῦ σπέρματος καὶ ζωογονία γίνεται, καὶ τοὐναντίον οὐκ ἐξ ἀμφοτέρων. Δεύτερον ὅτι ἀφ' ὅλου τοῦ σώματος ἡ τοῦ σπέρματος ἔκκρισις, καὶ τοὐναντίον ὅτι ἀπὸ μόνων [67] τῶν διδύμων· γ' ὅτι ἡ πέψις θερμασίᾳ γίνεται, καὶ ὅτι οὐχ οὕτως, δ' ὅτι τρίψει ἡ πέψις γίνεται, καὶ ὅτι οὐ τρίψει ε' ὅτι σήψει ἡ πέψις, καὶ ὅτι οὐ σήψει. ς' B ὅτι τοῦ πνεύματος ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως. ζ' ὅτι χυμῶν ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως η' ὅτι θερμασίας ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως. θ' ὅτι θερμασίᾳ ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτως. ι' ὅτι ἡ ἀνάδοσις τῷ τὴν θερμασίαν ἐφ' ἑαυτὴν ἕλκειν, καὶ ὅτι οὐχ οὕτως· ια' ὅτι τῷ πνεύματι ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτως, ιβ' ὅτι τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτως, ιγ' ὅτι τῇ κατὰ κενὸν ἀπουσίᾳ ἡ ἀνάδοσις, καὶ ὅτι οὐ κατὰ τὸ ἄδηλον ἀπουσίᾳ ἡ ἀνάδοσις, ιδ' ὅτι δι' ἀτροφίαν τοῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις συμβαίνει, καὶ ὅτι οὐχ οὕτως, ιε' ὅτι παρ' ἔμπτωσιν [68] αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις, καὶ ὅτι οὐχ οὕτως. ις' ὅτι καθ' ὑγρῶν πάχος καὶ διαπνοὴν [69] ἡ ὀπογλαύκωσις, καὶ ὅτι οὐχ οὕτως. [541 R.] ιζ' ὅτι C ἡ φρενῖτις κατὰ διάτασιν τῆς μήνιγγος καὶ φθορὰν τοῦ αἵματος γίνεται, καὶ ὅτι οὐχ οὕτως· ιη' ὅτι κατὰ θερμασίας πλεονασμὸν ἡ φρενῖτις συμβαίνει, καὶ ὅτι οὐχ οὕτως. ιθ' ὅτι διὰ φλεγμονὴν ἡ φρενῖτις, καὶ ὅτι οὐχ οὕτως. κ' ὅτι ὁ λήθαργος διὰ φλεγμονὴν γίνεται, καὶ ὅτι οὐχ οὕτως. κα' ὅτι κατὰ διάτασιν οἱ ληθαργικοὶ καὶ φθορὰν, καὶ ὅτι οὐχ οὕτως. κβ ὅτι [70] περὶ ὅλον τὸ σῶμα ἡ τοῦ πιεῖν καὶ φαγεῖν συνίσταται ὄρεξις, καὶ ὅτι περὶ μόνον τὸν στόμαχον κγ' ὅτι ἡ τοῦ φαγεῖν καὶ πιεῖν ὄρεξις περὶ διάνοιαν, κδ' ὅτι καθ' ὑγρῶν ἔνδειαν τὸ δίψος, καὶ ὅτι οὐχ οὕτως, κε' ὅτι περὶ τὸν στόμαχον διπλῆ τις ὁρᾶται ἐνέργεια, καὶ ὅτι οὐχ οὕτως, κς' ὅτι ἡ [71] ἐντὸς [279 H.] μῆνιγξ ἡ ἐν τῷ κοιλώματι ἀρχὴ τῶν νεύρων ἐστί, καὶ ὅτι οὐχ οὕτως, ἀλλ' ἡ ἐκτός. κζ' ὅτι D ἀναδιδόμενα τὰ φάρμακα καθαίρει, καὶ ὅτι οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν πρόσπτωσιν, κη' ὅτι οὐ χρηστέον τοῖς καθαρτικοῖς, καὶ ὅτι χρηστέον· κθ' ὅτι οἴνου δόσει χρηστέον ἐπὶ τῶν πυρεσσόντων, καὶ τοὐναντίον ὅτι ἀσύμφορον. λ' ὅτι λουτρὸν τοῖς πυρέσσουσι [72] λυσιτελεῖ, καὶ ὅτι ἀσύμφορον. λα' ὅτι δεῖ ἐν ταῖς ἐπιτάσεσι τῶν νόσων κλύζειν, καὶ ὅτι οὐ προσῆκον [73]. λβ' ὅτι οὐ δεῖ κατ' ἀρχὰς ὑπαλείψει Χρῆσθαι, καὶ ὅτι συμφέρον. λγ' ὅτι δεῖ καταπλάττειν τὴν κεφαλὴν,

VARIÆ LECTIONES

[65] ἡ — ἐξωράϊσται A : καὶ ἡ — ἐξωραΐζεται ς. [66] διατείνει ς. [67] μόνων add. A. [68] παρ' ἔμπτωσιν A : παρέμπτωσις ς. [69] διὰ πνοήν ς. [70] ὅτι οὐ περί ς. [71] ἡ add. A. [72] τοὺς πυρέσσοντας ς. [73] προσήκει ς.

NOTÆ.

(11) Supr. cap. 85, ἡ ἐκτός.

καὶ ὅτι οὐ δεῖ, τοῖς δ' ὀσφραντοῖς μόνον χρῆσθαι. λδ' ὅτι ἐμετοποιία ἀσύμφορον, καὶ ὅτι συμφέρον. λε' ὅτι οὐχ ἐπιπέμπει ἡ καρδία αἷμα, καὶ ὅτι ἐπιπέμπει. λς' ὅτι οὐχ ἡ καρδία τὸ πνεῦμα ἐπιπέμπει, ἀλλ' αἱ ἀρτηρίαι ἕλκουσι, καὶ ὅτι ἔμπαλιν. λζ' ὅτι ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται, καὶ ὅτι οὐκ ἐξ ἑαυτῆς. λη' ὅτι κατὰ φύσιν αἷμα ἐν ἀρτηρίαις ὑπάρχει, καὶ ὅτι οὐχ αἵματος αἱ ἀρτηρίαι ἀγγεῖον. λθ' ὅτι πάντα τὰ ἀγγεῖα ἐν τῷ ὄγκῳ ἁπλᾶ ἐστι, καὶ ὅτι πλέγματά ἐστιν. μ' ὅτι διὰ [74] τῶν νεύρων ἡ αἴσθησις καὶ ἡ κίνησις τοῦ ζώου, καὶ ὅτι οὐχ οὕτως· μα' ὅτι ἀρχὴ φλεβῶν ἡ καρδία, καὶ ὅτι οὐκ ἀρχή. μβ' ὅτι ἦπαρ ἀρχὴ φλεβῶν, καὶ ὅτι οὐκ ἀρχή. μγ' ὅτι ἡ κοιλία φλεβῶν ἀρχὴ, καὶ ὅτι οὐκ ἀρχή. μδ' ὅτι πάντων τῶν ἀγγείων ἀρχὴ μῆνιγξ, καὶ [75] ὅτι οὐκ ἀρχή. με' ὅτι πνεῦμα ἀρτηριῶν ἀρχὴ, καὶ ὅτι οὐκ ἔστιν ἀρχή. μς' ὅτι ἡ παρὰ τὴν ῥάχιν [76] ἀρτηρία ἀρτηριῶν ἀρχὴ, καὶ ὅτι οὐκ ἀρχή. μζ' ὅτι ἡ καρδία ἀρχὴ ἀρτηριῶν [77], καὶ ὅτι οὐκ ἀρχή. μη' ὅτι οὐχ [78] ἡ καρδία ἀρχὴ νεύρων, ἀλλ' ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ, καὶ ὅτι οὐκ ἀρχή· μθ' ὅτι οὐ περὶ καρδίαν τὸ διανοητικόν, ἀλλὰ περὶ κεφαλήν, καὶ ὅτι ἀνάπαλιν. ν' ὅτι τὸ διανοητικόν ἐστι περὶ τὴν μέσην τοῦ ἐγκεφάλου κοιλίαν, καὶ ὅτι οὐχ οὕτως. Ταῦτα καὶ ἡ ὑπόθεσις διατείνεται.

A 34. Vomitus provocationem nihil prodesse: imo utilem esse. 35. Cor emittere sanguinem: et contra non emittere. 36. Cor non emittere spiritum, sed arterias potius ipsum attrahere: et contra. 37. Cor a seipso moveri: imo non a seipso. **169** (*b*) 38. Sanguinem natura in arteriis exsistere: et arterias non esse sanguinis receptaculum. 39. Vasa omnia in summo simpla esse: imo plicata esse atque involuta. 40. Per nervos sensum esse et motum animantis: et non esse principium. 41. Venarum cor esse principium: et non esse principium. 42. Jecui venarum esse principium: et rursum non esse. 43. E ventriculo venas nasci: et non nasci. 44. Omnium vasorum principium esse meninga, seu cerebri tunicam: et non esse. 45. Spiritum esse arteriarum originem: et contra non esse. 46. Arteria illa, quæ juxta dorsi spinam sita, principium arteriarum est: et non est. 47. Cor esse arteriarum principium: et non esse. 48. Neque cor nervorum principium est; sed cerebrum ambiens pellicula: et non est. 49. In corde non esse intelligendi vim, sed in capite: et contra. 50. Intelligendi vim in medio esse cerebri ventriculo: et non esse. Hæc igitur opus illud [efficere] contendit.

ΣΙΒ'

Αἰνησιδήμου Πυῤῥωνίων λόγοι η'.

'Ανεγνώσθησαν Αἰνησιδήμου Πυῤῥωνίων λόγοι η' Ἡ μὲν ὅλη πρόθεσις τοῦ βιβλίου βεβαιῶσαι ὅτι οὐδὲν βέβαιον εἰς κατάληψιν, οὔτε δι' αἰσθήσεως, ἀλλ' οὔτε μὴν διὰ νοήσεως· διὸ οὔτε τοὺς Πυῤῥωνίους οὔτε τοὺς ἄλλους εἰδέναι τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν, ἀλλὰ τοὺς μὲν κατ' ἄλλην αἵρεσιν φιλοσοφοῦντας ἀγνοεῖν τε τἆλλα καὶ ἑαυτοὺς μάτην κατατρίβειν καὶ δαπανᾷν συνεχέσιν ἀνίαις, [544 R.] καὶ αὐτὸ δὲ τοῦτο ἀγνοεῖν, ὅτι οὐδὲν αὐτοῖς τῶν δοξάντων εἰς κατάληψιν ἐληλυθέναι κατείληπται. Ὁ δὲ κατὰ Πύῤῥωνα φιλοσοφῶν τά τε ἄλλα εὐδαιμονεῖ καὶ σοφός ἐστι τοῦ μάλιστα εἰδέναι ὅτι οὐδὲν αὐτῷ βεβαίως κατείληπται· ἃ δὲ καὶ εἰδείη, οὐδὲν μᾶλλον αὐτῶν τῇ καταφάσει ἢ τῇ ἀποφάσει γενναῖός ἐστι συγκατατίθεσθαι. Ἡ μὲν ὅλη [79] τοῦ βιβλίου διάληψις ὅ βούλεται, εἴρηται· γράφει δὲ τοὺς λόγους Αἰνησίδημος προσφωνῶν αὐτοὺς τῶν ἐξ 'Ακαδημίας τινὶ συναιρεσιώτῃ Λευκίῳ Τοβέρωνι [80], γένος μὲν Ῥωμαίῳ, δόξῃ δὲ λαμπρῷ ἐκ [81] προγόνων καὶ [280 H.] πολιτικὰς ἀρχὰς οὐ τὰς τυχούσας μετιόντι.

'Εν μὲν [82] οὖν τῷ πρώτῳ λόγῳ διαφορὰν τῶν τε Πυῤῥωνίων καὶ τῶν 'Ακαδημαϊκῶν εἰσάγων μικροῦ γλώσσῃ αὐτῇ ταῦτά φησιν, ὡς οἱ μὲν ἀπὸ τῆς 'Ακαδημίας δογματικοί τέ εἰσι καὶ τὰ μὲν τίθενται ἀδι-

B C D

CCXII.

Ænesidemi De Pyrrhoniis libri VIII.

Legi Ænesidemi *Pyrrhoniorum* libros octo. Cujus quidem operis scopus est hoc unum probare: Nihil certo comprehendi aut sensu aut ipsa etiam intelligentia posse. Quare neque Pyrrhonios, neque cæteros, quæ in rebus ipsis lateat, veritatem scire. Reliquarum ergo sectarum philosophos cum alia ignorare multa, tum quod frustra sese assiduis molestiis torqueant atque absumant, quin et hoc ipsum ignorare, quod nihil eorum comprehenderint, quæ jam opinentur se comprehendiese. At qui ex (12) Pyrrhonis instituto [ait] philosophatur (13), cætera felix, in eo quoque sapit, quod vel in primis intelligat, nihil a se certo comprehensum esse. Imo et hoc studiose agat, ne cui eorum, quæ cognorit, affirmando potius, quam negando assentiatur. Porro tota hujus operis commentatio quid propositum habeat, jam dictum. Libros ipsos Academico cuidam sodali Lucio Tuberoni (14) inscripsit, domo Roma, et claris ibi natalibus orto, quique magistratus gesserit civiles non vulgares.

Primo igitur libro, Pyrrhoniorum et Academicorum (15) discrimen referens, tantum non emissa voce ista dicit: Academicos dogmata constituere, et alia certa atque indubitata ponere, alia rursum

VARIÆ LECTIONES.

[74] διὰ om. A. [75] μῆνιγξ ἐστι καὶ ς. [76] ῥάχιν A: ἀρχήν ς. [77] ἀρτηριῶν ἀρχή ς. [78] οὐχ] οὐχί ς. [79] μὲν οὖν ὅλη ς. [80] Τοβέρωνι (littera o a correctore posita) A: Νέρωνι ς. [81] ἐκ om. A. [82] μὲν om. A.

NOTÆ.

(12) Alibi, minus recte, *Onesidemus* legitur.
(13) Ejus vitam ac placita descripsit Diog. Laert., qui frequenter hujus Ænesidemi meminit.
(14) *al.* Neroni.
(15) A. Gell. lib. XI, cap. 5, legend. et Sexti Pyrrhonii *Hypotyp.* lib. I, cap. 33.

sine ulla dubitatione tollere: Pyrrhonios autem dubios hærere, et ab omni dogmate liberos atque solutos esse; ut eorum etiam nemo omnino, aut comprehendi omnia posse **170** (*a*) aut non posse dixerit; sed nihilo magis talia, quam talia esse, aut tunc quidem talia, alias vero non talia, vel uni quidem hujusmodi, alii vero non hujusmodi, tertio etiam plane non esse. Neque rursum omnia esse communiter ejusmodi, ut assequi illa quispiam possit, vel quædam saltem horum assequi non possit, sed non magis fieri posse, ut quis ea assequatur, quam ut non assequatur: vel nunc quidem assequi possit, tunc vero non item. Imo neque verum, neque falsum, neque probabile, neque ens, neque non ens, sed idem, ut sic dicatur, non potius verum esse, quam falsum: aut probabile potius, quam improbabile: aut ens, quam non ens, aut tum quidem tale, alias vero aliusmodi: aut uni tale, mox alteri etiam non tale. Nihil enim in universum Pyrrhonios definite, ne hoc quidem ipsum, quod nihil definiatur. Verum cum non suppetat, ut aiunt, quo sensa mentis efferamus, sic loqui solemus. At qui ad Academiam, maximeque ad hanc novam pertinent, inquit, cum Stoicis interdum opinionibus consentiunt, et (si verum fateri volumus) Stoici ipsi, sed qui cum Stoicis pugnent, videntur. Deinde et de multis decreta statuunt. Virtutem enim atque amentiam inducunt: bonum quoque, et malum velut principia ponunt; verum item, et falsum, rursum probabile, et improbabile, ens dein, et non ens, aliaque non pauca certo definiunt: ambigere se tantum dicentes de comprehensiva imaginatione. Quamobrem Pyrrhonii, dum nihil definiunt, omnino irreprehensi permanent; verum Academicis, ait, pares cum aliis philosophis rationes reddendæ. Illud porro maximum: quod illi de re qualibet sibi oblata dubitantes, non tantum eumdem perpetuo teneant ordinem, sed nunquam etiam secum ipsi pugnent, cum hi secum pugnare se, ne sentiant quidem. Simul enim ponere quidpiam, et rursum indubitanter tollere, simul item dicere communiter aliqua esse comprehensibilia, et non esse, manifestam utique pugnam affert. Alioquin quomodo fieri possit, ut qui cognorit hoc esse verum, illud falsum, adhuc dubitet, atque ambigat: et non certo prius illud amplectatur, alterumque declinet? Nam si ignoratur hoc bonum esse, aut malum: vel hoc verum, illud falsum: et hoc exsistere, illud vero minime: omnino fatendum horum singula comprehendi non posse; sin evidenter sensu vel intelligentia horum quidque percipiatur, comprehensibile jam horum esse quodlibet dicendum est. Hæc, aliaque id genus, ab ipso mox librorum initio discrimen Pyrrhonios inter et Academicos ostendens, hic Ænesidemus Ægeus pertractat, universum **170** (*b*)

A στάκτως, τὰ δὲ αἴρουσιν ἀναμφιβόλως, οἱ δ' ἀπὸ [83] Πύῤῥωνος ἀπορητικοί τέ εἰσι καὶ παντὸς ἀπολελυμένοι δόγματος, καὶ οὐδεὶς αὐτῶν τὸ παράπαν οὔτε ἀκατάληπτα πάντα εἴρηκεν οὔτε καταληπτὰ, ἀλλ' οὐδὲν μᾶλλον τοιάδε, ἢ τοιάδε, ἢ τότε μὲν τοῖα, τότε δὲ οὐ τοῖα, ἢ ᾧ μὲν τοιαῦτα ᾧ δὲ οὐ τοιαῦτα ᾧ δ' οὐδ' ὅλως ὄντα· οὐδὲ [84] μὴν ἐφικτὰ πάντα κοινῶς ἢ τινα τούτων ἢ [85] οὐκ ἐφικτὰ, ἀλλ' οὐδὲν μᾶλλον ἐφικτὰ ἢ οὐκ ἐφικτὰ, ἢ τότε μὲν ἐφικτὰ τότε δ' οὐκ ἔτι [86], ἢ τῷ μὲν ἐφικτὰ τῷ δ' οὔ. Καὶ μὴν οὐδ' ἀληθινὸν οὐδὲ ψεῦδος, οὐδὲ πιθανὸν, οὐδ' ἀπίθανον, οὐδ' ὂν οὐδὲ μὴ ὄν, ἀλλὰ τὸ αὐτὸ ὡς εἰπεῖν οὐ μᾶλλον ἀληθὲς ἢ ψεῦδος, ἢ πιθανὸν ἢ ἀπίθανον, ἢ ὄν, ἢ οὐκ ὄν, ἢ τότε μὲν τοῖον, τότε δὲ τοῖον, ἢ ᾧ μὲν τοιονδὶ, ᾧ δὲ καὶ [87] οὐ τοιονδί. Καθόλου γὰρ οὐδὲν ὁ B Πύῤῥώνιος ὁρίζει, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο, ὅτι οὐδὲν διορίζεται· ἀλλ' οὐκ ἔχοντες, φησὶν [88], ὅπως τὸ νοούμενον ἐκλαλήσωμεν, οὕτω φράζομεν. Οἱ δ' ἀπὸ τῆς Ἀκαδημίας, φησὶ, μάλιστα τῆς νῦν, καὶ Στωϊκαῖς συμφέρονται ἐνίοτε δόξαις, καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, Στωϊκοὶ φαίνονται μαχόμενοι Στωϊκοῖς. Δεύτερον [89] περὶ πολλῶν δογματίζουσιν. Ἀρετήν τε γὰρ καὶ ἀφροσύνην εἰσάγουσι, καὶ ἀγαθὸν καὶ κακὸν ὑποτίθενται, καὶ ἀλήθειαν καὶ ψεῦδος, καὶ δὴ καὶ πιθανὸν καὶ ἀπίθανον, καὶ ὂν καὶ μὴ ὄν, ἄλλα τε πολλὰ βεβαίως ὁρίζουσι, διαμφισβητεῖν δέ φασι περὶ μόνης τῆς καταληπτικῆς φαντασίας. Διὸ οἱ μὲν ἀπὸ Πύῤῥωνος ἐν τῷ μηδὲν ὁρίζειν ἀνεπίληπτοι τὸ παράπαν διαμένουσιν· οἱ δ' ἐξ Ἀκαδημίας, φησὶν, ὁμοίας τὰς εὐθύνας τοῖς ἄλλοις φιλοσόφοις ὑπέχουσι. Τὸ δὲ C μέγιστον, οἱ μὲν περὶ παντὸς τοῦ προτεθέντος διαποροῦντες τό τε σύστοιχον διατηροῦσι καὶ ἑαυτοῖς οὐ μάχονται, οἱ δὲ μαχομένοις [90] ἑαυτοῖς οὐ συνίασι· τὸ γὰρ ἅμα τιθέναι τι καὶ αἴρειν ἀναμφιβόλως, ἅμα τε φάναι κοινῶς ὑπάρχειν [91] καταληπτὰ, μάχην ὁμολογουμένην εἰσάγει, ἐπεὶ πῶς οἷόν τε γινώσκοντα τόδε μὲν εἶναι ἀληθὲς τόδε δὲ ψεῦδος ἔτι διαπορεῖν καὶ διστάσαι, καὶ οὐ σαφῶς τὸ μὲν ἑλέσθαι τὸ δὲ περιστῆναι; εἰ μὲν γὰρ [92] ἀγνοεῖται ὅτι τόδε ἐστὶν ἀγαθὸν ἢ κακὸν, ἢ τόδε μὲν ἀληθὲς τόδε δὲ ψεῦδος, καὶ τόδε μὲν ὂν τόδε δὲ μὴ ὄν, πάντως ὁμολογητέον ἕκαστον ἀκατάληπτον εἶναι· [545 R.] εἰ δ' ἐναργῶς κατ' αἴσθησιν ἢ κατὰ νόησιν καταλαμβάνεται, καταληπτὸν ἕκαστον φατέον. Ταῦτα μὲν ἀρχόμενος τῶν λόγων καὶ τοιαῦθ' ἕτερα, τὴν διαφορὰν τῶν Πυῤῥωνίων καὶ D Ἀκαδημαϊκῶν ὑποδεικνὺς, ἀναγράφει ὁ Αἰνησίδημος ὁ ἐξ Αἰγῶν· ἐφεξῆς δὲ κατὰ τὸν αὐτὸν λόγον πρῶτον καὶ τὴν ὅλην ἀγωγὴν ὡς τύπῳ καὶ κεφαλαιωδῶς τῶν Πυῤῥωνίων παραδίδωσι λόγων. Ἐν δὲ τῷ β' κατὰ μέρος ἤδη ἀρχόμενος ἐπεξιέναι τὰ ἐν κεφαλαίῳ εἰρημένα περί τε ἀληθῶν καὶ αἰτίων [281 H.] διαλαμβάνει καὶ παθῶν καὶ κινήσεως, γενέσεώς τε καὶ φθορᾶς καὶ τῶν τούτοις ἐναντίων, κατὰ πάντων αὐτῶν τὸ ἄπορόν τε [93] καὶ ἀκατάληπτον πυκνοῖς, ὡς οἴεται, ἐπιλογισμοῖς ὑποδεικνύς. Καὶ ὁ γ' δὲ αὐτῷ λόγος περὶ κινή-

VARIÆ LECTIONES.

[83] ὑπό ς. [84] οὐδέ A : οὔτε ς. [85] ἢ add. A. [86] οὐκέτι, ἢ τῷ μὲν ἐφικτὰ τῷ δ' οὔ A : οὐκ ἐφικτά ς. [87] καὶ om. A. [88] libri φασίν. [89] δεύτερον] β' A : δεύτερον καί ς. [90] μαχομένους ς. [91] ὑπάρχειν] ὑπάρχειν καὶ μὴ ὑπάρχειν mg. A. [92] γὰρ add. A. [93] τε add. A.

σεως καὶ αἰσθήσεως καὶ τῶν κατ' αὐτὰς ἰδιωμάτων, τὰς ὁμοίας περιεργαζόμενος ἐναντιολογίας, εἰς τὸ ἀνέφικτον καὶ ἀκατάληπτον ὑποφέρει καὶ αὐτά. Ἐν δὲ τῷ δ' σημεῖα μὲν, ὥσπερ τὰ φανερά φαμεν τῶν σφανῶν, οὐδ' ὅλως [94] εἶναί φησιν [95], ἡπατῆσθαι δὲ γενῇ προσπαθείᾳ τοὺς οἰομένους, ἐγείρει δὲ τὰς ἐξ ἔθους ἐφεξῆς ἀπορίας περί τε ὅλης τῆς φύσεως καὶ κόσμου καὶ θεῶν, οὐδὲν τῶν [96] εἰς κατάληψιν πεσεῖν ἐντεινόμενος. Προβάλλεται αὐτῷ [97] καὶ ὁ ε' λόγος τὰς κατὰ τῶν αἰτίων ἀπορητικὰς λαβάς, μηδὲν μὲν μηδενὸς αἴτιον ἐνδιδοὺς εἶναι, ἡπατῆσθαι δὲ [98] τοὺς αἰτιολογοῦντας φάσκων, καὶ τρόπους ἀριθμῶν καθ' οὓς οἴεται αὐτοὺς αἰτιολογεῖν ὑπαχθέντας εἰς τὴν τοιαύτην περιενεχθῆναι πλάνην. Καὶ ὁ ς' δὲ τὰ ἀγαθὰ καὶ κακὰ, καὶ μὴν καὶ τὰ αἱρετὰ καὶ φευκτὰ, ἔτι δὲ [99] προηγούμενά τε καὶ ἀποπροηγούμενα, εἰς τὰς αὐτὰς ἐρεσχελίας ἄγει, τό γε ἐπ' αὐτῷ καὶ ταῦτα τῆς καταλήψεως ἡμῶν καὶ γνώσεως ἀποκλείων. Τὸν μέντοι ζ' κατὰ τῶν ἀρετῶν ὁπλίζει, διακενῆς λέγων τοὺς φιλοσοφοῦντας [1] περὶ αὐτῶν ἀναπλάσαι δόξας, καὶ ἑαυτοὺς [2] ἀποβουκολεῖν [3] ὡς εἰς τὴν τούτων εἵλησαν πρᾶξίν τε καὶ θεωρίαν ἀφιγμένοι. Ὁ δ' ἐπὶ πᾶσι [4] καὶ η' κατὰ τοῦ τέλους ἐνίσταται, μήτε τὴν εὐδαιμονίαν μήτε τὴν ἡδονὴν μήτε τὴν φρόνησιν μήτ' ἄλλο τι τέλος ἐπιχωρῶν εἶναι, ὅτῳ ἄν τις τῶν κατὰ φιλοσοφίαν αἱρέσεων δοξάσειν, ἀλλ' ἁπλῶς οὐκ εἶναι τέλος τὸ πᾶσιν ὁμνούμενον.

A deinceps Pyrrhoniarum rationum institutum eodem hoc priore libro paucis ac summatim traditurus. Secundo deinde libro singulatim jam, quæ universe dixerat, tractare incipiens, de veris et causis disputat, deque affectionibus, de motu item, et generatione atque corruptione, ac de horum contrariis, adversus hæc omnia dubia illa esse atque incomprehensibilia, validis, ut putat, ratiocinationibus ante oculos ponens. Tertius posthæc liber de motu et sensu, eorumque proprietatibus, similes contradictiones curiosius investigando, ad ea quæ nemo assequi aut comprehendere possit, hæc quoque abripere conatur. Quarto autem libro signa rerum obscurarum, quæ nos manifestas hasce res esse dicimus, ne esse quidem vult: sed decipi inani affe-
B ctione eos qui hæc opinentur. Movet et ex more alias deinde quæstiones de universa natura, de mundo, de diis, nihil horum percipi posse contendens. Proponit ipsis et quintus liber dubitandi adversus causas occasiones, nihil nullius esse causam tradens, et falli qui causas afferre conentur: numerans etiam modos quibus causas reddere studeant, qui coacti jam in hoc errore versentur. Sextus vero bona et mala, quæque expetenda et quæ fugienda, præposita (16) ad hæc atque rejecta in eamdem ludificatoriam disputationem adducit: quæ, quantum in ipso est, a nostra quoque comprehensione atque cognitione excludit. Septimum adversus virtutes instruit, referens varias de iis opiniones nequidquam commentos esse philosophos, seipsos decipientes, quasi jam ad earum actionem contemplationemque pervenissent. Qui ad hos omnes Octavus accedit liber, contra [bonorum] finem disputat, neque beatitudinem illum esse, neque voluptatem neque prudentiam, neque aliud eorum quidpiam quod cujuscunque philosophorum familiæ sectator opinando asserere queat: sed omnino finem non esse, ab omnibus licet decantetur.

Οἱ μὲν οὖν τοῦ Αἰνησιδήμου λόγοι πρὸς τοιοῦτον
C ἀγῶνα κανίζονται [5]· ὅτι δὲ ματαιότης αὐτῶν καὶ πολλὴ λέσχη ἡ σπουδὴ, Πλάτωνί τε καὶ πολλοῖς ἄλλοις τῶν πρὸ ἡμῶν τὸν ἔλεγχον ἔδοσαν· καὶ ὅτι μηδὲν εἰς δόγμα συντελεῖ, καὶ τοῦτο κατάδηλον, ὅπου γε καὶ τὰς ἐνούσας δογματικὰς θεωρίας ἐλαύνειν ἡμῶν τῆς διανοίας ἐπεχείρησαν. Τοῖς μέντοι κατὰ διαλεκτικὴν μελέτην πονουμένοις, ἂν μὴ τὸ ἀστήρικτον αὐτῶν τοῖς λογισμοῖς [6] ἐνεδρεύῃ καὶ ἡ κρίσις πρὸς ἀγχίνοιαν οὐ νενοθευμένη, τὸ βιβλίον οὐκ ἄχρηστον.

Igitur ad hujusmodi concertationem diriguntur Ænesidemi libri, qui Platoni, aliisque ante nos pluribus satis indicarunt, stultitiæ plenum ac nugarum illius opus esse. Nihil item ipsum ad aliquod dogma [confirmandum] prodesse, æque est manifestum, ubi saltem ipsas quoque inhærentes nostræ menti dogmaticas contemplationes expellere **171** (*a*) aggressus est. Si qui tamen in dialecticis exercentur, non inutilis hic liber: modo ne horum parum adhuc confirmata mens, hisce ratiocinationibus inhærescat, judiciique perspicacitas vitiata non sit.

ΣΙΓ'.

Ἀγαθαρχίδου Ἱστορικόν.

Ἀνεγνώσθη Ἀγαθαρχίδου Ἱστορικόν· ἔνιοι δὲ αὐτὸν Ἀγάθαρχον ὀνομάζουσι. Τούτῳ πατρὶς [548 D
R.] μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο· ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ Λέμβρου [7] Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέσχε γνωρίζεσθαι. Ἦν δὲ καὶ θρεπτὸς Κιννάου.

CCXIII.

Agatharchidæ Historica.

Legi Agatharchidæ, quem Agatharchum quidam nominant, *Opus historicum*. Hic patria Cnidius, instituto grammaticus fuit. Scribam tamen atque anagnosten insuper fuisse, præstitum his functionibus Heraclidæ Lembro ministerium, indicium fecit. Fuit et alumnus Cinnæi. Scripsisse autem

VARIÆ LECTIONES.

[94] ὅλως] ἄλλως **A**. [95] φασιν ς. [96] τῶν] nonne αὐτῶν. [97] αὐτῷ **A** : δὲ αὐτῷ ς. [98] δὲ **A** : δὲ καί ς. [99] δὲ add. **A**. [1] φιλοφρονοῦντας ς. [2] αὐτούς ς. [3] libri ἀποβουκολεῖ. [4] ἐπὶ τούτοις πᾶσι ς. [5] κανονίζονται ς. [6] λογισμοῖς **A** : λόγοις ς. [7] τοῦ Λέμβρου] Λέμβος Casaubonus.

NOTÆ.

(16) Προηγούμενά τε καὶ ἀποπροηγούμενα quæ dicantur apud Stoicos, docebit te Cicero III *De finibus*, et clarius Sextus Empiric. lib. III *Pyrrhon. Hypot.* cap. 24, init.

Asiaticas res libris decem, et de Europæ rebus libris (17) quadraginta novem historiam pertexuisse, didicimus. Ejus autem libri (18) quinque Rubrum mare, quæque ad illud pertinent, exponunt. Et hæc quidem omnia ipsemet extremo libro quinto commemorat. Ubi et ob alias certas causas a scribendo se cessasse ait, quodque exacta jam ætas in senium vergeret. Sunt qui præter hæc alia ab illo conscripta tradunt, quæ mihi videre nunquam contigit. Nam et Compendium aiunt uno libro reliquisse eorum, quæ de Rubro mari scripsisset; item *De Troglodytis* libros quinque, sed et *Epitomen* Lydes ab Antimacho scriptæ; rursum aliud *Breviarium* eorum quæ de collectione admirabilium ventorum scripta exstarent. Historiarum adhæc Excerpta composuisse, atque de amicorum inter ipsos consuetudine.

Est autem hic vir, quantum ejus libris legendis cognoscere potui, grandiloquus, et sententiis abundans. Qui orationis magnitudine ac dignitate præcæteris quidem gaudet, sed verbis selectioribus non admodum videtur addictus. Neque tamen dum usitatas per omnia consuetasque voces non adhibet, novas ipse format: nisi forte usurpandorum vocabulorum artifex quispiam, novam quamdam speciem præferentem phrasim de non novis vocabulis effecerit. Quod quidem artificium ingeniose adeo tibi subjicit, ut nec innovatum quidquam videatur, nec minor sit, quam si usitatas attulisset voces perspicuitas. Utitur etiam sententiis, quæ ejus prudentiam non minus, quam industriam manifeste declarant. Ad verborum item immutationem rectius assumendam, egregie præ cæteris comparatus est. Jucunditatem porro, quodque animum demulcere, aut diffundere queat, occulte passim ac latenter **171** (*b*) per totum opus disseminat. Ad tropos quoque ubi se applicarit, sine ullo molestiæ sensu illos adhibet. Quod quidem in eo efficit non verborum ipsa per se commutatio, sed ingeniosa quædam et suavis ad res alias transitio atque conversio. Etenim nomen pro verbo assumere, rursumque verbum in nomen commutare, voces quoque in orationem diffundere, et orationem in nominis quasi formam cogere, nemo est omnium, quos novimus, hoc ipso peritior. Idem Thucydidem in concionibus apparatu et ubertate imitatus, magnitudine orationis æquat, perspicuitate autem etiam vincit. Talis omnino vir iste est, ab ipsa quoque grammatica gloriam assecutus. Cui etsi rhetoris cognomentum improvidum

Γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν ἔγνωμεν [8] ἐν βιβλίοις ι' · καὶ τῶν κατὰ τὴν Εὐρώπην δὲ [9] εἰς θ' καὶ μ' παρατείνεται αὐτῷ ἡ ἱστορία · ἀλλὰ καὶ ε' βιβλία τὴν Ἐρυθρὰν αὐτῷ πᾶσαν καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. Τὴν οὖν εἰρημένην ἅπασαν συγγραφὴν [282 H.] καὶ αὐτὸς ἐπὶ τέλει τοῦ ε' λόγου εἰς μνήμην ἀνάγει, ἐν ᾧ καὶ πεπαῦσθαι τοῦ γράφειν διά τινάς τε αἰτίας ἄλλα, καὶ ὅτι τὰ τῆς ἡλικίας ἀποκλίνοι πρὸς τὸ ἔξωρον. Πλήν γε εἰσὶν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα οὐδέπω [10] ἴσμεν, Ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς Ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ, καὶ μὴν καὶ Περὶ Τρογλοδυτῶν βιβλία ε', ἀλλὰ καὶ Ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην Ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, ἐκλογάς τε ἱστοριῶν αὐτὸν συντάξαι [11], καὶ περὶ τῆς προσφιλοῦς ὁμιλίας.

Ἔστι δὲ ἐξ ὧν τὸν ἄνδρα τοὺς λόγους αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικὸς, καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι τῶν ἄλλων μᾶλλον χαίρων, λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος, οὐδὲ διὰ τῶν ἐθίμων δὲ διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' εἴ τις ἄλλος [12] δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς [13] κεχρημένος λέξεσι φαντασίαν πέμπουσαν [14] ἀποτελεῖ τὴν φράσιν · οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν, ὡς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. Κέχρηται δὲ καὶ γνώμαις τὸ νουνεχὲς καὶ δραστήριον ἐπιδηλούσαις. Τροπὰς δὲ ὑπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος τὸ μὲν ἡδὺ καὶ κηλοῦν καὶ τὴν ψυχὴν διαχέον λελη θότως δι' ὅλου διασπείρει [15] τοῦ γράμματος, εἰς τροπὴν δὲ ὅτι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. Ποιεῖ δὲ αὐτῷ τοῦτο μάλιστα οὐχὶ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολὴ, ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα μετά τινος σοφῆς καὶ ἡρεμαίας μεταχειρίσεως [16] μετάβασίς τε καὶ μετατροπή. Ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα, καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος, οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. Καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου ἔν τε τῇ τῶν δημηγοριῶν δαψιλείᾳ τε καὶ διασκευῇ [17], τῷ μεγαλείῳ δὲ μὴ δευτερεύων τοῦ λόγου τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. Ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος · εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο · ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἔλαττον [18] τῶν γραμματικῶν οὐ δεύτερος ἦ

VARIÆ LECTIONES.

[8] ἔγνωμεν A: ἐγνωσμένα ς. [9] δὲ add. A. [10] οὐδένα] imo οὐδέν aut οὐδεμίαν. [11] συντάξαι αὐτόν ς. [12] ἄλλος add. A. [13] κεναῖς ς. [14] πρέπουσαν ς. [15] κατασπείρει ς. [16] μεταχειρήσεως A. [17] διασκευῇ καὶ δαψιλείᾳ ς. [18] ἐλάττων ς.

NOTÆ.

17) Quos citat non semel Athenæus, ut et Lucian. in *Macrobiis*, IX *Asiaticor.*

(18) Quorum primi et quinti Excerpta occurrent postea cod. 250.

τῶν ῥητόρων, δι' ὧν καὶ γράφει καὶ διδάσκει [19], καταφαίνεσθαι.

A aliorum judicium non concessit, mea certe sententia non grammaticorum solum, sed ne rhetorum quidem ulli secundus cum docendo, tum scribendo videtur.

ΣΙΔ'.

Ἱεροκλέους Περὶ Προνοίας καὶ Εἱμαρμένης βιβλία ζ'.

Ἀνεγνώσθη βιβλίον Ἱεροκλέους Περὶ Προνοίας καὶ Εἱμαρμένης, καὶ τῆς τοῦ ἐφ' ἡμῖν πρὸς τὴν [549 R.] θείαν ἡγεμονίαν συντάξεως. Ἔστι μὲν οὖν τὴν προαίρεσιν φιλόσοφος ὁ ἀνήρ, ἡ δὲ συγγραφὴ αὐτῷ Ὀλυμπιόδωρον κριτὴν προκαθίζει, ὃν καὶ παρασχεῖν τοῦ λόγου τὰς ἀφορμὰς ὑποτίθεται, καὶ αὐτὸν ἔχοντα τοῦ φιλοσοφεῖν ἔρωτα, οὐ μὴν οὐδὲ τῆς πολιτικῆς σοφίας ἄπειρον· ἐμπρέψαι [283 H.] τε γὰρ Ῥωμαϊκαῖς πρεσβείαις, καὶ πολλὰ καὶ μέγιστα τῶν βαρβάρων ἐθνῶν τῇ Ῥωμαϊκῇ συνάψαι λήξει [20], αἵτινες αὐτῷ καὶ τῶν μεγίστων παρ' αὐτοῖς τιμῶν κατέστησαν αἴτιαι. Ὁ μὲν [21] Ὀλυμπιόδωρος, πρὸς ὃν ὁ λόγος, τοιοῦτος· ᾧ δὴ καὶ παραμυθικοὺς λόγους ὁ συγγραφεὺς ἐπὶ τέλει τοῦ πρώτου βιβλίου, θετοῦ παιδὸς ἀποβολὴν πατνιωμένῳ [22] καὶ σκυθρωπάζοντι, προσενήνοχεν. Ἡ δ' ἐπαγγελία τῆς παρούσης σκέψεως Περὶ Προνοίας ἐστὶ διαλαβεῖν τῇ Πλάτωνος δόξῃ καὶ Ἀριστοτέλους συνδιατιθεμένῳ· συνάπτειν γὰρ βούλεται τοὺς ἄνδρας ταῖς δόξαις, οὐ κατὰ τοὺς λόγους τῆς Προνοίας μόνον, ἀλλά καὶ ὅσοι τὴν ψυχὴν φρονοῦσιν ἀθάνατον, καὶ εἴ τι περὶ οὐρανοῦ καὶ κόσμου τούτοις πεφιλοσόφηται. Ὅσοι δὲ τοὺς ἄνδρας εἰς διαφωνίαν ἔστησαν, τούτους εἰς τὰ μάλιστα πεπλανῆσθαί τε τῆς τῶν ἀνδρῶν προθέσεως καὶ τοῦ ἀληθοῦς ἐκπεσεῖν [23] ἀποτείνεται, τοὺς μὲν ἑκόντας ἔριδι καὶ ἀπονοίᾳ σφᾶς αὐτοὺς προσαναθέντας, τοὺς δὲ καὶ προλήψει καὶ ἀμαθίᾳ δεδουλωμένους. Καὶ πολὺν τοὺς ἔμπροσθεν στῆσαι χαρὸν, μέχρις ὅτου ἡ Ἀμμωνίου σοφία διέλαμψεν, ὃν καὶ Θεοδίδακτον ἐπικαλεῖσθαι ὑμνεῖ· τοῦτον γὰρ τὰς τῶν παλαιῶν ἀνδρῶν διακαθάραντα δόξας, καὶ τοὺς ἑκατέρωθεν ἀναφυομένους ἀποσκευασάμενον λήρους, σύμφωνον ἐν τοῖς ἐπικαίροις τε καὶ ἀναγκαιοτάτοις τῶν δογμάτων Πλάτωνός τε καὶ Ἀριστοτέλους τὴν γνώμην ἀποφῆναι. Ταῦτα διὰ τῆς γραφῆς ὁ Ἱεροκλέους λόγος σπουδάζων κατασκευάζει μὲν ἃ ἐκείνους φιλοτιμεῖται δοξάζειν, ἀνταγωνίζεται δὲ πρὸς τοὺς ἐσπουδακότας τἀναντία, Ἐπικουρείους τέ φημι καὶ Στωϊκοὺς, καὶ ὅσοι Πλάτωνα μὲν ὑποδύονται καὶ Ἀριστοτέλην, οὐκ ὀρθῶς δὲ τὰ ἐκείνων εἰσηγοῦνται. Καὶ μὴν ὅσους ὁ τῆς γενεθλιαλογίας ἀνηρτήσατο πόνος, δι' ἐλέγχων [24] ἄγει, σφαλερὰν αὐτῶν τὴν περὶ τῆς εἱμαρμένης ἐπιδεικνὺς δόξαν. Καὶ τοὺς μηχαναῖς [25] τισιν ἢ γοητείαις τὴν Πρόνοιαν τῶν ὄντων ἀποσκευάζειν τολμῶντας ταῖς ὁμοίαις τῶν

CCXIV.

Hieroclis De Providentia et Fato libri VII.

Lectus est Hieroclis (19) liber *De Providentia et Fato* (20), atque de arbitrii nostri cum divina gubernatione congruentia. Auctor hic professione philosophus, cui liber ipse Olympiodorum quemdam veluti censorem constituit, qui ejus scribendi causam dederit, cum, philosophiæ non vulgaris adamator, ne civilis quidem sapientiæ rudis esset. Clarum enim legationibus Romanis fuisse, multas-
B que ac magnas e barbaris gentibus Romano adjunxisse imperio, quæ ipsi quoque ad magnos apud illas magistratus acquirendos viam straverint. Igitur Olympiodorus, ad quem liber mittitur, talis fuit; ad quem insuper libro primo extremo adjunxit auctor consolationem, cum ille adoptivi filii amissionem supra modum lugens, non dolenti tantum esset animo, sed etiam vultu tristiore. Ipse autem commentarius *De Providentia*, disputationem præferl, ejus qui erga Platonis non aliter, quam erga Aristotelis sententiam animo affectus esset. Conciliare enim horum philosophorum inter se opiniones studet, non solum in iis quæ de Providentia disputant, verum etiam ubi animos docent esse immortales, aut de cœlo quidpiam ac mundo
C iidem philosophantur. Quotquot autem hos inter se dissentire ac pugnare arbitrati sunt, eos longissime ab eorum sententia abductos, a veritate omnino aberrasse contendit, alios sua sponte contendendi studio atque **172** (*a*) vesaniæ sese addicentes, alios præoccupata opinione atque imperitia subactos. Ac prioris quidem ordinis ingentem fuisse numerum refert, donec Ammonii aliquando sapientia orbi illuxit, quem etiam *Divinitus edoctum* appellari prædicat. Hunc enim veterum phi-
losophorum opinionibus perpurgatis, et resectis quæ utrinque excreverant nugis, in præcipuis quibusque et maxime necessariis dogmatibus, concordem esse Platonis et Aristotelis sententiam, demonstrasse. Huc igitur Hieroclis scriptio magno
D studio connitens, et argumentis illa astruit, quæ ipsos sensisse contendit; et acriter cum iis certat, qui contrariam tueri partem conati sunt. Epicureos dico, ac Stoicos, et quotquot forte Platonem atque Aristotelem colunt quidem, sed eorum sensa minus recte explicant. Eos item, qui in genethliaca desudant arte, redarguit, dum fallacem

VARIÆ LECTIONES.

[19] διδάσκει καὶ γράφει ς. [20] λέξει A. [21] μὲν οὖν Ὀλ. ς [22] ποτνιωμένῳ περιαλγεῖ τε ὄντι καί ς. [23] ἐκπεσεῖν τοῦ ἀληθοῦς ς. [24] δι' ἐλέγχων Bentleius apud Needham. p. 440 : διελέγχων ς. [25] μηχαναῖς τισιν ἢ γοητείαις post τολμῶντας ponit ζ, addito δὲ post πρόνοιαν.

NOTÆ.

(19) De quo Suid. et Liban. lib. I *Epist. ad Acacium.*

(20) Unde impressa Lutetiæ quædam excerpta, apud Fed. Morell.

eorum esse ac lubricam de fato opinionem ostendit. Imo et qui Providentiam rerum creatarum commentis quibusdam aut præstigiis tollere audent, iidem prorsus rationum quasi quæstionibus explorandos subjicit. Ut autem simul omnia dicam, adversus omnes illas opiniones insurgit, quæ indoctiores eo adducunt, ut divinam Providentiam vel omnino non esse, vel nullius esse momenti ac despicatui ducendam putent.

A λόγων ὑποβάλλει βασάνοις. Καὶ καθόλου φάναι, πρὸς τὰς ὑπολήψεις ἑνίσταται πάσας, ὅσαι τὴν θείαν οὐκ εἶναι Πρόνοιαν, ἢ εἶναι μὲν φαύλην δὲ, τοὺς ἀμαθεστέρους πείθουσι νομίζειν.

Ex Platonis igitur sententia supponit hæc disputatio Deum natura ante illam [providentiam] esse, velut universæ simul aspectabilis et inspectabilis hujus molitionis opificem, quam ex nulla re subjecta vult a suo artifice productam : ut cui sola sufficeret voluntas, quo rerum natura subsisteret. Cæterum corporea substantia per creationem cum incorporea conjuncta, mundum ex utraque natura perfectissimum, duplicem simul et unum, constitutum esse : in quo summa, media, et ima mundi opifex sapientia juxta cujusque naturam decrevit. Horum prima *ratione prædita cœlestia*, et *deos* vocari ait : Quæ vero proximæ post hunc ordinem regioni attributa sunt, ea cum *ratione prædita ætherea*, tum *dæmonas bonos appellat*, bonorum item hominibus interpretes et nuntios factos : humanum denique genus infimum tenere locum, eosque *terrena animantia, et humanas animas*, atque (ut Plato diceret) *mortales homines* appellari tradit. Hæc porro tria genera in uno velut animante, vel choro atque concentu ita esse aptata invicem atque connexa, ut naturalis eorum distinctio per unionem illam, ac nexum mutuum minime confusa conservetur. Ac præesse quidem præstantiora inferioribus : omnibus tamen omnino imperare ipsorum Patrem atque Conditorem Deum. **172** (*b*) Hoc ergo ejus tanquam a patre denominatum regnum, et videri, et vere esse Providentiam, quæ quod cuique generi convenit, hoc illi distribuat : at vero justitiam illam, quæ Dei Providentiam comitatur, vocari fatum. Uno enim fati nomine in plures notiones, ab iis qui novitate gaudent, distracto, non aliud tamen fatum sibi videri, quam id quod Aristotelem et Platonem credidisse tradit. Neque enim illam temere positam genethliacorum necessitatem ullo modo admittit, nec stoicam item vim, neque illud etiam fatum, quod Alexander Aphrodisiensis statuit, eoque tandem deducit, ut idem prorsus cum natura corporum Platonicorum efficiat : sed nec eam, quæ carminibus magicis aut sacrificiis a consueto naturæ ordine deflectatur, genesin ; sed illud tantummodo fatum, uti diximus, extollit, quod cum suis Plato vult : rerum scilicet evenientium secundum Providentiæ leges judicialem quamdam Numinis operationem, bono ordine ac serie res nostras dirigentem in illum finem, in quem liberæ actiones ex certo proposito feruntur.

Καὶ κατὰ Πλάτωνα Θεὸν αὐτῷ [26] προϋφίστησιν ἡ σκέψις, πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς δημιουργὸν διακοσμήσεως, ἣν ἐκ μηδενός φησιν ὑποκειμένου προαγαγεῖν τὸν τεχνίτην · ἀρκεῖν γὰρ αὐτῷ εἰς ὑπόστασιν τῶν ὄντων τὸ βούλημα. Τῆς δὲ σωματικῆς οὐσιώσεως τῇ ἀσωμάτῳ συντεταγμένης δημιουργίᾳ, κόσμον ἐξ ἀμφοῖν τελεώτατον, διπλοῦν τε ἅμα καὶ ἕνα, συστῆσαι, ἐν ᾧ ἄκρα καὶ μέσα καὶ τελευταῖα τὴν κοσμοποιὸν σοφίαν κατὰ φύσιν διακρῖναι · ὧν τὰ μὲν πρῶτα λογικὰ οὐράνιά τε καὶ θεοὺς καλεῖσθαι, ἃ δὲ ἡ μετ' ἐκεῖνο τὸ σύστημα ἔχειν ἔλαχε χώρα λογικὰ, αἰθέριά τε καὶ ἀγαθοὺς δαίμονας ὀνομάζει, [552 R.] τῶν τε συμφερόντων ἀνθρώποις ἑρμηνέας τε καὶ ἀγγέλους γενομένους · τὸ δὲ ἀνθρώπειον ψῦλον τὴν τελευταίαν τάξιν ἐπέχειν, οὗς περίγειά τε ζῶα καὶ ἀθανάτους ψυχὰς καὶ (ὡς ἂν εἴποι Πλάτων) ἀθανάτους ὀνομάζεσθαι ἀνθρώπους. Τὰ δὲ τρία ταῦτα γένη [284 H.] ὡς ἐν ἑνὶ ζώῳ ἢ χορῷ καὶ συμφωνίᾳ συνηρτῆσθαι μὲν ἀλλήλοις, ἀσύγχυτον δὲ τῇ ἑνώσει καὶ ἀλληλουχίᾳ τὴν κατὰ φύσιν αὐτῶν διάκρισιν συντηρεῖσθαι. Καὶ ἡγεῖσθαι μὲν τῶν καταδεεστέρων τὰ προτεταγμένα, πάντων δὲ αὐτῶν βασιλεύειν τὸν Πατέρα Θεὸν καὶ Δημιουργόν. Καὶ ταύτην τὴν πατρονομικὴν [27] αὐτοῦ βασιλείαν πρόνοιαν καὶ νομίζεσθαι καὶ εἶναι, ἥτις ἑκάστῳ γένει τὰ προσήκοντα διανέμει. Τὴν μέντοι γε τῇ Προνοίᾳ συνεπομένην δίκην εἱμαρμένην καλεῖσθαι · εἰς ἑνὸς γὰρ πλείω σημαινόμενα τοῦ τῆς εἱμαρμένης ὀνόματος ὑπὸ τῶν χαιρόντων ταῖς καινοτομίαις κατασκεδασθέντος, οὐκ ἄλλην νομίζειν αὐτὸν εἱμαρμένην ἀλλ' ἣν Ἀριστοτέλει καὶ Πλάτωνι νομίζειν δίδωσι. Τήν τε γὰρ τῶν γενεθλιαλόγων ἀλόγιστον ἀνάγκην οὐδ' ὅλως προσίεται, οὐδὲ τὴν Στωϊκὴν βίαν, οὐ μὴν ἀλλ' οὐδ' ἣν ὁ ἐξ Ἀφροδισιάδος δοξάζει Ἀλέξανδρος, τῇ Πλατωνικῇ τῶν σωμάτων φύσει εἰς ταυτότητα περιάγων ταύτην · ἀλλ' οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν. Ἐκείνην δὲ, καθὼς ἔφημεν, πρεσβεύει, ἣν οἱ περὶ Πλάτωνα βούλονται · ἥτις τῶν ἐκβαινόντων κατὰ τὸν τῆς Προνοίας θεσμὸν δικαστικὴ τοῦ Θείου ὑπάρχει ἐνέργεια, τάξει καὶ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἔργων ἐπανορθουμένη τὰ καθ' ἡμᾶς.

At enim isthæc hujus viri scripto cum contineri videas, frequens nihilominus ipsi et magnum certamen est de humanorum animorum priore vita, deque eorum in alia corpora transmigratione. Nam

Ἀλλὰ γὰρ ταῦτα μὲν ἔστιν ἰδεῖν τῷ τοῦ ἀνδρὸς ἐμφερόμενα [28] γράμματι · ὁ πλεῖστος δ' αὐτῷ καὶ μέγας ἀγὼν ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἐστι προβιοτή καὶ μετενσωμάτωσις, τὸν μὲν [29] ἐξ ἀλόγων

VARIÆ LECTIONES.

[26] αὐτῇ ς. [27] libri πατρωνυμικήν. cf. p. R. 1381, 54. [28] ἐμφερόμενα mg. : libri ἐμφερομένῳ. [29] μέν A : γάρ ς.

ζώων ἢ εἰς ἄλογα μεταγγισμὸν οὐκ ἀναδεχόμενος, τὴν δὲ ἐξ ἀνθρώπων εἰς ἀνθρώπους μετάβολὴν σπουδαιολογούμενος. Ταύτην δὲ τὴν ἐπισφαλῆ καὶ ματαίαν ὑπόληψιν ἄνω καὶ κάτω περιστρέφει, δι' αὐτῆς μὲν, ὡς οἴεται, τὴν τοῦ θείου Πρόνοιαν κρατύνων, δι' αὐτῆς δὲ τὸ ἐφ' ἡμῖν καὶ αὐτοδέσποτον κατασκευάζων, ναὶ δὴ καὶ τὴν φίλην αὐτῷ ἐπικουρῶν εἱμαρμένην, ἐξ ἀλλοκότων μὲν ἐπινοιῶν ὁρμώμενος, ἀσυστάτους [30] δὲ τῶν ἐπιχειρημάτων τὰς νομιζομένας αὐτῷ [31] κατασκευὰς προάγων, ἐξ ὧν δ' ὡς ἀληθῶς τὸ τῆς Προνοίας ἂν παρασταίη δόγμα, οὐδ' [32] ἐπὶ νοῦν βαλλόμενος [33]. Μᾶλλον δὲ εἴ τις τοῦ ἀνδρὸς τὴν ἀλήθειαν προτιμᾷν ἐθέλοι, δι' ὧν ταύτην ἀγωνίζεται κατασκευάζειν, παντελῶς αὐτῆς τὴν ἀναίρεσιν συνεισάγει· σαθρὰν γὰρ αὐτῇ βάθραν ὑποθείς. ὡς ἐν ἄλλοις τῆς ὑποθέσεως ἀπαιτούσης πλατύτερον ὑπεδείξαμεν, εὐπερίτρεπον [34] αὐτὴν πρὸς τοὐναντίον καὶ ἀνυπόστατον συναπέφηνεν. Τῆς γὰρ τῶν ψυχῶν προβιοτῆς καὶ μετενσωματώσεως, ἣν αὐτὸς ἔρεισμα καὶ θεμέλιον τῆς Προνοίας ὑποβάλλει καὶ τοῦ αὐτεξουσίου καὶ τῆς εἱμαρμένης, ταύτης παντελῶς εἰς τὸ ἄλογόν τε καὶ ἀδύνατον ὑπὸ τῆς ἀληθείας ἐξοστρακιζομένης, δῆλον ὅτι συγκαταστρέφεται τῷ δι' ἐκείνων ταῦτα πραγματευομένῳ καὶ ἡ Πρόνοια καὶ τὸ ἐφ' ἡμῖν καὶ ἡ εἱμαρμένη, καὶ εἰς λῆρον αὐτῷ τὸ πολύμοχθον διαλύεται σπούδασμα.

A ex animantibus quidem ratione carentibus, aut in bruta transfusionem non recipiens, at vero hominum in hominem transitum studiose defendens, periculosam hanc atque ineptam opinionem sursum deorsum versat. Per illam quidem, ut credit, divinam providentiam corroborans; per hanc, liberum arbitrium, liberumque sui ipsius dominatum astruens; fato certe tam ei grato auxilium ferens: idque non absurdis tantum commentis incitatus, sed etiam ex minime cohærentibus argumentationibus suas, quas putat, probationes producens: cum interim, per quæ revera Providentiæ dogma constitui poterat, ne in mentem quidem illi venerint. Imo vero, si quis huic homini veritatem anteponere studeat, quibus illam argumentis B astruere nititur, his ipsis eamdem omnino evertit. Nam qui infirmum argumentum semel veritati substravit (ut alibi, cum res ita postularet, copiosius ostendimus), is in contrariam facile partem converti illam posse, quin et nequaquam subsistere, simul demonstravit. Illa quippe animorum priore vita, et in corpora transmigratione (quam ipse basim ac fundamentum Providentiæ, liberoque arbitrio, ac fato illi subjicit), omnino inter absurda et impossibilia **113** (*a*) per veritatem ablegata, nimirum una cum illo, qui per ista hæc molitur efficere, etiam Providentia, et liberum arbitrium et fatum evertitur, atque in nugas operosa illa machinatio abit.

[553 R.] Ἑπτὰ δὲ λόγοι αὐτοῦ ἐπιμερίζονται τὴν σπουδήν. Καὶ ὁ μὲν [35] α' εἰς ἔκθεσιν δίατυποῦται ὧν αὐτὸς ἐφ' ἑαυτῷ περὶ Προνοίας καὶ δίκης καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων εἰς ἡμᾶς κατιούσης κρίσεως συνεγυμνάσατό τε καὶ διεσκέψατο, Ὁ β' δὲ τὰς Πλατωνικὰς συλλέγων δόξας, τὴν πίστιν ἐξ αὐτῶν ὧν Πλάτων ἔγραψεν ἐπιτίθησιν. Ὁ δὲ γ' τὰς ὑποφορὰς, αἷς ἄν τις χρήσαιτο πρὸς ἐναντίωσιν τῶν [285 H.] δεδογμένων, παρατιθεὶς διαλύειν αὐτῶν τὴν ἐπιβουλὴν [36] πραγματεύεται. Ὁ δὲ δ' τὰ λεγόμενα λόγια καὶ τοὺς ἱερατικοὺς θεσμοὺς εἰς συμφωνίαν συνάγειν οἷς Πλάτων ἐδογμάτισε βούλεται. Ὁ δὲ ε' εἰς Ὀρφέα καὶ Ὅμηρον, καὶ ὅσοι ἄλλοι πρὸ τῆς Πλάτωνος ἐπιφανείας ἐγνωρίζοντο, τὴν Πλατωνικὴν περὶ τῶν προκειμένων φιλοσοφίαν ἀνάπτει. Ὁ δὲ ς' τοὺς μετὰ Πλάτωνα πάντας, αὐτὸν Ἀριστοτέλην κορυφαῖον λαβών, μέχρις Ἀμμωνίου τοῦ Ἀλεξανδρέως, οὗ τῶν γνωρίμων οἱ ἐπιφανέστατοι Πλωτῖνός τε καὶ Ὠριγένης, τοὺς οὖν μετὰ Πλάτωνα μέχρι τῶν εἰρημένων ἀνδρῶν, ὅσοις ἐπὶ σοφίᾳ γέγονεν ὄνομα λιπεῖν, τούτους ἅπαντας ὁμοδοξεῖν τῇ Πλάτωνος κατασκευάζει κρίσει, καὶ ὅσοι διιστᾶν τῆς ὁμοδοξίας Πλάτωνα καὶ Ἀριστοτέλην ἐπεχείρησαν, τῶν φαύλων τε καὶ ἀποτροπαίων τίθησι, πολλά τε νοθεῦσαι τῶν Πλατωνικῶν λόγων, καίτοι Πλάτωνα διδάσκαλον ἐπιγραφομένους [37],

Porro in septem (21) libros universum opus dividitur: quorum primus quidem exponere instituit C ea quæ ipse apud se de Providentia, de justitia, et de sententia in nos pro factorum merito ferenda, meditatus esset. Secundus dein, Platonicas colligens opiniones, suas cuique probationes ex ipsis Platonis operibus apponit. Tertius, objectiones proponens, quibus uti quispiam adversus ea quæ tradita sunt, queat, dissolvere harum cavillationes conatur. Quartus oracula, quæ vocantur, ac sacerdotum leges, et Platonis dogmata invicem conciliare studet. Quintus, Orpheo, Homero, et cæteris qui ante Platonem celebrabantur, Platonicam de modo dictis doctrinam tribuit. Sextus, omnes, qui post Platonem fuere, ipso quoque Aristotele principe assumpto, usque ad Ammonium Alexandrinum, cujus in familiaribus celeberrimi Plotinus et Origenes, ad hos, D inquam, usque Platonis posteros, qui quidem aliquod sibi nomen sapientiæ pepererunt, ejusdem ad unum omnes cum Platone esse sententiæ, argumentis probat. Quod si qui consentientes Platonis et Aristotelis opiniones dirimere aggressi fuerint, eos et nihili homines, et fugiendos statuit. Multa insuper Platonicorum scriptorum adulterasse eos etiam qui hunc sibi præceptorem ascriberent, ut et Ari-

VARIÆ LECTIONES.

[30] ασυστάτων ς. [31] αὐτῷ add. A. [32] οὐδ' A : ὁ δ' ς. [33] βαλόμενος A. [34] ἀπερίτρεπτον ς. [35] μὲν om. A. [36] ἐπιβολὴν Bentleius. [37] ἐπιγραφόμενος ς.

NOTÆ.

(21) E quorum tribus primis excerpta quædam offeruntur infr. cod. 202.

stotelicorum operum eos, qui se hujus partem maximi facere profiterentur : non aliam id utique ob causam, quam ut committere inter se Stagiriten atque Aristonis filium possent. Septimus liber, proprio sibi sumpto argumento, de Ammonii suprascripti Disputatione studiose disserit, utque Plotinus et Origenes, imo et Porphyrius atque Jamblichus, et deinceps ordine cæteri, qui divina (quemadmodum ipse quidem loquitur) generatione sunt editi, usque ad Plutarchum Atheniensem, quem etiam auctorem talium ipse nominat dogmatum, ut, inquam, hi omnes purgatæ Platonis philosophiæ addicti sint.

Ipsa vero hujus auctoris dictio perspicua est ac pura, et philosophicum decens studium : tametsi **173** (*b*) fucatis et supervacaneis coloribus, aut bene dicendi varietate non exornetur.

A ὡσαύτως δὲ καὶ τῶν Ἀριστοτελικῶν γραμμάτων τοὺς τὴν ἐκείνου μερίδα τιμᾷν ὁμολογοῦντας· καὶ δι' οὐδὲν ἕτερον τούτοις τὰ τοιαῦτα μεμηχανῆσθαι, ἢ ἵν' ἔχοιεν συγκρούειν τὸν Σταγειρίτην πρὸς τὸν Ἀρίστωνος. Ὁ δὲ ζ' λόγος ἀρχὴν ἰδίαν ὑποστησάμενος περὶ τῆς διατριβῆς τοῦ προειρημένου Ἀμμωνίου τὴν σπουδὴν ἀναλαμβάνει· καὶ ὡς Πλωτῖνός τε καὶ Ὠριγένης, καὶ μὴν καὶ Πορφύριος καὶ Ἰάμβλιχος καὶ οἱ ἐφεξῆς, ὅσοι τῆς ἱερᾶς (ὡς αὐτός φησι) γενεᾶς ἔτυχον φύντες, ἕως Πλουτάρχου τοῦ Ἀθηναίου, ὃν καὶ καθηγητὴν αὐτοῦ [38] τῶν τοιούτων ἀναγράφει δογμάτων, οὗτοι πάντες τῇ Πλάτωνος διακεκαθαρμένῃ συνᾴδουσι φιλοσοφίᾳ.

B Ἔστι δὲ ἡ φράσις τῷ ἀνδρὶ σαφὴς μὲν καὶ καθαρὰ καὶ σπουδῇ φιλοσόφῳ πρέπουσα, οὐ μήν γε τοῖς κεκαλλωπισμένοις καὶ περιττοῖς ἐξωραϊζομένη χρώμασί τε καὶ ποικίλμασι τῆς ῥητορείκης.

CCXV.

Joannes Philoponus Contra Jamblichi opus De simulacris.

Legi Joannis cognomento Philoponi librum *Adversus Jamblichi opus* quod *De simulacris* inscripsit. Scopus autem Jamblicho propositus est, ostendere, cum divina esse idola (nam ista etiam simulacri nomine complectitur), tum præsentia Numinis referta : non solum quæ hominum manibus occulta quadam arte fabricata, ob incognitum nimirum artificem cœlo delapsa nominentur (hæc enim et cœlestis esse naturæ, et inde in terram decidisse, unde etiam sint merita nomen accipere), verum etiam quæcunque fundendi arte, et sculpendi atque fabri-

C li certa simul mercede et opera ab artificibus] conformata essent. Horum igitur omnium opera naturam excedere, et hominum opinione majora esse Jamblichus scribit; multa partim incredibilia e fabulis narrando, partim in obscuras causas referendo, partim etiam contra atque oculis cernantur, scribere nihil metuendo. Opus integrum duas in partes secat. *Majoremque* alteram, alteram *Minorem* nominat. Utramque Philoponus oppugnat, consueto orationis genere usus, quin et compositionem ad solitam sibi formam adaptans. A puro enim et dilucido non recedit : neque tamen elegantia et Attica phrasi exornatus nitet. Rationum præterea Jamblichi reprehensiones sane generosas, et per ipsas

D quoque penetrantes causas frequenter tibi exhibet; quas interdum superficie tenus tantum refellentes, et ad sola nomina relatas, longiusque a re controversa recedentes [affert ;] etiam cum hæc redarguenti valde est obnoxia, et per se imbecillitatem suam prodit.

ΣΙΕ'.

Ἰωάννου Φιλοπόνου Κατὰ τῆς σπουδῆς Ἰαμβλίχου Περὶ τῶν ἀγαλμάτων.

Ἀνεγνώσθη Ἰωάννου τοῦ Φιλοπόνου Κατὰ τῆς σπουδῆς Ἰαμβλίχου, ἣν ἐπέγραψε Περὶ ἀγαλμάτων. Ἔστι μὲν οὖν ὁ σκοπὸς Ἰαμβλίχῳ θεῖά τε δεῖξαι τὰ εἴδωλα (ταῦτα γὰρ ὑποβάλλει τῷ ὀνόματι τοῦ ἀγάλματος) καὶ θείας μετουσίας ἀνάπλεα, οὐ μόνον ὅσα χεῖρες ἀνθρώπων κρυφίᾳ πράξει τεχνησάμεναι διὰ τὸ ἄδηλον τοῦ τεχνίτου διοπετῆ ἐπωνομάσαν (ταῦτα γὰρ οὐρανίας τε φύσεως εἶναι κἀκεῖθεν ἐπὶ γῆς πεσεῖν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν φέρειν συνεστήσαντο), ἀλλὰ καὶ ὅσα τέχνῃ χαλκευτικῇ τε καὶ λαξευτικῇ καὶ ἡ τεκτόνων ἐπὶ δήλῳ μισθῷ καὶ ἐργασίᾳ διεμορφώσαντο. Τούτων οὖν ἁπάντων ἔργα τε ὑπερφυῆ καὶ δόξης ἀνθρωπίνης κρείττονα γράφει ὁ Ἰάμβλιχος, [556 R.] πολλὰ μὲν ἀπίθανα μυθολογῶν, πολλὰ δὲ εἰς ἀδήλους [39] φέρων αἰτίας, πολλὰ δὲ καὶ τοῖς ὁρωμένοις ἐναντία γράφειν οὐκ αἰσχυνόμενος. Εἰς δύο δὲ τὴν ὅλην [40] πραγματείαν διατέμνει, τὴν μὲν Μείζονα καλῶν, τὴν δὲ Ἐλάττονα. Καθ' ἑκατέρας δὲ τούτων καὶ ὁ Φιλόπονος ἵσταται, λέξει μὲν κεχρημένος ἥπερ εἰώθει, καὶ τὴν συνθήκην δὲ εἰς τὸν ὅμοιον ἑαυτῷ τύπον ἁρμοζόμενος· τοῦ μὲν γὰρ καθαροῦ καὶ εὐκρινοῦς [286 H.] οὐκ ἀποκλίνει, οὐ μέντοι γε τῇ λογάδι καὶ ἀττικιζούσῃ φράσει καλλωπίζεται. Καὶ τοὺς ἐλέγχους δὲ τῶν Ἰαμβλίχου λόγων πολλαχοῦ μὲν γενναίους τε καὶ δι' αὐτῶν ἐρχομένους τῶν πραγμάτων ἐπιδείκνυσιν, ἐνίοτε δὲ ἐπιπόλαιον τὴν ἀνασκευὴν φέροντας καὶ πρὸς ὄνομα γινομένους καὶ πόρρω τοῦ ἅπτεσθαι τῶν εὐθυνομένων φερομένους, καίτοι ῥᾳδίων [41] κἀκείνων πρὸς ἔλεγχον ἐκκειμένων [42], καὶ ἐξ ἑαυτῶν προβαλλομένων τὸ ἀνίσχυρον.

CCXVI.

Oribasii medici opera.

Legi volumina quatuor, quibus medicam rem Oribasius (22) a se compositam complexus est :

ΣΙϚ.

Ὀρειβασίου βιβλία.

Ἀνεγνώσθησαν βιβλία δ', ἃ τὴν [43] πραγματείαν ἰατρικὴν Ὀρειβασίῳ [44] συντεταγμένην περιεῖγε· καὶ

VARIÆ LECTIONES

[38] αὐτοῦ A ; αὐτός ϚΣ. [39] ἀδήλως ϚΣ. [40] ὅλην τὴν ϚΣ. [41] libri ῥᾴδιον. [42] ἐγκειμένων ϚΣ. [43] τὴν delevi. [44] Ὀριβασίῳ A.

NOTÆ.

(22) De hoc Eunap. et Suid. meminere.

ἔτι ἕτερα ζ' ἀνδρός τε τοῦ αὐτοῦ καὶ εἰς παραπλήσιον ἐξενηνεγμένα [45] τύπον,

'Ορειβασίου Ἐπιτομὴ τοῦ Γαληνοῦ πρὸς Ἰουλιανόν.

Ἡ μὲν οὖν πρώτη σπουδὴ τῷ ἀνδρὶ. ἃ Γαληνὸς μὲν ἔγραψεν ὁ ἰατρὸς, συντέμνει, Ἰουλιανῷ δὲ τῷ τῆς εὐσεβείας ἀποστάτῃ ἀναγράφει· ἤ καὶ ἄπάρχεται οὕτως.

« Κελεύσαντί σοι, θειότατε αὐτοκράτορ Ἰουλιανὲ, τοὺς τῷ θαυμασίῳ Γαληνῷ χρησίμους εἰς τὴν ἰατρικὴν σέχνην γεγραμμένους λόγους συντεμεῖν [46] εἰς ἔλαττον, προθύμως ὑπήκουσα. Τοῖς τε γὰρ μετιέναι τὴν τέχνην ταύτην προαιρουμένοις, ὡς σὐτός φησιν, οὔτε δὲ φύσεως ἐπιτηδείως [47], οὔθ' ἡλικίας ἁρμοζούσης τετυχηκόσι, πολλάκις δὲ οὐδὲ τῶν πρώτων μαθημάτων ἀρξαμένοις, καὶ διὰ ταῦτα ἀδυνάτως ἔχουσι τοὺς κατὰ διέξοδον λόγους ἐκμανθάνειν, ἀρκέσει τὰ νῦν γραφησόμενα, χρόνου τε βραχυτέρου πρὸς τὴν ἐκμάθησιν χρῄζοντα, καὶ τὴν νόησιν εὐπετεστέραν [48] ἔξοντα τῷ τὴν συναίρεσιν εἰς βραχυλογίαν οὐκ ἀσαφῆ γενήσεσθαι. Τοῖς τε [49] ἐν προπαιδείᾳ γεγεννημένοις, καὶ μήτε ὑπὸ φύσεως μήτε ἡλικίας κωλυθεῖσι τελείαις χρήσεσθαι ταῖς διδασκαλίαις, ἁρμόζοι ἂν ἡ τοιαύτη σύνοψις ἐπ' αὐτῶν τῶν ἔργων τῆς μὲν χρείας ἐπειγούσης, ἐν βραχεῖ δὲ τῆς ἀναμνήσεως τῶν ἀναγκαιοτάτων γενομένης. »

Οὕτω μὲν ὁ 'Ορειβάσιος ἐν ταύτῃ τῇ πραγματείᾳ προοιμιάζεται, ὑποσχόμενος ἐκεῖνα μόνα συναγαγεῖν, ἃ τῶν ἀρεσκόντων ἐστὶ τῷ ἀνδρὶ καὶ πρὸς τὴν ἰατρικὴν ἀφορᾷ τέχνην τε καὶ τῆς τέχνης μεταχείρισιν, Ηεπόνηται δὲ αὐτῷ ἡ τοιαύτη σπουδὴ ἐν λόγοις..... [50]

ΣΙΖ'.

Τοῦ αὐτοῦ Πραγματεία ἐν λόγοις ἑβδομήκοντα.

Ἡ δὲ δευτέρα πραγματεία Ἰουλιανῷ μὲν καὶ αὐτὴ τὴν προσφώνησιν ποιεῖται, ἐν ο' [56] δὲ περαίνεται λόγοις, καὶ τὸ χρήσιμον οὐκ ἔλαττον, ἀλλὰ καὶ μᾶλλον ἢ ἡ προτέρα τοῦ πολυστίχου παρέχεται. Προοιμιάζεται δὲ καὶ αὕτη τοῦτον τὸν τρόπον·

[557 R.] « Τὰς προσταχθείσας ἐπιτομὰς παρά τῆς σῆς θειότητος, αὐτοκράτορ Ἰουλιανὲ, πρότερον, ἡνίκα διετρίβομεν ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν, εἰς τέλος ἤγαγον καθὼς ἠβουλήθης, ἃς τινας ἐκ μόνων τῶν ὑπό Γαληνοῦ γραφέντων ἐποιησάμην. Ἐπειδὴ δὲ ἐπαινέσας ταύτας δευτέραν ἐπέταξας πρᾶξιν, πάντων τῶν ἀρίστων ἀνδρῶν ἀναζητήσαντά με τὰ καιριώτατα συναγαγεῖν [51] καὶ πάντα ὅσα χρησιμεύει πρὸς τὸ αὐτὸ τέλος τῆς ἰατρικῆς, καὶ τοῦτο πράττειν ὡς οἷός τε εἰμι προθύμως διέγνωκα. Περιττὸν δὲ νομίσας εἶναι καὶ παντελῶς εὔηθες τὸ ἐγγράφειν τὰ αὐτὰ πολλάκις καὶ τῶν ἄριστα συγγαψάντων καὶ τῶν μὴ ὁμοίως τὸ ἀκριβὲς ἐξεργασαμένων [52], μόνα τὰ τῶν ἄμεινον εἰπόντων συνάξω, μηδὲν ὧν Γαληνὸς εἶπε παραλιπών, καθότι τῶν συγγαψάντων ἁπάντων εἰς τὰς αὐτὰς ὑποθέσεις αὐτὸς κρατεῖ, μεθόδοις καὶ διορισμοῖς τοῖς

aliaque præterea septem, eadem pene forma ab eodem edita.

Oribasii medici Galeni Compendium ad Julianum imperatorem.

Priore ergo volumine, quæ Galenus medicus conscripserat, ea hic in compendium redigit. Juliano autem Christianæ religionis desertori hunc laborem inscripsit, hoc fere usus principio :

« Jussus a te, dive Juliane imperator, Galeni hominis admirandi perutiles 174 (*a*) de re medica libros ad pauciora redigere, libenter sane voluntati tuæ sum obsecutus. Iis enim qui ad hanc sese artem applicare volent, (ut ipse ait), et natura forsitan destituuntur, neque aptam sunt nacti ætatem, ne prioribus quidem sæpenumero disciplinis initiati (ut ob eas causas libros illos fusiores ediscere nequeant) sufficient quæ jam scribentur : cum et tempore egeant ad ediscendum breviore, et sensum habitura sint faciliorem ; quando in pauca verba hoc compendium vitata interim obscuritate, redigetur. His vero qui præcedentibus medicinam scientiis exculti, neque per naturam, neque per ætatem prohibentur perfectioribus hic imbui præceptis, hæc quoque synopsis conveniet : cum maxime necessaria quæque breviter iis suggerentur tunc, quando in ipso curandi opere urgebit necessitas. »

Sic igitur Oribasius in hoc opere præfatus, illa solum pollicetur collecturum se, quæ Galeno placuissent, quæque ad medicam artem, et ejus tractationem facerent. Absolvit autem illud opus libris...

CCXVII.

Ejusdem Medicinalium (22) *collectorum libri* LXX.

Alterum quoque opus eidem Juliano dedicatum septuaginta libris absolvitur : nihilo interim minorem, quam illud prius, sed majorem potius utilitatem sua mole afferens. Ejus autem proloquium hunc in modum instituitur :

« Epitomas, quas tu olim, dive Juliane Cæsar, mihi conficiendas mandaveras, jam pridem (cum in Occidua Gallia versaremur) ad finem, quemadmodum tu voluisti, perduximus : et eas quidem ex iis solis confectas, quæ Galenus conscripsisset. Verum ubi tu iis laudatis alterum mihi laborem adjunxisti, ut perquisitis omnibus quæ medici præstantissimi maxime opportuna dixissent, et quæcunque ad eumdem hunc medicinæ finem pertinerent, unum in volumen redigerem. Id quoque ego pro virili parte, et prompto animo facere decrevi. Supervacaneum igitur, et omnino ineptum arbitratus eadem sæpe scribere, sive quæ ab optimis medicis, sive quæ ab iis qui non ita diligenter res tractaverunt, scripta fuerint : ea solum colligam, quæ nobis reliquerunt ii qui

VARIÆ LECTIONES.

[45] ἐξενηνεγμάνη A. [46] συντελεῖν ζ. [47] ἐπιτηδείως] imo ἐπιτηδείας. [48] εὐπρεπεστέραν ζ, unde Casaubonus εὐτρεπεστέραν. [49] τε A : δά ζ. [50] ο'] οβ' Suidas v. 'Ορειοάσιος. [51] συνάγειν ζ. [52] ἐργασαμένων ζ.

NOTÆ

(23) Ita hic titulus in editis legitur libris.

cæteris præstiterunt, nihil eorum omittendo, quæ Galenus dixerit; si quidem cæteris, qui easdem res pertractaverunt, optima ipse, et via ac ratione, et distinctione adhibita, omnibus antecellit, ut qui principia et 174 (*b*) sententias Hippocratis assidue consectetur. Ego vero hic hujusmodi utar ordine. Inprimis colligam ea quæ ad partem materialem spectant, deinde quæ de hominis natura atque fabrica dicta sunt; tum de tuenda sanitate, et reficiendis corporibus agetur: quibus confectis addam quæ ad dignotionem et prænotionem pertinent: ad hæc, quæ de morbis deque symptomatis sunt accedent, et denique ea quæ valent ad corrigendum ea, quæ præter naturam sunt, adhibebuntur. »

A ἀκριβεστάτοις χρώμενος, ἅτε ταῖς Ἱπποκρατείοις ἀρχαῖς καὶ δίξαις ἑξακολουθῶν. Χρήσομαι δὲ κἀνταῦθα τοιαύτῃ τάξει. Πρῶτον μὲν συνάξω τὰ τοῦ ὑλικοῦ μέρους, εἶτα ὅσα περὶ φύσεως καὶ κατασκευῆς εἴρηται ἀνθρώπου, μεθ' ἃ τὰ τῆς ὑγιεινῆς καὶ ἀναληπτικῆς πραγματείας, μετὰ ταῦτα ὅσα τῆς διαγνωστικῆς καὶ προγνωστικῆς ἔχεται θεωρίας, ἐφ' οἷς τὰ περὶ νοσημάτων καὶ συμπτωμάτων καὶ ὅλως τῆς τῶν παρὰ φύσιν ἐπανορθώσεως. »

Hoc igitur proloquium secundi operis, cujus (perinde ac præcedentis) ab eo argumento ducitur initium, quod alimentorum nobis facultates exponit. Septuaginta vero (24) libris, quæ receperat, pertractat. Opus equidem, ut tempore posterius, ita utilitate prius. Neque enim ea solum, quæ Galenus recte litterarum monumentis prodiderat, continet, sed etiam quæ ab ipso prætermissa alii discenda proposuerunt. Ac mihi quidem sane utilis hic labor videtur, si non cæteris omnibus, quotquot in medicæ artis usum atque contemplationem hactenus collati sunt; at certe præ plurimis; idque vel eo nomine, quod non perspicue tantum sua tradat, nihilque prætermittat, sed eorum etiam quæ congessit pleraque variis vocibus efferantur. Unde si quid forte obscurius hic est ab aliquo prolatum, id mox per aliorum explicationem declaratur. Quare ad medicinæ studium sese applicantibus auctor ego sim, ut hoc potissimum opus assidue versent. Atque hujusmodi quidem Oribasii altera illa est medicæ tractationis et contemplationis collectio.

B Ἐς τοιοῦτον μὲν τύπον καὶ ἡ δευτέρα προοιμιάζεται πραγματεία, ἀπ' ἐκείνης ἀρχομένη τῆς ὑποθέσεως, καθάπερ καὶ ἡ πρὸ αὐτῆς, ἥ τις τὰς ἐν τροφαῖς δυνάμεις ἀναδιδάσκει. [287 H.] ἐν ὁ' δὲ λόγοις διέξεισιν ἃ ἐπαγγέλλεται. Καὶ δευτέρα μέν ἐστι τῷ χρόνῳ, προτερεύει δὲ τῇ χρείᾳ ἅτε μὴ μόνα ὅσα Γαλῃνὸς ὀρθῶς ἔγραψε περιέχουσα, ἀλλὰ καὶ ὅσα αὐτῷ μὲν παρεῖται, ἄλλοις δὲ εἰς διδασκαλίαν προτέθειται. Καί γέ μοι δοκῶ [53] χρησιμεύειν τὴν σπουδὴν ταύτην, ἵνα μὴ λέγων πασῶν τῶν ἄλλων ὅσαι εἰς ἰατρικὴν χρείαν τε καὶ θεωρίαν κατεβλήθησαν πραγματεῖαι, ἀλλὰ πάντως γε τῶν πλειόνων τῷ τε σαφῶς [54] ἀπηγγέλθαι τὰ ἀπηγγελμένα, καὶ τῷ μηδὲν παραλιπεῖν, καὶ τῷ φωναῖς διαφόροις τὰ πλείω τῶν συντεταγμένων ῥηθῆναι, ἐξ ὧν καὶ εἴ τι ἀσαφὲς ἐν τούτοις συνέβη τινὶ ῥηθῆναι, διὰ τῆς ἄλλων [55] ἀναπτύξεως σαφηνίζεται. Καὶ τῷ γε ἰατρικὴν μετιόντι κατὰ ταυτην ἔγωγε παραινέσαιμ' ἂν τὴν [56] πραγματείαν τὴν διατριβὴν ὅτι μάλιστα ποιεῖσθαι. Ἀλλὰ τοιαύτη μὲν καὶ ἡ δευτέρα Ὀρειβασίῳ [57] τῆς ἰατρικῆς μεταχειρήσεώς τε καὶ θεωρίας συναγωγή.

C Atque hujusmodi quidem Oribasii altera illa est medicæ tractationis et contemplationis collectio.

CCXVIII.

Ejusdem Compendii ad Eustathium filium libri x.

Tertium item ab eodem est elaboratum opus, ut ipsemet in proœmio testatur. Secundi illius Compendium, Eustathio filio inscriptum, ac libris novem distinctum, quibus ea morborum medicamenta proponuntur, quæ paruri facile possint, in promptuque sint. Cæterum chirurgiæ speciem omnem hisce collectaneis penitus prætermisit. Itaque liber hic memoriam excitando in iis qui in medicæ artis exercitatione ac speculatione jam versati sunt, non modicam affert aut parum promptam utilitatem. Iis item, qui primum ad artis hujus cognitionem hoc compendio pervenire se posse sperant, dicerem brevi tempore non modicum allaturum utilitatis: nisi ex eo quod methodo careat, et nihil definite pronuntiet, quosdam parva rerum harum instructos

D

ΣΙΗ'.

Τοῦ αὐτοῦ Συντομία τῆς δευτέρας Πραγματείας πρὸς Εὐστάθιον υἱὸν, ἐς λόγοις θ'.

Τρίτῃ δὲ αὐτῷ διεσπούδασται, ὡς καὶ αὐτὸς ἐκεῖνος προοιμιαζόμενος λέγει, συντομίαν αὐτῷ τῆς δευτέρας περιέχουσα πραγματείας. Εὐσταθίῳ δὲ τῷ υἱῷ τὸ βιβλίον ἀναφωνεῖ, θ' διῃρημένον λόγοις, ἐν οἷς ἐστι τῶν παθῶν ἰάματα, ὅσα τὸ εὐπόριστον καὶ πρόχειρον ὑποτίθεται. τὸ μέντοι χειρουγικὸν εἶδος παντελῶς αὐτῷ κατὰ ταύτην τήν συναγωγήν παρεῖται. [560 R.] Ἔστι δὲ τὸ παρὸν βιβλίον πρὸς μὲν ἀνάμνησιν τοῖς κατὰ τὰς ἰατρικὰς πράξεις τε καὶ θεωρίας συνησκημένοις οὐ φαύλην παρέχον τὴν χρείαν, καὶ μᾶλλον πρόχειρον· τοῖς δ' ἐκ πρώτων εἰς μάθησιν τῆς τέχνης διὰ τῆσδε τῆς συνόψεως ἐλθεῖν ἡλπικόσιν εἶπον ἂν ὡς ἐπ' ἀλίγον εἴη τὸ λυσιτελὲς παρέχον, εἰ μὴ τὸ κατ' αὐτὴν ὁμέθοδόν τε [58] καὶ ἀπροσδιοριστον τοὺς ἀπειρότερον περὶ ταῦτα διακειμένους καὶ ἑτοιμότερον πρὸς τὰς θεραπείας χωροῦντας εἰς τὰς με-

VARIÆ LECTIONES.

[53] δοκῶ] fortasse legendum δοκεῖ. [54] σαφές ς. [55] ἄλλων] τῶν ἄλλων rc. A. [56] τὴν post ἂν add. A. [57] Ὀριβασίων A. [58] τε add. A.

NOTÆ.

(24) Quorum hodie septemdecim tantum Latine exstant, primo quoque eo volumine, ut opinor, amisso.

γίστας βλάβας τῶν καμνόντων, ἔσθ' ὅτε δὲ καὶ τῶν ὑγιαινόντων, ἐπ' αὐτῶν τῶν ἔργων εἶδον συνωθουμένους. Πλὴν ἀλλ' ἔν γε τοῖς εἰρημένοις λόγοις θ' τῶν ο' βιβλίων τὴν σύνοψιν περιγράφει.

Καὶ ἐν μὲν τῷ α' διαλαμβάνει περί τε τῆς κατὰ τὰ γυμνάσια προφυλακῆς καὶ αὐτῶν τῶν [59] γυμνασίων, κενώσεών τε καθόλου καὶ ἐπὶ μέρους, τῶν τε δι' ἐπινοίας καὶ ὅσων ἡ φύσις κυρία· περί τε ἀέρων καὶ λουτρῶν, αὐτοφυῶν τε καὶ τῶν ἐκ τέχνης· καὶ περὶ ἱδρώτων, ναὶ [60] δὴ καὶ περὶ καταπλασμάτων, περί τε τῆς εἰς ἔλαιον καὶ ὑδρέλαιον ἐμβάσεως, καὶ ὅσα τὸ δέρμα δάκνοντα ἢ ἄλλως διαφοροῦντα τῶν χρονιζόντων παθῶν τὴν μετασυγκριτικήν, ὡς ἔν μεθοδικὸς [61] φαίη ἀνήρ, ἀπεργάζεται θεραπείαν.

Ἐν δὲ τῷ β' περί τε τῆς δυνάμεως τῶν ἁπλῶν διαλαμβάνει φαρμάκων, καὶ περὶ τῆς τούτων ἐκλογῆς, καὶ περὶ κατασκευῆς τῶν τι ἀκόπων καλουμένων χρισμάτων καὶ ἐμπλάστρων, καὶ περὶ σταθμῶν, περί τε τῶν κοπτῶν καλουμένων πλατυσμάτων, καὶ περὶ ἐψήσιως τῶν ἐμβαλλομένων εἰς τὰς ἐμπλάστρους [288 H.] φαρμάκων.

Τὸ δὲ γ' συνθέσεις αὐτῷ φαρμάκων παντοδαπῶν περιέχει.

Τὸ δὲ δ' περὶ τροφῶν ἐστὶν αὐτῷ συντεταγμένον δυνάμεως, καὶ περὶ τῆς τούτων σκευασίας, περί τε μελικράτου καὶ πομάτων ἄλλων, ὅσα χρήσιμα τοῖς ἀῤῥωστοῦσι, περί τε γαλακτοποσίας, καὶ ἔτι περὶ ὑδάτων.

Τὸ δὲ ε' ὅσα τε [62] ταῖς κυούσαις συμβαίνει διδάσκει, δίαιτάν τε αὐτῶν, καὶ ὁποῖαι αἱ τιτθαὶ, περὶ τε κομιδῆς παιδίου, καὶ ὅσα θἴωθε συμβαίνειν τῷ παιδί. Περί τε κόπων, οὓς ποιεῖ [63] τὰ γυμνάσια, καὶ ὧν οὐκ ἔστι λαβεῖν ἐκ τοῦ φαινομένου τὸ αἴτιον. Καὶ περὶ στεγνώσεως δέρματος. Γερόντων τε δίαιταν εὑρήσεις ἐν τούτῳ, καὶ ὅσα τοῦ σώματος κατὰ τὴν ἐπιφάνειαν συμπεσόντα ἄχαρι τὴν ὄψιν ποιεῖ, τούτων ἀπαλλαγὴν καὶ τῆς παρατροπῆς ἐπανόρθωσιν, ὀδόντων τε φυλακὴν, καὶ βαρυηκοΐας καὶ ἀχλύος ὀμμάτων διόρθωσιν, καὶ τῆς ἀπό τῆς πλησμονῆς βλάβης θεραπείαν, ἀσχόλου τε βίου δίαιταν· περί τε τῶν διαφθειρόντων τὰ σιτία. Ὀδοιποροῦσί τε καὶ πλοϊζομένοις ἐκτίθεται δίαιταν, καὶ περὶ καθαιρέσεως σαρκῶν διαλαμβάνει ἀναθρέψεώς τε, καὶ διάγνωσιν κράσεως, καὶ παρατραπείσης [64] αὐτῆς θεραπείαν.

A experientia, **175** (*a*) et æquo tamen promptius ad curationes aggredientes, in ipso vidissem opere compelli ad maximas noxas tum ægris, tum interdum etiam sanis inferendas. Verum novem hisce libris illorum septuaginta compendium includit.

Primo (25) ergo libro disserit de cautione in corporis exercitationibus adhibenda, et de ipsis exercitationibus, de evacuationibus cum universe, tum singulatim : et iis, vel per ea quæ ingenio sunt excogitata, vel per ea quorum domina natura est. De aere ad hæc, et balneis tam nativis, quam artificiosis. Item de sudoribus et cataplasmatis : de olei meri, et olei aqua diluti labro. [De iis denique] quæ cutem rodendo, aut saltem dissolvendo, illam diuturnorum morborum curationem efficiunt, quam *metasyncriticam* methodici appellant.

Secundo libro (26) de simplicium medicamentorum facultate tractat, eorumque delectu : de apparatu, cum ἀκόπων (27) quæ nominantur unguentorum, tum emplastrorum. Post hæc de ponderibus : de latis emplastris, quæ κοπτὰ [sive *contusa*] appellant, deque coctione medicamentorum, quæ ad emplastri confectionem commiscentur.

Tertio libro compositiones medicamentorum omnis generis persequitur.

Quartus (28) de alimentorum facultate, deque horum apparatu, conscriptus : de mulso item, cæterisque potionis generibus, quæ quidem ægrotantibus utilia sint. De lactis insuper potu, ac denique de aquis.

Quintus liber (29), quæ gravidis ac prægnantibus accidant, tradit, earumque victum, et quales nutrices eligendæ. De infantis educatione, quæque ei ætati accidere solent. De lassitudine cum ab exercitatione nata, tum ea cujus causa exterius minime apparet : itemque de cutis astrictione. Senum quoque victum hic reperias, et quæcunque corpori extrinsecus advenientia deformitatem conciliant, horumque depulsionem et curationem. Dentium præterea custodiam, et quæ audiendi difficultatem atque oculorum caliginem restituunt : damni ad hæc a saturitate illati curationem, et negotiosæ vitæ victum. De iis etiam quibus alimenta corrumpuntur : et iter agentibus ac navigantibus victus rationem præscribit. Disserit et de carnis extenuatione atque nutritione, post quæ temperamenti cognitionem et ejus eversi curationem tradit.

VARIÆ LECTIONES.

[59] τῶν add. A. [60] ναὶ A : καὶ ς. [61] μεθοδικὴν A : μεθοδικῶς ς. [62] τε add. A. [63] ποιεῖ τὰ A : ποιεῖται ς. [64] περιτραπείσης ς.

NOTÆ

(25) Is. in 35 hodie capita dissectus.
(26) Hujus unum et 60 capita.
(27) Quænam ea sint, docebit Gorræus in Def.
(28) Capita ei tributa in editis 41.
(29) Sectus in capita 53.

175 (*b*) In sextum librum (30) ea sunt conjecta, quæ A signa sunt ad recte tutoque de morbis judicandum. Curatio item, ac prænotio febrium atque symptomatum : adjunctis et febrium generibus earumque remediis. De fame, de animi defectione ac syncopa, atque de dolore, et singultu agit. Item de canina appetentia, et contra de prostrato appetitu, et curatione immensæ famis. Præterea de nausea et vomitu, et de insomnia, torpore, colliquatione, siti, atque exulcerati ossis sacri medicina.

Septimo (31) vero libro de ulceribus universis, tam quæ simplicia, quam quæ cava dicuntur : imo et de iis quibus cicatrice est opus, atque de carne abundantibus agit : ubi et igne ambustis remedium affert. Item de papulis, de pruritu, de pustulis, quæ phlyctænæ vocatur, et de ulceribus diruptis ac B malignis. Ad carbunculos quoque et cancros curationes ascribit : convulsorum item ac luxatorum et ruptorum : quibus ad hæc rebus cuspis, arundo, spina, aut sudes carni infixa evellantur. De reduviis, articulorum ulceribus, sanguinis eruptione. De nervis vulneratis, et articulis luxatis; de inflammatione, et de affectione, quæ ex defluxionibus fit ; de gangrena, et sphacelismo ; de apostematis seu abscessibus et fistulis ; de erysipelate et herpete. Item de scirrhis, œdematis, termintho, epinyctide. De dissectis ligamentis et thymo, ficis atque furunculis. De verrucis et myrmeciis, atque similibus. Ad ganglia, quæ appellantur, ad perniones, ac fissuras edit medicamenta ; et ad ulcerata pudenda. De leuce præterea, alpho, lepra, scabie, impetigine C tractat, et de inflationibus : utque theriaca e viperis magno sit elephantiacis adjumento. Et hæc quidem septimo continentur libro.

Insequenti vero de memoriæ jactura, deque iis qui nimia vigilia, vel gravi somnolentia torquentur, agit Oribasius (32) : tum quid ephialtes sit, morbusque comitialis, et vertigo, apoplexia, atra bilis, insania, vehemens amor, ac lycanthropia : horumque remedia. De cerebri ad hæc morbis, et rabidi canis morsu. De paralysi, seu nervorum resolutione, et rigore, qui calefieri nequeat. De convulsionibus ac distinctione, deque capitis doloribus. Ad puerorum insuper adustiones, ad fœdum nariumodorem, **176** (*a*) D ad suggillationes sub oculos, et ad ecchymomata inveterata (33). Item de labiorum fissione. Ad ephelidem quoque ac faciei nævos, oculorumque nigras maculas, et varos, ac ficosas menti eminentias. De fœdo alarum odore : de variis oculorum doloribus, de pediculari morbo, de narium obstructione et de strangulatis. Atque hic octavus liber est.

Ἐν δὲ τῷ ς' συντέτακται αὐτῷ ὅσα τε [65] εἰς σημείωσιν ἀσφαλῆ τείνει καὶ κρίσιν ὀρθήν, θεραπεῖαί τε καὶ προγνώσεις πυρετῶν καὶ συμπτωμάτων. Τά τε εἴδη τῶν πυρετῶν καὶ τὰς ἰάσεις, περί τε λοιμῶν λειποθυμίας τε καὶ συγκοπῆς καὶ ὀδύνης καὶ λυγμοῦ διαλαμβάνει, κυνώδους τε ὀρέξεως καὶ ἀνορεξίας καὶ βουλίμου θεραπείας, [561 R.] ἔτι δὲ περὶ ναυτίας καὶ ἐμέτων ἀγρυπνίας τε καὶ καταφορᾶς, καὶ συντήξεως καὶ δίψους, καὶ ἑλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ θεραπείας [66].

Κατὰ δὲ τὸ ζ' ἑλκῶν μὲν ἁπάντων, τῶν τε λεγομένων ἁπλῶν καὶ τῶν κοίλων, καί γε καὶ τῶν οὐλῆς δεομένων καὶ ὑπερσαρκούντων ἐκδιδάσκει, πρός τε τὰ πυρίκαυτα θεραπείας εἰσάγει, καὶ περὶ ἐξανθημάτων καὶ κνησμῶν καὶ φλυκταινῶν, ἀναῤῥηγνυμένων τε ἑλκῶν καὶ κακοήθων· πρὸς ἄνθρακάς τε καὶ καρκίνους ἰάσεις ἀναγράφει, σπασμῶν τε καὶ στρεμμάτων καὶ θλασμάτων· οἷοις τε ἂν ἀκὶς ἢ κάλαμος ἤ ἄκανθα ἢ σκόλοψ ἐμπαγέντα σαρκὶ ἀποσπασθείη· περί τε παρωνυχιῶν καὶ τῶν ἐν ἄρθροις ἑλκῶν, αἱμορῥαγίας τε καὶ νευροτρώτων, καὶ περὶ κεχαλασμένων ἄρθρων, περί τε φλεγμονῆς καὶ ῥευματικῆς διαθέσεως, περί τε γαγγραίνης καὶ σφακελισμοῦ, καὶ περὶ ἀποστημάτων καὶ συρίγγων. ἐρυσιπέλατός τε καὶ ἕρπητος, καὶ περὶ σκίρρων [67] καὶ οἰδημάτων, τερμίνθου τε καὶ ἐπινυκτίδος, περί τε διατμηθέντων συνδέσμων, καὶ θύμου καὶ συκῶν καὶ δυθιήνων, ἀκροχορδόνων τε καὶ μυρμηκιῶν καὶ τῶν συστοίχων. Πρός τε τὰ λεγόμενα γαγγλία καὶ χείμεθλα [68] καὶ ῥαγάδας ἐκτίθεται ἰάσεις, καὶ πρὸς τὰ ἡλκωμένα τῶν αἰδοίων. Περί τε λεύκης καὶ ἀλφῶν καὶ λέπρας καὶ ψώρας καὶ λειχήνων [69] διαλαμβάνει, καὶ περὶ ἐμφυσημάτων, καὶ ὡς ἡ τῶν ἐχιδνῶν ἐδωδὴ ἄριστον βοήθημα τοῖς ἐλεφαντιῶσι. Ταῦτα μὲν καὶ κατὰ τὸ ἕβδομον.

Κατὰ δὲ τὸ η' περὶ τῆς κατὰ τὴν μνήμην ἀπωλείας καὶ τῶν ἄλλως ἀγρυπνητικῶν ἢ καταφορικῶν διαλαμβάνει, τίς τε ὁ ἐφιάλτης καὶ ἡ ἐπιληψία καὶ τὸ [289 H.] σκοτωματικὸν πάθος, ἀποπληξία τε καὶ μελαγχολία καὶ μανία καὶ ἔρως ὀξὺς, καὶ τίς ἡ λυκανθρωπία, καὶ τούτων ἰάσεις· περί τε τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν, καὶ περὶ λυσσοδήκτων, καὶ περὶ παραλύσεως καὶ ἀνεκθερμάντου ῥίγους, περί τε σπασμῶν καὶ τετάνου, καὶ περὶ τῶν κατὰ τὴν κεφαλὴν παθῶν. Πρός τε τὰ σειριῶντα [70] παιδία, πρός τε δυσωδίας ῥινὸς, καὶ πρὸς ὀπώπια, καὶ πρὸς ἐκχυμώματα [71] κεχρονισμένα. Περί τε χειλέων ῥαγάδος, καὶ πρὸς ἐφήλεις καὶ σπίλους καὶ φακοὺς καὶ ἰόνθους καὶ τὰς ἐν τῷ γενείῳ συκώδεις ἐπαναστάσεις· περί τε μασχαλῶν δυσωδίας, καὶ περὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς παθῶν, περί τε φθειριάσεως καὶ ἐμφράξεως μυξωτήρων, καὶ περὶ τῶν ἀπαγχομένων. Ἐν τούτοις μὲν καὶ ὁ η' λόγος.

VARIÆ LECTIONES.

[65] τε add. A. [66] θεραπείας rc. A : θεραπείᾳ ς. [67] σκίρων A. [68] χήμεθλα A : χέμεθλα ς. [69] λιχήνων A [70] σηριῶντα A. [71] ἐκχυμώματα Rothomagensis : libri scripti ἐχύματα.

NOTÆ.

(30) Continet nunc capita 47.
(31) Uno et 50 capitibus.
(32) Capitibus 57.
(33) Viliose legi hic ἐκύματα docent libri editi

Ὁ δὲ θ' αὐτῷ, ὅσα πάθη περί τε θώρακα καὶ σπλάγχνα συνίστατται καὶ ἕως αἰδοίων διήκει, διαλαμβάνει, τά τε γυναικεῖα καταλέγει πάθη, καὶ περὶ ποδάγρας καὶ ἀρθρίτιδος καὶ ἰσχιάδος θεραπείας ἀναγράφει. Τοιαύτη καὶ ἡ τρίτη τῷ Ὀρειβασίῳ συντεταγμένη πραγματεία.

Nonus autem et ultimus (34), illud morborum genus complectitur, quod circa thoracem ac viscera consistit, et ad verenda usque pertingit. Muliebres etiam morbos recenset, adversus podagram, articularem morbum, et ischiadem remedia præscribit. Quod quidem tertium est ab Oribasio, scriptum de re medica opus.

ΣΙΘ'.

Τοῦ αὐτοῦ πρὸς Εὐνάπιον λόγοι δ'.

Ἡ δὲ τετάρτη Συντομίαν μὲν καὶ αὐτὴ βούλεται αὐτῷ τῆς τέχνης, ἐν δ' δὲ ἀπαρτίζεται λόγοις, καὶ τὸν Εὐνάπιον ὑποβάλλει, ὃν καὶ λογιώτατον ὁμνεῖ, αἴτιον αὐτῷ τοῦ συντάγματος γεγενημένον. Τὰ εὐπόριστα δέ αὐτῷ τῶν ἰαμάτων κἀνταῦθα γνώμην συναγαγεῖν εἰσάγει, ὧν καὶ τὴν διδασκαλίαν τρισὶ διέρχεται τρόποις, ἑνὶ μὲν τάς τε καθόλου δυνάμεις καὶ τὰς ἐπὶ μέρους χρήσεις ἑκάστου τῶν ἁπλῶν ἐπιὼν, [564 R.] δευτέρῳ δὲ πάθους ἑκάστου τὰ ἰάματα συντάττων· ἐφ' οἷς τήν τε κατανόησιν τοῦ πεπονθότος μορίου καὶ τὴν διήγησιν ἐξ ὧν ἄν θεραπευθείη. Τετάρτην δὲ ὑπόθεσιν μεταχειρίζεται, ἣν καὶ τῶν εἰρημένων προτάττει, τοῦ ὑγιεινοῦ τυγχάνουσαν μέρους. Καὶ ἄρχεται δὲ αὐτίκα ἐξ ὧν καὶ ἡ φύσις, περὶ παιδίου λέγω τροφῆς.

Ἔστι μὲν οὖν ἡ πρὸς Εὐνάπιον αὐτῷ συντεταγμένη σπουδὴ σχεδὸν ἡ αὐτὴ τῇ γεγραμμένῃ πρὸς τὸν υἱόν· Τῶν τε γὰρ χειρουργουμένων οὐδετέρα λόγον ἔχει, κἀν τοῖς ἄλλοις δὲ συμφέρεται, πλὴν ὅσα τὴν τάξιν οὐ τὴν ἴσην καὶ ὁμοίαν διασώζει. Ἐπ' ἐνίοις δὲ μικρόν τι καὶ ἑτέρα τῆς ἑτέρας πλεονεκτεῖ, ὥσπερ ἐν πολλοῖς τῶν κατὰ τοὺς τόπους παθῶν ἡ πρὸς Εὐνάπιον, καὶ εἰς τὴν τῶν ἁπλῶν φαρμάκων διάγνωσιν· ἔστι δὲ οὗ καὶ ἡ πρὸς Εὐστάθιον ἔχει τι ταύτης πλέον σεμνολογήσασθαι. Ἀλλὰ γε χάρις ὑπὲρ ἑκατέρας τῶν πόνων τῷ ἀνδρί· τὸ γὰρ αὐτοῦ μέρος οὐ βλάβης οὐδενὶ, ἀλλ' ὠφελείας ἑκατέρα, ὥσπερ δὴ καὶ τὰς πρὸ τούτων συνέταξεν. Φράσεως δὲ χαρακτῆρα λέγειν τοῦ λόγου ἅμα τε ἄπορον καὶ περιττὸν εἶναι δοκεῖ· ἔκ τε [72] γὰρ διαφόρων καὶ παντοδαπῶν αὐτῷ τὰ συντάγματα συνήθροισται, καὶ ἰατρὸς ἀνὴρ οὐ τοῦ ἐν λόγῳ καλλους καὶ τῆς σοφίας εὐθύνας ἄν τινι τῶν σωφρονούντων παράσχοι, ἀλλ' εἴ τι τῶν κατὰ τὴν ἰατρικὴν ἔργων οὐκ ὀρθῶς διῆλθεν οὐδ' ἐπεδείξατο.

Εἶδον δὲ ἔγωγε τοῦ ἀνδρὸς καὶ ἑτέραν πραγματείαν ἐν δ' λόγοις συντεθειμένην. Εὐπόριστα δὲ ἐπεγράφετο τὸ βιβλίον, καὶ τὸν Εὐγένιον ὑπόθεσιν τοῦ συντάγματος ἐποιεῖτο. Λογιώτατον δὲ καὶ τὸν Εὐγένιον ὀνομάζει· καὶ χρησιμεύειν [290 H.] τὴν πραγματείαν κατά τε ἀγροὺς καὶ ὁδοιπορίας καὶ

CCXIX.

Ejusdem ad Eunapium libri IV.

Quartum item opus ejusdem esse *Artis Compendium*, Oribasius vult, quatuor illud libris absolvens. Cujus quidem componendi Eunapium (quem et eloquentissimum prædicat) auctorem sibi fuisse commemorat. Remedia vero, quæ facile parantur, tradere sibi propositum ait : quam etiam doctrinam triplici fere modo conficit. Primum enim simplicium facultates universe, et singulatim usum cujusque recenset. Deinde morbi cujusque curationem docet. Tertio præter partis affectæ cognitionem, etiam medicandi rationem exponit. Quarto denique loco illud argumentum tractat, quod ad sanitatem curandam spectat : quod et cæteris jam enumeratis præmittit. Mox ergo cum natura ab infantis educatione auspicatur.

Cæterum hic ad Eunapium labor idem fere ac geminus est cum eo opere, quod ad filium scripsit. Neutrum enim chirurgiæ rationem ducit ; et vero in cæteris quoque conspirant, nisi quod ordinem aliqua eumdem vel similem non servant. In quibusdam item alterum altero nonnihil præstat, ut in plerisque locorum morbis, et quantum ad simplicium medicamentorum cognitionem illud, quod ad Eunapium scribitur, opus. Et habet vicissim alibi quidpiam ad Eustathium liber, de quo præ illo gloriari possit. Verum pro utroque suscepto labore (35) habenda homini gratia est. Quod enim in scriptore fuit non incommodi cujuspiam, sed emolumenti potius causa (36) utrumque (ut et quæ antea scripserat) elaboravit. Quod autem ad dicendi characterem attinet, dubium esse ac supervacaneum videatur, quidquam judicare. Nam eæ variis atque omnigenis **176** (*b*) hæc sunt ab eo collecta volumina : et vir medicus non sermonis elegantiæ peritiæque reddere rationem prudentibus debet, sed si quam forte medicarum functionum minus recte aut reddidit, aut demonstravit.

Vidi ego alterum ejusdem auctoris opus, totidem libris distinctum, inscriptumque *Paratu-facilia* (37). Id ad Eugenium quemdam argumentum suum referebat, quem et disertum nominat. Utilem quoque scriptionem fore rusticantibus additur, iterque agentibus, et ubicunque locorum medici copia non

VARIÆ LECTIONES.

[72] τε A : γε ς.

NOTÆ.

(34) Per capita 62.

(35) Emendo, ὑπὲρ ἑκατέρας τῶν σπουδῶν, aut ἑκατέρου τῶν πόνων.

(36) Ἕνεκα repono pro ἑκατέρα.

(37) Qui titulus modo librorum ad Eunapium in excussis exemplaribus.

suppeteret : verumtamen hic liber etsi titulo, et apposita dedicationi persona, nonnihil differat, cætera tamen nonnisi descriptum esse operis ad Eunapium satis manifeste apparet. Quare in eam cogitando sententiam veni, non esse id unquam ab Oribasio factum : sed vel errorem ejus, qui ab initio missum ad Eunapium librum describendo, titulum quidem in *Paratu-facilia* commutarit, pro Eunapio vero Eugenium subjecerit : vel alium certe quempiam gloriam sibi ex dedicatione querentem, ad hoc confugisse commentum, ut pro Eunapio Eugenium, et pro scripto ibi titulo *Paratu-facilia* scriberet.

A ἀλλαχοῦ, ὅπῃ παρουσία ἰατροῦ οὐκ ἐπιχωριάζει. Ἀλλὰ τοῦτο τὸ βιβλίον κατὰ μὲν τὴν ἐπιγραφὴν καὶ τὸ ὑποβαλλόμενον εἰς τὴν προσφώνησιν πρόσωπον διαφορὰν ἔχει, τὰ δ' ἄλλα μάλα περιφανῶς μεταγραφὴ μόνη ἐστὶ τῆς πρὸς Εὐνάπιον πραγματείας, ὥστε ἔγωγε καὶ εἰς λογισμοὺς ἀφικόμην ὡς ἄρα μήποτε οὐκ εἴη τοῦτο Ὀρειβασίῳ διαπεπραγμένον, ἀλλ' ἢ ἁμάρτημα τοῦ ἀπ' ἀρχῆς γράψαντος τὸ πρὸς Εὐνάπιον βιβλίον, ὃς τήν τε ἐπιγραφὴν εἰς τὰ Εὐπόριστα μετετάξατο καὶ ἀντὶ Εὐναπίου Εὐγένιον ὑπεβάλετο, ἢ ἕτερόν τινα δόξαν ἑαυτῷ ἐκ τῆς προσφωνήσεως μνώμενον εἰς τὴν τοιαύτην περιενεχθῆναι ἐπίνοιαν, καὶ ἀμεῖψαι τόν τε Εὐνάπιον εἰς Εὐγένιον καὶ τὴν κειμένην ἐπιγραφὴν Εἰς εὐπόριστα [73].

CCXX.

Theonis archiatri Homo.

Legi Theonis archiatri Alexandrini librum medicum, qui *Homo* inscribitur, et Theoctisto dedicatur. Curationes autem auspicatur ab hominis capite usque ad pedes, affectorum omnium humani corporis partium morbis remedia quædam afferens. Non tamen aut morbi naturam, nisi in paucis forte, explicat, aut satis distincte illas res tradit de quibus disserere proponit. Descriptis vero jam eorum morborum remediis, qui pedes atque articulos invadere solent, de purgantibus deinde medicamentis simplicibus agit, conaturque et causas quasdam reddere idque, ut mihi quidem videtur, non recte, neque veritatem secutus, cur purgandi facultatem pharmacorum natura exerat. Hinc medicamentorum omnis generis compositionem pertractat, quæ sufficientem ad supra nominatos morbos, cæterasque humani corporis affectiones usum præbeant, singulis morbosis partibus, quas omiserat, remedia **177** (*a*) ascribens. Emplastra insuper, et adversus lassitudinem remedia, collyria item, ac varios antidotos a variis præscriptas medicis affert. Qua in opus illud consumitur. Liber autem hic eamdem fere utilitatem, quam Oribasii synopsis, afferat.

B

C

ΣΚ'.

Θέωνος ἀρχιατροῦ ὁ Ἄνθρωπος.

Ἀνεγνώσθη Θέωνος ἀρχιητροῦ Ἀλεξανδρέως ἰατρικὸν βιβλίον, ὃ ἐπιγράφει Ἄνθρωπον. Θεοκτίστῳ μὲν τὸ σύνταγμα προσφωνεῖ, ἀπάρχεται δὲ τῆς θεραπείας ἀπὸ κεφαλῆς καὶ διήκει μέχρι ποδῶν, πάντων τῶν πεπονθότων μορίων τοῦ σώματος θεραπείας τινὰς ἀναγράφων. Οὔτε δὲ τὴν τοῦ νοσήματος φύσιν πλὴν ἐπί γε βραχέων ἐκδιδάσκει, οὔτε τοῖς πρέπουσι προσδιορισμοῖς [74], περὶ ὧν προάγεται λέγειν, τὴν διδασκαλίαν ὑπάγει. Μετὰ δέ γε τὸ γράψαι [75] τῶν ποδαγρικῶν καὶ ἀρθριτικῶν παθῶν ἰάματα, διέξεισι μὲν περὶ τῶν ἁπλῶν καθαρτικῶν φαρμάκων, πειρᾶται δὲ καὶ αἰτίας τινὰς ἀποδιδόναι, [565 R.] οὐκ ἔμοιγε δοκοῦν ὀρθῶς οὐδὲ τῆς ἀληθείας ἐξημμένος, δι' ἃς τὴν καθαρτικὴν δύναμιν ἡ τῶν φαρμάκων ἐπιδείκνυσι φύσις. Εἶτα περὶ συνθέσεως παντοδαπῶν διαλαμβάνει φαρμάκων, ὅσα τ αὐτῷ πρὸς τὰ προειρημένα τῶν νοσημάτων ἱκανὴ παρέχεται τὴν χρείαν, καὶ πρὸς τὰ λοιπὰ πάντα το σώματος πάθη, ἃ παρῆκε τὴν κατὰ τὰ πεπονθότ μόρια θεραπείαν ἀναγράφων, ἐμπλάστρους τε κα ἄκοπα καὶ κουλλούρια καὶ ἀντιδότους διαφόρους ἐ διαφόρων ἀνδρῶν κατεσκευασμένας ἀναγράφει. Κα ἐν τούτοις αὐτῷ ἡ τοιαύτη συμπεραίνεται πραγμα τεία. Ἔστι μέντοι τὴν χρείαν τὸ βιβλίον ταῖς το Ὀρειβασίου συνόψεσι παρεχόμενον παραπλησίαν.

CCXXI.

Aetii Amideni Operis medici libri XVI.

Legimus Aetii Amideni *De re medica* libros sedecim (38). Collegit autem totum hocce opus non ex iis tantum scriptoribus, e quibus Oribasius suos sive ad Julianum imperatorem sive ad Eustathium et Eunapium libros, sed ex therapeuticis præterea Galeni libris, atque ex Archigene et Rufo. Ad hæc e Dioscoride, Herodoto, Sorano, Philagrio, Philomene, Posidonio, aliisque nonnullis, qui medendi arte nomen sibi gloriamque pepererunt. A facultatibus autem simplicium medicamentorum, ac ciborum e Galeno breviter hæc commemorans, initium

D

ΣΚΑ'.

Ἀετίου Ἀμιδηνοῦ Ἰατρικοὶ λόγοι ις'.

Ἀνεγνώσθη Ἀετίου Ἀμιδηνοῦ Βιβλίον ἰατρικὸ ἐν λόγοις ις'. Ἔστι μὲν οὖν αὐτῷ πᾶσα ἡ πραγμα τεία συντεταγμένη ἔκ τε ὧν Ὀρειβάσιος πρὸς Ἰου λιανὸν ἔγραψε πρός τε Εὐστάθιον καὶ Εὐνάπιον, ἔτ δὲ καὶ ἐκ τῶν θεραπευτικῶν βιβλίων Γαληνοῦ, κα μὴν καὶ Ἀρχιγένους καὶ Ῥούφου, ἔτι δὲ Διοσκουρί δου, καὶ Ἡροδότου καὶ Σωρανοῦ, Φιλαγρίου τε κα Φιλουμένου καὶ Ποσειδωνίου καὶ ἑτέρων τινῶν τῶ ἐπὶ τῇ τέχνῃ τῆς ἰατρικῆς ὄνομα λιπόντων. Κα ἀπάρχεται μὲν ἀπὸ τῆς τῶν ἁπλῶν φαρμάκων τ καὶ τροφῶν δυνάμεως Γαληνοῦ, ἓν συνόψει ταῦτ

VARIÆ LECTIONES.

[73] post εὐπόριστα in A vacui versus 28 cum pagina adversa in C versus 2 1/2 [74] πρέπουσι τοῖς διορισμοῖς ς, [75] δέ γε τὸ γράψαι A : δὲ τὸ γράψαι καὶ ς.

NOTÆ.

(38) Quorum priores 18 Græce pridem Venetiis excusi.

διεξιών· συμπεραίνεται δὲ αὐτῷ τὸ [291 H.] βιβλίον εἰς τὸν ις' λόγον, περὶ γυναικείων τὴν διδασκαλίαν ποιούμενον παθῶν. Οἷς καὶ ἕτερά τινα συντάττει κεφάλαια, σημήγματά τε ὄψεως παραδιδοὺς καὶ τοῦ λοιποῦ σώματος, σκευασίας τε οἰνανθαρίων, καὶ ἕτερά τινα τοιουτότροπα.

A ducit, finiturque opus libro sexto decimo, qui de mulierum morbis præcepta tradit : quibus cum alia adnectit capita, tum tergendæ faciei, reliquique corporis rationem docet, œnanthariorum insuper præparatione, et id genus aliis quibusdam adjectis. Sic, uti diximus, opus universum et incipit et desinit. Singulatim autem ; primus liber simplicium alimentorum ac medicamentorum facultates breviter perstringit.

Ἡ μὲν οὖν ὅλη αὐτῷ πραγματεία ἐξ ὧν τε ἄρχεται, εἴρηται, καὶ ἐν οἷς τὸ πέρας ἀπολαμβάνει· κατὰ μέρος δὲ τὸ μὲν α' αὐτῷ βιβλίον τῶν ἁπλῶν τροφῶν καὶ τῶν φαρμάκων ἐν συνόψει τὰς δυνάμεις καταλέγει, ὁ δὲ β' τὰς τῶν μεταλλικῶν δυνάμεις καὶ χρήσεις καὶ τὰς ἀπὸ τῶν ζώων ὅλων τε καὶ μορίων ὠφελείας ἐν συνόψει παρατίθεται· εἴη δὲ καὶ τοῦτο τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας μέρος οὐκ ἐλάχιστον.

Alter dein metallicorum facultatem et usum, animantiumque vel integrorum vel partium eorum utilitatem paucis in medium affert : possit autem totius de simplicibus medicamentis tractationis pars hæc non modica censeri.

Ὁ δὲ γ' αὐτῷ λόγος περί τε γυμνασίων παντοδαπῶν διαλαμβάνει, καὶ ὅσα παρασκευάζει τὸ γυμνάσιον. Εἶτα μετὰ τὰς κενώσεις ἢ τὰς διαφορήσεις ταύτας τὰς οὐκ ἐπιδήλους περὶ φλεβοτομίας διαλαμβάνει, τρόπους τε τῆς τομῆς διευκρινῶν, καὶ μεγέθους καὶ σχημάτων καὶ καιροῦ καὶ μέτρου κενώσεως ἀναγράφει· περί τε ἀρτηριοτομίας καὶ ἀρτηριακοῦ ἰσχαίμου, καὶ σικύας, καὶ ἐγχαράξεως, καὶ βδελλῶν ἐκλογῆς τε [76] καὶ διαίτης καὶ χρήσεως, περί τε καθαιρόντων φαρμάκων, καὶ οἴνων καθαρτικῶν διαφόρους [77] σκευασίας, καὶ οἰνομέλιτος καθαρτικοῦ καὶ κονδίτου καὶ ἀψινθάτου καὶ ῥοσάτου, καὶ ῥοδομέλιτος καὶ ὀξυμέλιτος, γάρου τε καθαρτικοῦ καὶ μέλιτος καὶ οἰνογάρου [78] καὶ ὀξυγάρου, ζωμοῦ τε μαλακτικοῦ καὶ γάλακτος καὶ ἐλαιῶν καθαρτικῶν, περὶ τούτων ἁπάντων τὴν διδασκαλίαν προάγει. Ἔτι δὲ καὶ περὶ συνθέτων ὀξυπορίων καὶ καθαρτηρίων διαφόρων, καὶ παστίλλων καὶ βουκελλάτων καθαρτικῶν Ἀλοηδάρια τε καθαρτικὰ ἀναγράφει, καὶ ἅλατα ὁμοίως καὶ τὰς ε' ἱερὰς, [568 R.] βοηθήματά τε τοῖς λαβοῦσι τὸ καθαρτήριον καὶ οὐ καθ-ιρομένοις, καὶ τοῖς ὑπὲρ μέτρον κενωθεῖσι. Περί τε ἐμέτων, καὶ τίσι δοτέον τὸν ἑλλέβορον, καὶ τί δύναται, καὶ τίνες πρὸς αὐτὸν ἐπιτήδειοι, δοκιμασίας τε ἑλλεβόρου, καὶ προπαρασκευὰς τοῦ μέλλοντος αὐτὸν πίνειν, τάς τε διαφορὰς τῆς τοῦ ἑλλεβόρου χρήσεως, καὶ τὴν περὶ τοὺς πιόντας αὐτὸν ἐπιμέλειαν. Περί τε ἐπιθεμάτων καθαρτικῶν διαλαμβάνει· καὶ ὅσα τῶν ἐν ἡμῖν μορίων ἐστὶ καθαρτικὰ, ὀφθαλμῶν λέγω καὶ ὤτων καὶ τῶν ἐφεξῆς· περί τε ὑποκαπνισμοῦ εἰς τὴν αὐτὴν ἐνέργειαν συντελοῦντος· καὶ περὶ κενωτικῶν, λεπτῶν τε ἐντέρων καὶ τῶν σιμῶν τοῦ ἥπατος καὶ τῶν παραπλησίων. Περί τε ἀέρων καὶ ἀνέμων καὶ ἐπισημασιῶν, ὑδάτων τε καὶ λουτρῶν, τῶν τε ἐκ τέχνης καὶ ὅσα ἡ φύσις προήγαγε, ψυχρολουσίας τε καὶ τῆς εἰς ἔλαιον ἐμβάσεως· καὶ περὶ τῶν τοῦ προσώπου κλυσμάτων, καταιονήσεώς τε καὶ ἐγκαθίσματος καὶ ἐμβροχῆς καὶ πυριάσεως. Καὶ περὶ διαφόρων καταπλασμάτων, δροπάκων τε καὶ πιττώσεως καὶ σιναπισμοῦ καὶ φοινιγμοῦ· καὶ ἐπὶ τίσι χρηστέον [292 H.] τοῖς μετασυγκριτικοῖς βοηθήμασι. Ταῦτα μὲν καὶ ὁ γ' αὐτῷ συντάττει λόγος.

B Tertius ejus liber agit de omnis generis exercitationibus, quæque exercitationem parent. Hinc post evacuationes, seu humorum eductiones illas occultas, de venæ sectione pertractat, non sectionis tantum modos discernens, sed etiam magnitudinis, formarum, temporis opportuni, atque evacuandi mensuræ describens. Mox de arteriæ sectione, et de sanguinem sistente arteriarum medicamento, de cucurbita, scarificatione, et hirudinum delectu. De victus ratione et usu, de purgantibus medicamentis, et vinorum purgantium vario apparatu. De purgante vino mulso, condito, absinthiato, rosato, melle rosaceo, aceto mulso, itemque de garo purgante. De melle, vino mulso, oxygalo, ac jusculo molliente : de lacte, atque olivis purgantibus. De quibus quidem omnibus præceptiones tradit. Præterea et de compositis **177** (*b*) oxyporis, ac variis purgatoriis, deque pastillis, et buccellatis purgantibus. Aloedaria quoque purgantia describit, similiaque e sale, et illas quinque celebratas hieras. Auxiliantia quoque iis quos purgans medicamentum non purgavit, aut qui supra modum, evacuati sunt. De vomitu, et quibus dandum sit veratrum, quid illud possit, ac qui ad sumendum apti. De exploratione veratri, et præparatione bibituri. De vario ellebori seu veratri usu atque exhibitione, et de cura eorum qui illud biberunt. De epithematis purgantibus posequitur, et quæcunque in nobis partes purgentur, puta oculos, aures, et reliquas. De suffimento ad eumdem effectum pertinente, et de iis quæ tenuia intestina, semasque jecoris partes, et his similia evacuant. De aere, ventis ac stellarum significationibus. De aquis item et balneis, partim artificio paratis, partim natura productis. De frigida lotione, deque insessu solii ex oleo, et de faciei aspersione, de perfusione, insessionibus, humectatione, et sicco fomento. De variis cataplasmatum generibus. De dropace, picatione, sinapismo, rubricatione, et in quibus sit metasyncriticis, sive humores ex alto evocantibus auxiliis, utendum. Et hæc quidem libro tertio continentur.

VARIÆ LECTIONES.

[76] τε **add. A.** [77] διἀφόρου ς. [78] οἰνογάρου A : οἰνομέλιτος ς.

Quartus liber, quæ ad tuendam valetudinem pertinent, colligit. Auspicatus ergo ab infantium educatione, horum cum morbos, tum remedia exponit. Agit et de omnium ætatum ac conditionum victus ratione. De carnium item diminutione, et gracilium instauratione. De lassitudine ab exercitationibus. deque hujus differentiis ; de ea item, quæ ex Venere oritur, et cujus causa ignoratur, quam *spontaneam* nominant. Qua cura ad coctionem utendum sit, et de densatæ cutis curatione, atque de æstuoso ardore et frictione opportuna. De cruditate, ac crapula, et æquali temperatura. Optimi præterea temperamenti dinotionem, et calidi aliorumque, cum simplicium, tum compositorum temperamentorum notas (idque non modo corporis totius, sed et capitis cerebri, ventris, cordis, jecoris, ac testiculorum) edocet : horumque omnium, si forte a naturali statu deflexerint, remedia ponit.

Quintus Aetii liber, de morbis, et in primis de febribus disputat, **178** (*a*) quorum signa, prænotiones, dinotiones, curationes diligenter sane pertractat, et quæcunque præterea ad hanc medicam contemplationem spectant: quodnam morbi principium sit judicandum, trifariamque illud dici. Quæ item accessio morbi, quæque remissio : vigor item atque declinatio, cum partialis morbi accessione, tum corporis universi. Quæ sint sanitatis signa, vel mortis in ægrotante : et quænam horum tardius aut citius vel medio modo, ad sanitatem vel interitum pertinere judicentur. De pulsuum signis et urinarum dinotione : ac quid hæc designent. De excrementorum notis, vomitusque prænotione ac significatione. De sanguinis e naribus eruptione, et muliebri purgatione. De notis criticis sudorum atque abscessuum : et de indicio e sputo. Medicum præterea bene peritum cogniturum, morbusne perfecte solutus sit, annon, etiamsi forte solutus videatur : diem etiam atque adeo horam, qua sit ægrotus moriturus. De popularibus et communibus ac pestiferis morbis tractatio, et de iis qui variis ex causis syncope corripiuntur, deque animi deliquio, quod variis item ex causis animanti obvenit. De febricitantium capitis, aurium, atque oculorum dolore. insomnia, luminis hebetatione, ac de eorum curatione quibus sanguinem per nares in febribus effluere contingit, et quomodo sit providendum febricitantibus. De vesica, urinæ difficultate, lumborum doloribus, de ulcerato jam osse sacro, ac testibus, et ano. De pustulis per totum corpus diffusis, vel in corporis parte natis, ac de tremoribus, et convulsionibus. Quibus item dulces potiones in febribus maxime utiles sint, præscribit : ibique liber quintus desinit.

Ὁ δὲ δ' συναγωγήν τε τῶν ὑγιεινῶν περιέχει, ἀρχόμενος ἀπὸ τῆς τοῦ βρέφους διαίτης, τά τε περὶ τὸ βρέφος πάθη καὶ τὰς θεραπείας διέξεισι, καὶ περὶ διαίτης πασῶν τῶν ἡλικιῶν καὶ τῶν διαφόρων βίων, σαρκῶν τε καθαιρέσεως καὶ ἐνδεῶς ἐχουσῶν ἀναλήψεως· περί τε κόπων τῶν ἐπὶ γυμνασίοις, καὶ τῆς διαφορᾶς αὐτῶν, καὶ τοῦ ἐξ ἀφροδισίων κόπου, καὶ τῶν ἄδηλον ἐχόντων τὴν αἰτίαν κόπων, οὓς λέγουσιν αὐτομάτους· ποία τε ἐπιμέλεια πρὸς τὰς πέψεις χρησίμη, καὶ τοῦ πυκνωθέντος δέρματος θεραπεία, καὶ περὶ ἐγκαύσεως, καὶ περὶ τρίψεως εὐκαίρου, ἀπεψίας τε καὶ κραιπάλης καὶ ὁμαλοῦς δυσκρασίας· ἀρίστης τε κράσεως ἐκδιδάσκει διάγνωσιν, καὶ θερμῆς γνωρίσματα, καὶ τῶν ἄλλων ἁπλουστέρων τε καὶ συνθέτων κράσεων, οὐχ ὅλου μόνον τοῦ [79] σώματος, ἀλλὰ καὶ κεφαλῆς καὶ ἐγκεφάλου καὶ γαστρὸς καὶ πνεύμονος καὶ καρδίας καὶ ἥπατος καὶ ὄρχεων, καὶ τῆς τούτων ἁπάντων ἀπὸ τῆς τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπῆς ἰάματα.

Ὁ δὲ ε' αὐτῷ λόγος περὶ νοσημάτων διαλαμβάνει, καὶ πρὸ τῶν ἄλλων περὶ πυρετωδῶν νοσημάτων, τάς τε σημειώσεις αὐτῶν καὶ προγνώσεις καὶ διαγνώσεις καὶ θεραπείας οὐ παρέργως ἐπεξιών, καὶ ὅσα ἄλλα [80] πρὸς τὴν ἰατρικὴν ταύτην θεωρίαν συντελεῖ· τίνα τε δεῖ τοῦ νοσήματος ἀρχὴν λέγειν, καὶ ὅτι τριχῶς λέγεται. Καὶ τίς ὁ παροξυσμὸς, καὶ τίς ἡ ἄνεσις καὶ ἡ ἀκμὴ καὶ ἡ παρακμὴ τοῦ τε μερικοῦ παροξυσμοῦ καὶ ὅλου τοῦ σώματος· τίνα τε σημεῖα σωτηρίας τοῦ νοσοῦντος, καὶ τίνα ὀλέθρια, ποῖά τε αὐτῶν βράδιον ἢ τάχιον ἢ διὰ τοῦ μέσου κρίνεται πρὸς τὴν ὑγείαν ἢ καὶ πρὸς τὸν θάνατον. Περί τε σφυγμῶν σημειώσεως καὶ οὔρων διαγνώσεως, καὶ τί δηλοῦσι ταῦτα· καὶ περὶ διαχωρημάτων σημειώσεως ἐμέτων τε προγνώσεως, καὶ τῆς ἐξ αὐτῶν σημειώσεως· αἱμορραγίας τε ἐκ ῥινῶν, καὶ τῆς γυναικείας καθάρσεως· περί τε τῶν κριτικῶν σημείων τῶν κατὰ τοὺς ἱδρῶτας καὶ τὰς ἀποστάσεις, καὶ τῆς ἀπὸ τῶν πτυέλων τεκμηριώσεως· καὶ ὅτι ὁ ἄριστος ἰατρὸς εἴσεται εἰ βεβαίως τὸ νόσημα λέλυται καὶ εἰ μὴ λέλυται, κἂν δοκῇ [81], τήν τε ἡμέραν καὶ ὥραν ἐν ᾗ ὁ νοσῶν τὸν βίον ἀπολείψει. [569 R.] Περὶ τε πανδήμων καὶ ἐπιδήμων καὶ λοιμωδῶν νοσημάτων ἔκθεσιν ποιεῖται, καὶ περὶ τῶν κατὰ διαφόρους αἰτίας συγκοπτομένων, καὶ περὶ τῆς κατὰ διαφόρους αἰτίας ἐπισυμβαινούσης τῷ ζώῳ λειποθυμίας, περί τε τῆς ἐν πυρετοῖς κεφαλαλγίας καὶ ἀγρυπνίας καὶ ὠταλγίας καὶ ὀφθαλμίας καὶ ἀμαυρώσεως, καὶ ἐφ' ὧν αἵματος ῥύσις ἐν πυρετοῖς συμβαίνει, τῆς τούτων ἀποθεραπείας; ὅπως τε προνοητέον κατὰ τοὺς πυρετοὺς κύστεώς τε καὶ δυσουρίας, καὶ τῶν περὶ ὀσφὺν ἀλγημάτων ἐλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ καὶ ὀσχέου [82] ἢ δακτυλίου. Καὶ περὶ ἐξανθημάτων καθ' ὅλον τὸ σῶμα ἢ καὶ κατὰ [293 H.] μέρος συμβαινόντων κατὰ τοὺς πυρετοὺς [83], καὶ περὶ τρόμων καὶ σπασμῶν· οἷς πόματα ἡδέα κατὰ τοὺς πυρετοὺς μάλιστα χρησιμεύοντα συντάττει. Ἐν τούτῳ μὲν καὶ ὁ ε' λόγος.

VARIÆ LECTIONES.

[79] τοῦ add. A : [80] ἄλλα add. A. [81] δοκεῖν ς. [82] ὀσχέων ς. [83] κατὰ τοὺς πυρετοὺς add. A.

Ἐν δὲ τῷ ς' λόγῳ περὶ τῶν τῆς κεφαλῆς καὶ τοῦ ἐγκεφάλου παντοίων διέξεισι παθῶν, ταῦτά τε ἀναδιδάσκων καὶ τὰς θεραπείας αὐτῶν Διέξεισι δὲ καὶ περὶ λυσσοδήκτων, καὶ περὶ ἀποπληξίας καὶ παραλύσεως, παρέσεώς τε ἀφρύος ἢ βλεφάρων καὶ γλώσσης καὶ τοῦ φωνητικοῦ ὀργάνου καὶ καταπόσεως τῷ αὐτῷ κατασχεθέντων πάθει· καὶ περὶ τῆς τούτων θεραπείας· περί τε κυνικοῦ σπασμοῦ, καὶ περὶ θεραπείας κύστεως παρεθείσης, καυλοῦ τε καὶ ἀπευθυσμένου καὶ σκέλους καὶ ἑτέρου τινὸς κώλου· καὶ περὶ τετάνου, καὶ περὶ διαφόρων κεφαλαλγιῶν ἐκ διαφόρων αἰτιῶν συμβαινουσῶν, περί τε κεφαλαίας καὶ ἡμικρανίας. Ἀλωπεκιῶν τε θεραπείας ἀναγράφει καὶ τριχῶν ῥευσῶν καὶ ὀφρύων λιποτριχουσῶν [84], τριχῶν τε βάμματα, καὶ τούτων σύλοποιὰ, ἀφανιστικά τε τριχῶν, καὶ ἀφανιζομένων βοηθήματα, καὶ ψίλωθρα, καὶ λεπτυντικὰ τριχῶν. Περί τε πιτυριάσεως καὶ φθειριάσεως, ἀχώρων τε, καὶ τῶν ἐν τῇ κεφαλῇ συμβαινόντων ἄνευ προφανοῦς αἰτίας ἐξανθημάτων· καὶ τούτων ἁπάντων καὶ τῶν παραπλησίων διέρχεται θεραπείας. Καὶ τῶν ἐν ὠσὶ διαφόρων τε καὶ ἐκ διαφόρου αἰτίας συμπιπτόντων παθῶν, καὶ πρὸς τὰς ἐξ αὐτῶν αἱμορραγίας, καὶ περὶ παρωτίδων, καὶ ὅσα κατὰ τὴν ῥῖνα συνίσταται πάθη, περί τε πταρμικῶν, καὶ ἐξ ὧν ἔστι τούτους πλεονάζοντας παῦσαι. Περὶ τούτων ἁπάντων ἰάματα καὶ θεραπείας ἐν τῷ ς' καταλέγει λόγῳ.

A Sexto porro libro de capitis et cerebri morbis agit universis, non hos solum edocens, sed remedia quoque ipsorum. Agit et de commorsis a rabido cane, et de apoplexia atque paralysi. De supercilii aut palpebrarum resolutione, itemque de lingua, et vocali instrumento, ac gula dum hoc ipso malo infestantur, et de horum curatione. De canina convulsione, et curatione resolutæ vesicæ, penis et intestini recti. De cruris, alteriusve cujuscunque membri medicina ; ac de tetano seu distentione. De capitis 178(*b*) variis doloribus e diversis causis ortum ducentibus, ac de cephalæa et hemicrania. Describit et curationes alopeciarum, capillorum defluentium, et depilium superciliorum. Quæ item capillos B tingant, crispent, exstirpent, delabentes juvent, attenuent, unaque horum psilotra. De furfuribus, morbo pediculari, achoribus, quæque capiti accidunt sine causa manifesta pustulis, et horum omnium atque similium incidentium morborum medicina. Item quæ auribus varia variisque de causis mala accidunt, et adversus sanguinis ex ipsis eruptiones : ac de parotidibus. De affectionibus insuper, quæ naribus contingunt, et de sternutatoriis, ac quibus potissimum remediis redundantes sternutationes sedari possint. Horum omnium medelas et curationes libro sexto recenset.

Κατὰ δὲ τὸν ζ', ἐπεὶ [85] ὁ ἕκτος αὐτῷ τὰ ἀπὸ κεφαλῆς πάθη μέχρι ὤτων καὶ ῥινὸς καὶ τὰς τούτων ἰάσεις διεξιὼν ἵσταται, περὶ φύσεως ἀπάρχεται ὀφθαλμῶν καὶ τῶν συνισταμένων περὶ αὐτοὺς παντοδαπῶν παθῶν, ἔσωθέν τε τὴν αἰτίαν προβαλλομένων, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνει καὶ ἀποτίκτεται. Περί τε ἀρτηριοτομίας διδάσκει, καὶ περὶ σκυθισμοῦ καὶ ὑποσπαθισμοῦ καὶ ἀγγειολογίας· ἐν οἷς ἐπιχρίσματά τε καὶ καταπλάσματα καὶ διάφορα κουλλούρια [86], δι' ὧν τὰ τῶν ὀφθαλμῶν θεραπεύεται πάθη, συντάττει. Ταῦτα μὲν κατὰ τὸν ζ' αὐτῷ λόγον φιλοπονεῖται.

C Septimo post hæc libro (quod sexto capitis affectiones et morbos ad aures usque et nares, earumdemque partium curationes esset persecutus) de oculorum nunc natura orditur, et omnigenis morbis, qui circa ipsos oculos concitantur, sive causam aliquam interiorem illi prætendant, sive ab externis proveniant atque gignantur. De arteriarum quoque sectione præcepta tradit, et de scythismo, ac de frontis per submissum scalpellum excoriatione, venarumque delectu : ubi et illitiones, cataplasmata, varia collyriorum genera, quibus oculorum morbi curantur, præscribit. Quæ quidem libro septimo cum cura tractat.

Ἐν δὲ τῷ η' λέγει μέν τι κατ' ἀρχὰς περὶ διακοσμήσεως ὀφρύων, τί τε ἔστι καὶ ὅπως γίνεται τὰ ὑπώπια, καὶ ὅπως αὐτὰ θεραπευτέον. Ὅπως τε ὑπὸ ἡλίου ἢ ἀνέμου μὴ ἐπικάοιτο τὸ πρόσωπον, καὶ δι' ὧν ἔστιν ἀῤῥυτίδωτον αὐτὸ συντηρεῖν καὶ μελανίας ἀπαλλάττειν καὶ ἄλλως [572 H·] ἐπικοσμεῖν, καὶ τὸν τοῦ σώματος χρῶτα πρὸς εὐωδίαν μεταβάλλειν. Ἐντεῦθεν περὶ πάντων τῶν κατὰ τὸ πρόσωπον καὶ στόμα [88] καὶ παρίσθμια συνισταμένων διαλαμβάνει [294 H.] παθῶν, ὅσα τε πρόεισι τὴν αἰτίαν ἔσωθεν λαβόντα, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνει, οἷον [88] ὀδόντων τε περιέχεται ποικίλα πάθη καὶ θεραπεία, καὶ γλώσσης, καὶ γαργαρεῶνος, καὶ ἁπλῶς ὅσα τῇ περιγραφῇ συμπεραίνεται [89] τοῦ στόματος· ὧν ἐστὶ

Octavo autem libro refert ab initio quædam de his quæ supercilia exornent : quid suggillatio sub oculo sit : quaque hæc ratione et fiat, et curetur. Quomodo a sole et vento non aduratur facies, ac per D quæ hæc eadem sine rugis conservari : atrum colorem exuere, aut alia ratione nitidior reddi, corporisque ipsius cutis odora effici possit. Hinc de omnibus iis morbis qui ad faciem et os atque tonsillas excitantur, pertractat, sive illi ab intrinseco accepta causa prodeant, sive ab extrinsecis evenire soleant. Dentium ergo hic varia continentur incommoda, eorumque curatio : ut et linguæ, gurgulionis, ac cæterorum omnium quæ oris termino definiuntur: quo in numero censentur Cynanche (39) atque Sy-

VARIÆ LECTIONES

[84] λειπ ς [85] ἐπεὶ καὶ ὁ ς· [86] κολλ. A. [87] καὶ στόμα om. A. [88] οἷον pr. A : εἴωθεν ς. [89] συμπαραλαμβάνεται. A.

NOTÆ

(39) Distinctæ sunt anginæ species.

nanche in faucibus consistentes morbi : imo et tonsillarum tumores suprascriptis accedunt. Docet item qua ratione **179** (*a*) strangulati, nondum tamen mortui, refocillari possint, tum de arteriarum affectionibus ac remediis disputat. De catharro quoque ac tussi agens, pharmaca simul tussis dolorem levantia describit, cum suffitionibus et epithematis. De orthopnoicis posthæc, et anhelosis, ægreque spiritum ducentibus disserit, ac de palpitationibus circa cor. De pulmonis denique ac pectoris morbis postquam tractavit, librum tandem claudunt præceptiones de pleuritide, tam quæ vere adest, quam quæ adesse putatur, utriusque harum descriptione, quæque ad eas curandas faciunt, adjectis.

Nono libro incipit de cardiacis morbis, pergitque porro de his agere, quibus atra bile stomachus perturbatur : aut si qui præterea morbi ventriculi os infestant. Cataplasmata iis atque auxilia, qui variis stomachi malis torquentur, enumerans. Ibidem de iis quoque agit, qui a stomacho epilepticorum more convelluntur ; itemque de inappetentia ; de canino appetitu, eruditate, et horum curatione. Docet ad hæc qua ratione crapula laborantibus opitulandum sit, et alvi astrictæ curam præscripsit. Agit insuper de inflatione, et volvulo, seu gracilioris intestini obstructione, ac denique de omnibus, qui colicis doloribus cruciantur. De ventris fluxione, atque de cœliaca, quam vocant, affectione. De colliquatione : de lumbricis cum rotundis, tum latis : de iis quæ ascarides nominantur, deque intestinorum passionibus. Eorum quoque remedia describit, qui aurum, qui æs, vel tale quid deglutiverunt dysentericis item quæ vel superne vel inferne immittantur remedia commemorat : pastillos, supposita, unguenta, epithemata, donec tandem in sermone lienteria librum finiat.

Decimum librum auspicatur ab imbecillitate jecoris, indeque de omnibus hepatis morbis, et per quæ horum fieri medicina queat, tradit. Hinc ad splenis pergit affectiones, ejusque variam intemperiem cum curandi modis refert : [tales] inflationes, inflammationes, scirrhi, tumores præter naturam atque durities. De icteru tum agit, seu morbo arquato, et de mala corporis habitudine : itemque de hydrope, sive aqua inter cutem : unde singuli hi morbi nascantur, et quomodo curari possint via ac ratione tradit : quo libri decimi labor terminatur.

179 (*b*) Undecimo libro de diabete (hoc est urinæ profluvio) tractat, et de renum imbecillitate eruentam urinam excernentium. Hinc de calculosis renibus, calculosa vesica, ac de renum inflammatione, duritia, suppuratione. De dysuria quoque et stranguria, atque ischuria. De resoluta vesica, de bis, qui se in somnis permingunt : de inflammata vesica

καὶ ἡ κυνάγχη καὶ συνάγχη, περὶ τὸν φάρυγγα συνιστάμενα πάθη. Καὶ αἱ ἀντιάδες [90] δὲ τοῖς εἰρημένοις συμπεριέχονται. Ὡς τέ ἐστι δυνατὸν ἀνακαλέσασθαι τοὺς ἀπαγχομένους, μήπω τῷ θανάτῳ παραδεδομένους. Περί τε ἀρτηριακῶν παθῶν καὶ φαρμάκων ἀναγραφὴν ποιεῖται, καὶ περὶ κατάρρου καὶ βηχός· καὶ ἀνώδυνα βηχικὰ φάρμακα γράφει, ὑποκαπνισμούς τε καὶ ἐπιθέματα. Περὶ ὀρθοπνοϊκῶν τε καὶ ἀσθματικῶν καὶ δυσπνοϊκῶν διαλαμβάνει, περί τε παλμῶν τῶν κατὰ τὴν καρδίαν· καὶ ἔτι περὶ [τε] τῶν τοῦ πνεύμονος καὶ θώρακος παθῶν διεξιὼν συμπεραίνει τὸν λόγον εἰς τὴν διδασκαλίαν τῆς πλευρίτιδος, τῆς τε οὔσης καὶ τῆς νομιζομένης, τίς τε ἑκατέρα τούτων, ὑπογράφων, καὶ ὅσα εἰς θεραπείαν αὐτῶν συντελεῖ.

Κατὰ δὲ τὸν θ' λόγον ἀπάρχεται μὲν περὶ καρδιακῶν, διαλαμβάνει δὲ ἐφεξῆς περί τε τῶν ὑπὸ μελαίνης χολῆς ἐνοχλουμένων τὸν [91] στόμαχον, καὶ ἁπλῶς ὅσα πάθη κατὰ τὸ στόμα τῆς κοιλίας συνίσταται, καταπλάσματά τε καὶ βοηθήματα τοῖς κατὰ διάφορα πάθη τὸν στόμαχον κεκακωμένοις συναριθμῶν. Ἐν οἷς καὶ περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶς σπωμένων διέξεισιν, ἀνορεξίας τε καὶ κυνώδους ὀρέξεως καὶ ἀπεψίας, καὶ θεραπείας τούτων. Διδάσκει δὲ καὶ ὅπως βοηθητέον τοῖς κραιπαλῶσιν. Ἐπεχομένη τε γαστρὶ διατάττει ἐπιμέλειαν, περί τε ἐμπνευματώσεως καὶ ἰλεοῦ, καὶ ἁπλῶς περὶ τῶν ὀδυνωμένων τὸ κῶλον· καὶ περὶ κοιλίας ῥευματιζομένης, τῆς τε κοιλιακῆς λεγομένης διαθέσεως, καὶ περὶ συντήξεως, περί τε ἑλμίνθων, τῶν τε στρογγύλων καὶ τῆς πλατείας καὶ τῶν ἀσκαρίδων λεγομένων. Περί τε τῶν κατὰ τὰ ἔντερα συνισταμένων παθῶν, καὶ ὅσοις χρυσὸς ἢ χαλκὸς ἤ τι τοιοῦτον [92] ἐπόθη. Τούτων τε βοηθήματα ἀναγράφει, καὶ δυσεντερικοῖς τὰ λεγόμενα ἀνωτερικὰ καὶ κατωτερικὰ ἐνέματα καταλέγει [93], τροχίσκους τε καὶ ὑποθετὰ καὶ ἐπιχρίσματα καὶ ἐπιθέματα, καὶ λοιπὸν εἰς τὸν περὶ λειεντερίας καταλήγει λόγον.

Ὁ δὲ ι' αὐτῷ [94] λόγος ἀπάρχεται μὲν περὶ ἥπατος ἀτονίας, κἀκεῖθεν περὶ πάντων αὐτοῦ τῶν παθῶν, καὶ δι' ὧν ἂν θεραπευθείη ταῦτα, διαλαμβάνει. Εἶτα μεταβαίνει πρός τὰς ἐν σπληνὶ διαθέσεις, δυσκρασίας τε αὐτοῦ καὶ θεραπείας διεξιών, ἐμπνευματώσεις καὶ φλεγμονὰς καὶ σκίρρους [95] καὶ τοὺς παρὰ φύσιν ὄγκους καὶ τὰς σκληρίας· περί τε ἰκτέρου καὶ καχεξίας, καὶ περὶ ὑδέρων, ὅθεν τε τούτων συνίσταται ἕκαστον καὶ πῶς ἂν θεραπευθείη, μεθόδους παραδιδούς. Ἐν οἷς αὐτῷ καὶ ὁ ι' συμπεραίνεται πόνος.

Ἐν δὲ τῷ ια' περί τε διαβήτου διαλαμβάνει, καὶ ἀτονίας νεφρῶν, αἵματός [295 H.] τε ἐξουρήσεως, καὶ περὶ λιθιώντων νεφρῶν καὶ λιθιώσης κύστεως, φλεγμονῆς τε νεφρῶν καὶ σκληρίας καὶ διαπυήσεως, δυσουρίας τε καὶ στραγγουρίας καὶ ἰσχουρίας, περί τε παραλυθείσης κύστεως, καὶ τῶν κατὰ τοὺς ὕπνους οὐ κατεχόντων [573 R.] τὸ [96] οὖρον· περί τε κύστεως

VARIÆ LECTIONES.

A ὑπ' αὐτοῦ κηρυττομένην πολιτείαν, δι' ἧς ἡμῖν ἡ σωτηρία, ὑποδειχθῆναι, καὶ πρὸς μάθησιν ἡμᾶς καταστῆναι σύντροφον. Καί γέ φησι τοῦτο εἶναι τὸ καταλείψαντα [53] τὰ ιθ' πρόβατα ἐφ' ἓν ἐλθεῖν τὸ πλανώμενον, ὃ καὶ ἐπὶ τῶν ὤμων ἦρε. Καὶ γὰρ οὐ κατὰ τὴν κοινὴν καὶ συνήθη τῶν ὅλων δημιουργίαν λόγῳ καὶ τὴν ἡμετέραν φύσιν ἀνέπλασεν · ἀλλ' ὅπερ [54] ἐπ' οὐδενὸς τῶν ἄλλων ἠνέσχετο, οὐκ ἐπ' ἀγγέλων, οὐκ ἐπ' ἄλλης τινὸς φύσεως, τοῦτο ἐπὶ τῇ τῶν ἀνθρώπων ὑπέστη σωτηρίᾳ, ἀντὶ Δεσπότου δοῦλος χρηματίσας· Εἰκότως οὖν [55] καὶ καταλιπεῖν, ὡς ἔφην, τὰ ιθ' πρόβατα λέγεσθαι, τὴν εἰς ἄλλο παραδοξότερον καὶ θαυμασιώτερον τῆς δημιουργίας ἀναχώρησίν τε καὶ μετάστασιν καὶ τὴν τῆς συνηθείας καινοτομίαν τῆς παραβολῆς αἰνιγματιζούσης, B καὶ ὡς οὐ καθ' ὃν τρόπον τὸ πᾶν ἐξ ἀρχῆς συνεστήσατο, ἀλλὰ καινοπρεπῆ τε καὶ ὑπὲρ πάντα λόγον τὸν ἡμέτερον ἀνακαινισμὸν ἐξειργάσατο.

ιε'. Εἶτά φησιν εὐλόγως τε καὶ ἀναγκαίως τὴν διὰ σαρκὸς σωτηρίαν τὸν Λόγον ἡμῖν πραγματεύσασθαι. Πάσης γὰρ ἄλλης μεθόδου προκαταβληθείσης [56] (καὶ γὰρ καὶ προφῆται καὶ δημαγωγοὶ καὶ ὑπερφυῆ τέρατα εὐεργεσίαι τε καὶ ἀπειλαὶ καὶ τιμωρίαι [589 R.] τοῦτο μὲν ἐπὶ μέρους, τοῦτο δὲ καὶ παγκόσμιαι) ἐπεὶ τὸ ἀνθρώπινον τὴν πρὸς τὰ κρείττω μεταβολὴν οὐκ ἠσπάσατο, τὸ δὲ νόσημα πρὸς τὸ ἀνίατον μᾶλλον ἐχώρει, κατὰ τὸ ἀναγκαῖον καὶ ἀκόλουθον, μᾶλλον δὲ ἀῤῥήτῳ φιλανθρωπίας πλούτῳ, C ἑαυτὸν ὁ Λόγος, σάρκα προσλαβών, καθηγητὴν καὶ διδάσκαλον καὶ ἀνακαινιστήν, εὐδοκίᾳ Πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος, εἰσηγήσατο. Ὃ καὶ αἴτιον τοῖς φιλοθεάμοσιν ὁρᾶται τοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ μὴ ἐξ ἀρχῆς, εἰς σάρκα τὸν Λόγον κενωθῆναι, ἀλλὰ πάσης σπουδῆς καὶ προνοίας ἠγησαμένης, εἶτα ταύτην οὐ προσδεχομένων τῶν προνουμένων, οὕτω λοιπὸν καιροῖς ἐσχάτοις δι' αὐτοῦ τὴν ἡμῶν οὐσίαν ἀνασώσασθαι.

Τούτοις ἀπορίαν συνάπτει ὡς ἐξ ἀνθυποφορᾶς προτεινομένην. Ἀλλ' ἔδει, φασὶ, τὸν ἄνθρωπον ἀπ' ἀρχῆς καλόν τε καὶ ἀγαθὸν ὑφεστάναι, ἵνα μήτε πράγματα τοσαῦτα παρεῖχε, ῥέων τε συνεχῶς πρὸς τὰ D χείρω καὶ διά τοῦτο πολυτρόπου [304 H.] τε καὶ ποικίλης οἰκονομίας εἰς τὸ ἀνασωθῆναι δεόμενος, μήτε τὸ ἄπαξ κατ' εἰκόνα Θεοῦ δημιουργηθὲν ἐνυβρίζοιτο. Ἀλλ' ἡ μὲν ἀντίθεσις τοιαύτη· ἀκούσεσθε [57] δὲ ἄρα, φησὶ, τοὺς τοιούτους παρὰ τῆς Ἀληθείας, ὡς Αἰτεῖτε [58] καὶ οὐ λαμβάνετε, διότι κακῶς [59] αἰτεῖσθε. Ἀλλὰ καὶ ἕτερον αὐτοῖς ἄτοπον [60] ἕπεσθαι, τὸ μὴ τὴν πρόνοιαν καὶ τὴν κρίσιν τὴν θείαν στέργειν, αὐτοὺς δ' ἀπαιτεῖν τὸν πλάστην ταῖς ἐκείνων βουλαῖς τε καὶ γνώμαις τυποῦσθαί τε καὶ μεθαρμόζεσθαι, καὶ

[23] Luc. xv, 4. [24] Jac. iv, 3.

VARIÆ LECTIONES

[53] τὸ καταλ.] Luc. xv, 4. [54] ὅπερ A : ὅτιπερ ζ. [55] οὖν add. A. [56] προκαταλυθείσης ζ. [57] ἀκούεσθαι libri. [58] αἰτεῖτε] Jacob. iv, 3. [59] κακὰ ζ. [60] ἄτοπον A : τόπον ζ.

κατὰ τὰς ἐκείνων ψήφους, κἂν εἰς αὐγὰς οὔπω ἥκασιν ἡλίου, τὴν δημιουργίαν κατευθύνεσθαι. Ἔτι δὲ ἅμα τε οἱ αὐτοὶ καλὸν καὶ φαῦλον δεῖν [61] εἶναι τὸν ἄνθρωπον ἀποφαίνουσι. Τὸ γὰρ καλὸν μὲν εἶναι ζητεῖν, ἀνάγκῃ δὲ [τὸ] τοιοῦτον εἶναι προσαπαιτεῖν, τό τε αὐτεξούσιόν ἐστιν ἀφελεῖν, καὶ μηδὲν ὧν πράττουσιν ἄνθρωποι μήτε μέρας εἶναι μήτε ἀντίδοσιν· τὸ γὰρ ἀκούσιον οὔτε ἔμμισθον οὔτε ὑπεύθυνον. Ἀλλὰ, Ναί, φησι· τί γὰρ ἐκώλυε, καθάπερ τοὺς ἀγγέλους, οὕτω καὶ τοὺς ἀνθρώπους ἐκτίσθαι; καὶ μὴν κἀπὶ τῶν ἀγγέλων ἡ γνώμη κρατεῖ, καὶ οὐδὲν κατ' ἀνάγκην αὐτοῖς πράττεται. Καὶ μάρτυς ὁ ἐκπεσὼν Ἑωσφόρος, καὶ ὅσον αὐτῷ συναπέστη φῦλον δαιμόνιον. Πῶς δὲ καὶ ἄμεινον κατ' ἀγγέλους προαχθῆναι, ὅπου τὸ μὲν ἁμαρτάνειν ἐν αὐτοῖς ἀμετανόητον καὶ διὰ τοῦτο πάσης συγγνώμης ἀλλότριον, τὸ δὲ ἡμέτερον γένος καὶ πίπτοντες διὰ μετανοίας πάλιν ἀνίστανται; ἔστι μέντοι γε μετὰ τὴν Δεσποτικὴν ἐπιδημίαν καὶ ἐν ἀνθρώποις ἔργα μείζω καθορᾶν ἢ ὅσα πράττουσιν ἄγγελοι· Ἴδε γὰρ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὡς εἰ καὶ [62] ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Καὶ πάλιν· Ὁ μὲν ἀρχάγγελος [63] Μιχαὴλ οὐκ ἐτόλμησεν ἐξενεγκεῖν βλάσφημον κρίσιν κατὰ τοῦ διαβόλου, ἡμεῖς δὲ τὴν ἐξουσίαν [64] ἐλάβομεν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Καὶ ἀγγέλων μὲν οὐδείς, οὐδένα οὔτε αὐτὸς ἑαυτὸν, Θεὸν ἢ Θεοῦ Υἱὸν εἰπεῖν ἂν τολμήσειεν· [592 R.] τὸ δὲ ἡμέτερον γένος καὶ θεοὶ [65] καὶ υἱοὶ Ὑψίστου κεκλήμεθα. Καὶ ὁ μὲν ἐν ἐκείνοις Ἑωσφόρος [66] ὀνομαζόμενος, εἰπὼν ὅμοιος ἔσεσθαι τῷ Ὑψίστῳ καὶ τὸν θρόνον ὑπεράνω [67] θεῖναι τῶν οὐρανῶν, καὶ ὧν εἶχε καλῶν ἐκπεσὼν τὸν αἰῶνα γελᾶται καὶ κατακρίνεται· ἡμᾶς δὲ ὁμοίους εἶναι τοῦ Πατρὸς καὶ συνθρόνους γενέσθαι [68] τοῦ Υἱοῦ αὐτοῦ ἡ τῆς ἀληθείας ψῆφος τὴν ἄδειαν ἔδωκε. Καὶ τὸ μεῖζον· Συνήγειρε [69] καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. Καὶ, Εἰ ὑπομένομεν [70], καὶ συμβασιλεύσομεν. Καὶ, Οἴδαμεν [71], πάλιν ἄλλος τῶν μαθητῶν διαμαρτύρεται, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα. Ὥστε τοῖς βουλομένοις ἔχειν καὶ τὴν ἀγγέλων τιμὴν ἤδη κεχάρισται.

consilio atque voluntate et formari, et reconcinnari, ipsamque adeo mundi molitionem suo ex decreto, etiamsi tunc lucem nondum aspexissent, dirigi. Idem [addit] illud quoque clare demonstrant, probum simul et improbum esse hominem oportere. Dum enim probum quidem illum esse volunt, et simul necessario talem esse postulant, non liberum solum hoc pacto tollunt arbitrium, sed nullum quoque eorum quæ ab hominibus gerantur præmium esse vel remunerationem statuunt. Involuntarium enim quod est, id neque præmium meretur, neque pœnæ ulli est obnoxium. At certe nihil prohibebat, inquit, eadem homines conditione qua angelos, condi. Enimvero in angelis voluntas libera dominatur, et nihil ab illis necessario agitur. Testis est delapsus Lucifer, et quotquot cum ipso dæmones defecerunt. Verum quomodo nobis expedire magis possit angelorum conditione produci, quando peccatum ipsorum pœnitentiam non recipit, et propterea omni quoque venia careat: nostrum autem mortale genus etiam peccans per pœnitentiam rursum resurgat? Et certe post Christi Domini adventum, etiam in hominibus majora opera videre licet, quam quæcunque ab angelis fiunt: *Ecce ego dico vobis* (inquit Paulus), *licet angelus de cælo evangelizet vobis, præter id, quod accepistis, anathema sit* [25]. Et iterum: *Michael quidem archangelus non est ausus judicium inferre blasphemiæ diabolo* [26]; nos vero accepimus potestatem calcandi supra serpentes et scorpiones, et super omnem virtutem inimici [27]. Neque angelorum quisquam se vel alium ausus est Deum, aut Dei Filium appellare: hominum vero genus, et dii et filii Dei nominamur [28]. Cum item dixisset, qui inter illos Lucifer **185** (*b*) vocabatur, similem se futurum Altissimo, soliumque supra cœlum collocaturum [29], illis ipsis, quæ tum possidebat, bonis amissis, in sæcula ludibrio est, atque condemnatus manet: nobis tamen veritatis decretum potestatem illam fecit, ut similes Patri efficeremur, unaque cum ejus Filio in thronis consideremus. Illud amplius: *Conresuscitavit et consedere nos fecit in cœlestibus in Christo Jesu* [30]. *Et: Si sustinebimus, etiam conregnabimus* [31]. Et: *Scimus* (alius iterum apostolus testatur) *quoniam cum apparuerit, similes ei erimus* [32]. Itaque his ipsis, qui angelorum honorem tantopere ambiunt, jam concessus ille est.

Ἀλλ' ἁμαρτάνομεν, φησὶν, εὐχερέστερον· ἀλλ' ὅσον συνεχῶς, τοσοῦτον θᾶττον, ἂν ἄρα θέλωμεν, ἀνιστάμεθα· μυρίας γὰρ [72] ὁδοὺς τῆς μεταμελείας καὶ τῆς σωτηρίας ἡμῶν ὁ [305 II.] ὑπέρσοφος κηδεμὼν ἐχαρίσατο. Ἀλλ' ἐραστὴς σὺ τῆς πρὸς ἀγγέλους συγγενείας. Καὶ μὴν [73] ἠξίωσαι μείζονος· τοῦ γὰρ Δεσπότου συγγενεῖς κατὰ σάρκα γεγόναμεν. Ἔτι δὲ

Atqui peccamus, inquit, promptius. [Verum.] Sed quanto id promptius, tanto etiam citius resurgimus; si modo volumus. Mille enim vias pœnitendi, nosque solvendi sapientissimus patronus donavit. At, heus tu angelicæ cognationis amator: majore etiam munere dignus es habitus. Nam cognati jam Christi per carnem effecti sumus. Quod item ab illis

[25] Galat. I, 8 et 9. [26] Judæ 9. [27] Luc. X, 19. [28] Psal. LXXXI, 6. [29] Isa. XIV, 14. [30] Ephes. II, 6. [31] II Tim. II, 12. [32] I Joan. III, 2.

VARIÆ LECTIONES.

[61] δεῖ ς. [62] εἰ καὶ] Gal. I, 8. [63] ὁ μέν ἀρχ.] Jud. 9. [64] τὴν ἐξουσίαν] Luc. X, 19. [65] θεοὶ] Psal. LXXXI, 6. [66] ἑωσφ.] Isa. XIV, 12. [67] ὑπερανωθεν ς. [68] γίνεσται apographum Stephani. [69] συνήγειρε] Ephes. II, 6. [70] εἰ ὑπομ.] II Tim. II, 12. [71] οἴδαμεν] I Joan. III, 2. [72] γὰρ add. A. [73] καὶ μὴν καὶ ἠξ. ς.

peccatum est, tametsi forsitan minus est nostro, majori tamen pœna punitur. *Potentes enim potenter tormenta patientur* [33]. Rursus quod illis gravissimam affert pœnam, non parem nobis in pari delicto pœnæ adducit gravitatem. Quin etiam in nobis citius deletur, cum illis semel infusum peccatum, maneat indelebile. Et nobis quidem nostra cum corpore conjunctio, veniæ causam præbet; illis vero, quanto corpore præstantiores habentur, tanto etiam minus deprecabilis castigatio infligitur. Quamobrem et vas electionis ait: *Angelos judicabimus, quanto magis sæcularia* [34]. Et, *Sancti mundum judicabunt.* Nimirum crassæ huic carni alligati, sed quæ meliora sunt, recte peragentes, liberos illos a corporeis vinculis, sed qui aut non paria nostris, aut pejora etiam patrant, judicamus, atque compescimus, minore cum potestate, quod melius erat, perficientes, præ iis, qui majorem facultatem obtinebant. Nobis insuper peccantibus tota est vita ad pœnitentiam atque emendationem proposita, cum angelos semel lapsos pœna mox consecuta sit. *Caliginiem enim*, inquit, *inferni immersos tradidit in judicium custodiendos servare* (43). Aliis sexcentis argumentis sapientissima Dei erga nos providentia perspicitur, et eorum qui nos angelos potius **186** (*a*) quam homines conditos volunt, dementia atque insania palam exponitur. Quanquam, si secundum angelorum naturam hominem fabricasset [Deus], ne sic quidem reprehendendi studium repressum foret; sed aliam rursus naturam quæreret, quæ angelicum vinceret statum. Interim tu et hoc mihi considera: si ad imaginem Dei conditus Adam angelorum par fuisset, et neque nos angelorum gloria caruissemus, ille tamen paulo infra angelos effectus, ob mentem scilicet elatam, minime quod acceperat conservasset, quo [quæso te] pacto, si majorem nactus esset prærogativam, non etiam graviore lapsu corruisset? Neque illud omiseris. Quæ per necessitatem fit actio, ea non ratione præditorum est, sed ad irrationabilem atque inanimam naturam pertinet. Quare quæ liberum arbitrium homini adimit ratiocinatio, hæc equum nobis aut bovem, aut piscem, aut quæ stirpium naturam habent, pro ratione prædito animali, inducit. Quod si autem is, qui talia sentit, hujusmodi sibi pœnam irrogat, hoc neque injusto judicio fit (invenit enim parem delicto pœnam), et ipse per se exsecrandam suam opinionem arguit. Talia igitur quædam ubi disseruit, qui proposita modo argumenta exponit [Jobius], in liberi arbitrii laude quintum decimum caput concludit.

16. Caput vero decimum sextum non vulgarem continet quæstionem. Quærit enim admodum curiose,

τὸ μὲν παρ' ἐκείνων ἁμάρτημα, κἂν ἔλαττόν ἐστι τῶν παρ' ἡμῖν, κολάσει καθυποβάλλεται μείζονι· (Δυνατοὶ [74] γὰρ δυνατῶς ἐτασθήσονται). Ὁ δὲ ἐκείνοις ἐπάγει τὴν βαρυτάτην κόλασιν, οὐχ ὁμοίαν ἡμῖν ἐπὶ τοῖς ὁμοίοις τῆς ποινῆς ἐπάγει τὴν βαρύτητα. Ἀλλὰ καὶ ἡμῖν μὲν θᾶττον ἀπαλείφεται, ἐκείνοις δὲ ἅπαξ ἐντακὲν διαμένει ἀνεξάλειπτον· καὶ ἡμῖν μὲν ἡ πρὸς τὸ σῶμα συνάφεια συγγνώμης αἰτίαν χαρίζεται, τοῖς δὲ ὅσῳ κρείττους δοκοῦσι τοῦ σώματος, ἐπὶ τοσοῦτον ἀπαραίτητος [75] ἡ τιμωρία περιίσταται. Διὸ καὶ τὸ ἐκλογῆς σκεῦος ἔλεγεν· Ἀγγέλους [76] κρινοῦμεν, μήτι γε βιωτικά· καὶ, Οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν, οἷον [77] σαρκὸς παχύτητι συνδεθέντες καὶ κατορθοῦντες τὰ κρείττονα τοὺς ἐλευθέρους μὲν τῆς σωματικῆς πέδης, μὴ τὰ ἴσα δὲ ἢ καὶ τὰ χείρω πράττοντας κατακρίνομέν τε καὶ ἐπιστομίζομεν, ἐλάττονι δυνάμει τῶν ἐχόντων τὴν μείζω μᾶλλον τὸ ἄμεινον κατορθώσαντες. Ἀλλὰ καὶ ἡμῖν μὲν ὅλος ὁ βίος ἁμαρτάνουσιν εἰς διόρθωσίν τε καὶ μεταμέλειαν πρόκειται, ἀγγέλων δὲ τοὺς ἐξαμαρτόντας εὐθὺς ἡ τιμωρὸς ἔλαβε δίκη· Ζόφῳ γὰρ [78] φησὶ, ταρταρώσας παρέδωκεν εἰς κρίσιν φυλαττομένους τηρεῖν, Καὶ μυρίοις ἄλλοις ἥ τε πάνσοφος τοῦ Θεοῦ περὶ ἡμᾶς γνωρίζεται πρόνοια, καὶ τῶν ἀγγέλους [79] μᾶλλον βουλομένων ἡμᾶς ἥπερ ἀνθρώπους γεγενῆσθαι τὸ παράφορον καὶ ἐμμανὲς στηλιτεύεται. Εἰ δὲ καὶ κατὰ τὴν ἀγγέλων φύσιν τὸν ἄνθρωπον ἔπλασεν, οὐδ' οὕτως ἂν ἐπεσχέθη τὸ φιλόμωμον, ἀλλὰ φύσιν πάλιν ἄλλην ἐπιζητεῖ τὴν ἀγγελικὴν νικῶσαν κατάστασιν. Σὺ δέ μοι κἀκεῖνο σκόπει. Κατ' εἰκόνα Θεοῦ πλασθεὶς ὁ Ἀδὰμ εἰ μὲν εἶχε τὸ ἰσάγγελον, οὐδὲ τῆς ἀγγέλων δόξης ἐστερήμεθα· εἰ δὲ βραχύ τι παρ' ἀγγέλους γεγονὼς ὅμως ὑπερῴρθη τὸν νοῦν καὶ οὐδ' ὅπερ ἔλαβε διεσώσατο, πῶς ἄν, εἰ μειζόνων προνομίων ἔτυχεν, οὐχὶ μᾶλλον πρὸς τὸ χαλεπώτερον τῶν πτωμάτων κατενήνεκτο; μηδ' ἐκεῖνο δὲ παρέλθῃς· Ἡ ἐξ ἀνάγκης πρᾶξις οὐ τῶν λογικῶν ἐστι, τῆς δ' ἀλόγου τε καὶ ἀψύχου φύσεως· [593 R.] ὥστε ὁ τὸ αὐτεξούσιον λόγος ἀφαιρῶν ἀνθρώπους ἀνταλλάττεται τοῦ λογικοῦ ζώου τὸν ἵππον ἢ τὸν βοῦν ἢ τοὺς ἰχθῦς, ἢ ὅσα φυτῶν ἀνιχνεύει φύσιν. Εἰ δ' ὅτι τοιαῦτα οὗτος διανοεῖται, τοιοῦτον αὐτῷ τὸ τίμημα ὁρίζει, οὐκ ἄδικος μὲν εἰς κρίσιν (εὗρε γὰρ ἀξίαν τῷ πλημμελήματι τὴν ποινήν), αὐτὸς δὲ δι' ἑαυτοῦ τὸ βδελυκτὸν τοῦ δοξάσματος ἐλέγχει. Τοιαῦτά τινα διεξελθὼν ὁ τῶν προκειμένων ὑποθέσεων ὑφηγητὴς εἰς ἔπαινον τοῦ αὐτεξουσίου τὸ ιε' κεφάλαιον διαπεραίνει.

Τὸ δὲ ις' τῶν κεφαλαίων οὐ τῶν ἀγεννῶν ἐστι ζητημάτων· πολυπραγμονεῖ γάρ, Διὰ τί ὁ ἄνθρωπος ἐκ

[33] Sap. VI, 7. [34] I Cor. VI, 3.

VARIÆ LECTIONES.

[74] δυνατοί] Sap. VI, 7. [75] ἀπαραίτητον libri. [76] λἀγγέλ.] I Cor. VI, 3. [77] οἷον] οἵ A. [78] ζόφῳ] II Petr. II, 4. [79] ἀγγέλους μ. βουλομένων mg. ς : libri ἀγγέων μ. βουλομένους.

NOTÆ.

(43) II Petr. II, 4. Aliter hæc leguntur in Vulg. *Rudentibus inferni detractos in tartarum tradidit cruciandos, in judicium reservari.*

δύο πολὺ τῇ φύσει διεστώτων συνέστη [80]· καὶ λύσει μὲν ὑπάγειν τὸ ζήτημα πειρᾶται, ἐνδεέστερον δὲ τῆς ἀπορίας [306 H.] φέρεται. Καὶ πρῶτον μὲν Πατρικὰ ὑποβάλλεται ῥήματα· δεύτερον δέ φησιν ὡς ἔδει τῷ λόγῳ διακοσμεῖσθαι τὸ περίγειον, ὥσπερ ταῖς οὐρανίοις δυνάμεσι τὰ οὐράνια, καὶ διὰ τοῦτο σύνθετον ζῶον ἐπὶ γῆς προῆλθεν ὁ ἄνθρωπος. Ταῦτα δὴ καὶ ἕτερα τοιαῦτα συνυφηνάμενος ἀπαρτίζει τὸ κεφάλαιον.

Εἶτα ζητεῖ, Διὰ τί σαρκοῦται ὁ Θεὸς Λόγος; καὶ ἐπιλύεται τὸ ζήτημα καθ' ἓν μέν, ἵνα, φησίν, ἡμῖν ὑπογραμμὸν [81] ἀρετῆς καταλίπῃ, δι' οὗ τοῖς ἴχνεσιν αὐτοῦ περιγίνεται ἡμῖν οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἑκουσίως κατὰ μίμησιν περιπατῆσαι. Ἔπειτα δὲ τὸ τοῦ Θεολόγου Γρηγορίου τίθησι ῥητόν. Σάρκα γὰρ φορεῖ, φησὶ, διὰ τὴν ἐμὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων· Καὶ ἔτι, ἵνα τὸ λογικὸν ὑπὸ τοῦ ἀλόγου καταδουλωθὲν αὐτὸς Λόγος ὢν ἐλευθερώσῃ ἀνακαλεσάμενος. Ἐπὶ τούτοις δὲ καὶ ἐπεὶ ὁ Ἀδὰμ νικηθεὶς τὸ ἐν αὐτῷ θεοειδὲς τοῖς τῆς σαρκὸς μυρίοις κατέχωσε πάθεσι καὶ τοῖς ἐξ αὐτοῦ βλάβην διέδωκε, διὰ τοῦτο σαρκοῦται ὁ Κύριος, καὶ τῷ πελάγει τῆς ἰδίας θεότητος τὴν τῆς ἡμετέρας φύσεως ὑποδέχεται σταγόνα, ὡς ἂν τὸ θνητὸν ὑπὸ τῆς ζωῆς καταποθῇ καὶ εἰς τὸ γένος ὅλον παραπέμψῃ τὸ δῶρον, καὶ ἵνα τὸ ἄφατον πέλαγος τῆς αὐτοῦ πρὸς ἡμᾶς φιλανθρωπίας ἐνδείξηται. Καὶ ὅτι τὸν δημιουργὸν αὐτὸν ἔδει καὶ τοῦ οἰκείου πλάσματος διαῤῥυέντος γενέσθαι ἀνακαίνιστήν. Ἐπάγει δὲ ὡς καὶ τινα τῶν ἐπὶ τῆς Τριάδος κοινῶς λεγομένων πολλάκις τὸ ἱερὸν γράμμα ὡς κατ' ἐξαίρετον φέρουσιν ἐφ' ἑνὸς τῶν σεβασμίων ὑποστάσεων. Ταύτῃ τοι τὸ δημιουργικὸν καὶ ἐπὶ Πατρὸς καὶ Πνεύματος ἁγίου ὁμοτίμως ταττόμενον, ὅμως οἰκονομικῶς τῷ Υἱῷ πάλιν ὡς ἐξαίρετον ἀφορίζεται. Οὕτω καὶ τὴν σωτηρίαν ἡμῶν, ἣν ὁ Λόγος εἰργάσατο, ἔστιν εὑρεῖν ἀναφερομένην εἰς τὸν Πατέρα. Ἐλάλησε [82] γὰρ ἡμῖν, φησὶν, ἐν Υἱῷ [83]. Καὶ, Ἵνα [83*] γνωρισθῇ νῦν ἡ πολυποίκιλος τοῦ Θεοῦ σοφία, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ· καὶ, Αὐτοῦ [84] γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, ποίημα καὶ κτίσμα δηλονότι τὴν ἀνάπλασιν τῆς ἀποστολικῆς φωνῆς καλούσης. Καὶ πάλιν. Γνωρίσας [85] ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ ἀνακεφαλαιώσασθαι, τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ μυρία ἄλλα. [596 R.] Εἰ γὰρ καὶ δι' Υἱοῦ τὰ πάντα γενέσθαι πιστεύομεν, ἀλλ' οὖν ἀνάγκη καὶ τὸν Πατέρα δημιουργὸν ὁμολογεῖν [86] διὰ τὸ ταυτὸν τῆς τε βουλῆς καὶ ἐνεργείας καὶ δυνάμεως, ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μάλιστά γε τὸ ἀπολαύειν τοὺς ἀναπλασθέντας τοῦ ἁγιασμοῦ, καὶ διαμέ-

A *Cur homo e duobus plurimum natura distantibus compositum sit?* Ac profligare quidem et solvere quæstionem nititur, sed ipsam dubitationem non satis attingit. Primum ergo Patrum verba subjicit, deinde oportuisse ait ratione adornari terrenam portionem, perinde ut cœlestibus virtutibus cœli ornati fuerint, propterea que compositum animal in terris hominem prodiisse. Hæc et id genus alia contexens, caput hoc absolvit.

17. Quærit hinc, *Cur Deus Verbum homo sit factus?* Solvitque dubitationem. Partim quidem, inquit, ut nobis exemplar virtutis relinqueret [35], per quod nobis ea facultas adsit, qua non necessario, sed libere ac sponte eum imitando, ejusdem vestigiis insistamus. Ubi mox Gregorii cognomento B Theologi (44) verba apponit: *Carnem enim gestat* (inquit ille) *propter meam carnem, et animo intelligente propter meam animam miscetur, simili simile repurgans.* Præterea ut rationalem partem ab irrationabili in servitutem redactam, ipse rationale Verbum existens repararet, atque in libertatem restitueret. Ad hæc, **186** (*b*) quandoquidem Adam victus, Dei in se imaginem innumeris carnis passionibus obruit, et ad posteros noxam transmisit, ideo carnem Dominus induit, et in mari Deitatis suæ nostræ conditionis guttam suscepit, eum ut mortale a vita absorberetur, atque in universum genus beneficium effunderet, tum ut inexplicabile C pelagus bonitatis suæ erga nos ostenderet: tum etiam quia opificem ipsum oportebat suæ creaturæ, quæ jam diffluxerat, instauratorem fieri. Addit insuper, ut eorum aliqua, quæ communiter de Trinitate dici solent, sæpenumero sacra Scriptura ad unam peculiariter venerabilium personarum referat. Ita sane creandi vis Patri ex æquo ac sancto Spiritui attributa, certa nihilominus ratione Filio rursus ut excellens quid assignatur. Sic et humani generis redemptionem, quam Verbum perfecit, reperias in Patrem referri: *Locutus est enim*, inquit, *nobis in Filio* [35*]: et: *Ut innotesceret multiformis sapientia Dei, quam fecit in Christo* [36]; et: *Ipsius enim sumus factura, creati in Christo Jesu in operibus bonis* [37]: *facturam* videlicet et *opus* reformationem vocat Apostolus. Et rursum: *Cum notum* D *fecisset nunc nobis sacramentum voluntatis suæ, secundum beneplacitum suum, quod proposuit in eo, ad instaurandum omnia in Christo* [38]. Aliaque id genus plurima. Si enim per Filium omnia esse condita credimus, necessarium certe Patrem quoque creatorem confiteri, saltem propter idem velle, posse, ac facere. Similiter et Spiritum sanctum. Quippe quod jam reformati sanctimoniam consequantur, atque in

[35] I Petr. II, 21. [35*] Hebr. I, 2. [36] Ephes. III, 10 et 11. [37] Ephes. II, 10. [38] Ephes. I, 9, *ut notum faceret* Vulg.

VARIÆ LECTIONES.

[80] συνέστη A : συνετέθη ς. [81] ὑπογραμμὸν] I Perr. II, 21. [82] ἐλάλ.] Hebr. I, 2. [83] ἐν τῷ υἱῷ ς, [83*] ἵνα] Ephes. III, 10. [84] αὐτοῦ] Ephes. III, 10. [85] αυτοῦ Ephes. I, 9. [86] ὁμολ. καὶ διὰ ς.

NOTÆ

(44) Homil. *de Natal. Christi.*

reformatione perseverent, id sancti Spiritus creantis atque conservantis præcipue opus est. *Spiritu* quoque, [de] rebus creatis ait David [39], *omnis virtus eorum*. Et vero clarum quod, dum Propheta ibidem dicit : *Verbo Domini cœli firmati sunt, Verbum* ut opificem celebrat. *Firmationem* enim vocat primam illam coagmentationem productionemque. Ut et quod efficiendi perficiendique potentiam Spiritui tribuat, per ea quæ adjunxit : *Et spiritu oris ejus omnis virtus eorum*. Gregorius (45) quoque divino suo ore dicit : *Primum angelicas potestates cogitat, atque illa cogitatio erat opus, quod Verbo complebatur, et Spiritu perficiebatur*, aliaque sexcenta. **187** (*a*) Utiliter ergo, et ad institutionem atque introductionem satis accommodatæ divinæ cognitionis præconium processit. Etenim in Veteri Testamento, velut universorum (46) causa primaria primum prædicatur Pater. Deinde Filius tanquam operatrix causa declaratur. Tertio denique, ut causa perficiens, Spiritus sanctus. Quæ enim perficiendi vim habent, ea pro suo quod a fine habent nomine e profectu et incremento rerum temporumque manifestantur, coronæ videlicet illius instar, quæ ob athleticos sudores in fine renuntiato [victori] adaptatur : quamobrem etiam postquam hominem primum formavit Deus, ut eumdem deinde perficeret, *Inspiravit in faciem ejus spiraculum vitæ* [40].

18. Hæc aliaque similia, quibus Spiritum sanctum perficientem esse doceat, ubi laboriosus hic homo studiose collegit : Propterea, inquit, illuminati catechumeni diebus septem candidati incedunt. Quæ item causa fuit, cur vetus Instrumentum, quod umbratilem baptismi typum gerebat, hoc idem observaret : *Comedite quoque* (ait) *panes, qui positi sunt in canistro consecrationis* [41]. *De ostio quoque tabernaculi testimonii non exibitis septem diebus* [42]. Et non dierum duntaxat numerum descripsit olim Vetus Testamentum, sed et quæcunque alia hic consequuntur. Primo etenim nunc baptizamur, deinde unguento ungimur, inde pretioso sanguine dignamur. Sic prorsus et Moses hæc adumbrans, abluit primo aqua eos qui consecrabantur, mox induit et cingit, deinde confert olei unctionem, et tum sanguine aspergit, atque ad panis sumptionem adducit. Quapropter et beatus Lucas in Evangelio [43] primum ait benedici Dominici sanguinis calici, et fideles participes fieri, atque ita demum panem sumere ; quanquam divinus Apostolus calicis benedictionem alicubi præmittit, interdum vero corporis Dominici benedictioni subjicit. Ait enim : *Calix cui benedicimus, nonne communicatio sanguinis*

νειν ἐν τῇ ἀναπλάσει, τῆς τοῦ παναγίου Πνεύματός ἐστι δημιουργίας τε καὶ συνοχῆς. Καὶ τῷ [87] Πνεύματι δὲ τῶν παραχθέντων, φησὶν ὁ Δαβὶδ, πᾶσα ἡ δύναμις αὐτῶν ; Καὶ δῆλον ὡς δι' ὧν μὲν ὁ προφήτης λέγει, Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, ποιητὴν τὸν Λόγον ὑμνεῖ (στερέωσιν γὰρ τὴν πρώτην [307 Η.[πῆξιν καὶ γένεσιν καλεῖ), τελειωτικὸν δὲ καὶ δυναμοποιὸν τὸ Πνεῦμα δι' ὧν ἐπήγαγε· Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ ἡ Γρήγορος δὲ καὶ θεία γλῶσσά φησι· Πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὸ ἐννόημα ἔργον ἦν λόγῳ συμπληρούμενον καὶ Πνεύματι τελειούμενον, καὶ μυρία ἄλλα. Ὡρελίμως δὲ καὶ παιδαγωγίας καὶ εἰσαγωγῆς οἰκείως τὸ τῆς θεογνωσίας προελήλυθε κήρυγμα. Καὶ γὰρ διὰ μὲν τῆς Παλαιᾶς ὡς προκαταρκτικὸν τῶν ὅλων αἴτιον ὁ Πατὴρ πρώτως κηρύττεται, καὶ δευτέρως δὲ ὁ Υἱὸς ὡς δημιουργικὸν αἴτιον ἐμφανίζεται, καὶ τρίτως ὡς τελειωτικὸν τὸ Πνεῦμα τὸ ἅγιον. Τὰ τελειωτικὰ γὰρ τῷ τέλει φέρωνύμως ἀναφαίνεται τῇ προκοπῇ καὶ αὐξήσει τῶν τε [88] πραγμάτων καὶ τῶν χρόνων, οἷα στέφανος ἀναῤῥήσεως ἐπὶ τοῖς ἀθλητικοῖς ἱδρῶσι κατὰ τὸ τέλος ἐναρμοζόμενος. Διὸ καὶ τὸν ἄνθρωπον πλάσας ὁ Θεὸς πρῶτον, εἶτα τελειῶν [89], Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς.

Ταῦτα καὶ τοιαῦτα ἕτερα περὶ τοῦ ὅτι τὸ πανάγιον Πνεῦμα τελειωτικόν ἐστι διηγωνισμένος ὁ φιλόπονος οὗτος [90] ἀνήρ. Διὰ τοῦτο, φησὶν, οἱ φωτιζόμενοι [91] ἑπτὰ ἡμέρας λαμπροφοροῦσι, διότι καὶ ἡ Παλαιὰ, σκιᾶς ἐπέχουσα πρὸς τὸ βάπτισμα τύπον, τοῦτο ἐφύλαττε· Καὶ φάγεσθε [92] γὰρ, φησὶ, τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ [93] τῆς τελειώσεως, καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας. Καὶ οὐ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἡ Παλαιὰ μόνον προϋπέγραφεν, ἀλλὰ καὶ τὴν ἄλλην ἀκολουθίαν. Καὶ γὰρ ἐνταῦθα πρῶτον μὲν βαπτιζόμεθα, εἶτα τῷ μύρῳ χριόμεθα, ἐκεῖθεν τοῦ τιμίου ἀξιούμεθα αἵματος. Οὕτω δὴ καὶ Μωσῆς σκιογραφῶν ταῦτα λούει πρῶτον τοὺς τελειουμένους τῷ ὕδατι, εἶτα ἐνδιδύσκει καὶ περιζωννύει, εἶθ' οὕτως ἐπιφέρει τὴν τοῦ ἐλαίου χρίσιν, καὶ οὕτω ῥαίνει τῷ αἵματι καὶ πρὸς τὴν τῶν ἄρτων ἄγει μετάληψιν. Διὸ καὶ ὁ θεῖος Λουκᾶς [94] ἐν τῷ Εὐαγγελίῳ πρῶτόν φησιν εὐλογεῖσθαι τοῦ Δεσποτικοῦ αἵματος τὸ ποτήριον καὶ τοὺς πιστοὺς μετέχειν, καὶ οὕτω μεταλαμβάνειν τοῦ ἄρτου. Ὁ μέντοι θεῖος Ἀπόστολος τὴν εὐλογίαν τοῦ ποτηρίου ποτὲ μὲν προτάττει, ποτὲ δὲ τοῦ Δεσποτικοῦ σώματος ὑποτάττει. Καὶ γάρ φησι· Τὸ ποτήριον [95] ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵ-

[39] Psal. xxxii, 6. [40] Gen. ii, 7. [41] Levit. viii, 31. [42] ibid. 32. [43] Luc. xxii, 17.

VARIÆ LECTIONES.

[87] καὶ τῷ] Psal, xxxii, 6. [88] τε add. A. [89] τελειῶν A : τελεῖ ς. [90] οὗτος add. A. [91] οἱ φωτιζόμενοι i. e. οἱ βαπτιζόμενοι. v. Suicer. [92] φάγεσθε] Levit. viii, 31. [93] καινῷ ς. [94] Λουκᾶς], 22, 17. [95] τὸ ποτ.] I Cor. x, 16.

NOTÆ.

(45) Homil. 38, quæ est in Nativitate Christi.
(46) Quæ et B. Basilii doctrina est lib. *De Spir. sanct.* cap. 16, itemque Greg. Nyss. *Homil. in sanct. baptisma.*

ματος τοῦ Χριστοῦ ἐστιν ; Εἶτα· Τὸν ἄρτον ὃν πλῶμεν· καὶ πάλιν· Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· καὶ, Οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν. Ἀλλαχοῦ δέ φησι· Τῇ [96] νυκτὶ ᾗ παρεδίδοτο, περὶ τοῦ Δεσπότου λέγων, ἔλαβε τὸν ἄρτον, εἶτα ἑξῆς καὶ περὶ τοῦ ποτηρίου διαλαμβάνει.

[597 R.] Περὶ τοίνυν τούτων διαλαβὼν πειρᾶται αἰτίαν ἀποδιδόναι τῆς εἰρημένης διαφόρου τάξεως· καί φησιν, ὡς Ἐπειδὴ ἐν ἡμῖν πρῶτον τὸ αἷμα συνίσταται, εἶτα μεταβάλλεται εἰς σάρκα, φυσικῶς ἡ Γραφὴ κινουμένη τὴν τάξιν [308 H.] ταύτην καὶ κατὰ τὴν τῶν μυστηρίων διήγησιν ἐφύλαξεν. Ἡ δὲ ἀνάπαλιν τάξις τῆς κοινῆς τραπέζης μιμεῖται· τὴν τάξιν· πρῶτον γὰρ ἐπ' αὐτῆς ὁ ἄρτος προτίθεται, εἶτα ὁ οἶνος ἐπιφέρεται. Τὴν δὲ κοινὴν ταύτην τράπεζαν μιμεῖσθαι πάλιν τὴν πλάσιν ἡμῶν· ἐπειδὴ γάρ, ὡς δοκεῖ τῷ Ἰὼβ [97], ἐκ πηλοῦ διεπλάσθημεν, ὁ δὲ πηλὸς ἐκ γῆς ἐστι καὶ ὕδατος, πλάσις δέ ἐστι τρόπον τινὰ καὶ ἡ τροφὴ, ἀναπληροῦσα καὶ ἀναπλάττουσα τὸ ἀπορρέον, διὰ τοῦτο ὥσπερ ἐν τῇ παρὰ Θεοῦ πλάσει τὸ ξηρὸν προείληπται τοῦ ὑγροῦ, οὕτω καὶ ἐν τῇ μιμήσει τῆς παρ' ἡμῖν πλάσεως ὁ ἄρτος τοῦ οἴνου προλαμβάνεται. Καὶ αὐτὸς μὲν τοιαῦτά τινα περὶ τῆς τάξεως φυσιολογεῖ, εἰ καὶ θειοτέρας θεωρίας ταπεινότερον.

Τὸ μέντοι λαμπροφορεῖν, φησὶ, τοὺς βαπτιζομένους, τῆς τῶν ἀγγέλων ἐστὶ σύμβολον λαμπρότητος, τὸ καθαρὸν ἐκείνοις τοῦ νοῦ καὶ ἀμιγὲς τῆς ὕλης καὶ τῶν παθῶν διατυποῦσης· ὧν χρὴ καὶ τὸν φωτισθέντα ἐν μεθέξει τῆς χάριτος γεγονότα, ἐν τοῖς τῆς [98] λαμπρότητος χαρίσμασι συντηρεῖν ἑαυτόν· Ἀλλ' ἐν τούτοις μὲν αὐτῷ καὶ τὸ ιη' κεφάλαιον εἰς πέρας ἦχθη.

Ἐννεακαιδέκατον δὲ κεφάλαιον πραγματεύεται αἰτίας διερχόμενον· Δι' ἃς τῆς κοσμογενείας ὁ Μωσῆς οὐκ ἐξ ἀγγέλων ἤρξατο. Καί φησιν ὅτι Μωσῆς νομοθετεῖν μέλλων ἀνθρώποις, καὶ ἀγαθῶν μὲν ἐπαγγελίαν τοῖς κατορθοῦσιν ἀπειλὰς δὲ καὶ τιμωρίαν παρὰ Θεοῦ τοῖς ἐξαμαρτάνουσι ἐπανατεινόμενος, εἰκότως, ὡς ἐν ἱστορίας τρόπῳ, καὶ τὴν δημιουργίαν ἐκείνων παντων εἰσάγει, ὧν ἡ χρεία πρός τε εὐεργεσίαν καὶ ἀπειλὴν τῶν νουθετουμένων [99] συντελεῖ· Ἔσται [1] γὰρ, φησὶν, ὁ οὐρανὸς χαλκοῦς [2] καὶ ἡ γῆ σιδηρᾶ. Καὶ ὅσα ἄλλα διὰ τῶν κτισμάτων τοιαῦτα ἢ πρὸς ἀπόλαυσιν τῶν κατορθούντων ἢ πρὸς κόλασιν τῶν ἁμαρτανόντων ἀναγέγραπται. Ἐπεὶ οὖν σκοπὸς ἦν τῷ νομοθέτῃ καὶ τῷ ἀνθρωπίνῳ γένει σωτηριώδεις νόμους εἰσαγαγεῖν, καὶ τῶν νομοθετηθέντων ἀσφάλειαν διά τε τῆς τῶν χαλεπῶν ἀπειλῆς καὶ τῆς τῶν βελτιόνων ὑποσχέσεως περιποιήσασθαι, ἑκάτερον δὲ τούτων ἐκ τῶν κτισμάτων παραλαμβάνειν, διὰ τοῦτο ὅσα μὲν συνετέλει πρὸς τὸν αὐτοῦ [3] σκοπὸν, τούτων καὶ ἱστορίαν τῆς γενέσεως ἀνετάξατο, ὅσα δὲ τέως οὐ κατήπειγεν, ὑπερτίθεται.

Christi est? et panis quem frangimus [44], [*nonne participatio corporis Domini est*] ? Et rursum : *Non potestis calicem Domini bibere, et calicem dæmoniorum.* Et : *Non potestis mensæ Domini participes esse* [45] [*et mensæ dæmoniorum*], Alibi vero dicit : *In qua nocte tradebatur* (de Domino loquens), *accepit panem* [46], ac dein de calice disserit.

Hæc igitur ubi retulit, causam hujus varii ordinis reddere conatur, dum ait : Quandoquidem in nobis primus sanguis constituitur, qui hinc **187** (*b*) in carnem convertitur, naturali via Scriptura procedens, hunc etiam ordinem in mysteriorum narratione retinuit. Porro contrarius huic ordo, communis mensæ ritum imitatur. Primo enim in ipsa panis apponitur, ac tum vinum infertur. Communem autem illam mensam, rursum respondere nostræ formationi [addit]. Postquam enim (ut vult Job [47]) de luto formati sumus [quod e terra et aqua temperatur), nutritio autem quædam quasi formatio est, replens ac reficiens, quod defluxerat: idcirco quemadmodum in ea quam Deus fecit formatione, aridum ante humidum sumptum est, sic et in ea, quam nos hujus imitatione facimus formatione, panis ante vinum sumitur. Hujusmodi ille fere de ordine ex natura philosophatur ; etsi id non satis pro dignitate theologiæ.

Quod autem candidam, qui baptizantur, vestem gerant, inquit, signum illud est angelici splendoris, qui puritatem mentis illis, sine mistione materiæ ac passionum, exhibet ; quorum quidem gratiæ cum illuminatus sit particeps effectus, in nitoris accepti donis seipsum conservare debet. Atque in his decimo octavo capiti ab eo finis imponitur.

19. Capite decimo nono causas recenset : *Cur in mundi fabrica referenda, Moses ab angelorum creatione initium non duxerit.* Mosen ergo leges hominibus laturum, cum recte quidem agentibus bonorum promissionem, minas vero a Deo et pœnam sceleratis intenderet, merito ait pro historiarum more illorum etiam omnium creationem adducere, quorum usus vel ad beneficentiam, qui admoniti fuere, vel ad terrorem incutiendum valeret. *Erit* enim, inquit, *cœlum æneum, et terra ferrea* [48]. Et quæcunque aliæ hujusmodi creaturæ eorum vel ad usum recte agentium, vel ad correptionem peccantium descriptæ sunt. Cum igitur legislatori propositum fuerit, et mortali generi leges ferre salutares, et ipsis legibus latis præsidium, suppliciorum minis, ac præmiorum promissione, quærere, utrumque horum ex creaturis desumendo : propterea quæcunque ad hunc scopum conducunt, horum etiam creationis historiam pertexuit, iis quæ eo non pertinebant rejectis.

[44] I Cor. x, 16, [45] ibid. 20, 21. [46] I Cor. xi, 24, [47] Job xxxiii, 6. [48] Deut. xxviii, 23.

VARIÆ LECTIONES.

[96] τῇ] I Cor. xi, 23. [97] Ἰώβ] 33, 6. [98] allerum τῆς add. A. [99] νουθετουμένων A : νενουθετημένων ς. sed malim νομοθετουμένων. [1] ἔσται] Deut. xxviii, 25. [2] χαλκὸς A. [3] αὐτοῦ A : αὐτὸν ς.

188 (*a*) Deinde per sensibilem mundum, tanquam per imaginem, voluit Moses artificem ejus, et Creatorem, iis quibus legem ferebat exhibere : quicum tunc adhuc crassiores essent, et vix e sensilibus atque cognatis rebus, eorum quæ videntur Creatorem possent cognoscere ; recte illud confici non potuit, cœpta ab angelis narratione. Ex ignotis enim, non autem ex apparentibus notitiam ignoti parare velle, inutilis sane conatus est, valdeque infirmus. Alioqui Deum si non recte, at aliquo saltem modo Judaica gens, etiam ante legem latam, glorificavit : cum angelorum ne appellationem quidem novisset uno forsitan et item altero excepto, quibus id sancti Spiritus gratia revelarat. Confirmat quæ dicimus hoc [49], quod etiamnum Sadducæi Deum quidem exsistere, et architectum esse mundi fatentur, cum tamen angelos ullos esse pertinaciter negent. Angelorum vero natura atque appellatio a principio ignota, inde primum in notionem venit, ex quo Abrahæ in Deum pietas cognosci cœpit : unde aucta atque amplificata, in omnes deinde pios derivata est. Quanquam hos etiam Moses in fine suæ Historiæ cum alia creatura conjungens : *Lætamini*, inquit, *cæli, et adorent eum omnes angeli ejus* [50].

Tertium illud addit Jobius : si visibilia nobis viciniora, atque ad cognoscendum aptiora, quam invisibilia sunt, recte sensibilium tradens ortum Moses, majora tantisper rudibus tradere ob inaccessam difficultatem, et quæ multa indigeret instructione omittit. Tu porro hic una mecum considera, unum esse admodum de sensibilibus docendum illud, quod a Deo producta sint : cum de intelligibilibus duo hæc docenda veniant, et quod sint, et quod suam ex Deo subsistentiam acceperint. Propterea quoque angelorum non meminit Moses, dum mundi creationem narrare primum incipit ; ne qui forte fidem latius extendere cupiunt, atque instabiles sunt, ipsum quoque universum ab angelis conditum esse opinarentur. Si enim cum nullam hujusce causam Moses scribendo dederit, Hebræorum tamen non pauci, et quibus horum placet error, mundum ab angelis, quæque mundo continentur, creata esse nugantur, quanto utique auctior erat futurus morbus, si quid tale ab ipso legislatore Mose scriptum fuisset. Nunc vide mihi ratiocinationis hujus accurationem. Ab Adami prævaricatione ad usque Noe generationem, angelorum natura in hominum **188** (*b*) cognitionem minime venit. Quæ prima omnium ætas fuerit. Ac ne in secunda quidem ætate, quæ in audacem illam turris ædificationem desinit. Sed nec tertia se potest ætas angelorum cognitione jactare, quæ usquedum Abraham Deum cognoscere cœpit, ut manifestum est, extenditur. At postquam Abrahæ promissiones illæ. quæ Dominicam incar-

Δεύτερον διὰ τοῦ αἰσθητοῦ κόσμου ὡς δι' εἰκόνος ὁ Μωσῆς τὸν τεχνίτην αὐτοῦ καὶ δημιουργὸν ἐβούλετο τοῖς νομοθετουμένοις ὑποδεικνύναι, ἅτε δὴ [309 H.] παχυτέροις οὔσι τηνικαῦτα καὶ μόλις ἐκ τῶν αἰσθητῶν καὶ συντρόφων αὐτοῖς δυναμένοις κατανοεῖν τὸν Δημιουργὸν καὶ τεχνίτην τῶν ὁρωμένων. Τοῦτο δὲ ἀπὸ τῆς περὶ ἀγγέλους διηγήσεως οὐκ ἐνῆν κατορθοῦν · ἐξ ἀδήλων γὰρ καὶ οὐκ ἐκ τῶν [4] φαινομένων τοῦ ἀδήλου τὴν γνῶσιν παρέχειν ἀσύμφορόν τε καὶ λίαν ἀσθενές. Ἄλλως τε δὲ καὶ Θεὸν μέν, εἰ καὶ μὴ ὀρθῶς, ἀλλ' οὖν [5] ἀμηγέπη τὸ Ἰουδαίων ἔθνος καὶ πρὸ τῆς νομοθεσίας ἐδόξαζεν, [600 H.] ἀγγέλων δὲ οὐδὲ προσηγορίαν ἠπίστατο χωρὶς ἑνὸς ἢ καὶ δευτέρου, οἷς ἡ τοῦ Πνεύματος ἀπεκάλυψε χάρις. Μαρτυρεῖ δὲ τὸ λεγόμενον, ὅτι καὶ μέχρι νῦν τὸ Σαδδουκαίων [6] ἔθνος Θεὸν μὲν εἶναι καὶ Δημιουργὸν ὁμολογεῖ, ἀγγέλους δὲ μηδαμῶς ὑπάρχειν ἀπαυθαδίζεται. Ἡ δὲ τῶν ἀγγέλων φύσις καὶ κλῆσις κατ' ἀρχὰς ἀγνοουμένη ἐκεῖθεν εἰς γνῶσιν κατέστη, ἀφ' οὗ τὸ θεοσεβὲς τοῦ Ἀβραὰμ ἐγνωρίσθη · ἐντεῦθεν αὐξομένη κατὰ προκοπὴν εἰς πᾶν τὸ τῶν εὐσεβῶν διεδόθη γένος · πλήν γε καὶ ὁ Μωσῆς [7] ἐπὶ τέλει τῆς καθ' αὐτὸν ἱστορίας, τούτους τῇ ἄλλῃ συνταττόμενος κτίσει, Εὐφράνθητε, οὐρανοί, φησί, καὶ προσκυνησάτωσαν αὐτὸν [8] πάντες, ἄγγελοι Θεοῦ.

Τρίτον ἐκεῖνό φησιν. Εἰ τῶν ἀοράτων κἀ ὁρατὰ ἐγγυτέρω τε ἡμῶν [9] καὶ πρὸς γνῶσιν ἐπιτηδειότερα, εὐλόγως τῶν αἰσθητῶν παραδιδοὺς τὴν γένεσιν ὁ Μωσῆς τὰ μεῖζω τέως τοῖς εἰσαγομένοις διὰ τὸ δυσέφικτον καὶ πολλῆς παιδαγωγίας δεόμενον παρατρέχει. Κἀκεῖνο δέ μοι συνεπιθεώρει · Μιᾶς δέονται τῆς διδασκαλίας τὰ αἰσθητά, ὅτι προήχθησαν ἐκ Θεοῦ, τὰ δὲ νοητὰ διττὴν ἀπαιτεῖ, ὅτι τέ εἰσι καὶ ὡς ἡ τούτων οὐσίωσις ἐκ Θεοῦ. Ἔτι δὲ ἀγγέλων οὐκ ἐμνήσθη τῆς κοσμογενείας [10] ἀπαρχόμενος, ἵνα μή τινες τῶν εὐριπίστων τε καὶ εὐμεταβόλων δι' ἀγγέλων τὸ πᾶν ὑποστῆναί τε καὶ δημιουργηθῆναι δοξάσωσιν. Εἰ γὰρ καὶ μηδεμίαν ἀφορμὴν Μωσέως κατὰ τὴν συγγραφὴν παρασχόντος [11] ὅμως Ἑβραίων τε οὐκ ὀλίγοι, καὶ οἷς φίλον ἡ ἐκείνων ἀπάτη, δι' ἀγγέλων τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ δημιουργηθῆναι παραληροῦσιν, ἐπὶ πόσον ἂν οὐκ ἐπενεμήθη τὸ νόσημα, εἴ τι τοιοῦτον τῷ νομοθέτῃ ἀνεγέγραπτο ; καὶ ὅρα μοι τὴν τοῦ λόγου ἀκρίβειαν. Ἀπὸ τοίνυν τῆς παραβάσεως Ἀδὰμ μέχρι τῆς Νῶε γενεᾶς ἀγγέλων φύσις εἰς ἀνθρώπων γνῶσιν οὐκ ἀφίκετο · περίοδος δ' ἂν εἴη αὕτη τοῦ χρόνου πρώτη. Οὐ μὴν οὐδὲ κατὰ τὴν δευτέραν περίοδον, ἥτις εἰς τὴν πυργοποιίας ἀπολήγει τόλμαν. Ἀλλ' οὐδ' ἡ τρίτη τοῦ χρόνου περίοδος τῇ τῶν ἀγγέλων ἔχει γνώσει σεμνύνεσθαι, ἥτις μέχρι τῆς τοῦ Ἀβραὰμ θεογνωσίας, ὡς δῆλον, παρατείνεται. Ἐπεὶ δὲ τῷ Ἀβραὰμ αἱ συνθῆκαι τὴν Δεσποτικὴν ἐπιδημίαν οἱονεὶ θεμελιοῦσαί τε καὶ προδιοικονομοῦσαι [12] γεγόνασι, καὶ ἤρξατο μᾶλλον τὸ ἀνθρώπινον τῷ φωτὶ τῆς ἀληθείας τοὺς τῆς διανοίας [310 H.] ὀφθαλμοὺς

[49] Act. XXIII, 8. [50] Deut. XXXII, 42 sec. LXX.

VARIÆ LECTIONES.

[4] τῶν add. A. [5] οὖν] libri οὐκ. [6] τὸ Σαδδ· Act. XXIII, 8. [7] ὁ Μωσῆς] Deut. XXIII, 42. [8] αὐτῷ ς. [9] τε ἡμῶν A : πρὸς ἡμᾶς ς. [10] κοσμογονίας ς. [11] παρατυχόντος ς. [12] διοικονομοῦσα ς.

ἐναυγάζεσθαι καὶ τὸ παλίρρουν τῆς γνώμης εἰς στάσιμον εὐσεβείας πίστιν διαπήγνυσθαι, τότε δὴ, τότε τῶν ἀγγέλων ἕνα διοικονομεῖται [13] τῇ παιδίσκῃ τοῦ Ἀβραὰμ Ἄγαρ διακονεῖν καὶ τὸ ἐν αὐτῇ καταπραῦνειν διηπορημένον τε καὶ ἄθυμον, μόνον οὐχὶ φωνὴν ἀφιείσης τῆς ἱστορίας ὡς πολὺ μὲν ἐστι τὸ μέσον διακονίας καὶ δημιουργίας καὶ Δημιουργοῦ καὶ ὑπηρετούντων [14]· τὸ μὲν γὰρ κυριότητος καὶ δεσποτείας, τὸ δὲ ὑπακοῆς καὶ δουλείας. Διὸ καὶ Παῦλος, εἴ τις ἄλλος νομομαθὴς ὤν, Οὐχὶ [15] πάντες εἰσὶ λειτουργικὰ Πνεύματα, διακέκραγεν, εἰς διακονίαν ἀποστελλόμενα; διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν, ὡς ἔφθην εἰπών, ἀγγέλων κατ' ἀρχὰς ἡ ἱστορία γένεσιν οὐκ ἀναγράφει. Καὶ ταῦτα εἰπὼν ὁ συγγραφεὺς, καὶ ἕτερα συνάψας τούτοις οὐκ ἔμοιγε δοκοῦντα τὸ ἀναγκαῖον πρὸς τὴν ὑπόθεσιν φέρειν προβάλλεσθαι, τὸν γ' ἀποπερατοῖ λόγον.

A nationem veluti fundabant, ac præordinabant, factæ sunt, humanæque mentis oculi veritatis luce collustrari magis cœpere, et animi fluctuatio stabili religionis fide confirmari; tunc certe angelus unus introducitur ancillæ Abrahæ Agar ministrans [51], qui illam animi pendentem ac deficientem solaretur. Tantumnon hanc vocem mittente historia, magnum esse discrimen inter ministerium et creationem, interque Creatorem et res creatas. Illud enim dominationis est atque imperii; hoc vero obedientiæ ac servilutis. Quamobrem et Paulus præter cæteros legis bene peritus: *Nonne omnes sunt administratorii Spiritus, in ministerium missi* [52]? exclamavit. Hac igitur de causa, ut diximus, angelorum creationem initio historia non attigit. Quæ quidem ubi B retulit auctor, aliaque adjunxit, quæ (mihi saltem) nequaquam ea videntur ad rem propositam afferre quæ necessaria erant, tertium tandem librum finit.

Lib. IV *et* V. *Cur Filius Dei homo factus.*

[601 R.] Ὁ δὲ δ' αὐτῷ καὶ ε' τοῦ βιβλίου [16] λόγος ἐν δυσὶ κεφαλαίοις περιγραφόμενος, οὐδὲν ἕτερον διαλαμβάνει ἢ ὅτι τῶν πρεπωδεστάτων ἦν τὴν ἀπαράλλακτον καὶ φυσικὴν εἰκόνα τοῦ Πατρὸς ἡμᾶς τοὺς κατ' εἰκόνα μὲν γεγονότας, τὸν δὲ χαρακτῆρα κιβδηλεύσαντας, ταύτην ἡμᾶς ἀποκαθᾶραί τε τῶν κηλιδωμάτων καὶ εἰς τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι· καὶ ὡς ἔδει τὴν ἀληθῆ καὶ ἐνυπόστατον τοῦ Θεοῦ σοφίαν τοὺς εἰς ἀλογίαν παρατραπέντας καὶ πρὸς τὸν κτηνῶδη βίον ἀπονεύσαντας ἀπαλλάξαι τε τῆς ἀλογίας καὶ πρὸς τὸ νοερὸν ἐπαναγαγεῖν ἀξίωμα.

Quartus vero et quintus liber duobus capitibus absolvitur, neque aliud quid attingit, quam [cap. 20] decentissimum fuisse, ut immutabilis nativaque Patris imago nos ad eamdem conditos (sed qui formam illam jam corruperamus) a sordibus mundaret, et pristino decori restitueret: [cap. 21] utque oportuerit veram et hypostaticam sapientiam Dei conversos in insipientiam, et jumentis similes redditos a stultitia liberare, et ad rationabilis creaturæ dignitatem reducere.

Lib. VI. *Cur Creator, et Judex Dei Filius.*

Ὁ δὲ ς' αὐτῷ λόγος κεφάλαιον προβάλλεται πρῶτον, Διὰ τί δημιουργὸς ὁ Υἱὸς λέγεται τῆς τε πρώτης ἡμῶν ὑποστάσεως καὶ τῆς ἐπὶ τέλει τῶν αἰώνων ἀναπλάσεως, εἶτα καὶ κριτὴς ἁπάντων ἐν τῷ καιρῷ τῆς κοινῆς [17] ἀναστάσεως. Ἐχομένων γὰρ τῶν τριῶν τούτων καταστάσεων ἀλλήλοις καὶ πρὸς τὸν αὐτὸν δεσπότην καὶ τεχνίτην ἀναφερομένων, καὶ ἡ περὶ αὐτῶν [18] ἀλληλουχεῖται καὶ συνυφαίνεται ζήτησίς τε καὶ ἐπίλυσις. Ἐπεὶ γὰρ ἔκτισε, δικαίως καὶ διαλυθέντας ἀνακτίζει· καὶ ἐπεὶ τοῦτο, ἀκολούθως τῷ οἰκείῳ πλάσματι καὶ νομοθετεῖ· νομοθετῶν [19] δὲ δῆλον ὅτι καὶ τὴν κρίσιν τοῖς τε νομοφυλακοῦσι καὶ τοῖς τὸ παράνομον προελομένοις αὐτὸς ἀδέκαστον τὸ προνόμιον ἔχει διανέμειν. Προηγουμένης οὖν τῆς ζητήσεως, Διὰ τί μηδεμιᾶς οὔσης ἐν τῇ Τριάδι διαφορᾶς, καθ' ὑπεροχὴν λέγω καὶ ἔλλειψιν, ὁ Υἱὸς μᾶλλον δημιουργός τε καὶ πλάστης ἀνακηρύττεται, καὶ ταύτης τὴν λύσιν ἤδη λαμβανούσης, φανερὸν ὡς καὶ τὰ ἑφεξῆς τῶν ζητημάτων συνδιαλύεται. Φησὶν οὖν ὡς καλῶς καὶ εὐλόγως ἡ δημιουργία τοῦ παντὸς κατ' ἐξαίρετον τῷ Υἱῷ ἀναφέρεται. Καὶ γὰρ τοῦ Λόγου μετὰ σαρκὸς ἐπιδημήσαντος αἱ μείζους καὶ πλείους περὶ τὴν δημιουρ-

Sextus liber primum illud [22] caput proponit: *Quare Dei Filius opifex dicatur, cum primæ nostræ existentiæ, tum reformationis in fine sæculorum, tum etiam Judex omnium, novæ resurrectionis tempore?* His enim tribus inter se connexis, et ad eumdem dominum artificemque **189** (a) relatis, ipsæ quoque quæstio et solutio connexam atque cohærentem rationem habent. Postquam enim creavit, merito perditos reparat. Quod cum ita sit, consequenter etiam suæ creaturæ legem fert. Unde et illud planum efficitur, ipsius esse sententiam incorruptam ferre, tam in legem servantes, quam in eam sponte violantes. Præmissa igitur quæstione: *Cur cum nulla sit in Trinitate gradus superioris aut inferioris differentia, Filius tamen potius opifex atque formator prædicatur*, manifestum est, hac una soluta, reliquas quoque ex ea deinceps ortas quæstiones dissolvi. Quare affirmat recte ac merito universi creationem ad Filium per excellentiam referri. Cum etenim Verbum in carne ad nos venisset, plures ac majores hæreses de creatione processerunt. In his aliqui verum atque unicum Creatorem ignorantes, in varias causas mundi creatio-

[51] Gen. XXI, 17. [52] Hebr. I, 14.

VARIÆ LECTIONES.

[13] Ἵνα δὴ οἰκονομεῖται A. [14] ὑπηρετούτων A : δημιουργούντων ς. [15] οὐχὶ] Hebr. I, 14. [16] βιβλίου] libri. [17] καινῆς ς. [18] αὐτὸν ς. [19] νομοθετῶν A : νομοθετεῖ ς.

nem retulerunt. Unde non in multitudinem solum deorum quidam sese effuderunt, sed et bono malum opponentes, universi gubernationem indivisibilem in contrarias providentias distraxerunt. Quidam rursum individuæ et per omnia æqualis Divinitatis divisores amaros atque injustos se constituentes, tota Dei majestate Patri attributa, Filium ac Spiritum sanctum ab ejusdem naturæ participatione repulerunt: hoc pro sua dementia prætextu arrepto, quod et Deum unum (quem etiam Patrem prædicat vetus Lex) celebrarent, et noxam adducentis audaciæ esset, Filium vel Spiritum Deum confiteri. Ex his vero fuerint tum qui ignorantia Filii et Spiritus laborarunt; quotquot nimirum Judæorum atque gentilium tabefecit error; tum qui scientia quidem, sed fallaci præditi (ut Arius atque Macedoniani) ipsum Creatorem impie rebus creatis annumeraverunt. Vide igitur, quando hic error longe adeo lateque invalescere potuit; si etiam creationis universi dignitas definite Patri esset attributa, prætereaque redemptio atque judicium, quis non impiis dementiæ color ac prætextus confingeretur, quo Filium ac Spiritum sanctum, vel nullo modo subsistere vel subsistentem in creaturarum ordinem redigere auderent? Propterea igitur Pater Filio justa de causa cedit, cum creationis dignitate ab initio, tum reformationis, tum etiam judicii. **189** (*b*) Verumtamen non si in eorum aliquo, quæ modo diximus, Filio cessit Pater, mox etiam in omnibus cessit. Neque enim hoc disponentis omnia sapienter Providentiæ fuerit, quandoquidem tali nulla penitus apparente occasione, multi impiorum duo Testamenta contrariis legislatoribus assignarunt. Quare convenienti prorsus, quæque Deum deceat ratione, et sapientiæ plena dispensatione, Filio non formatio solum atque reformatio, sed judicium quoque (etsi tribus personis communia hæc sint) per excellentiam attribuuntur. Sic igitur objectam quæstionem Dei amans scriptor hic dissolvit: cui et alia accedunt, quæ parem nequaquam cum suprascriptis utilitatem habent.

γίαν αἱρέσεις προσέκοψαν [20], καὶ οἱ μὲν τὸν ἕνα καὶ ὡς ἀληθῶς Δημιουργὸν ἀγνοήσαντες [312 H.] εἰς πολλὰς αἰτίας τὴν τῶν ὄντων ἀνῆψαν ὑπόστασιν, ἔνιοι δ' οὖν οὐκ εἰς πλῆθος μόνον θεῶν ἐξεχύθησαν, ἀλλὰ καὶ τῷ ἀγαθῷ πονηρὸν ἀνταναστῶντες τὴν τῶν ὅλων ἀμέριστον ἐπιστασίαν εἰς ἀντικειμένας προνοίας διέσχισαν. Τινὲς δὲ καὶ τῆς ἀμεροῦς καὶ διὰ πάντων τὸ ἴσον ἐχούσης θεότητος μεριστὰς πικροὺς καὶ ἀδίκους σφᾶς αὐτοὺς προκαθίσαντες, ὅλον τὸ τεοπρεπὲς τῷ Πατρὶ περικλείσαντες, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τῆς συμφυΐας ἀπώσαντο, προφάσεως (ὡς ἐνόμιζεν αὐτῶν τὸ ἀσύνετον) περιδραττόμενοι ὅτι δή που Θεὸν ἕνα, ὃν καὶ Πατέρα ὑμνεῖ, τὰ Παλαιὰ Νόμιμα ἀνακηρύττουσι, καὶ τόλμης ἐστὶν ἀγούσης εἰς παρανομίαν Θεὸν τὸν Υἱὸν ἢ τὸ Πνεῦμα συνομολογεῖν. Τούτων δ' ἂν εἶεν ἄγνοιαν μὲν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἐκνοσήσαντες, ὅσοις [21] τὸ Ἰουδαϊκόν τε καὶ Ἑλληνικὸν ἐνετάκη φρόνημα, οἱ δὲ γνῶσιν μὲν ἐπισφαλῆ δὲ κτησάμενοι, ὥσπερ Ἄρειος καὶ οἱ κατὰ Μακεδόνιον, οἳ συνηρίθμουν ἀθέως τῇ κτίσει τὸν Κτίσαντα. Ὅρα οὖν, τῆς τοιαύτης πλάνης οὕτως ἐπιπολάζειν κατισχυούσης, εἰ καὶ τὸ τῆς δημιουργίας τῶν ὅλων ἀξίωμα ἀφωρισμένως προσανετέθη τῷ Πατρὶ, εἶτα καὶ ἡ ἀνάπλασις καὶ ἡ κρίσις, ποία μανίας οὐκ ἂν διεπλάττετο τοῖς ἀσεβέσι πρόφασις [604 R.] εἰς τὸ τὸν μὲν Υἱὸν καὶ τὸ Πνεῦμα ἢ μηδ' ὅλως ὑφεστάναι, ἢ καὶ ὑφεστῶτα εἰς τὴν τῶν κτισμάτων χώραν ἀπελαύνειν καταθρασύνεσθαι; διὰ τοῦτο οὖν ὁ Πατὴρ τῷ Υἱῷ οἰκονομικῶς ὑπεξίσταται τῆς τε κατ' ἀρχὰς δημιουργίας καὶ τῆς ἀναπλάσεως, εἶτα καὶ τῆς κρίσεως. Οὐ μὴν ἀλλ' οὐδ' εἰ τῶν εἰρημένων μέν τινος ὁ Πατὴρ ὑπεξέστη τῷ Υἱῷ, μὴ πάντων δὲ τῶν εἰρημένων, οὐδὲ τοῦτο ἂν ἦν τῆς πάντα σοφῶς οἰκονομούσης Προνοίας, ὅπου γε μηδὲ τοιαύτης [22] ὅλως ὑποφαινομένης ἀφορμῆς πολλοὶ τῶν ἀσεβῶν τὰς δύο διαθήκας ἐναντίοις νομοθέταις διενείμαντο. Ὥστε ἐναρμόστῳ τε καὶ θεοπρεπεῖ λόγῳ καὶ οἰκονομίᾳ πεπληρωμένῃ σοφίας τῷ Υἱῷ καὶ ἡ πλάσις καὶ ἡ ἀνάπλασις καὶ ἡ κρίσις κἂν [23] τῶν τριῶν ὑποστάσεων εἴη ταῦτα κοινὰ, κατ' ἐξαίρετον ἀναφέρεται. Οὕτω μὲν οὖν τὴν προκειμένην ἀπορίαν ὁ φιλόθεος συγγραφεὺς ἐπιλύεται, συνυποβάλλων [24] καὶ ἕτερά τινα οὐχ ὁμοίως τοῖς εἰρημένοις τὸ χρήσιμον παρεχόμενα.

Interim præsenti dubitationi aliud quiddam investigatione dignum admiscet. Quærit enim: *Cur Filio Pater præponatur, ac dehinc tertius Spiritus sanctus constituatur?* Respondetque certum esse divinam naturam (cum nec verbis exprimi, nec mente comprehendi queat) neque ratione, neque oratione, hoc ipsum quod est, evulgari vel nominari posse: quibus vero per ineffabilem dispensationem cognoscenda objicitur, non sicuti est, sed ut fas atque utile est iis quibus apparet, sic pulchritudinis suæ splendorem immittere infixius in se intuentes, et utcunque fruendam dare: quapropter ut profundius, et magis theologice loquamur, sive Tri-

Μεταξὺ δὲ τοῦ προκειμένου ζητήματος καὶ ἕτερόν τε αὐτῷ ἄξιον ἐξετάσεως συνδιαπλέκεται. Ζητεῖ γὰρ διά τί προτέτακται ὁ Πατὴρ τοῦ Υἱοῦ, εἶτα τὸ Πνεῦμα τρίτον συντάττεται. Καὶ φησιν ὡς ἡ θεία φύσις ἄῤῥητος οὖσα καὶ ἀκατάληπτος δῆλον ὡς οὔτε λογισμῷ τινι οὔτε ῥήματι αὐτὸ τοῦτο ὅπερ ἐστὶν ἐκκαλύπτεται ἢ ὀνομάζεται, οἷς δ' ἂν καὶ πρὸς ἐμφάνειαν δι' οἰκονομίαν ἄῤῥατον καταστῇ οὐχ ὡς ἔστιν, ἀλλ' ὡς ἑκάστῳ τῶν ἐμφανιζομένων δυνατόν τε καὶ συμφέρον, οὕτως αὐτῆς τοῦ κάλλους τὰς μαρμαρυγὰς ἐνίησί τε τοῖς εἰς αὐτὴν [25] ἀτενίζουσι καὶ παραπολαύειν παρέχεται. Διὸ βαθύτερόν τε καὶ θεολογικώτερον φάναι, κἂν Τριάδα, [312 H.] κἂν μονάδα,

VARIÆ LECTIONES

[20] προέκοψαν A. [21] ὅσοις Λ : ὅσας ς. [22] μηδὲ τῆς τοιαύτης ς. [23] κἂν A : καὶ ς. [24] συνυποβάλλων Λ : συνυποβάλλεται ς, [25] ταύτην ς.

κἂν Πατέρα καὶ Υἱόν καὶ Πνεῦμα, κἂν Θεότητα, κἂν ἕτερόν τι τὴν ἄληπτον ἐκείνην καὶ ἄφατον ἐννοήσωμεν ἢ ὀνομάσωμεν φύσιν, οὐχὶ ταῦτα ἀλλ' ὑπὲρ ταῦτά ἐστι. Διὸ καὶ ὁ τῶν ἀποῤῥήτων μυσταγωγὸς, Ἐκ μέρους [26], βοᾷ, γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. Καὶ ὁ γνήσιος δὲ τούτου μαθητὴς, ὁ σοφὸς Διονύσιος. τὰ αὐτὰ καὶ τοῖς αὐτοῖς μικροῦ διαμαρτύρεται ῥήμασι, καὶ μάλιστά γε ἐν τοῖς περὶ τελείου καὶ ἑνός. Οὐκοῦν ἐπεὶ τὰ πλεῖστα τῶν περὶ Θεοῦ οὐχ ὅπερ ἐστὶ παράδηλοῖ, χειραγωγία δὲ μᾶλλόν τίς ἐστι καὶ συγκατάβασις, διὰ τῶν συντρόφων ἡμῖν καὶ πραγμάτων καὶ ὀνομάτων τὸν νοῦν ἡμῶν πρὸς τὰ ὑπὲρ ἡμᾶς ἀναφέρουσα, δῆλόν ὅτι τοιοῦτόν ἐστι καὶ τὸ προτετάχθαι τὸν Πατέρα κατὰ τὴν ἐκφώνησιν, εἶτα τὸν Υἱὸν καὶ μετ' ἐκεῖνον τὸ Πνεῦμα τὸ ἅγιον, ὅς που καὶ αὐτὸς ὁ Δεσπότης παιδαγωγῶν ἡμᾶς πρὸς τοὺς μαθητάς φησι· Πορευθέντες [27] μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες, αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐπεί γε αὐτὴ καθ' ἑαυτὴν ἡ θεία φύσις οὔτε προτέτακται οὔτε ὑποτέτακται, ἀλλὰ καὶ πάσης ὑπερίδρυται καὶ ἀριθμήσεως καὶ μοναδικῆς ἐπινοήσεως, εἴπερ καὶ ὁ ἀριθμὸς καὶ ἡ μονὰς περὶ οὐσίαν, τὸ δὲ θεῖον ὑπερούσιον. Ὥσπερ οὖν τὸ Θεῖον τὰ ἐν χρόνῳ πάντα ἀχρόνως ἐπίσταται καὶ ἀμερίστως τὰ μεριστὰ καὶ ἀῤῥεύστως τὰ ῥέοντα, [605 R.] οὕτω πᾶσα γεννητὴ φύσις καὶ τὸ ὑπέρχρονον ἐν χρόνῳ νοεῖ, καὶ μεμερισμένως τὸ ἀμέριστον, καὶ τὸ ἄῤῥεκτον διὰ συντρόφου φωνῆς ὀνόμασι διαμεμορφωμένης καὶ ῥήμασιν.

Εἶτα ἐφεξῆς ἐξετάζει, Τίνος ἕνεκεν ὁ μὲν Υἱὸς κατὰ τὴν ἐκφώνησιν μέσος παραλαμβάνεται, ἄκρα δὲ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον [28]. Καὶ φησιν ὡς ἐπειδὴ δικαιοσύνης ζυγὸς λέγεται ὁ Θεὸς, ἀναλόγως τῷ παρ' ἡμῖν ζυγῷ καὶ ἡ ἐν τῇ θείᾳ φύσει τάξις ἐπινενόηται ὥστε τὸν Υἱὸν τὴν μέσην χώραν ἀναπληροῦντα τὴν ἄκραν ἰσότητα πρὸς τὰ ἄκρα συντηρεῖν· αὐτὸς γὰρ τήν τε κατ' ἀρχὰς δημιουργίαν καὶ τὴν ὕστερον τοῦ γένους ἀνάπλασιν ἀπειργάσατο. Καὶ τὸ παράδειγμα δὲ τοῦ ζυγοῦ τὸ ἰσόῤῥοπόν τε καὶ ἰσοδύναμον τῆς ἀπειροδυνάμου Τριάδος αἰνίττεται, μηδεμιᾶς τῶν τριῶν ὑποστάσεων ἀναφερομένης τὸ πλέον ἢ πρὸς τὴν κάτω ῥοπὴν ἀποκλινούσης, ἀλλ' ἐν τῷ ἴσῳ τε καὶ ὁμοτίμῳ καὶ ἀδιαφόρῳ τῆς δόξης καὶ τῆς οὐσίας ζυγοστατουμένης τε καὶ θεολογουμένης· ἐξ οὗ καὶ ἐν τοῖς γεννητοῖς ἡ ἰσότης δίδοται καὶ τὸ δίκαιον ταλαντεύεται. Τοιαῦτα μὲν οὖν αὐτῷ κατά τε τὸ κβ' κεφάλαιον τοῦ ς' βιβλίου καὶ τὸ γ' καὶ κ' συνυφαίνεται.

Μετὰ τοῦτο δέ φησιν ἀναλογίαν τινὰ διασώζειν

A nitatem, sive unitatem, sive Patrem, sive Filium, sive Spiritum sanctum, sive Deitatem, sive aliud quidpiam incomprehensibilem illam et ineffabilem naturam cogitemus, vel nominemus, non hæc illa, sed supra hæc est. Quamobrem etiam ineffabilium enarrator clamat : *Ex parte cognoscimus, et ex parte prophetamus, cum autem venerit quod perfectum est, evacuabitur quod ex parte est* [53]. Hujusque germanus discipulus, sapiens ille Dionysius, hæc ipsa iisdem propemodum testata verbis reliquit : maxime ubi de perfecto (47) atque uno agit. Quando igitur plurima eorum quæ de Deo dicuntur, non id quod est, significant, sed potius manu ducunt, et pro captu nostro per cognatas nobis res atque voces, mentem nostram supra nos attollunt : perspi-
B cuum est tale qui illud esse, quod primo loco inter loquendum proferatur Pater, deinde Filius, ac post hunc Spiritus sanctus. Quemadmodum alicubi etiam ipse Dominus, nos instruens, discipulis ait : *Euntes docete omnes gentes,* 190 (a) *baptizantes eos, in nomine Patris, et Filii, et Spiritus sancti* [54]. Quoniam ipsa secundum se divina natura, neque præponi, neque subjici apta est, sed supra omnem tam numeri, quam singularitatis notionem collocatur. Numerus siquidem, et unitas de substantia dicuntur : divinitas vero substantiam superat universam. Quemadmodum igitur Deus omnia quæ in tempore exsistunt, sine tempore cognoscit, et indivise, quæ divisibilia, ut et fluxa, sine ullo fluxu :
C sic omnis creata natura, id quod tempus excedit, in tempore cognoscit, et divise, quod dividi non potest, quodque ineffabile est, per cognatam nominibusque et verbis efformatam vocem.

23. Quæril deinceps, *Cur Filius, cum loquimur, medius assumatur, extremisque locis Pater et Spiritus sanctus?* Respondet : Quoniam justitiæ trutina dicitur Deus, proportione quadam cum trutina nostra, ideo quoque in natura divina ordo ejusmodi excogitatus est, ut Filius, medio occupato loco, exactam æqualitatem cum extremis teneat. Ipse enim et a principio creationem, et ad postremum generis [nostri] instaurationem perfecit. Quin etiam trutinæ exemplum, infinite potentis Trinitatis æqualem omnino ac parem potestatem subindicat, cum
D nulla trium personarum, vel plus altera assurgat, vel ad ima magis vergat, sed in æquali et pari, nulloque modo differente gloria et essentia trutinetur, ac theologice expendatur. Unde et in rebus generatis æqualitas datur, et justum æquis ponderibus libratur. Hæc fere in vicesimo secundo capite sexti libri, itemque vicesimo tertio ab eo contexuntur.

24, 25. Post hæc analogiam quamdam servari

[53] I Cor. XIII, 9 et 10. [54] Matth. XXVIII, 29.

VARIÆ LECTIONES.

[26] ἐκ μ. Cor. XIII, 9. [27] πορευθ. [Matth. XXVIII, 29. [28] τὸ ἁγ. corr. A : τε ἁγ ς.

NOTÆ.

(47) Cap. 13, lib. *De div in. nominibus.*

asserit a duplici illa Trinitate, quæ in alis Seraphim consideratur [55]. Et medium quidem Patri respondere, extrema vero Filio, ac Spiritui sancto. Triplicem quoque illam et omnino invariatam in se vocis *Sanctus* exclamationem, trium personarum immutabilitatem, quoad essentiam, potentiam et facultatem subindicare. Quin et illorum trium consubstantialitatem atque unitatem velut sigillo obsignari ac coaptari, dum unum duntaxat postea [per vocem] *Dominus* inducitur et infertur. Alarum item geminationem, significare cognitionem illam omnem, quæ per hos in homines derivatur (etsi per immateriales spiritus subministretur), non simplicem, sed materiatam deferri : ex nostris nimirum figuris ac formis, velut compositum quoddam, compositis adaptatam, cum duplex sit materiatum omne, ex materia conflatum et forma. Quanquam et **190** (*b*) intelligibiles potestates, ex sanctificatione et substantia, quod duplicibus alis significetur, conflari volunt. Certum vero quod horum cognitio, perfectissima illa, et quæ omnem cognitionis simplicitatem superat, ut quæ soli creatrici Trinitati ascribatur, inferior atque imperfectior exsistens, non ab omni sit compositione libera. Ad hæc vocem Sanctus sine ulla coagmentatione prolatam, et nullo omnino alio intercedente provocabulo, indicare simplicem, minime compositum, excellentem ac sacro sanctum divinæ naturæ statum, cum omni alia natura et subsistentia comparatæ. Illud vero Sanctus sanctorum, ejusmodi significare sanctimoniam, quæ sit supra omnem aliam, quæ nominari possit, collocata : minimeque cum illa componenda. Quotquot enim ob divinam gratiam sancti dicuntur, profani alioqui atque impuri merito judicari queant, si cum Deo componantur. Ut et omnes reges, servi, et exsistentia, non existentia, ad eum qui revera exsistit collata. Excellentiam igitur, ut dictum est, ac singulare quid, et supra reliquæ creaturæ terminos de Deo nuntiat verbum illud Sanctus. Sanctum enim hic dicas, non quod ab omni sorde, quæ corpus aut animam inquinat, purum est ; nequaquam. Quænam enim illa Dei laus, aut potius quomodo non extrema ejus vituperatio sit, si id laudationis loco usurpetur, quod Deus ab affectionibus nostris liber exsistat ? Sed distinctam [Dei naturam vox illa] et cæteris omnibus antecellentem, atque ab iis sejunctam prædicat. Neque vero insolita sacris Litteris ejusmodi hujus vocabuli significatio, ut ibi : *Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur* [56], hoc est, selectum. Et rursum Judicum libro : *Paries filium, et non ascendet ferrum super caput ejus, quia sanctificatus* (47*) *est puer*. Aliaque sexcenla. Sic sane san-

τὴν [29] ἐν ταῖς πτέρυξι τῶν Σεραφὶμ θεωρουμένην διπλῆν Τριάδα, καὶ τὸ μὲν μέσον ἀναλογεῖν τῷ Πατρὶ, τὰ δ' ἄκρα τῷ Υἱῷ καὶ τῷ Πνεύματι · καὶ τὴν τριαδικὴν τῆς ἁγιότητος ἐκφώνησιν ἀπαράλλακτον οὖσαν πάντη πρὸς ἑαυτὴν τὸ ἀπαράλλακτον κατ' οὐσίαν καὶ δύναμιν καὶ ἐξουσίαν τῶν τριῶν αἰνιγματίζειν [315 H.] ὑποστάσεων. Καὶ ἐπισφραγίζειν δὲ καὶ ἐπισυνάπτειν τὸ ὁμοούσιον καὶ ἑνιαῖον τῶν τριῶν τὴν ἐπαγωγὴν καὶ ἐπιφορὰν τοῦ ἑνὸς Κύριος. Δηλοῦν δὲ καὶ τῶν πτερῶν τὴν διπλόην πᾶσαν τὴν εἰς ἡμᾶς δι' αὐτῶν κατιοῦσαν γνῶσιν, εἰ καὶ διὰ τῶν ἀΰλων διακονεῖται πνευμάτων, οὐχ ἁπλῆν ἀλλ' ὑλικὴν κατιέναι, ἐκ τῶν καθ' ἡμᾶς τύπων τε καὶ σχημάτων τοῖς συνθέτοις σύνθετον ἁρμοζομένην · διπλοῦν δὲ τὸ ὑλικὸν ἅπαν, ἐξ ὕλης συγκείμενον καὶ εἴδους. Ἔτι δὲ καὶ τὰς νοερὰς δυνάμεις ἐξ ἁγιασμοῦ καὶ οὐσίας, ὃ τὸ διττὸν αἰνίττεται τῶν πτερύγων, συγκεῖσθαί φασι · δῆλον δὲ ὡς καὶ ἡ τούτων γνῶσις τῆς ὁλοτελοῦς καὶ ὑπὲρ ἁπλότητα γνώσεως, ἥτις μόνῃ τῇ δημιουργικῇ Τριάδι ἀφώρισται, ἐλαττουμένη καὶ τὸ ἀτελὲς ἔχουσα οὐκ εἴη πάσης διπλόης τὸ ἐλεύθερον ἔχουσα. Παραδηλοῦν δὲ καὶ αὐτὴν [30] τὴν ἅγιος φωνὴν, ἄνευ συνθήκης προαγομένην καὶ μηδὲ μεσολαβοῦντος ἑτέρου προσρήματος, τὸ ἁπλοῦν καὶ ἀσύνθετον καὶ ἐξῃρημένον καὶ ἀδέβηλον τῆς θείας φύσεως πρὸς πᾶσαν ἄλλην φύσιν τε καὶ ὑπόστασιν · τοῦτο δὲ τὸ ἅγιος, τῶν ἁγίων αἰνίττεσθαι τὸ ὑπεριδρυμένον καὶ ἀσύγκριτον πρὸς πᾶσαν ἄλλην ὀνομαζομένην ἁγιότητα · καὶ γὰρ καὶ ὅσοι διὰ τὸ Θεῖον ἅγιοι λέγονται, βέβηλοί τε ἂν κριθείησαν καὶ ἀκάθαρτοι παραβαλλόμενοι Θεῷ, ὥσπερ καὶ πάντες οἱ βασιλεῖς δοῦλοι, καὶ μὴ ὄντα τὰ ὄντα πρὸς τὸν ὄντως ὄντα ἐξεταζόμενα. Τὸ ἐξαίρετον τοίνυν, ὡς εἴρηται, καὶ μεμονωμένον καὶ πάσης ἄλλης ὑπερόριον φύσεως ἐπὶ Θεοῦ καταγγέλλει τὸ ἅγιος. [608 R.] Ἅγιον γὰρ ἐνταῦθα οὐχὶ τὸ ῥύπου τινὸς καθαρὸν εἶναι διὰ σώματος ἢ ψυχῆς διαβαίνοντος· ἄπαγε· ποῦ γὰρ ἐγκώμιον Θεοῦ, μᾶλλον δὲ πῶς οὐκ ἔσχατος ψόγος εἰς ὕμνον παραλαμβάνειν τὸ παθῶν ἀπηλλάχθαι τὸ Θεῖον λέγειν τῶν ἡμετέρων ; ἀλλὰ τὸ ἀφωρισμένον καὶ ὑπεριδρυμένον τῶν ἄλλων ἁπάντων καὶ ἀνακεχωρηκὸς ἀνυμνεῖ. Σύνηθες δὲ τῇ θείᾳ Γραφῇ τὸ τοιοῦτον τῆς λέξεως σημαινόμενον, ὡς τὸ, Πᾶν [31] ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται, τουτέστιν ἀφωρισμένον. Καὶ πάλιν ἐν τοῖς Κριταῖς [32]· Τέξῃ υἱὸν, καὶ οὐκ ἀναβήσεται σίδηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὅτι ἡγιασμένον ἐστὶ τὸ παιδάριον, καὶ μυρία ἄλλα. Οὕτω δὴ καὶ ἁγιάζεσθαι τὸν τόπον ἢ τὸν ἄρτον ἢ τὸν οἶνον, ἃ τῷ Θεῷ φαμεν ἀφορίζεσθαι καὶ πρὸς μηδεμίαν κοινὴν ὑποφέρεσθαι χρῆσιν.

[55] Isa. VI, 2 seqq. [56] Num. VIII, 16 ; Luc. II, 23.

VARIÆ LECTIONES.

[29] τὴν ἐν] Isa. VI, 2. [30] αὐτὴν add. A. [31] πᾶν] Luc. II, 23. [32] Κριταῖς] 13, 5.

NOTÆ.

(47*) Judic. XIII, 5. In Vulg. et LXX *Nazaræus* legitur : quæ vox Hebræis *sanctum*, vel *sanctificatum* significat, ut apud B. Hieronym. videas.

tificari locum, vel panem, vel vinum dicimus, quæ Deo secernuntur, et ad nullum communem usum referuntur.

Εἰς πίστιν δὲ παραγειν ἐπιχειρεῖ, ὅτιπερ αἱ ἄϋλοι δυνάμεις ὑλικῶς τοῖς ἡλικοῖς τὰ ἄνωθεν διαπορθμεύουσι, τὴν λαβίδα [33], ἣν ἓν τῶν Σεραφὶμ πρὸς τὸν προφήτην ἀποστελλόμενον ἔφερε, τὸν ἄνθρακα φέρουσαν. Δῆλον γὰρ ὡς ἐν σωματικοῖς συμβόλοις ἀσωμάτων τινῶν καὶ νοητῶν ἡ ἀσώματος δύναμις ὑπεδήλου τῷ προφήτῃ μυστήρια, διδασκούσης ἡμᾶς τῆς ἱερᾶς Γραφῆς ὅτι, καθάπερ οὐκ ἔστιν ἀνευ μεσότητος οὔτε ὕλης παχυτέρας τοῦ πυρὸς λαβέσθαι, οὕτω καὶ τῶν θείων οὐδὲν ἔστι λαβεῖν ἀνευ συμβόλων ὑλικῶν καὶ [34] προσφόρων τοῖς δεχομένοις. Ἔστι δὲ καὶ ἡ λαβὶς [314 H] τυποῦσα τὴν ὕλην ὥσπερ ὁ ἄνθραξ τὸ θεῖον· Ὁ γὰρ [35] Θεὸς ἡμῶν πῦρ καταναλίσκον· καὶ, Τὰ λόγια [36] Κυρίου πεπυρωμένα. Καὶ αὐτὴ δὲ ἡ φωνὴ τῆς λαβίδος τὴν ἁφὴν ἀπαγγέλλει, ἥτις δηλονότι ἐπὶ μόνων ὁρᾶται τῶν αἰσθητῶν. Ἴσως δὲ καὶ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν τοῦ Λόγου αἰνιγματίζεσθαι διὰ τῶν εἰρημένων συμβόλων φάναι οὐδὲν ἀπεικός· τὸ γὰρ θεῖον πῦρ παχύτητι τῆς καθ' ἡμᾶς σαρκὸς προσωμίλησεν ἡμῖν. Δυνατὸν δέ φησι καὶ τὴν μὲν λαβίδα τὴν νομικὴν εἰκονίζειν σκιὰν, τὸν ἄνθρακα δὲ τὴν Νέαν Διαθήκην· καὶ γὰρ διὰ τῶν συμβόλων τῶν νομικῶν τὰ τῆς Νέας μυστήρια παραδηλοῦσθαι τε καὶ τοῖς εὐγνώμοσι παραδίδοσθαι. Λέγει δὲ καὶ τοῦ Κυριακοῦ σώματος ἐπὶ τῆς ἱερᾶς τραπέζης προτεθέντος διὰ τοῦτο τοὺς παρ' ἑκάτερα τῶν τὰ ἱερὰ ὑπηρετουμένων βιπίδας πτερῶν πεποιημένας τοῖς προκειμένοις φρικτοῖς ἐπικινεῖν, τῶν ἑξαπτερύγων φέροντας σύμβολα, ὡς ἂν μὴ ἐῶσι τοὺς τελουμένους τοῖς ὁρωμένοις ἐναπομένειν, ἀλλὰ παντὸς προσύλου ὑπεράνω γενομένους νοεροῖς ὀφθαλμοῖς διὰ τῶν ὁρωμένων ἐπὶ τὴν ἀόρατον θέαν καὶ τὸ ἀμήχανον ἐκεῖνο [37] κάλλος παρασκευάζουσιν ἀναδραμεῖν. Καὶ γὰρ καὶ σωματικῶς τῷ Δεσπότῃ παρόντι φόβῳ καὶ τρόμῳ τὰ Σεραφὶμ ὑπηρέτει· οὗ τίνος φόβου καὶ τρόμου αἴνιγμα εἶναι καὶ τὴν γενομένην διὰ τῶν πτερῶν κίνησιν, ἣν τὸ ὑπηρετούμενον ἐνεργεῖ. Κἰ δὲ τὰ Σεραφὶμ ὑπηρετοῦντα δηλοῦνται [38] καὶ σαρκωθέντι τῷ Λόγῳ, καὶ οὐδὲν διὰ τὴν κάτω τοῦ Λόγου διαγωγὴν τῆς ἄνω καθυφίησι δουλείας, δηλονότι καὶ ἡ ἄλλη τῶν ἀσωμάτων διακόσμησις νόων τὸν μετὰ σαρκὸς παραγεγονότα λατρεύουσα προσεκύνει. [609 R.] Ἡ γὰρ ἐν τούτοις πρωτεύουσα τάξις, τὴν δουλείαν οὐ καινοτομοῦσα, καὶ τῶν μετ' αὐτὴν τὴν ἴσην ὑπηρεσίαν βεβαιοῦται. Γέγραπται [39] γὰρ ὡς καὶ ἄγγελοι προσελθόντες διηκόνουν αὐτῷ· τὸ δὲ τοῦ ἀγγέλου ὄνομα, ὡς οἱ τὰ θεῖα ἴσασι σοφοὶ, κοινόν ἐστι πάσαις [40] ταῖς νοεραῖς δυνάμεσιν ὄνομα. Καὶ πάλιν περὶ τοῦ εἰς τὴν οἰκουμένην εἰσαγομένου πρωτοτόκου τὸ ἱερὸν

A Fidem vero ut faciat his (quod materiæ expertes spiritus materialiter nobis materiatis res cœlestes afferant), forcipem illam adducere pergit [57], quam unus e Seraphim ad prophetam missus attulit, carbonem complexam. Palam enim est corporalibus in symbolis incorpoream illam potestatem incorporeorum quorumdam atque intelligibilium mysteria significare apud prophetam voluisse, docente nos sacra Scriptura: quemadmodum sine intermedio aliquo, et absque crassiore materia ignis capi non potest: sic nec rerum divinarum quidquam percipi posse sine materialibus symbolis, cæterisque rebus, iis qui susciperent accommodatis. Est autem forceps materiam designans, **191** (*a*) quemadmodum et carbo divinum numen denotat. *Deus enim noster ignis consumens est* [58]. Et: *Eloquia Domini igne examinata* [59]. Ipsa quoque vox forcipis tactum significat, qui scilicet in solis apparet sensibilibus. Fortasse vero et Verbi incarnationem, nostri causa factam, obscure designari prædictis symbolis probabiliter dicatur. Ignis enim divinus, carnis nostræ crassitie [interjecta] nobiscum conversatus est. Fieri etiam potest, ait, ut forceps legalem umbram designet, carbo vero Novum Testamentum, cum per legalia symbola Novi mysteria Testamenti ostendantur, ac bene sentientibus tradantur. Addit insuper: Cum corpus Dominicum in sacra mensa propositum est, ideo qui ab utroque latere sacris operantibus B [astant] in eorum quæ sex alas gestant symbolum, confecta ex alis flabella (48) supra oblata ibi horrenda mysteria agitare, ut ne sinant initiatos rebus visis inhærere, sed eos mentis oculis supra omne id, quod cum materia conjunctum est, sublatos, faciant per ea quæ videntur, ad invisibilem contemplationem, et inexplicabilem illam pulchritudinem ascendere. Nam tum etiam cum corporaliter Dominus præsens esset, cum timore ac tremore Seraphim ei inserviebant: hujusque timoris et tremoris specimen obscurum esse, alarum illam agitationem, quam ministrantes adhibent. Si vero Seraphim etiam incarnato jam Verbo ministrare declarantur, ut nihil ob ejus in terram descensum de servitute, quæ in cœlo erat, diminuant: clarum quod et alter incorporeorum spirituum ordo Incarnatum cultu C latriæ adorabat. Cum enim qui in his primum ordinem tenent, cultum non immutant, mox etiam par a subsequentibus ministerium exhiberi confirmant. Scriptum est enim, quod etiam angeli accedentes ministrabant ei [60]. *Angeli* vero appellatio, ut rerum divinarum periti norunt, commune est

[57] Isa. VI, 6. [58] Deut. IV, 24. [59] Psal. XVII, 37. [60] Math. IV, 11.

VARIÆ LECTIONES.

[33] τὴν λαβ.] Isa. VI, 6. [34] καὶ A : τε καὶ ς. [35] ὁ γὰρ] Deut. VI, 24. [36] τὰ λόγια] Psal. XVII, 37. [37] ἐκεῖνον A. [38] δουλοῦται A. [39] γέγραπται] Matth. VI, 11. [40] πᾶσι A.

NOTÆ.

(48) Qui mos in Hispania hodieque spectatur, ad æstum ardente canicula depellendum.

intelligibilium spirituum nomen. Et iterum de primogenito in orbem terræ introducto Scriptura loquitur : *Et adorent eum omnes angeli Dei* [61-62]. Propterea etiam simul atque ad altare sacerdotes accedunt, cantor sacer de superiore loco sic clamat : *Sanctus Deus, sanctus fortis, sanctus immortalis.* Quem hymnum ex veneranda ac tremenda Seraphinorum professione compositum asserit. Non tamen de suo habere hoc inventum, 191 (*b*) sed e Judæorum gente quemdam veritatis doctrina imbutum, qui alios quoque docendi auctoritatem ab Ecclesia accepisset, virum cætera sapientem, vitaque illustrem, hujus doctrinæ Jobio auctorem fuisse, cum unde compositus esset sacer ille hymnus, exponeret. Docere vero ipsum ex Cherubinorum (49) hymno, et psalmo XLI sacrorum cantorum canticum illud conflatum esse. Celebrari enim in hoc Psalmo *Deum fortem vivum* : ac mutatam quidem esse vocem *vivum* in æquipollens vocabulum *immortalis*, ipsa voce *fortis* retenta : ita sacrum illud canticum contextum esse. Porro exprimi voces *Deus* et *Sanctus*, ut distinctio fiat ab idolorum simulacris, quæ terrestria sunt, humanarum manuum opus, et veræ abominationes. *Fortis* vero adversus muta, immobilia et imbecilla idola. *Immortalis* denique, quod idola nec spirent, nec ullam efficiendi vim habeant : sed nec tantillam quidem vitæ partem acceperint. Narrat hoc etiam, eumdem illum sacrum virum sese docuisse, quemadmodum ab aliis quoque scriptoribus refertur, ut beatus (60) Proclus (Constantinopolis is præsul erat) prædicti hymni constructionem, per revelationem edoctus sit, cum angelis sacrum hunc hymnum canentibus, primus ille eamdem deinde doctrinam hausit. Tali disputatione vecesimum quartum et quintum claudilur caput.

26. Capite vicesimo sexto refertur, sex dierum numerum in principio typum esse agnoscendæ Trinitatis, illudque cum ex aliis manifestum evadere, tum ex illo : *Dies diei eructat verbum et nox nocti indicat scientiam* [63]. Quin et ex illo : *In capite libri scriptum est de me* [64] : quibus [saltem] contigisset percipere sex illis initialibus diebus nihil esse intelligendum eorum, quæ apparerent. Caput enim et principium libri, sive omnis a Deo inspiratæ Scriptura, est opus sex dierum, quibus mundi creatio perfecta est : cujus ex magnitudine ac pulchritudine Creator ipse agnitus canitur. Imaginem vero referre Trinitatis : et ad mysterii cognitionem conducere eosdem illos sex dies asserit, non minus quam de sex alis Cherubin symbolica et sacra oratio. Quæ certe doce-

A Γράμμά φησιν · Καὶ προσκυνησάτωσαν [41] αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Διά τοι τοῦτο καὶ ἅμα τῷ πρὸς τὸ θυσιαστήριον εἰσιέναι τοὺς ἱερεῖς ὁ ἱεροψάλτης ἄνωθεν ἀναβοᾷ τὸ, Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος. Ἥντινα ὑμνολογίαν συγκεῖσθαί φησιν ἐκ τῆς τῶν Σεραφὶμ ορικτῆς ὁμολογίας. Φησὶ δὲ ὡς οὐδ' οἴκοθεν πρὸς ταύτην ἦλθε τὴν ἔννοιαν, ἀλλ' ἐξ Ἰουδαίων τις τόν τῆς ἀληθείας λόγον κατηχηθεὶς καὶ ἄλλους κατηχεῖν παρὰ τῆς Ἐκκλησίας ἀξίωμα λαβὼν, σοφός τε τὰ ἄλλα καὶ βίῳ λαμπρὸς, ἐκεῖνος αὐτῷ τῆς προκειμένης μαθήσεως καθηγήσατο, ἐξ ὧν ἡ ἱερολογία συνετέθη, ἀναδιδαξάμενος. Διδάσκειν οὖν αὐτόν φησιν ἔκ τε τῆς Χερουβικῆς ὑμνολογίας καὶ τοῦ μα' ψαλμοῦ τῶν ἱεροψαλτῶν συντεθεῖσθαι τὸ μελῴδημα · ᾄδεσθαι μὲν
B γὰρ ἐν τῷ ψαλμῷ τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, μεταληφθῆναι δὲ τὸ [42] μὲν ζῶντα εἰς ἰσοδύναμον [315 H.] τὸ ἀθάνατον, αὐτολεξεὶ δὲ διατηρηθῆναι τὸν ἰσχυρὸν, καὶ οὕτω συνυφανθῆναί τι μελῴδημα τὸ ἱερὸν. Ἀποδεδόσθαι μέντοι γε τὸ μὲν Θεὸς καὶ τὸ ἅγιος πρὸς ἀντιδιαστολὴν τῶν εἰδωλικῶν σεβασμάτων, ἃ γεώδη τέ ἐστι καὶ χειρῶν [43] ἀνθρώπων ἔργα καὶ βδελύγματα ὡς ἀληθῶς · τὸ δὲ ἰσχυρὸς πρὸς τὸ ἐκείνων ἄφωνον καὶ ἀκίνητον καὶ ἀσθενὲς, τὸ δὲ ἀθάνατος πρὸς τὸ ἄπνουν ἐκείνων καὶ ἀνενέργητον καὶ οὐδ' ὁπωσοῦν ζωῆς μετασχὸν. Λέγει δὲ τὸν αὐτὸν ἱερὸν ἄνδρα καὶ τοῦτο αὐτὸν ἐκδιδάξασθαι, καθὰ καὶ ἑτέροις ἐξιστόρηται, ὡς τῷ μακαρίῳ Πρόκλῳ (Κωνσταντινουπόλεως δὲ πρόεδρος ἦν) ἡ τοῦ εἰρημένου μελῳδήματος δι' ἀποκαλύψεως [ἐμυήθη [44]]
C σύνθεσις, ἀγγέλων μὲν τὴν ἱερολογίαν ταύτην ἀναμελπόντων, ἐκείνου δὲ τὴν μύησιν πρώτου ἐκεῖθεν ἐκδεξαμένου. Τοιοῦτον μὲν ἀγῶνα καὶ τὸ δ' καὶ κ' ἅμα τοῦ ἑφεξῆς ε' κεφαλαίου ὑποδύεται.

Ἐν δὲ τῷ κς' κεφαλαίῳ λέγει τὸν [45] ἐν τῇ κοσμογενείᾳ κατ' ἀρχὰς τῶν ς' ἡμερῶν ἀριθμὸν τύπον εἶναι τῆς τριαδικῆς Θεογνωσίας, καὶ τοῦτο δηλοῦν σὺν καί τισιν ἑτέροις καὶ τὸ, Ἡμέρα [46] τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Ἀλλὰ καὶ τὸ, Ἐν κεφαλίδι [47] βιβλίου γέγραπται περὶ ἐμοῦ, ὅσοις γέγονεν εἰς τὰς ἀρχικὰς ἐκείνας ἓξ ἡμέρας ἐκλαβεῖν, οὐδὲν τῶν ἀπεμφαινόντων διανοηθῆναι. Κεφαλὴ γὰρ καὶ ἀρχὴ βιβλίου, τουτέστι πάσης τῆς θεοπνεύστου Γραφῆς, ἡ ἑξαήμερος, ἐν αἷς ἡ κτίσις συνετελέσθη · ὧν ἐκ μεγέθους καὶ καλλονῆς ὁ δημιουργὸς καταλαμβανόμενος ἀνυμνεῖται. Εἰκονίζειν δὲ τὴν Τριάδα καὶ πρὸς διδασκαλίαν τοῦ μυστηρίου, συντελεῖν τὰς αὐτὰς ἓξ ἡμέρας, φησὶν, ὥσπερ καὶ τῶν ἓξ Χερουβικῶν πτερύγων τὴν συμβολικὴν

[61-62] Deut. XXXII, 42 sec. LXX; Psal. XCVI, 7; Hebr. I, 6. [63] Psal. XVIII, 3. [64] Psal. XXXIX, 8 et Hebr. X, 7.

VARIÆ LECTIONES.

[41] καὶ προσκ.] Deut. XXXII, 42. [42] τὸ A : τὸν ς. [43] χειρῶν τῶν ἀνθρ ς. [44] ἐμυήθη om. pr. A : C ante id verbum lacunam habet versus dimidii. [45] λέγει τὸν A : λέγεται ς. [46] ἡμέρα Psal. XVIII, 3. [47] ἐν κεφ.] Psal. XXXIX, 8.

NOTÆ.

(49) Idem docet Niceph. Cabasilas exposit. *Liturg.* cap. 20.

(50) Georgius Cedrenus, *Histor. Compend.* anno 30 Theodosii.

ἱερολογίαν. Ἡ δὲ ἄρα ἐμυσταγώγει τῆς δημιουργοῦ Τριάδος τὴν γνῶσιν δι' ὑλικῆς παραγίνεσθαι καὶ συνθέτου. Καὶ μὴν καὶ αὐτῆς τῆς ἁπλῆς καὶ ἀσυνθέτου οὐσίας διὰ τῆς ἐνύλου καὶ συντεθειμένης τὴν τριαδικὴν ὑπαινίττεσθαι κυριότητα. [512 R.] Ὅθεν καὶ διὰ διπλῆς Τριάδος τῆς ὑπὲρ πᾶσαν ἁπλότητα Τριάδος τὴν γνῶσιν ἀνακαλύπτεσται. Πίστιν δὲ τοῖς τεθεωρημένοις ἐπιτιθείς, τὴν ζ' φησὶ τύπον εἶναι τοῦ καιροῦ ἐκείνου, ἐν ᾧ τῶν παχυτέρων καὶ σωματικῶν ἡμῖν ἔργων κατάπαυσις, ὥς που [48] καὶ ὁ Παῦλος φησιν, ὡς Ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ· ὁ γὰρ ἐλθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Εἰ δὲ τύπος ἡ ζ' τῆς καταπαύσεως τῶν παρ' ἡμῖν ἔργων τῶν ὑλικῶν, ὅτε κατὰ τὸν αὐτὸν θεσπέσιον Παῦλον [49] καὶ τὸ τέλειον τῆς γνώσεως τῆς ἐπὶ μέρους σοφίας ἀνταλλασσόμεθα, εὐλόγως καὶ τὴν ἑξαήμερον ἂν τύπον εἶναι τῆς ὑλικῆς τεθεωρήκαμεν γνώσεως, καθ' ἣν ἐκ μέρους καὶ ἐν αἰνίγμασιν ἡ περὶ τὸ Θεῖον ἡμῖν ὑπόληψις περιγέγονε. Τούτοις ἐπάγει καὶ τὴν τοῦ Θεολόγου φωνήν, ἥτις μέχρι τριῶν ἡμῖν ὑποστάσεων τὸ τῆς θεότητος μυστήριον ἀνακαλυφθῆναι λέγει, Μονάδος μὲν κινηθείσης, φησὶ, διὰ τὸ πλούσιον, δυάδος [316 H,] δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, Τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον. Πρώτη γὰρ ἡ Τριὰς δυάδος ὑπερβαίνει σύνθεσιν, ἵνα μήτε στενὴ μένοι θεότης μήτε εἰς ἄπειρον χέηται. Συνάπτει δὲ τῇ αἰτίᾳ ταύτῃ καὶ ἑτέραν τῆς μέχρι Τριάδος θείας προόδου, καὶ φησι διότι καὶ μόνος ἀριθμῶν ὁ τρεῖς ζυγοῦ τύπος ἐστὶ σαφέστατος, ὁ δὲ ζυγὸς ἰσότητος ἔργον ἅμα καὶ σύμβολον. Ὅθεν καὶ ἐν ἀριθμοῖς ὁ τριαδικὸς μόνος ἁπάντων φέρει τὸ μέσον πρὸς τὰ ἑκατέρωθεν ἄκρα ἴσον τε καὶ ἀπαράλλακτον, οὐδεμιᾶς τοῖς τρισὶν ἐνορωμένης ὅλως συνθέσεως. Ἐν οἷς καὶ ὁ ς' τῷ φιλοθεάμονι ἀνδρὶ συμπεραίνεται λόγος.

Ἐν δὲ τῷ ζ' βιβλίῳ διαλαμβάνει ὅτι τρεῖς μεταθέσεις πολιτειῶν τὸ ἱερὸν ἀναγράφει Γράμμα, ἃς καὶ σεισμοὺς ὀνομάζει, πρώτην μὲν τὴν ἀπὸ τῆς εἰδωλολατρείας ἐπὶ τὴν νομικὴν πολιτείαν μετάθεσιν, ἐν ᾗ μόνος μὲν ὁ Πατὴρ ἐμφανέστατα κηρύττεται, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα ἐν συμβόλοις μᾶλλον [50] παραδηλοῦται καὶ αἰνίγμασι· δευτέραν δὲ τὴν ἀπὸ ταύτης πρὸς τὸ Εὐαγγέλιον, ἐν ᾗ τρανότερον ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἀποκαλύπτεται· καὶ τρίτην λοιπὸν τὴν ἀύλοτέραν τε καὶ θειοτέραν λῆξιν, ἐν ᾗ διαπρυσίως πᾶσι τὸ τῆς Τριάδος ἐνοειδὲς καὶ ἀμέριστον καὶ παντοκρατορικόν, ὡς γεννητῇ φύσει δυνατόν, εἰς ἀνθρώπων ἀδίστακτον γνῶσιν ἀφικνεῖται. Ἀπαγγέλλει δὲ τὸν μὲν πρῶτον σεισμὸν ὁ θεσπέσιος Δαβὶδ διὰ τῶν ῥημάτων τούτων· Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη [51] ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ·

Abat Trinitatis creatricis notitiam per materialem atque compositam cognitionem advenire, quinimo simplicis ipsius et incompositæ **192** (*a*) substantiæ trinam proprietatem, per materialem ac compositam ænigmatice denotari; atque hinc etiam per duplicem Trinitatem illius, omnem simplicitatem excedentis Trinitatis cognitionem revelari. Fidem vero astruens rebus visis, septimum diem ait esse figuram illius temporis, in quo nobis requies erit a corporeis et gravioribus laboribus, ut alibi etiam Paulus affirmat [65], relinqui sabbatismum populo Dei. Qui enim ingressus est in requiem suam, etiam ipse requievit ab operibus suis, sicut a suis Deus. Si vero figura est septimus dies requietis a nostris materialibus operibus, quando secundum eumdem divinum Paulum [66] cum perfectiore cognitione imperfectiorem commutabimus, merito et sex dierum opus figuram esse materialis cognitionis meditando perspeximus, secundum quam ex parte et in ænigmate Deus a nobis cognoscitur. Iis addit Gregorii Theologi (51) sententiam, qua usque ad tres personas divinitatis mysterium nobis manifestatum dicit: *Unitate mota*, ait, *ob divitias, binario vero superato propter materiam et formam, ex quibus corpora: Trinitate vero propter definitam perfectionem (prima enim [in numeris] trias binarii excedit compositionem) ut neque angustis terminis divinitas contineatur, neque in infinitum diffundatur.* Addit huic et aliam causam cur ad Trinitatem usque divinitas progressa sit, et ait: Quia solus numerorum ternarius libræ figura est manifestissima. Libra vero æqualitatem efficit, simul ac significat. Unde et in numeris solus ternarius medium occupat locum inter utraque extrema parem atque incommutabilem, sic ut nulla omnino in tribus animadvertatur compositio, in quibus sextus speculativo huic homini liber absolvitur.

Liber VII.

Libro septimo [cap. 27] asserit tres politiarum mutationes a sacra repræsentari Scriptura, quas et *Terræmotus* nominat. Primam quidem ab idolorum cultu in legalem reipublicæ ordinationem, in qua solus Pater manifestissime prædicatur. Filius autem et Spiritus symbolis duntaxat et ænigmatis indicantur. Alteram vero ex hac in Evangelium qua magis perspicue Filius et Spiritus sanctus manifestantur. Tertiam denique illam materiæ magis expertem et divinio-rem sortem, in qua penitus **192** (*b*) Trinitatis uniformitas, et indivisibilitas, et omnipotentia, quantum natura creata assequi potest, in hominum indubitatam pervenit cognitionem. Primum autem terræ motum prædicat divinus ille David, his verbis: *A facie Domini mota est terra, a facie Dei Jacob* [67]. Addit enim: *Simulacra gentium argentum et aurum, opera manuum hominum* [68]

[65] Hebr. IV, 9. [66] I Cor. XIII, 9. [67] Psal. CXIII, 7. [68] ibid. 13.

VARIÆ LECTIONES.

[48] που] Hebr. IV, 9. [49] Παῦλον] Cor. XIII, 9. [50] μᾶλλον A : μόνον ς. [51] ἐσαλ. Psal. CXIII, 7.

NOTÆ

(51) Orat. II, *De Pace*, num. 17.

Rursumque dicit: *Afferte Domino, patriæ gentium, et intrate in atria ejus* [69]. Sed non in Judaicum, et unum tantum atrium: adjungit enim mox: *Commoveatur a facie ejus universa terra, dicite in gentibus quia Dominus regnavit* [70]. Et iterum: *Dominus regnavit, exsultet terra, lætentur insulæ multæ* [71]. Ac deinceps: *Apparuerunt fulgura tua orbi terræ; vidit, et commota est terra* [72]. Multaque id genus apud eumdem. Isaias quoque dixit: *Cum resurrexerit conterere terram* (52). Divinus vero Paulus secundum simul et tertium terræ motum describit, dum Aggæi prophetæ verba inclamat [73]: *Cujus vox terram movit tunc: nunc autem denuntiavit dicens: Adhuc ego semel moveo non solum terram, sed et cælum.* Eadem et Gregorium (53) cognomento Theologum scribere affirmat.

A ἐπάγει γὰρ τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Καὶ τὸν δεύτερον δὲ ἐν τῷ λέγειν, Ἐνέγκατε [52] τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ, ἀλλ' οὐκ τὴν Ἰουδαϊκὴν καὶ μίαν αὐλήν· συνάπτει γὰρ αὐτίκα· Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσε. Καὶ πάλιν· Ὁ Κύριος [53] ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Εἶτα· Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. Καὶ πολλὰ τοιαῦτά ἐστι παρ' αὐτῷ. Καὶ ὁ Ἡσαΐας [54] φησίν· Ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Ὁ δὲ θεσπέσιος Παῦλος ἅμα τόν τε δεύτερον καὶ τὸν τρίτον ἀναγράφει σεισμὸν ἐν τῷ τὰ τοῦ προφήτου Ἀγγαίου ἀναβοᾷν· Οὗ ἡ [55] φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἔτι [56] ἐγὼ ἅπαξ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Ταῦτα δὲ καὶ τὸν Θεολόγον ἀναγράφειν εἰσάγει Γρηγόριον.

28, 29. Hæc locutus, profundius mox inquirere pergit: Cur primus Pater prædicetur? Respondet Dei providentiam circa nos pro illo rerum statu id fecisse, dum hac sapientissima ratione [homines] a deorum multitudine abducere studet. Absurdum enim fuisset atque inordinatum eum, qui a deorum multitudine avocare vellet, divinitatis Trinitatem iis animis, qui longo temporum curriculo deorum multitudinem attoniti suspexissent, committere. Præsertim cum Patris notio silenti et muto quasi suffragio Filium ac Spiritum sanctum existere confirmaret, eorumque cognitionem colligeret, non lædendo quidem imbecillos, sed religionis firmamenta mystice delineando. Nam Pater Filii omnino Pater est, et Spiritus quoque alicujus esse dicatur. Pater igitur nulli ullam multitudinis deorum ansam præbendo, potuit populo prædicari, maxime cum et apud Hebræos et apud gentes in more positum esset, ut ipsorum etiam hominum Pater Deus vocaretur. Mos enim ille inumbrabat supernaturalem Filii cum Patre conjunctionem, eosdemque simul exsistere, et mutuam ante sæcula inter eos habitudinem esse. Quod autem Deus vocetur *Pater*, ex iis quæ nobis pro hominum more chara esse solent, **193** (*a*) dicimus. Nihil enim est omnium apud nos paterna appellatione aut jucundius, aut honorificentius, aut magis venerandum, sed neque familiarius quidquam vel ad beneficentiam propinquius. Nam et producit Pater antea non exsistentes, et alit, et de liberorum victu satagit: quæ quidem, et magis etiam, pro primæ causæ conditione, ad Deum spectant, unde per participationem ad generantem quoque Patrem pertinent, quo Deum vocare Patrem terrigenum more edocti sumus. Porro *Spiritum*, aut *Filium* ut vocemus

B Ἀλλὰ γὰρ ταῦτα εἰπών, ἐμβαθύνει ζητεῖν, Διὰ τί ὁ Πατὴρ κηρύττεται πρῶτος; Καὶ ἡ λύσις, ὅτι [57] περ ἡ περὶ ἡμᾶς τοῦ Θεοῦ πρόνοια οἰκονομικῶς τοῦτο διεπράξατο, πανσόφῳ μεθόδῳ τῆς πολυθεΐας ἀπάγουσα. Ἀμέθοδον γὰρ ἦν καὶ ἀνοικονόμητον πολυθεΐας ἀπαλλάττοντα [58] τὸ τριαδικὸν τῆς θεότητος ψυχαῖς καταπιστεύειν μακρῷ διεπτοημέναις χρόνῳ περὶ τὸ πολύθεον. Ἄλλως τε δὲ καὶ ἡ τοῦ Πατρὸς ἔννοια [317 H.] σιωπώσῃ καὶ ἀνεκφωνήτῳ ψήφῳ τὴν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ὕπαρξιν ἐκύρου καὶ τὴν γνῶσιν συνῆγεν, οὐ πλήττουσα μὲν τοὺς ἀσθενεῖς, τὸ δὲ τῆς εὐσεβείας μυστικῶς κραταίωμα διαγράφουσα. Ὁ τε γὰρ Πατὴρ Υἱοῦ πάντως ἐστὶ Πατήρ, καὶ τὸ Πνεῦμα ἑτέρου τινὸς λέγοιτ' ἄν. Ὁ μὲν οὖν Πατὴρ μηδενὶ μηδεμίαν παρέχων πολυθείας λαβὴν ἠδύνατο δημοσιευθῆναι τῷ πλήθει, ἔθους γε μάλιστα ὄντος παρά τε Ἑβραίοις καὶ Ἕλλησι καὶ αὐτῶν τῶν ἀνθρώπων Πατέρα καλεῖν τὸν Θεόν· συνεσκιάζετο γὰρ τῷ ἔθει ἡ ὑπερφυὴς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συνάφειά τε καὶ συνύπαρξις καὶ ἡ πρὸς ἀλλήλους προαιώνιος σχέσις. Πατέρα μέντοι καλεῖν τὸν Θεὸν ἐκ τῶν καθ' ἡμᾶς τιμίων τὸ ἀνθρώπινον ἀνεμάθομεν. Οὐδὲν γὰρ τῶν παρ' ἡμῖν τῆς πατρικῆς προσηγορίας οὔτε ἡδύτερον οὔτε τιμιώτερον οὔτε μὴν αἰδεσιμώτερον, ἀλλ' οὐδ' οἰκειότερον οὔτε πρὸς εὐεργεσίαν ἐγγύτερον. Καὶ προάγει γὰρ ὁ Πατὴρ ἐκ μὴ ὄντων, καὶ τρέφει, καὶ τῆς ζωῆς κήδεται τῶν τέκνων. Ἃ μᾶλλον μέν ἐστι καὶ κατὰ πρώτην αἰτίαν τοῦ Θεοῦ, ἐκεῖθεν δὲ καὶ κατὰ μετοχὴν καὶ τοῦ φύντος [59] Πατρὸς, ἐξ οὗ καὶ τὸ καλεῖν. Πατέρα τὸν Θεὸν τὸ γηγενὲς ἐπαιδαγωγήθημεν. Πνεῦμα δὲ καλεῖν τὸ Θεῖον ἢ Υἱὸν οὐχ οὕτως ἐξ ἡμῶν ἄφορμαὶ ἀναφύονται. Οὐ μὴν οὐδὲ τῆς πολυθεΐας ἡ τούτων τῷ Πατρὶ συναρίθμησις οὕτως ἀφανίζει κἀκ τῶν δυσσεβεῖν ἐσπουδακότων [τῆς πολυθεΐας] τὴν πρόφασιν,

[69] Psal. xcv, 7. [70] ibid. 9. [71] Psal. cvi, 1. [72] ibid. 4. [73] Agg. ii, 7; Hebr. xii, 26.

VARIÆ LECTIONES.

[52] ἐνέγκ.] Psal. xcv, 7. [53] ὁ Κύριος] Psal. xcvi, 1. [54] ὁ Ἡς.] 2, 21. [55] οὗ ἡ] Hebr. xii, 26. [56] ἔτι a correctore habet A. [57] ὅτι] ὃ pr. A. [58] ἀπαλλάττουσα ς'. [59] φόντος ς'.

NOTÆ.

(52) Isa. ii, 21, ubi *percutere* habet Vulg.
(53) Orat. *De Spiritu sancto* quæ est 37 ad schol. 58. *Vide* et schol. 32, ad orat. 21 apud Bill.

ὡς ἡ τοῦ Πατρὸς καθ' ἑαυτὸν ἀνακήρυξις. Οὐκοῦν συμφερόντως τε καὶ προνητικῶς μόνος ὁ Πατὴρ διὰ τε νόμου καὶ προφητῶν ἐμφανῶς ἐκηρύττετο, μήτε πρόσκομμα τοῖς παχυτέροις παρέχοντος τοῦ κηρύγματος, καὶ τοῖς θεωρητικωτέροις τὴν τοῦ Υἱοῦ ἔννοιάν τε καὶ ὁμολογίαν συνεισάγοντος. Εἰ δὲ πρῶτος ὁ Υἱὸς ἐκηρύττετο, οὐκ ἂν τὸ σοφὸν τῆς οἰκονομίας ὁμοίως προέβαινεν· ἀλλ' οὐδ' εἰ τὸ πανάγιον καὶ ζωοποιὸν Πνεῦμα.

A Deum, pares e nobis ipsis causas non habemus. Neque vero deorum multitudinem horum (54), cum Patre enumeratio sic funditus abolevisset, aut impietati deditis multiplicandorum deorum occasionem eripuisset, ut Patris solitarie sumpti prædicatio. Utiliter igitur ac provide solus Pater per leges et prophetas clare prædicabatur, cum sic nec prædicationis offendiculum aliquod crassioribus præberetur et magis speculativis Filii simul notio atque confessio ingereretur. Ubi si Filius prior prædicaretur, non perinde divinæ Providentiæ sapientia procederet, ut neque si sanctissimus ac vivificus Spiritus.

Τῆς ὁμοίας τοίνυν ἔχεται προνοίας καὶ θεωρίας καὶ τὸ μὴ τὸν Πατέρα σαρκωθῆναι. Πῶς γὰρ ἀνεκτὸν ἀντὶ τοῦ, Υἱός [60] μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, πρὸς τὸν σαρκωθέντα λέγειν· Πατήρ μου εἶ σὺ, σήμερον γεγέννηκάς με; Τί γὰρ οὐκ ἂν πρὸς ἀπόνοιαν ἔπραξε τὸ Ἰουδαίων ἔθνος μετὰ τοῦ καταφυγὴν εὑρίσκειν τῆς τόλμης τὸ τοῦ πράγματος δυσπαράδεκτόν τε καὶ ἀνακόλουθον, εἰ ὁ σαρκωθεὶς ἔλεγε· Πατήρ εἰμι τοῦ Θεοῦ; [616 R.] Πῶς οὐκ ἂν ἐδόκει μῦθος, εἰ τὸν σαρκωθέντα φωνή τις οὐρανόθεν ἐλέγετο καλεῖν· Οὗτός ἐστιν ὁ Πατήρ μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα; ἢ τὸ λέγειν αὐτόν· Ὁ Υἱὸς ἀπέστειλέ με, καὶ μείζων μού ἐστι, καὶ ὅσα ἄλλα τοιαῦτα. Τὰ αὐτὰ δ' ἂν εἴη λέγειν καὶ ἐπὶ τοῦ παναγίου Πνεύματος. Καίτοι γε τὸ [318 H.] πανάγιον Πνεῦμα καὶ γυμνότερον ἢ τὸν Υἱὸν τὸ ἱερὸν γράμμα θεολογεῖ. Καὶ γὰρ φησι περὶ μὲν τοῦ Υἱοῦ· Δεξιὰ [61] Κυρίου ἐποίησε δύναμιν· καί· Τῷ Λόγῳ [62] Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ εἴ τι ἄλλο τοιοῦτον· ἃ νοήματι μὲν συμβαίνει καὶ συνομολογεῖ τῇ σημασίᾳ τοῦ Υἱοῦ, τῆς δὲ κατὰ τὴν φωνὴν οὐκ ἐξίσταται παραλλαγῆς. Ὅρα δὲ τὸ τρανὸν καὶ ἀπαράλλακτον τῆς κατὰ τὸ ἅγιον Πνεῦμα φωνῆς· Τῷ Πνεύματι [63] τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν, καί· Πνεῦμα [64] τοῦ Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καί· Τὸ Πνεῦμά [65] σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, καί· Πνεῦμα [66] Κυρίου ἐπ' ἐμὲ, καί· Πνεῦμα [67] θεῖον τὸ ποιῆσάν με, καί· Ἐξαποστελεῖς [68] τὸ Πνεῦμα, καὶ κτισθήσονται, καὶ μυρία ἄλλα. Τῆς ἀῤῥήτου δὲ καὶ τοῦτο τοῦ Θεοῦ σοφίας, τὸ τὸν μὲν Υἱὸν ἑτεροφώνοις λέξεσι θεολογεῖσθαι, τὸ δὲ Πνεῦμα διὰ τῆς οἰκείας ὀνομασίας. Ὁ μὲν γὰρ Υἱὸς ῥηθεὶς αὐτίκα τὸ αὐθυπόστατον εἰσῆγεν, ὃ τοῖς τὴν πολυθεΐαν νενοσηκόσι πρόφασις ἂν ἐγεγόνει τοῦ ὁραμεῖν πρὸς αὐτὴν ἣν φυγεῖν ἐδιδάσκοντο [69]· τὸ δὲ Πνεῦμα εἰ καὶ τοῖς εὐσεβοῦσιν ὁμοίως αὐθυπόστατον γινώσκεται, ἀλλ' οὖν δύναται τοῖς πολλοῖς καὶ παχυτέροις παρακαλύπτεσθαι ὡς οὐχ ἑτέραν εἰσάγον ὑπόστασιν, καὶ οὐδὲν ἧττον λεγόμενον τὸ τῆς μοναρχίας πρατύνειν προνόμιον. Ὥσπερ γὰρ τὸ λέγειν· Ἠκηδίασε [70] τὸ πνεῦμά μου, οὐ δύο συνεισάγει πρόσ-

Ad eamdem utique hoc etiam providentiam et cognitionem pertinet, quod Pater non sit incarnatus. Quomodo enim tolerari posset, si pro illo, *Filius meus es tu ego hodie genui te a*, ad incarnatum diceret: *Pater meus es tu, hodie genuisti* B *me?* Quid enim non per dementiam designasset Judæorum gens, invento ex re vix credibili ac minime rationi consentanea audaciæ suæ perfugio, si incarnatus diceret: *Pater sum Dei?* Quomodo item hæc non videretur fabula, si aliqua de cœlo vox diceretur appellare incarnatum: *Hic est Pater meus dilectus, in quo mihi complacitum est*, vel ipsemet diceret: *Filius misit me, et major me est*, et quæcunque sunt alia generis ejusdem? Eademque hæc dici possint de Spiritu sancto. Quanquam de hoc planius etiam Scriptura sacra, quam de Filio disserat. De Filio enim dicit: *Dextera Domini fecit virtutem b.* Et: *Verbo Domini cæli firmati sunt c*; et similia alibi, quæ intelligentia quidem quadrant, et consentiunt Filii significationi, C sed non sine vocum abusione. Jam vide expressum et non detortum Spiritus sancti vocabulum: *Spiritus oris ejus omnis* **193***b virtus eorum d.* Et: *Spiritus Domini replevit orbem terrarum e.* Et: *Spiritus tuus bonus deducet me in terram rectam f*; item: *Spiritus Domini super me g.* Sic: *Spiritus Domini fecit me h.* Et alibi: *Emittes Spiritum tuum, et creabuntur i*; aliaque multa. Ubi et hoc ab ineffabili utique Dei sapientia profectum observes, Filium aliis vocibus in theologia, Spiritum vero sanctum suo tantum nomine appellari, *Filii* enim vocabulum prolatum, statim per se existens, suppositum adducit, quod errore in deorum multitudine laborantibus occasionem præbuisset, ad D illum ipsum errorem recurrendi, quem fugere docebantur. Spiritus vero, etsi a piis similiter suppositum per se agnoscitur, vulgo tamen potest et crassioribus ita tegi, quasi non aliam inducat personam, atque nihilominus etiam dum profertur: monarchiæ prærogativam firmare. Ut enim dum dicitur: *Anxiatus est spiritus meus j*, non duas id

a Psal. II, 7. *b* Psal. CXVII, 17. *c* Psal. XXXII, 6. *d* ibid. 8. *e* Sap. I, 7. *f* Psal. CXLII, 10. *g* Isa. LXI, 1. *h* Job XXXIII, 4. *i* Psal. CIII, 30. *j* Psal. CXLII, 4.

VARIÆ LECTIONES.

[60] υἱός] Psal. II, 7. [61] δεξιὰ Psal. CXVII, 17. [62] τῷ λόγῳ] Psal. XXXII, 6. [63] τῷ πνεύμ.] Psal. XXXII, 7. [64] πνεῦμα] Sap. I, 7. [65] τὸ πν.] Psal. CXLII, 10. [66] πνεῦμα] Isa. LXI, 1. [67] πνεῦμα] Job. XXXIII, 4. [68] ἐξάπ.] Psal. CII, 30. [69] ἐδιδάσκετο libri. [70] ἠκηδ.) Psal. CXLII, 4.

NOTÆ.

(54) Filii et Spiritus sancti.

affert personas, sed unitatem peræque relinet personæ, sic et *Spiritus Dei*, dum ab antiquis audiretur pinguiore modo, et ad eum quo in nobis est, nullius hoc idololatriæ scandalum dabat. Propterea itaque Spiritus plane in Veteri Testamento prædicatur. Filius non item, sed per hujusmodi nomina, quæ et ipsa nequeant unitatem hypostaseos dividere, ut illud: *Dei manus*, *Brachium*. *Sapientia*, *Potentia*, *Dextera*, *Verbum*, et quæ sunt generis ejusdem. Ista etenim nec in mortalium natura ipsam unitatem in duo dividunt, aut personam distinguunt. Sicubi vero etiam Filii vocabulum affertur: quando mox ut dicitur *Filius*, differentia significatur personarum; ut in illo: *Filius meus es tu k*; adumbratum hoc et obtectum adducitur. Adjungitur enim: *Hodie genui te*; Et: *Postula a me l*. Quæ humana cum sint, et divinæ minus apta naturæ, Filii appellationem tegunt et adumbrant. Atque in similibus ad eumdem modum.

At, cur tandem etiam *Dextra* et *Verbum*, et *Potestas Patris*, et similia dicitur Filius, non contra Pater Filii? An quia Pater non e Filio, sed Filius e Patre? Ad hæc, manus quidem, brachiumque ac sapientia, et verbum, hominis esse dicuntur, cum homo dexteræ, vel sapientiæ, vel similium nemo dixerit; quemadmodum non rami arborem, sed ramum arboris esse dicimus. **194***a* Spiritus item sanctus *Dei digitus* appellatur *m*. Quando autem digitus manus esse dicitur, convenienter non solum Patris, sed et Filii, quæ paterna est dextera, esse dicitur. Verum non sic vicissim Filius sancti Spiritus. Neque enim manus digiti recte dicatur. Neque vero vel ob hæc solum ab initio expediebat pro Patre Filium, aut Spiritum sanctum enuntiari. Etenim hominum Pater Deus, ut modo referebam, dictus est: *Filium* vero *nostrum* aut *Spiritum* dici Deum, absurdum sane ac minime consentaneum judicatum fuisset. Quamobrem etiam Pater tunc prædicatus, ob familiarem scilicet vocis usum, unam vulgo innuebat, ostendebatque personam. [Quo tempore] si Filius aut Spiritus sanctus prædicatus fuisset, omnino personarum dualitas simul probabatur. Qui enim Filium audisset, statim ad Patrem retulisset, et Spiritum sanctum similiter; cujus enim esset Spiritus, quæreret mens: [ac] quos multorum deorum morbus teneret, incurabiles ex ipsa salutari theologia redderentur. Adde jam dictis, fieri non potuisse, ut quemadmodum Filii, ac Spiritus sancti, sic etiam Patris persona prudenti aliqua ratione absconderetur. Nam quod Spiritus Dei dictus sit *Dextra*, *Sapienta*, *Potestas*, id multiplicatorum deorum insaniam [non difficulter] effugere potuit. Non enim percipit hic vulgus personarum simul differentiam duci. Cum si *Pater*

A ωπα, ἀλλ' οὐδὲν ἧττον τὸ ἐνιαῖον διαφυλάττει τῆς ὑποστάσεως, οὕτω καὶ Πνεῦμα Θεοῦ τοῖς παλαιοῖς παχυτέρως, καὶ ὡς ἐφ' ἡμῶν ἀκουόμενον οὐδεμιᾶς πολυθείας ἐνεδίδου σκάνδαλον. Διὰ τοῦτο τοίνυν τὸ μὲν Πνεῦμα ῥητῶς παρὰ τῇ Παλαιᾷ Διαθήκῃ κηρύττεται, ὁ δὲ Υἱὸς οὐκέτι, ἀλλὰ δι' ὀνομάτων τοιούτων ἃ καὶ αὐτὰ δύναται τὸ ἐνιαῖον μὴ [71] διαιρεῖν τῆς ὑποστάσεως, ὡς τὸ, Χεὶρ Θεοῦ, καὶ Βραχίων, καὶ Σοφία, καὶ Δύναμις, καὶ Δεξιὰ, καὶ Λόγος, καὶ ὅσα τοιαῦτα· καὶ γὰρ καὶ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως ταῦτα τὸ ἐνιαῖον οὐκ εἰς δύο διαλύει, οὐδὲ διαιρεῖ τὴν ὑπόστασιν. Εἰ δέ που καὶ τῆς τοῦ Υἱοῦ φωνῆς ἐμνήσθη, ἐπειδὴ εὐθὺς ὁ Υἱὸς ῥηθεὶς διαφορὰν μηνύει τῶν ὑποστάσεων, ὡς τὸ, Υἱός μου εἶ σὺ, ἐπι-
B σκιαζόμενον καὶ περικαλυπτόμενον τοῦτο προάγει· ἐπάγει γὰρ, Σήμερον γεγέννηκά σε, καί· Αἴτησαι παρ' ἐμοῦ, ἅπερ ἀνθρώπινα ὄντα καὶ τῇ θείᾳ μὴ [72] ἐφαρμόζοντα φύσει τὴν τοῦ Υἱοῦ προσηγορίαν παρεκάλυπτέ τε καὶ συνεσκίαζε. Καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως.

Τί δή ποτε δὲ Δεξιὰ καὶ Λόγος καὶ Δύναμις, καὶ ὅσα ἄλλα, τοῦ Πατρὸς μὲν ὁ Υἱὸς λέγεται, ἀλλ' οὐκ ἔμπαλιν ὁ Πατὴρ τοῦ Υἱοῦ; ἢ διότι ὁ Πατὴρ μὲν οὐκ ἐκ τοῦ Υἱοῦ, ἀλλ' ὁ Υἱὸς ἐκ τοῦ Πατρός. Ἔτι δὲ χεὶρ μὲν, καὶ βραχίων, καὶ σοφία, καὶ λόγος τοῦδε τοῦ ἀνθρώπου λέγεται, ἀλλ' ὁ ἄνθρωπος τῆς δεξιᾶς ἢ τῆς σοφίας ἢ τῶν ὁμοίων οὐκ ἄν ῥηθείη [73], ὥσπερ οὐδὲ τοῦ κλάδου φαμὲν τὸ δένδρον, ἀλλὰ τὸν κλάδον τοῦ δένδρου. Καὶ τὸ Πνεῦμα δὲ δάκτυλος [74] ὀνομάζεται Θεοῦ, [617 R.] καὶ ἐπεὶ ὁ δάκτυλος τῆς χειρὸς, εὐ-
C λόγως οὐ μόνον τοῦ Πατρὸς, [319 H.] ἀλλὰ καὶ τοῦ Υἱοῦ, ἥτις ἐστὶν ἡ πατρικὴ δεξιὰ, λέγεται. Ἀλλ' οὐ τὸ ἀνάπαλιν ὁ Υἱὸς τοῦ Πνεύματος· οὐδὲ γὰρ ἡ χεὶρ ῥηθείη ἂν τοῦ δακτύλου. Οὐκ ἦν δὲ ἄρα οὐδὲ διὰ ταῦτα ἀντὶ τοῦ Πατρὸς τὸν Υἱὸν ἢ τὸ Πνεῦμα κατ' ἀρχὰς συμφέρον καταγγέλλεσθαι. Καὶ γὰρ καὶ ἀνθρώπων Πατὴρ ὁ Θεὸς, ὡς προέφημεν [75], ἐλέγετο· Υἱὸς δὲ ἢ Πνεῦμα ἡμῶν ὁ Θεὸς, τῶν ἀμηχάνων τε καὶ ἀνακολούθων ἐκρίνετο λέγεσθαι. Διὸ καὶ ὁ [76] Πα-
D τὴρ μὲν κηρυττόμενος διὰ τὴν ἐν τῇ συνηθείᾳ κατάχρησιν ἦν παρεδήλου τότε τοῖς πολλοῖς καὶ ὑπεδείκνυε πρόσωπον· εἰ δὲ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα κατήγγελτο, πάντως ἂν τὸ δυαδικὸν συνωμολογεῖτο τῶν ὑποστάσεων· ὁ γὰρ ἀκούων Υἱὸν, εὐθὺς πρὸς τὸν Πατέρα ἀνήγετο. Καὶ τὸ Πνεῦμα ὁμοίως· οὗ γὰρ ἦν Πνεῦμα ἐπεζήτει ἡ διάνοια, οἷς ἡ νόσος τὸ πολύθεον ἀπὸ τῆς σωζούσης θεολογίας ἐλάμβανε τὸ ἀνίατον. Χωρὶς δὲ τῶν εἰρημένων οὐδὲ δυνατὸν ἦν, καθάπερ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, οὕτω καὶ τὸ τοῦ Πατρὸς σοφαῖς μεθόδοις περικαλύπτεσθαι πρόσωπον. Πνεῦμα μὲν γὰρ Θεοῦ ῥηθὲν καὶ Δεξιὰ, καὶ Σοφία, καὶ Δύναμις οἶδεν ἐκφεύγειν τὸ τῆς πολυθείας παλίμφημον· λανθάνει γὰρ τοὺς πολλοὺς διαφορὰν προσώπων συνεπαγόμενον. Πατὴρ δὲ Θεοῦ κηρυχθεὶς, κἂν τὸν γεννηθέντα λάβοις, κἂν τὸ ἐκπορευθὲν, οὐκέτι μὲν λαθεῖν ἔχοι τὸ διά-

k Psal. II, 7. *l* Psal. IX, 10. *m* Exod. VIII, 19; Luc. XI, 20.

VARIÆ LECTIONES.

[71] μὴ om. pr. A. [72] μὴ et mox του add. A. [73] ἂν μὴ ῥηθείη ς. [74] δάκτυλος] Exod. VIII, 19; Luc. XI, 20. [75] ὥσπερ ἔφημεν A. [76] ὁ om. A.

φορον εἰσάγων τῶν ὑποστάσεων, οὐδ' ὅμοιον τοῖς τὸ πολύθεον νοσοῦσι προσφέρειν τὸ ἴαμα. Οὐ μὲν οὖν ἀλλ' οὐδ' εἴπερ ὁ Πατὴρ κατὰ τὸ ἔμπαλιν χεὶρ τοῦ Υἱοῦ ἢ τοῦ Πνεύματος ὠνομάζετο, ὑποκρύπτειν ἑαυτὸν καὶ τὸ δυαδικὸν περικαλύπτειν τῶν προσώπων ἠδύνατο· ἵνα μὴ λέγω ὡς οὐδὲ ῥηθῆναι παντελῶς τὰ εἰρημένα, οὔτε νοῦν οὔτε φύσιν ἔχειν οὐδεὶς ἂν ὑπόθοιτο. Διὰ τί δ' οὖν κατ' ἀρχὰς ἡ Τριὰς οὐχ ἅμα κατήγγελτο; ὅτι καθάπερ τοῖς ὀφθαλμιῶσι τὸ λαμπρὸν φῶς, καίτοι σωτήριον ὄν, ἀθρόον ἐπιβλαβέστατον, οὕτω καὶ τοῖς εἰς τὸ πολύθεον ἀποτυφλωθεῖσιν ἡ τριαδικὴ θεολογία βλαβερὸν ὑπῆρχε καὶ ἐπιζήμιον. Ἀλλὰ ταῦτα μὲν τῷ φιλοθέῳ συγγραφεῖ καὶ ὁ τῶν λόγων ζ' ἐν τρισὶ φιλοπονεῖται κεφαλαίοις, ἃ μετὰ τὸ κς' τὸν ἀκόλουθον ἀριθμὸν ἀναδέχεται.

A *Dei* enuntiatum sit, sive genitum intellexeris, sive eum qui processit, nequaquam jam id, quin personarum discrimen afferat, ignorari amplius possit neque simile remedium idololatriæ labe infectis afferri. Itaque ne tum quidem, si Pater e contrario *Filii*, vel *Spiritus sancti manus* nominaretur, seipsum abscondere, et dualitatem personarum contegere posset : ne hoc dicam, neminem unquam censere potuisse, ut quæ nunc commemoravimus, vel omnino dicerentur, aut sensum aliquem, aut genium habere judicarentur. Quare igitur Trinitas ab initio non evulgata est : quia, quemadmodum laborantibus ex oculis splendidum lucis jubar, etsi salutiferum, maxime noxium est, ita et multorum deorum cultu occæcatis noxia erat Trinitatis theologia, ac perniciosa futura. Verum hæc quidem Dei amans scriptor septimo libro tribus illis graviter pertractat capitibus, quæ post sextum et vicesimum ordine consequuntur.

Τὸ δὲ τριακοστὸν αὐτῷ κεφάλαιον διέξεισιν ὡς ὁ πρῶτος σεισμὸς θεμέλιος τῷ β' γεγένηται, καὶ οὐ μόνον τοῖς κατὰ Μωσέα συνήνεγκε Θεὸν τὸν Πατέρα κηρύξας, ἀλλὰ καὶ τοῖς ἐν τῇ χάριτι. Ἐξ ὧν γὰρ τὸν Θεὸν Πατέρα τῶν ἀνθρώπων νομίζεσθαι ἔδωκεν, ἕκαστος [77] τῶν γνησίως προσανεχόντων Θεῷ Υἱὸς Θεοῦ εἰκότως ἐλέγετο· ἐκ δὲ τούτου θύρα καὶ ὁδὸς τῇ διὰ σαρκὸς οἰκονομίᾳ ὑπανοίγνυται. Διὸ καὶ τὸν Υἱὸν ὁ β' κηρύττων σεισμὸς, ὡς ἤδη συνήθους οὔσης τῆς φωνῆς καὶ ἐπὶ ψιλῶν ἀνθρώπων τίθεσθαι, οὐχ οὕτω τοὺς ἀκούοντας ἐξετάραττεν, ἐκ τῆς χρήσεως τῆς πρώτης Διαθήκης καταλελαυθέντας τὰς ἀκοὰς, καὶ οὐκέτι πρὸς τὴν φωνὴν σφῶν ἐμεμήνεσαν, ὥσπερ ἐμαίνοντο ἄν, εἰ μὴ συνήθης αὐτοῖς ἀπὸ τῆς Παλαιᾶς ἐγεγόνει Διαθήκης. Ὥσπερ δὲ ἐπὶ τῆς νομικῆς πολιτείας τὸ κηρύττεσθαι τὸν Υἱὸν λαμπρῶς ἢ τὸ Πνεῦμα, δι' ἃς αἰτίας προείπομεν, [320 H.] τοῖς ἔτι τὰς οὐλὰς τῆς πολυθέου πληγῆς ἐν ἑαυτοῖς φέρουσιν, [620 R.] οὕτω δὴ καὶ τὸ σαρκωθῆναι μὲν τὸν Πατέρα ἢ τὸ Πνεῦμα, συνεσκιάσθαι δὲ καὶ λαβεῖν ἰσχὺν εἰς τὸ λαθεῖν, ὃν τρόπον ἐπὶ τοῦ Υἱοῦ, ἀδύνατον ἦν. Εἰ γὰρ καὶ κοινῆς οὔσης καὶ τετριμμένης τῆς τοῦ Υἱοῦ προσηγορίας ὅμως τὸν Υἱὸν σάρκα λαβόντα, ὅτι Θεοῦ Υἱὸν (ὅπερ ἦν) ἔλεγεν ἑαυτὸν, καὶ κρημνοῖς ἐξῶσαι καὶ ῥαπίσμασι βαλεῖν [78] καὶ τὸ τελευταῖον σταυρῷ ἀναρτῆσαι ἐξεμάνησαν, τί οὐκ ἂν ἐποίησαν καὶ αὐτοὶ καὶ οἱ μαθηταὶ δούλου μορφὴν ὁρῶντες, εἰ ὁ σαρκωθεὶς ἔλεγεν, Ἐγώ εἰμι ὁ Πατὴρ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον; ὥστε τὸ πᾶν τῆς οἰκονομίας θεοπρεπῶς τε καὶ ὑπὲρ λόγον καὶ ἔννοιαν διεπραγματεύθη, καὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀπειργάσατο.

B Tricesimum vero caput persequitur, ut primus motus terræ fundamentum alterius fuerit, utque non solum iis qui sub Mose vixerunt, Deum Patrem **194***b* prædicando profuerit, sed et qui tempore gratiæ. Postquam enim effecit ut Deus hominum Pater crederetur : mox etiam quicunque in Deo fiduciam collocaret, merito *Dei Filius* appellatur. Unde patefacta janua, et via aperta est ad incarnationem cognoscendam. Quam etiam ob causam dum Filium secundus ille terræ motus prædicaret (quod jam consuetum esset hanc vocem de meris quoque hominibus usurpare), non sic auditores turbabat prioris Testamenti usu mitigatis auribus, ut non amplius sic vocis hujus occasione insaniverint, quemadmodum insanivissent, nisi usitata illis per Vetus Testamentum esse cœpisset. Quem enim ad modum sub lege Filii aut Spiritus aperta promulgatio, ob eas, quas antea causas diximus, noxia fore videbatur iis, qui adhuc cicatrices inflicti a deorum multitudine vulneris gerebant. Sic certe Patrem vel Spiritum sanctum incarnari, umbraque tegi, et latendi accipere facultatem (ut in Filio factum) impossibile fuisset. Nam si tum quoque, cum Filii appellatio communis esset, atque usu trita, ipsum tamen Filium carne indutum quia *Dei Filium* (quod erat) seipsum dixit *n*, ex editiori loco præcipitare, et alapis excipere *o*, ac tandem cruci furiose affigere aggressi sunt, quod non fecissent et ipsi, et discipuli, [solam] servi videntes formam, si incarnatus dixisset : *Ego sum Pater*, vel *Spiritus sanctus?* Ergo divinitus, et supra quam dici ac cogitari possit, universa mundi gubernatio una cum hominum salute procurata est.

C

D

Κατ' ἀρχὰς μέντοι ὁ Λόγος οὐ σεσάρκωται καὶ δ' ἄλλας μὲν αἰτίας, καὶ διότι οὐκ ἔδει εὐθὺς τὸ μέγιστον τῶν φαρμάκων τοῖς νοσοῦσι προσένεγκεῖν,

Attamen mox ab initio Verbum incarnatum non est, cum aliis de causis, tum idcirco quod non oporteret statim maximum medicamentum morbi-

n Luc. IV, 29. *o* Marc. XIV, 65; Joan. XIX, 3.

VARIÆ LECTIONES.

[77] ἕκαστον ς. [78] βαλεῖν corr. A : λαβεῖν ς.

dis afferre, sed quæ vim haberent paulatim morbum abigendi. Ad hæc, ab initio Verbum incarnatum, non modo quantam in fine temporum, adventu suo utilitatem [non] præbuisset, sed incitamentum potius idololatris ad errorem judicatum fuisset. Nam si, cum Græci rerum potirentur, similibus affectionibus obnoxios homines tam facile in Dei evehebant dignitatem, quomodo scientes in carne Verbum apparens, tanquam Deum celebrari, non statim inde fictorum a se deorum exempla peterent, iisque, qui conarentur ab hoc errore avellere, non promptissime exprobrarent, illos ipsos, qui reprehenderent hominem æque pro Deo prædicare ac venerari. Propterea enim quo tempore Græci deos fabricarent, **195***a* Patris quoque unitas prædicata est. [Ne item dicerent : Si distulisset, suis se viribus humanum genus salvare potuisset, atque ita summa gratia fuisset ingratis summum ingrati animi vitium. Etsi nihil etiam ab initio vetuisset, salutis loco contentionum amantes homines, sic rursum dubitare : Cur non in fine, sed in principio : aut, cur non in medio temporum cursu, sed in principio Verbum incarnatum est ? ita in se mutuo quæstiones secundum triplicem temporum differentiam torquentes.] Oportebat itaque primum illa evacuari, et ea quidem prædicatione, quæ Patrem solum annuntiaret : deindeque deorum effingendorum errore e memoria sublato, verum Deum in carne manifestari. Sic igitur se habet hæc de Verbi in temporis plenitudine incarnatione ratiocinatio. Et quemadmodum primus ille terræmotus per contrarias rationes deorum multitudini medicinam fecit, dum personarum discrimen texit, ita in novissimis quoque temporibus cum Judaica opinio, in unam personam lege ac tempore corroborata, deorum multitudinem profligasset, et divinitus tunc Dei Filius ac benigne carnem assumpsit, et Trinitatis mysterium paulatim detexit.

A ἀλλὰ τὰ ἐπ' ἔλαττον ἐλαύνειν τὴν νόσον δύναμιν ἔχοντα. Ἔτι δὲ καὶ ὅτι κατ' ἀρχὰς σαρκωθεὶς ὁ Λόγος οὐ μόνον [79] παρεῖχεν ἴσην ὥσπερ ἐπὶ τέλει παραγεγονὼς τὴν ὠφέλειαν, ἀλλὰ καὶ παράκλησις μᾶλλον τοῖς εἰδωλολατροῦσι πρὸς τὴν πλάνην ἐνομίζετο. Εἰ γὰρ, ὅτε παῖδες Ἑλλήνων ἐπέστη [80], τοὺς ὁμοιοπαθεῖς ἀνθρώπους εἰς τὸ τοῦ Θεοῦ ῥᾳδίως ἀνεβίβαζον ἀξίωμα, τῶν ἂν, εἰδότες σαρκὶ τὸν Λόγον φαινόμενον καὶ Θεὸν ὑμνούμενον, οὐχὶ τῶν παρ' αὐτοῖς πεπλασμένων θεῶν ἐκεῖθεν εἶλκον τὰ παραδείγματα, καὶ τοὺς μέλλοντας αὐτοὺς τῆς πλάνης ἀποσπᾷν εὐχερῶς οὐκ ἂν ἀντωνείδιζον, ἄνθρωπον καὶ αὐτοὺς τοὺς αἰτιωμένους Θεύντευμνεῖν καὶ σέβεσθαι, Διὰ τοῦτο γὰρ τότε τῶν Ἑλλήνων ἀνθρώπους θεοποιούντων καὶ ἡ τοῦ Πατρὸς μονὰς ἐκηρύττετο [81]. Οὐκοῦν ἔδει μὲν B ἐκεῖνα πρῶνον [ἀργῆσαι, ἔδει] καταργηθῆναι διὰ τοῦ κηρύγματος, ὃ τὸν Πατέρα μόνον κατήγγελλεν· εἶθ' οὕτω λήθῃ δοθείσης τῆς θεοποιοῦ πλάνης τὸν ἀληθῆ Θεὸν ἐν σαρκὶ φανερωθῆναι. Οὕτω μὲν οὖν ὁ λόγος τῆς ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ Λόγου σαρκώσεως. Καὶ καθάπερ ὁ πρῶτος σεισμὸς διὰ τῶν ἐναντίων ἴασατο τὸ πολύθεον ἐπικρυψάμενος τῶν ὑποστάσεων τὸ διάφορον, οὕτω [82] καὶ ἐν ἐσχάτοις καιροῖς, τῆς Ἰουδαϊκῆς δόξης εἰς ἓν πρόσωπον νόμῳ καὶ χρόνῳ κρατυνθείσης καὶ περιελούσης τὸ πολύθεον, ὁ Υἱὸς τηνικαῦτα θεοπρεπῶς τε καὶ φιλανθρώπως καὶ σάρκα λαμβάνει καὶ τὸ τῆς Τριάδος κατὰ μικρὸν ἀνακαλύπτει μυστήριον.

31. Addit istis sapienter omnino Salvatorem, C verbis quidem humilibus utendo, divinitatis abscondisse radium, sed per illius opera effecisse, ut omnipotentis virtutis majestas effulgeret, ac per hæc eadem prædicari videretur. Atque hinc etiam, ait, dicebat : *Verba quæ ego loquor, a meipso non loquor ; Pater autem in me manens, ipse fecit opera p. Credite mihi* (56), *quia ego in Patre, et Pater in me est : alioquin propter opera ipsa credite.* Duas autem has ob causas verborum humilitatem adhibuit ; primum quidem ad Judæorum effervescentem invidiam mitigandam ; deinde vero ut nobis quoque humilitatis exemplum ipsomet facto exprimeret ; tertio etiam, quia verborum splendor non omnino D actiones simul emicare facit, cum tamen naturam

Ἐπάγει δὲ τούτοις ὡς πανσόφως ὁ Σωτὴρ τοῖς μὲν ῥήμασιν ἐταπεινολογεῖτο καὶ τὴν τῆς θεότητος συνέστελλεν αὐγήν, τοῖς ἔργοις δὲ ταύτην [83] παρεσκεύαζεν ἀστράπτειν, καὶ δι' αὐτῶν εὐδόκει [84] κηρύττεσθαι τῆς παντοκρατορικῆς δυνάμεως [321 H.] τὸ ἀξίωμα. Διὸ καὶ ἔλεγε, Τὰ ῥήματα [85] ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ Πατρὶ [621 R.] καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Διὰ δύο δὲ ταύτας αἰτίας τὸ ταπεινὸν τῶν ῥημάτων ὑπήργετο· μίαν μὲν, τὸν φθόνον τῶν Ἰουδαίων καταπραΰνων φλεγμαίνοντα· δευτέραν δὲ, καὶ ἡμῖν ὑπογραμμὸν ταπεινοφροσύνης ἔργῳ διατυπῶν· καὶ τρίτην, ὅτι ἡ τῶν ῥημάτων λαμπρότης οὐ πάντως ποιεῖ συνεξ-

p Joan. xiv, 10.

VARIÆ LECTIONES.

[79] οὐ μόνον) alteram negationem addit Schottus. [80] ἐπέστη AC : ἐπέστησαν ς. [81] post ἐκηρύττετο hæc addit mg AC. : καὶ ἵνα μὴ λέγοιεν, εἰ ἀνέμεινεν, αὐτὸ ἂν ἑαυτὸ τὸ ἀνθρώπινον ἀνεσώσατο, καὶ ἦν ἂν ἡ ἀνυπέρβλητος χάρις τοῖς ἀγνώμοσιν ὑπερβαλλούσης ἀχαριστίας ὑπόθεσις. Καὶ εἰ κατ' ἀρχὰς, οὐδὲν ἐκώλυε (ἐκώλυσε A) τοῖς ἀντὶ τῆς σωτηρίας τὸ φιλόνεικον ζητοῦσι πάλιν διαπορεῖν διὰ τί μὴ κατὰ τὸ τέλος, ἀλλὰ κατ' ἀρχὰς, καὶ διὰ τί μὴ κατὰ τὸ μέσον, ἀλλ' ἐν ἀρχῇ ἐσαρκώθη, καὶ κατ' ἀλλήλων τρέπειν τὰς ἀπορίας ἀπὸ τῆς κατὰ τὸν χρόνον τριττῆς διαφορᾶς. [82] οὕτω] malim οὕτος. [83] ταύτης ς. [84] εὐδόκει apographum Stephani : ἐδόκει ς. [85] τὰ ῥήματα] Joan. xiv, 10.

NOTÆ.

(55) Hæc uncis inclusa verba in duobus duntaxat mss. legebantur.
(56) Vulg. *Non creditis ?*

αστράπτειν καὶ τὰ πράγματα, ἡ δὲ τῶν ἔργων ὑπερφυὴς καὶ θεοπρεπὴς ἐπίδειξις καὶ τῶν ῥημάτων συνανυψοῖ τὴν εὐτέλειαν.

A excedentium et divinorum operum patratio, verborum una secum humilitatem extollat.

Ἐνταῦθα δὲ καὶ ῥητοῦ τινος εὐαγγελικοῦ [86] ἀναπτύσσει διάνοιαν τοῦ λέγοντος, Τί [87] ἐστιν εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ Ἔγειραι [88] καὶ περιπάτει; Εὐκοπώτερον δέ φησιν εἶναι τὸ πρωτον, ὅτι τὸν μὲν ἀφέωνται οὐκ ἔχει τὴν τῶν ῥημάτων πρόφορὰν ὡς ἐξ ἰδίας ἐξουσίας προφερομένην καὶ προστάγματος (οὐδὲν γὰρ κωλύει καὶ τὸν μὴ ὄντα τῆς ἀφέσεως Κύριον εὐαγγελίσασθαι ταύτην), τὸ δὲ, Ἔγειραι καὶ περιπάτει Δεσποτικῆς ὅλον προστάξεως ἥρτηται, ἄλλως τε δὲ καὶ ὅτι τὸ Ἔγειραι καὶ περιπάτει, ἀδιάβλητον φέρον ἔργοις τὴν αὐθεντείαν [89], καὶ τὴν ἄφεσιν συμπεριεῖχεν. Ὁ γὰρ δοὺς τὴν χάριν τοῦ βαδίζειν δηλονότι καὶ τῶν, ὑπὲρ ὧν κατείχετο τῇ νόσῳ, πλημμελημάτων τὴν ἄφεσιν συναπεδίδου. Δεσπότου δὲ φιλανθρώπου καὶ τὴν μάστιγα τοῖς ἁμαρτάνουσιν ἐπαφεῖναι; καὶ τῆς πληγῆς μετὰ τοῦ πταίσματος τὸν πληγέντα ἀπαλλάξαι. Εἰδὼς δὲ τὸ ἔργον καὶ τὴν ἄφεσιν τῶν ἡμαρτημένων πιστούμενον καὶ τὴν δεσποτείαν τοῦ ἀφιέντος ἐπιδεικνύμενον, ἐπάγει [90]. Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ἐξῆς. Ἀναγκαῖον δὲ ἦν τὸ ἐπισκιάζεσθαι τὸ μυστήριον τῆς τοῦ Λόγου σαρκώσεως διά τε τὸ γενέσθαι τοῖς ἀκροωμένοις εὐπαράδεκτον, καὶ ἵνα λάθῃ [91] τοῦ σκότους τὸν ἄρχοντα. Φησὶ γὰρ ὁ θεοφόρος Ἰγνάτιος τρία λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, τὴν Παρθενίαν Μαρίας, τὴν Σύλληψιν τοῦ Κυρίου, καὶ τὴν Σταύρωσιν. Λέγει δὲ καὶ ὁ θεσπέσιος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὡς Εἰ [92] ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

Porro hoc loco dicti cujusdam evangelici sensum, exponit: *Quid est facilius dicere: Dimittuntur tibi peccata tua, an dicere: Surge et ambula q?* Facilius autem primum esse dicit, quoniam illud, *Dimittuntur*, non eam habet verborum pronuntiationem, quasi ex propria auctoritate proprioque imperio proferretur. Nihil enim prohibet ab illo etiam, qui ejus nequaquam sit dominus, remissionem annuntiari. At: *Surge et ambula*, totum a Dominico pendet imperio. Præsertim cum illud **195***b* *Surge et ambula*, irreprehensibilem rebus ipsis afferendo auctoritatem, ipsam quoque remissionem complecteretur. Qui enim ambulandi gratiam donabat, idem nimirum peccatorum etiam, ob quæ morbo illo tenebatur, remissionem conferebat: perhumani enim Domini est, et flagellum peccatoribus inferre, et flagellatum tam a plaga, quam ab ipsomet peccato liberare. Sciens autem opus hoc non remissionem tantum delictorum confirmaturum, sed potestatem quoque dimittentis ostensurum, addit: *Ut autem sciatis, quia Filius hominis habet potestatem in terra dimittendi peccata*, etc. Cæterum necesse erat incarnationis Dominicæ mysterium velut umbra tegi, cum ut ab audientibus cupidius acciperetur, tum ut id tenebrarum princeps ignoraret. Nam tria divinus Ignatius *r* sæculi hujus principem latuisse commemorat, Virginitatem Mariæ, Conceptionem Domini, et Cruci affixionem Christi. Affirmat quippe divus Paulus de principibus sæculi hujus: *Si cognovissent, nunquam Dominum gloriæ crucifixissent s.*

Ταῦτα εἰπὼν ἐπιφέρει ὡς ἡ μὲν ἀΐδιος καὶ ὑπεράρχιος Τριὰς ἀεί ἐστι καὶ ὡσαύτως Τριάς, Πατὴρ Υἱὸς καὶ Πνεῦμα ἅγιον, ἀλλ' ὑπὲρ ὃ νοοῦμεν ἢ λαλοῦμεν, Πᾶν γὰρ ὃ λέγομεν περὶ θεοῦ ἢ νοοῦμεν, ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων τε καὶ ῥημάτων τὰ περὶ αὐτῆς [93] ἀναλόγως καὶ λέγομεν καὶ νοοῦμεν. Ἰσότιμος δὲ καὶ ἰσοσθενὴς ἡ παναγία Τριὰς, πάντα πρὸς τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦσα, καὶ ὅσα θεολογεῖν αὐτὴν δυναμούμεθα [94], αὐτὴ ταῦτα φιλανθρώπως ἡμῖν χαριζομένη πάλιν προσίεται. Διὸ κατ' ἀρχὰς μὲν, ὡς εἴρηται, διὰ τὸ πολύθεον ἡ θεία Γραφὴ συγκαταβαίνουσα, οὐχ ὡς ἔχει φύσεως ἢ τάσεως ἡ Τριὰς, ἀλλ' ὡς ἡμῖν [322 H.] εὐπαράδεκτον παραδιδοῦσα, τὸν Πατέρα λαμπρῶς καταγγέλλει, εἶτα τὸν Υἱὸν κατὰ τὸν δεύτερον σεισμὸν, ἐν ᾧ καὶ τὴν γνῶσιν τοῦ Πνεύματος συμπαραλαμβάνομεν, οὐ μὴν τήν γε τελείαν· αὕτη γὰρ ἐν τῷ μέλλοντι αἰῶνι καὶ τῷ τελευταίῳ σείσμῳ παραγίνεται, τῆς Τριάδος ὅλης τρανότερον ἡμῖν [624 R.] ἐμφανιζομένης τε καὶ ἀνακαλυπτομένης. Εἰ γὰρ καὶ τοῦ Πνεύμα-

32. Hæc ubi dixit, infert sempiternam ac summam Trinitatem semper esse, et similiter Trinitatem, Patrem nimirum, et Filium, et Spiritum sanctum, sed supra omne, quod aut cogitamus, aut loquimur. Quandocunque enim de Deo loquimur aut cogitamus, ex nostris verbis ac rebus ea quæ ad ipsam Triadem spectant, proportione quadam, et dicimus et cogitamus. Sanctissima etenim Trinitas, dignitate ac potentia æqualis, omnia quæ ad nostram salutem faciunt provide operata est: quæque theologice de ipsa speculari possimus, hæc illa nobis, benigne gratificans, identidem admittit. Propterea quidem a principio, ut diximus (ob deorum scilicet multitudinem) sacra Scriptura nobis condescendens, non ut natura aut dignitas Trinitatis se habet, sed quatenus a nobis facilius capi potest eam tradendo, perspicue Patrem indicat. In altero deinde terræmotu Filium, in quo et Spiritus sancti cognitionem, etsi minus perfectam, simul accipimus. Hæc enim in futuro sæculo, et ultimo illo accedit

q Matth. IX, 5. *r* Epist. 3. *s* I Cor. II, 8.

VARIÆ LECTIONES.

[86] εὐαγγελικὴν ς. [87] τί] Matth. IX, 5. [88] hic et inf. ἔγειρε ς. [89] αὐθεντίαν ς. [90] ἐπάγει δὲ ἵνα ς. [91] λάθῃ post ἄρχοντα ponit ς. [92] εἰ] I Cor. II, 8. [93] αὐτῆς] nonne αὐτοῦ? [94] δυνάμεθα ς.

terræ-motu, quo tota nobis Trinitas manifestius apparebit ac revelabitur. Etsi enim Spiritus arrham habemus, ut vas electionis testatur *i* **196***a* nondum tamen ad perfectionem spiritalis status pervenimus. Ipsum etenim arrhæ nomen signum quidem perfecti doni est: at non ipsum donum. Idem etiam alibi pignus futuræ hæreditatis esse Spiritum prædicat, et primitias æternorum bonorum *u*, Quare perfectionem Spiritus nonnisi post redemptionem corporis suscipimus.

Jam quando qui apud homines cum pater, tum filius dicitur, per conjugii societatem declaratur atque cognoscitur, propterea præsentis vitæ duos terræmotus, alterum pertinere ad Patrem, alterum ad Filium, vaticinia tradunt. Rursus cum Spiritus sanctus, etiam ut apud nos est, corporum transcendat crassitudinem, merito ubi cessaverint conjugia, excelsior illa et illustrior vita (vita hæc resurrectionis est: *In resurrectione enim neque nubent neque nubentur* *v*), proprie attribuatur Spiritui. Illius autem vitæ tempore, in qua patres filios progenerant, Deum Patrem ordine Filio præpositum cognosci oportebat, non quod Trinitas ordinem aliquem exigeret (quis enim ibi ordo sit, ubi æqualitas immutabilis viget?): sed quod per eum ordinem, qui in ipsa ex apta dispositione est, a liberis parentes honorari hortaretur. Spiritus quoque dignitatem sacra Scriptura extollens, universam Trinitatem *Spiritus* nomine appellat. Quale illud: *Spiritus est Deus: et eos qui adorant eum, in spiritu et veritate oportet adorare* *x*. Hoc item: *Omnes peccatum remittetur hominibus: ei autem qui blasphemaverit in Spiritum sanctum, non remittetur* *y*, de tota divinitate acceptum, cum prædicto scopo quadrat. Illa quoque per speculum et in ænigmate cognitio supernaturalis in Triade deitatis, per Spiritum nobis in futuro perficitur. Sic enim hic motus ad Spiritum sanctum, quemadmodum duorum præcedentium alter ad Patrem, alter ad Filium refertur. Qui autem ordine primus est terræ motus, extremus idem dignitate et utilitatis magnitudine est. Manifestam enim gratiam multo esse lege [antiqua] majorem et utiliorem. Verum et secundus minor est tertio, siquidem *Nunc videmus per speculum et in ænigmate: tunc autem facie ad faciem* *z*. Quare etiam, *Cum venerit quod perfectum est, evacuabitur quod ex parte est* *a*. Et considera [quæso] divina operantis Providentiæ **196***b* sapientissimam et æqualem trutinam. Videbatur Pater priscis illis præcipuam dignitatem obtinere: rursumque Filius in nova lege quibusdam minorem, at multis æqualem: Spiritus vero sanctus multis minorem, paucis æqualem. Ut igitur ex hominum opinione orta inæqualitas ad æqualitatem reduceretur, primus ille

τος τὸν ἀῤῥαβῶνα, ὡς τῆς ἐκλογῆς ἐπιμαρτύρεται [95] τὸ σκεῦος, ἔχομεν, ἀλλ' οὐκ εἰς τὴν τελειότητα τῆς πνευματικῆς ἐφθάσαμεν καταστάσεως. Καὶ γὰρ καὶ αὐτὸ τὸ τοῦ ἀῤῥαβῶνος ὄνομα σύμβολον μέν ἐστι τοῦ τελείου δώρου, οὐ μὴν αὐτό γε τὸ δῶρον. Καὶ πολλαχοῦ [96] ἀῤῥαβῶνα [97] τῆς μελλούσης κληρονομίας τὸ Πνεῦμα ὑμνεῖ καὶ ἀπαρχὴν [98] τῶν αἰωνίων ἀγαθῶν, ὥστε τὴν τελειότητα τοῦ Πνεύματος μετὰ τὴν ἀπολύτρωσιν τοῦ σώματος ὑποδεχόμεθα.

Ἐπειδὴ δὲ ὁ κατὰ τὸ ἀνθρώπινον γένος λεγόμενος καὶ πατὴρ καὶ υἱὸς κοινωνίᾳ γάμου ἀναφαίνεται καὶ γνωρίζεται, διὰ τοῦτο τοῦ παρόντος βίου τοὺς δύο σεισμούς, τὸν μὲν πρότερον ἀνήκειν τῷ Πατρὶ, τῷ Υἱῷ δὲ τὸν δεύτερον τὰ Λόγια παραδίδωσι. Πάλιν ἐπειδὴ τὸ Πνεῦμα καὶ τὸ παρ' ἡμῖν σωμάτων ὑπερβαίνει παχύτητα, εἰκότως ὁ τῶν γάμων πεπαυμένων ἀνακύπτων τε καὶ ἀναλάμπων βίος (οὗτος δὲ ὁ τῆς ἀναστάσεως ἂν εἴη· Ἐν γὰρ [99] τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, οἰκείως ἂν ἀφορισθείη τῷ Πνεύματι. Ἔδει δὲ τὸν βίον, ἐν ᾧ πατέρες παῖδας φύουσι, τὸν Θεὸν καὶ Πατέρα προτεταγμένον γινώσκεσθαι τοῦ Υἱοῦ, οὐ τῆς Τριάδος τὴν τάξιν ἀπαιτούσης, (ποῦ γὰρ τάξις, ἔνθα τὸ ἴσον ἀπαράλλακτον;) ἀλλὰ διὰ τῆς ἐν αὐτῇ κατ' οἰκονομίαν τάξεως τοὺς πατέρας τιμᾶσθαι παρὰ τῶν παίδων παραινούσης. Καὶ τὸ ἀξίωμα δὲ τοῦ Πνεύματος ἡ ἱερὰ ἐπαίρουσα Γραφὴ ὅλην τὴν Τριάδα τῇ τοῦ Πνεύματος ἐξονομάζει φωνῇ, ὡς τὸ, Πνεῦμα [1] ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Καὶ τὸ, Πᾶσα [2] ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημοῦντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται, ἐπὶ τῆς θεότητος ὅλης ἐκληφθὲν σύμφωνον ἂν εἴη τῷ προειρημένῳ σκοπῷ. Καὶ ἡ ἐν ἐσόπτρῳ δὲ γνῶσις καὶ ἡ ἐν αἰνίγματι τῆς ὑπερφυοῦς ἐν Τριάδι θεότητος εἰς τὸ τέλειον διὰ τοῦ Πνεύματος ἡμῖν ἀποκαθίσταται κατὰ τὸν μέλλοντα· καὶ γὰρ οὗτος [3] τῷ παναγίῳ Πνεύματι, ὥσπερ τῶν πρὸ αὐτοῦ δύο σεισμῶν ὁ μὲν τῷ Πατρὶ, ὁ δὲ τῷ Υἱῷ ἀναφέρεται. Ἔστι δὲ δηλονότι ὁ μὲν τῇ τάξει πρῶτος σεισμὸς, ἔσχατος τῷ τε ἀξιώματι καὶ τῇ τῆς ὠφελείας μεγέθει· δῆλον γὰρ ὡς ἡ χάρις πολλῷ τοῦ νόμου μείζων τε καὶ λυσιτελεστέρα. Ἀλλὰ καὶ ὁ δεύτερος ἐλαττοῦται τοῦ τρίτου, εἴγε νῦν μὲν Ἐν ἐσόπτρῳ [4] βλέπομεν καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Διὸ καὶ, Ὅταν ἔλθῃ τὸ τέλειον, καταργηθήσεται τὸ ἐκ μέρους. Καὶ σκόπει τῆς θεουργοῦ [5] Προνοίας τὸν πάνσοφόν τε καὶ ἁῤῥεπῆ ζυγόν. [323 H.] Ὁ Πατὴρ ἐδόκει τοῖς πάλαι τὸ μεῖζον ἔχειν, ὁ Υἱὸς δὲ πάλιν κατὰ τὴν νέαν ἐνίοις μὲν τὸ ἔλαττον, τοῖς πολλοῖς δὲ τὸ ἴσον· τὸ δὲ ἅγιον Πνεῦμα τοῖς πολλοῖς μὲν τὸ ἔλαττον, ὀλίγοις δὲ τὸ ἴσον. Ἵνα οὖν τὸ ἄνισον τὸ ἀπὸ τῆς τῶν

i II Cor. I, 22. *u* Ephes. I, 14; Rom. VIII, 23. *v* Matth. XXII, 30. *x* Joan. IV, 24. *y* Matth. XII, 31; Marc. III, 29; Luc. XII, 10. *z* I Cor. XIII, 12. *a* ibid. 10.

VARIÆ LECTIONES.

[95] ἐπιμαρτ.] II Cor. I, 22. [96] πολλαχοῦ] ἀλλαχοῦ Hœschelius. [97] ἀῤῥαβ.] Ephes. I, 14. [98] ἀπαρχὴν] Rom. VIII, 23. [99] ἐν γὰρ] Matth. XXII, 30. [1] πνεῦμα] Joan. IV; 24. [2] πᾶσα] Matth. XII, 31. [3] οὕτως ς. [4] ἐν ἐσόπτρῳ] I Cor. XIII, 12. [5] θεουργοῦ] δημιουργοῦ pr. A.

ἀνθρώπων ὑπολήψεως εις ἰσότητα ἐπαναχθῇ, ὁ μὲν πρῶτος σεισμὸς, ὃς ἀφώριστο τῷ Πατρὶ, τὸ ἔλαττον ἔσχεν, ὁ δὲ δεύτερος, ὃς ἦν τῷ Υἱῷ, τὸ ἐκείνου μεῖζον, καὶ ὁ τοῦ Πνεύματος ἀμφοῖν ὑπερέχον. Καὶ ὅρα σαφῶς ὅπως ἡ ἐν ταῖς τῶν ἀνθρώπων δόξαις ἀνισότης διὰ [6] τῆς τῶν τριῶν καιρῶν ἀνισότητος εἰς ἀρρεπεστάτην τε καὶ θαυμασίαν συνεβιβάσθη ἰσότητα, [625 R.] τῆς τριαδικῆς θεαρχίας ὥσπερ αὐγήν τινα παραδεξαμένη [7] καὶ ἔλλαμψιν. Ὅτι δὲ ἡ ἐν Τριάδι τάξις τὴν τῶν πολλῶν οἰκονομίαν στοχάζεται, ἀλλ' οὐκ ἀπὸ τῆς ὑπερφυοῦς ἐκείνης καὶ ἀῤῥήτου βλαστάνει φύσεως, ὁ τῶν ἀποῤῥήτων μύστης διδάσκει, ὃς καὶ τὸν Υἱὸν καὶ Πνεῦμα θεόληπτον μύησιν ἔσχεν ἐνίοτε τοῦ Πατρὸς προτάττειν· Διαιρέσεις [8] γὰρ χαρισμάτων εἰσὶ, καὶ τὸ αὐτὸ, φησὶ, Πνεῦμα· διαιρέσεις δὲ διακονιῶν, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, καὶ ὁ αὐτὸς Θεός. Καὶ πρὸς Γαλάτας [9]· Παῦλος ὁ ἀπόστολος, οὐκ ἀπ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός. Ὥστε τὸ προτάττεσθαι καὶ ὑποτάττεσθαι τὰ [10] τῆς θεαρχικῆς Τριάδος καὶ πᾶσαν τάξιν καὶ πάντα λόγον ὑπερεχούσης ὀνόματα οὐχ εἰρμόν τινα φυσικὸν διασώζει τάξεως, ἀλλὰ πρὸς τὴν τῶν ἀκροατῶν σωτηρίαν οἰκονομεῖται καὶ διαποικίλλεται. Ταῦτα μὲν οὖν [11] ὁ κλεινός τε καὶ τῶν θείων μαθημάτων διάπυρος ἐραστὴς κατὰ τὸ λα' τε καὶ β' κεφάλαιον φιλοπονησάμενος ἐπραγματεύσατο.

Ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ αἰτίας τίθησι δι' ἃς ἡ Παλαιὰ καὶ Νέα Διαθήκη τῷ δυσλήπτῳ τε καὶ δυσερμηνεύτῳ ποικίλλεται, εἰ καὶ μᾶλλον μὲν ἡ Παλαιά, ἧττον δὲ τὰ τῆς χάριτος. Καὶ ἐπὶ μὲν τοῦ Μωσαϊκοῦ γράμματός φησιν ὅτι, ἐπεὶ τύπος ἦν καὶ σκιὰ τῶν μελλόντων ἀγαθῶν, εἰκότως ὡς ἐν σκιᾷ τε καὶ τύπῳ καὶ αὐτὰ [12] τὰ ῥήματα καὶ τὴν τῶν ῥημάτων συνθήκην προβάλλεται, δι' ὧν κρατεῖ ἡ ἀσάφεια. Πλήν γε κατὰ τὰς διπλᾶς τῆς νομοθεσίας πλάκας διπλῆν καὶ τὴν χρείαν παρέχεται, τοῖς μὲν ἀναβεβηκόσι τὸν νοῦν τὴν αἴγλην ἔσωθεν ἀπαστράπτοντα [13] τὴν τοῦ Πνεύματος, τοὺς δὲ παχυτέρους ψυχαγωγοῦντα τῇ σκιαγραφίᾳ τοῦ γράμματος. Ἐκέκρυπτο δὲ τὰ μέλλοντα ἀγαθὰ, ὧν ἡ τῆς Τριάδος γνῶσις τὸ κεφάλαιον, δ' ἃς αἰτίας πολλάκις ἀποδεδώκαμεν, λέγω δὴ διά τε τῶν ἀκροατῶν τὸ ἀσθενὲς καὶ διὰ τὸ λαθεῖν τὸν ἄρχοντα τοῦ σκότους, καὶ τρίτον ἵνα ἐκ μέσου παντελῶς ἀρθῇ τὸ πολύθεον, μηδεμιᾶς προφάσεως τοῖς πεπλανημένοις τε καὶ ἀμαθεστέροις ἐκ τοῦ τὴν Τριάδα κηρύττεσθαι σαφῶς καὶ χωρὶς παρακαλυμμάτων ὑπολειπομένης πρὸς πλάνησιν. Καὶ ἔοικε τὰ ἱερὰ Γράμματα χρυσίτιδι γῇ, ἥτις οὐ πᾶσιν οὐδὲ τοῖς τυχοῦσιν, [324 II.] ἀλλὰ τοῖς φιλοπόνως καὶ ἐπιστημόνως μεταλλεύουσι τό τε χρυσίον δόκιμον καὶ τὸ κέρδος τῶν πόνων μεῖζον παρέχεται. Ὥσπερ οὖν πενίας οὐκ ἀπαλλάττεται ὁ τὴν μεταλ-

A terræ motus, qui Patri attributus est, minorem dignitatem habuit: secundus dein, qui Filii erat, illo majorem: tertiusque Spiritus sancti, utroque excellentiorem. Ita clare perspicias, quomodo quæ in hominum est opinione inæqualitas, per trium temporum inæqualitatem, in admirandam ac stabilem æqualitatem coierit, Trinitatis majestate veluti splendorem quemdam ac lucem accipiente. Quod vero qui in Trinitate est ordo, vulgi duntaxat ordinationem speciet, non autem ex ineffabili et supernaturali natura promanet, arcanorum ille mysta docet, qui divinitus eam institutionem accepit, ut Filium et Spiritum quandoque ante Patrem locaret: *Divisiones enim gratiarum sunt*, inquit, *idem autem Spiritus: divisiones ministrationum, et idem Dominus et divisiones operationum, idemque Deus b.* Ad B Galatas quoque scribens: *Paulus apostolus, non ab nominibus, neque per homines, sed per Jesum Christum, et Deum Patrem c.* Quare quod divinæ Trinitatis, quæ omnem et ordinem et sermonem excedit, nomina modo præponantur, modo postponantur, non id seriem aliquam naturalem tuetur, sed ad auditorum salutem varie accomodatur. Hæc vero inclytus ardensque divinarum disciplinarum amator tricesimo primo capite et altero studiose laborando pertractavit.

33. Proximo dehinc capite causas reddit, cur C tam Novum quam Vetus Testamentum intellectu atque explanatu difficilibus locis intertextum sit, etsi Vetus Testamentum plus, minus vero Novum hujusmodi difficultatum habeat. Et super Mosaico quidem scripto affirmat, quandoquidem typus illa erant et umbra futurorum bonorum, merito ut in typo atque umbra cum verba tum verborum compositionem ejusmodi proferre, per quæ cresceret obscuritas. Quanquam hæc in duplicibus legis tabulis, geminam quoque utilitatem præbeant, cum et iis qui mente altius ascenderunt, **197***a* interius suum spiritus lumen veluti affulminant, et crassiores litteræ obumbratione delectant. Abscondebantur autem futura bona, in quibus cognitio Trinitatis caput est, ob eas [maxime] causas, quas jam sæpenumero tradidimus, propter audientium imbecilD litatem, inquam, utque tenebrarum principem laterent: multorum deorum cultus, cum nullus [deinceps] errantibus atque imperitioribus erroris sui prætextus relinqueretur ex clara et minime velata Trinitatis prædicatione. Ut sacræ Litteræ non dissimiles aureæ terræ videantur, quæ non omnibus neque vulgaribus, sed laboriose tantum ac scienter perscrutantibus, aurum probatum et lucrum labore majus præbet. Quemadmodum itaque pau-

b I Cor. XII, 24. *c* Galat. I, 4.

VARIÆ LECTIONES.

[6] διὰ A : καὶ ς. [7] παραδεξαμένη AC : παραδεξαμένην ς. [8] διαιρ.] I Cor. XII, 4. [9] Γαλ.] I, 1] [10] τὰ add. C. [11] οὖν et mox. τε add. A. [12] καὶ πρὸς αὐτὰ ς. [13] ἀπαστράπτοντα et mox ψυχαγωγοῦντα] rectius ἀπαστράπτον — ψυχαγωγοῦν.

pertatem non evadit, qui fossilem arenam ornamenti, ludi, aut joci causa tractans, nullum interea studium adhibet, ut quod sub ea absconditum latet investiget: sic neque ignorantiam, neque negligentiæ reprehensionem evadere queat, qui, soli litteræ adhærescens, thesaurum in ipsa reconditum non scrutetur, neque latentem in ejus fundo sensuum utilitatem colligere studeat. Et certe hoc ipsum quod divini sensus abditi lateant, pretium eorum maximum et sublimitatem indicat: ac majus simul inquirendi desiderium iis infigit animis, qui Dei et laboris amorem inertiæ anteponunt.

Judæorum insuper improbitas, et in rebus quæ minime attingendæ essent audacia, obscuritatis est in Veteri Testamento nonnulla causa. Ne enim quæ manifesta essent de Christo atque aperta Scripturarum testimonia circumciderent et obliterarent, ideo adumbrate ea promuntur. Tertio etiam ne divinarum præceptionum contemptrix Judæorum natio, si clare didicissent universam aliquando legem præterfluxuram, atque in aliam reipublicæ formam, quæ apud ipsos in honore ac pretio erant, transitura: magis etiam ad contemptum præceptorum Dei ex ipsa hac clara cognitione traherentur. Quid enim amare attinet me, quod mox dissolvetur, et cujus non ita multo post nulla erit utilitas? Propterea nimirum hæc obscuritate atque percipiendi difficultate involvuntur. Nam si absque ulla causa millies a præceptis Dei desciverunt Judæi, cum neque de eorum mutatione quidquam cognitum haberent, ut neque quod imperfecta et alterius politiæ figura essent atque umbræ, quid tandem [putas] non egissent, **197***b* si tradita ipsis mandata tandem solvenda atque mutanda e Scripturis clarius cognovissent? Alioquin et illa disciplinas tradendi lex ubique obtinebat, ut qui recenter primis elementis imbuerentur, ad perfectionis usque tempus perfectiora quæque celarentur: sed rudioribus duntaxat præceptis discipuli ad perfectorum cognitionem percipiendam præpararentur. Præter hæc autem etiam naturam ita gubernari, et opera sua regere videmus. Prima enim sementis atque semina perfectam in se speciem clare nequaquam ostendunt, sed ejus tantum rationes abditas continent: ut granum spica non est, etsi in se spicæ rationem tegit. Eadem naturæ series in aliis quoque fructibus ac seminibus cognoscitur, qualem et lex vetus fere rationem cum gratia servat. Nam quæ gratia perficit, jacti per legem seminis seges habetur. Quibus igitur de causis obscuritatem assumpserit lex Mosaica, utcunque jam dictum.

Nunc quod gratiæ quoque lex obscurior, et non ita cuilibet perspicua sit, auditorum recens adhuc instructio, mentisque imbecillitas in causa est. Unde et vas electionis: *Lac*, inquit, *vobis potum dedi, non escam: nondum enim poteratis c.* Quem-

A λικὴν ψάμμον ἐν ὡραϊσμῷ ἢ παιδιᾷ ἢ κατὰ μυκτηρισμὸν ἐπαφώμενος, οὐδὲν δὲ φιλοπονῶν οὐδ' ἀνιχνεύων τὸ ὑπὸ ταύτης κρυπτόμενον, οὕτως οὐκ ἂν ἀγνοίας ἀπαλλαγείη οὐδὲ τῆς ἐχούσης τοὺς ῥαθύμους αἰτιάσεως ὁ τῷ γράμματι μόνῳ περιφυόμενος, τὸν δὲ ἐν αὐτῷ θησαυρὸν οὐκ ἀνερευνῶν, οὐδὲ τὸ ἐν βάθει κέρδος τῶν νοημάτων ἀναλεγόμενος. Καίτοι καὶ αὐτὸ τὸ κεκρύφθαι τὰ θεῖα νοήματα τὸ τιμιώτατον αὐτοῖς καὶ ὑψηλὸν ἐπιμαρτύρεται, καὶ πόθον ἐγκεντρίζει μᾶλλον ζητήσεως ταῖς ψυχαῖς, ὅσαι πρὸ τῆς ῥᾳστώνης τὸ θεοφιλές τε καὶ φιλόπονον ἔμπροσθεν ἄγουσι.

[628 R.] Καὶ τὸ κακοῦργον δὲ τῶν Ἰουδαίων καὶ τολμηρὸν περὶ τὰ ἀτόλμητα τῆς κατὰ τὴν Παλαιὰν ἀσαφείας αἴτιον· ἵνα γὰρ μὴ τὰς περὶ Χριστοῦ μαρτυρίας τὸ περιφανὲς καὶ κατάδηλον ἐχούσας τῶν B Γραφῶν περικόψωσι καὶ ἐξαφανίσωσι, διὰ τοῦτο μετὰ τοῦ συνεσκιασμένου ταῦτα προάγεται. Καὶ τρίτον, ὅτι ὀλίγωρος ὢν [14] καὶ τῶν θείων προσταγμάτων καταφρονητὴς ὁ τῶν Ἰουδαίων λαός, ἵνα μὴ μαθόντες σαφῶς ὡς τὰ τοῦ νόμου πάντα ῥυήσεται, εἰς ἑτέραν δὲ πολιτείαν ἃ παρ' αὐτοῖς ἐστι τίμιά τε καὶ σπουδαζόμενα μεταστήσεται, ἐκ δὲ τῆς τοιαύτης ἐμφανοῦς ἐπιγνώσεως πλέον τε [15] πρὸς τὴν ὑπεροψίαν ὑπαχθῇ τῶν προσταγμάτων, (τί γάρ με δεῖ στέργειν ἃ μετὰ μικρὸν λυθήσεται καὶ ὧν οὐ μετὰ βραχὺ τὸ ἀνόνητον;) διὰ τοῦτο τῇ ἀσαφείᾳ ταῦτα καὶ τῷ δυσλήπτῳ περικαλύπτεται. Εἰ γὰρ καὶ χωρὶς προφάσεως μυριάκις τῶν τοῦ Θεοῦ προσταγμάτων C ἀπέστησαν, μήτε μετάστασιν αὐτῶν ἐγνωκότες μήτε ὅτι τὸ ἄτελὲς ἔχουσι μήτε ὅτι πολιτείας ἑτέρας εἰσὶ τύποι καὶ σκιάσματα, τί οὐκ ἄν ἔδρασαν, εἰ ἐξ αὐτῶν ἐκείνων σαφῶς τὴν οἰκείαν λύσιν καὶ μετάθεσιν ἐμάνθανον [16]; ἄλλως τε δὲ καὶ νόμος πανταχοῦ κρατῶν διδασκαλίας, τοῖς ἄρτι στοιχειουμένοις τὰ τελεώτερα μέχρι καιροῦ τῆς τελειώσεως συγκαλύπτεσθαι, εἰσαγωγικοῖς δὲ παιδεύμασι τὸν μαθητὴν προπαρασκευάζειν πρὸς τὴν τῶν τελεωτέρων κατανόησιν. Ἐπὶ δὲ τοῖς εἰρημένοις, καὶ τὴν φύσιν οὕτως οἰακιζομένην τε καὶ τὰ οἰκεῖα ἔργα ῥυθμίζουσαν ὁρῶμεν. Αἱ γὰρ πρῶται καταβολαὶ καὶ τὰ σπέρματα τὸ μὲν τέλειον εἶδος ἐν ἑαυτοῖς ἐμφανῶς οὐ δεικνύουσι, τούτου δὲ τοὺς λόγους ἐγκεκρυμμένους φέρουσιν, οἷον ὁ κόκκος στάχυς μὲν οὐκ ἔστιν, ἐν ἑαυτῷ δὲ κρύπτει τὸν λόγον τοῦ στάχυος· καὶ ἐπὶ τῶν ἄλλων D δὲ καρπῶν καὶ σπερμάτων ὁ αὐτὸς τῆς φύσεως εἰρμὸς ἐπιγινώσκεται. Τοιοῦτον δή τινα καὶ ὁ νόμος πρὸς τὴν χάριν διασώζει λόγον· ἃ γὰρ ἡ χάρις ἐτελείωσε, τῶν νομικῶν σπερμάτων ἐστὶ τῆς καταβολῆς τὰ γεώργια. Δι' ἃ μὲν οὖν τὴν ἀσάφειαν ἡ Μωσαϊκὴ νομοθεσία ὑπέδυ, μετρίως εἴρηται.

Καὶ τῆς χάριτος δὲ τὸ ἀσαφὲς καὶ οὐ πᾶσιν ἐπίδηλον τὸ νεοκατήχητον αἴτιον ἔχει τῶν [325 H.] ἀκροατῶν καὶ τῆς διανοίας τὴν ἀσθένειαν. Διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς, Γάλα [17], φησὶν, ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε. Ὥσπερ

c I Cor. III, 2.

VARIÆ LECTIONES.

[14] ὢν] imo ἦν. [15] τε] an fuit τι? [16] ἀνεμάνθανον A. [17] γάλα] I Cor. III, 2.

δὲ πᾶσα τροφὴ ἀκατάλληλος βλαβερὰ τῷ μετέχοντι, οὕτω καὶ γνῶσις, κἂν τὸ παναληθέστατον εἶν προβάλλουσα, τοῖς ἀτελέσιν ἀσύμφορος. Εἰ γὰρ καὶ τῆς Παλαιᾶς ἡ Νέα τηλαυγέστερον ἐκδιηγεῖται τὸ τῆς εὐσεβείας μυστήριον, ἀλλ' οὖν ὡς ἀρχῆς καὶ σπέρματος λόγον ἐπέχουσα καὶ αὐτὴ πρὸς τὴν ἤδη πολιτείαν ἐγκαινιζομένην οὐκ εὐθὺς τοῖς μυουμένοις, ἀλλὰ κατὰ προκοπὴν ἀποκαλύπτει τὰ τέλεια. Ἔτι δὲ καὶ τοῖς κυσὶ, τουτέστι τοῖς ἀντικειμένοις καὶ καθυλακτοῦσιν, οὐχὶ προπετῶς καὶ ἀφιλοσόφως ῥίπτειν τὰ ἅγια, οὐδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, οἷς ὁ βίος ὁ τῶν ἡδονῶν βόρβορος, Δεσποτικὸν ὑπάρχει καὶ τὴν διδασκαλίαν κατευθῦνον παράγγελμα. Ἄνευ δὲ τῶν εἰρημένων, καὶ ἡ ἁγιοποιὸς τελετὴ μυστήριον ὀνομάζεται, τὸ δὲ μυστήριον οὐ κοινὸν οὐδὲ τοῖς βεβήλοις εὐεπίβατον. [629 R.] Ἔτι μὴν καὶ τὰ ἅγια νοερως μὲν τοῖς τε Σεραφὶμ καὶ Χερουβὶμ, ὑλικῶς δὲ καταπετάσμασι καὶ πτεροῖς καὶ πύλαις καὶ κλείθροις περιστοιχίζεται· οὕτω γοῦν [18] χρὴ καὶ τὴν ἱερὰν ἡμῶν Γραφὴν τοῖς μὲν βεβήλοις περικαλύπτεσθαι, ἵνα μὴ τὰ ἅγια ἐξυβρίζοιτο, τοῖς δὲ μεμυημένοις καὶ πιστοῖς ἀνακαλύπτεσθαι. Ἄλλωστε δὲ καὶ εἰ [19] τὸ ῥᾷον εἰς κτῆσιν [20] οὐχ ὥσπερ τὸ πόνῳ κτηθὲν περισπούδαστον, εὐλόγως τὸ ἱερὸν Γράμμα τοῖς μὲν ῥᾳθύμοις τὸν θησαυρὸν ἀποκρύπτεται, τοῖς δὲ φιλοπονοῦσι χαρίζεται. Ἀλλὰ καὶ ἱδρῶσι πᾶν τὸ τίμιον καὶ ἡ ἀρετὴ εἰς κτῆσιν ἀφικνεῖται καὶ ἀπόλαυσιν, ἡ δὲ κακία ῥᾷόν τε καὶ πᾶσι πρόχειρον. Καὶ τὸ μὲν πόνῳ κατορθωθὲν μᾶλλον ποθεῖται· ὃ δὲ ῥᾳδίως λαμβάνεται, καὶ ῥᾳδίως ἀποβάλλεται καὶ πρὸς τὸ παρεωραμένον μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασύρεται. Διὸ καὶ ὁ Ἀδὰμ ἄνευ ἄθλων καὶ καμάτων ὁμιλίας ἀξιούμενος θείας καὶ τῶν ἄλλων ἀγαθῶν, ῥᾳδίως ὧν ἀπήλαυεν ἐξωλίσθησε· καὶ ἐπειδὴ τὸν ἄλυπον καὶ ἄμοχθον βίον βαράθρου πρόξενον ἑαυτῷ κατεσκεύασεν, ὁ πάνσοφος ἰατρὸς τοῖς ἐναντίοις φαρμάκοις ἐξιᾶται τὸ νόσημα, ἐν ἱδρῶτι τοῦ προσώπου καὶ τὸν σωματικὸν ἄρτον φαγεῖν νόμον τιθέμενος, καὶ ὅσοις ὁ πνευματικὸς ἔρως πνευματικὴν παρατίθησι τράπεζαν· Ἄνευ δὲ τῶν εἰρημένων, εἰ παντὸς ἦν καὶ χωρὶς καμάτων τῆς κατὰ τὴν Γραφὴν θεωρίας ἡ κατάληψις, ποῦ τῶν ἐπαγρυπνούντων ταύτῃ καὶ ἐπαγωνιζομένων τὰ ἔπαθλα; ἢ τίς ἂν προσανεῖχε τῇ ταύτης φιλοπονίᾳ, οὐδὲν ἔλαττον ἐχόντων τῶν ῥᾳθύμως αὐτῆς ἁπτομένων; ὥστε διὰ τῶν εἰρημένων δίκαιόν τε ἅμα καὶ λυσιτελὲς ἀνεφάνη τὸ μὴ ἀνηπλωσθαι μᾶλλον μηδ' ἀπαραφυλάκτως ἐρρῖφθαι ἢ τὸ [21] κοινὰ προκεῖσθαι πᾶσι καὶ τοῖς ἀναξίοις τῆς Γραφῆς τὰ νοήματα.

admodum autem minus conveniens cibus omnis accipienti noxius, sic et scientia, tametsi verissima proponat, nullam imperfectis utilitatem affert. Etsi enim Novum quam Vetus Testamentum clarius fidei mysterium exponat, cum tamen principii aliquam ac seminis rationem obtineat, etiam hac ratione ad eam quæ nunc innovata est reipublicæ formam, non statim initiatis, sed sensim ac juxta proficientium gradus, quæ perfectiora sunt, manifestat. Canibus præterea (hoc est adversariis et oblatrantibus) ne temere ac sine ratione projicias sancta, aut *margaritas ante porcos d* quibus nimirum vita voluptatum cœnum, Dominicum, et quod docendi regulam statuat, præceptum est. Sanctificans item sacrificium mysterium dici solet: mysterium autem commune non est, neque facile profanis adeundum. Quin etiam sancta, spiritualiter quidem a Seraphim atque Cherubim, materialiter vero velamentis, alis, portis ac repagulis undique ambiuntur. Sic igitur sacram quoque Scripturam nostram oportet profanis hominibus abscondi (ut ne sacra injuria aliqua afficiantur) ac solis initiatis atque fidelibus revelari. Alioqui, quando etiam illud, **198***a* cujus usus facile obtineri potest, nunquam tam amatur, atque id quod labore multo acquisitum est, merito sacræ Scripturæ thesaurum illum negligentibus abscondunt, quem laboriosis concedunt. Sed et sudantibus honesta omnia, virtutisque non possessio duntaxat, sed fructus insuper obtingit, cum vitium facile paretur, et omnibus in promptu sit. Quidquid item cum labore feliciter confectum est, majus longe sui excitat desiderium: quod autem facile obtinetur, facile etiam rejicitur, propiusque est ut contemnatur, quam ut expetatur. Propterea etiam Adam, qui sine certaminibus aut laboribus divino alloquio cæterisque bonis dignus erat habitus, citius ea quibus utebatur amisit. At postquam doloris ac laboribus expertem vitam præcipitii sibi causam fecit, contrariis utique medicamentis sapientissimus medicus morbum curat, lata lege, ut in sudore vultus *e*, non corporalis tantum cibus sumeretur, verum et quibus spiritalis amor spiritalem adornat mensam. Adhæc vero, si quivis, nullo etiam labore adhibito, sacræ Scripture sensum percipere posset, ubinam eorum qui in hac non sine vigiliis atque laboribus versantur præmia manerent? Aut quis unquam hujus sese studio addicere velit, si minus nihil consequantur ii qui negligenter eam attingerent? Ex iis igitur, quæ hactenus commemorata sunt, æquum simul et utile sensa neque incautius abjecta, vel in communi

Παρὰ μέντοι τὰ εἰρημένα, τῶν μὲν φιλοπόνων καὶ ἀξίων τοῦ κατὰ γνῶσιν πνευματικοῦ χαρίσματος οὐκ [326 H.] ἄν τις αἰτιάσαιτο τῆς Γραφῆς τὴν

Verum ob hæc, quæ jam diximus, nemo eorum, qui aut laboris amantes sunt, aut spiritali intellectus gratia digni, sacræ Scripturæ obscuritatem

appareat, quod non explicata magis Scripturæ omnibus, etiam indignis, proposita fuerint.

d Matth. VII, 6. *e* Gen. III, 19.

VARIÆ LECTIONES.

[18] malim οὕτως οὖν. [19] εἰ add. A. [20] κτῆσιν] libri χρῆσιν. [21] ἢ τὸ] εἴτε corr. A. : ἢ τὰ ⊆.

accusarit. At negligens et remissus, cur tandem indignetur, si non capiat? Nam si divinarum rerum cognitionem labore aliquo dignam judicat, cur iis non studet rebus quas habet in pretio? Sin ad virtutem hanc nihil esse necessariam putat, cur nullo affectus damno molestiam capit? Quid vero ex ipsa quoque obscuritate, sensum qui quærat, assequi possit? Licet enim, licet cuicunque volenti quæsita facile addiscere. Multorum enim sanctorum virorum labores explicant et elucidant divinas Litteras, quibus inhærere si quis libenter velit, is a proposito minime aberrabit. Quod si facere recuset, manifestum [ejusmodi hominem] nunquam in illarum cognitionem pervenire posse, non, etiamsi omnium essent apertissimæ. Verum autem esse quod diximus, patet, quia sunt qui omnino ne nuda quidem nomina, epistolarum apostolicarum noverint; sed neque prophetarum, vel aliorum sacrorum Librorum (sive illi **198***b* antiquæ Legis sint, sive novæ), vel nudum catalogum voce possint recensere; et certe quæ obscuritas, vel quæ tenebræ, quæve difficultas, nominum indicem cognoscere? quanto vero id studio indiget? Cæterum nolentibus, hæc non minus, quam Scriptura ipsa, incognita manent. Quare non eloquiorum Dei obscuritas vulgo ignorantiæ causa est, sed horum incuria ac negligentia etiam clarissima quæque ignorari fecit. Apud quos clari atque obscuri, ut demonstratum est, nullum discrimen: cum studiosos hæc obscuritas, præterquam quod sinceram ex se utilitatem præbeat, sapientes ac virtute præditos efficiat. Quicunque ad hæc Scripturæ sacræ sententiam illustrari optat, si quidem humanam gloriam quærit, merito a divinæ sapientiæ vestibulo arcetur: sin virtutis duntaxat, et supernæ remunerationis gratiam, quantum laboribus ac sudoribus ipsa processerit, tanta eaque certa retributionis assecutio allaborantibus relinquetur. Sed istud quoque ad sapientiæ illius inexplicabilis providentiam pertinet, quod tollens mox ab initio Deus omnem de sorte nostra querimoniam, expertes ærumnarum delicias nobis in paradiso donat, donec deprehenso ex factis nostris, inutilem hominibus esse labore ac miseria carentem vitam, laborum ac miseriarum pondus vitæ [nostræ] tanquam pro remedio admiscuit: hoc veluti stadium nobis ac palæstram constituens, quæ magnum posset quæstum ac [multa] præmia conciliare. His auctor tricesimum tertium caput, simul et septimum librum absolvit.

A ἀσάφειαν· ὁ δὲ ῥᾳθυμος καὶ ἀναπεπτωκὼς τί δή ποτε μὴ καταλαμβάνων δυσχεραίνοι ἄν; Εἰ μὲν γὰρ σπουδῆς ἀξίαν τὴν τῶν θείων γνῶσιν ἡγεῖται, τί μὴ σπουδάζει περὶ τὰ τίμια; Εἰ δὲ πρὸς ἀρετὴν μηδὲν ἀναγκαῖον παρέχουσαν, τί καὶ δυσχεραίνει μηδὲν ζημιούμενος; τί δὲ καὶ ἐκ τῆς ἀσαφείας παραβλαβείη [22] σις ζητῶν μαθεῖν τὴν διάνοιαν; ἔστι γὰρ, ἔστι τοῖς βουλομένοις ἃ ζητοῦσιν [23] οὐ χαλεπὸν μαθεῖν. Πολλῶν γὰρ ἀνδρῶν ἱερῶν πόνοι ἀναπτύσσουσί τε καὶ ἐξαπλοῦσι τὰ θεσπέσια Λόγια, οἷς ἐμφιλοχωρεῖν τις προαιρούμενος οὐκ ἂν ἀτυχήσῃ τοῦ βουλήματος· Ὃς δ' οὐχ αἱρεῖται, ὄῆλον ὡς εἰ καὶ πάντων εἴη σαφέστερα, οὐκ ἂν αὐτῶν εἰς γνῶσιν ἀφίκοιτο. Ὅτι δὲ ἀληθὲς τὸ ῥηθὲν, εἰσὶν οἳ μηδὲ ἁπλῶς αὐτὰ τῶν ἀποστολικῶν ἐπιστολῶν ψιλὰ γινώσκουσι τὰ ὀνόματα, ἀλλ' οὐδὲ τῶν προφητῶν ἢ τῶν ἄλλων ἱερῶν Βίβλων [24], ὅσα τῆς Παλαιᾶς καὶ ὅσα τῆς χάριτος, οὐδ' αὐτὸν τὸν κατάλογον διὰ φωνῆς προάγειν ἐπίστανται. Καίτοι τί σκοτεινὸν, τί δ' ἀσαφὲς, τί δὲ χαλεπὸν ὀνομάτων εἰδέναι κατάλογον; ποίας δὲ μελέτης δεῖται; ἀλλὰ τοῖς γε μὴ βουλομένοις οὐδὲν ἧττον ταῦτα [632 R.] ἢ τὰ τῶν Γράφων [25] μένει ἀνεπίγνωστα. Ὥστε οὐχ ἡ τῶν [26] Λογίων ἀσάφεια τῆς τῶν πολλῶν ἀγνοίας τὸ αἴτιον, τὸ δὲ τούτων ἠμελημένον καὶ ῥᾳθυμον καὶ τὰ σαφέστατα πάντων ἀγνοεῖν παρεσκεύασε. Παρὰ μὲν τοῖς τοιούτοις οὐδὲν τοῦ σαφοῦς τὸ ἀσαφὲς, ὡς δέδεικται, διενήνοχε· τοὺς δὲ σπουδαίους ἡ ἀσάφεια, μετὰ τοῦ παρέχειν ἀκαπήλευτον τὸ οἰκοθεν κέρδος, καὶ σοφούς τε καὶ σπουδαίους τὴν ἀρετὴν ἐπιδείκνυσιν. Ἔτι δὲ ὁ [μὲν] τῆς ἱερᾶς Γραφῆς τὸν νοῦν ἐλλαμφθῆναι ἀξιῶν, εἰ μὲν ἀνθρωπίνην δόξαν ζητῶν οὗτος, δικαίως τῶν θείας σοφίας προπυλαίων ἀπελαύνεται· εἰ δὲ τῆς ἀρετῆς χάριν καὶ τῆς ἄνωθεν ἀντιδόσεως, ὅσον διὰ πόνων καὶ ἱδρώτων αὕτη πρόσεισιν, τοσοῦτον ἀδίστακτος τῆς ἀμοιβῆς ἡ ἀπόλαυσις τοῖς ἀγωνισταῖς περιγίνεται. Ἀλλὰ γὰρ καὶ τοῦτο σοφίας ἐστὶ τῆς ἀνεκδιηγήτου πρόνοια. Ἐκκόπτων μὲν γὰρ κατ' ἀρχὰς ὁ Θεὸς τὸ μεμψίμοιρον, δίδωσιν ἡμῖν ἀταλαίπωρον τὴν ἐν παραδείσῳ τρυφήν. Διελέγξας δὲ οἷς ἐπράξαμεν ὡς ἀσύμφορον ἀνθρώποις ὁ ἄμοχθος βίος καὶ ἀταλαίπωρος, ὥσπερ τι φάρμακον τῶν καμάτων καὶ μόχθων τῷ βίῳ τὴν βαρύτητα συνεκέρασε, στάδιον ὥσπερ καὶ ἀγωνιστήριον τοῦτον ἡμῖν προτιθεὶς, καὶ μεγάλου κέρδους καὶ ἐπάθλων πρόξενον. Ἐν τούτοις μὲν τῷ συγγραφεῖ τὸ τε τριακοστὸν κεφάλαιον τρίτον καὶ ὁ ζ' ἀπαρτίζεται λόγος.

B

C

D

Liber VIII.

Octavus liber de duobus certamen instituit. 34. Horum primum solutio cujusdam dubitationis est, quæ rem seriam sane nec inelegantem continet. Refert autem eam dubitationem ortam ex astructione ratiocinationis cujusdam, per quam Deum habere Filium probatur; auctoremque hujus

Ὁ δὲ η' περὶ δύο τινῶν τὸν ἀγῶνα ὑποδύεται, ὧν ἓν μὲν λύσις ἐστὶν αὐτῷ ἀπορίας τινὸς οὐκ ἄκομψον σπουδὴν ἐχούσης. Ταύτην δὲ βλάστημα εἶναι κατασκευῆς λόγου τινὸς, δι' οὗ τὸν Θεὸν Υἱὸν ἔχειν κατασκευάζεται· τὸν δὲ πατέρα τῆς κατασκευῆς τὸν Νύσσης [27] εἶναι Γρηγόριον. Λέγει δὲ τὸ ἐπιχείρημα

VARIÆ LECTIONES.

[22] παραλαβείη ς. [23] ἃ μὴ ζητ. ς. [24] aut βιβλίων opus, aut ὅσαι. [25] γρίφων A : γραφῶν ς. [26] οὐχὶ τῶν ς. [27] Νύσης, ut solet, A.

[327 H.] ὡς ὅστις μὴ ἄλογον εἶναι διομολογεῖ τὸν Θεὸν, πάντως λόγον ἔχειν συγκατίθεται· ὁ δὲ τοῦ ἀκηράτου λόγος ἀκήρατος· ὁ δὲ ἀκήρατος Λόγος, παρ' ὃν δοξάζομεν Υἱὸν, οὐδὲν ἂν εἴη ἕτερον. Ἡ μὲν οὖν ἐπιχείρησις τοῦ δεῖν Υἱὸν ἔχειν τὸν Θεὸν τοιαύτη· εἶτα πρὸς ταύτην ἀνθυποφέροντά τινα τῶν φίλων εἰσάγει, ὃν καὶ τιμιώτατον ὑμνεῖ. Ἡ δὲ ἀνθυποφορὰ, ὅτι [28] περ οὐδὲν κωλύει τὰ αὐτὰ καὶ περὶ τοῦ Υἱοῦ καὶ περὶ τοῦ Πνεύματος διαλαβεῖν (θεὸς γὰρ τούτων ἑκάτερον), καὶ οὕτως οὐκ εἰς Τριάδα, ἀλλ' εἰς μυριάδα ὑποστάσεων, ὅσον ἀπὸ τοῦ ἐπιχειρήματος, προελεύσεται τὸ μυστήριον. Ταύτην τὴν ἀνθυποφορὰν, δριμεῖάν τε καὶ συνεστραμμένην οὖσαν, διαφόροις μὲν ἐπιχειρεῖ λόγοις ἀνασκευάζειν, οὐ μὴν κατά γε ἐμὲ τῆς ἀκριβείας ἐφικνεῖται. Καίτοι πολὺς αὐτῷ περιῤῥεῖται τῆς ἐπὶ τούτῳ σπουδῆς ὁ ἱδρώς· μέχρι γὰρ καὶ ιγ' ἐπιχειρήματος τὸν πόνον παρατείνει. Ἀλλὰ πρὸς μὲν τοὺς τὴν εὐσέβειαν τιμῶντας ἔστιν ἃ τῶν ἐν αὐτοῖς εἰρημένων οὐκ ἀφυῶς ἔχει· ἀνδρὶ δὲ διαμαχομένῳ οὐ μόνον οὐδὲν ἐπαγωγὸν πρὸς εὐσέβειαν παρέξει [29], ἀλλὰ καὶ ἀφορμὰς πρὸς τὸν γέλωτα. Φαίη δ' ἄν τις ἴσως συντετμημένῳ τε καὶ ἀπερίττῳ λόγῳ πρὸς τὸν τῇ ἀνθυποφορᾷ γαυρούμενον, ὡς εἴ μέν τις τὸν Πατέρα προτίθησιν, εἶτα περὶ αὐτοῦ διερωτᾷ πότερον ἄλογον ἢ λογικὸν, κἀτεῖθεν κατασκευάζει τῷ Πατρὶ δεῖν προσεῖναι καὶ Υἱὸν, [633 R.] τῆς ἀνθυποφορᾶς τὸ περίεργον ἴσως ἔχει πάροδον καὶ ἰσχύν. Εἰ δὲ τοῦτο μὲν οὐ ποιεῖ (οὔτε γὰρ δεῖ, οὔτε ὁ θαυμαστὸς Γρηγόριος οὕτω τὸν λόγον, προήνεγκεν) αὐτὸ δὲ τὸ θεός προβαλλόμενος, ὃ κοινόν ἐστι καὶ ἀμέριστον τῶν θεαρχικῶν ὑποστάσεων ὄνομα, ἐπ' αὐτοῦ δὴ καὶ τὸν Λόγον ἢ τὸ γόνιμον, εἰ βούλει δὲ καὶ τὸ ἔμπνουν, ἐπερωτᾷ, κατασκευάσει μὲν τὸ τῆς Τριάδος μυστήριον οὗτος, οὐ μήν γε χώραν ἐνδώσει τῷ βουλομένῳ τὴν κατασκευὴν περιεργάζεσθαι. Ποῦ γὰρ ἴσον ἢ ἐγγὺς ὅμοιον ἀντὶ τῆς ὁλικῆς θεότητος μίαν ὑπόστασιν διαλαβεῖν, καὶ περὶ ταύτης φιλοπραγμονεῖν ἃ καλῶς εἶχε περὶ ὅλης θεολογεῖν τῆς θεότητος; τὸν γὰρ οὕτω εἰς ἀλογίαν ἐκφερόμενον οὐδὲν κωλύει καὶ ἄνευ τινὸς περινοίας αὐτόθεν [30] παραληρεῖν, ὡς ἐπεί περ ὑμῖν ἐν Τριάδι ὁ Θεὸς, ἀνάγκη καὶ ἕκαστον τῆς Τριάδος εἰς ἑτέραν Τριάδα πληθύνεσθαι [31]. Πρὸς δὲ τοιοῦτον λῆρον οὐδεὶς ἂν οἶμαι σώφρων ἔλεγχος ἐπιστραφείη. Ἀλλὰ γὰρ ἡ μὲν λύσις τῆς ἀνθυποφορᾶς τοιαύτη τις ἂν εἴη, καὶ ὅσαι ἄλλαι τὴν αὐτὴν ἴενται. Τὸ μὲν οὖν πρῶτον τοῦ ἑβδόμου βιβλίου κεφάλαιον τοιοῦτον.

A astructionis esse Gregorium Nyssenum. Argumentatio ipsa ita se habet. Quisquis non irrationalem esse Deum confitetur, is etiam omnino Verbum habere concedit, quod immortali immortale est: immortale autem Verbum, præter eum quem Filium statuimus, nihil esse queat aliud. Illa igitur argumentatio, quæ oportere astruit ut Deus Filium habeat, hujusmodi est. Deinde adversus hæc objectionem amici cujusdam adducit, quem ut reverendissimum celebrat. Objectio vero est, Nihil prohibere, quin eadem de Filio quoque ac de Spiritu sancto assumantur. Deus enim horum **199***a* uterque est. Atque ita non in Trinitatem tantum, sed in infinitas personas ex hujus argumenti ut mysterium procedet. Hanc itaque objectionem, B acrem sane atque implexam, variis quidem solvere rationibus aggreditur, non tamen (quantum ego judico) satis accurate. Tametsi multum hac in re laborando desudet, tredecim non minus argumentis allatis. Ac pro pietatis quidem cultoribus, eorum quæ ibi dicta sunt aliqua non inepta sint, sed quæ contentioso alicui homini, non modo nihil ad pietatem impellens afferant, ut ridendi potius occasiones præbeant. Dixerit vero quispiam, concisa ac minime superflua usus oratione, adversus eum, qui hac objectione pugnet insolentius. Si quis Patre primum posito, de ipso deinde interroget, utrum rationis particeps an expers sit, atque ex illo confi- ciat Patri oportere Filium accedere, objectionis hujus curiositatem aliquod forsitan specimen ac ro- C bur habere. Sin hoc omisso (neque enim expedit, neque admirandus Gregorius sic orationem hanc protulit) ipsam vocem *Deus* proponat, quod commune est atque indivisibile trium divinarum personarum nomen, ac de hujus tum sive Verbo, sive gignendi vi, imo et afflatu, si voles, interroget, hic et Triadis mysterium astruet, et locum ei nullum dabit, qui velit astructionem ipsam curiosius excutere. Ubi enim æquale vel prope simile sit pro tota divinitate unam aliquam hypostasin accipere, et de hac contentiosius illa disputare, quæ recte poterant, de tota Deitate theologice dici? Eum enim qui in tantam absurditatem delabitur, nihil prohibet sine ulla solertia nugando hinc concludere, quandoquidem Trinum confitetur Deum, ne- D cessarium quoque esse, singulas Triadis personas in aliam Triadem multiplicari. Adversus qualia deliramenta, nulla, opinor, sapiens confutatio intorqueri possit. Verumtamen solutio hujus objectionis talis fuerit, aut si quæ aliæ eadem progrediantur via. Hoc igitur primum est octavi libri caput.

Δεύτερον δὲ ζητεῖ, Διὰ τί, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ὁμοτίμως ἐκ τοῦ Πατρὸς προϊόντων, ὁ μὲν λέγεται Υἱὸς, τὸ δὲ Πνεῦμα, καὶ οὐκ ἄμφω τὴν [32] τῆς υἱότητος διασώζουσι κλῆσιν, ὥσπερ οὐδὲ τὴν σχέσιν; καὶ οὕτω διαπορήσας ἐπάγει τὴν λύσιν, ὡς ἅπαξ ἡ θεολογία ἐκ τῶν γνωρίμων ἡμῖν τῆς θείας φύσεως τὸ ἐν Τριάδι γνήσιον καὶ ὁμότιμον λογογρα-

35. Alterum deinde quærit: Cur, cum Filius ac Spiritus sanctus ex Patre pariter procedant, hic Filius, ille Spiritus dicatur, et non ambo filiationis appellationem servent, quemadmodum neque habitudinem? Hoc ergo ubi dubitavit modo, solutionem adhibet. Omnino [inquit] theologia ex cognitis nobis rebus germanam atque æqualem divinæ

VARIÆ LECTIONES

[28] ὅτι] ὡς A. [29] παρέχει A. [30] αὐτόθεν add. A. [31] πληθύεσθαι A. [32] τὴν add. A.

naturæ Trinitatem verbis describens, per Patrem, Filium **199***b*, et Spiritum sanctum, ineffabile, quodque denominari nequit divinitatis nomen, consuetis nobis cognatisque appellationibus suggessit. Quando autem consuetum est atque conveniens de filiis nostris dicere generationem, de Spiritu vero processionem : *Spiritus* enim inquit, *vadens et non rediens f* Et: *Exibit Spiritus ejus g*. Itemque: *Quoniam Spiritus pertransivit in illo, et non subsistet h*. Quando igitur in humano genere Filio generationem adaptamus, Spiritui vero processionem : pari quoque ratione in natura ineffabili ac supernaturali, et Filium genitum, et Spiritum sanctum procedere, divinitus edocti sumus. Propterea enim Spiritus, Patris æque ac Filii, Spiritus sanctus dicitur : quia etiam apud nos utriusque horum Spiritus [esse recte] dicitur. Pater vero et Filius Spiritus sancti non item, quia neque apud nos. Cæterum quod Deus suapte natura neque dici a nobis, neque cogitari possit, communis omnium sensus admittit : et vero passim in sacris Litteris prædicatur, sanctorumque Patrum nostrorum cœtus pæne universus idem testificatur, quorum ne verba quidem (cum minime dubia sint) designare necesse. Atque hæc libro octavo Jobius persequitur.

A φοῦσα, διὰ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τὸ ἄῤῥητόν, τε καὶ ἀκατονόμαστον τῆς θεότητος ὄνομα [328 H.] συνήθεσιν ἡμῖν καὶ συντρόφοις προσηγορίαις ὑπέβαλεν. Καὶ ἐπειδὴ σύνηθες ἐπὶ μὲν τῶν καθ' ἡμᾶς υἱῶν καὶ πρόσφορον λέγειν τὴν γένεσιν, ἐπὶ δὲ τοῦ Πνεύματος [33] τὴν ἐκπόρευσιν (Πνεῦμα γὰρ, φησὶ, πορευόμενον καὶ οὐκ ἐπιστρέφον · καὶ · Ἐξελεύσεται [34] τὸ Πνεῦμα αὐτοῦ · καὶ, ὅτι [35] Πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει) ἐπεὶ οὖν ἐν τῷ ἀνθρωπίνῳ γένει τῷ μὲν Υἱῷ τὴν γέννησιν ἐφαρμόζομεν, τῷ Πνεύματι δὲ τὴν ἐκπόρευσιν, ἀναλόγως καὶ ἐπὶ τῆς ἀῤῥήτου καὶ ὑπερφυοῦς φύσεως τὸν μὲν Υἱὸν γεγεννῆσθαι διδασκόμεθα, ἐκπορεύεσθαι δὲ τὸ Πνεῦμα θεοπρεπῶς ἐμυήθημεν· Διὰ [36] τοῦτο γὰρ καὶ Πνεῦμα μὲν τοῦ Πατρὸς καὶ τοῦ B Υἱοῦ τὸ ἅγιον Πνεῦμα εἴρηται, ἐπεὶ καὶ παρ' ἡμῖν ἑκατέρου τούτων Πνεῦμα λέγεται, Πατὴρ δὲ ἢ Υἱὸς τοῦ Πνεύματος οὐκέτι · οὐδὲ γὰρ παρ' ἡμῖν· Ὅτι δὲ τὸ Θεῖον τῇ ἑαυτοῦ φύσει ἄῤῥητόν ἔστι καὶ ἀνεπινόητον, πᾶσα μὲν κοινὴ ἀνομολογεῖ [37] ἔννοια, πολλαχοῦ δὲ καὶ τῆς ἱερᾶς Γραφῆς ἀνακηρύσσεται, καὶ τῶν σοφῶν Πατέρων ἡμῶν μικροῦ πᾶς ὁχορὸς συνεπιμαρτύρεται, ὧν οὐδὲ τὰς φωνὰς ὡς οὐκ ἀδήλους ἀνάγκη ἐπισημήνασθαι. Ταῦτα μὲν ἐν τῷ η' λόγῳ [38] διέξεισιν.

Liber IX.

Libro nono modice præfatus, dum Josue filius Nave dicitur exercitus principem illum interrogare: *Noster es, an adversariorum i* ? Non idem petere disputat Jobius aliquisne esset sensibilium hostium, sed an spiritualium ? Multa enim Josue docebant, neque aliquem esse hunc ex hostili acie, ac neque ex proprio exercitu, ut, quod subito astitisset, quodque nemo adversariorum auderet, vel per medias hostium copias transire, vel in conspectum imperatoris venire, quin et, quod tanta usus audacia, nihil omnino hostile fecisset. Alioqui nec sapientissimi imperatoris fuerat ignorare, qualis contribulium esset habitus atque apparatus, qualis item alienigenarum. Verum noverat quidem Josue visum illud unum intelligentium spirituum esse, sed hoc cognoscere avebat, utrum quod apparuisset ex hostibus esset, an de illo exercitu, qui protegebat Israel. De hoc ergo in proœmio agit.

Ἐν δὲ τῷ 0' μετά τινα διάπλασιν προοιμίου, ἐν ᾧ τὸν τοῦ Ναυῆ Ἰησοῦν φησιν [39] ἐπερωτῶντα τὸν ἀρχιστράτηγον · Ἡμέτερος [40] εἶ ἢ τῶν ὑπεναντίων ; οὐχ εἴ τίς ἐστι τῶν αἰσθητῶν πολεμίων, ἀλλὰ τῶν C νοητῶν, τὴν ἐρώτησιν ποιεῖσθαι. Πολλὰ γὰρ αὐτὸν ἀνεδίδασκε μήτε τῆς παρατάξεως ἐκείνων εἶναι, ἀλλὰ μηδέ τινα τῆς οἰκείας στρατιᾶς · τό τε γὰρ ἀθρόον τῆς ἐπιστασίας, [636 R.] καὶ τὸ μηδένα τολμᾷν τῶν ἐναντίων μήτε διὰ μέσου στρατοπέδου πολεμίου διελθεῖν μήτε εἰς ὄψιν ἐλθεῖν τοῦ στρατηγοῦ, ἀλλὰ καὶ τὸ ταῦτα [41] τολμήσαντα μηδὲν ὅλως πολέμιον δρᾶσαι. Ἄλλωστε δὲ οὐδὲ τοῦ σοφωτάτου τῶν στρατηγῶν ἦν μὴ εἰδέναι ὁποῖόν τι τῶν ὁμοφύλων τὸν σχῆμα καὶ ἡ κατασκευὴ, καὶ οἷον τὸ ἀλλόφυλον. Ἀλλ' ἤδει μὲν τὴν παροῦσαν ὄψιν ἕν τι των νοερῶν πνευμάτων εἶναι, ἐζήτει δὲ μαθεῖν πότερον τὸ φαινόμενον τῆς ἐναντίας εἴη [42] ἢ τῆς ὑπερασπιζούσης δυνάμεως τὸν Ἰσραήλ. Κατὰ μὲν οὖν [43] τὸ προοίμιον περὶ τούτου διαλαμβάνει.

36. Quærit postea, Quomodo utraque hæc concedi queant, nos et adeptos esse gratiam angelica dignitate majorem et angelis æquales in resurrectione **200***a* apparituros? Quæ quæstio ita dissolvitur. Primum, nihil prohibet eamdem rem secundum aliud honorem quemdam paulo majorem consequi, secundum aliud vero inferioris esse conditionis. In quantum enim nostro corpore assumpto Dominus id sibi

D Μετὰ δὲ τοῦτο ζητεῖ, Πῶς ἂν ἀμφότερα συγχωρηθείη, καὶ τὸ τυχεῖν ἡμᾶς χαρίσματος κρείττονος τοῦ ἀγγελικοῦ ἀξιώματος, καὶ τὸ ἰσαγγέλους ἐν τῇ ἐναστάσει ὀφθήσεσθαι ; Καὶ ἐπιλύεται τὸ ζήτημα πρῶτον μὲν, ὡς οὐδὲν κωλύει τὸ αὐτὸ κατ' ἄλλο μὲν ἑτέρας τινὸς μείζονος τιμῆς ἀπολαύειν, κατ' ἄλλο δὲ λήξεως εἶναι τῆς ἥττονος. Καθὸ μὲν γὰρ τὸ ἡμέτερον ἀναλαβὼν φύραμα συνῆψεν ὁ Δεσπότης ἑαυτῷ [44],

f Psal. LXXVII, 39. *g* Psal. CLXV, 4. *h* Psal. CII, 10. *i* Josue V, 13.

VARIÆ LECTIONES.

[33] πνεῦμα] Psal. LXXVII, 39. [34] ἐξελ.] Psal. CLXV, 4. [35] ὅτι] Psal. CII, 16. [36] διὰ om. pr. A. [37] ἀναλογεῖ pr. A. [38] λόγῳ edd. A. [39] libri φασὶν ἐπερωτᾷν. [40] ἡμέτερος] Jos. V, 13. [41] τὸ ταῦτα C. ; τοσαῦτα ς. [42] εἴη A εἰ ς. [43] οὖν add. A. [44] δεσπ. ἐν ἑαυτῷ ς.

καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἀναγαγὼν ἐν δεξιᾷ συνεκάθισε τοῦ Πατρὸς, δῆλον ὅτι τῆς ἀγγελικῆς ἀξίας ἡ ἡμετέρα φύσις προτετίμηται. Καὶ καθὸ ἐγνωρίσθη ταῖς Ἀρχαῖς καὶ ταῖς Ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας, ἥτις ἐστὶν ὁ εἰς Χριστὸν πεπιστευκὼς λαὸς, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, ἣν ἔδειξεν ἐν Χριστῷ Ἰησοῦ, καὶ κατὰ τοῦτο τὸ ἡμέτερον γένος τὸ πρεσβεῖον ἀπηνέγκατο· [329 II.] τρίτον δὲ, ὅτι περ [45] ἐκείνων τὴν ἀπόλαυσιν ἐφιλοτιμήθημεν ἡμεῖς, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. Καὶ καθὸ ἀμφοτέρων παραπεπτωκότων, τοῦ τε Ἀδὰμ καὶ τῆς ἀγγελικῆς τάξεως, τοῦ μὲν τὴν φύσιν λαβὼν ἀνεσώσατο, τῶν δὲ οὐκέτι, κάντεῦθεν δῆλον ὡς φιλοτιμίας μείζονος ἡ ἡμετέρα φύσις κατηξίωται. Τὸ δὲ ἐν τῇ ἀναστάσει ὡς ἀγγέλους εἶναι τοὺς ἀνθρώπους οὐκ ἰσοτιμίαν ἑκατέρου γένους διδάσκει, ἀλλὰ πολιτείαν ὁμοιότροπον μαρτυρεῖ· τηνικαῦτα γὰρ ὥσπερ οὐδ' οἱ ἄγγελοι, οὕτως οὐδὲ τὸ ἀνθρώπινον γένος γάμου καὶ σωματικῆς ὁμιλίας δεήσονται. Ἔτι δὲ οὐδὲν κωλύει καὶ τοὺς ἀνθρώπους ἰσαγγέλους ὄντας ἢ βραχύ τι παρ' αὐτοὺς ἠλαττωμένους μείζονος ἀπολαύειν δώρου, ὅταν οἱ μὲν ἀσωμάτου φύσεως τυχόντες καὶ τῆς οἰκείας ἀποστατήσαντες δόξης καὶ ἀξίας ἀμεταμέλητον συντηροῦσι τὴν πτῶσιν, ἡμεῖς δὲ τὸ ἔλαττον ἐκείνων ἐξ αὐτῆς τῆς πλάσεως λαβόντες διὰ τὴν πρὸς τὸ σῶμα συνάφειαν, εἶτα τῆς ἐντολῆς παραβάντες, οὐ φιλοῦμεν μένειν ἐν τῷ πτώματι, διὰ μετανοίας δὲ ἐκείνων τῶν ἐκπεσόντων τὴν λῆξιν καταλαβεῖν σπεύδομεν, καί γε δι' ὑπερβολὴν φιλοτιμίας τὸν οὐρανὸν καὶ τὴν τοῦ Θεοῦ βασιλείαν ἀντὶ τοῦ παραδείσου κατακληροδοτούμεθα.

Τούτοις ἐπιλυσάμενος τὸ ζητούμενον, εἰς ἀνάπτυξιν πρόεισι τῆς παραβολῆς ἥ τις τὸν νεώτερον καὶ ἄσωτον υἱὸν καὶ τὸν πρεσβύτερον ἅμα τοῦ πατρὸς εἰσάγει, καὶ τὰ κατ' αὐτοὺς διατίθεται, καί φησι τὸν μὲν πρεσβύτερον υἱὸν τὰς ἀγγελικὰς παραδειγματίζειν δυνάμεις (χρόνῳ γὰρ καὶ τρόπῳ τοῦ ἡμετέρου γένους τὸ πρεσβεῖον αὗται φέρονται), τὸν δὲ ἄσωτον τὸ ἀνθρώπινον γένος, πατέρα δὲ τὸν Δημιουργὸν καὶ Δεσπότην πάντων. [637 R.] Τὸ δὲ ἀποδυσπετεῖν τὸν πρεσβύτερον υἱὸν ἐπὶ τῇ ἀνακλήσει καὶ δεξιώσει τοῦ νεωτέρου, μὴ τῆς ἀγγελικῆς μὲν εἶναι τοῦτο γνώμης [46] ἢ διαθέσεως, κατασχηματίζειν δὲ τὴν παραβολὴν ταῦτα, τὸ μέγεθος τῆς εὐεργεσίας ἐπιδεικνυμένην, ὅτι τοσαύτης μετὰ τοσαύτην ἀσωτείαν [47] ἀπήλαυσε τῆς φιλοτιμίας ὁ ἄσωτος υἱὸς, ὅτι καὶ αὐτὴ ἂν ἡ τῶν ἀγγέλων τάξις, εἴπερ ἦν ἐν τῇ τούτων φύσει τὸ ἐπιβασκαίνειν, ἐδυσχέρανεν [48] ἂν καὶ οὐκ ἀνεκτὴν ἡλήσατο τὴν τῆς φιλοτιμίας ὑπερβολήν. Ποῦ γὰρ ὅμοιον τοὺς αὐτούς τε χαίρειν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, καὶ βασκαίνειν πάλιν πατρὶ-

A conjunxit, et supra omnes Principatus ac Potestates evectum ad dextram Patris consedere fecit, angelicæ scilicet dignitati nostra natura anteposita est. Quatenus item innotuit *Principatus et Potestatibus in cœlestibus per Ecclesiam* (quæ et in Christum credens populus) *multiformis sapientia Dei, quam exhibuit in Christo Jesu j*, eatenus etiam genus humanum primas retulit. Tertio quod illo insuper munere ex munificentia donati simus ut iis fruamur rebus, in quas desiderant angeli prospicere *k*. Quatenus etiam utrisque lapsis Adamo et angelorum ordinibus, illius (non item horum) assumpta natura, salutem attulit. Atque hinc clarum est, majori honore dignam esse habitam naturam nostram. Quod autem in resurrectione sicut B angeli erunt homines *l*, non id utriusque generis æqualitatem edocet, sed assimile duntaxat vitæ genus attestatur. Tunc enim, quemadmodum angeli non indigent, sic neque genus humanum nuptiis aut corporum congressu indigebit. Præter ista, nihil prohibet homines angelis æquales, vel paulominus *m* ab illis diminutos majus aliquod consequi munus, quando quidem illi, qui corporis expertem naturam consecuti sunt, ubi semel e proprio honore et gloria exciderunt, in suo deinceps casu sine pœnitentia remanent: nos vero, cum inferiorem illis conditionem ex ipsamet origine nostra (propter corporis conjunctionem) acceperimus, præceptum deinde transgressi, in peccatis hærere nolumus, sed illorum qui exciderunt sor- C tem, per pœnitentiam recuperare studemus. Et vero per exsuperantiam [divinæ] munificentiæ, cœlum ac Dei regnum pro paradiso hæreditate cernimus.

37. His illa profligata quæstione, ad explanationem parabolæ aggreditur *n*, quæ juniorem ac prodigum filium, et seniorem simul cum patre inducit et eorum historiam ita digerit. In seniore ait filio ostendi angelicas potentias (nam et tempore et modo, nostro generi dignitate præstant), in prodigo vero humanum genus: in patre Creatorem universi ac Dominum repræsentari. **200***b* Indignatum vero seniorem filium revocatione et benigna tractatione junioris, non hoc angelicæ esse mentis aut affectionis, sed parabolam ista, quo beneficii magnitu- D dinem declaret, ita effingere, Quoniam tantum post tam insignem intemperantiam prodigus ille filius expertus est benignitatem, ut ipse quoque angelorum ordo, si invidentia in horum naturam caderet, indignatus utique fuisset, neque tolerabilem putasset tantam benevolentiæ magnitudinem. Quomodo enim alioqui consentaneum sit, lætari eosdem super uno peccatore pœnitentiam agente *o*, et rursum invidere, quod amantissimi patris amplexi-

j Ephes. III, 10. *k* I Petr. I, 12. *l* Matth. XXII, 30; Luc. XX, 36. *m* Psal. VIII, 6; Hebr. II, 7. *n* Luc. XV, 11 seqq *o* Luc. X, 15.

VARIÆ LECTIONES.

[45] ὅτι περ] ὅπερ pr. A.: ὡς corr. [46] γνώμης τοῦτο ς. [47] ἀσωτίαν ς. [48] ἐδυσχέραναν — ἠγήσαντο ς.

bus dignatus esset? Sed enim talis parabolarum fictio esse solet: nec enim ea solum, quæ aut facta aut futura sunt complecluntur, sed et illa, quæ curiosius quispiam eorum commovendi vim, aut jucunditatem, aut consequentiam, aut denique adipiscendi facilitatem utque utilitatem contexendo, adjungeret. Parabolam quoque centum ovium ad angelorum et hominum naturam refert. Meminit aliarum etiam parabolæ de filio prodigo explicationum, sed quibus omnibus prædictam anteponit, quam varia ingenii ostentatione concinnare studet. Hæc septimum ipsius et tricesimum caput studiose tractat.

Ἔτι δὲ εἰ χαίρει τῶν ζωδίων ἕκαστον φυσικῶς ἑκάστῳ μέρει τῆς γῆς, καὶ βλάπτει μὲν αὐτῆς τὰ μέρη καὶ ἀφανίζει ἢ σεισμοῖς [81] ἢ πολέμοις ἢ πυρπολήσεσιν ἢ ἀφορίαις κακοποιοῦ φανέντος τοῦ [82] ἀστέρος, ὠφελεῖ δὲ τὰ μέγιστα τῶν ἀγαθοποιῶν τινος εἰς αὐτὸ ἐρχομένου, γηπονίαις, εὐφορίαις, πῶς εἰσι τόποι διὰ κρύους ἢ θάλπους ὑπερβολὴν διὰ παντὸς πάντων ἔρημοι, καὶ οὔτε ἀγαθοποιὸς αὐτοῖς ἀφεῖλε τὴν ἐρημίαν, παρέσχε δὲ τὴν εὐκρασίαν [83], οὔτε τοὺς οἰκησίμους τόπους κακοποιὸς οὐδεὶς ἐπεμβαίνων τῶν ζωδίων εἰς παντελῆ ἐρημίαν καὶ ἀφανισμὸν μετεσκεύασεν; εἰ γὰρ καὶ γένοιντο [347 H.] κατακλυσμοὶ ἢ χαλάζης ἢ κεραυνῶν βολαὶ, τὰ ἐν αὐτοῖς ἀφανίζοντες, ἀλλ' ἡ συμμετρία πάλιν εἰς τὸ κατὰ φύσιν εὔφορον αὐτοὺς ἐπανήγαγε. Τοὺς δὲ ἐρήμους τόπους οὔπω τις ὠφέλησεν ἀγαθοποιὸς ἀστὴρ, ἀλλ' ἡ φύσις κρατεῖ καὶ ἐν ἐρημίαις καὶ πανταχοῦ παρὰ Θεοῦ τοῖς οὖσι διαφόρως δοθεῖσα, καὶ οὔτ' ἂν ὑετὸς κατενεχθείη ὅπου μὴ πέφυκεν, οὔτ' ἂν νιφετῶν ἀπαλλαγείη τὰ διὰ παντὸς φέροντα κρυμοὺς ἀγρίους. Εἰ δὲ αὐτὸ τῆς τῶν τόπων φύσεως τὸ ἀμετάβλητον δεῖγμα λαμβάνουσι τοῦ χαίρειν ἕκαστον ζῴδιον ἑκάστῳ μέρει γῆς, αἱ ἀπὸ εὐφοριῶν εἰς ἀφορίας μεταβολαὶ καὶ οἱ σεισμοὶ τὸ λεγόμενον αὐτοῖς ἀσθενὲς διελέγχουσι· τῶν μὲν γὰρ ἀγαθῶν τόπων πολλάκις ἠφανίσθη τὸ εὔκρατον, τῶν δὲ ἐρήμων οὐδεπώποτε μετεβλήθη τὸ ἄγριον καὶ ἀοίκητον. Τῶν μὲν οὖν ἐν τῷ λ' κεφαλαίῳ ὅσα τὸ ἀκόλουθόν πως μετὰ τοῦ πιθανοῦ εἶχε, ταῦτά ἐστι· τῶν δ' ἄλλων τὰ μὲν τοῖς προλαβοῦσι κεφαλαίοις προείρηται, τὰ δὲ κατὰ τὸ φαινόμενον μᾶλλον καὶ ἐπιπόλαιον διεσκεύασται.

aliquam et probabilitatem habeant, cætera vero, speciem duntaxat exteriorem instructa videntur.

At primo et tricesimo capite astrologorum opinionem labefactans, ita quærit : Cur zodiaci signa errantium stellarum domos appellant ? An quia hæc in cœlo fixa sunt? Ergo quotquot similiter fixa manent astra, ipsorum æque domus fuerint. Non ; sed quia non errantium stellarum quælibet gaudet 211b errante. Quin igitur et planetæ signorum zodiaci domus appellantur ? Quomodo non item domus invicem sunt benefici prosperique planetæ, et malefici : imo et quæ sibi mutuo familiaria sunt zodiaci signa. Si vero propterea, quod signa e multis componantur stellis, cum singuli planetæ unius generis sint ; mox etiam quamlibet fixarum

Ἐν δὲ τῷ λα' διαπορεῖ τὴν τῶν ἀστρολόγων δόξαν διασείων, καί φησι· Διὰ τί γὰρ ζώδια οἴκους τῶν πλανήτων καλοῦσιν ; ἆρ' ὅτι πέπηγεν [84] ἐν τῷ οὐρανῷ ; καὶ πάντες ἄρα οἱ ὁμοίως πεπηγότες οἶκοι ἔσονται [85] τούτων. Ἀλλ' ὅτι κινοῦνται οἱ πλάνητες ; καὶ οὕτω πάλιν πάντες οἱ πεπηγότες οἶκοι ἂν αὐτῶν εἴησαν εἰκότως. Ἀλλ' ὅτι τῶν ἀπλανῶν ἕκαστος χαίρει τῷ πλάνητι ; διὰ τί οὖν μὴ καὶ οἱ πλάνητες οἶκοι τῶν ζωδίων ; πῶς δὲ μὴ ἀλλήλων οἶκοι πάλιν οἱ ἀγαθοποιοὶ πλάνητες καὶ οἱ κακοποιοί, καὶ ἔτι τὰ ἀλλήλοις χαίροντα [86] τῶν ζωδίων ; εἰ δ' ὅτι τὰ μὲν ζώδια σύγκειται ἐκ πολλῶν, ἕκαστος δὲ τῶν πλανήτων μονοειδής, καὶ ἑκάστην σύνθεσιν τῶν ἀπλανῶν

VARIÆ LECTIONES.

[81] ἢ ante σεισμοῖς om. A. [82] τοῦ om. C. [83] ἀκρασίαν ς. [84] ἀρ' οὖν ὅτι ς. [85] ἔσονται — οἶκοι add. AC. [86] χαίροντα et mox τοὺς add. A.

οἶκον ὀφείλουσι ποιεῖν τῶν πλανήτων· πολλὰς γὰρ ἄν τις εὕροι συνθέσεις, βουληθεὶς ζητεῖν, καὶ τῶν ἄλλων ἀπλανῶν. Εἰ δὲ ὅτι μόνα τὰ ζώδια τοῖς πλάνησιν εἰς τὰ ἀποτελέσματα συνεργεῖ, διὰ τί μὴ καὶ οἱ πλάνητες οἶκοι τῶν ζωδίων συνεργοῦντες αὐτοῖς; εἰ δὲ διότι τὰς τῶν ζωδίων ἐνεργείας καὶ ἀκύρους καὶ ἐνεργεῖς δύνανται ποιεῖν, [672 R.] πῶς οὐχὶ καὶ ἀλλήλων οἶκοί εἰσι, τοῖς ἀλλήλων ἀποτελέσμασι καὶ κῦρος καὶ κατάλυσιν ἐπάγειν, ὥς φασιν, ἰσχύοντες; πῶς δὲ μόνα τὰ ζώδια τοῖς πλάνησι συνεργεῖ; ἆρα μάταιός ἐστιν ὁ λοιπὸς τῶν ἀπλανῶν χορός; πῶς δὲ τοὺς πλάνητας ἀγαθοποιεῖν καὶ κακοποιεῖν ὅλως δύνασθαί φασιν; ἆρα διὰ τὸ κινεῖσθαι; οὐκοῦν τῶν ιβ' ζωδίων οὐδὲν οὔτε ἀγαθοποιήσει οὔτε κακοποιήσει· ἄλλ' οὐδέ τις ἄλλος τῶν ἀπλανῶν. Εἰ δὲ διότι, φησὶ, δι' αὐτῶν πορεύονται οἱ πλάνητες, πολλῷ μᾶλλον αἱ ζῶναι καὶ οἱ τοῦ ἀέρος τόποι, δι' ὧν ὁδεύουσι, τοῦ καλοποιεῖν καὶ κακοποιεῖν δύναμιν ἐξουσιν· οὐρανοῦ γὰρ, ἐν ᾧ οἱ πλάνητες, οὐμενοῦν, ὡς φασι, πολλῷ κατωτέρω ὄντες οὐχ ἅπτονται. Τί δὲ δή ποτε σελήνη μὲν τὸ μειοῦσθαι καὶ αὐξάνειν ὑπομένει, τῶν δ' ἄλλων πλανήτων προποδισμοὺς καὶ στηριγμοὺς καὶ ἀναποδισμοὺς εἰσάγοντες, ἥλιον καὶ σελήνην τῆς τοιαύτης [348 H.] παλιντρόπου πλάνης ἐλευθέρους ἐῶσιν; καὶ εἰ μικροφανὴς ὁ Κρόνος, μείζων, ὡς φασι, τῶν ἄλλων ὑπάρχων πλανήτων, ὅτι τούτων ἀνώτερον διατρέχει κύκλον, διὰ τί μείζων ὁ ἥλιος τῆς σελήνης. τετάρτην ἀπ' αὐτῆς ζώνην ἐλαύνων; ἐχρῆν γάρ αὐτὸν πολλῷ ταύτης μικρότερον φαίνεσθαι. Ὥστε πάντα ψευδῆ καὶ πεπλασμένα, ἃ τῆς ἀστρολογίας οἱ πόνοι κρατύνουσιν. Οὕτω μὲν οὖν καὶ τὸ λα' κεφάλαιον.

A stellarum compositionem planetarum constituere domum astrologi coguntur. Multas enim, qui investigare velit etiam aliarum fixarum compositiones reperiat. Sin quod nullæ præter zodiaci signa una cum planetis effectus fatales operentur, cur non et planetæ domus sunt signorum cœlestium, quemadmodum cum illis una operantur? Sin forte propterea quod signorum cœlestium operationes possint planetæ aut irritas, aut efficaces facere, quomodo non etiam aliorum alii domus sunt, quemadmodum mutuos effectus, ut illi fatentur, et ratos et irritos reddere queunt? Quomodo item sola signiferi signa planetis cooperantur? Num supervacaneus est reliquus fixarum cœtus! Quomodo adhæc planetas aut benigne facere, aut nocere posse B asserunt? an propter motum? Nullum igitur e XII illis zodiaci signis prosperum erit vel adversum: sed neque alia ulla non errans stella. Sin ideo, inquit, quod per illa gradiuntur planetæ, jam multo potius sive zonæ, sive aeris illa loca, per quæ isti gradiuntur, hanc bene aut male agendi potestatem habebunt. Neque enim hæc planetarum cœlum, cum multo sint (ut aiunt) inferiora, contingunt. Quorsum tandem luna minui atque augeri potest: et cum cæterorum planetarum progressus, status fixos, ac retrogressiones adducant, solem tamen et lunam ab hoc retrogrado errore liberos sinunt? Et si parvus qui videtur Saturnus, aliis tamen (ut aiunt) major est planetis, eo quod per altiorem orbem obambulet; cur major luna quam sol, qui C quarto supra illam orbe decurrit? oportebat enim ipsum multo illa minorem apparere. Quare omnia falsa sunt atque conficta, quæ astrologorum scriptis astruuntur. Sic quidem primum et tricesimum caput absolvitur.

Τὸ δὲ λβ' [87] οὐδὲν τῶν ἀληθῶν πρὸς ἀνατροπὴν, οὐδ' ὅσον εἰς τὸ φαινόμενον, ἀναγράφει· ἀλλ' ὅσον ὁρᾶται κἀνταῦθα τοὺς λογισμοὺς εὐσεβῶν ὁ ἀνὴρ, τοσοῦτον ἔχει τὸ ἄτονον, ὅσα γε προς τὴν ἀνασκευὴν τῆς πλάνης. Καὶ τὸ τρίτον δὲ καὶ τριακοστὸν τῆς αὐτῆς ἐστι κατὰ τὴν δύναμιν ἰδέας· ἃ γὰρ εἰς ἀνατροπὴν προβάλλεται τοῦ μὴ σφαῖραν εἶναι τὸν οὐρανὸν, κοινὰ ἂν ἀπορήματα εἴη καὶ πρὸς τοὺς ἡμισφαίριον αὐτὸν τιθέντας ἢ καμάραν ἤ τι ἄλλο τῶν παραπλησίων σχημάτων. Ἐν οἷς καὶ ὁ τρίτος λόγος.

Alterum vero supra tricesimum nihil ad refutandos adversarios affert, quod veri speciem habeat. Sed quam pius in suis ratiocinationibus apparet hic vir, tam etiam (quod saltem ad erroris refutationem attinet) languidum eumdem videas. Jam tertium et tricesimum caput ejusdem est, quoad efficaciam formæ. Quæ enim ibi ad refutandum cœlum esse rotundum affert, **212***a* communes esse difficultates queant adversus eos, qui hemisphæricum illud esse statuunt, vel fornicis in modum cavum, vel similem ei aliquam formam tribuunt. Ubi et D tertius liber desinit.

Ἐν δὲ τῷ δ' μὲν λόγῳ, λ' δὲ δ' κεφαλαίῳ καὶ ε' καὶ ς', διέξεισι ταῦτα· Ἀπὸ τῆς διαφορᾶς ἣν ἔχει τὸ οἰκούμενον πρὸς τὸ ἀοίκητον καὶ ἣν πρὸς ἄλληλα τὰ κλίματα ἔχουσι, τὴν ἀνάτροπὴν τῆς γενέσεως ἤτοι τῆς εἱμαρμένης ποιεῖται. Φησὶ γὰρ, ποία τῶν ἀστέρων ἐργάζεται κίνησις τὴν μὲν ἀοίκητον εἶναι δι' ὑπερβολὴν ψύχους, τὴν δὲ δι' ὑπερβολὴν καύματος, καὶ τὴν μὲν διὰ παντὸς μόλις οἰκεῖσθαί τηκομένην τῷ καύματι, τὴν δὲ δυσχερῶς ὁμοίως οἰκουμένην [88], ἅτε δὴ συνεχῶς νειφομένην [89] καὶ τῇ τοῦ κρύους ἐκθηριουμένην ἀγριότητι; διὰ τί δὲ αὐτοῖς οὐ μεταβάλ-

Quarto dehinc libro, capite vero tricesimo quarto, quinto et sexto, hæc fere tractat. E diversitate, quæ cum inter habitabilem orbis partem atque inhabitabilem, tum inter ipsa invicem climata reperitur, refutare genesin sive fatum aggreditur. Quisnam enim astrorum ille motus est, interrogat, quo fit, altera quidem terræ pars ob frigus nimium, altera ob intolerabilem calorem habitari omnino nequeat? rursumque alia vel perpetuo liquescens calore, vel assiduis percussa nivibus, et frigoris asperitate velut efferata, nonnisi difficulter

VARIÆ LECTIONES.

[87] λβ' A : δεύτερον ς'. [88] οἰκουμένην] præstat οἰκεῖσθαι. [89] νιφομένην ς'.

incoli possit? Cur non et in his aeris constitutionem immutat perpetua illa genesis, quæ tot semper in aliis climatibus mutationes producit? Certum igitur illud, neque planetarum cursum, neque signorum cœlestium compositionem, sed unam solis naturam pro intervallo locorumque situ eas, quas jam diximus, varietates efficere. Cur item, cum reliqua ubique terra imbribus irrigetur, solam Ægyptum Nilus, dum certis anni temporibus exundat, atque in illam se effundit, fertilem frugibus reddit? Cur adhæc Thebaidos interiorem regionem, quam Oasin nominant, neque fluvius, neque imber ullus irrigat, sed fontium duntaxat fluxus lætificant, qui magno inquilinorum labore exsistunt, non sponte sua, neque imbribus in terram delabentibus, iisdemque rursus per illius venas redditis, ut apud nos contingit. Cujus quidem rei illud signum esto, quod quæ montibus subjecta sunt loca, ejusmodi fontes emittant, qui integra etiam flumina non minus limpida quam dulcia producant, cum interim patentissimi quique campi a montibus remotiores, maximeque plani, vel nullam habeant aquam, vel nonnisi modicam eamque gravem et salsam, nec scaturientem illam, sed in fossis inventam, ac neque tota æstate siti sufficientem. Quod si omnia per genesim administrantur, qui fit quod in humidum aliquod signum sibique familiare planeta ingresso, non omnem simul terram impleat pluvia, sed alibi nihilominus aquarum abundantia, alibi pluviarum inopia, eodem prorsus tempore, neque magno admodum locorum intervallo, terra vitietur? quamquam et contraria iterum in his alio tempore contingere videas, nisi forte vel peculiaris quædam sit illius populi genesis, ut ipsi **212***b* fingunt, vel in propinquo alicubi singulari quodam modo exoriens signum communes illas geneseos effectiones evertat, inanisque sit universalis geneseos vis, si non et particularis genesis concurrat. Singularum igitur terræ partium geneses aerem movent, neque signum humidum una cum sibi affini planeta quidquam efficere poterit, particulari fato resistente. Quare præterea in locis quibusdam rarior est potabilis aqua, in quibusdam vero abundat, et calidis insuper potiuntur aquis incolæ sponte productis? Siciliæ quoque, Galliæ, Lyciæ, aliarumque gentium non minimarum, maximi montes, perennem ignem sic emittunt, ut etiam longe positis noctu appareat, neque vel frigoribus imminuatur, vel imbribus exstinguatur, vel terræ germinibus noceat: cum qui his ipsis populi adjacent, tale nihil patiantur, neque ostendere [illi] possint, quid tantam locorum, aeris, aquarum, camporum, montium, differentiam dederit. Nam si duodecim signa zodiaci, et septem planetæ [id præstent], quare igitur non eadem ubique operantur? Inopes præterea et divites, im-

A λει τὴν τοῦ ἀέρος κατάστασιν ἡ γένεσις, συνεχεῖς [90] ἀεὶ τὰς μεταβολὰς ἐν τοῖς ἄλλοις παρέχουσα κλίμασιν: ἢ δῆλον ὡς οὔτε πλανήτων δρόμος οὔτε σύνθεσις ζωδίων, μόνη δὲ τοῦ ἡλίου [91] ἡ φύσις πρὸς τὰ διαστήματα καὶ τῶν τόπων τὰς θέσεις τὰς προειρημένας ἐργάζεται διαφοράς. Διὰ τί δὲ πάλιν, τῆς γῆς ὑετοῖς ἀρδομένης ἀπανταχοῦ, μόνην τὴν Αἴγυπτον πλημμυρῶν ὁ Νεῖλος κατά τινα χρόνον τοῦ ἐνιαυτοῦ καὶ ἀναχεόμενος εἰς αὐτὴν καρποφόρον ἐργάζεται; διὰ τί δὲ τὴν ἐνδοτέρω Θηβαΐδος χώραν, ἣν ὀνομάζουσιν Ὄασιν, οὔτε ποταμὸς οὔτε ὑετὸς ἄρδει, ἀλλὰ πηγῶν εὐφραίνει ῥεύματα πολυχειρίᾳ τῶν οἰκητόρων, ἀλλ' οὐκ αὐτομάτως ἀναδιδομένων, οὐδὲ ὑετῶν φορᾶς ἐπὶ γῆς ἐρχομένης [673 R.] καὶ διὰ τῶν ἐν αὐτῇ φλεβῶν ἀναδιδομένη, ὅπερν γίνεται

B παρ' ἡμῖν. Καὶ τούτου σημεῖον τὸ τὰς μὲν ὑπωρείας προΐεσθαι πηγὰς ποταμοὺς ἐργαζομένας διειδεῖς τε καὶ γλυκεῖς, τὰ δὲ ἐπὶ πλεῖστον ἡπλωμένα πεδία καὶ τῆς τῶν ὀρῶν ἐγγύτητος οὐ μετέχοντα καὶ μάλιστα ἰσόπεδα μὴ ἔχειν ὕδωρ, ἢ σφόδρα βραχύ, καὶ τοῦτο βαρὺ καὶ ἁλμυρῶδες, οὐ πηγάζον ἀλλ' ἐν ὀρύγμασιν εὑρισκόμενον, οὐδὲ δι' ὅλου τοῦ θέρους ἀρκεῖν δυνάμενον. Εἰ πάντα διοικεῖται νῇ γενέσει, πῶς πλάνητος εἰσιόντος εἰς ὑγρὸν ζώδιον, [349 H.] ᾧ χαίρει, οὐ πᾶσαν ὁμοῦ τὴν γῆν πληροῖ ὑετὸς, ἀλλ' ἡ μὲν ὑδάτων πλήθει καὶ διεφθάρη πολλάκις ἡ δὲ ἀνομβρίαις κατὰ τὸν αὐτον καιρὸν, καίτοι γε οὐδὲ πολὺ πόῤῥω διισταμένων ἀλλήλων; τἀναντία δ' οὖν πάλιν εἰς καιρὸν ἕτερον ταύταις ὁρᾶται συμβαίνοντα. Τάχα τοῦ ἔθνους [92] ἰδιάζουσά τις γένεσις, ὡς ἂν αὐτοὶ πλάσαιντο, ἤ τι παρανατέλλον ἴδιως ζώδιον τα

C κοινὰ τῆς γενέσεως ἀποτελέσματα διέλυσε, καὶ μάταιόν ἐστι τὸ τῆς γενέσεως καθολικὸν, ἂν μὴ συντρέχῃ καὶ ἡ μερική. Οὐκοῦν αἱ τῶν τῆς γῆς μερῶν γενέσεις τὸν ἀέρα κινοῦσι, καὶ οὐδὲν ἀνύσει τὸ ὑγρὸν ζῴδιον μετὰ [93] τοῦ οἰκείου πλάνητος τῆς μερικῆς εἱμαρμένης ἀντιπιπτούσης. Καὶ διὰ τί ἔν τισι μὲν τόποις σπανίζει τὸ πότιμον ὕδωρ, ἔν τισι δὲ καὶ τοῦτο πληθύει, καὶ θερμῶν ὑδάτων ἀπολαύουσιν αὐτομάτως ἀναδιδομένων; Σικελίας δὲ καὶ Γαλλίας [94] καὶ Λυκίας καὶ ἑτέρων ἐθνῶν οὐκ ὀλίγων ὄρη μέγιστα πῦρ ἀέναον [95] ἐκδιδόασι τοσοῦτον, ὡς καὶ τοῖς ἐν νυκτὶ φαίνεσθαι πόῤῥωθεν, μήτε ὑπὸ κρύους ἐλαττούμενον, μήτε ὑπὸ ὄμβρου [96] σβεννύμενον, μήτε τοῖς τῆς γῆς βλαστήμασι λυμαινόμενον, τῶν παρακειμένων αὐτοῖς μήτε τι τοιοῦτο πα-

D σχόντων μήτε ἐπιδεικνύντων; τί τοσαύτην τόπων, ἀέρων, ὑδάτων, πεδίων, ὀρῶν δέδωκε διαφοράν; οὐ ιβ' τὰ ζώδια καὶ οἱ πλάνητες ζ'; διὰ τί οὖν οὐ πανταχοῦ τὰ αὐτὰ ἐνεργοῦσι; καὶ μὴν πένητας καὶ πλουσίους, ἄρχοντας καὶ ἀρχομένους, νοσοῦντας καὶ ὑγιαίνοντας καὶ τὰ ἑξῆς εὕροις ἂν ἀπανταχοῦ. Πῶς οὖν οὐ πανταχοῦ καὶ ὑετοὶ καὶ αὐχμοὶ [97] καὶ ὅσα προειρήκαμεν; χρυσοῦ δὲ μέταλλον ἢ ἀργύρου ἢ χαλκοῦ ἢ κασσιτέρου ἢ μολίβδου ἢ τῶν ἄλλων μέ-

VARIÆ LECTIONES.

[90] συνεχεῖς corr. A : συνεχὴς Ϛ. [91] δὲ τοῦ ἡλίου] τοῦ ἡλίου δὲ A. [92] ἔθνους AC : ἔθους Ϛ. [93] μετὰ AC : κατὰ Ϛ. [94] Γαλλίας] an Ἰταλίας? [95] ἄένναον Ϛ. [96] libri ὄμβρους. [97] καὶ οἱ αὐχμοὶ A.

ταλλικῶν ἀπὸ ποίας γενέσεως ἡ ὑσις εὑρίσκεται ; Θεὸν μὲν οὖν τοσαύτην διαφορὰν καὶ μυρίαν ἄλλην κεχαρίσθαι τῇ γῇ δι' ἡμᾶς ὁμολογοῦντες εὐσεβοῦμεν · εἱμαρμένην [98] δὲ διὰ τοῦτο τεχνίτας πλάττειν, ἵνα χρήσωνται ταῖς ὕλαις, οὔτ' ἂν ἡμεῖς εἴποιμεν οὔτε ἕτερος εὖ φρονῶν. Ἔτι δὲ εἰ κλίμα ἕκαστον διαμένει μυρίαις ταῖς πρὸς ἄλληλα διαφοραῖς ἀπὸ καταβολῆς κτίσεως κοσμούμενον, καὶ ἀκίνητον ἀπ' αἰῶνος ἕστηκεν ὑπὸ [99] τῶν [1] τῆς γενέσεως μεταβολῶν, οὐδὲν [2] βλαπτόμενον (οὔτε γὰρ παλίῤῥοιαι θαλάσσης ἐπαύθησαν, οὐ πυρὸς ἄσβεστοι πηγαί, οὐ ζώων ἑκάστου κλίματος διαφοραί, οὐ μυρίων ἄλλων ἑτερότητες ἀμετάβλητοι), τοσούτων πραγμάτων τῆς παρ' αὐτοῖς [3] γενέσεως ἀπηλλαγμένων πῶς οὐδὲν ἄνευ ταύτης οὔτε γίνεσθαι λέγουσιν οὔτε διαμένειν οὔτε διοικεῖσθαι ; πυθοίμην δ' ἂν αὐτῶν ἡδέως, ποία δρόμου κίνησις εἰς τὸ εἶναι τὴν ἀρχὴν παρέσχε ταῖς βοτάναις, τοῖς φυτοῖς, τοῖς ζώοις ; δεῖ γὰρ ἑκάστου τούτων φαίνεσθαι τὴν τῆς γενέσεως ὥραν, ὅτε ἀπὰ γῆς ἐπλάττοντο [676 R.] καὶ ἄτέραν μὲν εἶναι φοίνικος, ἑλλην δὲ συκῆς, καὶ κυνὸς ἰδιάζουσαν καὶ καμήλου · οὐ τὴν αὐτὴν ἵππου, περιστερᾶς, ἀνηρώπων, καὶ τῶν ἄλλων ὁμοίως. Ἂν μὲν οὖν ἔχωσι λέγειν διὰ τί μὴ καὶ νῦν ἀπὸ γῆς [4] ἡ γένεσις πλάττει τὰ προειρημένα, διδασκέτωσάν . οὐδὲν γὰρ ἅπαξ ὁ τῆς γενέσεως κύκλος ἀποτελέσει, τὸ δ' αὐτὸ ποιεῖ πολλάκις. Διὰ τί δὲ τὴν μὲν ἀρχὴν οὐκ ἂν ἦν ἃ προήχθη, μὴ ἀπὸ γῆς πλασθέντα, [350 H.] μετὰ δὲ ταῦτα οὐδὲν ἂν αὐτῶν ἀπὸ γῆς βλαστήσειε, διὰ δὲ τῆς ἐξ ἀλλήλων διαδοχῆς σώζεται ; ἢ πῶς τὸ κυριώτατον καὶ ἀναγκαιότατον ἡ γένεσις οὐκ ἔχουσα, λέγω δὴ τὸ ἀπὸ γῆς πλάσαι τὰ πάντα, τοῦ συγκρατεῖν καὶ ἀποτελεῖν καὶ ἀφανίζειν ἐστὶ κυρία ; ἔτι δὲ εἰ [5] ἀπὸ τῆς κατὰ τὴν ὥραν ἀκριβοῦς ἐπιγνώσεως ἑκάστῳ τῶν γινομένων τὰ συμβησόμενα λέγουσιν, ἀνθρώπῳ, φημὶ, καὶ βοΐ καὶ ὀρνέῳ καὶ πλοίῳ καὶ πόλει, καὶ πάντων ὧν τὴν πρόγνωσιν ἔχειν ἰσχυρίζονται, πῶς γῆς καὶ θαλάσσης καὶ τοῦ ἀέρος οὐκ εἰδότες τῶν γενέσεων τοὺς καιροὺς, τὰ πάθη τούτων καὶ τὰς κινήσεις καὶ τὰς μεταβολὰς ἐπαγγέλλονται λέγειν ; καὶ πῶς οὐκ ἂν τις αὐτοῖς ἀπιστήσειε, πῶς δὲ οὐκ ἂν αὐτῶν ἀποστραφεῖεν τὴν ἄμετρον ἀλαζονείαν ; οὐδὲ γὰρ τῶν κατὰ μέρος ἁπάντων ἰδιαζούσας παρέξουσι τὰς γενέσεις. Καὶ μὴν ἀκόλουθον τοσαύτας εἶναι γενέσεων διαφορὰς, ὅσα τὰ γένη τῶν προαγομένων. Πῶς γὰρ ἂν ἡ αὐτὴ τοῦ δρόμου γένεσις κύνα καὶ λέοντα ἐργάσαιτο [6] καὶ ἄνθρωπον καὶ ἵππον, τοὺς τοσοῦτον ἀλλήλων διαλλάττοντας ; πῶς δ' ἂν εἴη ποικιλία χρωμάτων, σχημάτων, ποιοτήτων, μὴ πάντα ποικίλης γενέσεως ἀποτελούσης, ὡς φασιν ; οὐ μίαν δὲ ἐχόντων πρᾶξιν ἢ πάθος ἓν τῶν ἁπάντων ἀνθρώπων [7] ἢ ἵππων ὅλων ἢ χοίρων, οὐ μέγεθος, οὐ τάχος, οὐκ ἰσχὺν, οὐ φωνὴν, δῆλον ὡς οὐχὶ μίαν γενέσεως ῥοπὴν, ἀλλὰ τοσαύτας ἀναγκασθήσονται λέγειν, ὅση καὶ τῶν ἀποτελουμένων ἡ διαφορὰ, οὐ μόνον ζώων χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων,

A perantes et subditos, ægros atque sanos, et cætera ubique reperias : quin ergo etiam ubique pluviæ et ariditates, et quæcunque antea commemoravimus ? Jam auri metallum, argenti, æris stanni, plumbi, vel cæterorum metallicorum natura, a quali tandem genesi orta reperitur ? Itaque Deum quidem et hanc tantam, et alias innumerabiles varietates nostra potissimum causa terræ impertivisse pie fatemur : a fato vero propterea fabros artifices creari, quo mundi hujus rebus uti possint, id neque nos dixerimus, neque alius recte sentiens quisquam. Præter ista, si singula climata permanent, sexcentis inter se differentiis jam inde a condito orbe exornata, et nihil a geneseos mutationibus læsa, immobilia prorsus ab æterno constituerunt (non enim aut alterni fluxus maris, aut ignis inexstincti fontes aut animalium in singulis climatibus differentiæ aut aliæ innumerabiles, sed immutabiles rerum alterationes unquam cessarunt) : tot interim rebus per ipsam genesim immutatis, quomodo sine hac aut fieri quidquam aut permanere aut gubernari posse negant ? Libenter autem ab eis quæsierim, qualisnam forte curriculi motus herbis, plantis et animantibus exsistentibus principium dederit : demonstranda enim genituræ horum cujusque hora, qua e terra formabatur : et aliam quidem esse palmæ, aliam ficus, canis item suam esse propriam, similiterque **213***a* cameli, neque eamdem illam esse equi, columbæ, aut hominum, et id genus aliorum. Si ergo possunt dicere, cur non et nunc e terra genesis formet prædicta, doceant nos. Nihil enim, quod semel duntaxat per geneseos ambitum perficiatur, sed idem etiam sæpe efficit. Cur insuper ab initio quidem non essent quæ producta sunt, nisi e terra formata fuissent : post autem nihil horum e terra germinare possit, sed per mutuam debeat successionem conservari ? Aut quomodo cum quæ propria maximeque necessaria sunt, genesis non habeat (vim illam puto formandi e terra omnia) conservandi [tamen], perficiendi. atque destruendi potens sit ? Præterea si ex accurata illa horæ cognitione, singulis quæ giguntur eventura referunt, homini, inquam, et bovi, avi atque navi, urbi item et cæteris omnibus, quorum præcognitionem habere se asserunt : [at] qua ratione cum terræ, maris, aeris genituræ tempora non noverint, horum affectiones, ac motiones, mutationesque denuntiare se promittunt ? quomodo quis istis credat, aut qua ratione immoderatam ipsorum arrogantiam non aversetur ? nunquam enim singulatim omnium exhibere proprias geniturus poterunt. Et vero etiam consequens est tot esse genitura rum differentias, quot sunt eorum quæ producuntur genera. Nam quomodo eadem curriculi genesis canem et leonem producat, hominem item et equum tantopere inter se discrepan-

VARIÆ LECTIONES.

[98] εἱμαρμένη A. [99] ὑπὸ] libri ἀπό. [1] τῶν add. A. [2] οὐδὲν A : οὐ ς. [3] αὐτῆς ς. [4] ἀπὸ τῆς γῆς ς. [5] εἰ add. A. [6] εἰργάσατο ς. [7] ἀνθρώπων add. A.

tes? quomodo item colorum, figurarum, qualitatum varietas sit, nisi varia quoque genesis hæc omnia efficeret, ut aiunt? Cum vero non una sit omnium sive actio, sive affectio, non equorum omnium vel porcorum eadem magnitudo, celeritas, fortitudo, vox, non unum etiam cogentur, ut constat, genituræ momentum fateri, sed tot plane, quot erunt eorum quæ ab ea perficiuntur differentiæ, non terrestrium modo animalium puta et volantium, atque aquatilium, sed et plantarum, et herbarum, et si quid aliud in terra nascatur. Et quomodo immensam adeo temporis momentorum multitudinem forment? Nunquam sane poterunt, non si decem dierum millibus annus ipsis constet. Ita vero maxime horum mendacium prosternitur, si quis animalia frequenter parientia considerat, ut canes, porcos, gallinas, et potissimum quæ jam plurimos simul gignunt fœtus. Nam porci, pisces, canes, multis parieudis etiam diei integri spatium absumunt. Et vero piscis (quantum ego puto) multos quoque dies, eo quod ovorum illa multitudo **213***b* in myriadas piscium ex ordine transformetur, qui deinde singuli pariuntur. Quibus quidem diebus fieri nullo modo potest, quin volatilia vel terrestria in toto mundo, vel natatilia in toto mari et fluviis et staguis gignantur.

A ἀλλὰ καὶ φυτῶν καὶ βοτανῶν καὶ εἴ τι ἄλλο ἐν κόσμῳ φύεται. Καὶ πῶς ἂν τοσοῦτον ἄπειρον πλῆθος τῶν καιρῶν ἀναπλάσουσιν[8]; ἀλλ' οὐχ ἕξουσιν, οὐδ' εἰ μυριάδες ἡμερῶν αὐτοῖς τὸν ἐνιαυτὸν ἐπλήρουν. Μάλιστα δὲ αὐτῶν τὸ ψεῦδος κατάφωρον[9] γίνεται, εἰ τὰ συνεχῶς τίκτοντα σκοπήσειέ τις, κύνας ἢ χοίρους ἢ ὄρνεις, καὶ οὐχ ἥκιστα τὰ πολυγονώτατα. Χοῖροι γὰρ καὶ ἰχθύες καὶ κύνες πολλὰ τίκτοντες τὸν τῆς ἡμέρας ἀναλίσκουσι καιρὸν, ὁ δ' ἰχθὺς, οἶμαι, καὶ πολλὰς ἡμέρας, τῆς τῶν ὠῶν πληθύος ἐν τάξει μορφουμένης εἰς μυριάδας ἰχθύων κατὰ μέρος τικτομένων, ἐν αἷς ἀμήχανον μὴ γενέσθαι πτηνὰ ἢ[10] χερσαῖα ἐν ὅλῳ τῳ κόσμῳ ἢ νηκτὰ ἐν ὅλῃ θαλάττῃ[11] καὶ ποταμοῖς καὶ λίμναις.

Verum hinc etiam, quod volo, certius quis discat: quando ver bene temperatum incipit, omnis floret herba et parturit, omnisque lignorum species, sed et multa sive volucrium, sive animantium, sive piscium genera mista invicem concipiunt. Infinita quoque [plantarum] genera eodem tempore perfecta ferunt semina, infinitæque arbores suos fructus, non uno quidem momento, sed multis diebus, dum in eadem planta alii etiamnum florent, alii crescunt, alii maturescunt. Nec dissimilis est in animalibus omnibus, partus conceptusque proportio: quæ idem omnino genituræ momentum habere nullo modo possunt. Adde quod alia per annum integrum fetum utero gestant, quædam mensibus decem, quædam diebus quadraginta, aliaque in his plurima reperitur differentia. Quale igitur astrum in quale signum ingredieus dimensum unicuique generi fetum ferendi tempus determinat? Cur autem, cum animantium in genere vitæ tempus æquale non sit, æqualem tamen illa uteri gestationem habent? Dicant igitur, an hæc etiam a genesi proficiscantur, ut magis irrideantur. Sin per silentium dedecus suum declinent: quomodo aliquid sine genesi fieri negant? Neque tamen hic fetuum differentias affero: quorum alii genitoribus similes sunt, ut homines, equi, leones; alii non item, ut ursæ, vespæ, apes, et quæcunque ex ovis prodeunt. Pars rursum sine coitu generantur, pars absque eo nequaquam. Et quis innumeras, quæ in his reperiuntur, differentias enumeraverit, non animantium modo, verum etiam stirpium et herbarum, aliorumque similium? quorum omnium causas ab his fati auctoribus quærere justum est: siquidem omnia secundum borum sententiam ex genesi pendent, et quod exsistant, et modus quo exsistunt, et gestari utero, et pati et agere

B Ἔτι δὲ ἀκριβέστερον ἄν τις ἐντεῦθεν ὃ λέγω καταμάθοι· Ἡνίκα τὸ ἔαρ εὔκρατον ἐπιστῇ, πᾶσα μὲν ἀνθεῖ βοτάνη καὶ κυοφορεῖ, πᾶσα δὲ ξύλων φύσις, πολλὰ δὲ πτηνῶν καὶ χερσαίων καὶ ἐναλίων γένη μιγνύμενα κύει. Καὶ μυρία μὲν γένη κατὰ τὸν αὐτὸν καιρὸν τελεσφορεῖ τὰ σπέρματα, μυρία δὲ τῶν ξύλων τοὺς καρποὺς, οὐκ ἐν μιᾷ ῥοπῇ, ἀλλ' ἐν πλείσταις ἡμέραις, τῶνμὲν ἀνθούντων ἔτι ἐν τῷ αὐτῷ φυτῷ, ἑτέρων δὲ αὐξομένων καὶ ἄλλων πεπαινομένων. [677 R.] Ἡ αὐτὴ δ' ἀναλογία τοῦ τόκου καὶ τῆς κυήσεως καὶ ἐπὶ τῶν ζώων πάντων, ὧν οὐχ οἷόν τε τὴν αὐτὴν τῆς γενέσεως ἔχειν ῥοπήν. Ἔτι δὲ τὰ μὲν ἐνιαυτὸν κυοφορεῖ, τὰ δὲ μῆνας ι', τὰ δὲ ἡμέρας μ', καὶ μυρία ἄλλη διαφορά. Ποῖος οὖν ἀστὴρ εἰς ποῖον ζῴδιον εἰσιὼν μεμετρημένον [351 H.] ἑκάστῳ γένει τὸν τῆς κυοφορίας ἀφορίζει χρόνον; διὰ τί δὲ τῶν κατὰ τὸ γένος ζώων ὁ τῆς ζωῆς χρόνος οὐκ ἴσος ὢν τὴν κύησιν ἴσην ἔχει; Εἰ μὲν οὖν καὶ ταῦτα ἀπὸ γενέσεως, λεγέτωσαν, ἵνα πλέον ὀφλήσωσι τὸν[12] γέλωτα· εἰ δὲ σιγῇ τὴν αἰσχύνην ἀποκλίνουσι, πῶς οὐδὲν ἄνευ γενέσεως εἶναι λέγουσι; Καὶ οὔπω λέγω τὰς διαφορὰς τῶν τικτομένων. Τὰ μὲν γὰρ ὅμοια τῶν γεννώντων ἐστὶν, ὡς ἄνθρωποι καὶ ἵπποι καὶ λέοντες, τὰ δὲ οὐχ οὕτως, ὡς ἄρκτοι καὶ σφῆκες καὶ μέλιτται καὶ ὅσα διὰ τῶν ὠῶν πρόεισι. Καὶ τίνα μὲν καὶ δίχα μίξεως τίκτεται, τινὰ δὲ χωρὶς ταύτης οὐδαμῶς. Καὶ τίς ἂν ἀπαριθμήσειε τὰς ἐν τούτοις ἀναριθμήτους διαφορὰς, οὐ τῶν ζώων μόνον, ἀλλὰ καὶ φυτῶν καὶ βοτανῶν καὶ τῶν παραπλησίων; ὧν ἁπάντων τὰς αἰτίας παρὰ τῶν τῆς εἱμαρμένης πατέρων ζητεῖν δίκαιον, εἴπερ πάντα τῆς γενέσεως κατ' αὐτοὺς ἤρτηται, καὶ τὸ εἶναι καὶ ὁ τοῦ εἶναι τρόπος, κυοφορεῖσθαί τε καὶ πάσχειν καὶ δρᾷν καὶ ἀποθνήσκειν. Ἢ κατὰ τῶν ἀθλίων ἀνθρώπων αὐτοῖς μόνον ἠκριβολογήθη τὰ τῆς γενέσεως, ἵνα τὸ πάντων κάλλιστον τῶν[13] ἐν ἡμῖν τὸ αὐθαίρετον ἀγνοηθῇ, καὶ Θεὸς μὴ

C

D

VARIÆ LECTIONES.

[8] ἀναπλάσσουσιν ς. [9] κατάφορον ς. [10] ἢ om. A. [11] θαλάσσῃ ς. [12] [τὸν et infr. καὶ post μέλ. A. [13] πάντων κάλλιστον τῶν] libri πᾶν τῶν καλλίστων.

εὐχαριστηθῇ οἷς τὸ γένος εὐηργέτησεν; πῶς δὲ πάλιν ἡ γένεσις ἀκαίρους μὲν προσθήκας δίδωσι, τετρακέφαλα κατ' αὐτοὺς ἀποτελοῦσα καὶ χεῖρας πλείους καὶ πόδας τῶν κατὰ φύσιν, τοῖς δὲ ἑρπετοῖς οὐ δίδωσι πόδας, οἳ παρέξουσιν αὐτοῖς τὸ ἐν τῇ βαδίσει χρήσιμον, οὐκ ὀφθαλμοὺς τοῖς ἀσφάλαξιν, οὐδ' ἄλλοις ὧν δέονται; εἶτα ζῆν μὲν οἷς τὰς ἀκαίρους προσθήκας ἔδωκεν οὐκ ἐᾷ (πάντα γὰρ βραχύβια τὰ τερατόμορφα), καὶ τῇ προσθήκῃ τὴν ὅλην ἀφανίζει φύσιν· ὧν δὲ τὰ κατὰ φύσιν ἀφεῖλε, χεῖρας ἢ πόδας ἢ ὀφθαλμούς, ταῦτα ζῆν ἐᾷ, τὴν σωματικὴν πήρωσιν ἀπαραμύθητον ἔχοντα· Εἰ μὲν οὖν τις εἰς εἱμαρμένην ἀναφέρει ταῦτα, αὐτὸς [14] σὺν αὐτῇ τῆς ἀτοπίας ὁ αἴτιος· εἰ δὲ τῆς φύσεως οἶδε τὸ διαμαρτάνειν, ἐξαιρεῖ τὸ θεῖον τῆς κατηγορίας. Ὥσπερ γὰρ αὐτῇ τρέχειν οἰκείους νόμους διώρισεν, οὕτω καὶ θνητὴν συνεχώρησε κατά τινα συμφέροντα λόγον. Αὕτη δὲ σώζουσα μὲν τὰ οἰκεῖα μέτρα οὐδὲν ὁρισμένον φέρει, ἐξοκείλασα [15] δὲ πρὸς ἀμετρίας ἢ ἐνδείας ἢ φόβους ἢ πάθη καὶ τοὺς δοθέντας παραχαράττουσα νόμους οὐδ' ἐν τοῖς τικτομένοις τὸ ἀκίβδηλον σώζει. Διὰ τί δέ τινα τῶν ζώων οὐ τρέφει τὰ γεννήματα. ὥσπερ πτηνῶν μὲν [16] γῦπες καὶ κόρακες, ἰχθύες δὲ μικροῦ σύμπαντες· τὰ δὲ καὶ γηροτροφεῖ τοὺς τεκόντας; καὶ τὰ μὲν καὶ νόθον ὑποβάλλεται γονὴν καὶ τρέφει, τὰ πλεῖστα δὲ οὔ; καὶ τίς ἂν τὰς ἀναριθμήτους τῶν ὄντων διαφορὰς καταλέξειεν; Ἀλλὰ ταῦτα μὲν καὶ ἐν τῷ δ' λόγῳ.

A et mori. An forte adversus miseros mortales duntaxat tam accuratus de genesi sermo ab ipsis institutus est: ut, quod in nobis omnium est honestissimum, libertas arbitrii, ignoretur: Deoque pro collatis in genus humanum beneficiis, gratiæ non agantur? At quomodo rursum genesis intempestiva illa additamenta adjicit, dum quadricipites fetus secundum hos, aut plures quam natura exigit, sive manus sive pedes perficiat: cum neque reptilibus pedes tribuat, qui illis ad ambulandum sint usui, neque **214** *a* oculos talpis, neque aliis ea quibus indigent. Adde quod ea quidem quibus intempestiva illa additamenta dedit, non sinit vivere (quæcunque enim prodigiosæ formæ sunt, brevis quoque ævi esse solent), et additione sua totam simul horum naturam abolet: quibus vero a natura debita sive pedes, sive manus, sive oculos abstulit, ea ita vivere permittit, ut mutilati corporis solatium nullum habeant. Si quis hæc igitur ad fatum referat, is absurditatis auctor non minus quam illud efficitur. Sin naturæ esse peccatum agnoscit, omnem accusandi Numinis occasionem tollit. Quemadmodum enim ipsam suis quibusdam currere legibus statuit, sic et eamdem, ratione quadam utili, juxta mortalium conditionem ferri concessit. Ipsa igitur, suum modum servans, nihil quod ulla sit affectum injuria profert: at si in nimietatem vel defectum, in pavorem, vel vehementes affectiones delapsa, adversus latas sibi leges quidpiam admittat, mox neque in iis quæ gignuntur sinceritatem servat. Cur insuper quædam animantia suos fetus non nutriunt, quemadmodum in volatilibus vultures, corvi, piscesque fere omnes; quædam vero etiam parentes in senio alunt; item alia etiam illegitimum sibi suppositum fetum nutriunt, pleraque vero minime? At quis innumerabiles rerum omnium differentias recenseat? Igitur hæc quidem libro quarto continentur.

Ἐν δὲ τῷ ε' λόγῳ ἄλλα τε διέξεισι, καὶ πρὸ αὐτῶν ὁμοίως κατὰ τῆς εἱμαρμένης τοῦτο. Εἰ τοῖς γονεῦσι, [680 R.] φασί, τὸ τίκτειν ἀπὸ γενέσεως ὑπάρχει, δῆλον ὡς ἀπὸ τῆς τῶν πατέρων γενέσεως καὶ ἡ τῶν υἱῶν γένεσις καὶ ἡ ταύτης ὥρα διωρίσθη. Εἰ δὲ μή, οὐ τῶν γεννησάντων ἡ γένεσις ἀποτελεῖ τοὺς τικτομένους, καὶ μάτην ὁ πολὺς τῆς εἱμαρμένης λόγος. Εἰ γὰρ τὸ σπαρῆναι καὶ κυοφορηθῆναι καὶ τέλειον προελθεῖν ἢ ἀτελὲς [352 H.] τῆς γενέσεως ἔργον ἐστὶ τῶν τικτόντων, δῆλον ὅτι καὶ ἡ τούτων ὥρα· εἰ δὲ μὴ αὕτη, οὐδὲ ἐκεῖνα. Εἰ δ' αἱ γενέσεις ἐξ ἑτέρων εἰσὶ γενέσεων, καὶ ὁ τοῦ γεννᾶσθαι καιρὸς ἀπὸ τῆς τῶν γεγεννηκότων εἱμαρμένης, ῥᾴδιον ἂν εἴη τοῖς ταύτης ἐραστταῖς μίαν μὲν ἀνθρώπου λαβεῖν γένεσιν, ἐξ αὐτῆς δὲ τήν τε τῶν πατέρων εἰπεῖν καὶ τῶν πάππων καὶ τῶν ἔτι προπατόρων [17], καὶ τούτων ἁπάντων τά τε πάθη καὶ τὰς πράξεις τῆς ψυχῆς καὶ τοῦ σώματος, τά τι σχήματα καὶ χρώματα καὶ μεγέθη, οὐ τοῦτο δὲ μόνον, ἀλλ' ἐκ τῆς αὐτῆς καὶ τοῦ ἑνὸς γενέσεως τίνες οἱ τεχθησόμενοι προειπεῖν, καὶ πᾶσαν τὴν ἑσομένην ἐκ τῆς διαδοχῆς συγγένειαν, καὶ ταύτης τὰς πράξεις καὶ ὅσα ἄλλα προείρηται, καὶ μήτε τοὺς παρελθόντας ἀγνοεῖν μήτε τῶν ἑσομένων μηδένα· ὃ καὶ αὐτοὶ ἂν διαγελάσαιεν·

Libro quinto cum alia persequitur, tum ante hæc de fato similiter ista. Si quod parentes gignant, ait, a genesi contingit, manifestum est a parentum genesi et filiorum genesim, et hujus horam definitam esse. Sin minus, ergo gignentium genesis eos qui gignuntur non perficit, frustraque longus de fato sermo habetur. Si enim quod fetus seminetur, gestetur, perfectusque vel imperfectus proveniat, a parentum genesi exsistit, clarum quod horum quoque hora ab eadem proficiscatur. Sin minus hæc, ergo nec illa. Jam si geneses aliæ ex aliis sunt, ipsumque nascendi momentum ab eorum qui genuerunt fato proficiscitur, facile sit hujus amatoribus unam aliquam hominis capere genesim, atque ex ipsa tum patrum, tum avorum, imo et majorum genesim indicare, horumque omnium tam animi quam corporis affectiones actionesque, ac simul figuras, colores et magnitudines. Nec hoc solum, sed etiam ex hac ipsa et illius unius genesi licebit quinam generandi sint prædicere, omnemque adeo futuram ex ordine cognationem, cum suis actionibus, et quæcunque alia supradicta sunt: ut neque præteritorum, neque futurorum quisquam ignoretur. Quod et ipsimet **214** (*b*) irriserint. At tu

VARIÆ LECTIONES.

[14] αὐτὸς A : αὐτῆς ς. [15] ἐξοκέλλουσα A. [16] μὲν et mox καὶ add. A. [17] προπατέρων **A**.

mihi illud quoque inspice : Filiorum, aiunt, genesis infelices reddit parentes, etiamsi forte a propria genesi felicitas ipsis attributa sit. Interdum etiam tollit et vincit patrum genesim ipsa filiorum, quoties videlicet hæc fatalis illius effectus est : sed et patrum genesis infelices reddit liberos et fratrum fratres, eumdemque in modum etiam conjugum ; quantumvis forte aliam alter habeat genesim, et aliunde natus sit. Et quod his omnibus magis deplorandum, genesis cogit generantes odium suscipere pro amore erga liberos : liberos item parentibus, atque inter se fratres, conjugesque infestos reddit, et ad cædes provocat, itaque adversus invicem armat naturam, ut totam turbet cognationem. Et ille quidem lamentatur, quod laboret filius, vel mortua sit uxor, aut maritus, ignarus interim quod horum cujusque et genesis, et amorem invicem necessaria conciliarit, et infortunia, dum eorum qui amabantur exitu dolores acerbos objicit. Hæccine sapiens quisquam ferat? Rursum infelices servos esse per dominorum genesim prodigiose iidem referunt : itemque caprarum, boum, et aliorum animantium greges, per genesim possessoris ; ut et integros exercitus per genesim regis. Ita innumerabiles geneses per unicam illam unius tantum hominis, sive ad meliora, sive ad deteriora avertuntur : et quidem tam felicium quam infelicium, quæ ob unius genesim infinitas habent varietates ætatum, annorum, mensium, dierum, horarum, patrum, matrum, cognatorum : imo et idem quandoque mortis genus sive gladio, sive mari, sive simili aliquo casu subeunt. Attamen invenio ego et servorum atque militum genesim, quomodo ipsi loquuntur, heros reges que superantem. Fallaciis enim hi aut lenocinio interdum dominos vel alia quapiam ratione aggrediuntur, sua illos genesi in dominos armante. Quod si forte patris familias genesim hanc servis dare nocendi potentiam dixerint, magis etiam difficultatem augebunt. Non solum enim [non] inferiores esse subditos coegit dominorum genesis, sed præterea illum ipsum vincere, cujus est genesis ; atque eos qui pro suo fato nunquam tantum ausi fuissent, regis illa genesis in ipsummet provocat. Nam fieri omnino nequit, ut tot simul militum geneses in **215***a* domini mortem conspirent. Civitatis item genesis in universam incolarum multitudinem imperium obtinet. Quando enim hæc decidit, infinitas ætatum varietates pluribus genesibus distinctas e medio tollit, uno hoc eodemque excidio evertens. Ad eumdem quoque modum et aer [corruptus] et diluvium totam sæpe gentem delet ; neque enim possunt tot geneses unum mortis genus nancisci. Si quis porro illud etsi impossibile sit, admittat tamen rursum, [dicam] civitatis vel aeris genesis a multitudinis genesi vertitur, atque e duobus alterum [concedendum], vel multorum

A Ὅρα δὲ κἀκεῖνο · Τῶν παίδων, φασὶν, ἡ γένεσις κακοδαίμονας [18] ποιεῖ τοὺς πατέρας, κἂν ἀπὸ τῆς ἰδίας γενέσεως τὸ εὔδαιμον [19] αὐτοῖς ἐβραβεύετο · ἔσθ' ὅτε δὲ καὶ ἀναιρεῖ καὶ νικᾷ τὴν τῶν πατέρων γένεσιν ἡ τῶν τέκνων γένεσις, ἀποτέλεσμά ἐκείνης οὖσα. Ἀλλὰ καὶ ἡ τῶν πατέρων γένεσις τοὺς παῖδας κακοδαίμονας ποιεῖ, καὶ ἀδελφοὺς ἡ τῶν ἀδελφῶν, καὶ τῶν γεγαμηκότων ὁμοίως, κἂν ἄλλης τινὸς εἴη γενέσεως, κἂν ἑτέρωθεν ἔῳ. Καὶ τὸ πάντων ἀνιαρότερον, μῖσος ἡ γένεσις βιάζεται τοὺς φύντας εἰς τοὺς φυομένους ἀντὶ τῆς στοργῆς ἔχειν, καὶ τέκνα τοῖς γεγεννηκόσι καὶ ἀδελφοὺς πρὸς ἀλλήλους καὶ τοὺς γεγαμηκότας ποιεῖ πολεμίους, καὶ πρὸς ἀναιρέσεις ἐρεθίζει, καὶ κατ' ἀλλήλων ὁπλίζει τὴν φύσιν, ὅλην ταράσσουσα τὴν συγγένειαν. Καὶ ὁ B μὲν ὀδυρεται [20] διότι νοσεῖ ὁ παῖς ἢ τέθνηκεν ἡ γυνὴ ἢ ὁ ἀνὴρ, ἀγνοεῖ δὲ ὅτι ἡ τούτων ἑνὸς ἑκάστου γένεσις καὶ ἀγαπᾷν ἀλλήλους ἠνάγκασε καὶ κακοδαιμονεῖν, δριμείαις ὀδύναις περιβάλλουσα, ταῖς τελευταῖς τῶν στεργομένων. Ταῦτα ἀνέξοιτ' ἂν τις νοῦν ἔχων ; πάλιν δούλους κακοδαιμονεῖν ὑπὸ τῆς τοῦ δεσπότου γενέσεως τερατεύονται, καὶ αἰγῶν ἀγέλας καὶ βοῶν ἢ τῶν ἄλλων ζώων ὑπὸ τῆς τοῦ κεκτημένου, καὶ στρατόπεδα πάλιν διὰ τὴν τοῦ βασιλέως · καὶ τοσαῦται μυριάδες γενέσεων ἀνατρέπονται διὰ τὴν τοῦ ἑνὸς ἢ πρὸς τὸ χεῖρον ἢ πρὸς τὸ ἄμεινον, καίτοι γε τῶν εὐτυχούντων ἢ δυσπραγούντων διὰ τὴν τοῦ ἑνὸς γένεσιν μυρίας ἐχόντων διαφορὰς ἡλικιῶν, ἐνιαυτῶν, μηνῶν, ἡμερῶν, ὡρῶν, πατέρων, μητέρων, συγγενῶν, καὶ τὸν αὐτὸν ἔσθ' ὅτε τοῦ θανάτου τρόπον ὑπεροχμένων, τὸν διὰ σιδήρου ἢ θαC λάσσης ἤ τινος παραπλησίου συμπτώματος. Εὑρίσκω δὲ ἔγωγε καὶ τὴν τῶν οἰκετῶν ἢ στρατιωτῶν γένεσιν, ὡς ἂν αὐτοὶ φαῖεν, κρατοῦσαν τοῦ δεσπότου ἢ τοῦ βασιλέως · ἀπατῶσι γὰρ ἢ φαρμάττουσιν ἔσθ' ὅτε τοὺς δεσπότας, ἢ καὶ ἄλλως ἐπιτίθενται, τῆς γενέσεως αὐτοὺς κατὰ τῶν κυρίων ὁπλιζούσης. Εἰ δὲ λέγοιεν τὴν τοῦ οἰκοδεσπότου γένεσιν τοῖς δούλοις διδόναι τὴν ἰσχὺν τοῦ κακοποιῆσαι, πλείονα ποιοῦσι τὴν ἀπορίαν. [681 R.] Οὐ γὰρ μόνον ἡττᾶσθαι τοὺς ὑπηκόους ἠνάγκασε τοῦ βασιλέως ἡ γένεσις, ἀλλὰ καὶ αὐτοῦ κρατεῖν οὗ ἐστι [353 H.] γένεσις, καὶ τοὺς οὐκ ἂν ἀπὸ οἰκείας εἱμαρμένης τοῦτο τολμήσαντας ἡ τοῦ βασιλέως ἐγείρει κατ' αὐτοῦ · οὐ γὰρ οἷόν τε τοσούτων ὁμοῦ στρατιωτῶν γενέσεις εἰς τὸν κατὰ τοῦ δεσπότου θάνατον συμφωνεῖν. Κρατεῖ δὲ καὶ τῆς πόλεως ἡ γένεσις τοῦ πλήθους τῶν ἐνοικούντων · καταπίπτουσα γὰρ ἡλικιῶν μυρίας διαφορὰς, μυρίαις γενέσεσι διοικουμένας, ἀναιρεῖ [21] φθορᾷ μιᾷ καὶ τῇ αὐτῇ διαφθείρουσα. Καὶ ὁ ἀὴρ ὁμοίως, καὶ κατακλυσμὸς ὡσαύτως ὁλόκληρον ἔθνος ἀφανίζων · οὐ γὰρ οἷόν τε τοσαύτας γενέσεις μίαν ἔχειν ἰδέαν θανάτου. Εἰ δέ τις καὶ τὸ ἀδύνατον τοῦτο συγχωροίη, πάλιν ἢ [22] τῆς πόλεως γένεσις ἢ τοῦ ἀέρος ὑπὸ τῆς τῶν πολλῶν ἀνατέτραπται · καὶ [23] δυοῖν θάτερον, ἢ τὰς τῶν πολλῶν ἀκυρῶσαι τὴν μίαν,

VARIÆ LECTIONES.

[18] κάκοδαίμονος ς. [19] εὐδαῖμον A. [20] ἀδύρεται CA : ὠδύρετο ς. [21] ἀναιρεῖ φθ. ς. [22] ἢ] ἢ ἡ C. [23] καὶ] fortasse legendum ὡς, i. e. ὥστε.

ἢ ταύτην τῇ τῶν πολλῶν ἀκολουθῆσαι τῆς οἰκείας ἀποσπωμένην ἐνεργείας. Τὰ δ' αὐτὰ λέγειν ἂν εἴη καὶ περὶ ξύλων καὶ χόρτων καὶ βοτανῶν καὶ ζώων ἁπάντων. Εἰ τοίνυν αἱ γενέσεις ὑπ' ἀλλήλων ἀνατρέπονται, καὶ αἱ μὲν τῶν παίδων τὰς τῶν πατέρων, αἱ δὲ τούτων τὰς ἐκείνων ἀναιροῦσι, καὶ αἱ τῶν συζυγιῶν τὰς ἀλλήλων, καὶ αἱ τῶν οἰκιῶν τοὺς ἐνοικοῦντας ἢ αἱ τούτων τὰς τῶν οἰκημάτων, καὶ ἁπλῶς ὅσα προείρηται, πανταχόθεν ἡ γένεσις ἑαυτὴν ἀνέτρεψε καὶ διέλυσεν. Ἀλλ' οὕτω μὲν τὸ β' καὶ μ' κεφάλαιον.

Ἐν δὲ τῷ γ' καὶ μ' φησὶν ὅτι ποικίλαις μὲν πράξεσι καὶ πάθεσιν ἢ φυσικαῖς ἢ αὐθαιρέτοις τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ἀέρι καὶ ἐν θαλάττῃ καὶ ἡμεῖς ὁμολογοῦμεν ὑποκεῖσθαι· τὸ δὲ ἀνάγκην εἱμαρμένην πάντων αἰτίαν εἶναι καὶ ἐκτρεπόμεθα καὶ διελέγχομεν, ἀπὸ τῶν ἀψύχων ἀρχόμενοι καὶ εἰς τὰ ἄλογα ζῶα μεταβαίνοντες, ἐκεῖθεν εἰς τοὺς λογικοὺς ἀνθρώπους διαβιβάζοντες. Μάγνης γοῦν ὁ λίθος σίδηρον ἁρπάζει, καὶ οὐχ ἁρπάζει μόνον, ἀλλὰ καὶ δύναμιν ἐντίθησιν ἕτερον ἁρπάσαι, κἀκεῖνος πάλιν ἄλλον μέχρι πλειόνων. Δίκταμνος [24] ἡ βοτάνη πάλιν τοῖς ἰοβόλοις ἐστὶ πολέμιος· καὶ γὰρ καὶ μόνης τῆς ὀσμῆς ἀντιλαμβανόμενα εἰς τὸ ἀνενέργητον μεταβάλλει. Καὶ βοτανῶν ἀγλαοφωτὶς μόνη τοσοῦτον ἐν νυκτὶ λάμπει ὅσον ἡ προσηγορία δηλοῖ, καὶ τὸν ἐπιθυμοῦντα λαβεῖν φεύγει, καὶ ταῦτα ἐρριζωμένη τόπον ἐκ τόπου παρὰ φύσιν μεταβαίνουσα· οὐ γὰρ πρόσεστι τοῖς ἐρριζωμένοις κίνησις ἡ μεταβατική. Χαμαιλέων τὸ ζῶον εἰς πολλὰ χρώματα τὸ σῶμα μεταβάλλει, καὶ τοιοῦτος [25] φαίνεται οἷον τὸ πλησιάζον καὶ παρακείμενον αὐτῷ, κἂν ξύλον κἂν λίθος κἂν ἄλλο [26] τι τοιοῦτον ᾖ· πρὸς γὰρ τὴν ἐκείνου χροιὰν ἁρμόττει [27] τὴν ἑαυτοῦ. Καὶ ἡ σελευκὶς τὸ πτηνὸν οὕτως ἐστὶν ἀκρίσιν ὀλέθριον, ὥστε καὶ ὅσαι ἂν τῇ σκιᾷ ταύτης καταληφθεῖεν φθείρονται. Ἄλλοις πάλιν ἡ νὺξ, ἀλλ' οὐχὶ τὸ φῶς ἐστι τῇ ὄψει ἁρμόδιον. Καὶ τροφὴ πάλιν ἄλλοις ἡ ἑτέρῳ [28] θανάσιμος. Ἀλλὰ καὶ τὸ ποτὸν οὐ πᾶσι τοῖς ζώοις χρήσιμον. Τὸ δέ γε οὐρεῖν τετραπόδων μὲν ἐνίοις οὐ πρόσεστι, πτηνῶν δὲ οὐδενί. Καὶ τί δεῖ λέγειν κατὰ μέρος τὰς ἐν τοῖς ζώοις [354 H.] τροφῆς τε καὶ πότου καὶ διαπλάσεων καὶ ᾠδῆς καὶ σιγῆς καὶ μονῆς καὶ ἀποδημίας καὶ ἐπανόδου καὶ ὑπηρεσίας καὶ ἐλευθερίας [684 R.] σωφροσύνης τε καὶ πολυγαμίας καὶ ἐργασίας καὶ ἀργίας θρασύτητός τε καὶ δειλίας καὶ τῶν ἄλλων ἀναριθμήτων διαφορᾶς; Ποία τοίνυν δρόμου κίνησις ἕκαστον γένος τοιοῦτον ὑπέστησε; διὰ τί δὲ τὸ ὅλον γένος τοιοῦτον, καὶ οὔτε λαγὼς θρασυνθῇ οὔτε λέων δειλιάσει [29], οὐδ' ἄλλο τι τῆς κατὰ γένος καὶ προσηκούσης αὐτῷ ἐνεργείας τὴν φυγὴν μελετήσειεν, ἀλλ' ἕκαστον γένος ὅλον ὅμοιον, μόνον [30] δὲ ταῖς μεταβολαῖς τὸ τῶν ἀνθρώπων γένος ποικίλλεται;

A genesim ab illa una irritam reddi, vel certe hanc propria exutam efficacia, ab illa multorum abripi. Eademque dicere quis posset de lignis, graminibus, herbis et omnibus animalibus. Si igitur geneses aliæ ab aliis invicem evertantur, ita ut filiorum geneses parentum genesim, et horum rursus illorum destruant, et similiter conjugum inter se, ut et domorum genesis illas habitantium, vel contra horum ipsam domorum genesim, atque, ut semel dicam, ea fiant quæ jam dicta sunt, ipsamet sese genesis undique evertit et dissolvit. Sic quidem capite quadragesimo secundo disputat.

Deinde capite proximo, variis actionibus atque affectionibus, iisque vel naturalibus vel liberis, subjici tam quæ in terra, quam quæ in aere et mari B exsistunt, etiam nos, inquit, fatemur : ac necessitatem fatalem horum omnium causam esse, id vero et aversamur, et redarguimus, ducto ab inanimis initio ad rationis expertia animantia descendentes, indeque ad hominem ratione præditum sermonem convertentes. Magnes igitur lapis ferrum ad se rapit, nec ipse rapit tantummodo, sed et huic aliquid ad se ferrum rapiendi vim tribuit, et huic rursum aliud, ad plura usque. Dictamus quoque herba venenatis animalibus adeo inimica est, ut vel solo odoratu recepta, nocendi vim omnem eripiat. Sola item inter herbas aglaophotis (62) ita noctu lucet, ut nominis veriloquium indicat, et carpere conantem refugit ; idque radicata cum sit, locum ex loco C contra naturam mutans : neque enim quæ radicibus hærent transitivo motu prædita sunt. Chamæleon adhæc animal in multos colores corpus mutat, talisque omnino apparet, quale quod illi adjunctum atque subjectum est, sive lignum, sive lapis, seu quid aliud fuerit : ad illius enim colorem etiam suum aptat. Seleucis insuper avis usque adeo locustis est inimica, **215** *b* ut quotquot ejus umbram subeunt, intereant. Aliis rursum nox est ad videndum quam dies accommodatior : aliis etiam alimentum illud est, quod alteri lethale sit, sed et potus non omnibus convenit animantibus. Quædam adhæc in quadrupedibus, volatilia vero omnia, urinam reddendi facultate destituuntur. Et quid attinet sigillatim animantium infinitas differentias tum in D cibo, tum in potu, in figura, in cantu et silentio, in mansione et migratione ac reditu, in obsequio et libertate, in temperantia et libidine, in labore et otio in audacia et timiditate, atque in aliis infinitis recensere ? Qualis ergo curriculi fatalis motus talis ut esset, genus quodlibet effecit ? cur vero universum genus ejusmodi est, ut neque lepus audeat, neque leo paveat, neque aliud ullum animal, innatam suo generi operationem vitare conetur ; sed unum-

VARIÆ LECTIONES

[24] δίκταμος C. ς. [25] τοιοῦτο A. [26] ἄλλο τι A : ὅ. τι ς. [27] ἁρμόττει A : ἁρμολογεῖ ς. [28] ἑτέρῳ Schottus libri ἑτέρα. [29] δειλιάσῃ ς. [30] μόνον Schottus : libri μόναις.

NOTÆ.

(62) Lege Plinium, lib. XXIV, cap. 17, et Ælian. *De animal.* lib. XIV, cap. 27.

quodque genus totum informe sit, solusque homo mutationibus varietur? Quod si per genesim unumquodque genus in proprio naturæ more ubique conservatur, quomodo contrarium in hominibus reperitur? Etenim in eo timiditas et audacia, iracundia et mansuetudo, improbitas et probitas, omniaque adeo contraria. Ubi est igitur ille geneseos cursus? ubi septem planetæ, et duodecim zodiaci signa? Quid tandem hominibus tantam præbet affectionum studiorumque varietatem, cæteris non item? Asinus enim ubique onera gestat, pardalis rapax est, cæteraque speciei suæ ordinem servant. Eodem prorsus modo et quæ brutis animantibus secundum cujusque speciem inest natura, cum genesim, tum circiter eam exorientes stellas, omnemque illam longam domorum sortionem vincit. Ubi enim Mars? cujusnam bruti animantis dexteram gladio armavit, vel corpus lorica texit, vel galea caput tutatus est, aut crura aut pedes? Nec enim lupum in lupum armavit, neque leonum unquam acies inter se commisit. Quis autem commemorare studeat, quæ recensere queat nemo? Si enim nihil extra genesim fit, quomodo nullum sidus, non errans stella, non juxta alicubi exoriens, non signiferi signum hæc congenitis brutis præbet, quæ cum homine communicavit? non textoriam artem, non ferrariam: neque alios quidem magistros aliis qui ab ejusdem speciei sociis discerent constituit? Si quis forte a nobis doceri animalia contendat, primum quidem pauca ejusmodi ostendet, et cur non etiam omnia doceantur, difficilius erit demonstrare. Deinde nunquam mente aut intelligentia, quemadmodum homo; sed fraude vel timore animalia docentur. Quemadmodum canis, vel simia, vel equus, si verberibus coerceatur, ea quæ ostensa illi sunt observat: non quod hæc **216***a* domino utilia fore existimet, sed quod cædatur, ni faciat. Psittacus quoque astu deceptus [humanam vocem] imitatur, quando per speculum appositum non animadvertit quem imitetur. Clanculo enim post speculum quod objectum est loquuntur, quæ discere ipsos cupiunt: psittacus vero, ratus se alium psittacum videre, voces illas exprimere conatur, nihil interim quæ dicuntur intelligens, cum omnia articulate didicerit. Et vero solus psittacus, non autem aquila, neque aliud ullum animal sic docetur. At quomodo non illud rursum contra genesis legem, quod cum hæc cætera animalia ratione destituta producat, eorum tamen aliqua ab hominibus doceantur, supereatque geneseos terminos is qui nunquam hujus legibus solvitur. Si vero etiam apes ab invicem doceri dixerint, in his quoque falsum tuentur: a natura enim, non ab arte operatur apis. Quanquam sic etiam difficultas augeatur. Cur enim neque alia in suo quæque genere inter se aut docent, aut docentur? Quis enim corvos aut vultures volare do-

A εἰ δ' ἡ γένεσις ἕκαστον γένος ἐν τῷ οἰκείῳ τῆς φύσεως ἤθει πανταχοῦ διασώζει, πῶς ἐν ἀνθρώποις τοὐναντίον εὑρίσκεται; καὶ γὰρ δειλία καὶ θρασότης, θυμὸς καὶ πραότης, κακουργία καὶ χρηστότης, καὶ τἀναντία πάντα. Ποῦ οὖν ὁ τῆς γενέσεως δρόμος; οὐχ ἑπτά οἱ πλάνητες καὶ ζώδια δώδεκα; τί δή ποτ' οὖν τοῖς ἀνθρώποις παρέσχε παθῶν τε τοσαύτην καὶ ἐπιτηδευμάτων διαφορὰν, τοῖς δὲ λοιποῖς οὐκέτι; Ἀλλὰ πανταχοῦ μὲν ὄνος ἀχθοφορεῖ, πάρδαλις δὲ ἁρπάζει, καὶ τὰ ἄλλα τοῦ εἴδους τὸν εἰρμὸν συντηρεῖ ὁμοίως, καὶ νικᾷ τῶν ἀλόγων ζώων ἡ κατ' εἶδος φύσις τήν τε γένεσιν καὶ τοὺς παρανατέλλοντας καὶ πάντα τὸν μακρὸν ἐκεῖνον λῆρον [31]. Ποῦ γὰρ ὁ Ἄρης; τίνος τῶν ἀλόγων ὥπλισε ξίφει δεξιὰν, ἢ B θώρακι τὸ σῶμα, ἢ κράνει τὴν κεφαλὴν ἠσφαλίσατο ἢ κνήμας ἢ πόδας; Οὐ γὰρ λύκους ὥπλισε κατὰ λύκων, οὐδὲ λεόντων συνεκρότησε φάλαγγας. Ἀλλὰ τίς διεξιέναι φιλονεικοίη τὰ ἀδιεξίτητα; εἰ γὰρ οὐδὲν ἐκτὸς γενέσεως, πῶς οὐδεὶς ἀστὴρ, οὐ πλάνης, οὐ παρανατέλλων, οὐ ζώδιον ταῦτα τοῖς ὁμοφυέσιν ἀλόγοις παρέχει, οἷς τὸν ἄνθρωπον κατεμέρισεν; οὐχ ὑφαντικὴν, οὐ χαλκευτικήν; οὐ τῶν μὲν εἰς διδασκάλους, τοὺς δὲ παρὰ τῶν ὁμοειδῶν μανθάνειν συνέστησεν; εἰ δέ τις παρ' ἡμῶν διδάσκεσθαι ταῦτα ἐρεῖ, πρῶτον μὲν ὀλίγα δείξει, καὶ διὰ τί μὴ πάντα, πλέον ἀπορήσει· δεύτερον οὐχὶ νῷ καὶ ἐπιστήμῃ ὥσπερ ἄνθρωπος, ἀλλ' ἀπάτῃ ἢ φόβῳ διδάσκεται, ὥσπερ κύων τυπτόμενος ἢ πίθηκος ἢ ἵππος τηρεῖ τὰ δεικνύμενα, οὐχ ὅτι ταῦτα τῷ δεσπότῃ χρήσιμα νοῶν, ἀλλ' ὅτι μὴ ποιῶν τύπτεται. Καὶ ψιττακὸς ἀπατώμενος μιμεῖται· ἐσόπτρῳ γὰρ παρακειμένῳ τὴν μίμησιν C κλέπτεται. Λανθάνοντες γὰρ ὄπισθεν λαλοῦσι τοῦ παρατεθέντος ἐσόπτρου, ἃ μανθάνειν ἐκείνους βούλονται· ὁ δὲ ψιττακὸς ἄλλον δοκῶν ὁρᾷν ψιττακὸν σπεύδει πρὸς μίμησιν τῶν ἐκείνου φωνῶν, οὐ τῶν λεγομένων ἔχων νόησιν· πάντα γὰρ ἂν [32] ἐνάρθρως ἐμάνθανε. Καὶ μὴν καὶ ψιττακὸς μόνος, ἀλλ' οὐκ ἀετὸς οὐδὲ τὰ ἄλλα τῶν ζώων τὰ ἐκείνου διδάσκεται Ἀλλὰ καὶ πῶς οὐκ αὐτὸ τοῦτο πάλιν παρὰ τὸν τῆς γενέσεως νόμον; ἄλογα γὰρ ἐκείνη τὰ ὅλα [33] ζῶα ποιεῖ, διδάσκει δὲ αὐτῶν ὁ ἄνθρωπος ἔνια, καὶ νικᾷ τῆς γενέσεως τοὺς ὅρους ὁ μηδέποτε τούτων ἀπολυόμενος. Εἰ δὲ καὶ τὰς μελίττας διδάσκειν ἀλλήλας φαῖεν, κἀνταῦθα τὸ ψεῦδος ἐτίμησαν· ἐκ φύσεως D γὰρ, [355 H.] ἀλλ' οὐκ ἀπὸ τέχνης ἐργάζεται μέλισσα. Πλὴν καὶ οὕτω τὸ ἄπορον αὔξεται· διὰ τί γὰρ μὴ καὶ τὰ ἄλλα κατὰ γένος ἄλληλα καὶ διδάσκει καὶ διδάσκεται; Τίς δὲ κόρακας καὶ γῦπας ἐδίδαξεν ἵπτασθαι, οὓς οὐδὲ τρέφειν οἱ γεγεννηκότες πεφύκασι; [685 R.] πῶς δ' ἐν [34] αὐτοῖς [35] ἀπεῖπεν ἡ βασιλέας ποιοῦσα καὶ ἄρχοντας γένεσις; οὔτε γὰρ ὄνος ὄνων οὔτε λύκων ἐβασίλευσε λύκος· οὐδὲ ὁ μὲν αὐτῶν πένεται, ὁ δὲ πλουτεῖ· οὐδὲ τῶν ἄλλων οὐδὲν, οἷς τὸ ἀνθρώπινον γένος καταμερίζεται. Ποῦ οὖν οἱ παρανατέλλοντες καὶ ἡ γένεσις καὶ τὸ τῶν ἀποτελεσμάτων αὐτοῖς πλῆθος; ἢ κατὰ μόνων τῶν ἀθλίων

VARIÆ LECTIONES.

[31] λῆρον AC : κλῆρον ς. [32] ἂν et mox τοῦτο add. A. [33] ὅλα] libri ἄλλα. [34] ἐν A : ἂν ς. [35] ἐκείνους ς.

ἀνθρώπων τὸ κρᾶτος ἥρπασαν; καίτοι τῶν ἄλλων ζώων κράτιστον ἄνθρωπος. Καὶ γὰρ καὶ τῶν δυνατωτέρων συνέσει κρατεῖ, καὶ τῶν ἱπταμένων ἐπὶ γῆς βαδίζων κύριος γίνεται, καὶ τὰ εἰς βυθὸν ἀγρεύει νηχόμενα, καὶ ἁπλῶς πάντων ἐστὶ τῷ λόγῳ καὶ τῇ συνέσει κραταιότερος. Πῶς οὖν ἡ γένεσις τοῦ μὲν κρατοῦντος πάντων κρατεῖ, τῶν δ' ὑπ' ἐκείνου κρατουμένων ἄρχειν οὐκ ἴσχυσεν; ἀλλ' ὡς ἔοικε, κατ' ἀνθρώπων αὕτη παρὰ τοῦ πονηροῦ προβέβληται ἡ μηχανή, ἵνα τὸ εὐσεβεῖν καὶ δικαιοπραγεῖν ἀνάγκης ἔργον νομίσαντες ἀλλοτριωθῶσι Θεοῦ, καὶ τὸ τἀναντία πράττειν τῆς αὐτῆς αἰτίας πειθόμενοι οὐδὲν ἀποκνῶσι [36] πρὸς τὰ ἁμαρτήματα. Οὐκοῦν οὐκ ἔστιν ἡ γένεσις, πλάττεται δὲ ὑπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας κατὰ τῆς ἀληθείας, ὥσπερ ὑπὸ τῶν ταύτης ἐλέγχεται φίλων.

A euit, quos ne parentes quidem alere solent? Quomodo item genesis, quæ reges ac principes constituere solet, hos eis negavit? nam neque asinus asinorum, neque lupus luporum rex est, neque inter hos alius pauper est, alius dives, neque aliorum ibi quidquam, quibus humanum genus obnoxium est. Ubi igitur una orientes stellæ? ubi ipsorum genesis, atque illa apotelesmatum multitudo? An hæc in solos miseros mortales tantam abripuere potentiam? Atqui vi cæterorum omnium animantium potentissimus homo. Etenim et fortioribus intellectu præstat, et super terram gradiens volatilium tamen dominus est, et in mari natantia captat, et, ut simul dicam, omnibus animantibus ratione atque intelligendi facultate antecellit. Quo-
B modo igitur genesis in eum habet imperium, qui cæteris imperat omnibus, iis vero imperare nequit, quæ hujus imperio continentur? Verum, ut apparet, hæc adversus homines a malo dæmone instructa machina est, ut et pie vivere justeque agere necessitatis esse effectum rati, alieni a Deo efficerentur; et quæ his contraria committerentur, ab eadem proficisci causa persuasi, nullum omnino peccatum prætermitterent. Nulla est igitur prorsus genesis, sed a veritatis hostibus contra veritatem fingitur, quemadmodum ab hujus amicis demonstratur.

Οὐδὲ γὰρ τὴν ἀλογίαν εὕροι τις ἂν ἀκριβολογούμενος αἰτίαν τοῦ μὴ μανθάνειν τὰ ζῶα ὅσα καὶ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ λογικὸν τῷ ἀνθρώπῳ τῶν μυρίων ἐπιτηδευμάτων αἴτιον. Πόσους γὰρ κατ' αὐτοὺς ἡ γένεσις ἐργάζεται κωφοὺς, ἀφώνους, μωροὺς, ἀτέχνους, ἀφυεῖς! Τί οὖν ὠφέλησε τὸ λογικὸν τὸν ἐκ μήτρας προελθόντα τυφλὸν καὶ κωφὸν ἢ τοὺς τοιούτους, καὶ πόσων ἀλόγων οὐκ εἰσὶ χείρους καὶ πρὸς βίον καὶ πρὸς μάθησιν; τί δὲ μέλιτταν ἔβλαψεν
Αὐτίκα γοῦν, τὴν οἰκείαν μᾶλλον ἐκφαίνων σκαιότητα, Ἀρσινόην μὲν, ὡς πάτριον τοῦτο τοῖς Αἰγυπτίοις, τὴν ἀδελφὴν γαμεῖ, τοὺς ἐκ Λυσιμάχου δὲ παῖδας αὐτῇ γεγεννημένους ἀναιρεῖ· μεθ' οὓς κἀκείνην τῆς βασιλείας ἐξεκήρυξε. Καὶ πολλὰ καὶ παράνομα ἐν δυσὶ διαπραξάμενος [55] ἔτεσι, Γαλατικοῦ [373 II.] μέρους τῆς πατρίδος μεταναστάντος διὰ λιμὸν, καὶ Μακεδονίαν καταλαβόντων καὶ εἰς μάχην αὐτῷ συναψάντων, ἀξίως τῆς ὠμότητος καταστρέφει τὸν βίον, διασπαραχθεὶς ὑπὸ τῶν Γαλατῶν· ζῶν γὰρ ἑλήφθη, τοῦ ἐλέφαντος, ἐν ᾧ ὠχεῖτο, τρωθέντος καὶ καταβαλόντος αὐτόν. Ἀντίγονος δὲ ὁ Δημητρίου ἡττηθεὶς [56] τῷ ναυτικῷ. Πτολεμαίου ἀνῃρημένου τὴν Μακεδόνων λαμβάνει ἀρχήν.

Statim igitur, ut improbitas ejus eo magis in oculos hominum incurrat, Arsinoen sororem, quod patrium hoc sit Ægyptiis prætendens, matrimonii C fœdere sibi astringit, et natos ei ex Lysimacho trucidat: quin mox etiam ipsam, non citra contumeliam, regno expellit. Cumque plurima contra deum hominumque leges intra biennium perpetrasset, accidit ut pars quædam Gallorum fame ex patria migrare coacta, Macedoniam invaderet, a quibus, conserto prœlio, rex vivus capitur, elephanto, quo vehebatur, sauciato excussus, et ab hostibus discerptus, dignum crudelitate sua **227***a* exitum invenit. Antigonus autem Demetrii, qui pugna (quod dictum est) navali succubuerat, jam hoste sublato, Macedoniæ regnum occupat.

Cap. XVI. — *Patrocles Antiochi præfectus a Bithynis cum exercitu cæditur.*

Ὁ δὲ Σελεύκου Ἀντίοχος πολλοῖς πολέμοις, εἰ καὶ D μολις καὶ οὐδὲ πᾶσαν, ὅμως ἀνασωσάμενος τὴν πατρῴαν ἀρχὴν, πέμπει στρατηγὸν Πατροκλέα σὺν ἐκστρατεύματι εἰς τὴν ἐπιτάδε τοῦ Ταύρου· ὁ δὲ Ἑρμογένην [57] προσαιρεῖται, τὸ γένος Ἀσπένδιον [58], ὃς ἐπί τε πόλεις ἄλλας καὶ ἐπὶ τὴν Ἡράκλειαν ὥρμητο εἰσβαλεῖν. Τῶν δὲ Ἡρακλεωτῶν πρὸς αὐτὸν πρεσβευσαμένων [59], τῆς χώρας ἀναχωρεῖ καὶ φιλίαν συντίθεται, ἐπὶ τὴν Βιθυνίαν διὰ τῆς Φρυγίας τραπόμενος. Ἐνεδρευθεὶς δὲ ὑπὸ τῶν Βιθυνῶν διεφθάρη τε αὐτὸς καὶ ἡ σὺν αὐτῷ στρατιὰ, ἀνδρὸς ἔργα τὸ καθ' ἑαυτὸν εἰς πολεμίους [60] ἐπιδειξάμενος.

Antiochus interim, Seleuci filius, eum vix tandem multis bellis, nec universum tamen patris regnum recuperasset, expeditam manum in ulteriora Tauri mittit, Patrocle duce, qui Hermogenem, Aspendium genere, legatum sibi adoptat. Hic cum alias urbes, tum Heracleam quoque infestare constituerat: verum Heracliensium legatione placatus e finibus eorum excedit, et percusso amicitiæ fœdere, per Phrygiæ agros in Bithyniam se convertit. Exceptus vero Bithynorum insidiis, una cum exercitu internecione cæditur, cum strenui viri facinora, suo loco, in hostes edidisset.

VARIÆ LECTIONES.

[52] καλ. ἡ μεγέθους ς. [53] ἕκαστον στοῖχον Palmerius, ἕκατον στοιχον A : ἑκατόστοιχον ς. [54] ἀγωνισαμένου ς. [55] διαναστάντος ς [56] ἡττηθεὶς A : ἡττήθη ς, addendus articulus· [57] Ἑρμογένης ς· [58] Ἀσπέδιον A. [59] διαπρεσβευσαμένων ς. [60] πολέμους ς.

CAP. XVII. — *Heracliensium cum Nicomede societas et urbium recuperatio.*

Hac de causa, Antiocho in Bithynos expeditionem instituente, rex horum Nicomedes per legates subsidium ab Heracliensibus petit et impetrat : gratiam se relaturum, ubi in simili necessitate tempus flagitet, pollicitus. Hac occasione Cierum, et Tium, et Thinidem terram, multis expensis ad se reduxerunt. Amastrin interea (quæ et ipsa cum aliis adempta fuerat) tam bello quam pretio recuperare dum percupiunt, successu carent felice ; propterea quod qui illam tenebat Eumenes, Ariobarzani, Mithridatis filio, gratis eam tradere, quam pecunia revendere Heracliensibus mallet, vesania iræ subactus.

A Διὰ ταῦτα δὴ ἐπιστρατεύειν ἐγνωκότος Ἀντιόχου κατὰ Βιθυνῶν, ὁ τούτων βασιλεὺς Νικομήδης διαπρεσβεύεται πρὸς Ἡράκλειαν συμμαχίαν αἰτῶν, καὶ τυγχάνει τῆς σπουδῆς, ἐν ὁμοίοις καιροῖς καὶ χρείαις τὴν ἀμοιβὴν ὑποσχόμενος. Ἐν τούτῳ δὲ Ἡρακλεῶται τήν τε Κίερον καὶ τὴν Τῖον ἀνεσώσαντο καὶ τὴν Θυνίδα γῆν. [720 R.] πολλὰ τῶν χρημάτων δαπανήσαντες · τὴν δὲ Ἄμαστριν (ἦν γὰρ καὶ αὐτὴ μετὰ τῶν ἄλλων ἀφῃρημένη) καὶ πολέμῳ καὶ χρήμασι βουληθέντες τέως ἀναλαβεῖν αὐτὴν οὐ κατώρθωσαν, τοῦ κατέχοντος αὐτὴν Εὐμένους Ἀριοβαρζάνῃ τῷ Μιθριδάτου παιδὶ προῖκα μᾶλλον παραδοῦναι ταύτην, ἢ παρέχουσι χρήματα τοῖς Ἡρακλεώταις, διὰ τὸ τῆς ὀργῆς ὑπαχθέντος ἀλόγιστον.

CAP. XVIII. — *Heracliensium cum Zipæta bellum, clades et victoria.*

Sub tempus illud, bellum adversus Zipæten Bithynum, qui Thyniacam cum imperio Thraciam obtinebat, Heraclienses excepit. Quo in bello Heracleotarum bona pars, fortiter dimicando, cæsa fuit. Et victoria quidem summa vi potitur Zipœtes : sed ubi sociorum auxilia supervenerant Heracleotis, fuga illam dehonestat. Ergo qui modo succubuerant, cadavera suorum asseruni, et cremant secure : et exinde sub arbitrium suum redigunt, de quibus bello disceptabatur, st ossa interfectorum in urbem relata, magnifice in præclare meritorum de patria monumento conducunt.

B Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐκδέχεται τοὺς Ἡρακλεώτας ὁ πρὸς Ζιποίτην τὸν Βιθυνὸν πόλεμος, ὃς τῆς Θυνιακῆς ἐπῆρχε Θράκης. Ἐν ᾧ πολέμῳ πολλοὶ τῶν Ἡρακλεωτῶν γενναίως ἀνδρισάμενοι κατεκόπησαν, καὶ νικᾷ μὲν κατὰ [61] κράτος ὁ Ζιποίτης, συμμαχίδος δὲ δυνάμεως τοῖς Ἡρακλεώταις ἐπελθούσης, φυγῇ τὴν νίκην καταισχύνει. Οἱ δὲ ἡττημένοι τοὺς σφετέρους νεκροὺς ἀδεῶς ἀναλαβόντες καὶ καύσαντες, εἶτα καὶ πάντων κύριοι, περὶ ὧν ἦν ὁ πόλεμος, καταστάντες, καὶ τὰ ὀστᾶ τῶν ἀνῃρημένων ἀνακομίσαντες εἰς τὴν πόλιν, ἐπιφανῶς ἐν τῷ τῶν ἀριστέων ἔθαψαν μνήματι.

CAP. XIX. — *Antiochi cum Antigono et Nicomede bellum et Heracl. auxilia.*

Circa hæc tempora, inter Antiochum Seleuci et Antigonum Demetrii, ingens movetur bellum : et dum magnos utrinque apparatus faciunt in copias militares, tempus satis longum consumitur. Alteri Nicomedes **227** *b* Bithyniæ rex operam navabat ; Antiocho complures alii. Necdum eruptionem fecerat in Antigonum Antiochus, cum bellum adversus Nicomedem instituit. Hic igitur Nicomedes et aliunde auxilia colligit, et de belli societate Heracleam missis legatis, 13 in subsidium triremes accipit, et tum demum classem suam Antiochi classi opponit. Etsi autem adversas aliquandiu tenebant acies, neutri tamen pugnæ initium faciunt, sed absque effectu tandem divelluntur.

C Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Ἀντιόχῳ τῷ Σελεύκου καὶ Ἀντιγόνῳ τῷ Δημητρίου, μεγάλων ἑκατέρωθεν στρατευμάτων ἀντιπαρατατομένων, κινεῖται, ὁ πόλεμος, καί χρόνον συχνὸν κατέτριψε · συνεμάχει δὲ τῷ μὲν ὁ τῆς Βιθυνίας βασιλεὺς Νικομήδης, Ἀντιόχῳ δὲ πολλοὶ ἕτεροι. Οὕπω δὲ συρράγεις Ἀντίοχος Ἀντιγόνῳ τὸν πρὸς Νικομήδην χειρίζεται πόλεμον · ὁ δὲ Νικομήδης ἀλλαχόθεν τε δυνάμεις ἀθροίζει, καὶ συμμαχεῖν πρὸς Ἡρακλεώτας διαπρεσβευσάμενος τριήρεις ιγ' [374 H.] συμμάχους λαμβάνει, καὶ λοιπὸν ἀντικαθίσταται τῷ τοῦ Ἀντιόχου στόλῳ. Ἐπὶ χρόνον δέ τινα ἀντικαταστάντες ἀλλήλοις, οὐδέτεροι μάχης ἦρξαν ἀλλ' ἄπρακτοι [62] διελύθησαν.

CAP. XX. — *Gallorum in Asiam transmigratio, et sedes distinctæ.*

Postquam vero Galli ad Byzantium delati, maximam ditionis partem depopularentur, fracti bello Byzantini, sociorum, huc illuc missitantes, auxilia implorant, et quisque pro virium modo suppeditat. Heraclienses etiam aureos mille (tantum enim legati petierant) subministrant. Nec longum in medio spatium, cum Nicomedes Gallis [*al.* Galatis] qui incursatis adhuc Byzantinorum finibus, tametsi sæpenumero in Asiam trajicere conati, toties ab incepto desistere, adversantibus Byzantinis, coacti essent, certis tamen conditionibus transitum con-

D Ἐπεὶ δὲ Γαλάται πρὸς τὸ Βυζάντιον ἦκον καὶ τὴν πλείστην αὐτῆς ἐδῄωσαν, τῷ πολέμῳ ταπεινωθέντες οἱ ἐν Βυζαντίῳ πέμπουσι πρὸς τοὺς συμμάχους δεόμενοι ὠφελείας. Καὶ παρέσχον μὲν πάντες ὡς εἶχον ἰσχύος, παρέσχον δὲ καὶ οἱ τῆς Ἡρακλείας (τοσοῦτον γὰρ ἡ πρεσβεία ᾔτει) χρυσοῦς τετρακισχιλίους. Μετ' οὐ πολὺ δὲ Νικομήδης τοὺς Γαλάτας, οἷς ἡ καταδρομὴ τῶν Βυζαντίων ἐγεγένητο. πολλάκις μὲν ἐπιχειρήσαντας τὴν Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δὲ ἀποτυχόντας, οὐκ ἀνεχομένων τὴν πρᾶξιν Βυζαντίων, ἐπὶ συνθήκαις ὅμως παρασκευάζει πο-

VARIÆ LECTIONES.

[61] κατά A : ἀνά ς. [62] ἄπρακτοι A : ἀπαράδεκτοι ς.

ραιωθῆναι. Αἱ δὲ συνθῆκαι, Νικομήδει μὲν καὶ τοῖς ἐκγόνοις ἀεὶ φίλα φρονεῖν τοὺς βαρβάρους, καὶ τῆς γνώμης τοῦ Νικομήδους χωρὶς μηδενὶ συμμαχεῖν τῶν πρὸς αὐτοὺς διαπρεσβευομένων, ἀλλ' εἶναι φίλους μὲν τοῖς φίλοις, πολεμίους δὲ τοῖς οὐ φιλοῦσι, συμμαχεῖν δὲ καὶ Βυζαντίοις, εἴ που δεήσοι, καὶ Τιανοῖς δὲ καὶ Ἡρακλεώταις καὶ Καλχηδονίοις καὶ Κιερανοῖς καί τισιν ἑτέροις ἐθνῶν ἄρχουσιν. Ἐπὶ ταύταις μὲν ταῖς συνθήκαις Νικομήδης τὸ Γαλατικὸν πλῆθος εἰς Ἀσίαν διαβιβάζει· ὧν περιφανεῖς μὲν ἐπὶ τὸ [63] ἄρχειν ιζ' τὸν ἀριθμὸν ἦσαν, οἱ δὲ καὶ αὐτῶν τούτων προκεκριμένοι καὶ κορυφαῖοι Λεωννώριοις ἦστην καὶ Λουτούριος.

[721 R.] Αὕτη τοίνυν τῶν Γαλατῶν ἡ ἐπὶ τὴν Ἀσίαν διάβασις κατ' ἀρχὰς μὲν ἐπὶ κακῷ τῶν οἰκητόρων προελθεῖν ἐνομίσθη, τὸ δὲ τέλος ἔδειξεν ἀποκριθὲν πρὸς τὸ συμφέρον· τῶν γὰρ βασιλέων τὴν τῶν πόλεων δημοκρατίαν ἀφελεῖν σπουδαζόντων, αὐτοὶ μᾶλλον ταύτην [64] ἐβεβαίουν, ἀντικαθιστάμενοι τοῖς ἐπιτιθεμένοις. Νικομήδης δὲ κατὰ Βιθύνων πρῶτον, συμμαχούντων αὐτῷ καὶ τῶν ἐξ Ἡρακλείας, τοὺς βαρβάρους ἐξοπλίσας, τῆς τε χώρας ἐκράτησε καὶ τοὺς ἐνοικοῦντας κατέκοψε, τὴν ἄλλην λείαν τῶν Γαλατῶν ἑαυτοῖς διανειμαμένων. Οὗτοι δὲ πολλὴν ἐπελθόντες χώραν αὖθις ἀνεχώρησαν, καὶ τῆς αἱρεθείσης αὐτοῖς ἀπετέμοντο τὴν νῦν Γαλατίαν καλουμένην, εἰς τρεῖς μοίρας ταύτην διανείμαντες, καὶ τοὺς μὲν Τρωγμοὺς ὀνομάσαντες, τοὺς δὲ Τολοστοβογίους, τοὺς δὲ Τεκτοσάγας. Ἐδείμαντο δὲ πόλεις Τρωγμοὶ μὲν Ἄγκυραν, Τολοστοβόγιοι δὲ Ταβίαν, Τεκτοσάγες δὲ Πισινοῦντα.

ciliavit. Conditionum formula hæc erat: Ut barbari Nicomedi ejusque posteris perpetuo amicitiæ fœdere conjuncti manerent, absque Nicomedis sententia et voluntate nemini, a quo per legatos sollicitarentur, in bellis opem ferrent: sed amicis hujus amici, et inimicis hostes forent. A Byzantinis etiam starent, si qua necessitas incideret. Societatem præterea colerent cum Tianis et Heracliensibus, et Chalcedoniis, et Cieranis, et nonnullis qui alias sub jurisdictione gentes haberent. His pactorum legibus Nicomedes Gallorum [*al.* Galatarum] multitudinem in Asiam transmisit. Horum principes in imperio illustres 17 fuere, inter quos præcipui et summi, Leonorius et Lutarius.

Hæc igitur Gallorum in Asiam transmigratio, primo quidem, ad incolarum detrimentum progressura existimabatur: sed exitus, commodis ipsorum destinatum hoc ostendit. Dum enim reges popularem civitatibus statum abrogare satagunt, Galli, hæc molientibus obsistendo, magis illam corroborant. Nicomedes igitur contra Bithynos primum, illorum auxilio et quos ex Heraclea armasset barbarorum, et provinciam subegit, et concidit incolas: quod alioquin erat prædæ, inter se dispertiti sunt Galatæ. Hi enim longe lateque terram depopulati retro demum cesserunt: et de subacta id sibi amputarunt, quod nunc Galatiæ nomen habet, **228a** in tres partes distributum. Alios enim Trogmos nominant; alios, Tolistobogios; alios, Tectosages. Urbes etiam condiderunt: Trogmi Ancyram, Tolistobogii Tabiam, Tectosages Pesinuntem (65).

CAP. XXI. — *De Astaco et Nicomedia urbibus. Bithynorum principum series.*

Ὁ δὲ Νικομήδης εἰς λαμπρὰν εὐδαιμονίαν ἀρθεὶς πόλιν ἑαυτῷ ὁμώνυμον ἀνεγείρει ἀντικρὺ Ἀστακοῦ. Τὴν Ἀστακὸν δὲ Μεγαρέων] ᾤκισαν [65] ἄποικοι Ὀλυμπιάδος ἱσταμένης ιζ', Ἀστακὸν ἐπίκλην κατὰ χρησμὸν θέμενοι ἀπό τινος τῶν λεγομένων σπαρτῶν καὶ γηγενῶν τῶν [66] ἀπογόνων τῶν ἐν Θήβαις, Ἀστακοῦ τὴν κλῆσιν, ἀνδρὸς γενναίου καὶ μεγαλόφρονος. Αὕτη πολλὰς ἐπιθέσεις παρά τε τῶν ὁμορούντων ὑποστᾶσα καὶ πολέμοις πολλάκις ἐκτρυχωθεῖσα, Ἀθηναίων [375 H.] αὐτὴν μετὰ Μεγαρέας ἐπωκηκότων ἔληξέ τε τῶν συμφορῶν καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἐγένετο, Δυδαλσοῦ τηνικαῦτα τὴν Βιθυνῶν ἀρχὴν ἔχοντος· οὗ τελευτήσαντος ἄρχει Βοτείρας, ζήσας ς' καὶ ο' ἔτη. Τοῦτον διαδέχεται Βᾶς ὁ υἱὸς, ὃς καὶ Κάλαντον [67] Ἀλεξάνδρου στρατηγὸν, καίτοι γε λίαν παρεσκευασμένον πρὸς τὴν μάχην, κατηγωνίσατο, καὶ τῆς Βιθυνίας παρεσκεύασε τοὺς Μακεδόνας ἀποσχέσθαι. Τούτου βίος μὲν ἐγεγόνει ἐτῶν α' καὶ ο', ὧν ἐβασίλευσε ν'. Οὗ παῖς, τῆς ἀρχῆς διάδοχος. Ζιποίτης, λαμπρὸς ἐν πολέμοις γεγονὼς, καὶ τοὺς Λυσιμάχου στρατηγοὺς τὸν μὲν ἄνελὼν, τὸν δὲ

Nicomedes autem, in conspicuo felicitatis gradu positus, de nomine suo exstruxit urbem e regione Astaci. Quam Megarensium colonia sub initium Olympiadis XVII frequentarat, Astacum oraculi jussu denominatam, ab Astaco quodam generoso et cordato viro, ex eorum prosapia qui Sparti et terrigenæ olim Thebis vocabantur. Hæc multum a finitimis appetita, et crebris accisa bellis, Atheniensium colonis postmodum adjectis, vexationum finem, et incrementa gloriæ et potentiæ non mediocra adepta est, Dydalso tunc inter Bithynos rerum potiente. Quo defuncto, Botiras regnat, ad 76 annos ætate producta. Ei filius Bas succedit: qui etiam Calantum, Alexandri copiarum præfectum, licet optime ad pugnam instructum, profligavit acie, et ut Macedones a Bithynia abstinerent effecit. Vixit hic 71 annos, et de iis 50 regnum tenuit, filiumque habuit successorem Zipœten, qui, clarus bellis, e Lysimachi præfectis alium occidit, alium quam longissime a finibus suis depulit. Quin et ipsum Lysimachum repressit. Posthac Antiocho

VARIÆ LECTIONES.

[63] ἐπὶ τό] imo ἐπὶ τῷ. [64] αὐτήν ς. [65] libri ᾤκησαν. [66] τῶν post γηγενῶν om. A. [67] Κάλαν τὸν Ἀλ. ς.

NOTÆ.

(65) Vid. lib. II Rer. Boic. Marci Velseri, p. 71.

Seleuci, qui Asiam tamen et Macedones imperio coercebat, superior factus, urbem condit ad Lyperum montem, nomine suo insignem. Hic ubi vitam in 76, et administrationem regni in 48 annos extenderat, 4 filios reliquit. Eumque in regno Nicomedes natu maximus excepit, fratribus nonfrater, sed lictor factus. Confirmavit tamen etiam hic Bithyniæ regnum, maxime eo, quod Galatas sedes in Asiam transferentes adjuvit, urbemque, ut jam indicatum est, sui nominis eduxit.

A ἔπὶ μήκιστον τῆς οἰκείας ἀπελάσας ἀρχῆς, ἀλλα καὶ αὐτοῦ Λυσιμάχου [68], εἶτα καὶ Ἀντιόχου σοῦ παιδὸς Σελεύκου ἐπικρατέστερος γεγονὼς, τοῦ τε τῆς Ἀσίας βασιλεύοντος καὶ τοῦ Μακεδόνων, κτίζει πόλιν ὑπὸ τῷ Λυπερῷ ὄρει, τῇ αὐτοῦ κλήσει ἐπώνυμον. Οὗτος βιοὺς μὲν ἔτη ς' καὶ ο', κρατήσας δὲ τῆς ἀρχῆς η' καὶ μ', καταλείπει παῖδας δ'. Τοῦτον [69] ὁ πρεσβύτερος τῶν παίδων Νικομήδης διαδέχεται, τοῖς ἀδελφοῖς οὐκ ἀδελφὸς, ἀλλὰ δήμιος γεγονώς. Ἐκράτύνατο μέντοι καὶ οὗτος τὴν Βιθυνῶν ἀρχὴν, μάλιστά γε τοὺς καὶ πόλιν, ὡς προείρηται, τὴν αὐτοῦ προσηγορίαν

Γαλάτας ἐπὶ τὴν Ἀσίαν διαπεραιωθῆναι συναράμενος · ἀνέστησε φέρουσαν.

CAP. XXII. — *Byzantinorum bellum cum Calatianis Heracliensium colonia.*

Interlapso hinc tempore aliquo, Byzantinis bellum adversus Calatianos (Heracleotarum colonia hæc est) et Istrianos erupit, propter Tomin, emporium Calatianis vicinum, quod monopolium ex eo facere animo conceperant Calatiani. Propterea utrinque ad Heraclienses de belli societate mittitur legatio. At hi neutri **228***b* parti bellicam opem tribuunt, sed legant ad utrosque, qui pacifice controversiam transigant : tametsi absque effectu hoc ipsis studium exivit. Multis igitur detrimentis affecti Calatidis incolæ, ad pacis demum conditiones descenderunt. Nec quidquam fere ab ista calamitate virium potuerunt recipere.

B Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ πόλεμος ἀνερράγη Βυζαντίοις πρὸς Καλατιανοὺς (ἄποικοι δὲ οὗτοι Ἡρακλεωτῶν ἦσαν) καὶ πρὸς Ἰστριανοὺς περὶ Τόμεως τοῦ ἐμπορίου, ὃ τοῖς Καλατιανοῖς ὅμορον ἦν, μονοπώλιον τοῦτο διανοουμένων κατασκευάσαι τῶν Καλατιανῶν. Διεπρεσβεύοντο οὖν πρὸς Ἡρακλεώτας ἐπὶ συμμαχίαν [70] ἑκάτεροι. Οἱ δὲ πολεμικὴν μὲν ῥοτὴν οὐδετέρῳ ἔνεμον μέρει, διαλλακτηρίους δὲ ἄνδρας ἑκατέροις ἀπέστελλον, κἂν ἄπρακτος αὐτῶν ἡ σπουδὴ τότε γέγονε. [724 R.] Πολλὰ δὲ οἱ τῆς Καλατίδος ὑπὸ τῶν πολεμίων παθόντες, ὕστερον εἰς διαλύσεις ἦλθον, ἀπὸ ταύτης τῆς συμφορᾶς οὐκέτι σχεδὸν ἀναλαβεῖν αὐτοὺς δυνηθέντες.

CAP. XXIII. — *Testamentum Nicomedis, et Zeilæ, exclusi bellum cum Bithynis, ope Galatarum.*

Nec multum temporis effluxit, cum rex Bithynorum Nicomedes (postquam e priore ei natus conjugio Zeilas ad Armeniorum regem profugisset, expulsus novercæ Etazetæ machinis, cujus liberi adhuc in tenera ætate erant), morte jam imminente, C ex altera natos uxore hæredes regni scripsit : et curatores, Ptolemæum cum Antigono et populo Byzantinorum, nec non Heracliensium Cianorumque, designavit. Zeilas autem cum instructa manu, cui e Galatis Tolistobogii animos augebant, in regnum paternum redit. At Bithyni, dum conservare dominatum parvulis satagunt, matrem horum Nicomedis fratri in matrimonium elocant, et ipsi accepto a curatoribus exercitu Zeilam opperiuntur. Et crebris utrobique prœliis et viribus usi, pacem ad extremum ineunt : cum Heraclienses in pugnis illis excelluissent, et in compositione belli egissent quæ in rem forent. Idcirco Galatæ Heracleam, ut inimicam, invaserunt, ad Calletem usque fluvium : D multaque ditati præda, domum repetierunt.

Οὐ πολλοῦ δὲ πάνυ ῥυέντος χρόνου ὁ τῶν Βιθυνῶν βασιλεὺς Νικομήδης, ἐπεὶ ὁ μὲν ἐκ προτέρων αὐτῷ γάμων γεγονὼς παῖς Ζηίλας φυγὰς ἦν πρὸς τὸν τῶν Ἀρμενίων βασιλέα, ταῖς τῆς μητρυιᾶς Ἑταζέτας μηχαναῖς ἐλαθεὶς, οἱ δὲ ἐκ ταύτης αὐτῷ γεγονότες ἐνηπίαζον, πρὸς τῷ [71] τελευτᾷν γεγονὼς κληρονόμους μὲν τοὺς ἐκ τῆς δευτέρας γυναικὸς γράφει παῖδας, ἐπιτρόπους δὲ Πτολεμαῖον καὶ Ἀντίγονον καὶ τὸν δῆμον τῶν Βυζαντίων καὶ δὴ καὶ τῶν Ἡρακλεωτῶν καὶ τὸν τῶν Κιανῶν ἐφίστησιν. Ὁ μέντοι Ζηίλας μετὰ δυνάμεως, ἣν αὐτῷ τῶν Γαλατῶν οἱ Τολοστοβόγιοι θάρσους ἐπλήρουν, ἐπὶ τὴν βασιλείαν κατῄει, Βιθυνοὶ δὲ τὴν ἀρχὴν σώζειν τοῖς νηπίοις σπουδάζοντες, τὴν μὲν τούτων μητέρα ἀδελφῷ συνοικίζουσι τῷ Νικομήδους, αὐτοὶ δὲ στράτευμα παρὰ τῶν εἰρημένων ἐπιτρόπων λαβόντες ὑπέμενον τὸν Ζηίλαν. Συχναῖς δὲ μάχαις καὶ μεταβολαῖς ἑκάτεροι [376 H.] ἀποχρησάμενοι, τὸ τελευταῖον κατέστησαν εἰς διαλύσεις, Ἡρακλεωτῶν ἐν ταῖς μάχαις ἀριστευόντων κἀν ταῖς συμβάσεσι τὸ συμφέρον καταπραττόντων. Διὸ Κάλλητος ποταμοῦ · καὶ πολλῆς κύριοι γεγονότες λείας

Γαλάται ὡς ἐχθρὰν τὴν Ἡράκλειαν κατέδραμον ἕως οἴκαδε ἀνεχώρησαν.

CAP. XXIV. — *Heracliensium pacificatio inter Antiochum et Byzantinos.*

Sub hæc Byzantinis inferente bellum Antiocho, 40 triremibus Heracleotæ auxiliantur : et horum factum est opera ut ad minas tantummodo progressum haberet bellum.

Βυζαντίους δὲ Ἀντιόχου πολεμοῦντος τριήρεσι συνεμάχησαν μ' οἱ Ἡρακλεῶται, καὶ τὸν πόλεμον παρεσκεύασαν [72] μέχρις ἀπειλῶν προκόψαι.

VARIÆ LECTIONES.

[68] αὐτὸν Λυσίμαχον corr. A. [69] τούτων corr. A. [70] συμμαχίᾳ Stephanus. [71] τῷ A : τό ς. [72] κατεσκεύασαν ς.

CAP. XXV. — *Heracl. Mithridati auxiliantur contra Gallos, sed caro. Nymphis historicus.*

Συνέβη δὲ μετ' οὐ πολὺ ἐξ ἀνθρώπων Ἀριοβαρζά- A νην γενέσθαι, παῖδα Μιθριδάτην καταλιπόντα καὶ ἐν διαφορᾷ πρὸς τοὺς Γαλάτας γεγονότα· δι' ἣν αἰτίαν καταφρονήσαντες τοῦ παιδὸς οὗτοι τὴν αὐτοῦ βασιλείαν ἐσίνοντο. Καὶ ἀπορίας αὐτοὺς καταλαβούσης ἀνελάμβανον οἱ ἀπὸ τῆς Ἡρακλείας, σῖτον εἰς Ἀμισὸν [73] πέμποντες, ἐξ ἧς ῥᾷον ἦν τοὺς τοῦ Μιθριδάτου σιτηγεῖν ἑαυτοῖς καὶ ἐξακεῖσθαι τὴν ἔνδειαν. Διὰ ταῦτα πάλιν οἱ Γάλάται εἰς τὴν Ἡρακλεῶτιν ἔπεμψαν στράτευμα, καὶ ταύτην κατέτρεχον, μέχρις ἂν οἱ Ἡρακλεῶται διεπρεσβεύσαντο πρὸς αὐτούς. Νόμφις δὲ ἦν ὁ ἱστορικὸς ὁ κορυφαῖος τῶν πρέσβεων· ὃς τὸν μὲν στρατὸν ἐν τῷ κοινῷ χρυσοῖς πεντακισχιλίοις, τοὺς δὲ ἡγεμόνας ἰδίᾳ διακοσίοις ὑποθεραπεύσας, τῆς χώρας ἀπαναστῆναι παρεσκεύασεν.

Nec longe post e vita mortalium eximitur Ariobarzanes, filiumque relinquit Mithridatem; cui lites cum Galatis intercessere. Quam ob causam hi, contempta pueri ætate, regnum ejus divexant. Cumque inopia rerum laborarent regii, Heraclienses eos sustentant, frumento Amisum advecto, unde facilior esset Mithridaticis victus copia, et egestatis medela. Propter hæc iterum hostiles in Heracleotidem copias mittunt, eamque depopulantur: usque dum ab Heracliensibus per legatos mitigantur. Princeps autem legatus erat Nymphis, historiæ scriptor: qui cum exercitum **229***a* in commune aureis 5000, ducesque seorsum 200 delinivisset, ut a finibus discederent, effecit. B

CAP. XXVI. — *Ptolemæi liberalitas in Heraclienses.*

Πτολεμαῖος δὲ ὁ τῆς Αἰγύπτου βασιλεὺς εἰς ἄκρον εὐδαιμονίας ἀναβὰς λαμπροτάταις μὲν δωρεαῖς εὐεργετεῖν τὰς πόλεις προήγετο, ἔπεμψε δὲ καὶ τοῖς Ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας, καὶ νεὼν αὐτοῖς Προκοννησίας πέτρας ἐν τῇ ἀκροπόλει Ἡρακλέος ἀνεδείματο.

Ptolemæus autem rex Ægypti, altissimum benignæ fortunæ gradum assecutus, magnificentissimis civitates muneribus demereri constituerat. Itaque etiam Heracliensibus 500 artabas (*sic Persæ medimnum vocant*) tritici misit, et templum Herculis e Proconnesio saxo in arce eis exstruxit.

CAP. XXVII. — *Summa narrationum de Romæ initiis et incrementis, regno, consulibus, imperatoribus, bellis cum Pyrrho, Annibale, Perseo, Antiocho.*

Μέχρι τούτου φθάσας ὁ συγγραφεὺς εἰς τὴν τῶν Ῥωμαίων ἐπικράτειαν τὴν ἐκβολὴν ποιεῖται, ὅθεν τε γένους ἔφυσαν, καὶ τίνα τρόπον τῆς Ἰταλίας ἐνταῦθα κατῴκησαν, ὅσα τε εἰς τὴν τῆς Ῥώμης κτίσιν προὔλαβέ τε καὶ ἐπράχθη, καὶ τῶν ἐπαρξάντων αὐτῶν ἐπιτρέχων, καὶ πρὸς οὓς πολέμοις διηγωνίσαντο, C καὶ τήν τε τῶν βασιλέων κατάστασιν καὶ τὴν εἰς ὑπάτους τῆς μοναρχίας μεταβολήν, ὅπως τε ὑπὸ Γαλατῶν Ῥωμαῖοι ἡττήθησαν [74], καὶ ἤλω ἂν ἡ πόλις, εἰ μὴ Κάμιλλος [75] ἐπιβοηθήσας τὴν πόλιν ἐρρύσατο. [725 R.] Ὅπως τε ἐπὶ τὴν Ἀσίαν Ἀλεξάνδρῳ διαβαίνοντι, καὶ γράψαντι ἢ κρατεῖν, ἐὰν ἄρχειν δύνωνται, ἢ τοῖς κρείττοσιν ὑπείκειν, στέφανον χρυσοῦν ἀπὸ ἱκανῶν ταλάντων Ῥωμαῖοι ἐξέπεμψαν· καὶ ὡς πρὸς Ταραντίνους καὶ Πύρρον [76] τὸν Ἠπειρώτην συμμαχοῦντα τούτοις ἐπολέμησαν, καὶ τὰ μὲν παθόντες, τὰ δὲ κακῶς τοὺς πολεμίους διαθέμενοι, Ταραντίνους μὲν ὑπηγάγοντο. Πύρρον δὲ τῶν τῆς Ἰταλίας ἀπήλασαν· Ὅσα τε πρὸς Καρχηδονίους καὶ Ἀννίβαν Ῥωμαίοις ἐπράχθη, καὶ ὅσα [77] πρὸς Ἴβηρας ἄλλοις τε καὶ Σκιπίωνι κατωρθώθη, καὶ ὡς D παρὰ τῶν Ἰβήρων βασιλεὺς ψηφισθεὶς οὐκ ἐδέξατο, ὅπως τε καταπολεμηθεὶς ἔφυγεν Ἀννίβας. Καὶ ὡς πέραν τοῦ Ἰωνίου Ῥωμαῖοι διέβησαν· καὶ ὡς Περσεὺς ὁ Φιλίππου τὴν Μακεδόνων ἀρχὴν ἐκδεξάμενος, καὶ τὰς συνθήκας [377 H.] τὰς πρὸς τὸν αὐτοῦ πατέρα Ῥωμαίοις γεγεννημένας νεότητι κινῶν, κατεπολεμήθη, Ἡχύλου τὸ κατ' αὐτὸν [78] ἀναστήσαντος

Huc auctor progressus ad imperium Romanum excursionem fecit: quo genere orti, quomodo hæc Italiæ loca insederint: quæque ante urbem condi-tam evenerint et gesta sint. Quos etiam principes habuerint, perstringit: quæ cum aliis bella gesserint, quid condito regno acciderit; et ut tandem regia potestas in consulare mutata fuerit imperium, utque a Gallis Romani devicti, capta propemodum arce cum urbe, nisi maturo superveniens auxilio Camillus eam liberasset: ut etiam Alexandro, in Asiam trajicienti, et per litteras eis denuntianti, ut aut vincerent, si gerendo imperio essent idonei, aut potentioribus cederent, auream coronam (quæ talentis non paucis constaret) contra miserint. Et ut bella gesserint adversus Tarentinos, et Pyrrhum Epiroten, hos auxilio juvantem: et ut, qua patiendo, qua inferendo clades, hostes tandem domuerint, et Pyrrhum Italia expulerint. Quæque cum Carthaginensibus et Annibale negotia confecerint: et quæ contra Hispanos, cum alii, tum Scipio, Marihe secundo peregerint; utque hic Hispanorum decreto rex appellatus, honorem non admiserit: ut debellatus Annibal fugerit. Hic ut Ionium mare transmissum, et cum Perseo, Philippi in regno Macedonum hærede, dum fœdus cum patre a Romanis percussum, juvenili temeritate rescindit, sit debellatum, Æmilio Paulo de ipso triumphante. Ut Antiochum, Syriæ et Comagenæ

VARIÆ LECTIONES

[73] Ἀμησόν ς. [74] ἡττήθησαν, ἡττηθέντες A. [75] Κάμηλος A. [76] Πύρον A. [77] ὅσα τε ς. [78] αὐτὸν] αὐτοῦ Scaliger. idem mox expungit πρός.

et Judææ regem, duabus pugnis infractum, ex Europa ejecerint.

τρόπαιον· ὅπως τε πρὸς Ἀντίοχον τὸν Συρίας καὶ Κομαγήνης καὶ Ἰουδαίας [79] βασιλέα δυσὶ μάχαις νικήσαντες τῆς Εὐρώπης ἐξέβαλον.

CAP. XXVIII. — *Heracliensium legati a Romanis in Asia ducibus humaniter accepti.*

Illa igitur huc usque de imperio Romano commemorat auctor. Exinde propositam sibi historiam ita continuat. Heraclienses, Romanorum duces in Asiam transgressos, missis legatis conveniunt, qui comiter accepti, litteras **229***b* humanitatis plenas ab Æmilio Paulo (*al.* Publio Æmilio) retulerant: quibus et amicum ipsis fore senatum, nec ulla in re prudentiam Romanorum et curam (si quando his indigeant) defuturam pollicetur. Deinceps etiam ad Cornelium Scipionem, qui Africam Romanis bello asseruit, legationem misere, testatam prius amicitiam ut confirmarent. Et post hæc eumdem rursus per legatos orant, ut Antiochum in gratiam reponat apud Romanos: et perscripto ad regem plebiscito, ut bellum contra Romanos deponat, adhortantur. Cornelius etiam Scipio, Heracleotis rescribens hac inscriptione utitur: *Scipio imperator, procos. Romanorum, senatui populoque Heracliensium salutem.* Et his litteris benevolentiam erga ipsos ratam et firmam esse, et bellum cum Antiocho solvisse, Romanos affirmat. Eadem quæ Lucius, etiam P. Cornelius Scipio ejus frater, et classis præfectus, Heracliensibus, post missam legationem respondit. Brevi post Antiochus bellum adversus Romanos redintegrat, et prœlio summis viribus commisso victus, arma deponit, pacis conditionibus acceptis. Quæ et tota eum Asia Minore excludunt, et elephantis naviumque classi eum privant, Comagena et Syria et Judæa tantummodo relictis. Heracliensium dehinc civitas apud imperatorum, (quos modo dixi) missos a Romanis successores, eadem gratia et humanitate potitur: donec ad has tandem leges inter Romanos et Heracleotas processum est: *ut non modo amicitiam inter se, verum etiam societatem, contra quos et quorum gratia opus sit, colant.* Suntque fœderis hujus pacta, ejusdem tenoris et formæ, in tabulas æneas relata duas, quorum altera penes Romanos, in Capitolino, Jovis templo, altera Heracleæ, etiam ipsa in Jovis sacrario est affixa.

Τὰ [80] μὲν οὖν περὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς μέχρι τοῦδε δίεισιν ὁ συγγραφεύς· ἀναλαβὼν δὲ γράφει ὅπως Ἡρακλεῶται, διαπρεσβευσάμενοι πρὸς τοὺς τῶν Ῥωμαίων στρατηγοὺς ἐπὶ τὴν Ἀσίαν διαβεβηκότας, ἀσμένως τε ἀπεδέχθησαν καὶ ἐπιστολῆς φιλοφρονούμενοι ἔτυχον [81], Ποπλίου ταύτην ἀποστείλαντος, ἐν ᾗ φιλίαν τε πρὸς αὐτοὺς τῆς συγκλήτου βουλῆς ὑπισχνεῖτο, καὶ τὰ ἄλλα προνοίας τε καὶ ἐπιμελείας, ἐπειδάν τινος αὐτῶν δέοιντο, μηδεμιᾶς ὑστερεῖσθαι. Ὕστερον δὲ καὶ πρὸς Κορνήλιον Σκιπίωνα τὸν τὴν Λιβύην Ῥωμαίοις στησάμενον διαπέμπουσι πρεσβείαν, τὴν ὡμολογημένην φιλίαν ἐπικυροῦντες. Μετὰ ταῦτα δὲ πάλιν πρὸς τὸν αὐτὸν διαπρεσβεύονται, διαλλάττειν πρὸς Ῥωμαίους ἀξιοῦντες τὸν βασιλέα Ἀντίοχον· καὶ ψήφισμα πρὸς αὐτὸν ἔγραψαν [82], παραινοῦντες αὐτὸν τὴν πρὸς Ῥωμαίους διαλύσασθαι [83] ἔχθραν. Ὁ δὲ Κορνήλιας Σκιπίων ἀντεπιστέλλων τοῖς Ἡρακλεώταις ἐπιγράφει οὕτω. Σκιπίων στρατηγὸς, ἀνθύπατος Ῥωμαίων, Ἡρακλεωτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν, ἐν ταύτῃ τήν τε πρὸς αὐτοὺς εὔνοιαν ἐπιβεβαιῶν, καὶ ὡς διαλύσαιντο Ῥωμαῖοι τὴν πρὸς Ἀντίοχον μάχην. Τὰ αὐτὰ δὲ Λευκίῳ [84] Πόπλιος Κορνήλιος Σκιπίων ὁ ἀδελφὸς καὶ στρατηγὸς τοῦ ναυτικοῦ τοῖς Ἡρακλεώταις διαπρεσβευσαμένοις ἀντέγραψε. Μετ' οὐ πολὺ δὲ πάλιν εἰς μάχην Ἀντίοχος Ῥωμαίοις κατέστη, καὶ ἀνὰ κράτος ἡττηθεὶς ἐπὶ συνθήκαις διελύσατο τὴν ἔχθραν, αἳ καὶ τῆς Ἀσίας αὐτὸν ἁπάσης ἀπεῖργον, καὶ τοὺς ἐλέφαντας καὶ τῶν νηῶν συναφῃροῦντο τὸν στόλον, τῆς Κομμαγήνης αὐτῷ [85] καὶ τῆς Ἰουδαίας εἰς ἀρχὴν ὑπολειπομένων. Ἡ δὲ τῶν Ἡρακλεωτῶν πόλις πρὸς τοὺς ἐκπέμπομένους παρὰ τῶν Ῥωμαίων τῶν στρατηγῶν διαδόχους τὰ αὐτά τε διεπρεσβεύετο, καὶ ταῖς ὁμοίαις ἀντεδεξιοῦτο εὐνοίαις καὶ φιλοφρονήσεσι. Καὶ τέλος συνθῆκαι προῆλθον Ῥωμαίοις τε καὶ Ἡρακλεώταις, μὴ φίλους εἶναι μόνον, ἀλλὰ καὶ συμμάχους ἀλλήλοις, καθ' ὧν τε καὶ ὑπὲρ ὧν δεηθεῖεν ἑκάτεροι [728 R.] Καὶ χαλκοῖ πίνακες δύο τὰς ὁμολογίας ἴσους καὶ ὁμοίας ἔφερον· ὧν ὁ μὲν παρὰ Ῥωμαίοις ἐν τῷ κατὰ τὸ Καπιτώλιον ἱερῷ τοῦ Διὸς καθηλώθη, ὁ δὲ κατὰ τὴν Ἡράκλειαν καὶ αὐτὸς [86] ἐν τῷ τοῦ Διὸς ἱερῷ.

CAP. XXIX. — *Heraclienses a Prusia in angustias coacti; hujusque clades.*

Hæc postquam XIII et XIV Historiæ libro exposuit, XV exorsus hæc refert. Prusias, inquit, Bithynorum rex, mirifice industrius et gnavus, multisque rebus gestis clarus, inter alia etiam Cierum, Heracliensis ditionis urbem, bello subjecit, pro Ciero Prusiadem nuncupans. Tium etiam eorumdem jurisdictioni obnoxiam cepit: ut sic undique **230***a* mare circumscriberet Heracleam. Inde etiam

Ταῦτα διεξελθὼν ὁ συγγραφεὺς κατὰ τὸ ιγ' καὶ ιδ' τῆς ἱστορίας, εἰς τὴν ιε' εἰσβολὴν διηγεῖται ὅπως Προυσίας ὁ Βιθυνῶν βασιλεὺς, δραστήριος ὢν καὶ πολλὰ πράξας, μετὰ τῶν ἄλλων καὶ Κίερον πόλιν Ἡρακλεωτῶν οὖσαν ὑφ' ἑαυτὸν ἔθετο τῷ πολέμῳ, ἀντὶ Κιέρου Προυσιάδα καλέσας, εἶλε δὲ καὶ [378 H.] τὴν Τῖον, καὶ αὐτὴν ὑπήκοον αὐτοῖς οὖσαν, ὥστε ἐκ θαλάττης εἰς θάλασσαν τὴν Ἡράκλειαν περιγράψαι.

VARIÆ LECTIONES

[79] καὶ τῆς Ἰουδαίας ς. [80] τά A : ταῦτα ς. [81] φιλοφρόνου μὲν ἔτυχον ς. [82] ψηφ. προσαντέγραψαν ς. [83] διαλύεσθαι ς. [84] Λευκίῳ A : Σελευκίῳ ς. [85] αὐτῷ H. Stephanus : libri αὐτῶν. [86] αὐτό ς.

Ἐφ' αἷς κἀκείνην κραταιῶς ἐπολιόρκει, καὶ πολλοὺς μὲν τῶν πολιορκουμένων ἀπέκτεινεν, ἐγγὺς δ' ἂν καὶ ἡ πόλις τοῦ ἁλῶναι κατέστη, εἰ μὴ ἐπὶ τῆς κλίμακος ἀναβαίνων Προυσίας λίθῳ βαλόντος ἑνὸς τῶν ἀπὸ τῆς ἐπάλξεως συνετρίβη τὸ σκέλος, καὶ τὴν πολιορκίαν τὸ πάθος διέλυσε· φοράδην γὰρ ὁ [87] βληθεὶς, οὐκ ἄνευ ἀγῶνος, ὑπὸ τῶν Βιθυνων ἀνακομισθεὶς εἰς τά οἰκεῖα ἀνέστρεψε, κἀκεῖ βιοὺς ἔτη οὐ πολλὰ, καὶ χωλὸς καὶ ὢν καὶ καλούμενος, τὸν βίον κατέστρεψεν [88].

A violenta eam obsidione pressit, et plurimos obsessorum interfecit. Et jam prope erat ut urbs caperetur, nisi Prusiæ, dum scalis sursum nititur, lapide cujuspiam de propugnaculis icto, crus fractum esset, et hic casus ab oppugnatione desistere eum coegisset. Ita enim percussus, lectica, non sine doloris acerbitate, domum a Bithynis suis refertur, nec multis post annis exactis, nomine et re claudus, finem vivendi fecit.

Cap. XXX. — *Heracleæ obsidium a Galatis.*

Οἱ δὲ ὑπὲρ τὸν Πόντον Γαλάται, οὔπω τῶν Ῥωμαίων, εἰς τὴν Ἀσίαν διαβεβηκότων, πόθον ἔχοντες πεῖραν λαβεῖν τῆς θαλάσσης προελεῖν ἐπεχείρουν τὴν Ἡράκλειαν, καὶ οὐ χαλεπὸν ἐνόμιζον· πολὺ γὰρ τῆς παλαιᾶς Ῥώμης ὑφεῖτο καὶ πρὸς τὸ καταφρονούμενον ὑπέρῤῥει. Στρατεύουσι δὲ κατ' αὐτῆς ἁπάσαις ταῖς B δυνάμεσιν, οὔδ' αὐτῆς συμμάχων ἀμελούσης, ἀλλ' εἰς ὅσα παρεῖχεν ὁ καιρὸς παρασκευαζομένης. Ἐπολιορκεῖτο μὲν οὖν αὕτη, καὶ χρόνος ἐτρίβετο, ὅς τούς Γαλάτας εἰς ἔνδειαν τῶν ἀναγκαίων συνήλαυνε· θυμῷ γὰρ καὶ οὐ παρασκευῇ τῇ δεούσῃ Γαλάτης ἀνὴρ τὸν πόλεμον διαφέρειν οἶδε. Πρὸς οὖν συλλογὴν τῶν ἐπιτηδείων τὸ στρατόπεδον ἀπολελοιπότων, ἐκδραμόντες οἱ τῆς πόλεως καὶ ἀδοκήτοις [89] ἐπιπεσόντες αὐτό τε εἷλον καὶ πολλοὺς ἀνεῖλον καὶ τοὺς ἐπὶ τῆς χώρας σκεδασθέντας οὐ χαλεπῶς συνελάμβανον, ὡς μηδὲ τὴν τρίτην μοῖραν τοῦ Γαλατικοῦ στρατεύματος εἰς Γαλατίαν ἀναστρέψαι. Ἐκ δὲ τοῦ κατορθώματος πάλιν εἰς τὴν προτέραν εὐκλειαν [90] καὶ εὐδαιμονίαν ἐλπίδας ἐλάμβανον ἀναβῆναι.

Nondum in Asiam Romani trajecerant, cum Galatæ, Ponti accolæ, maris tentandi cupiditate, Heracleam prius occupare conantur, non difficile id fore existimantes : siquidem de antiqua potentia multum jam diminutum, et ad contemptum prolabi sensim cœperat. Ideo universis eam copiis impugnant. Ipsa tamen sociorum interim non est immemor, sed quantum occasio præsens facultatis concedit, se contra munit. Obsidione igitur in tempus aliquod extracta, commeatuum inopia in arctum coguntur Galatæ. Ira enim, non apparatu necessario instructus, bellum inferre Galatas novit. Quare cum ad comportandum necessaria castris abscessissent, cives, eruptione facta, et castris potiuntur, et plurimos cædunt. Dispalantes etiam per agros non magno negotio comprehendunt. Atque ita nec pars tertia Galatici exercitus in Galatiam revertitur. A quo successum ad pristinam emergendi fortunam et celebritatem spes concepit.

Cap. XXXI. — *Heracleotæ Romanis auxiliantur. Marrucini populi.*

Ῥωμαίοις δὲ πρὸς Μάρσους τε καὶ Πελιγνοὺς καὶ Μαρουκίνους [91] (ἔθνη δέ εἰσι ταῦτα ὑπὲρ Λιβύης κατῳκημένα, Γαδείρων ὅμορα) δυσί τῖ τριήρεσι [92] καταφράκτοις Ἡρακλεῶται συνεμάχησαν, καὶ συγκατορθώσαντες τὸν πόλεμον καὶ πολλῶν ἀριστείων ἀξιωθέντες ια' ἔτει πρὸς τὴν πατρίδα ἀνεκομίσθησαν.

Romanis etiam bello contra Marsos, Pelignos, et Marrucinos (gentium harum sedes est supra Africam, in confiniis Gadium) duabus quadriremibus tectis Heracleotæ auxiliantur. Et bello prospere confecto, multis eximiæ virtutis ornati præmiis, undecimo tandem anno in patriam sunt revecti.

Cap. XXXII. — *Bellum Mithridatis cum Romanis et causæ.*

Μετὰ ταῦτα δὲ ὁ πρὸς Ῥωμαίους βαρὺς Μιθριδάτῃ τῷ Πόντου βασιλεῖ συνέστη πόλεμος, φαινομένην λαβὼν αἰτίαν τὴν τῆς Καππαδοκίας κατάληψιν· ταύτης γὰρ δι' ἀπάτης καὶ ὅρκων συμβατηρίων τὸν ἀδελφιδοῦν Ἀράθην συλλαβὼν ὁ Μιθριδάτης, αὐτοχειρίᾳ ἀποσφάξας, ἐκράτησε· παῖς δὲ ὁ Ἀράθης ἐκ D τῆς ἀδελφῆς τοῦ Μιθριδάτου Ἀριαράθῳ γεγένητο. Φονικώτατος δ' ἐκ παιδὸς ὁ Μιθριδάτης ἦν· τὴν γὰρ ἀρχὴν τρισκαιδεκαέτης παραλαβὼν μετ' οὐ πολὺ τὴν μητέρα, κοινωνὸν αὐτῷ παρὰ τοῦ πατρὸς τῆς βασιλείας καταλειφθεῖσαν, [729 R.] δεσμωτηρίῳ κατασχὼν βίᾳ καὶ χρόνῳ ἐξανάλωσε [93], καὶ τόν ἀδελφόν ἀπέκτεινε. Κατεστρέψατο δὲ πολέμῳ καὶ τοὺς περὶ

Post hæc acerrimum Mithridatis adversus Romanos bellum conflatur. Cappadociæ in speciem causa arripitur. Hanc enim Mithridates, cum Ariathum sororis filium, jurisjurandi pacifici dolo in potestatem redactum, sua manu obtruncasset, per vim sibi vindicarat. Ariathum hunc **230***b* ex sorore Mithridatis genuerat Ariathus. Nam a puero ad cædes propensissimus erat Mithridates, cum enim 13 annorum adolescens regnum accepisset, modico interlapso tempore, matrem, regni consortem a patre destinatam, dum carcere vinctam tenet, violentia isla, et temporis diuturnitate confecit. Fratrem etiam necavit. Bello autem subegit reges circa Pha-

VARIÆ LECTIONES.

[78] γὰρ καὶ ὁ ς. [88] μετέστρεψεν ς. [89] καὶ ἀδοκήτοις : ἀδοκήτως ς. [90] εὔκλειαν A : εὐλάβειαν ς. [91] πιλιγνοὺς καὶ μαργουκίνους A. [92] τε τριήρεσι] τετρήρεσι. Stephanus. [93] ἐξηνάλωσε ς.

sin, usque ad climata trans Caucasum : regnoque magnis viribus amplificato, magnum arrogantiæ tumorem ostentabat. Quamobrem, cum eo magis consilio ejus suspecta haberent Romani senatusconsultum fecerant, ut paterna regibus Scytharum regna constitueret. At is moderate quidem mandatis obsequi : sed interim Parthos et Medos, et Tigranem Armenium, regesque Scytharum, et Iberas, in societatem belli asciscere : aliasque belli causas adjungere. Cum senatus enim Romæ Nicomedem, ex Nicomede et Nysa progenitum, Bithyniæ regem instituisset, Mithridates Nicomedem, Frugi cognomento, illi opposuit. Prævaluit tamen electio Romanorum, Mithridate invito.

A τὸν Φᾶσιν βασιλεῖς ἕως τῶν κλιμάτων τῶν ὑπὲρ τὸν Καύκασον, καὶ τὴν ἀρχὴν ηὔξησε, καὶ ἐπὶ μέγα ἀλαζονείας ἐξώγκωτο. Δι' ἃ μᾶλλον Ῥωμαῖοι τὴν αὐτοῦ διάνοιαν ὕποπτον [378 b. H.] ποιούμενοι, τοῖς Σκυθῶν βασιλεῦσιν ἐψηφίσαντο τὰς πατρῴας αὐτὸν ἀρχὰς ἀποκαταστῆσαι. Ὁ δὲ μετρίως μὲν τοῖς προσταττομένοις ὑπήκουε, συμμάχους δὲ Πάρθους καὶ Μήδους καὶ Τιγράνην Ἀρμένιον καὶ τοὺς Σκυθικοὺς βασιλεῖς καὶ τὸν Ἴβηρα προσηταιρίζετο. Προσετίθει δὲ καὶ ἑτέρας τοῦ πολέμου αἰτίας· τῆς γὰρ ἐν τῇ Ῥώμῃ συγκλήτου Νικομήδην τὸν [94] ἐκ Νικομήδους καὶ Νύσης βασιλέα Βιθυνίας καθιστώσης, Μιθριδάτης τὸν χρηστὸν ἐπικληθέντα Νικομήδην [95] ἀντεκαθίστη· ἐπεκράτει δ' ὅμως ἡ Ῥωμαίων κρίσις καὶ ἄκοντος Μιθριδάτου.

Cap. XXXIII. — *Mithridatis victoriæ de Nicomede, et strages civium Rom. in Asia.*

Interjecto tempore, cum Syllæ et Marii in republica Romana seditio exarsisset, Archelaum copiarum ducem Mithridates 45000 peditum, et 1000 equitum, in Bithynos ducere jussit, collatisque signis victor evadit Archelaus. Et fugit cum paucis etiam Nicomedes. Quo cognito Mithridates, cum sub manu essent auxiliares, castris e subjecto Amasiæ campo motis, per Paphlagoniam iter facit, 150000 exercitum adducens. Marius autem sub signis habens Nicomedis copias (quæ ad solam Mithridatis famam dissipabantur), cum exigua Romanorum manu sese subjecit Menophani, Mithridatis tribuno, et repulsus fugit, omni exercitu amisso. Secure igitur Bithyniam invadens Mithridates, et urbes et regionem citra pugnam obtinet : cæterarumque Asiæ civitatum aliæ capiuntur, aliæ in fidem regis concedunt. Et repente ingens fit rerum commutatio, Rhodiis solummodo in amicitia Romanorum perdurantibus. Ideoque terra marique bellum contra ipsos movit Mithridates, licet Rhodii virtute et fortuna ita antecellerent, ut prope esset ipsum regem navali prælio in hostium venire manus. Intellecto post **231***a* Mithridates, cives Romanos per urbes Asiæ dispersos consiliis suis impedimento esse, ad civitates scripsit, ut uno die omnes apud se Romanos occiderent. Et pleræque dicto ejus audientes, cædem tantam patrarunt, ut uno eodemque die 80000 gladio mortem oppeterent.

B Ὕστερον δὲ Σύλλα καὶ Μαρίου περὶ τὴν Ῥωμαϊκὴν πολιτείαν ἀναῤῥιπισάντων τὴν στάσιν, τέσσαρας μυριάδας πεζῶν καὶ μυρίους [96] ἱππέας Ἀρχελάῳ τῷ στρατηγῷ παραδοὺς ὁ Μιθριδάτης κατὰ Βιθυνῶν ἐκέλευσε στρατεύειν. Καὶ κρατεῖ τῆς μάχης συμβαλὼν Ἀρχέλαος, φεύγει δὲ καὶ Νικομήδης μετ' ὀλίγων. Ταῦτα μαθὼν Μιθριδάτης παραγεγονότος οὐτῷ καὶ τοῦ συμμαχικοῦ, ἄρας ἀπὸ τοῦ πρὸς τῇ Ἀμασείᾳ πεδίου διὰ τῆς Παφλαγονίας ᾔει, πεντεκαίδεκα μυριάδας στρατὸν ἐπαγόμενος. Μάνιος [97] δὲ τῶν ἀμφὶ Νικομήδην συστρατευομένων αὐτῷ μόνῃ τῇ τοῦ Μιθριδάτου φήμῃ διασκεδασθέντων, μετὰ Ῥωμαίων ὀλίγων ἀντιπαρατάσσεται Μηνοφάνει τῷ Μιθριδάτου στρατηγῷ, καὶ τραπεὶς φεύγει, πᾶσαν τὴν δύναμιν ἀποβαλών. Ἐμβαλὼν δὲ σὺν ἀδείᾳ Μιθριδάτης εἰς τὴν Βιθυνίαν τάς τε πόλεις καὶ τὴν χώραν ἁμαχὶ [98] κατέσχε· καὶ τῶν ἄλλων δὲ πόλεων τῶν κατὰ τὴν Ἀσίαν αἱ μὲν ἡλίσκοντο αἱ δὲ προσεχώρουν τῷ βασιλεῖ, καὶ μεταβολὴ τῶν ὅλων ἀθρόα καθίστατο, Ῥοδίων μόνον τὴν πρὸς Ῥωμαίους στεργόντων φιλίαν. Δι' ἣν κατ' αὐτῶν Μιθριδάτης καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐκίνει τὸν πόλεμον, εἰ καὶ τὸ πλέον Ῥόδιοι ἔσχον, ὡς καὶ αὐτὸν Μιθριδάτην ναυμαχοῦντα ἐγγὺς τοῦ ἁλῶναι ἐλθεῖν. Μετὰ δὲ ταῦτα μαθὼν Μιθριδάτης ὡς οἱ κατὰ τὰς πόλεις σποράδες Ῥωμαῖοι τῶν παρ' αὐτοῦ διανοουμένων ἐμποδὼν ἵστανται, γράφει πρὸς πάσας ὑπὸ μίαν ἡμέραν τοὺς παρ' αὐταῖς Ῥωμαίους φονεύειν. Καὶ πολλοὶ πεισθέντες τοσοῦτον φόνον εἰργάσαντο, ὡς μυριάδας ὀκτὼ ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὸν διὰ ξίφους ὄλεθρον ὑποστῆναι.

Cap. XXXIV. — *Syllæ victoriæ de Taxile et Archelao Mithridatis ducibus.*

Ubi vero Eretria et Chalcis adeoque tota Eubœa ad Mithridatem sese applicarant, aliæque ad eum civitates transiverant, victis etiam Lacedæmoniis, Syllam cum justo agmine Romani emittunt. Cujus adventu civitates, partim sponte deditionem faciunt, partim vi in potestatem ejus veniunt. Nec exiguas Ponticorum copias fundit et fugat. Athenas etiam cepit : et solo urbs æquata esset, nisi ocius

D Ἐρετρίας δὲ καὶ Χαλκίδος καὶ ὅλης Εὐβοίας τοῖς τοῦ Μιθριδάτου προσθεμένων, καὶ ἄλλων πόλεων αὐτῷ προσχωρούντων, κἀὶ μὴν καὶ Λακεδαιμονίων ἡττηθέντων, Σύλλαν [99] ἐκπέμπουσιν οἱ Ῥωμαῖοι, ἱκανὴν αὐτῷ συνεκπέμψαντες στρατιάν. Ὁ δὲ παραγεγονὼς τῶν πόλεων τὰς μὲν ἐκουσιότητι μεταβαλλομένας, τὰς δὲ καὶ βίᾳ κατέσχεν, οὐκ ὀλίγον στράτευμα τῶν Ποντικῶν μάχῃ τρεψάμενος. Εἶλε δὲ καὶ

VARIÆ LECTIONES.

[94] τὸν om. A. [95] τὸν — Νικομήδην] Σωκράτην τὸν — Νικομήδει Palmerius. [96] μυρίας ς. [97] Μάριος ς. [98] ἁμαχεὶ ς. [99] σύλαν A.

τὰς Ἀθήνας· καὶ κατέσκαπτο ἂν ἡ πόλις, εἰ μὴ θᾶττον, ἡ σύγκλητος Ῥωμαίων τὴν τοῦ Σύλλα γνώμην ἀνέκοψε. Συγνῶν δὲ παρατάξεων συνισταμένων, ἐν αἷς τὸ πλεῖον εἶχον οἱ Ποντικοί, καὶ συμμεταβαλλομένων τῶν πραγμάτων τοῖς καθορθουμένοις, ἔνδεια τοῖς βασιλικοῖς τῆς διαίτης ἐπέστη, [732 R.] ἀσώτως τε πρὸς ταύτην [379 H.] διακειμένοις καὶ ταμιεύειν τὰ κτηθέντα [1] μὴ ἐπισταμένοις. Καὶ εἰς συμφορῶν ἂν ἐξέπεσον τὴν ἐσχάτην, εἰ μὴ Ταξίλλης Ἀμφίπολιν ἑλὼν, καὶ διὰ ταῦτα τῆς Μακεδονίας πρὸς αὐτὸν μεταβαλομένης, ἐκεῖθεν τὴν ἀφθονίαν ἐχορήγησε τῶν ἐπιτηδείων. Οὗτος δὲ καὶ Ἀρχέλαος συμμίξαντες σὰ στρατεύματα [2] ὑπὲρ τὰς ἓξ μυριάδας τὸ πλῆθος [3] ἦγον. Καὶ στρατοπεδευονται κατὰ τὴν Φωκίδα χώραν, ὑπαντιάσοντες τῷ Σύλλᾳ. Ὁ δὲ καὶ Λούκιον Ὁρτήνσιον [4] ὑπὲρ τὰς ἓξ χιλιάδας [5] ἄγοντα ἐξ Ἰταλίας συμπαραλαβὼν, ἀπὸ συχνοῦ διαστήματος ἀντεστρατοπεδεύετο. Ἐπὶ σιτολογίαν δὲ παρὰ τὸ πρέπον τῶν περὶ τὸν Ἀρχέλαον τραπέντων, ἀπροόπτως Σύλλας ἐπιτίθεται τῷ τῶν πολεμίων στρατοπέδῳ, καὶ τοὺς μὲν εὐρώστους τῶν ἀλόντων αὐτίκα κτείνει, ἐξ ὧν δὲ φόβον ἐπιθέσεως οὐκ εἶχε, τούτους μεριίστησι τῷ χωρίῳ καὶ πυρὰ κελεύει καίειν, ὡς μηδεμίαν ὑπόνοιαν παρεχόμενοι τοῦ πάθους· καὶ ἔσχον οἱ περὶ τὸν Σύλλαν.

A senatus Romanus Syllæ propositum infregisset. Post crebros autem conflictus, in quibus excellebant Pontici, cum felici jam successu res commutarentur, alimoniæ inopia regiis incubuit, quod prodige victu abuterentur, et acquisita recte dispensare nescirent. Et in extremam deventum esset calamitatem, nisi Taxiles, capta Amphipoli, ideoque Macedonia ad ipsum deficiente, largam cibariorum facultatem inde subministrasset. Hic et Archelaus, commistis agminibus, plus quam 60000 hominum sub signis ducebant, et occursuri Syllæ in Phocide habebant stativa. Ille vero, L. Hortensio assumpto, qui 6000 ex Italia adduxerat, satis longum in medio intervallum relinquens, castra ponit. Archelai autem militibus incomposite ad frumentandum conversis, B improviso adortus castra, quotquot robore pollentes cepit Sylla, occidit: a quibus autem nullus invadendi metus erat, hos loco circumdatos ignes accendere jubet, ut a pabulatione revertentes opperiantur, nulla adversi casus suspicione præbita. Hoc ut prudenter ab imperatore provisum erat, feliciter exivit: magnificaque victoria potiuntur Syllani.

Cap. XXXV. — *Heraclienses Chios a Dorylao in servitutem redactos vindicant.*

Χίους δὲ ὡς Ῥοδίοις συμμαχήσαντας αἰτιασάμενος ὁ Μιθριδάτης, κατ' αὐτῶν Δορύλαον ἐκπέμπει, ὃς, εἰ καὶ πολλῷ πόνῳ, τὴν πόλιν κατέσχε, καὶ τὴν μὲν χώραν κατένειμε τοῖς Ποντικοῖς, τοὺς δὲ πολίτας πλοίοις ἐμβαλὼν διέφερεν ἐπὶ τὸν Πόνον. Ἡρακλεῶται δὲ, ἐπεὶ φιλία αὐτοῖς πρὸς Χίους ἦν, ἔν τῷ C παράπλῳ τὰς Ποντικὰς νῆας, αἳ τοὺς αἰχμαλώτους ἦγον, ἐφορμήσαντες αὐταῖς οὐδ' ἀνθισταμέναις (οὐδὲ γὰρ ἐξήρκουν) κατῆγον ἐπὶ τὴν πόλιν. Καὶ παραυτίκα τὰ πρὸς τὴν χρείαν χορηγοῦντες ἀφθόνως τοῖς Χιώταις τούτους ἀνελάμβανον, καὶ ὕστερον μεγαλοπρεπῶς δωρησάμενοι ἐν τῇ πατρίδι ἀπεκατέστησαν.

Chios tunc incusans Mithridates, quod Rhodiis auxilia misissent, Dorylai opera impugnat: qui (multo licet labore) et urbem cepit, et agros Ponticis divisit, et cives navigiis **231***b* impositos huc illuc in Ponto distulit. At Heraclienses, quod amicitia ipsis cum Chiis intercessit, Ponticas in transitu naves, quæ captivos vehebant, adorti, ne resistentes quidem (non enim sat virium erat) in urbem deduxere. Et nunc quidem large rebus necessariis suppeditatis reficiunt Chiotas: postmodum vero, eximiis affectos muneribus, in patriam restituunt.

Cap. XXXVI. — *Valerius Flaccus, successor Syllæ, trucidatur a Fimbria hujusque successus.*

Ἡ δὲ σύγκλητος Φλάκκον Οὐαλέριον καὶ Φιμβρίαν πέμπει πολεμεῖν Μιθριδάτῃ, ἐπιτρέψασα καὶ Σύλλᾳ συλλαμβάνειν τῷ πολέμῳ [6], ὅμοια φρονοῦντι τῇ συγκλήτῳ· εἰ δὲ μὴ, τὴν πρὸς αὐτὸν πρότερον συνάψαι μάχην. Οὗτος κατ' ἀρχὰς μὲν ποικίλαις ἐπάλαιε συμφοραῖς (λιμόν τε γὰρ καὶ τὰ ἀπὸ τῆς μάχης D πταίσματα ἔσχε), κατώρθωσε μέντοι τὰ πλείω· διὰ δὲ Βυζαντίων ἐπὶ Βιθυνίαν διαβαλὼν, κἀκεῖθεν ἐπὶ Νίκαιαν, τῆς πορείας ἔστη. Ὡσαύτως δὲ καὶ Φιμβρίας ἅμα τοῖς σὺν αὐτῷ διεπεραιώθη. Φλάκκου δὲ δυσχεραίνοντος ὅτι Φιμβρίαν μᾶλλον, ἅτε δὴ φιλανθρώπως ἄρχοντα, τὸ πλῆθος [ἄρχειν] ἠγάπα, καὶ διαλοιδορουμένου αὐτῷ τε καὶ τῶν στρατιωτῶν τοῖς ἐπιφανεστέροις, δύο τῶν ἄλλων πλέον εἰς ὀργὴν ἐξαφθέντες ἀποσφάττουσιν αὐτόν. Ἐφ οἷς ἡ σύγκλητος

Sub ea Romæ senatus Valerio Flacco et Fimbriæ bellum Mithridaticum committit: cum mandatis, ut Syllam, si partes senatus tueatur, adjuvent; sin minus, cum ipso prius manus conserant. Ille igitur variis initio colluctabatur sortis adversæ casibus. Nam et famem et Martis iniquitatem sustinuit: in plerisque tamen prospero fortunæ successu usus. Perque Byzantinorum fines in Bithyniam progressus, et inde Nicæam versus, stativa habuit. At Flaccum, dum indigne fert ab exercitu Fimbriæ plus faveri, imperiumque ejus, utpote mitius et humanius, præferri, ideoque et ipsum et militum nobiliores criminatur, duo præ aliis ira inflammat, trucidant. Quo nomine senatus Fimbriæ irasci quidem, sed tamen dissimulata indignatione consula-

VARIÆ LECTIONES

[1] κτισθέντα ς. [2] τὸ στράτευμα ς. [3] πλῆθος A. τὸ πλεῖον ς. [4] λουκίνσιον ὁρτίνσιον A. λουβίσιον ὁρτίσιον ς. correxit Scaliger. [5] χιλιάδας A : μυριάδας ς. [6] τοῦ πολέμου Schæferus.

tum ei decernendum curare. Hic ergo, omnes sub imperio copias habens, civitates, alias voluntate ipsarum, alias vi sua adjunxit. Mithridatis autem filius, cum Taxile et Diophanto et Menandro, ductorum præstantissimis conjunctus, et magno agmine instructus, Fimbriæ occursat : et primo Barbarorum vires præcellunt. Quare detrimenta in conflictu accepta, stratagemate resarcire cogitans Fimbria (hostis enim numero militum superior erat), cum ad flumen quoddam perventum esset, quod utrumque exercitum divideret, imbre sub auroram forte effuso, ex improviso Romanus imperator fluvium transgressus, hostes in tentoriis somno gravatos ita oppressit, ut ne sentirent quidem : et magna strage edita, præfectorum non multi et equites necem effugerunt. Inter quos etiam Mithridatis regis filius, Pergamum ad patrem, una cum equitum comitatu, **232***a* salvus evasit. Tam gravis igitur et insignis clades ubi regiis accidit, plurimæ civitates ad Romanos desciverunt.

A κατὰ Φιμβρίου ἠγανάκτησεν. Ὅμως οὖν τὴν ἀγανάκτησιν κρύπτουσα ὑπατείαν αὐτῷ ψηφισθῆναι διεπράξατο. Ὁ δὲ, πάσης γεγονὼς ἡγεμὼν τῆς δυνάμεως, τὰς μὲν ἑκούσας τὰς δὲ καὶ βιαζόμενος τῶν πόλεων προσήγετο. Ὁ δὲ νοῦ Μιθριδάτου υἱὸς, Ταξίλλην καὶ Διόφαντον καὶ Μένανδρον τοὺς ἀρίστους τῶν στρατηγῶν ἔχων μεθ' ἑαυτοῦ καὶ πολλὴν ἄγων δύναμιν, τῷ Φιμβίᾳ ὑπηντίαζε. Τὰ μὲν [380 H.] οὖν πρῶτα τὸ ἐπικρατέστερον οἱ βάρβαροι ἔφερον. Φιμβρίας δὲ ἀνασώσασθαι [7] στρατηγήματι τὰς ἐκ παρατάξεως ἐλαττώσεις διανοούμενος (τὸ γὰρ πολέμιον ὑπερεῖχε πλήθει), ὡς ἐπί τινα ποταμὸν τῶν μαχομένων ἑκατέρα δύναμις ἦκε [733 R.] καὶ μέσον ἀμφοῖν τοῦτων ἐποιήσαντο, ὄμβρου περὶ τὸν [8] ὄρθρον ῥαγέντος ἀπροσδόκητος [9] ὁ τῶν Ῥωμαίων στρατηγὸς διαβαίνει τὸν ποταμὸν, καὶ ὕπνῳ τῶν πολεμίων ἐν ταῖς σκηναῖς κατεχομένων ἐπιπεσὼν μηδ' αἰσθανομένους κατέκτεινεν, ὀλίγων τῶν ἐν ἡγεμονίαις διαπεφευγότων τὸν ὄλεθρον καὶ τῶν ἱππέων. Μεθ' ὧν καὶ Μιθριδάτης ὁ Μιθριδάτου, καὶ πρὸς τὸ Πέργαμον πρὸς

B

ὸν πατέρα Μιθριδάτην ἅμα τοῖς συνεξιππασαμένοις διασώζεται. Οὕτω δὲ βαρείας τῆς συμφορᾶς καλλαμπρᾶς τοῖς βασιλικοῖς συμπεσούσης, αἱ πλεῖσται τῶν πόλεων πρὸς τοὺς Ῥωμαίους μετέθεντο.

Cap. XXXVII. — *Syllæ pax cum Mithridate.*

Interea Mario e fuga domum reverso, metuens Sylla (nam de inimicorum ejus factione ille erat) ne simile, propter injurias in illum, sibi exsilium irrogaret, missa legatione, de pace cum Romanis consilia Mithridati suggessit. Quo pacem cupide amplexo, et roganle ut ad paciscendum convenirent, ille prompte se dat in viam. Cumque per aliquod in medio spatium, alter in alterius occursum processisent, Dardanum, ad transigendum, eis hospitium dedit. Ibi, jussis secedere ministris et comitibus, pacta fiunt in hunc modum : « Mithridates Romanis Asia concedat, Bithynis et Cappadocibus reges præsint gentiles. Mithridati totius Ponti regnum sit confirmatum. Peculiariter vero Syllæ expediat triremes 80 et 3000 talentum, ad reditum quem ipse Romam instituisset. Civitatibus apud Romanos haud sit noxæ quod ad Mithridatem defecerint. » Id quod tamen, juxta pacis formulam, non habuit eventum. Nam multas postea servili jugo oppresserunt. Honorifice dehinc Sylla in Italiam remeat. Mariusque denuo urbe excedit ; et Mithridates ad sua se refert : multasque denuo gentes, quæ propter adversam ejus fortunam desciverant, sub manum redegit.

Μαρίου δὲ ἀπὸ τῆς φυγῆς ἀνασωθέντος εἰς τὴν Ῥώμην, Σύλλας εὐεδιῶς [τῶν ἀντιστασιωτῶν γὰρ ἦν ἐκεῖνος) μὴ τῇ ὁμοίᾳ φυγῇ τὴν εἰς αὐτὸν ὕβριν ἀπαιτήσῃ [10], πρὸς Μιθριδάτην διεπρεσβεύετο, συμβάσεις αὐτῷ [11] τὰς πρὸς Ῥωμαίους ὑποβαλλόμενος. Τοῦ δὲ καὶ ταῖς συμβάσεσιν ἀσμενίσαντος, ἀφικέσθαι τε ἐπὶ ταύταις αἰτήσαντος, αὐτὸς προθύμως ἐστέλλετο. Οὕτω γοῦν τῶν ἀναμεταξὺ ἀλλήλων προελληλυθότων, Δάρδανον αὐτοὺς [12] ἐπὶ ταῖς συνθήκαις ὑποδέχεται, καὶ τῶν περὶ αὐτοὺς ὑποχωρησάντων ὁμολογίαι γίνονται, Μιθριδάτην μὲν Ῥωμαίοις ἐκχωρεῖν τῆς Ἀσίας, καὶ [13] Βιθυνῶν δὲ καὶ Καππαδοκίας ἄρχειν τοὺς ἐκ γένους βασιλέας, βεβαιωθῆναι δὲ Μιθριδάτῃ τοῦ Πόντου παντὸς τὴν βασιλείαν, παρασγεῖν δ' ἰδίως Σύλλᾳ τριήρεις π' καὶ τάλαντα τρισχίλια πρὸς τὴν ἰδίαν ἐπὶ τὴν Ῥώμην κάθοδον, καὶ Ῥωμαίους μηδὲν ταῖς πόλεσι μνησικακῆσαι ἀνθ' ὧν μετέβαλον εἰς Μιθριδάτην, εἰ καὶ μὴ κατὰ τὰς ὁμολογίας τοῦτο συνέβη · πολλὰς γὰρ ὕστερον τῶν πόλεων ἐδουλώσαντο. Σύλλας μὲν οὖν οὕτω λαμπρῶς εἰς τὴν Ἰταλίαν ἀφίκετο, καὶ Μάριος αὖθις τῆς πόλεως ὑπεχώρησε, καὶ Μιθριδάτης ἀνέστρεψεν οἴκαδε, πολλὰ τῶν διὰ τὴν ἐν ᾗ κατηνέχθη [14] συμφορὰν ἀποστάντων ἐθνῶν ἐξ ὑπαρχῆς χειρωσάμενος,

C

D

Cap. XXXVIII. — *Murena bellum adversus Mithridatem renovat. Heraclienses neutri opitulantur.*

Post hæc Murena bello præficitur. Ad quem legatos amandat Mithridates, pacis cum Sylla initæ leges prætexens, et ut ratæ sint firmæque contendens. At is legatione non placatus (erant enim natione Græci, et vitæ ratione philosophi, qui plus cul-

Παρὰ τῆς συγκλήτου δὲ Μουρήνας ἡγεμὼν πέμπεται, καὶ Μιθριδάτης διαπρεσβεύεται πρὸς αὐτὸν, τὰς πρὸς Σύλλαν ὁμολογίας ἅμα τε [15] προτείνων καὶ βεβαίους ἀξιῶν εἶναι. Ὁ δὲ μὴ θέμενος τῇ πρεσβείᾳ (καὶ γὰρ καὶ οἱ πρέσβεις, Ἕλληνες ὄντες καὶ τὸν

VARIÆ LECTIONES

[7] ἀνασῶσαι ς. [8] τὸν om. A. [9] ἀπροσδοκήτως ς. [10] ἀποτίσῃ Scaliger. [11] αὐτῳ add. A. [12] αὐτοὺς corr. A : αὐτοῖς ς. [13] καὶ abundare censet Scaliger. [14] κατηνέχθησαν ς. [15] ἅμα τε A. : ἅτε ς. cf. p. 185 *a* 15. 206 *a* 42. 208 *b* 18.

βίον φιλόσοφοι, τὸν Μιθριδάτην μᾶλλον διέσυρον ἢ A συνίστων) ὥρμητο ἐπὶ τὸν Μιθριδάτην. Καὶ τῷ τε Καππαδοκίας Ἀριοβαρζάνῃ τὴν ἀρχὴν βεβαιοτέραν ἐποίει, καὶ ἐπὶ ταῖς εἰσβολαῖς [16] τῆς Μιθριδάτου βασιλείας κτίζει πόλιν Ἑκίνειαν. Ἐν τούτοις ὅ τε Μουρήνας καὶ ὁ Μιθριδάτης διαπρεσβεύονται πρὸς Ἡρακλεώτας, ἀνὰ μέρος ἑκάτερος κατὰ τοῦ ἑτέρου καλῶν ἐπὶ συμμαχίᾳ. Τῶν μὲν οὖν Ῥωμαίων τὴν ἰσχὺν φοβερὰν ἡγοῦντο, ὠρρώδουν δὲ καὶ τὴν γειτνίασιν τοῦ Μιθριδάτου. Διὸ ἀποκρίνονται [17] τοῖς [381 H.] παρ' αὐτῶν πρέσβεσιν ὡς τοσούτων πολέμων ἀναῤῥαγέντων μόλις ἂν τὴν ἰδίαν τηρεῖν δύνασθαι, μήτι γε ἑτέροις ἐπικουρεῖν. Ἀλλὰ γὰρ Μουρήνᾳ μὲν συνεβούλευουν οὐκ ὀλίγοι πρὸς τὴν Σινώπην ὁρμᾷν καὶ περὶ τοῦ βασιλείου κινεῖν τὸν πόλεμον, ὡς εἰ ταύτην ἕλοι, τῶν λοιπῶν κρατήσει ῥᾳδίως· ὁ B δὲ Μιθριδάτης πολλῇ δυνάμει κατασφαλισάμενος ταύτην εἰς αὐτοπρόσωπον πόλεμον καθειστήκει. Καὶ πείραις μὲν ταῖς κατ' ἀρχὰς ἐπικρατέστερα ἦν τὰ τοῦ βασιλέως· εἶτα εἰς ἀγχώμαλον ἡ μάχη συνεστράφη, καὶ εἰς ὄκνον ἡ μάχη τὸ πρόθυμον περιέστησε τῶν πολεμίων. [736 R.] Διὸ καὶ Μιθριδάτης μὲν εἰς τὰ περὶ τὸν Φᾶσιν καὶ τὸν Καύκασον ἐτράπετο, Μουρήνας δὲ ἀπῆρεν εἰς τὴν Ἀσίαν, καὶ τὰ οἰκεῖα ἕκαστος διετίθει.

parent Mithridatem quam commendarent) in regem movit; et Ariobarzani regnum Cappadociæ magis confirmat: et circa ingressum regni Mithridatici, urbem condit Nicæam. Inter hæc Murena et Mithridates, pro se quisque contra alterum legatis, Heraclienses de auxiliis sollicitant. Sed cum potentia Romanorum formidabilis videretur ipsis, et Mithridatis vicinitatem etiam timerent, legatis respondent, in tanta bellorum tempestate, difficulter proprios se lares tueri, nedum aliis **232***b* auxiliari posse. Murenæ tamen non pauci dant consilium, ut Sinopem invadens, de regia ipsa bellum moveat. Si enim hanc ceperit, facile etiam cætera in potestatem ventura. At Mithridates, validis hac præsidiis communita, ipse bello gerendo incumbit. Interque B initia ubi ad manus ventum erat, regii viribus præpollent. Postea fortuna pugnæ exæquatur. Tandem præliandi tædium hostibus alacritatem animi deminuit. Ideo ad interiora circa Phasin et Caucasum se convertit. Murena vero copias in Asiam traducit, et sua tum quisque administrat.

CAP. XXXIX. — *Luculli et Cottæ in Mithridatem expeditio.*

Μετ' οὐ πολὺν δὲ χρόνον Σύλλας ἐν Ῥώμῃ τελευτᾷ, καὶ πέμπουσιν ἡ σύγκλητος ἐπὶ μὲν τὴν Βιθυνίαν Αὐρήλιον Κόττταν, ἐπὶ δὲ τὴν Ἀσίαν Λεύκιον Λεύκολλον, οἷς ἡ ἐντολὴ πολεμεῖν Μιθριδάτῃ. Μιθριδάτης δὲ ἄλλον τε στρατὸν συχνὸν παρεσκευάζετο, καὶ τριήρεις μὲν υ', τῶν δὲ μικροτέρων νηῶν C πεντηκοντέρων [18] τε καὶ κερκούρων ἀριθμὸς ἦν οὐκ ὀλίγος. Διοφάντῳ δὲ τῷ Μιθάρῳ [19] δύναμιν δοὺς πέμπει πρὸς τὴν Καππαδοκίαν, φρουρὰς ταῖς πόλεσιν ἐγκαθιστάναι, εἰ δὲ Λεύκολλος εἰς τὸν Ηόντον ἀφίκοιτο, ὑπαντιάζειν καὶ τῆς πρόσω πορείας ἀπείργειν. Αὐτὸς δὲ μεθ' ἑαυτοῦ πεζὸν μὲν στρατὸν ἦγε ιε' μυριάδας, ἱππεῖς δὲ δισχιλίους [20] ἐπὶ τοῖς μυρίοις. Ἁρματά τε δρεπανηφόρα συνεπῆγεν κ' καὶ β, καὶ πᾶσαν ἄλλην μηχανοποιὸν οὐκ ἐνδέουσαν πληθύν. Ἡπείγετο δὲ διὰ τῆς Τιμωνιτίδος Παφλαγονίας εἰς τὴν Γαλατίαν, καὶ ἐναταῖος εἰς τὴν Βιθυνίαν ἀφικνεῖται. Λεύκολλος δὲ Κόττταν μὲν ἐφορμεῖν κελεύει τῷ Καλχηδονίων λιμένι παντὶ τῷ ναυτικῷ.

Nec longe post Sylla Romæ e vivis migrat: et senatus in Bithyniam mittit Aurelium Cottam, in Asiam vero L. Lucullum, cum mandatis ut bellum Mithridati facessant. At Mithridates, cum alium in procinctu habens exercitum frequentissimum, tum triremes 400 naviumque minorum, quas penteconteres et cercuras vocitant, non exiguus erat numerus. Diophantum etiam Mitharum, cum valida manu, in Cappadociam dimittit, ut præsidia in urbibus collocet: et, si Lucullus Pontum ingrediatur, occurrat, et progressum ejus intercludat. Ipse vero 150000 peditum sub vexillis apud se retinet, et 12000 equitum, quos falcati sequuntur currus 120, nec ulla machinarum omnis generis copia abest. Concitato igitur itinere, per Timonitidem, Cappadociam et Galatiam pergens, ad diem nonum Bithyniam attingit. Lucullus interim Cottam in Chalcedoniorum portu stationem habere jubet cum omni classe.

CAP. XL. — *Heraclienses Mithridati se adjungunt et publicanos Romanos interficiunt.*

Τὸ δὲ Μιθριδάτου ναυτικὸν παραπλέον τὴν Ἡράκλειαν παρ' αὐτῆς οὐκ ἐδέχθη, ἀλλ' ἀγορὰν μὲν αἰτησαμένων παρέσχον. Οἷα δὲ εἰκὸς, ἐπιμιξίας γενομένης Ἀρχέλαος ὁ τοῦ ναυτικοῦ στρατηγὸς συνέλαβε Σιλῆνον [21] καὶ Σάτυρον ἐπιφανεῖς τῆς Ἡρακλείας ἄνδρας, καὶ οὐκ ἀνῆκεν ἕως ἂν ἔπεισε λαβεῖν πέντε τριήρεις συμμαχίδας εἰς τὸν κατὰ τῶν Ῥωμαίων πόλεμον. Καὶ ἀπὸ ταύτης τῆς πράξεως (ὅπερ καὶ Ἀρχέλαος ἐμηχανᾶτο) τὴν Ῥωμαίων ἀπέχθειαν ὁ Ἡρακλεώτης δῆμος ἐκτήσατο. Δημοσιωνίας δὲ τῶν Ῥωμαίων ἐν ταῖς ἄλλαις πόλεσι D

Mithridatis autem classis Heracleam prætorlegens, ab ea non recipitur: forum tamen venale rogantibus præbent: et commerciis, ut fieri solet, initis, Archelaus copiarum navalium ductor, Silenum et Satyrum, nobiles ex Heraclea viros, comprehendit: nec prius dimisit, quam persuasisset ut quinque triremibus ipsum in hoc cum Romanis bello adjuvarent. Hoc facto (quod et Archelaus veteratorie molitus erat) Romanorum inimicitiam populus Heracliensis sibi conciliavit. Cum igitur auctiones publicas Romani in aliis civitatibus instituerent, He-

VARIÆ LECTIONES

[16] ἐκβολαῖς ς. [17] ἀπεκρίνοντο ς, [18] libri πεντηκοντήρων. [19] Μιθάρου vel Μιθάρεω Scaliger. [20] δισχιλίους A : δύο ς. [21] σιλῖνον A.

racleam quoque, propter causam ante dictam, his exposuerunt. Cumque auctionatores urbem ingressi, contra reipublicæ morem argentum exigerent **233***a*, in mœrorem cives conjecerunt, qui servitutis initium hoc esse existimabant. Quare cum per legationem ad senatum Romanum publicationem bonorum deprecari res postularet, ipsi a quodam in urbe audacissimo persuasi, publicanos e medio tollunt, tam secreto, ut de nece illorum nemini quidquam constaret.

A καθιστώντων, καὶ τὴν Ἡράκλειαν διὰ τὴν εἰρημένην αἰτίαν ταύταις ὑπέβαλλον. Οἱ δὲ δημοσιῶναι πρὸς τὴν πόλιν ἀφικόμενοι παρὰ τὰ ἔθη τῆς πολιτείας καὶ ἀργύριον ἀπαιτοῦντες τοὺς πολίτας ἐλύπουν, ἀρχήν τινα δουλείας τοῦτο νομίζοντας. Οἱ δὲ, διαπρεσβεύσασθαι δέον πρὸς τὴν σύγκλητον ὥστε τῆς δημοσιωνίας ἀπολυθῆναι, ἀναπεισθέντες ὑπό τινος θρασυτάτου τῶν ἐν τῇ πόλει τοὺς τελώνας ἀφανεῖς ἐποίησαν, ὡς καὶ τὸν θάνατον αὐτῶν ἀγνοεῖσθαι.

Cap. XLI. — *Pugna ad Chalcedonem cum Mithridate, Romanis funesta.*

Prælio dehinc navali ad Chalcedonem inter Romanos et Ponticos commisso, dum regis et Romanorum pedestres inter se confligunt acies (quarum huic Cotta, illi Mithridates præerat), Basternæ Italorum pedites in fugam vertunt, et prolixam edunt **B** stragem. Eadem fortuna etiam classis usa est, unoque die mare et terra cadaveribus Romanis fœde opplentur 8000 in conflictu navali occisis, 4500 captis ; de pedestri autem exercitu Italorum, 5300. A parte autem Mithridatis Basternæ circiter 30 ; ex reliqua multitudine 700, ceciderunt. Hoc Mithridatis successu omnium animi servilem in modum concidere. Sed Lucullus ad Sangarium fluvium castra habens, cognita ea clade, perculsos militum animos verbis erexit.

Πολέμου δὲ ναυτικοῦ κατὰ Καλχηδόνα πόλιν Ῥωμαίοις τε καὶ Ποντικοῖς συστάντος, καὶ πεζῆς δὲ δυνάμεως τῆς τε βασιλικῆς καὶ τῆς Ῥωμαϊκῆς εἰς μάχην ἀλλήλαις [382. B.] συῤῥαγείσης (ἐστρατήγει δὲ τῆς μὲν Κόττας, τῆς δὲ Μιθριδάτης) τρέπουσιν οἱ Βαστέρναι κατὰ τὸ πεζὸν τοὺς Ἰταλοὺς, καὶ πολὺν αὐτῶν φόνον εἰργάσαντο. Τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ναῦς ἐγένετο, καὶ ὑπὸ μίαν ἡμέραν γῇ τε καὶ θαλάσσῃ τοῖς Ῥωμαίων διελελύμαστο σώμασι, διαφθαρέντων ἐν μὲν τῇ ναυμαχίᾳ ὀκτακισχιλίων, τετρακισχιλίων [22] δὲ καὶ πεντακοσίων ἑαλωκότων· τοῦ δὲ πεζοῦ στρατεύματος Ἰταλοὶ μὲν τριακόσιοι καὶ πεντακισχίλιοι, τῶν δὲ Μιθριδατείων Βαστέρναι μὲν περὶ τριάκοντα, τοῦ δὲ λοιποῦ πλήθους ἑπτακόσιοι. Οὕτως ἀρθέντα τὰ Μιθριδάτου πάντων τὸ φρόνημα κατεδούλου. Λεύκολλος δὲ ἐπὶ τοῦ Σαγγαρίου [23] ποταμοῦ στρατοπεδεύων, καὶ μαθὼν τὸ πάθος, λόγοις ἀνελάμβανεν ἀθυμήσαντας τοὺς στρατιώτας.

Cap. XLII. — *Mithridates ad Cyzicum Marte Luculli et naufragiis domitus.*

Ubi vero magno se spiritu ad Cyzicum Mithri- **C** dates convertit, copias urbi admovere cupiens, incumbit a tergo Lucullus : et infesta signa inferens, memorabili Ponticos victoria profligat, et viribus exuit. Aliquanto enim plures 10000 in acie cædit, et 13000 capit. Fimbrianus autem miles suspectos habens duces, quasi propter audacissimum in Flaccum facinus non amplius fidem ipsis habeant, tacite ad Mithridatem missitando, transitionem pollicentur. Qui in lucro ponens hanc ad se inclinationem, nocte oborta, Archelaum amandat, qui pacta confirmet, et ad partes regis se adjungentes adducat. At Fimbriani Archelaum ad ipsos profectum in vincula compingunt, et quæ cum eo venerat manum interficiunt. Post hoc infortunium, etiam fames opprimit exercitum regium, et multis interitum affert. Tot **D** tamen adversis ictus casibus, a Cyzici obsidione non absistit, sed brevi, licet multa perpessus esset et egisset, urbe non expugnata recessit: et pedestri quidem agmini **233***b* Hermæum et Marium præficit, qui 30000 hominum illuc ducebant: ipse autem per mare reditum instituerat. Ingressoque triremes, multæ variæque malorum formæ ei simul ingruerunt. Nam dum milites soluturi, naves, qua-

[737 R.] Τρεπομένου δὲ ἐπὶ Κύζικον σὺν μεγάλῳ φρονήματι Μιθριδάτου, καὶ πολιορκεῖν τὴν πόλιν βουλομένου, Λεύκολλος ἐπακολουθήσας καὶ συμβαλὼν πολέμῳ νικᾷ τοὺς Ποντικοὺς ἀνὰ κράτος, βραχεῖ [24] μὲν πλείους μυριάδος ἀνελὼν, τρισχιλίους δὲ καὶ μυρίους λαβὼν αἰχμαλώτους. Τὸ δὲ Φιμβριανῶν [25] στράτευμα ὑπόπτως ἔχον ὡς διὰ τὸ περὶ Φλάκκον τόλμημα οὐκ ἂν αὐτοὺς ἔτι νομίσειαν οἱ ἡγεμόνες εὔνους, ἔπεμπον κρύφα πρὸς Μιθριδάτην αὐτομολίαν ὑπισχνούμενοι. Ὁ δὲ ἕρμαιον τὴν πρόσκλησιν [26] ἡγησάμενος, ὡς νὺξ ἐπέλαβεν [27], Ἀρχέλαον πέμπει βεβαιῶσαί τε τὰς ὁμολογίας καὶ τοὺς προσχωρήσαντας ἄγειν. Οἱ δὲ Φιμβριανοὶ, ἐπεὶ τούτοις Ἀρχέλαος παρεγένετο, αὐτὸν μὲν συνέλαβον, τοὺς δὲ σὺν αὐτῷ διεχειρίσαντο, Ἐπὶ τούτῳ τῷ τοῦ βασιλέως ἀτυχήματι καὶ λιμὸς ἐπιπίπτει αὐτοῦ τῇ στρατιᾷ, καὶ πολλοὺς ἀπώλλυε. Ηλὴν οὕτω πολλοῖς παθήμασι κάμνων Κυζίκου τῆς πολιορκίας τέως οὐκ ἀφίστατο· μετ' ὀλίγον δὲ πολλὰ καὶ παθὼν καὶ πράξας, ὅμως ἀνάλωτον λιπὼν τὴν πόλιν ἀνεχώρησε, τοῦ μὲν πεζοῦ Ἑρμαῖον καὶ Μάριον ἡγεῖσθαι καταστησάμενος, στρατὸν ὑπὲρ τρισμυρίους ἄγοντας, αὐτὸς δὲ διὰ θαλάσσης ποιούμενος τὴν ἀνάζευξιν. Ἐπιβαίνοντος δὲ αὐτοῦ τῶν τριήρων πολλαὶ παθῶν

VARIÆ LECTIONES

[22] τετρακισχ. δὲ A : και τετρακισχ. ς. [23] et 40 *b* σαγαρίου libri: [24] βραχὺ ς. [25] φαμβριανῶν A. φαβριανῶν ς. [26] πρόσκλησιν A : κλῆσιν ς. Stephanus προσκλισιν. [27] ἐπέλαβεν Schæferus : libri ἐπέβαλεν. cf. p. R. 1181. 3 et 1345, 32.

ἰδέαι συνέπιπτον· οἱ γὰρ ἐμβαῖνειν μέλλοντες εἰς αὐτὰς τὰς μὲν ἤδη πεπληρώμενας τὰς δὲ καὶ μελλούσας κατεῖχον ἐξαρτώμενοι, καὶ παρὰ τὸ πλῆθος τῶν τοῦτο δρώντων αἱ μὲν κατεδύοντο αἱ δὲ περιετρέποντο. Τοῦτο Κυζικηνοὶ θεασάμενοι ὥρμησαν ἐπὶ τὰ τῶν Ποντικῶν στρατόπεδα, καὶ τοὺς ὑπολειφθέντας καματηροὺς διαφθείροντες, εἴ τι παρῆν ὑπολελειμμένον τῷ στρατοπέδῳ, διήρπαζον [28]. Λεύκολλος δὲ διώξας ἐπὶ τὸν Ἄισηπον [39] ποταμὸν τὸ πεζὸν ἀπροσδόκητος [30] καταλαμβάνει, καὶ φόνον πολὺν τῶν πολεμίων ποιεῖται. Μιθριδάτης δὲ ἀναλαβὼν ἑαυτὸν ὡς ἠδύνατο. Πείρινθον ἐπολιόρκει, ταύτης δὲ διαμαρτὼν ἐπὶ Βιθυνίαν διαπεραιοῦται.

A rum aliæ jam repletæ, aliæ mox replendæ essent, confertim occupant, et undique illis adhærent, factum est ut præ multitudine imminentium, pars navium deprimeretur, pars etiam subverteretur. Quod conspicati Cyziceni, impetu in castra Ponticorum facto, ægros ibi relictos trucidant, et si quid supererat diripiunt. At Lucullus, peditum agmen a tergo premens, ad Æsipum fluvium assequitur de improviso, magnamque hostium cædem peragit. Mithridates interim, collectis ut potuit, in Ponto viribus, Perinthum circumsidet et oppugnat : eaque non potitus, in Bythiniam transmittit.

CAP. XLIII. — *Triarii res gestæ contra Mithridatem. Prusa urbs. Fabula de Nicæa et Baccho.*

Ἐπεὶ δὲ καὶ Βάρβας συχνοὺς Ἰταλῶν ἐπάγων ἦκε, καὶ μὴν καὶ Τριάριος ὁ Ῥωμαίων ἡγεμὼν ἀνασκευασάμενος τῇ Ἀπαμείᾳ πολιορκεῖν ἐπέστη, οἱ Ἀπαμεῖς ἀντισχόντες ὅσα ἠδύναντο; [383 H.] τέλος ἀνοίξαντες τὰς πύλας τούτους εἰσεδέξαντο. Εἷλον δὲ καὶ προῦσαν τὴν πόλιν ἡ Ῥωμαίων δύναμις· ὑπὸ δὲ τὸν Ἀσιανὸν Ὄλυμπον διέκειτο [31] αὕτη. Ἐκεῖθεν ὁ Τριάριος ἐπὶ Προυσιάδα τὴν ἐπιθαλάσσιον μετά τῆς δυνάμεως παραγίνεται· αὕτη δὲ Κίερος [32] τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ καὶ ἡ τῆς Ἀργοῦς ἄφιξις λέγεταί καὶ ὁ τοῦ Ὕλα ἀφανισμὸς καὶ ἡ τοῦ Ἡρακλέος ἐπὶ τὴν τούτου ἀναζήτησιν πλάνη καὶ πολλὰ τοιαῦτα ἕτερα. Παραγεγονότα δὲ ῥᾳδίως οἱ Προυσαεῖς [33] ἐδέξαντο, τοὺς Ποντικοὺς διωσάμενοι. Ἐκεῖθεν ἐπὶ Νίκαιαν φρουρουμένην Μιθριδατείῳ φρουρᾷ παραγίνεται· οἱ δὲ Ποντικαὶ τὸν νοῦν τῶν ἐν Νικαίᾳ συνιδόντες ἐπὶ Ῥωμαίους ἀποκλίνοντα, διὰ νυκτὸς [34] πρὸς Μιθριδάτην εἰς Νικομήδειαν ἀνεχώρησαν, καὶ Ρωμαῖοι ἀταλαιπώρως κρατοῦσι τῆς πόλεως. Αὕτη δὲ ἡ πόλις ἡ Νίκαια τὴν μὲν κλῆσιν ἄγει ἀπὸ ναΐδος νύμφης, ὄνομα λαχούσης τὴν Νίκαιαν, ἔργον δὲ γεγονὸς [35] Νικαέων τῶν μετὰ Ἀλεξάνδρου μὲν συστρατευσάντων, μετὰ δὲ τόν ἐκείνου θάνατον κατὰ ζήτησιν πατρίδος ταύτην τε κτισάντων καὶ συνοικισαμένων. [740 R.] Ἡ μὲν οὖν ναΐς ἡ Νίκαια λέγεται φῦναι Σαγγαρίου τοῦ κατὰ τὴν χώραν δυνάστου καὶ Κυβέλης· παρθενίαν δὲ μᾶλλον ἢ τὴν πρὸς ἄνδρα ποθοῦσα ὁμιλίαν, ἐν ὄρεσι καὶ θήραις τὸν βίον ἔσχε [36] Ταύτης δὲ Διόνυσος μὲν ἦρα, ἐρῶν δὲ οὐκ ἐτύγχανε. Μὴ τυγχάνων δὲ μηχαναῖς τὸ λεῖπον τῇ γνώμῃ ἀναπληροῦν ἐπεχείρει. Πληροῖ τοίνυν τὴν κρήνην, ἀφ' ἧς εἴωθεν [37] ἡ Νίκαια πίνειν ἐπειδὰν ἀπὸ τῆς θήρας κοπωθείη, ἀντὶ τοῦ ὕδατος οἴνου. Ἡ δὲ μηδὲν συνειδυῖα καὶ τὸ εἰωθὸς ποιοῦσα [38] ἐμφορεῖται τε τοῦ ἐπιβούλου νάματος, καὶ ὑπηρετεῖ καὶ ἄκουσα τῷ βουλήματι τοῦ ἐραστοῦ· μέθης γὰρ αὐτὴν καὶ ὕπνου λαβόντων ὅ τε Διόνυσος αὐτῇ ἐπιμίγνυται, καὶ παῖδας· ἐξ αὐτῆς φύει Σάτυρόν τε καὶ ἑτέρους· Οἱ δὲ Νικαεῖς, οἳ τὴν πόλιν ἤγειραν καὶ συνῴκισαν, Νίκαιαν εἶχον πατρίδα Φωκίδος γείτονα. πρὸς ἣν καὶ

Postquam vero Barba, robustam Italorum manum adducens, venisset, et Triarius insuper Romanorum dux, motis inde castris, Apameam obsideret, cives, eam aliquandiu pro viribus suis hostem sustinuissent, apertis tandem portis eos intromisere. Prusam etiam urbem Romanus exercitus cepit. Jacet hæc ad Olympum Asiæ montem. Hinc Prusiadem mari impositam cum exercitu petit : Cierum olim nominabant. Quo etiam Argonautas appulisse, et evanuisse Hylam et Herculem, dum requirit eum, circumvagatum, multaque id genus alia contigisse, fama est. Ut urbi appropinquavit, facile Prusienses eum receperunt, Ponticis ejectis. Inde Nicææ, quam præsidium Mithridatis tenebat, imminet. Pontici autem, intellecto cives animis ad Romanos propendere, noctu se ad Mithridatem Nicomediam subducunt. Romani igitur sine molestia urbem suæ potestati subjiciunt. Hæc urbs nomen deducit a Naide quadam nympha, cui Nicææ nomen, et opus est Nicæensium, qui in Alexandri exercitu fuerunt : et post ejus interitum, dum patriam receperunt, hac urbe a se condita et frequentata, in civitatem coaluerunt. Nais autem illa Nicæa Sangario, loci regulo, et Cybele nata fertur. Quæ cum majore virginitatis desiderio quam consuetudinis **234***a* cum viro, teneretur, in montibus et venatibus vitam egit. Bacchus quidem efflictim amat puellam, sed hæc amorem frustratur. Quando igitur voti compos alia ratione fieri nequit, fallaciis explere animi desiderium instituit. Nam fontem, ex quo Nicæa a venatione defessa bibere solebat, vino pro aqua replet. Eaque nihil suspicata, dum pro more suo bibit, fallacem intra se haurit liquorem : et sic quamlibet invita, amantis cupiditati subservit. Mero enim et somno correptam Liber comprimit, et Satyrum ex ea liberosque alios suscipit. Nicæenses autem a quibus excitata est Nicæa, et sedibus frequentata, primum erant vicini Phocidi : sed quod subinde rebellarent, Phocenses tandem patria eos expulerunt, et ut urbs eorum eversa deleretur, magno

VARIÆ LECTIONES.

[28] διήρπαζον A : διέφθειρον ς. [29] αἴσιπον A : αἴσιππον ς. [30] ἀπροσδοκήτως ς. [31] διέκειτο] ἔκειτο Schæferus. [32] Κίερος] Κίος Palmerius. cf. Wesseling. ad Itinerar. Vet. p. 694. [33] προυσιεῖς Vales. Emend. 2, 2. [34] διὰ τῆς νυκτὸς. [35] γενονὸς] γέγονε Stephanus. [36] ἔσχε A : κατέσχε ς. [37] εἰώθει Schæferus. [38] πιοῦσα ς.

perfecerunt studio.Nicæa ergo hoc modo appellata et condita fuit : atque in Romanorum potestatem devenit.

πολλάκις στασιάσαντες ὑπ' αὐτῆς ἐκείνης ὕστερον τὴν πατρίδα ἀφῃρέθησαν, καταστροφὴν ταύτης καὶ ἀφανισμὸν τῶν ἐν τῇ Φωκίδι πολλῇ σπουδῇ καταπαραξαμένων· Ἀλλ' ἡ μὲν Νίκαια οὕτω τε τὴν κλῆσιν καὶ τὴν οἰκοδομήν ἔσχε, καὶ οὕτω προσεχώρησε Ῥωμαίοις.

Cap. XLIV. — *Mithridates cedit Cottæ et Triario, et astu Heracleam occupat.*

Cæterum Mithridates Nicomedeæ subsistebat. Cotta autem, superiora damna resarcire volens, a Chalcedone, ubi succubuerat. Nicomedeam copias transfert, et 150 stadia ab urbe castra metatus, a dimicatione cavet.Ibi, magna adhibita festinatione, citatis itineribus Cottam sponte sua Triarius assequitur, et Mithridates in urbem se recipit. Tum uterque Romanus exercitus ad oppugnationem ejus se parat. At rex cognito gemino conflictu navali, qua circa Tenedum, qua in mari Ægeo Ponticos a Lucullo victos, nec parem se ad occurrendum præsentibus Romanorum copiis esse,classem in fluvium retro movet, et gravi correptus tempestate, aliquot triremes amittit : ipse tamen cum plurimis in Hypium fluvium defertur. Hic, cum tempestas eum moratur, audito Lamachum Heracliensem, quem antiquo amicitiæ fœdere obstrictum haberet, ad reipublicæ gubernaculum sedere, multis hominem promissis attraxit, ut sibi in urbem recipiendo operam daret. Pecunias etiam miserat hoc nomine. Hic quæ rogaverat, ille prestat. Publico enim extra urbem epulo civibus apparato, sub quod **234** *b* clausas se non habiturum portas fidem dederat, mero populum inescat, utque eo ipso die ex compacto Mithridates superveniat illis, dat operam. Itaque nec olfacto Mithridatis adventu, urbs in ejus arbitrium venit. Postridie plebem rex convocatam amicis hortatur verbis, utque fidem erga ipsum tueatur hortatus, Connacorigi, cum præsidio 4 millium, urbem custodiendam tradit. Prætextus erat, defensurum se cives, si Romani quid contra moliantur,et conservaturum. Hinc distributis in cives, maxime in magistratus, pecuniis, versus Sinopem navigationis cursum dirigit.

Μιθριδάτης δὲ ἐν τῇ Νικομηδείᾳ διέτριβε. Κόττας δὲ βουλόμενος τι τῶν προδιημαρτημένων [39] ἀναλαβεῖν ἦκεν ἀπὸ Καλχηδόνος [40], ἐν ᾧ ἥττητο, πρὸς τὴν Νικομήδειαν, καὶ στρατοπεδεύει ν' καὶ ρ' σταδίων τῆς πόλεως ἄποθεν, τὴν συμβολὴν τῆς μάχης ὑπευλαβούμενος. Καταλαμβάνει δὲ Κότταν σπουδῇ πολλῇ αὐτόκλητος ὁ [41] Τριάριος, καὶ Μιθριδάτου ὑποχωρήσαντος εἰς τὴν πόλιν ἑκατέρωθεν ταύτην πολιορκεῖν τὸ Ῥωμαϊκὸν παρεσκευάζετο στράτευμα. Ἐπεὶ δὲ ὁ βασιλεὺς ἐπυνθάνετο δυσὶ ναυμαχίαις, τῇ μὲν περὶ Τένεδον τῇ δὲ κατὰ τὸν Αἴγαιον, Λευκόλλου πολεμοῦντος τοὺς Ποντικοὺς νενικῆσθαι, καὶ οὐκ ἀξιόμαχον αὐτὸν πρὸς τὴν[384 H.] παροῦσαν δυναμιν Ῥωμαίων ἡγεῖτο, τὴν ἐπίβασιν τῷ στόλῳ εἰς τὸν ποταμὸν [42] ἀνέπλει, καὶ σφοδρῷ χειμῶνι περιπεσὼν τινὰς μὲν τῶν τριήρων ἀποβάλλει, αὐτὸς δὲ μετὰ τῶν πλειόνων εἰς τὸν Ὕπιον ποταμὸν κατηνέχθη. Ἐκεῖ δὲ διὰ τὸν χειμῶνα διατρίβων Λάμαχον τὸν Ἡρακλεώτην, φιλίαν ἔχων πρὸς αὐτὸν παλαιὰν, μαθὼν [43] ἄρχειν τῆς πολιτείας, πολλαῖς ὑποασχέσεσιν εἵλκεν ὥστε παρασκευάσαι αὐτὸν ἐν τῇ πόλει ἀραδεχθῆναι. Ἔπεμπε δὲ καὶ χρήματα· ὁ δὲ, ἀνεδίδου τὴν αἴτησιν, καὶ δημοθοινίαν ἔξω τῆς πόλεως λαμπροτάτην παρασκευασάμενος τοῖς πολίταις, καὶ [44] ταύτῃ μηδὲ τὰς πύλας ἔχειν παρεγγυησάμενος κεκλεισμένας, μεθύσας τε τὸν δῆμον, ἐκ συνθήματος κατὰ τὴν αὐτὴν ἡμέραν ἐφεστάναι λάθρᾳ προπαρασκευάζει [45] τὸν Μιθριδάτην. Καὶ οὕτως ἡ πόλις, μηδὲ τὴν ἄφιξιν αἰσθομένων τῶν Ἡρακλεωτῶν, ὑπὸ χεῖρα Μιθριδάτῃ γίνεται. Τῇ ἐπαυριον δὲ συγκαλέσας τὸ πλῆθος ὁ βασιλεὺς, καὶ φιλίοις δεξιωσάμενος λόγοις, καὶ τὴν εὔνοιαν πρὸς αὐτὸν παραινέσας σώζειν, τετρακισχιλίους τε φρουροὺς ἐγκαταστήσας καὶ φρούραρχον Κοννακόρηκα, προφάσει τοῦ, εἰ Ῥωμαῖοι βουληθεῖεν ἐπιβουλεύειν, τῆς πόλεως ἐκείνους ὑπερμαχεῖν καὶ σωτῆρας εἶναι τῶν ἐνοικούντων, εἶτα δὲ καὶ χρήματα δικνείμας τοῖς ἐν αὐτῇ, μάλιστα δὲ τοῖς ἐν τέλει, ἐπὶ τῆς Σινώπης ἐξέπλευσεν.

Cap. XLV. — *Pugnæ Rom. cum Mithrid. secundæ.*

Tum Lucullus et Cotta et Triarius Romani duces ad Nicomedeam agminibus conjunctis, in Pontum irruptionem facere destinarunt. At renuntiata Heracleæ oppugnatione, cum de proditione necdum constaret, sed totius simul civitatis voluntate defectionem contigisse arbitrarentur,Luculli consilium erat ut ipse cum robore exercitus per Mediterranea et Cappadociam moveret in regem et totum ejus regnum, et Heracleam oppugnaret Cotta. Triarius autem,assumpta classe, missas in Cretam et Hispa-

Λεύκολλος δὲ καὶ Κόττας καὶ Ὀτριάριος, οἱ Ῥωμαίων αὐτοκράτορες στρατηγοὶ, ἐπὶ τῆς Νικομηδείας καθ' ἓν γενόμενοι ὥρμηντο εἰς τὸν Πόντον ἐμβαλεῖν. [741 R.] ἐπεὶ δὲ αὐτοῖς ἡ τῆς Ἡρακλείας κατάληψις ἠγγέλθη, ἡ δὲ προδοσία οὐκ ἐγνώσθη, ἀλλὰ τῆς πόλεως ὅλης ἡ ἀπόστασις ἐνομίσθη, Λεύκολλον μὲν ἐδόκει μετὰ τῆς πλείστης δυνάμεως εἰς τὴν Καππαδοκίαν διὰ τῆς μεσογείου χωρεῖν ἐπί τε Μιθριδάτην καὶ τὴν πᾶσαν βασιλείαν, Κότταν δὲ ἐπὶ Ἡρακλείας, Ὀτριάριον δὲ τὸ ναυτικὸν ἀνα-

VARIÆ LECTIONES.

[39] βουλ. τε τῶν διημαρτημένων ς. [40] καρχηδόνος libri. [41] ὁ add. A. [42] ἐπιβασιν — ποταμὸν] fortasse leg. ἐπὶ Φᾶσιν — Πόντον. et Πόντον video etiam Palmerio placuisse. [43] φιλίαν — καὶ μαθὼν ς. [44] καὶ] κἀν Stephanus. [45] παρασκευάζει ς.

λαβόντα περὶ τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα τὰς ἐπὶ Κρήτην καὶ Ἰβηρίαν ἀπεσταλμένας Μιθριδατείους ναῦς ὑποστρεφούσας λοχᾷ. Μιθριδάτης δὲ ταῦτα ἀκούων παρεσκευάζετο, καὶ διεπρεσβεύετο πρός τε τοὺς Σκυθῶν βασιλεῖς καὶ πρὸς τὸν Πάρθον καὶ πρὸς τὸν γαμβρὸν αὐτοῦ Τιγράνην τὸν Ἀρμένιον. Ἀλλ' οἱ μὲν ἀπεῖπον, Τιγράνης δὲ ὑπὸ τῆς Μιθριδάτου θυγατρὸς πολλάκις ἐνοχληθεὶς καὶ ἀναβαλλόμενος ὅμως ὑπέστη τὴν συμμαχίαν. Καὶ Μιθριδάτης διαφόρους πέμπων κατὰ Λευκόλλου στρατηγοὺς, καὶ τῆς συμπλοκῆς ἐπιγενομένης πολύτροποι [46] μὲν συνέβαινον αἱ μεταβολαὶ, ἐν τοῖς πλείστοις δὲ τὰ Ῥωμαίων [47] ὅμως κατώρθου. Ἠθύμει μὲν ὁ βασιλεύς· ἀθροίσας δ' οὖν πεζῶν μὲν δ' μυριάδας, ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξέπεμψε Διόφαντον καὶ Ταξίλλην ἐπὶ τοῖς προαπεσταλμένοις. Τῶν δὲ τοῖς προλαβοῦσι συναφθέντων κατ' ἀρχὰς μὲν ἀκροβολισμοῖς ἀλλήλων οἱ πολέμιοι καθ' ἑκάστην σχεδὸν ἀπεπειρῶντο, εἶτα ἱππομαχίαι συνέστησαν β', ὧν τὴν μὲν [585 H.] ἐνίκων οἱ Ῥωμαῖοι, τὴν δευτέραν δὲ οἱ Ποντικοί. Τριβομένου δὲ τοῦ πολέμου, Λεύκολλος ἀγορὰν ἄξοντας εἰς Καππαδοκίαν ἐκπέμπει, καὶ μαθὼν Ταξίλλης καὶ Διόφαντος πεζοὺς ἐκπέμπουσι τετρακισχιλίους καὶ ἱππεῖς δισχιλίους, ἐφ' ᾧ ἐπιθέμενοι ἀφαιρήσονται τοὺς ἀποκομίζοντας τὰς ἀγοράς. Καὶ συμβαλόντων [48] ἀλλήλοις ἐπικρατέστεροι γεγόνασιν οἱ Ῥωμαῖοι· πέμψαντος δὲ Λευκόλλου βοήθειαν τοῖς οἰκείοις, τροπὴ γίνεται βαρβάρων περιφανής. Καὶ τῇ φυγῇ τούτων ἡ Ῥωμαίων δύναμις ὁδηγουμένη [49] ἐπὶ τὸ στρατόπεδον τὸ περὶ Διόφαντον καὶ Ταξίλλην ἦκον, καὶ καρτερᾶς πρὸς αὐτοὺς τῆς μάχης γενομένης [50] ἐπ' ὀλίγον μὲν ἀντέσχον οἱ Ποντικοὶ, εἶτα τῶν στρατηγῶν πρῶτον ἀποχωρούντων πάντες ἐνέκλιναν. Καὶ Μιθριδάτῃ τοῦ πταίσματος οἱ στρατηγοὶ αὐτάγγελοι παρεγένοντο, καὶ πολὺ πλῆθος τότε τῶν βαρβάρων ἀπώλετο.

niam Mithridatis naves, in reditu, circa Hellespontum et Propontidem interciperet. Quibus Mithridates auditis, in novos belli apparatus incumbit, et Scytharum reges, Parthumque et generum suum Tigranem Armenium sollicitat. Cæteri quidem denegant: at Tigranes, licet diu cunctaretur, sæpius tamen a filia Mithridatis, non sine molestia, interpellatus, auxilia tandem promisit. Interim diversos contra Lucullum Mithridates præfectos dimittit, et post commissas acies, variæ acciderunt fortunæ vices: in plerisque tamen prospera fortunæ aura afflavit Romanis, et Mithridati animus elanguit. Contractis igitur 40 peditum et 8 equitum millibus, Diophantum et Taxilen, ultra missos ante, dimittit. Qui cum ad antecessores accessissent, principio velitationibus fere assiduis hostiles exercitus inter se vires explorabant. Postea ad duas pugnas equestres deventum est, quarum altera Romani, altera Pontici, victores abiere. Dumque ita bellum ducitur, Lucullus **235***a* in Cappadociam, qui commeatum inde afferrent, misit. Quo observato, Taxiles et Diophantus 4 peditum et 2000 equitum contra mittunt, ut, insidiis in medio positis, impedimenta revertentibus adimerent. Ubi ad manus ventum superant Romani, et subsidiis a Lucullo missis, fuga barbarorum insignis committitur. Quorum vestigiis insistentes Romani, ad ipsa Diophanti et Taxilis castra provehuntur. Ubi valido certamine inito, ad breve tempus obstitere Pontici. Mox ubi primi abscesserunt duces, tota inclinata est acies: et ipsi copiarum ductores nuntii cladis venerunt Mithridati. Occubuit tunc ingens barbarorum turba.

Cap. XLVI. — *Fuga Mithridatis periculosa.*

Οὕτω Μιθριδάτῃ τῶν πραγμάτων περιφανῶς ἀποκεκλιμένων τῶν τε βασιλίδων γυναικῶν ἡ ἀναίρεσις ἐπεποίητο, καὶ φεύγειν ἐκ τῶν Καβήρων αὐτὸς, ἐν οἷς διέτριβε, λάθρα τῶν ἄλλων ὑπηκόων ὁρμὴ γέγονε. Καὶ ἦλω ἂν ἐν τῇ φυγῇ τῶν Γαλατῶν ἐπιδιωκόντων, καίπερ τὸν φεύγοντα ἀγνοούντων, εἰ μὴ περιτυχόντες ἡμιόνῳ χρυσὸν καὶ ἄργυρον τῶν Μιθριδατείων χρημάτων φερούσῃ περὶ τὴν ἁρπαγὴν τούτων ἐσχόλασαν. Καὶ αὐτὸς εἰς Ἀρμενίαν διασώζεται.

Hunc admodum fortuna Mithridatis in pejus devergente, et regiæ uxores necatæ: et ex Cabiris, ubi clam suis aliquandiu se continuerat, rex fugam arripuit: in qua etiam captus esset, insectantibus Gallis, qui tamen regem ignorabant, nisi mula obviam facta (quæ Mithridatis opibus, argento auroque onusta erat) diripiendo moram nexuissent. Itaque rex in Armeniam elabitur.

Cap. XLVII. — *Lucullus Eupatoriam et Amisum capit.*

Λεύκολλος δὲ ἐπὶ μὲν τὸν Μιθριδάτην Μάρκον Πομπήϊον ἡγεμόνα ἐξέπεμψεν, αὐτὸς δὲ ἐπὶ Καβήρων μεθ' ὅλης ἠπείγετο τῆς δυνάμεως, καὶ τὴν πόλιν περικαθισάμενος σφᾶς αὐτοὺς παραδεδωκότας τοὺς βαρβάρους ὑποσπόνδους ἔσχε καὶ τῶν τειχῶν ἐκυρίευσεν. Ἐκεῖθεν δὲ πρὸς τὴν Ἀμισὸν παραγεγονὼς, καὶ λόγοις παραινῶν τοὺς ἐν αὐτῇ Ῥωμαίους

Lucullus autem adversus Mithridatem Marcum Pompeium mittit ducem, ipseque cum universis copiis in Cabiros movet, urbeque circumsessa, dum barbari certo se pacto ei permittunt, et ipsos in fidem accipit, et castello potitur. Hinc Amisum profectus, et ad deditionem eos cohortatus ubi non persuadet, omissa illa, ad Eupatoriam obsidionem

VARIÆ LECTIONES

[46] πολύτροποι] ἐπεὶ πολύτροποι Stephanus. [47] τὸ τῶν ῥωμαίων ς. [48] συμβαλλόντων ς. [49] ὁδηγουμένη A : βοηθουμένη ς. [50] γεγενημένης ς.

transfert : et negligenter se illam oppugnare simulat : ut simili negligentiæ exemplo provocatis hostibus, subita mutatione, apud animum cogitata prospere conficeret. Et eventus respondit : eoque stratagemate urbs capta. Dum enim custodes nihil tale opinantur, sed secure agunt, ille jussis arripere scalas militibus mœnia conscendendi copiam facit. Et sic capta Eupatoria extemplo diruitur. Nec multo post capitur etiam Amisus, scalarum admotione etiam hic superatis ab hoste mœnibus. Et initio cædes **235***b* non mediocris in cives peragitur : sed postea Lucullus, cæde inhibita, et urbem et regionem superstitibus reddit, et majore in eos clementia utitur.

A προσχωρεῖν, ἐπεὶ οὐκ ἔπειθε, ταύτην λιπὼν εἰς τὴν Εὐπατορίαν μεθίστη τὴν πολιορκίαν. [744 R.] Καὶ ῥαθύμως καταγωνίζεσθαι ταύτης προσεποιεῖτο, ὡς ἂν καὶ τοὺς [51] πολεμίους εἰς ὅμοιον ῥᾳθυμίας ζῆλον ἐκκαλεσάμενος ἐξ αἰφνιδίου μεταβολῆς κατορθώσῃ τὸ μελετώμενον. Ὃ καὶ γέγονε, καὶ τὴν πόλιν οὕτως εἷλε τῷ στρατηγήματι· ἄφνω γὰρ κλίμακας ἁρπάσαι κελεύσας τοὺς στρατιώτας, τῶν φυλάκων οὐδὲν τοιοῦτον προσδεδοκηκότων ἀλλ' ἐν ὀλιγωρίᾳ διακειμένων, διὰ τῶν κλιμάκων τὸ τεῖχος ὑπερβαίνειν τοὺς στρατιώτας ἐπέτρεψε, καὶ οὕτως ἦλω Εὐπατορία, καὶ αὐτίκα κατέσκαπτο. Μετ' ὀλίγον δὲ καὶ Ἀμισὸς ἑάλω, διὰ τῶν κλιμάκων καὶ αὐτῆς ὁμοίως τῶν πολεμίων ἐπιβάντων τοῖς τείχεσι. Καὶ κατ' ἀρχὰς μὲν φόνος τῶν πολιτῶν οὐκ ὀλίγος γέγονεν, ὑστερον δὲ τὸν ὄλεθρον Λεύκολλος ἐπέσχε, καὶ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῖς διασωθεῖσιν [52] ἀπεκατέστησε, καὶ οἰκειότερον ἐχρῆτο.

Cap. XLVIII. — *Mithridates ad Tigranem profugit et frustra exposcitur.*

At Mithridates ad generum delatus, expetitum quidem colloquium non impetrat, sed corporis sui custodiam ab eo accipit, et aliis hospitalitatis officiis afficitur. Misit etiam Lucullus ad Tigranem legatum Appium Clodium, qui Mithridatem exposceret. Is vero non tradit, universorum se criminationem hominum revereri confirmans, si uxoris parentem hosti prodat. Scire se quidem improbum esse Mithridatem, sed tamen affinitatis se habere rationem. Epistolam etiam ad Lucullum in hæc verba rescribit : quæ ad iram ipsum provocavit, eo quod rex in inscriptione imperatoris nomen omisisset, Lucullum quoque regis regum appellationem sibi non attribuisse cavillatus. Hic XV Historiæ liber exit.

B Μιθριδάτης δὲ πρὸς τὸν γαμβρὸν παραγεγονὼς, καὶ συνουσίας τυχεῖν ἀξιῶν, ταύτης μὲν οὐ τυγχάνει, φρουρὰν δὲ τοῦ σώματος παρ' αὐτοῦ λαμβάνει καὶ τῆς ἄλλης δεξιώσεως μετεῖχεν. Ἔπεμψέ [386 H.] δὲ καὶ Λεύκολλος πρὸς Τιγράνην πρεσβευτὴν Ἄπιον Κλώδιον, Μιθριδάτην ἐξαιτῶν. Ὁ δὲ οὐκ ἔδωκε, φήσας τὴν ὑπὸ πάντων ἀνθρώπων, εἰ τῆς γαμετῆς πατέρα προδοίη [53], διευλαβεῖσθαι μομφήν· ἀλλὰ μοχθηρὸς μὲν ὡς εἴη Μιθριδάτης καὶ αὐτὸν εἰδέναι, δυσωπεῖσθαι δὲ τὴν ἐπικηδείαν. Γράφει δὲ καὶ ἐπιστολὴν πρὸς Λεύκολλον τοὺς εἰρημένους λόγους ἔχουσαν, ἥτις παρώξυνε τὸν δεξάμενον· οὐ γὰρ ἐνέγραψεν αὐτὸν αὐτοκράτορα, ἐγκαλῶν ὅτι μηδὲ αὐτὸς ἐκεῖνον κατὰ τὰς ἐπιστολὰς βασιλέα βασιλέων προσηγόρευσεν. Ἐνταῦθα μὲν καὶ ἡ πεντεκαιδεκάτη καταλήγει ἱστορία.

Cap. XLIX. — *Cotta Heracleam obsidet.*

Sequens autem historia hæc commemorat. Motis Romanorum castris, adversus Heracleam Cotta contendit. Primo tamen in Prusiadem ducit. Hæc ab amne præterfluente Cieri appellationem tulerat, sed ademptam Heracliensibus rex Bithyniæ de se denominavit. Inde ad mare Ponticum descendit, et maritimam prætergressus oram, mœnibus in vertice positis castra applicavit. Loci autem firmitati Heraclienses fidebant, et Cottæ oppugnationem fortiter urgenti, cum præsidio repugnabant, et plures e multitudine Romana cadebant. Crebra tamen etiam Heracliensium vulnera erant a telis. Quapropter ab oppugnatione receptui Cotta suis canit, et remotius aliquanto castra metatus, totus in hoc est intentus, ut exitum ad res necessarias intercludat obsessis. Annonæ igitur charitate oborta, dimissis ad colonias legatis, alimenta sibi venundati petunt. Et benigne accipitur legatio.

Ἱστορία δὲ ἡ ἐφεξῆς τάδε ἀφηγεῖται· Ἀναλαβὼν Κόττα τὰ Ῥωμαϊκὰ στρατεύματα κατὰ τῆς Ἡρακλείας ἐχώρει· Ἀλλὰ πρῶτος μὲν ἐπὶ Προυσιάδος ἦγεν (ἡ δὲ Προυσιὰς πρὶν μὲν ἀπὸ τοῦ παραῤῥέοντος αὐτὴν [54] ποταμοῦ Κίερος ἐκαλεῖτο· ὁ δὲ τῆς Βιθυνίας βασιλεὺς τῶν Ἡρακλεωτῶν ταύτην ἀφελόμενος ἐξ ἑαυτοῦ μετωνόμασεν), ἐντεῦθεν δὲ [55] ἐπὶ τὴν Ποντικὴν κατῆλθε θάλασσαν, καὶ παρελθὼν τὴν παραλίαν τοῖς κατὰ κορυφὴν τείχεσι τὸ στράτευμα περιέστησεν. Ἐθάῤῥουν μὲν τῇ τοῦ χωρίου οἱ Ἡρακλεῶται ὀχυρότητι καὶ καρτερῶς τοῦ Κόττα πολιορκοῦντος σὺν τοῖς φρουροῖς ἀντεμάχοντο· καὶ φόνος ἦν τοῦ Ῥωμαϊκοῦ πλήθους πλέον, τραύματα δὲ πολλὰ τῶν Ἡρακλεωτῶν ἐκ τῶν βελῶν. Κόττας οὖν ἀνακαλεῖται τῆς τειχομαχίας τὸ στράτευμα, καὶ μικρὸν στρατοπεδεύων ἄποθεν ὅλον ἔτρεπε τὸν σκοπὸν εἰς τὸ τὰς ἐπὶ ταῖς χρείαις ἐξόδους εἴργειν τῶν πολιορκουμένων. Σπανιζόντων δὲ τῇ πόλει τῶν ἐπιτηδείων πρεσβεία πρὸς τοὺς ἀποίκους ἐξεπέμπετο, τροφῆς δι' ὠνῆς αἰτοῦσα χορηγίαν· οἱ [56] δὲ τῇ πρεσβείᾳ ἡσμένιζον.

VARIÆ LECTIONES.

[51] τοὺς add. A. [52] διαθεῖσιν ἀποκατέστησε ς. [53] προδοίη A : δοίη ς. [54] παῤῥ. τὴν αὐτὴν ς. [55] δὲ om. A. [56] οἱ A : ἡ ς.

CAP. L. — *Triarius reliquam Mithridatis classem subigit.*

Πρὸ βραχέος [57] δὲ Ὀριάριος τὸν Ῥωμαϊκὸν στό- A λον ἔχων ὥρμησεν ἀπὸ Νικομηδείας ἐπὶ τὰς Ποντικὰς τριήρεις, ἃς προεῖπεν ὁ λόγος περί τε Κρήτην καὶ Ἰβηρίαν ἐξαποσταλῆναι. Μαθὼν δὲ τὰς ὑπολοίπους ἐς τὸν Πόντον ἀνακεχωρηκέναι (πολλαὶ γὰρ αὐτῶν καὶ χειμῶνι καὶ ταῖς κατὰ μέρος ναυμαχίαις εἰς διαφθορὰν ἔδυσαν) καταλαμβάνει τε ταύτας, καὶ τὴν μάχην περὶ τὴν Τένεδον συγκροτεῖ, ὁ μὲν ἔχων τριήρεις αὐτὸς, τῶν δὲ Ποντικῶν ἀγόντων βραχὺ δεούσας τῶν π'. [745 R.] Ἐπεὶ δὲ συνέστη ὁ πόλεμος, κατ' ἀρχὰς μὲν ἀντεῖχον οἱ τοῦ βασιλέως, ὕστερον δὲ τροπῆς αὐτῶν λαμπρᾶς γενομένης τὸ Ῥωμαίων ἀνὰ κράτος ἐνίκησε στράτευμα, καὶ οὕτως ἅπας ὁ Μιτριδάτειος στόλος, ὅσος ἐπὶ τὴν Ἀσίαν αὐτῷ συνεξέπλευσεν, ἑάλω.

At brevi ante Triarius, Romana classe instructus, a Nicomedea impetum fecerat in Ponticas triremes, quas supra dictum est versus Cretam et Hispaniam emissas. At cum reliquas in Pontum retro abire rescivisset (multæ enim de his et procella et pugnis, suo quæque loco navalibus interierant), **236***a* assecutus illas ad Tenedum, manus conserit ; 70 ipsi triremes erant, Pontici autem pauciores aliquanto 80 agebant. Postquam infestis concursatum est proris) regii ad tempus vim hostium initio sustinent : postea universis in fugam effusis, plenam Romanus victoriam et celebrem consequitur. Atque ita classis Mithridatis tota, quanta in Asiam cum ipsa exiverat, subacta est.

CAP. LI. — *Cotta ad obsidendam Heracleam Triarium asciscit.*

Κόττας δὲ παρὰ τὴν Ἡράκλειαν στρατοπεδεύων B ὅλῳ μὲν οὐ προσέβαλε τῇ πολιορκίᾳ τέως τῷ στρατῷ, κατὰ μέρος δὲ προσῆγεν, ἐνίους μὲν τῶν Ῥωμαίων, πολλοὺς δὲ προβαλλόμενος τῶν Βιθυνῶν. Πολλῶν δὲ καὶ τιτρωσκομένων καὶ ἀναιρουμένων [58] μηχανὰς ἐπενόει, ὧν ἐδόκει τοῖς πολιορκουμένοις ἡ χελώνη φοβερωτέρα. Ἐπάγει γοῦν ταύτην ὅλην τὴν δύναμιν συγκινήσας πύργῳ [387 H.] τινὶ ὑπύπτως ἔχοντι πρὸς τὸ παθεῖν· ὡς δὲ ἅπαξ καὶ δεύτερον πληγεὶς οὐ μόνον παρὰ δόξαν διεκαρτέρει, ἀλλὰ καὶ ὁ κριὸς τῆς ἄλλης ἐμβολῆς προαπεκλάσθη, εὐθυμίαν μὲν τοῖς Ἡρακλεώταις, ἀγωνίαν δὲ παρέσχε Κόττᾳ διαταράττουσαν αὐτὸν, ὡς οὐκ ἂν ἡ πόλις αἱρεθείη ποτέ. Τῇ ὑστεραίᾳ δ' οὖν πάλιν ἐπαγαγὼν τὴν μηχανὴν καὶ μηδὲν ἀνύσας κατακαίει μὲν τὸ μηχάνημα, ἀποτέμνει δὲ καὶ τὰς τῶν μηχανοποιῶν κεφαλὰς, καὶ φρουρὰν τοῖς τείχεσι καταλιπὼν μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὸ καλούμενον πεδίον Λύκαιαν [59] διέτριβεν, ἀφθονίαν ἔχοντος τῶν ἐπιτηδείων τοῦ χωρίου. Κἀκεῖθεν τὴν περὶ τὴν Ἡράκλειαν χώραν ἅπασαν ἐδῄου, εἰς πολλὴν ἀμηχανίαν τοὺς πολίτας συνελαύνων. Διεπρεσβεύετο γοῦν πάλιν πρός τε τοὺς ἐν Σκυθίᾳ Χερρονησίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ τὸν Βόσπορον δυνάστας ὑπὲρ συμμαχίας· καὶ ἡ πρεσβεία ἀνεστρεφεν ἔμπρακτος. Τῶν δὲ πολεμίων ἐπικειμένων τῇ πόλει, οὐ πολὺ ἔλαττον αὐτῇ τὰ λυποῦντα ἔνδον ἐπετίθετο· οὐ γὰρ ἠρκοῦντο οἱ φρουροὶ οἷς διέζη τὸ δημοτικὸν, τύπτοντες δὲ τοὺς πολίτας χορηγεῖν ἃ μὴ ῥᾷον [60] ἦν αὐτοῖς ἐξ ἀνάγκης ἐκέλευον. Καὶ τῶν φρουρῶν ἔτι μᾶλλον ἦν χαλεπώτερος ὁ ἐφεστηκὼς αὐτῶν Κοννακόρηξ, οὐκ ἀπείργων ἀλλ' ἐπιτρέπων τοῖς [61] ὑπὸ χεῖρα τὴν βίαν. Τεμῶν [62] δὲ τὴν χώραν ὁ Κόττας πάλιν προσβάλλει τοῖς τείχεσιν· ἀθύμους δὲ τοὺς στρατιώτας πρὸς πολιορκίαν ὁρῶν ἀπάγει τῆς τειχομαχίας, καὶ πέμπει καλῶν Ὀτριάριον τάχος ταῖς τριήρεσιν ἀφικνεῖσθαι καὶ κωλύειν τὸν διὰ τῆς θαλάσσης ἐπισιτισμὸν τῇ πόλει.

At Cotta vero ad Heracleam castra habens, nondum toto oppugnationem exercitu aggressus erat, sed aliquos de Romanis particulatim admovebat, multos Bithyni nominis statuens in fronte. Dumque complures vulnerantur et oppetunt, operibus et machinis animum adjicit : quarum testudo præ aliis formidinem incussit obsessis. Totam igitur vim militum, castris excitam, admovet turri cuidam, ruinæ spem præferenti. Verum ubi semel atque iterum percussa, non modo contra opinionem persisteret, sed etiam aries a cætera machina diffractus avelleretur, animus Heracliensium crescere, et perturbatus mœrore Cotta timere cœpit, nunquam urbs ne caperetur. Postero etiam die, cum machina iterum impacta nihil proficeret, instrumentum illud concremat, et C fabris capita præcidit, relictoque ad mœnia præsidio, cum cætera militum turba in campo (quod Lycæum vocant) stativa delegit, quo in loco larga erat victus copia. Atque inde omni circa Heracleam regione devastata, in magnam cives difficultatem cogit. Quare denuo ad Scythas, Chersonesi incolas, et Theodosianos, et circa Bosphorum dynastas, de societate legationem mittit, quæ non absque effectu revertitur. Dumque hostes urbi incumbunt, non multo minus ab internis vexatur molestiis. Præsidiariis enim militibus id non satis erat quo plebs urbana victitabat. Verberibus igitur multatos cives, suppeditare quæ in promptu non erant, per vim jubent. Quid? quod præsidiariis longe importunior erat præfectus Connacorix, non modo non prohibens vim suorum, D sed etiam libere permittens. Tum agros populatus Cotta, muros iterum adoritur. At cum segnes ad oppugnationem remissisque animis videt milites, a conatu desistens, vocatum mittit Triarium, ut cum triremibus quamprimum advolet, **236***b* et commeatus in mari facultatem oppidanis intercipiat.

VARIÆ LECTIONES.

[57] βραχέως ς. [58] καὶ ἀναιρουμένων add. A. [59] λύκαιον Stephanus. [60] ῥᾷον] imo ῥᾴδιον. [61] τοῖς A. τῶν ς. [62] τέμων ς.

CAP. LII. — *Triarii victoria navalis de Heracl. et graviss. urbis fames ac pestis.*

Assumptis ergo Triarius quas habebat, navibus, A et 20 Rhodiis, quarum summa 43 conficiebat, in Pontum trajicit, et adventu ejus in tempore Cottæ significato, eodem die exercitum ad mœnia appellit Cotta, et imminens Triarii classis apparet. Tum repentino navium adventu Heraclienses turbati, 30 quidem naves in mare deducunt, sed eas non satis complent. Reliqua multitudo ad propugnandum se convertit. Dumque classis Heracliensium contra accedentes hostium naves in altum tendit, primi Rhodii, peritia et fortitudine aliis præcellere existimati, in Heracleoticas impressionem faciunt, et statim tres Rhodiorum et quinque Heracliensium deprimuntur. Et pugnæ hinc supervenientes Romani, multis acceptis damnis, pluribus tamen illatis, Heracleotas fundunt, et ad urbem fugere compellunt, B 4 et 10 navibus deperditis. Victrices autem in Magnum subiere portum. Peditatum etiam ab oppugnatione revocat Cotta. Triariani autem in dies singulos e portu subvecti, eos qui frumenta circumsessis importare conarentur, impedierunt. Ingens igitur annonæ charitas urbem tenuit, ut Chœnix (quæ dicitur) ad 80 Atticos procederet. Et super alias ærumnas, etiam pestis homines invasit, vel ex aeris mutatione, vel inconsueta victus ratione exsistens, et per varias calamitatum formas varios hominum interitus efficiebat. Inter quos etiam Lamachus longe acerbiore quam alii, et lentiore mortis cruciatu exstinguitur. Lues hæc maxime præsidiarios corripiebat, ut de 3000 mille interirent.

Λαβὼν οὖν ἃς εἶχεν Ὀτριάριος, καὶ Ῥοδίους κ' ναῦς, ὧν σύμπαν τὸ πλῆθος εἰς γ' καὶ μ' ἐτέλει, εἰς τὸν Πόντον διαβαίνει, καὶ μηνύει Κόττᾳ καὶ τὸν καιρὸν καὶ τὴν ἄφιξιν. Ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν Κόττας τε τοῖς τείχεσι τὸν στρατὸν προσῆγε καὶ ὁ κατάπλους τῶν Τριαρίου νεῶν ἐπεφαίνετο. Συνταραχθέντες οὖν οἱ Ἡρακλεῶται πρὸς τὸ αἰφνίδιον τῆς τῶν νηῶν ἐφοδου ναῦς μὲν ἐπὶ τὴν θάλασσαν λ' καθεῖλκον, οὐδὲ ταύτας ἀκριβῶς πληροῦντες, τὸ δὲ λοιπὸν πρὸς τὴν πολιερκίαν ἐτρέποντο. Ἀνήγετο μὲν ὁ Ἡρακλεωτικὸς στόλος πρὸς τὰς ἐπιπλεούσας τῶν πολεμίων. Πρῶτοι γοῦν Ῥόδιοι (καὶ γὰρ ἐδόκουν ἐμπειρίᾳ τε καὶ ἀνδρείᾳ τῶν ἄλλων προέχειν) ἐνερράγησαν ταῖς ἐξ Ἡρακλείας, καὶ παραχρῆμα μὲν κατέδυσαν Ῥοδίων μὲν γ' Ἡρακλεώτιδες δὲ ε'. Ἐπιγενόμενοι δὲ τῇ ναυμαχίᾳ καὶ Ῥωμαῖοι, καὶ πολλὰ παθόντες καὶ ποιήσαντες τοῖς πολεμίοις, [748 R.] πλέον δὲ ὅμως κακώσαντες, ἐτρέψαντο τὰς ἐξ Ἡρακλείας καὶ φεύγειν ἠνάγκασαν πρὸς τὴν πόλιν, δ' ἀποβαλούσας καὶ ι'. Αἱ τρεψάμεναι δὲ πρὸς τὸν μέγαν ἐνωρμίζοντο λιμένα. Ἀνίστη δ' οὖν καὶ τὸ πεζὸν τῆς πολιορκίας ὁ Κόττας. Οἱ δὲ περὶ Ὀτριάριον ἀναγόμενοι καθ' ἑκάστην ἀπὸ τοῦ λιμένος τοὺς σιτηγεῖν ὡρμημένους τοῖς [388 H.] πολιορκουμένοις ἀπεκώλυον, καὶ σπάνις χαλεπὴ τὴν πόλιν κατεῖχεν, ὡς π' Ἀττικῶν τὴν λεγομένην χοίνικα τοῦ σίτου προκόψαι. Ἐπὶ δὲ τοῖς ἄλλοις κακοῖς καὶ λοιμὸς [63] αὐτοῖς ἐπιπεσὼν (εἴτε ἐκ τροπῆς ἀέρων εἴτε ἐκ τῆς ἀσυνήθους διαίτης) ποικίλην ἐπὶ ποικίλαις παθημάτων ἰδέαις τὴν φθορὰν ἀπειργάζετο· ἐν οἷς καὶ Λάμαχος πικροτέρῳ καὶ μακροτέρῳ τῶν ἄλλων ὀλέθρῳ διέφθαρτο. Ἥψατο δὲ μάλιστα καὶ τῶν φρουρῶν ἡ νόσος ὡς ἀπὸ τρισχιλίων χιλίους ἀποθανεῖν. Τοὺς Ῥωμαίους δὲ τὸ πάθος οὐκ ἐλάνθανεν [64].

CAP. LIII. — *Heracleæ proditio, direptio. : dissidium Romanorum.*

Atqui Connacorix, hac afflictionum mole fatiscens, C urbem Romanis prodere, et Heracleotarum exitio suam permutare salutem statuit. Operam huc conferebat etiam Heracliensis quidam, consiliorum Lamachi æmulator, cui nomen Damophile, præsidio urbis et ipse Lamachi interitu præfectus. At Connacorix a Cotta sane, ut homine moribus importunis et dubia fide, sibi cavet : cum Triario autem rem communicat : nec segnius in eodem cum his studio Damophiles decurrit, et acceptis pactorum conditionibus, **237***a* quibus se beatos fore sperabant, ad proditionem se accingunt. Obiter autem quæ a proditoribus agebantur, in vulgus emanant. In concionem igitur urbs concurrit, præsidiique præfectus advocatur. Tum Brithagoras, vir inter populares præcipuæ auctoritatis, Connacorige convento, quo D loco sit Heraclea edisserit, et si ille comprobet, de communi omnium salute cum Triario conferendum esse censet. Hæc cum miserabiliter, multis intermistis precibus, perorasset Brithagoras, surgens Connacorix, pacificationem eam suscipiendam esse

Καὶ ὁ Κοννακόρηξ κακοπαθῶν ταῖς συμφοραῖς ἔγνω τοῖς Ῥωμαίοις προδιδόναι τὴν πόλιν καὶ τῇ τῶν Ἡρακλεωτῶν ἀπωλείᾳ τὴν ἰδίαν σωτηρίαν ἀλλάξασθαι [65]. Συνελαμβάνετο δὲ αὐτῷ καὶ Ἡρακλεώτης ἀνὴρ, ζηλωτὴς τῆς Λαμάχου προαιρέσεως, Δαμωφέλης [66] ὄνομα, φρούραρχος καὶ αὐτὸς τῇ πόλει μετὰ τὴν Λαμάχου φθορὰν καταστάς. Ὁ τοίνυν Κοννακόρηξ τὸν Κότταν μὲν ὡς βαρὺν [67] τὸ ἦθος καὶ ἄπιστον ἐφυλάττετο, πρὸς Ὀτριάριον δὲ συνετίθετο· συνέτρεχὲ δὲ τούτοις καὶ Δαμωφέλης οὐκ ἐνδεέστερον. Καὶ λαβόντες συνθήκας, αἷς εὐδαιμονήσειν αὐτοὶ ἤλπιζον, πρὸς τὴν προδοσίαν παρεσκεύάζοντο. Ἐξ ἐπιπολῆς οὖν τὰ πραττόμενα τεῖς προδόταις διέπιπτεν εἰς τὸν δῆμον. Εἰς ἐκκλησίαν οὖν ἡ πόλις συνέδραμον καὶ τὸν φροῦραρχον ἐκάλουν. Βριθαγόρας δὲ τῶν ἐν τῷ δήμῳ ἀνὴρ ἐπιφανὴς πρὸς Κοννακόρηκα παραγεγονὼς τά τε κατέχοντα τὴν Ἡράκλειαν διεξῆει, καὶ εἰ κἀκείνῳ [68] δοκεῖ, ἐπὶ κοινῇ πάντων σωτηρίᾳ διελάμβανεν Ὀτριαρίῳ διαλέξασθαι. Ταῦτα Βριθαγόρου μετὰ πολλῆς οἰκτισαμένου δεήσεως, διαναστὰς ὁ Κοννακόρηξ τοιαύτην μὲν συν-

VARIÆ LECTIONES

[63] λιμὸς ς. [64] ἐλάμβανε ς. [65] ἀπαλλάξασθαι ς. [66] δαμοφελὴς A : Δαμοφιλὴς ς. [67] βαρὺν A : βάρβαρον ς. [68] κακεῖνο ς.

θήκην ἀπεῖπε πράττεσθαι, ἔχεσθαι [69] δὲ τῆς ἐλευθερίας καὶ τῶν κρειττόνων ὑπεκρίνατο ἐλπίδων· καὶ γὰρ καὶ τὸν βασιλέα μαθεῖν διὰ γραμμάτων ὑπὸ Τιγράνους τε τοῦ γαμβροῦ φιλοφρόνως δεδέχθαι, καὶ οὐκ εἰς μακρὰν ἐκεῖθεν προσδοκᾷν τὴν ἀποχρῶσαν βοήθειαν. Ἀλλ' ἐκείνοις μὲν ταῦτα ὁ Κοννακόρηξ ἐσκηνικεύετο· οἱ δὲ Ἡρακλεῶται τούτοις τοῖς λόγοις ἐξηπατημένοι (ἀεὶ γὰρ αἱρετὸν τὸ ἐράσμιον) ὡς ἀληθέσι τοῖς τερατευθεῖσιν ἐπίστευον. Ὁ δὲ Κοννακόρηξ, ὡς ἠπατημένους ἔγνω, κατὰ μέσας νύκτας ἐπιβιβάσας ἡσύχως ταῖς τριήρεσι τὸ στράτευμα (αἱ γὰρ πρὸς Ὀτριάριον συνθῆκαι κακῶν ἀπαθεῖς ἀπιέναι, καὶ εἴ τι κεκερδαγκότες [70] εἶησαν, μεθ' ἑαυτῶν ἄγειν ἐπέτρεπον) καὶ αὐτὸς τούτοις συνεξέπλευσε. Δαμωφέλης δὲ τὰς πύλας ἀνοίξας εἰσχεόμενον τὸν Ῥωμαϊκὸν στρατὸν καὶ τὸν Ὀτριάριον εἰσεδέχετο, τοὺς μὲν διὰ τῆς πύλης, ἐνίους δὲ καὶ τὴν στεφάνην ὑπερβαίνοντας. Καὶ τότε τῆς προδοσίας οἱ Ἡρακλεῶται ἐπήσθοντο. Καὶ οἱ μὲν σφᾶς αὐτοὺς παρεδίδοσαν, οἱ δὲ ἐκτείνοντο, τά τε κειμήλια καὶ τὰ ἔπιπλα διηρπάζετο, καὶ πολλὴ τοὺς πολίτας ὠμότης ἐλάμβανε, μεμνημένων Ῥωμαίων ὅσα τε παρὰ τὴν ναυμαχίαν [389 H.] πάθοιεν [749 R.] καὶ ὅσα τεταλαιπωρηκότες ἐπὶ τῇ πολιορκίᾳ ὑπέστησαν. Οὐκ ἀπείχοντο γοῦν οὐδὲ τῶν ἐπὶ τοῖς ἱεροῖς πεφευγότων, ἀλλὰ παρά τε τοῖς βωμοῖς καὶ τοῖς ἀγάλμασιν αὐτοὺς ἔσφαττον. Διὸ πολλοὶ διαπίπτοντες ἐκ τῶν τειχῶν φόβῳ τοῦ ἀφύκτου θανάτου κατὰ πᾶσαν ἐσκεδάννυντο χώραν· οἱ δὲ αὐτομολεῖν πρὸς τὸν Κότταν ἠναγκάζοντο. Ἐξ ὧν ἐκεῖνος τήν τε ἅλωσιν καὶ τὸν φθόρον τῶν ἀνθρώπων καὶ τὴν διαρπαγὴν τῶν χρημάτων πυθόμενος [71] ὀργῆς ἀνεπίμπλατο, καὶ διὰ ταχέων πρὸς τὴν πόλιν ἠπείγετο. Συνεχαλέπαινε δὲ καὶ τὸ στράτευμα, ὡς οὐ μόνον τὴν ἐπὶ τοῖς κατωρθωμένοις εὐδοξίαν ἀφηρημένων [72], ἀλλὰ καὶ τῶν λυσιτελειῶν ἁπάσας παρὰ τῶν αὐτῶν διηρπασμένοι. Καὶ εἰς μάχην ἂν τοῖς ὁμοφύλοις κατέστησαν ἄσπονδον καὶ κατεκόπησαν ἂν ὑπ' ἀλλήλων, εἰ μὴ Ὀτριάριος ἐπιγνοὺς τὴν ὁρμὴν αὐτῶν, πολλοῖς ἐκμειλίξας λόγοις τόν τε Κότταν καὶ τὸν στρατὸν, καὶ εἰς τὸ κοινὸν τὰ κέρδη καταθεῖναι [73] βεβαιωσάμενος, τὸν ἐμφύλιον ἀνεχαίτισε πόλεμον.

A negat, sed ut libertatis et melioris fortunæ spei inhærerent, per simulationem suasit. Etenim per litteras se cognovisse regem a Tigrane genero benigne susceptum, nec longum post intervallum sufficiens inde exspectare auxilium. Hanc tum larvam scenicam illis prætendebat Connacorix. Quare his verbis decepti Heraclienses (semper enim quod adlibet expetitur) astute confictis, ut veris, fidem adhibuere. Connacorix, ut in fraudem deductos videt, nocte intempesta, exercitu navibus imposito (per fœdus enim cum Triario initum salvis abire, et si quid lucri fecissent, secum asportare licebat), ipse cum militibus discedit. Damophiles autem, solutis portis, introfusum Romanorum exercitum et Triarium recipit : quorum alii per portam irrumpunt, nonnulli etiam muri pinnacula transcendunt. Tum demum proditos se Heraclienses sentiunt, parsque horum se dedit, pars trucidatur. Res in abdito repositæ et supellectilia diripiuntur, et magna crudelitate in cives desævitur. Nam recurrit animo Romanis, quanta navali conflictu detrimenta accepissent, et quantas sustinuissent ærumnas in oppugnatione. Ideoque nec ab his qui ad deum sacra confugerant temperatum, sed juxta aras et delubra supplices mactati. Quocirca multi trans muros elapsi, mortis inevitabilis metu, per totam disperguntur regionem : nonnullis etiam ad Cottam transfugere coactis. A quibus ille de expugnatione urbis, et hominum strage et direptione bonorum, certior factus, ira totus exardescit, et quam celerrime ad urbem festinat. Moleste etiam simul tulit exercitus, quod non modo gloria rerum fortiter gestarum spoliati **237***b* sed etiam commodis universis fraudati essent ab iisdem. Ideo implacabili cum gentilibus certamine conserti, mutuis se cædibus hausissent, nisi Triarius, concitatione illorum intellecta, multis pacasset verbis Cottam, et in commune se lucra expositurum sancte promisso, bellum intestinum inhibuisset.

CAP. LIV. — *Cotta Heracleam exspoliatam incendit, et in reditu magnam prædæ partem naufragiis amittit.*

Ἐπεὶ δὲ ἐπυνθάνοντο τὸν Κοννακόρηκα κατειληφότα τήν Τῖον καὶ τὴν Ἄμαστριν, αὐτίκα Κόττας Ὀτριάριον ἐκπέμπει ἀφαιρησόμενον αὐτῶν [74] τὰς πόλεις. Αὐτὸς δὲ τούς τε προσκεχωρηκότας ἄνδρας λαβὼν καὶ τοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνθρώπους, τὰ λοιπὰ μετὰ πάσης διεῖπεν ὠμότητος. Χρήματα γοῦν διερευνώμενος οὐδὲ τῶν ἐν ἱεροῖς ἐφείδετο, ἀλλὰ τούς τε ἀνδριάντας καὶ τὰ ἀγάλματα ἐκίνει, πολλὰ καὶ καλὰ [75] ὄντα. Καὶ δὴ καὶ τὸν Ἡρακλέα τὸν ἐκ τῆς ἀγορᾶς ἀνῆρει καὶ σκευὴν αὐτοῦ τὴν ἀπὸ τῆς πυραμίδος, πολυτελείας καὶ μεγέθους καὶ δὴ καὶ ῥυθμοῦ καὶ χάριτος καὶ τέχνης οὐδενὸς τῶν ἐπαι-

Ubi vero audivit Connacorigem Tium et Amastrin occupasse, sine mora Triarium Cotta dimisit, ut has eis urbes adimeret. Ipse interim, acceptis deditiis et captivis, cætera per omnem sæviliam administravit. Nam dum opes passim scrutatur, ne sacris quidem parcit. Statuas enim et imagines, tam pulchras quam multas, loco movit : quin et Herculem e foro, et ornatum ejus a pyramide, sumptu, magnitudine, nec non opificio et arte, nullo laudatissimorum operum inferiorem, sustulit. Erat autem clava malleo cusa ex auro purissimo : et leonina ipsi circumfusa, corytusque ex eadem materia, arcu et sa-

VARIÆ LECTIONES.

[69] δέχεσθαι A. [70] κεκερδακότες A. [71] πειθόμενος ς. [72] ἀφηρημένον Scaliger, ἀφηρημένοι Hœschelius. [73] καταθεῖναι τὰ κέρδη ς. [74] αὐτὸν Scaliger. [75] ὄντα καὶ καλὰ ς.

gittis refertus. Multa etiam alia æque miranda atque pulchra, e fanis et urbe sublata, navibus intersit. Ad ultimum jussis ignem immittere militibus, multis urbem partibus succendit. Ita capta et subacta est civitas, cum duos oppugnationem annos sustinuisset. Sub hæc Triarius ad urbes sibi demandatas profectus, Connacorigi (is enim proditionem Heracleæ aliarum occupatione dissimulare animo præsumpserat), securitate abeundi facta, civitates sub conditionibus certis recipit. Cotta autem rebus, quo dictum est modo, confectis, pedestres copias una cum equitatu Lucullo tradit, et socium auxilia, in suam quæque patriam, dimittit: ipse vero cum classe avehitur. Ibi navium quæ urbis spolia vectabant, pars supra modum onerata, haud procul a littore solvitur, pars Aparetia vento contra flante, in vada procellis ejectæ, pleraque asportandorum excussere.

A νουμένων ἀπολειπομένην. Ἦν δὲ ῥόπαλον σφυρήλατον ἀπέφθου χρυσοῦ πεποιημένον, κατὰ δὲ αὐτοῦ λεοντῆ μεγάλη ἐκέχυτο, καὶ γωρυτὸς τῆς αὐτῆς μὲν ὕλης, βελῶν δὲ γέμων καὶ τόξου. Πολλὰ δὲ καὶ ἄλλα καλὰ καὶ θαυμαστὰ ἀναθήματα ἔκ τε τῶν ἱερῶν καὶ τῆς πόλεως ἀφελὼν ταῖς ναυσὶν ἐγκατέθετο. Καὶ τὸ τελευταῖον πῦρ ἐνεῖναι τοῖς στρατιώταις κελεύσας τῇ πόλει κατὰ πολλὰ ταύτην ὑπέπρησε μέρη. Ἑάλω δὲ ἡ πόλις ἐπὶ δύο ἔτη τῇ πολιορκίᾳ ἀντισχοῦσα. Ὁ δὲ Ὀτριάριος παραγεγονὼς ἐν αἷς ἀπέσταλτο πόλεσι, Κοννακόρηκι (οὗτος γὰρ τὴν τῆς Ἡρακλείας προδοσίαν ἑτέρων κατασχέσει [76] συγκαλύπτειν διενοεῖτο) δοὺς ἄδειαν τῆς ἀναχωρήσεως, καθ' ὁμολογίαν [77] λαμβάνει τὰς πόλεις. Ὁ δὲ Κόττας ἅπερ εἴρηται διαπραξάμενος τὸ μὲν πεζὸν καὶ τοὺς ἱππεῖς ἐκπέμπει Λευκόλλῳ, καὶ τοὺς συμμάχους ἀφῆκεν ἐπὶ τῶν πατρίδων, αὐτὸς δ' ἀνήγετο τῷ στόλῳ. Τῶν δὲ νεῶν αἱ τὰ τῆς πόλεως λάφυρα ἦγον, αἱ μὲν κατάφορτοι γενόμεναι μικρὸν ἄποθεν τῆς γῆς διελύθησαν, αἱ δὲ ἀπαρκτίου πνεύσαντος ἐξεβράσθησαν [78] εἰς τὰ τενάγη καὶ πολλὰ τῶν ἀγωγίμων ἀπεβάλοντο.

B

Cap. LV. — *Cleocharis Leonippi et Seleuci præfect. Mithrid. Sinopæ dissidium, tyrannis et perfidia.*

Tum Leonippus, cui cum Cleochari Sinopes cura et tutatio commendata fuerat a Mithridate, re desperata, de proditione ad Lucullum mittit. At Cleochares cum Seleuco (nam et hic Mithridatis **238a** erat legatus, officii auctoritate cum cæteris æquatus) Leonippi proditionem odorati, advocata concione, hominem accusant: cives vero criminis hujus actionem non admittunt, quod probum esse existimabant. Ideo Cleocharis factio, gratiam ejus apud plebem metuens, noctu ex insidiis hominem trucidant. Populus quidem hunc casum ægre ferre, sed Cleochares cum suis rerum potiri, et tyrannice res administrare: hac via parricidii in Leonippum pœnas subterfugituros se existimantes. Interim Censorinus, Romanæ classis prætor, triremes agens xv conmeatum a Bosphoro Romanorum castris advebentes, prope Sinopen appellit. Contra quem Cleocharis et Seleuci triremes Sinopicæ, ductu Seleuci egressæ, navali prælio decernunt, et victis Italis, naves onerarias in suum duces lucrum auferunt. Elatus igitur hac fortunæ benignitate Cleochares cum collega, plusquam antea tyrannico urbem imperio premit. Nam causis legitimo judicio non disceptatis, ad neces oppidanos rapiunt, et ad multa alia crudelitate sua abutuntur. Accidit autem ut in contraria scinderentur studia Cleochares et Seleucus. Ille enim persistendum in bello, hic trucidatis Sinopensibus universis, urbem Romanis, magnificæ remunerationis pacto, tradendam censebat. Atqui neutra sententiarum comprobata, quidquid possidebant, navibus onerariis ingestum: ad Macharen filium Mithridatis, tum temporis in Colchide agentem, dimittunt.

C

D

[391 H.] Λεόνιππος δὲ ὁ σὺν Κλεοχάρει παρὰ Μιθριδάτου τὴν Σινώπην ἐπιτραπείς, ἀπεγνωκὼς τῶν πραγμάτων, πέμπει περὶ προδοσίας πρὸς Λεύκολλον. Ὁ δὲ Κλεοχάρης ἅμα Σελεύκῳ (καὶ γὰρ οὗτος τῶν Μιθριδάτου στρατηγὸς ἰσοστάσιος τῶν εἰρημένων ἦν) τὴν Λεονίππου μαθόντες προδοσίαν, ἐκκλησίαν ἀθροίσαντες κατηγόρουν αὐτοῦ. Οἱ δὲ οὐ προσίεντο· ἐδόκει γὰρ αὐτοῖς εἶναι χρηστός. Καὶ οἱ περὶ Κλεοχάρην δείσαντες τοῦ πλήθους τὴν εὔνοιαν ἐξ ἐνέδρας νυκτὸς ἀποσφάττουσι τὸν ἄνδρα. [732 R.] Καὶ τὸ μὲν δημοτικὸν ἤχθετο τῷ πάθει, οἱ δὲ περὶ Κλεοχάρην τῶν πραγμάτων κύριοι καταστάντες τυραννικῶς ἦρχον, ταύτῃ νομίζοντες διαφυγεῖν τῆς ἐπὶ Λεονίππῳ μιαιφονίας τὴν δίκην. Ἐν τούτῳ Κηνσωρῖνος ναύαρχος Ῥωμαίων, τριήρεις ἄγων ιε' σῖτον ἀπὸ Βοσπόρου τῷ [79] Ῥωμαίων κομιζούσας στρατοπέδῳ, πλησίον Σινώπης κατῆγε [80]· καὶ οἱ περὶ Κλεοχάρην καὶ Σέλευκον ἀνταναχθέντες Σινωπικαῖς τριήρεσιν, ἡγουμένου Σελεύκου, καθίστανται εἰς ναυμαχίαν, καὶ νικῶσι τοὺς Ἰταλούς, καὶ τὰς φορτηγοὺς ἐπὶ τῷ σφῶν ἀφαιροῦνται κέρδει. Ἐπήρθησαν οὖν οἱ περὶ Κλεοχάρην τῷ κατορθώματι, καὶ τυραννικώτερον ἔτι τῆς πόλεως ἦρχον, φόνους τε ἀκρίτους τῶν πολιτῶν ποιοῦντες καὶ τὰ ἄλλα τῇ ὠμότητι ἀποχρώμενοι. Ἐγένετο δὲ καὶ στάσις πρὸς ἀλλήλους Κλεοχάρῃ καὶ Σελεύκῳ· τῷ μὲν γὰρ ἤρεσκε διακαρτερεῖν τῷ πολέμῳ, Σελεύκῳ δὲ πάντας Σινωπεῖς ἀναιρεῖν καὶ Ῥωμαίοις ἐπὶ δωρεαῖς μεγάλαις παρασχεῖν τὴν πόλιν. Πλὴν οὐδεμία τῶν γνωμῶν κρίσιν ἔσχε, τὰ δὲ ὑπάρχοντα λαθραίως, ναυσὶ στρογγύλαις ἐνθέμενοι πρὸς Μαχάρην τὸν Μιθριδάτου υἱόν, ὃς κατ' ἐκεῖνο καιροῦ περὶ τὴν Κολχίδα ἦν, ἐξέπεμπον.

VARIÆ LECTIONES.

[76] κατασχέσεσι ς. [77] καθ' A : καὶ καθ' ς. [78] ἐξεβιάσθησαν ς. [79] τῷ A : τῶν ς. [86] κατῆρε corr. A.

CAP. LVI. — *Lucullus Macharen, P. Mithrid. in amicitiam recipit. Tigranni fugiunt. Sinope capitur.*

Ἐν τούτῳ δὲ Λεύκολλος ὁ τῶν Ῥωμαίων αὐτο- A κράτωρ παραγίνεται τῇ πόλει, καὶ κραταιῶς ἐπολιόρκει. Ἐπρεσβεύετο δὲ καὶ Μαχάρης ὁ τοῦ Μιθριδάτου πρὸς Λεύκολλον περὶ φιλίας τε καὶ συμμαχίας. Ὁ δὲ ἀσμένως ἐδέχετο, εἰπὼν βεβαίους νομιεῖν τὰς συμβάσεις, εἰ μὴ καί τισι [81] Σινωπεῦσιν ἀγορὰν διαπέμποι. Ὁ δὲ οὐ μόνον τὸ κελευόμενον ἔπραττεν, ἀλλὰ καὶ ἃ παρεσκεύαστο πέμπειν τοῖς Μιθριδατείοις, ἐξαπέστειλε Λευκόλλῳ [82]. Ταῦτα οἱ περὶ Κλεοχάρην θεασάμενοι καὶ τέλεον ἀπογνόντες, πλοῦτον πολὺν ταῖς ναυσὶν ἐνθέμενοι καὶ τὴν πόλιν διαρπάσαι τοῖς στρατιώταις ἐφέντες [83] (ὑπὸ νύκτα δὲ ταῦτα ἐπράττετο) διὰ τῶν πλοίων ἔφευγον εἰς τὰ ἐσώτερα τοῦ Πόντου (Σάνηγας δὲ καὶ Λαζοὺς ἐποίκους εἶχον τὰ χωρία), ταῖς ὑπολειφθείσαις τῶν νεῶν πῦρ ἐνέντες· αἰρομένης δὲ τῆς φλογὸς, ἤσθετο B Λεύκολλος τοῦ ἔργου καὶ κλίμακας κελεύει προσάγειν τῷ τείχει· οἱ δὲ ὑπερέβαινον. Καὶ φθόρος ἦν κατ' ἀρχὰς οὐκ ὀλίγος· ἀλλὰ τὸ πάθος Λεύκολλος οἰκτείρας τὴν σφαγὴν ἐπέσχεν· οὕτω μὲν οὖν ἥλω καὶ ἡ Σινώπη. Ἔτι δὲ ἡ Ἀμάσεια ἀντεῖχεν, ἀλλ' οὐ μετ' οὐ [84] πολὺ καὶ [392 H.] αὐτὴ προσεχώρησε Ῥωμαίοις.

A Sub idem tempus Lucullus, Romanorum imperator, ad urbem accedens, valido eam nixu oppugnat, cum Machares etiam amicitiæ et societatis fœdus per legationem petit. Is igitur, petitione benigne admissa, fœdus pro firmo se habiturum respondit, si nullos Sinopensium commeatu juvet. Tum is non solum imperata facit, sed etiam destinata Mithridaticis, ad Lucullum deferenda curavit. Hæc ubi Cleocharis factio videt, spem omnem abjiciunt, magnisque in naves opibus congestis, et urbe ad direptionem militibus concessa (sub noctem ista fiebant), navigiis ad interiora Ponti, quæ a Sanegibus et Lazis incoluntur, aufugiunt, cum reliquam classem incendissent. Excitata igitur flamma, quid actum sit Lucullus animadvertit, scalasque ad mœnia adB hibere jussi milites transcendunt. Fit primum cædes non **238***b* modica, sed misertus calamitatum Lucullus, ne sæviatur ulterius interdicit. Ad hunc igitur modum etiam Sinope in Romanorum arbitrium venit. Repugnabat etiamnum Amasea, sed non multum intercessit spatii, cum etiam ipsa Romanorum in fidem concessit.

CAP. LVII. — *Mithridates ægre tandem a Tigrane auxilia impetrat.*

Μιθριδάτης δὲ ἐνιαυτὸν καὶ μῆνας η' ἐν τοῖς μέρεσι τῆς Ἀρμενίας διατρίβων οὔπω εἰς ὄψιν κατέστη Τιγράνου· ἐπεὶ δὲ Τιγράνης ἐδυσωπήθη εἰς θέαν αὐτὸν καταστῆσαι, μετὰ λαμπρᾶς τε τῆς πομπῆς ἀπήντα καὶ βασιλικῶς ἐδεξιοῦτο· ἐπὶ δὲ τρεῖς ἡμέρας ἀπορρήτως αὐτῷ ὁμιλήσας, ἔπειτα λαμπροτάταις ἑστιάσεσι φιλοφρονησάμενος μυρίους δίδωσιν C ἱππεῖς καὶ ἐπὶ τὸν Πόντον ἐκπέμπει.

Porro Mithridates annum et 8 menses in partibus Armeniæ demoratus, necdum in generi conspectum admissus erat. Hic tamen exoratus tandem, ut coram se sistendi potestatem ei faceret, splendide cum pompa occurrit, et regali socerum magnificentia excipit. Sed triduum absque colloquio cum eo transegit. Lautissimis inde conviviorum apparatibus C benevolentiam ei suam cum ostentasset, decies mille instructum equitibus in Pontum remittit.

CAP. LVIII. — *Lucullus Armeniam populatur, et thesauri Tigranis vix servantur.*

Λεύκολλος δὲ εἰς τὴν Καππαδοκίαν ἐληλυθὼς, καὶ φίλον ἔχων τὸν ἐπάρχοντα ταύτης Ἀριοβαρζάνην, διέβη τε παρὰ δόξαν πεζῇ τὸν Εὐφράτην, καὶ προσ- [85] ἤγε τὸν στρατὸν τῇ πόλει, ἐν ᾧ τάς τε Τιγράνου παλλακίδας φυλάττεσθαι μεμαθήκει καὶ πολλὰ τῶν σφόδρα τιμίων. Καταλελοίπει δὲ καὶ τοὺς Τιγρανόκερτα πολιορκήσοντας, καὶ στράτευμα ἄλλο ἐπὶ τῶν πολισμάτων τὰ σπουδαιότερα. [753 R.] Οὕτω δὲ τῆς Ἀρμενίας κατὰ πολλὰ μέρη πολιορκουμένης ἔπεμπε Τιγράνης ἀνακαλῶν Μιθριδάτην. Καὶ στρατὸν δὲ περὶ τὴν πόλιν, ἐν ᾧ τὰς παλλακίδας ἔθετο, διέπεμπεν, οἳ καὶ παραγεγονότες, καὶ τοξεία τοῦ Ῥωμαίων D στρατοπέδου τὰς ἐξόδους διακλείσαντες, τάς τε παλλακίδας καὶ τὰ τιμιώτατα τῶν κειμηλίων διὰ νυκτὸς προεξέπεμψαν. Ἡμέρας δὲ ἀνασχούσης, καὶ τῶν Ῥωμαίων ἅμα τῶν Θρᾳκῶν ἀνδρείως ἀγωνιζομένων, φόνος τε πολὺς τῶν Ἀρμενίων γίνεται, καὶ ζωγρίαι τῶν ἀνηρημένων ἑάλωσαν οὐκ ἐλάττους· τὰ μέντοι γε προαποσταλέντα διεσώζετο πρὸς Τιγράνην.

Inter hæc Lucullus in Cappadociam ingreditur, et Ariobarzane terræ regulo utens amico, inopinate Euphratem cum equitatu transit, et agmen ad urbem adducit, ubi Tigranis pellices, et de rebus pretiosis ac charis non pauca asservari didicerat. Copias etiam, quæ Tigranocerta oppugnent, et alias, quæ præcipua illic oppida tentent, relinquit. Dum hoc modo Armenia multis oppugnatur partibus, mittit Tigranes qui Mithridatem revocent. Exercitum etiam at tutandum urbem in qua pellices erant dispositæ, ire jubet. Qui cum eo venissent, interclusis sagittaD rum grandine exitibus e Romanorum castris, et concubinas et gazas periculo exemptas noctu præmittunt. Ubi illuxit, Romani et Thraces, certamine cum Armeniis feliciter inito, prolixam horum faciunt stragem, nec pauciores vivos capiunt quam cædunt. Præmissa tamen ad Tigranem, tuta manent et salva.

VARIÆ LECTIONES.

[81] καί τισι] **imo** καὶ τοῖς. **alterutra negatio delenda.** [82] Λευκόλλῳ **Rhodomannus : libri** σελεύκῳ. [83] ἀφέντες ς. [84] οὐ μετ' οὐ] [85] προσῆγε τὸν **Schæferus : libri** προσήγετο.

CAP. LIX. — *Luculli victoriæ de Tigrane ad Tigranocerta; et urbis deditio.*

Hic 80000 contractis, ut Tigranocerta ab urgentibus malis eripiat, propulsetque hostes, descendit. Confestim vero ut Romanorum exilitatem vidit castrorum, superba per contemptum de iis verba jacit: *Si legati sunt* (inquit) *multi simul venerunt: sin hostes, perpauci.* Quibus dictis, castris locum deligit. At Lucullus, singulari arte et studio instructa acie, suisque fiducia per cohortationem injecta, dextrum cornu statim in fugam agit: mox inclinatio fit in proximo: dehinc terga vertunt omnes. Grandem itaque et præcipitem Armenii fugam capessunt, et pro hominum numero cædes sequitur. Tigranes igitur, diademate et regni insignibus **239***a* filio impositis, ad castellum quoddam fugam arripit. Lucullus vero Tigranocertam versus motus, majore conatu in obsidionem incumbit. Tum Mithridatis in urbe legati, desperata rerum summa, Lucullo se dedidere, salutem pacti.

A Δύναμιν δὲ οὗτος ἀθροίσας ὀκτὼ μυριάδας κατέβαινε, τήν τε Τιγρανοκέρταν ἐξαιρησόμενος [86] τῶν συνεχόντων καὶ ἀμυνούμενος τοὺς πολεμίους. Φθάσας δὲ καὶ ἰδὼν τὸ Ῥωμαίων ὀλίγον στρατόπεδον ὑπεροπτικοὺς ἠφίει λόγους, ὡς Εἰ μὲν πρεσβευταὶ παρεῖεν, πολλοί, φάμενος, συνῆλθον, εἰ δὲ πολέμιοι, παντελῶς ὀλίγοι. Καὶ ταῦτα εἰπὼν ἐστρατοπεδεύετο. Λεύκολλος δὲ τέχνῃ καὶ μελέτῃ πρὸς τὴν μάχην παραταξάμενος, καὶ θαῤῥύνας τοὺς ὑπ' αὐτὸν, τρέπει τε τὸ δεξιὸν εὐθὺς κέρας, εἶτα τούτῳ συναπέκλινε τὸ πλησίον, ἐξῆς δὲ σύμπαντες. Καὶ δεινή τις καὶ ἀνεπίσχετος τοῖς Ἀρμενίοις ἐπέσχε τροπὴ, καὶ κατὰ λόγον ἡ τῶν ἀνθρώπων εἵπετο φθορά. Τιγράνης δὲ τὸ διάδημα καὶ τὰ παράσημα τῆς ἀρχῆς ἐπιθεὶς τῷ παιδὶ πρός τι τῶν ἐρυμάτων B διαφεύγει. Ὁ δὲ Λεύκολλος ἐπὶ τὰ Τιγρανόκερτα ἀναστρέψας προθυμότερον ἐπολιόρκει. Οἱ δὲ κατὰ τὴν πόλιν Μιθριδάτου στρατηγοὶ, τῶν ὅλων ἀπεγνωκότες, ἐπὶ τῇ σφετέρᾳ σωτηρίᾳ Λευκόλλῳ παρέδοσαν τὴν πόλιν.

CAP. LX. — *Tigranis cum Mithridate acta, et legatio ad regem Parthorum.*

Mithridates autem ad Tigranem reversus, fiduciam ei addit, et ornatum regium, assueto non viliorem, circumdat. Exercitus etiam colligendi proponit consilium (cum et ipse manum non contemnendam haberet), ut victoriæ damna bello recuperaturo. Verum hic dum plus virtutis et prudentiæ illi tribuit, et magis Romanorum bellis idoneum arbitratur, omnia Mithridati permittit. Ipse interim legatione ad Phradatem Parthum missa, Mesopotamiam et Adiabenen, et magnas (quas nominant) C valles ditioni suæ ut permittat exposcit. Cumque etiam Luculli ad Parthum legati venissent, Romanis seorsum amicum et socium se esse fingit, seorsum etiam eadem ad Armenium simulat.

Ὁ μέντοι Μιθριδάτης πρὸς Τιγράνην παραγεγονὼς ἀνελάμβανέ τε αὐτὸν, καὶ βασιλικὴν ἐσθῆτα περιετίθει τῆς συνήθους οὐκ ἐλαττουμένην, καὶ λαὸν ἀθροίζειν συνεβούλευεν, ἔχων καὶ αὐτὸς δύναμιν οὐκ ὀλίγην, ὡς πάλιν ἀναμαχούμενον τὴν νίκην. Ὁ δὲ πάντα [393 H.] τῷ Μιθριδάτῃ ἐπέτρεπεν [87], ἔν τε τῷ γενναίῳ καὶ συνετῷ τὸ πλέον νέμων αὐτῷ καὶ μᾶλλον ἀνέχειν εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον δυνάμενον. Αὐτὸς δὲ πρὸς τὸν Πάρθον Φραβάτην διεπρεσβεύετο παραχωρεῖν αὐτῷ τὴν Μεσοποταμίαν καὶ τὴν Ἀδιαβηνὴν καὶ τοὺς μεγάλους αὐλῶνας. Ἀφικομένων δὲ πρὸς τὸν Πάρθον καὶ παρὰ Λευκόλλου πρέσβεων τοῖς μὲν Ῥωμαίοις ἰδίᾳ φίλος εἶναι ὑπεκρίνατο καὶ σύμμαχος, ἰδίᾳ δὲ τὰ αὐτὰ καὶ [88] πρὸς τοὺς Ἀρμενίους διετίθετο.

CAP. LXI. — *Odium Romæ in Cottam, et actio, accusante Thrasimede Heracl.*

Interea Romam Cotta reversus, honore a senatu afficitur, et Pontici cognomento, quod Heracleam cepisset, nobilitatur. At ubi sinistra ejus fama Romam pervenit, in publico erat odio, invidiamque tantæ ei opes adaugebant. Cujus declinandæ causa pleraque in ærarium spolia retulit, tametsi nihilo mitiores in se Romanos hoc efficeret, dum e plurimis eum pauca referre persuasum haberent. Captivos etiam Heracleæ statim dimittendos decreto publico sciverunt. Thrasymedes insuper, Heraclensium unus, pro concione Cottam publice accusat, et D civitatis suæ erga Romanas benevolentiam commemorat: et, si quid ab hac remiserint, non civitatis voluntate, sed magistratuum fraude et adversariorum vi factum esse. Miserabili etiam querela ob oculos ponit urbis inflammationem, quotque et quanta incendium evastarit, utque simulacra Cotta

Ὁ δὲ δὴ Κόττας, ὡς εἰς τὴν Ῥώμην ἀφίκετο, τιμῆς παρὰ τῆς συγκλήτου τυγχάνει Ποντικὸς αὐτοκράτωρ καλεῖσθαι, ὅτι ἕλοι τὴν Ἡράκλειαν. Διαβολῆς δὲ εἰς τὴν Ῥώμην ἀφικνουμένης ὡς οἰκείων κερδῶν ἕνεκα τηλικαύτην πόλιν ἐξαφανίσειε, μῖσός τε δημόσιον ἐλάμβανε, καὶ ὁ περὶ αὐτὸν τοσοῦτος πλοῦτος φθόνον ἀνεκίνει. Διὸ καὶ πολλὰ τῶν λαφύρων εἰς τὸ τῶν Ῥωμαίων εισεκόμιζε ταμιεῖον [83], τὸν ἐπὶ τῷ πλούτῳ φθόνον ἐκκρούων, εἰ καὶ μηδὲν αὐτοὺς πραοτέρους ἀπειργάζετο, ἀπὸ πολλῶν ὀλίγα νέμειν ὑπολαμβάνοντας [90]. Ἐψηφίσαντο δὲ αὐτίκα καὶ τοὺς αἰχμαλώτους τῆς Ἡρακλείας ἀφίεσθαι. Θρασυμήδης δὲ τῶν ἐξ Ἡρακλείας εἷς κατηγόρησεν ἐπ' ἐκκλησίας τοῦ Κόττα, τάς τε τῆς πόλεως εἰσηγούμενος πρὸς Ῥωμαίους εὐνοίας, [736 R.] καὶ εἴ τι ταύτης ἀποκλίνοιεν οὐχὶ γνώμῃ τῆς πόλεως τοῦτο δρᾷν, ἀλλ' ἤ τινος τῶν ἐφεστηκότων τοῖς πράγμασιν ἐξαπάτῃ ἢ καὶ

VARIÆ LECTIONES.

[86] ἐξαιρησόμενος; — ἀμυνούμενος corr. A: ἐξαιρησάμενος — ἀμυνόμενος ς. [87] ὑπέτρεπεν pr. A. [88] καὶ om. A. [89] ταμεῖον ς. [90] ὑπολαμβάνοντες ς.

βίᾳ τῶν ἐπιτιθεμένων. Ἀπωκτίζετο δὲ τόν τε [91] τῆς πόλεως ἐμπρησμὸν, καὶ ὅσα τὸ πῦρ ἀφανίσοι, ὅπως τε τὰ ἀγάλματα Κόττας καθήρει καὶ λείαν ἐποιεῖτο, τούς τε ναοὺς κατέσπα, καὶ ὅσα ἄλλα δι' ὠμότητος ἐλθὼν ἐπεπράγει, τέν τε χρυσὸν καὶ τὸν ἄργυρον τῆς πόλεως ἀναγράφων ἀναρίθμητον, καὶ τὴν ἄλλην τῆς Ἡρακλείας ἣν ἐσφετερίσατο εὐδαιμονίαν. Τοιαῦτα τοῦ Θρασυμήδους μετ' οἰμωγῆς καὶ δακρύων διελη-λυθότος, καὶ τῶν ἡγεμόνων ἐπικλασθέντων τῷ πάθει (καὶ γὰρ παρῆλθε καὶ τὸ τῶν αἰχμαλώτων πλῆθος, ἄνδρες ὁμοῦ καὶ γυναῖκες μετὰ τέκνων, ἐν πενθίμοις ἐσθήσεσι θαλλοὺς ἱκεσίους μετ' ὀλοφυρμῶν προτεί-νοντες) ἀντιπαρελθὼν ὁ Κόττας βραχέα τῇ πατρίῳ διελέχθη [92] γλώττῃ, εἶτα ἐκαθέσθη. Καὶ Κάρβων ἀναστὰς, Ἡμεῖς, ὦ Κόττα, φησὶ, πόλιν ἐλεῖν ἀλλ' οὐχὶ καθελεῖν ἐπετρέψαμεν [93]· μετ' αὐτὸν δὲ καὶ ἄλλοι ὁμοίως Κότταν ᾐτιάσαντο. Πολλοῖς μὲν οὖν ἄξιος ὁ Κόττας ἐδόκει φυγῆς· μετριάσαντες δ' ὅμως ἀπεψηφίσαντο τὴν πλατύσημον αὐτοῦ. Ἡρακλεώταις δὲ τήν τε χώραν καὶ τὴν θάλασσαν καὶ τοὺς λιμένας ἀποκατέστησαν, καὶ μηδένα δουλεύειν ψῆφον ἔθεντο.

A destructa prædam sibi fecerit, et ædes sacras diruerit, et sexcenta alia crudelissimum in modum peregerit. Ad hæc auri et argenti infinitum prope numerum, cæteramque urbis felicitatem, quam in suum ille commodum averterit, recensebat. His a Thrasymede, cum lamentis et fletu, commemoratis, et optimatibus Romanorum ad commiserationem casus illius inflexis (accesserat **239***b* enim captivorum quoque multitudo, viri et matronæ cum liberis, lugubribus vestimentis amicti, et deprecatorios, cum ejulatu, præ se tendentes oleæ ramos), progressus contra in medium Cotta, ubi pauca lingua patria disseruisset, resedit: et exsurgens Carbo: *Nos*, inquit, *Cotta, capiendam tibi, non excindendam, urbem demandavimus*: et post eum B alii consimili in Cottam criminatione sunt invecti. Multis igitur exsilio dignus videbatur. Moderatione tamen adhibita, latum ei clavum abrogant. Heracleensibus vero agrum et mare et portus restituunt, rogatione perlata, ut nemo horum servituli sit addictus.

Cap. LXII. — *Thrasymedis et Brithagoræ studium circa instaurationem Heracleæ et libertatem.*

Ταῦτα Θρασυμήδους διαπραξαμένου, ἐπὶ τὴν πατρίδα μὲν τοὺς πολλοὺς ἐξέπεμψεν, αὐτὸς δὲ μετὰ Βριθαγόρου τε καὶ Προπύλου (παῖς δ' ἦν ὁ Πρόπυλος Βριθαγόρου) κατὰ τοὺς ἑξῆς ἐπιμένων [394 H] χρόνους τὰ λοιπὰ τῶν ἐπειγόντων καθίστατο. Καί τινων ἐτῶν ἀνυσθέντων τρισὶν ἐπακτρίσιν εἰς τὴν Ἡράκλειαν ἐπανάγεται [94]. Ἀφικόμενος δὲ πάντα τρόπον ἐπενόει ἀνοικίζεσθαι [95] τὴν πόλιν, καθάπερ εἰς παλιγγενεσίαν ἀνακαλούμενος. Ἀλλὰ πάντα πράττων C μόλις εἰς ὀκτακισχιλίους, ἅμα τοῖς οἰκετικοῖς σώμασι, συλλεγῆναι κατεπράξατο. Βριθαγόρας, δὲ, ἤδη τῆς πόλεως αὐξομένης, ἐλπίδας ἐποιήσατο πρὸς ἐλευθερίαν τὸν δῆμον ἀνενεγκεῖν, καὶ διαγεγονότων μὲν πολλῶν ἐτῶν, ἤδη δὲ τῆς Ῥωμαίων ἡγεμονίας εἰς ἕνα περιισταμένης ἄνδρα Γάϊον Ἰούλιον Καίσαρα, πρὸς τοῦτον ἠπείγετο. Συνεπρέσβευον δὲ αὐτῷ ἄλλοι τέ τινες τῶν ἐπιφανῶν καὶ ὁ υἱὸς Πρόπυλος. Γνωσθεὶς οὖν τῷ Καίσαρι Βριθαγόρας, καὶ διαπραξάμενος ἐγγυτέρω τῇ φιλίᾳ προσελθεῖν, δι' ὑποσχέσεως ἐγένετο, οὐ μὴν ἐξ ἐφόδου γε λαβεῖν τὴν ἐλευθερίαν ἠδυνήθη, ἅτε δὴ οὐκ ἐν τῇ Ῥώμῃ ἀλλ' ἐφ' ἕτερα τοῦ Γαΐου περιτρέχοντος. Οὐκ ἀφίστατο μέντοι γε Βριθαγόρας, ἀλλὰ περὶ πᾶσαν τὴν οἰκουμένην αὐτός D τε καὶ Πρόπυλος συμπεριαγόμενος τῷ Καίσαρι ἐβλέπετο παρ' αὐτοῦ, ὡς ἐπισημειούμενον τὸν αὐτοκράτορα τῆς λιπαρήσεως αὐτὸν ἀποδέχεσθαι. Δωδεκαετίας δὲ τὴν παρεδρίαν διαμετρούσης, καὶ περὶ τῆς εἰς Ῥώμην ἐπανόδου τοῦ Καίσαρος διανοουμένου, ὑπό τε τοῦ γήρους καὶ τῶν συνεχῶν πόνων κατατρυχωθεὶς Βριθαγόρας τελευτᾷ, μέγα πένθος τῇ πατρίδι καταλιπών. Εἰς τοιοῦτον [96] μὲν τέλος καὶ ὁ ις' λογος τῆς Μέμνονος ἱστορίας τελευτᾷ.

His ergo Thrasymedes confectis, plebem remisit in patriam: ipse vero cum Brithagora et Propylo, Brithagoræ filio, ad tempus dehinc subsistens, quæ patriæ usus exigeret administravit. Peractisque aliquot annis, cum tribus onerariis navibus in patriam regressus, ceu ad alterum revocatam natalem omni studio reparare contendit. Verum dum omnia molitur, vix ut 8000 vernis etiam annumeratis, colligerentur, effecit. Brithagoras autem, civitate jam augescente, populum in pristinam libertatem vindicandi spem facit, annisque elapsis haud paucis, Romanorum imperio jam ad unum C. Jul. Cæsarem devoluto, ad eum contendit. Legationem cum eo obibant, cum alii ex nobilitate, tum Propylus. Ibi notior factus Cæsari Brithagoras, et propius in amicitiam admissus, promissionem quidem accipit, sed libertatem prima occasione recuperare nequit, quod non Romæ, sed alibi terrarum, Julius in negotiorum distractione versabatur. Non tamen ab incepto destitit Brithagoras, sed per totum fere orbem cum Cæsare circumductus, ipse et Propylus in oculis ejus erat: ut non obscure imperator significaret, petitionem hominis se approbare. Duodecim tandem annos in familiaritate Romanorum emensus, cum jam redire Cæsar instituisset Romam, senecta et laborum assiduitate exhaustus Brithagoras, vivere desinit, et grandem patriæ luctum a se relinquit. Atque ita XVI etiam liber *Historiarum* Memnonis abbreviatus finem habet.

Ἔστι δὲ ἡ συγγραφὴ νουνεχὴς μὲν καὶ τὸν ἰσχνὸν μεταδιώκουσα χαρακτῆρα, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς

240*a* Prudens est quidem hæc Historia, et exilem assequens characterem. Perspicuitatis non

VARIÆ LECTIONES.

[91] τε add. A. [92] πατρῴῳ διειλέχθη ς. [93] ἐπεστρέψαμεν ς. [94] ἐπανάγεται A : ἄγεται ς. [95] ἐνοικίζεσθαι ς. [96] τοιοῦτο ς.

incuriosus, digressionibus tamen utitur, præsertim necessitate adactus, et externis addendis huc hortantibus. Neque id accidit frequenter, sed ubi stimulari se sentit. Redit vero ad propositum. Verbis, nisi raro immutatis, usitatis utitur. De octo libris præter sedecim, quod eos nondum videre contigerit, non habeo dicere.

A ἀμελοῦσα, εὐλαβουμένη δὲ καὶ τὰς ἐκβολὰς, πλὴν εἰ μή πού τις ἀνάγκη συνεφαίνειν [757 R.] καὶ τὰ ἔξωθεν ἐγκελεύεται τῆς προθέσεως. Οὐδὲ πρὸς ταύτην δὲ ἐπὶ τὸ συχνὸν ἀποκλίνει, ἀλλὰ τὸ κατεπεῖγον ἐπιμνησθεῖσα ἔχεται πάλιν εὐεπιστρόφως τῆς προτεθείσης αὐτῇ κατ' ἀρχὰς γνώμης. Καὶ λέξεσι δὲ, εἰ μή που σπανίως ἐξαλλαττούσαις, ταῖς συνήθεσι χρᾶται [97]. Τὰς δὲ πρώτας ἡ' ἱστορίας καὶ τὰς μετὰ τὴν ις' οὔπω εἰπεῖν εἰς θέαν ἡμῶν ἀφιγμένας ἔχομεν.

De Clearcho tyranno Heracleæ Ponticæ. Ex Suida.

Clearchus Ponticus Athenas venit audiendi Platonis et doctrinæ philosophicæ cupiditate. Sed ejus consuetudine non diu usus (erat enim diis inimicus) in somnis vidit mulierem sibi dicentem : Excede academia, et fuge philosophiam : neque enim ea frui tibi fas est, quæ te infestissimo vultu intuetur. Quibus auditis, redit in expeditionem : et oppressus invidia, patria relicta, conscensaque nave, dum exsul oberrat, pervenit ad Mithridatem, castrisque apud eum positis, laudatur. Non multo post gravis inter Heracleotas exsistit seditio. Deinde in gratiam et concordiam redire cupientes, pacificatorem deligunt Clearchum. Is in reditu, in diversorio quodam rursus in somnis Evopium, Heracleotarum tyrannum sibi dicentem audit : Oportet te tyrannum esse patriæ. Sed et hic philosophiam eum cavere jubebat, renovata somnii Atheniensis memoria. Rerum potitus, crudelissimus fuit, et insuperabili superbia incensus, humana conditione contempta, adorari se, et divinos haberi sibi honores postulavit, et vestes diis familiares induit, eorumque statuis decoras : et filium suum Ceraunon, id est fulmen, appellavit. Interfecit autem eum primum vindicta : deinde Chionis manus, familiaris Platonis, et ejus ad tempus auditoris, qui odio tyranni in illius ædibus hausto patriam liberavit. Tam præclari facinoris socii fuerunt Leonides et Antitheus, ipsi quoque philosophi. Justas autem scelerum pœnas eum dedisse, dictum est.

Ex Diodoro Siculo, lib. XV, *De eodem Clearcho.*

Eadem vero tempestate Clearchus, ex Heraclea Pontica oriundus, tyrannidem affectavit, ac voti compos factus, æmulatus est Dionysii tyranni instituta, et splendide tyrannidem in Heracleotas exercens, imperium tenuit per annos duodecim.

Ex eodem Diodoro lib. XVI.

Clearchus Heracleæ tyrannus, cum Dionysia (id est Bacchanalia) essent, dum ad spectacula vadit, interfectus est, per annos duodecim imperio potitus.

Ex Theopompo Chio, de eodem Clearcho, apud Athenæum lib. III.

Multos morte violenta e medio tollebat, ac quamplurimis cicutam bibendam porrigebat. Cum vero innotuisset omnibus hic tyranni mos, propinandi venenum illud, tanquam poculum quod amicitiæ testandæ ergo propinari solet, ex ædibus non egrediebantur priusquam rutam edissent. Hoc enim qui ederint, illis aconiti potum nihil nocere ait.

De Timotheo tyranno Heracleæ Ponticæ, Clearchi filio, Ex Diodoro lib. XVI.

Imperio Clearchi cum successisset filius Timotheus, eo potitus est per annos XV.

Ex eodem Diodoro, eodem libro.

Dum hæc geruntur, Timotheus Heracleæ Ponticæ tyrannus obit, cum per quindecim annos dominatus esset. Ei successit frater Dionysius, qui per duos et triginta annos imperium obtinuit.

Ex Athenæo libro XII, *de Clearcho secundo.*

Nymphis Heracleotes libro secundo de Heraclea scribit, Clearchum, patriæ suæ tyrannum, ejus filium qui tyrannidem primus invaserat, luxu et quotidiana voracitate sensim in tantam molem carnis extumuisse, ut propter crassitiem, et obesitatem, anhelitus difficultate correptus sit et strangulatu, ideoque medicos præcepisse, ut tenuibus ad id paratis acubus, et prælongis, latera et ventrem configerent, quoties in profundiorem somnum laberetur. Carne in callum spissata ob nimiam pinguedinem, aliquandiu nihil ille sentiebat; cum vero ad puram adacta carnem acus perforasset, tum expergiscebatur. Iis qui responsa petebant, reddebat, corpori objecta arca, quæ partes reliquas obtegeret, ut facie tantum aperta colloqueretur cum iis qui compellabant.

Aliquanto post : annos quinquaginta quinque natus diem obiit, tyrannide per annos triginta tres continuata, prioresque se tyrannos antecelluit comitate et mansuetudine.

De Zathra et Clearcho fratribus, tyrannis Heracleæ, ex Diodoro lib. XX.

Dum hæc geruntur, Dionysius Heracleæ Ponticæ tyrannus obiit, cum triginta duos annos imperasset. Successerunt autem ejus imperio Zathras et Clearchus, filii ; idque per septemdecim annos tenuerunt.

CCXXV.

Eulogii episc. Alexandrini liber contra Severum et Timotheum hæreticos.

Legi beati Eulogii episcopi Alexandrini opus libris duobus comprehensum, estque defensio sancti Leonis pontificis Romani. Accusatio vero Timothei et Severi, qui Tomum reprehendebant. Etenim hæresis utrumque superbe synodum ac Tomum oppugnare compulit : Severum quidem planiorem, ac-

B

ΣΚΕ'.

Εὐλογίου πάπα Ἀλεξανδρείας βιβλίον κατὰ Τιμοθέου καὶ Σευήρου.

[760 R.] Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις Εὐλογίου πάπα Ἀλεξανδρείας βιβλίον ἐν λόγοις β'. Τὸ δὲ βιβλίον συνηγορία μέν ἐστι τῶν ἐν τῷ τόμῳ Λέοντος τοῦ ἐν ἁγίοις τῆς Ῥώμης ἀρχιερέως, ἔλεγχος δὲ Τιμοθέου καὶ Σεβήρου τῶν κατειπόντων τοῦ τόμου· καὶ γὰρ ἡ αἵρεσις ἑκάτερον κατὰ τῆς συνόδου καὶ τοῦ τόμου

VARIÆ LECTIONES

[97] χρῆται ς.

μεγαλαυχεῖ ἀγωνίσασθαι, ἀλλὰ Ζεβῆρον μὲν πλατύτερον, Τιμόθεον δὲ ἀκριβέστερον. Προσφωνεῖ δὲ τὸ βιβλίον Δομετιανῷ τῷ Μελιτηνῆς ἀρχιερεῖ.

Ὁ μὲν οὖν α' λόγος ἐν κεφαλαίοις ἀπαρτίζεται δ', ς' δὲ κεφαλαίοις καὶ ι' ὁ β'. Διηγεῖται δὲ [395 H.] μετὰ τὰ προοίμια τὸ α' βιβλίον τὴν αἰτίαν δι' ἣν ἡ γραφὴ προῆλθε, καὶ ὡς ἀνδρῶν εὐλαβῶν προτροπῇ ταύτην ἐπράξατο. Ἐφ' οἷς ἐκτίθεται νόμον καὶ κανόνα, μὴ δεῖν ἐκ μέρους τὰ συγγράμματα κρίνειν, μηδ' ἀποσπαράγματά τινα λαμβάνοντας διὰ τούτων τὴν ὅλην τοῦ γράφοντος ἐνδιαβάλλειν διάνοιαν· τοῖς γὰρ τοιούτοις καὶ ὁ προφήτης ἐπαφίησι τὴν ἀρὰν, Οὐαὶ [98] τοῖς προφητεύουσι, λέγων, ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσι. Τοῦτον δὲ τὸν νόμον καὶ κανόνα καὶ τῶν ἱερῶν ἡμῶν Πατέρων αἱ ψῆφοι κρατύνουσι. Καὶ γὰρ καὶ Εὐστάθιος ὁ τῶν Ἀντιοχέων ἀρχιερεὺς ἐν ἓξ λόγοις [99] τὰ κατὰ Ἀρειανῶν αὐτοῖς ῥήμασιν οὕτω φησίν. Ἀλλ' οἱ παράδοξοι τῆς Ἀρείων θυμέλης μεσόχοροι τὸ μὲν ἁμαρτίαν μὴ [1] πεποιηκέναι τὸν Χριστὸν φράζουσι, καὶ μετ' ὀλίγα· Τὸ δὲ, ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, οὔτε ἐν μνήμῃ φέρουσιν οὔτε τοῖς τῆς γλώττης ὀργάνοις ἐκφωνοῦσιν, ἀλλ' ὥσπερ δεινοὶ συκοφάνται καὶ κατήγοροι ἀκρωτηριάσαντες τὸ χωρίον τὸν ἀγῶνα τῆς κατηγορίας ποιοῦνται. Εἶτα καὶ ἡ ψῆφος ἡ ὑπὲρ τοῦ νόμου· Δεῖ δὲ φιλαλήθως τοὺς ἐννόμους ἀγωνιστὰς, πάντα συμπεριλαβόντας, ἀπαραλείπτως, ἀλλὰ μὴ πρὸς ἁπάτην μέρος μὲν ἀποσιωπᾷν, μέρος δὲ αποσπῶντας προφέρειν. Ὡσαύτως καὶ Βασίλειος ὁ θεῖος οὑτωσὶ Σωζοπολίταις ἐπιστέλλων γράφει· Οὐ νεώτερον τοῦτο τῆς δοκήσεως τὸ ἀσέβημα, ἀλλὰ πάλαι ἀπὸ τοῦ ματαιόφρονος ἀρξάμενον Οὐαλεντίνου, ὃς ὀλίγας τοῦ Ἀποστόλου λέξεις ἀποσπαράξας τὸ δυσσεβὲς ἑαυτῷ κατεσκεύασε πλάσμα. Ὥστε τῆς τῶν αἱρετικῶν ἐστιν ἀπονοίας, μέρος τι παραλαβόντα τῆς γραφῆς καὶ τοῦτο παραχαράσσοντα δι' αὐτοῦ τε συκοφαντεῖν τὰ λοιπὰ, καὶ διὰ τῆς τῶν ἱερῶν Λογίων συκοφαντίας καὶ κατατομῆς συγκροτεῖν ἑαυτοῖς τὴν ἀσέβειαν. Οὕτω δ' ἂν κατηγορηθεὶν τοῖς ἀσεβέσι καὶ Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, ὡς διαιρῶν τὸν Ἐμμανουήλ· φησιν· Ἰησοῦν τὸν ἀπό Ναζαρὲθ ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. Ναὶ δὴ καὶ Παῦλον, τὸν περιλαβόντα τὴν οἰκουμένην τῷ τῆς εὐσεβείας κηρύγματι, τοῖς ὁμοίοις ἀκρωτηριαστὴς καὶ συκοφάντης [2] αἰτιάσεται, ἐν οἷς δημηγορῶν πρὸς Ἀθηναίους [3] ἔφη· Παραγγέλλει [4] τοῖς ἀνθρώποις πᾶσι μετανοεῖν, καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἐν οἷς πάλιν πρὸς

A curatiorem vero Timotheum. Domitiano autem Melitenæ opus dedicat.

Primus quidem liber quatuor capitibus absolvitur, alter vero sedecim. Initio autem operis causam reddit suscepti laboris, quo et pii homines scribentem invitarunt. Quibus legem constituit et canonem, scripta dijudicare non oportere ex parte, neque fragmenta quædam sumendo, ex his de tota scriptoris mente judicium ferendum. Hos enim Propheta exsecratur : *Væ prophetis, qui sequuntur spiritum suum, et nihil vident h* ! Hanc legem ac regulam et Patrum nostrorum decreta confirmant. Etenim Eustathius Antiochenus episcopus in sex *adversus Arianos* libris his verbis scribit : *Sed Arianæ scenæ saltatores peccatum fecisse Christum jactant.* Et post non longe illud : *Deum in Christo mundum sibi conciliasse, neque memoria tenent, nec linguæ organis conferunt : sed veluti graves calumniatores et accusatores locum labefactantes, accusationis certamen instituunt.* Deinde et legis decretum : *Oportet vero veritatis studio legitime* 240*b* *certantes, omnia abunde accipientes, sed non ad fraudem, partim quidem silere, partim vero arripientes offerre.* Sic divinus Basilius ad hunc modum Sozopolitis scribens : *Non recens opinionis hæc impietas, sed et olim ab absurdo insano Valentino inchoata, qui pauca Apostoli verba contrahens, impium sibi figmentum præparavit.* Ut hæretici amentes solent partem aliquam Scripturæ arripere et hanc depravare, propter hanc cætera condemnare, et ab sacrarum lectionum calumniis et divisionibus impium dogma conflare. Sic et apostolorum princeps ab impiis accusatus est, ut dividens Emmanuel : inquit : *Jesum Nazarenum, quomodo unxerit ipsum Deus sancto Spiritu et virtute, qui venit benefacturus et liberans omnes tyrannide oppressos diaboli, quia Deus erat cum eo h**. Et profecto Paulum orbem terrarum pietatis præconio percurrentem, similibus injuriis et calumniis perstringit, in quibus concionatus Atheniensibus locutus est *i* : *Annuntiat hominibus ut omnes ubique pœnitentiam agant, eo quod statuit diem, in quo judicaturus est orbem in æquitate in viro, in que statuit fidem præbens omnibus, suscitans eum a mortuis.* De quibus iterum ad Hebræos scribens ait : *Qui in diebus carnis suæ preces supplicationesque ad eum qui possit illum salvum facere a morte j*, et deinceps. Calumniator igitur proprii furti et lacerationis judicem seipsum constituens, non ut nude hominem dicentes Dominum nostrum Jesum Christum, contemneret præcones ipsius, sed non sic veritatis amicus. Et prædictis adjungens, quæ ex alia parte de Salvatore a pietatis præcone denuntiata sunt, extra omnem injuriam pietatis magi-

h Ezech. XIII, 3. *h** Act. X, 58. *i* Act. XVII, 30. *j* Hebr. V, 7.

VARIÆ LECTIONES.

[98] οὐαί] Ezech. XIII, 3. [99] ἓξ λόγοις] ἑκτῳ λόγῳ Fabricius. [1] μὴ add. corr. A. [2] ἀκρωτηριασταῖς καὶ συκοφάνταις A. [3] πρὸς ἀθηναίους A : καὶ ἀθηναίοις ς. [4] παραγγ.] Act. XVII, 30.

stros ostendit, ut illud adjungit: *Patres ex quibus est Christus secundum carnem, qui est super omnia benedictus in sxcula, Amen k.* Certe et illud: *Qui cum sit splendor gloriæ, et figura substantiæ ejus, portansque omnia Verbo virtutis suæ l.* Hæcque primis accommodans, et Nestorium impium in his accusabit, **241** *a* et pietatem clariorem reddet. Et sic rursum divinus Basilius fieri de orationibus judicium suadet, quibus ad monachos ambigue dicta perscribit, et obscure dicta in aliquot sacræ Scripturæ locis visa, ut alia clare dicta loca ostendunt: *Non oportere per aliquot fragmenta et divulsiones scriptoris pietatem judicare*, adeo clarum radium emittit veritas, ut Severum in his cæcutientem, tamen consensum suasisse. Scribit enim ad Julianum Halicarnassæum: *Oportet igitur præceptiones sanctorum sanctæ Ecclesiæ doctorum per occasionem perfecte legere, et non singulatim omnia proferre, et de toto sensu periculose conjectare. Hoc in apostolicis atque evangelicis scriptis, atque adeo in omni divinitus inspirata Scriptura servandum est, quando non in una voce scilicet epistolæ vel operis collocanda est scriptoris pietas.* Sic et veri canonis fulgur Severum cæcum proprio fulgore tamen frui sinit, sed inexplicabile legis robur cognoscere licuit. Uti vero consueta sententia neglexit. Piæ enim memoriæ beati Leonis librum non lege quam prædicavit, sed contraria expendens lingua, et per fragmenta quædam et perniciosis sermonibus præfando, visus est de impietate pie scribere: ipse reus vero exsistens eorum quæ aliis objicere ausus est. Quis enim alius acutius telum in Nestorium impium torsit, quam voce robusta Leo? *Impalibilis Deus dignatus est homo fieri, et immortalis mortis parere legibus.* Hæc sycophanta prætermittit: alia vero quædam dicta resecans ad suum dogma rapit, nec pudet vocis illius prædictæ: neque agnoscere ab ipso cultam vult legem. Si enim integra Leonis epistola per ambiguitates ambulavit, etiam ex quo Acephali, unius personæ divisionem damnant, facilem iis imperitia calumniandi occasionem afferebat. Postquam vero per innumerabilia pietas ostensa est, quomodo non **241** *b* sycophantæ arripiunt alteram a prima impietatem? sed in his capita duo.

A Ἑβραίους [5] γράφων φησίν· [761 H.] Ὃς ἐν ταῖς ἡμεραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετήρίας πρὸς τὸν δυνάμενον σῶζειν αὐτὸν ἐκ θανάτου, καὶ ἐξῆς. Ἆρ' ὁ συκοφάντης καὶ τῶν οἰκείων κλεμμάτων καὶ σπαραγμάτων κριτὴν ἑαυτὸν ποιῶν οὐχ ὡς ἄνθρωπον λεγόντων ψιλὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἂν καταγνοίη τῶν κηρύκων τῆς θεότητος [6] αὐτου; ἀλλ' οὐχ οὕτω γε τῆς ἀληθείας ὁ φίλος, ἀλλ' ἐπισυνάψας τοῖς προειρημένοις [396 H.] ἃ καθ' ἕτερον μέρος περὶ τοῦ Σωτῆρος τοῖς τῆς εὐσεβείας κήρυξιν ἐθεολογήθη, πάσης ὕβρεως ἀνωτέρους τοὺς τῆς εὐσεβείας ἀποδείξει διδασκάλους. Οἷον συνάψει τοῖς προειρημένοις τὸ, Ὧν [7] οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς [8] τοὺς αἰῶνας, Ἀμήν· ναὶ δὴ καὶ τὸ, B Ὃς [9] ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Ὁ ταῦτα τοῖς πρώτοις συναρμόσας καὶ Νεστόριον τούτοις ἀσεβοῦντα διελέγξει, καὶ τὴν εὐσέβειαν λαμπροτέραν ἐπιδείξει. Οὕτω δὲ καὶ ὁ θαυμάσιος πάλιν Βασίλειος τὴν περὶ τῶν λόγων κρίσιν γίνεσθαι παραινεῖ, ἐν οἷς πρὸς τοὺς μοναχοὺς γράφει· Τὰ ἀμφιβόλως λεγόμενα καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς Θεοπνεύστου Γραφῆς ὑπὸ τῶν ἐν ἄλλοις τόποις ὁμολογουμένων σαφηνίζεται. Ὅτι δὲ οὐ χρὴ διά τινων σπαραγμάτων καὶ περικομμάτων τὴν τοῦ συγγραφέως κρίνειν εὐσέβειαν, οὕτω λαμπρὰν ἀφίησι τὴν ἀκτῖνα ἡ ἀλήθεια ὡς καὶ Σεβῆρον αὐτὸν, καίτοι περὶ ταῦτα τυφλώττοντα, ὅμως πεῖσαι τοῦτο συνιδεῖν· γράφει γὰρ πρὸς Ἰουλιανὸν τὸν Ἁλικαρ- C νασσοῦ· Δεῖ τοινῦν τὰς τῶν ὁσίων κατὰ καιροὺς τῆς ἁγιωτάτης Ἐκκλησίας μυσταγωγῶν διδασκαλίας ἐντελῶς ἀναγινώσκειν, καὶ μὴ ἐκ μέρους [10] τὰ ἐκείνων προφέρειν καὶ τῆς ὅλης αὐτῶν διανοίας ἐπικινδύνως καταστοχάζεσθαι. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν συγγραμμάτων καὶ ἐπὶ πάσης τῆς θεοπνεύστου Γραφῆς προσήκει ποιεῖν, ἐπεὶ μηδὲ ἐκ μιᾶς ῥήσεως ἤγουν ἐπιστολῆς ἢ συντάγματος ἔστι παραστῆσαι τὴν ὅλην τοῦ συγγραφέως εὐσέβειαν. Οὕτω μὲν ἡ τῆς ἀληθείας τοῦ κανόνος ἀστραπὴ καὶ τὸν Σεβῆρον, καίτοι τυφλὸν ὄντα, τῆς οἰκείας αὐγῆς ὅμως ἀπολαῦσαι παρεσκεύασεν. Ἀλλὰ γὰρ τοῦ μὲν D νόμου τὸ ἄμαχον κράτος συνιδεῖν ἔσχε, χρήσασθαι δὲ τῷ ἀσυνέτῳ τῆς γνώμης οὐκ ἐμελέτησε. Τὸν γὰρ τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ Λέοντος τόμον οὐ τῷ νόμῳ ὃν ἐκήρυξε, τῇ δὲ τῆς ἀντιπαθείας γλώσσῃ ζυγοστατῶν, καὶ διά τινων σπαραγμάτων καὶ κιβδήλων λόγων προϊών, ἔδοξεν ἐπ' ἀσεβείᾳ γράφειν [11] τὸν εὐσεβῆ, αὐτὸς ὢν ἀληθῶς ἃ διαβάλλειν ἄλλους ἐτόλμησε. Τίς γὰρ ὀξύτερον ἄλλος βέλος κατὰ τοῦ δυσσεβοῦς ἀφῆκε Νεστορίου τῆς στερρᾶς ἐκείνης καὶ λεοντείας φωνῆς, Ὁ ἀπαθὴς Θεὸς οὐκ ἀκηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου; ἀλλὰ ταῦτα μὲν ὁ συκοφάντης παρατρέχει, ἄλλα δέ τινα ῥητὰ πρὸς τὸ οἰκεῖον περικόπτων τε καὶ διαστρέφων βούλημα οὔτε τὴν προειρημένην φωνὴν δυσωπεῖται, οὔτε τὸν παρ' αὐτοῦ λόγοις τιμηθέντα νόμον ἔτι βούλεται εἰδέναι. Εἰ μὲν γὰρ ἅπασα ἡ τοῦ ἐν ἁγίοις Λέοντος ἐπιστολὴ δι' ἀμφιβόλων τινῶν ὦδευε. καὶ ἐξ [397 H.] ὧν οἱ ἀκέφαλοι τὴν τῆς μιᾶς ὑποστάσεως αἰτιῶνται διαί-

k Rom. IX, 5. *l* Hebr. I, 31.

VARIÆ LECTIONES.

[5] Ἑβρ.] V, 7. [6] τῆς θεότητος εἰ γε add. A. [7] ὧν] Rom. IX, 5. [8] εἰς A. : εἴ εἰς ς. [9] ὅς] Hebr. I, 3. [10] ἐκ μέρους mg. A : ἑκατέρους ς. [11] an. γράφεσθαι, coll. p. 949 B?

ρεσιν, ταχα ην αὐτοῖς τῆς διαβολῆς ἡ ἄγνοια πρόφασις· ἐπεὶ δὲ διὰ μυρίων ἡ εὐσέβεια πρόδηλος, [764 R.] πῶς οὐχὶ δευτέραν ἐπὶ τῇ πρώτῃ δυσσεβείᾳ οἱ συκοφάνται προσλαμβάνουσιν; Ἀλλ' ἐν τούτοις μὲν τὰ δύο κεφάλαια.

Τρίτον δ' ἂν εἴη τῶν διαβαλλομένων ῥητῶν τοῦ ἐν ἁγίοις Λέοντος ἡ παράθεσις καὶ ἡ ἐκ τοῦ αὐτοῦ τόμου ἀντιπαράθεσις, δι' ἧς ἡ ἄδικος τῶν συκοφαντῶν γνώμη λαμπρῶς στηλιτεύεται. A

Ἔστι δὲ τῶν συκοφαντουμένων πρῶτον· Φυλάττει [12] γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα, καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ Θεοῦ, οὕτω τὴν τοῦ Θεοῦ μορφὴν ἡ τοῦ δούλου μόρφωσις οὐκ ἐμείωσε. Τὸ μὲν οὖν ῥητὸν καὶ καθ' ἑαυτὸ εὐσεβοῦς διανοίας ἐστὶ βλάστημα, πλὴν ἀλλ' ἀντιπαρακείσθω τούτῳ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· οὕτω γὰρ ἂν μᾶλλον ἐλεγχθείη τῆς δυσσεβείας τὸ κακούργημα. Ἔχει γὰρ οὕτως· Ὁ δὲ αὐτὸς τοῦ ἀιδίου Πατρὸς μονογενὴς ἀίδιος ἐτέχθη ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτοῦ καὶ ἀϊδίου γεννήσεως οὔτε τι ἀπεμείωσεν οὔτε μήν τι ταύτῃ προσέθηκεν. Ἕως τοῦ, Συνελήφθη μὲν οὖν δῆλον ὅτι ἐκ Πνεύματος ἁγίου ἐν γαστρὶ Παρθένου μητρὸς, ἥτις οὕτω φυλαχθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν, ὥσπερ οὖν καὶ ἀκεραίου μεινάσης τῆς παρθενίας συνέλαβεν. Ἆρ' ἐνενόησε ταῦτά ποτε [13] Νεστόριος; ἆρ' εὑρήσει τις κατὰ τούτων διαβολήν τινα, κἂν αὐτὸν ἐνεργοῦντα ἐν ἑαυτῷ τὸν ἀπ' ἀρχῆς ἀνθρωποκτόνον ἔχει διάβολον; διὰ τί οὖν μὴ πρὸς ταῦτα καὶ εἴ τι ἀμφίβολον μεθαρμόζομεν, ἀλλὰ ταῦτα μᾶλλον ἐκεῖθεν συνδιαβάλλειν θρασυνόμεθα;

Tertium verborum calumniantium, sancti Leonis comparatio, et ex eodem libro redditio, qua injusta calumniantium sententia clarius refellitur.

Hæc autem calumniantur: *Primum enim servat altera natura indeficienter sui proprietatem. Et quemadmodum non tollit servi formam Dei forma, sic et servi forma non minuit Dei formam.* Quod igitur dictum est secundum se pie mentis germen est; nisi quid contra objiciatur ex ipsa epistola. Sic enim melius impietatis improbitas accusetur. Sic enim habet: *Ipse sempiterni Patris unigenitus sempiternus, genitus ex Spiritu sancto et Maria Virgine. Quæ generatio temporalis divinam ipsius ac sempiternam generationem nihil diminuit, neque* B *ipsi quid postponit,* usque ad illud: *Conceptus est videlicet de Spiritu sancto in utero Virginis matris, ut quæ sic servata integritate ipsum genuerit, quemadmodum et manente virginitate concepit.* Intellexit hoc aliquando Nestorius? Reperiatne itaque contra hæc aliquis quod jure calumnietur, etiamsi ipsum diabolum habeat cooperantem in hac re ab initio homicidam? Quare igitur non ad hæc, etsi quid ambiguum est, adaptamus, sed hæc potius inde sumere audemus.

Ὅρα δὴ τὸν Ἀκέφαλον πῶς πάλιν ἑτέρας οὐκ αἰσχύνεται κατατρέχων ῥήσεως [14], ἣ φησιν Ἐν ὅσῳ [15] τὰ συναμφότερα μετ' ἀλλήλων εἰσὶ, καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν καὶ τὸ μέγεθος τῆς θεότητος· ὥσπερ γὰρ ἐν τῷ ἐλεεῖν [16] ὁ Θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς ἀξίας τῆς θείας οὐκ ἀναλίσκεται. Πῶς γὰρ οὐκ ἐδυσωπήθη τὴν λέγουσαν ἀντιπαραθεὶς φωνὴν καὶ πρὸς τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτισθῆναι, Ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ, ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ὑπάρχον ἁρμόδιον, εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστὸς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς δυνηθῇ καὶ τελευτᾷν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῇ. C

Cerne Acephalum quomodo non iterum alterum dictum omittens erubescit: *Quæ,* inquit, *in* [*universa*] *quantitate relata utrinque sunt, et hominis vilitas et Dei contra magnitudo. Quemadmodum enim cum dicit: Deus mutationem non suscipit; sic homo divinæ dignitatis non consumitur.* Quomodo enim pudore non est affectus dictam vocem opponens, et ad debitum nostræ naturæ conditum esse: *Divina natura unita est patibili naturæ, ut hoc certe nostris medicinis aptum exsistens, unus et ipse mediator Dei et hominum exsistens homo Jesus Christus* m, *et mori per unam potuit, et finiri per alteram non potuit.*

Πάλιν τρίτον [17] εἰς κατηγορίαν προτείνουσιν· Ἐνεργεῖ γὰρ ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας, ἕως καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασιν, τὸ δὲ ταῖς [18] ὕβρεσιν ὑποπέπτωκε. Δύο γὰρ εἶναι τοὺς ἐνεργοῦντας ἐκδιδάσκειν τὸ ῥητὸν [398 H.] οἱ κατήγοροι ψευδολογοῦσιν. Ἀλλ' ἐκεῖνος πάλιν δι' ἑαυτοῦ ἀντιπαρατιθεὶς [19] τὴν οἰκείαν φωνὴν ἐμφράττει τούτων τὰ στόματα, λέγων· Εἷς καὶ ὁ αὐτὸς Υἱός τε τοῦ Θεοῦ ἀληθῶς καὶ D

242a Rursum tertium ad accusationem trahunt: *Operatur enim utraque forma per alterius communicationem, donec divinitas quidem miraculis clarescat, humanitas vero injuriis excipiatur.* Duos enim esse operantes, docere sententiam, accusatores mentiuntur. Sed ille rursum per seipsum opponens vocem propriam, obstruit os eorum dicens: *Unus ipse et Filius Dei vere, et vere Filius hominis est. Deus quidem quatenus:* « *In principio erat*

m I Tim. II, 5.

VARIÆ LECTIONES.

[12] γὰρ φυλάττει ς. [13] ποτε ταῦτα ς. [14] δὴ ῥήσεως τὸν ς. [15] ἐν ὅλῳ ς. [16] ἐλεεῖν libri λέγειν. cf. p. 961 B et R 808, 56. [17] τρίτον] τὴν A. τὴν μορφὴν mg. A. [18] ταῖς] καὶ ταῖς ς. [19] ἀντιπαραθεὶς ς.

Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum n : » *Homo vero secundum illud,* « *Verbum caro factum est, et habitavit in nobis o,* » *usque ad illud :* « *Quem ut hominem.* » *Certe audit dæmonis astutia, huic quasi Deus sit angelorum ordo ministrat.* Hæc enim tunc dicta dilucide explicat, et quæcunque hæresis calumniari aggreditur, et omni calumnia ostendit superiora.

Quarto carpunt hanc sententiam : *Quando a præcursore Joanne cœpit baptismus, ne ignoretur quia obscuro carnis velamento legitur divinitas. Vox Dei Patris cœlitus demissa ait :* « *Hic est Filius meus dilectus in quo mihi bene complacui p.* » Sed mox pudet illos Romani Pontificii dignitatis. Sic enim ait : *Venit igitur in hanc mundi vilitatem Dei Filius e cœlesti descendens throno, et a patria non discedens gloria, novo modo novaque generatione natus. Novo quidem modo, ut qui invisibilis erat, visibilis factus sit apud nos,* usque ad : *Deus verus, idem etiam verus homo.* Et post hæc : *Quemadmodum igitur, ut multa complectar, non ejusdem est naturæ deflere ex commiseratione amicum mortuum, et mox redivivum, divulgato jam obitu quatriduani mortui, ad vocis jussum resurgere,* et cætera usque ad illud : *Quicunque per revelationem Patris eumdem Dei Filium confessus et Christum.*

Sed rursum hæresis dictum verbum discerpsit : *Etsi maxime in Domino Jesu Christo Dei Filio et hominis una est persona, tamen aliud est illud, ex quo in utroque communis est injuria* **242** *b, et alterum, ex quo communis opinio orta est.* Sed sanctus vir impudentes per hoc convertit impios. Dicit enim : *Post Domini resurrectionem quæ videlicet veri corporis ipsius facta est, cum alius non resurgat, nisi cruci affixus et mortuus,* usque ad : *sed unum Dei Filium confitemur et carnem.*

Postquam vero invasit hæretica opinio, et hoc depravat : *Per hanc igitur personæ unitatem in utraque natura debitam intelligi.* Etiamsi vero hic propriis armis sycophanta hos invadit, dicens : *In importunitate igitur hominis, et ultima natura, Deus vere natus est totus in iis, quæ ipsius, et totus in nostris,* et deinceps : *Ut manens igitur in forma Dei, fecit hominem, sic in servi forma factus homo est.*

ἀληθῶς Υἱὸς ἀνθρώπου τυγχάνει, Θεὸς μὲν κατὰ τοῦτο, καθὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος, » ἄνθρωπος δὲ κατὰ τοῦτο, καθὸ « Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἕως τοῦ, Ὃν ὡς ἄνθρωπον τοιγαροῦν πειράζει· ἡ τοῦ διαβόλου πανουργία, τούτῳ ἅτε δὴ Θεῷ ὄντι ἡ τῶν ἀγγέλων τάξις διακονεῖ. Τὰ γὰρ ἐνταῦθα ῥηθέντα σαρῶς ἑρμηνεύει καὶ ἅπερ ἡ αἵρεσις συκοφαντεῖν ἐπήρθη, καὶ διαβολῆς ἀπάτης δεικνύει ἀνώτερα.

Τέταρτον διαβάλλουσι τὴν ἔχουσαν ῥῆσιν [765 R.] Ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου ἑαυτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ἵνα μὴ λάθῃ ὅτιπερ τῷ προκαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ Πατρὸς φωνὴ οὐρανόθεν ἐπιβοῶσά φησιν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. » Ἀλλ' εὐθὺς αὐτοὺς καταισχύνει τῆς Ῥωμαϊκῆς Ἀρχιερωσύνης τὸ καλλώπισμα· λέγει γὰρ· Προέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ Υἱὸς τοῦ Θεοῦ, ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος, καινῇ τῇ τάξει καὶ καινῇ τῇ γεννήσει γενόμενος, καινῇ μὲν τῇ τάξει, ὅτιπερ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' [20] ἡμῶν. Μέχρι τοῦ· Ὁ γὰρ ὢν Θεὸς ἀληθὴς, αὐτός ἐστι [21] καὶ ἄνθρωπος ἀληθής. Καὶ μετὰ ταῦτα· Ὥσπερ οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστι φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἰκτου τὸν τελευτήσαντα φίλον, καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα διασκεδασθέντος τοῦ προσχώματος τῆς τεταρταίας ἤδη ταφῆς ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς. Καὶ ἐξῆς μέχρι τοῦ· Ὅστις δι' ἀποκαλύψεως τοῦ Πατρὸς τόν αὐτὸν καὶ Υἱὸν Θεοῦ [22] ὡμολόγησε καὶ Χριστόν.

Ἀλλὰ πάλιν ἡ αἵρεσις διασύρει τὸ λέγον ῥητόν. Εἰ καὶ τὰ μάλιστα ἐν τῷ Δεσπότῃ Ἰησοῦ τῷ Χριστῷ τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου ἕν ἐστι πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως, καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. Ἀλλ' ὁ ἱερὸς ἀνὴρ καὶ ἀναισχύντους ὄντας δι' ἑαυτοῦ ἐντρέπει τοὺς δυσσεβεῖς· λέγει γὰρ. Μετὰ δὲ τὴν ἀνάστασιν τοῦ Κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθινοῦ σώματος αὐτοῦ γεγένηται, ἐπειδὴ οὐκ ἄλλος [23] ἀνέστη εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών. Μέχρι τοῦ, Ἀλλ' ἕνα Υἱὸν Θεοῦ καὶ τὸν Λόγον ὁμολογήσομεν καὶ τὴν σάρκα.

Ἀλλ' ἔτι ἐπιπηδᾷ τὸ αἱρετικὸν φρόνημα, καὶ διαβάλλει τό· Διὰ ταύτην τοίνυν τοῦ προσώπου τὴν [24] ἕνωσιν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν. Ἀλλὰ κἀνταῦθα τοῖς ἰδίοις ὅπλοις ὁ συκοφαντούμενος τούτους καταβάλλει, λέγων· Ἐν ἀκεραίᾳ τοιγαροῦν ἀνθρώπου καὶ τελείᾳ φύσει Θεὸς ἀληθῶς ἐτέχθη ὅλος [25] ἐν τοῖς ἑαυτοῦ καὶ ὅλος ἐν τοῖς ἡμῶν. Καὶ ἑξῆς· Τοιγαροῦν ὡς [26] μένων ἐν μορφῇ Θεοῦ πεποίηκεν ἄνθρωπον, οὕτως ἐν μορφῇ δούλου γέγονεν ἄνθρωπος.

n Joan. I, 1, 2. *o* Ibid. 14. *p* Matth. XVII, 3.

VARIÆ LECTIONES.

[20] παρ' expungit Scaliger. τοῦ ὁ γὰρ] γὰρ τοῦ ὁ γὰρ A : γὰρ τοῦ ὁ ς. [21] ἐστι A : ἔτι ς. [22] Υἱὸν τοῦ Θεοῦ ς. [23] ἄλλος οὐκ ς. [24] τὴν add. A. [25] ὅλως — ὅλως pr. A. [26] ὡς] ὃς pr. A.

Πάλιν ἡ αἵρεσις ὁπλίζεται κατὰ τοῦ, Ποία φύσις A ἐμπεπαρμένη τοῖς ἥλοις ἐν [399 H.] τῷ τοῦ σταυροῦ ξύλῳ κρέμαται. Καὶ πάλιν ὁ τῆς εὐσεβείας στρατηγὸς τρέπει τὸ πολέμιον, πολλοὺς ἑαυτῷ συνεπαγόμενος συμμάχους· πλὴν ἄλλα καὶ καθ' ἑαυτὸν ὧδε καταβάλλει τούτους. Περὶ γὰρ Εὐτυχοῦς λέγων φησίν. Ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ οὔτε διὰ τῆς ταπεινότητος οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστάσεως. Καὶ ἑξῆς μέχρι τοῦ· Τί δέ ἐστι τὸ διαιροῦν τὸν Ἰησοῦν, εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν [27] τὸ μυστήριον, δι' οὗπερ ἐσώθημεν μόνου, πειρᾶσθαι μάταιον διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι.

Rursum hæc hæresis oppugnat: *Qualis natura infixa clavis ligno crucis pendet.* Et rursum pietatis miles evertit hostem, multos in se adducens commilitones, nisi quod et sic per se hos complectatur. De Eutyche sic enim loquitur: *Qui naturam nostram in unigenito Dei Filio, neque humilitate, neque gloria agnovit resurrectionis,* et quæ sequuntur usque ad illud: *Quid separat Jesum, nisi mysterium humanam ab ipso naturam sejungere, per quem solum salvati sumus, conari stultum per impudentes fictiones operari.*

Τὰ μὲν οὖν ῥητὰ τοῦ ἐν ἁγίοις Λέοντος, τά τε ἐπηρεαζόμενα μάτην καὶ ἃ τοὺς ἐπηρεάζοντας καταισχύνουσι, ταῦτα· ἃ τοσοῦτον συσφίγγει τὴν ἕνωσιν, ὥστε θαυμάζειν πῶς ἐκ τούτων οἱ συκοφάνται οὐχὶ σὺγχυσιν τοῦ ἀνδρὸς κατεῖπον, ὥσπερ ἐκ τῶν ἐπηρεασθέντων τὴν διαίρεσιν συνεπλάσαντο. Τὸ γὰρ λέγειν ὡς ὁ ἀπαθὴς Θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου, καὶ ὁ ἄχρονος εἶναι ἤρξατο ἀπὸ χρόνου, πῶς ἔλαθε τοὺς πικροὺς συκοφάντας μὴ συγχύσεως τὸν ἄνδρα γράψασθαι διὰ τούτων; [768 R.] πλὴν ἀλλ', ὥσπερ τὴν διαίρεσιν ἐπιῤῥαπίζει ταῦτα, οὕτω κἀκεῖνα τὴν σὺγχυσιν ἀποσκευάζεται.

Et quidem beati Leonis dicta quædam temere reprehensa, et quorum pudeat ipsos calumniantes, hæc sunt: quæ talem constringunt unitatem, ut admirentur quomodo in his sycophantæ non confusionem viri reprehenderint, quemadmodum e calumnia oppressis divisionem confingunt. Dicere enim, ut impatibilis Deus non dedignatus est fieri homo mortalis, et mortis non horruit obsequium, et sine tempore factus est cum tempore. Quomodo ignorarunt mali calumniatores, non scripsisse virum per hoc confundi, nisi quod ut divisionem redarguunt hæc, sic et illa confusionem adornant.

Τί δήποτε δὲ ὁ συγγραφεὺς διὰ τοιούτων ὦδευσε ῥημάτων; διττὸς τηνικαῦτα κατὰ τῆς Ἐκκλησίας συνίστατο πόλεμος, ἐνταῦθα μὲν τὸν Εὐτυχέα φέρων πρωτοστάτην, ἐκεῖθεν δὲ τὸν Νεστόριον, καὶ μετὰ τὴν πληγὴν καὶ τὸ πτῶμα μαχόμενον ἔτι. Πρὸς οὖν ἑκατέρους ὁ τῆς εὐσεβείας στρατηγὸς διαμαχόμενος οἰκείοις καὶ καταλλήλοις βέλεσι τοὺς ἀντιπάλους ἐτίτρωσκε, καὶ Νεστορίῳ μὲν πολεμῶν σύγχυσιν διὰ τὴν ὁμολογίαν τῆς ἄκρας ἑνώσεως τοῖς ἀσυνέτοις δοκεῖ παρεισάγειν, Εὐτυχεῖ δὲ συμπλεκόμενος καὶ τὴν τῶν φύσεων διαφορὰν ἀκριβολογούμενος διαφορὰν ὑποστάσεων κατηγορεῖται προτείνειν. Δεῖ δὲ τὸν ἀδέκαστον ἀκροατὴν τὸν τοῦ συγγραφέως σκοπὸν ἐξετάζειν καὶ τὸν εἱρμὸν ὅλον τῆς συγγραφῆς [28] ἐπισκοπεῖν. Ὅτι δὲ διχόθεν αὐτῷ προσέβαλε τὸ πολέμιον, αὐτὸς γράφων πρὸς τὸν εὐσεβέστατον βασιλέα Λέοντα, καὶ Νεστόριον ἀναθεματίζων καὶ Εὐτυχέα, σάφῶς ἐκδιδάσκει. Ἐχρῆν οὖν εὐλαβῶς τοῖς τῶν Πατέρων πόνοις προσέχειν, ἀλλὰ μὴ πρὸς διαβολὴν ἀντὶ τοῦ εὐγνωμονεῖν ἑτοίμους εἶναι· καὶ καθάπερ τῶν Ἀρειανῶν τὰ ταπεινὰ ῥήματα καὶ τὸ πάθος εἰς τὴν τοῦ Υἱοῦ θεότητα μεταφερόντων, ὡς ἂν αὐτὸν εἰς τὸ ἔλαττον καταγάγωσι τοῦ Πατρὸς, τοὺς Πατέρας φατὲ βιαζομένους παχυτέραις χρήσασθαι λέξεσι, τὸν Κυριακὸν ὀνομάζοντας ἄνθρωπον καὶ τὸν ἀναληφθέντα [29]. . . . .

Et quidem beati Leonis dicta quædam temere reprehensa, et quorum pudeat ipsos calumniantes, hæc sunt: quæ talem constringunt unitatem, ut admirentur quomodo in his sycophantæ non confusionem viri reprehenderint, quemadmodum e calumnia oppressis divisionem confingunt. Dicere enim, ut impatibilis Deus non dedignatus est fieri homo mortalis, et mortis non horruit obsequium, et sine tempore factus est cum tempore. Quomodo ignorarunt mali calumniatores, non scripsisse virum per hoc confundi, nisi quod ut divisionem redarguunt hæc, sic et illa confusionem adornant.

Ὅτι ἐπειδὰν οἱ ἀπὸ Ζεβήρου διελέγχωνται ταῖς A τῶν θεοφόρων ἡμῶν Πατέρων φωναῖς, οἳ πρὸ τῆς ἐν Καλχηδόνι συνόδου διέλαμψαν καὶ τὰς δύο φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ Λόγου ἐκήρυξαν, εἰς διαβολὴν αὐτῶν [44] εὐθὺς τρέπονται, σχῆμα μὲν, ὡς δοκοῦσιν, εὐπρόσωπον τῇ διαβολῇ περιτιθέντες [45], βαθύτερον δὲ τῶν ἀπροσώπους αὐτοὺς [46] ὑβριζόντων διακωμῳδοῦντες. Φασὶ γὰρ ὡς εἴρηται μὲν αὐτοῖς τῶν φύσεων τὸ δυαδικὸν, οὐκ ἀπὸ γνώμης δὲ οὐδ' ἑκουσίως οὐδὲ κατὰ πίστεως ὁμολογίαν, ἀλλ, ὡς ἐν ἀντιθέσει τῆς ψευδωνύμου γνώσεως καὶ κατ' [47] οἰκονομίαν καὶ ἐπὶ καιροῦ καὶ ὑπό τινος αἱρετικῆς ἀνάγκης ἐκβιαζομένοις. Καὶ τί ἂν εἴη τοῦτο ἢ τοὺς διδασκάλους ὑποκριτὰς ἀποφαίνειν [48] δειλούς [428 H.] τε καὶ τῆς ἀληθείας προδότας, καὶ τῆς οἴκοθεν εὐσεβείας τὸ ἀλλότριον καὶ αἱρετικὸν δόγμα προτιμῶντας, B καὶ ἑλκυσθέντας μᾶλλον πρὸς τὸ ἐκείνων βάραθρον ἢ ἐκεῖθέν τινας ἀνελκύσαντας; Ποῦ γὰρ ἔστι τοῖς τοιούτοις μετὰ Παύλου λέγειν, ὡς Ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε, μυρίας τροπὰς πρὸς τὸν βίον [49] τρεπομένοις καὶ τὰς [50] εὐρίπου μεταβολὰς μιμουμένοις; Ἀλλὰ τί πάλιν φησὶν ἡ αἵρεσις; Συγγνώμη τοῖς Πατράσιν· ἡ γὰρ βία τῆς γνώμης ἐκράτησεν, ὥσπερ ἐξουσίαν λαβοῦσα λοιδορεῖν καὶ κατακρίνειν ὅτε βούλεται καὶ πάλιν ἀφιέναι τὸ [51] ἁμάρτημα, καὶ μόνον οὐχὶ βοῶσα· Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστι; Πλὴν εἰ διότι πρὸς αἱρέσεις οἱ Πατέρες ἐμάχοντο, κἂν τῆς εὐσεβείας ἐξέπιπτον, διὰ τοῦτο συγγνώμης ἐπάξιοι, πῶς τῆς ἴσης συμπαθείας ὑμῶν [52], εἰ καί τι παραχαράσσειν ἔδοξαν, οἱ ἐν Καλ- C χηδόνι οὐκ ἀπήλαυσαν; Καὶ πρὸς δύο γὰρ αἱρέσεις καὶ οὗτοι διαμαχεσάμενοι, τὴν Νεστορίου καὶ Εὐτυχοῦς, ἐδογμάτισαν. Ἀλλ' οὕτως ἐστὶ πανταχοῦ τυφλὸν καὶ κωφὸν ἡ ἀσέβεια, καὶ οὔτε βλέπειν οἶδεν οὔτε ἀκούειν, οὐδ' ἅπερ αὐτὴ ἐκείνη προβάλλεται. Ἡ δὲ ἐν Καλχηδόνι σύνοδος εὐθὺς μὲν ἀρχομένη, ἃ κατὰ Νεστορίου Κύριλλος ἐν Ἐφέσῳ διεπράξατο, τούτοις τὸ κῦρος ἐπέθετο, καὶ τὰς πρὸ ταύτης δύο συνόδους εἰς ὅρον ἐδέξατο πίστεως, καὶ Ἄρειον δὲ καὶ Μακεδόνιον καὶ Νεστόριον τῷ αὐτῷ συνέδησεν ἀναθέματι, καὶ τοὺς εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπῶντας μυστήριον, ὥσπερ καὶ τοὺς παθητὴν τοῦ Μονογενοῦς τολμῶντας λέγειν τὴν θεότητα, καταδικάζει δι' ἰσότητος. Ναὶ δὴ καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως D φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας τοῖς αὐτοῖς συνέσφιγξε βρόχοις τοῦ ἀναθέματος. Ὥρισε δὲ, καθάπερ καὶ αἱ [53] πρὸ αὐτῆς, Μηδενὶ ἐξεῖναι πίστιν ἑτέραν προφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν παρ' ἣν παρέδωκαν ἅ τε πρώτη καὶ ἡ δευτέρα οἰκουμενικὴ

Quia postquam Severiani refutantur sanctorum Patrum testimoniis, qui ante Chalcedonensem synodum floruerunt, et duas naturas in unione hypostatica promulgarunt, ad reprehensionem eorum sese convertunt, prætextum quidem, ut apparet, calumniæ speciosum prætexentes: gravius vero nemine nominato, ipsos veteris comœdiæ ritu conviciantes. Etenim, ut diximus, illi dualitatem naturarum, non ex sententia, neque libenter, neque ex fide confessionis asserunt: verum ut in contraposita falsæ cognitionis cognitione, sed secundum ordinationem occasionemque, et ab hæretica quadam necessitate compulsi. Et quid hoc aliud fuerit nisi eximios magistros ostendere improbos, et veritatis proditores, et propriæ pietati alienam et hæreticam opinionem anteponentes, et ad illorum barathrum potius tractos quam inde aliquos trahentes. Quomodo enim talia cum Paulo dicere liceat, *Quia sermo noster, qui fuit apud vos, non est in illo Est et Non: sed Est in ipso factum est* [i], innumeras in vita variationes admittentibus et Euripi mutationes imitantibus? Sed quid rursum asserit hæresis? *Venia Patribus danda.* **260***b* Si enim vi quadam sententiæ pervincit, tanquam potestatem nacta conviciandi, et condemnandi quod libeat, et rursum dimittere peccatum et tantum non sic exclamans: *Labia nostra a nobis sunt, quis noster Dominus est* [j]? Præterquam quod cum hæreticis Patres pugnarunt, etsi a pietate exciderunt, propterea venia digni, quomodo æqualis nobiscum affectionis, et si quid adulterare videantur, qui Chalcedonensi synodo non interfuerunt, et ad duas hæreses, et hi oppugnantes Nestorii opinionem et Eutychis, tradiderunt. Sed ubique adeo cæca est ac surda impietas, et neque cernere quidquam novit, neque audire, neque quæ illa ipsa proponit. Chalcedonense concilium statim initio, quæ contra Nestorium beatus Cyrillus Ephesi tractavit, iis decretam auctoritatem addidit, et ante hoc duas habitas synodos tanquam fidei definitrices recepit, et Arium, Macedonium, Nestorium eodem damnavit anathemate: et qui in filiorum dualitatem incarnationis secant mysterium, quemadmodum audentes dicere Unigeniti divinitatem patibilem, pariter condemnant, ita et duas ante unionem Domini naturas confingentes, unam post unionem formantes, eadem compede constringit. Definivit autem, quemadmodum quæ ante hanc synodum, *nemini fas esse aliam profiteri fidem*, hoc est conscribere, vel componere, vel sentire, præter quam tradidit prima et secunda synodus generalis. Qui vero audeant aliud symbolon præter hoc scribere vel docere, qui volunt

[i] II Cor. I, 18. [j] Psal. IX, 5.

VARIÆ LECTIONES.

[42] τοῦ λόγου ἑυώσει ς. [43] ἄλλη] ἀλλ' ἡ A. [44] ἑαυτῶν ς. [45] περιθέντες ς. [46] αὐτὰς Scaliger. [47] καὶ ὁ κατ' ς. [48] προκρίτας ὑποφαίνειν ς. [49] τὴν βίαν Hœschelius. βίον καὶ οὐ το. ς. [50] τὰς] τὰς καὶ ς. [51] δ' τι ς. [52] ἡμῶν ς. [53] αἱ] ὁ pr. A.

converti ex Judaismo et ethnicismo, cujuscumque tandem sectæ, privari episcopos quidem aut clericos dignitate, monachos vero aut laicos excommunicari.

A ἁγία σύνοδος· τοὺς δὲ τολμῶντας ἕτερων παρ' ἐκεῖνο σύμβολον συγγράφειν ἢ διδάσκειν τοὺς [54] θέλοντας ἐπιστρέφειν ἐξ Ἰουδαϊσμοῦ ἢ Ἑλληνισμοῦ ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, ἐπισκόπους μὲν ἢ κληρικοὺς ὄντας ἀλλοτριοῦσθαι τοῦ ἀξιώματος, [817 R.] μονάζοντας δὲ ἢ λαϊκοὺς ἀναθεματίζεσθαι.

Hæc fere a Leone pontifice dicta sunt in epistola ad Flavianum Constantinopoleos, quibus clare ejus pietas elucescit, et ibidem adhortatione atque consilio sermonem claudit, eos qui epistolam suscepturi sunt, adhortans ut errorem deponant, et piorum sententiam amplectantur. Sic quidem libro tertio.

Ταῦτα εἰπὼν καὶ ῥητ ἀτῆς ἐπιστολῆς τοῦ πάπα Λέοντος τῆς πρὸς Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως παρατίθησιν, ἐν οἷς αὐτοῦ λαμπρὰ διαλάμπει ἡ εὐσέβεια. Κἀκεῖθεν εἰς παραίνεσιν καὶ συμβουλὴν συγκλείει τὸν λόγον, μεταθέσθαι τῆς πλάνης τοὺς δεχομένους τὴν ἐπιστολὴν παρακαλῶν καὶ τῷ τῆς εὐσεβείας συναφθῆναι φρονήματι. Οὕτω μὲν καὶ ὁ γ' λόγος.

Quartum vero ad Orientis monachos elaboravit, Deopassitarum hæresi infectos, quorum unum, facile falsas criminationes ostendens, crimine se purgat; quos ab hæretica opinione conatur avertere, de recta fide proferens testimonia, quibus et **261***a* in prioribus usus est, Athanasii, Ambrosii, Cyrilli, aliorumque Patrum, quibus Dominum nostrum Jesum Christum in divinitate et humanitate perfectum clarissime ostendit, quorum unum est sancti Ambrosii confessoris Mediolani episcopi, quod in libro *Contra Apollinarium* produxit hoc modo: *Sed in quantum*, inquit, *hos accusamus, prodierunt alii dicentes: Corpus Domini et divinitatem, unius naturæ. O blasphemiam ex Tartaro eructatam! Ariani enim paulo magis ferendi sunt, quorum error per hos confirmatur, Patrem, Filium, et Spiritum sanctum, non unius naturæ asserentes. Quandoquidem Christi divinitatem et carnem, unam dicunt.* Hujus sancti viri verba etiam perstrenuus Cyrillus contra Nestorium adducit, quibus dignum eum fide et admirandum ducit. Dicit vero et idem Cyrillus multis modis pietatem corroborans in libro *De fide: Solutum est templum tempore triduanæ sepulturæ illo volente.* Et iterum: *Resurrexit, et unitum est ipsi Verbo ineffabiliter, tribus diebus non in illo mistum, vel carne indutum, sed in se servans inconfusam proprietatem naturarum, quæ diversæ erant essentiæ.* Et rursum commentario in Matthæum libro I: *Nisi scivisset a Deo infusa Scriptura, hominem et Deum, Christum esse, etsi unus et idem intelligeretur. Tribuit igitur sanctus evangelista tanquam unicuique parti decorum, clarum et inconfusum mysterii sermonem servans. Nam hæc quidem propria esse scivit, et convenientia humanitatis terminis: illa vero excellentiæ ineffabilis deitatis.* Ergo non solum duas naturas, sed et duas operationes Cyrillus confitetur, ut in *Thesauris* loquitur: *Non enim incommutabiles virtutes et operationes ad ea quæ alterius generationis et essentiæ producit.* Et rursum: *Quemadmodum separatam habent essentiæ vel qualitatis rationem, sic et diversam operationem servant.* Et iterum: *Non enim unam sane esse naturalem operationem dabimus Dei et creaturæ, ut neque*

Ἔστι δὲ καὶ ὁ ὀ αὐτῷ πεπονημένος πρός τινας ἀνατολικοὺς μοναχοὺς, [420 H.] τῇ αὐτῇ τῶν Θεοπασχιτῶν κατεχομένους αἱρέσει. Ὧν ἐγκαλεσάντων τενὰ, ῥᾳδίως μὲν τὰς ἐγκλήσεις ψευδεῖς ἐπιδείξας τὸ ἔγκλημα ἀπολύεται [55], πάραινεῖ δὲ καὶ αὐτοὺς μεταθέσθαι τῆς αἱρετικῆς δόξης, φέρων ὑπὲρ τοῦ ὀρθοῦ δόγματος μαρτυρίας αἷς καὶ ἐν τῷ πρόσθεν λόγῳ ἐχρήσατο, Ἀθανασίου τέ φημι καὶ Ἀμβροσίου καὶ Κυρίλλου καὶ τῶν ἁγίων Πατέρων, δι' ὧν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον διαπρυσίᾳ τῇ φωνῇ ἀνεκήρυξαν [56]. Ὧν ἔστι μία καὶ ἡ τοῦ ἐν ἁγίοις Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνων καὶ ὁμολογητοῦ, ἣν ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ παρέθετο, ἔχουσα οὕτως· Ἀλλ' ἐν ὅσῳ, φησὶ, τούτους [57] ἐλέγχομεν, ἀνεφύησαν ἕτεροι λέγοντες τό τε σῶμα τοῦ Κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως. Ποῖος Ἅδης τὴν τοσαύτην ἠρεύξατο βλασφημίαν; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται μείζονι [58] φιλονεικίᾳ Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν, ἐπειδήπερ οὗτοι τὴν θεότητα τοῦ Κυρίου καὶ τὴν σάρκα μίαν ἐκήρυξαν. Τοῦ δὲ ἱεροῦ τούτου ἀνδρὸς χρῆσιν ὁ νικηφόρος Κύριλλος κατὰ Νεστορίου προήνεγκεν, ἐξ [59] ὧν αὐτοῦ τὸ ἀξιόπιστον καὶ θαυμαστὸν ἐπιδείκνυται. Λέγει δὲ καὶ αὐτὸς ὁ ἅγιος Κύριλλος ἄλλα τε πολλὰ κρατύνων τὴν εὐσέβειαν, καὶ ἐν τῷ Περὶ πίστεως λόγῳ· Λέλυται μὲν ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς βουλομένου αὐτοῦ, καὶ πάλιν ἀνέστησε, καὶ ἠνώθη αὐτῷ ἀῤῥήτῳ [60] λόγῳ, τῇ τριημέρῳ οὐ κεκραμένος ἐν αὐτῷ ἢ ἀποσεσαρκωμένος, ἀλλὰ σώζων ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτεροουσίων ἀσύγχυτον τὴν ἰδιότητα. Καὶ πάλιν ἐν τῷ κατὰ Ματθαῖον ὑπομνήματι, βιβλίῳ α'· Πλὴν οἶδεν ὁ λόγος τῆς θεοπνεύστου Γραφῆς ἄνθρωπον ὄντα καὶ θεὸν τὸν Χριστὸν, εἰ καὶ εἷς νοοῖτο καὶ ὁ αὐτός. Ἀπονέμει τοιγαροῦν ὁ μακάριος εὐαγγελιστὴς τὸ οἱονεὶ τῶν μερῶν ἑκατέρῳ πρέπον, ἁπλανῆ καὶ ἀσύγχυτον τοῦ μυστηρίου διατηρήσας τὸν λόγον. Τὰ μὲν γὰρ ἰδικῶς οἶδεν ὄντα τε καὶ πρέποντα τοῖς τῆς ἀνθρωπότητος μέτροις, τὰ δὲ ταῖς ὑπεροχαῖς τῆς

VARIÆ LECTIONES.

[54] τοὺς A : τοὺς δὲ ς. [55] libri ἀποδύεται cf. p. 265 a 24. [56] ἀνεκήρυξεν ς. [57] τούτοις ς. [58] libri κρατ. ὡς μείζονι f. p. 251 b 7. [59] ἐξ A : εἶναι ς. [60] ἀῤῥήτως ς.

ἀῤῥάστου θεότητος. Οὐ μόνον δὲ δύο φύσεις ὁ Κύ- A *aliquid creatum ad divinam essentiam* **261***b* *referamus, neque divinæ naturæ præstantiam ad modum humanitatis reducamus.*
ριλλος ἀλλὰ καὶ δύο ἐνεργείας κηρύττει, ὡς ἐν τοῖς Θνσαυροῖς λέγει· Οὐδὲν γὰρ τῶν ὄντων πρὸς τὸ ἑτερογενὲς καὶ ἑτερονσιον τὰς αὐτὰς ἀπαραλλάκτους φορήσει δυνάμεις τε καὶ ἐνεργείας. Καὶ πάλιν· Ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας ἤτοι τῆς ποιότητος τὸν λόγον, οὕτω καὶ διάφορον ἀποσώζουσι τὴν ἐνέργειαν· καὶ πάλιν· Οὐ γὰρ δήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γεννητοῖς πρέποντα [61] καταγάγωμεν τρόπον.

Ἐπειδὴ δὲ οἱ πρὸς οὓς ἔγραφεν ἐζήτησαν ψιλῶς τὴν λέξιν τὴν ἑκατέρα παρὰ τίσιν εἴρηται τῶν Πατέρων, [820 R., 430 H.] προκομίζει χρῆσιν κειμένην ἐν τῇ πρὸς Ἑβραίους Κυρίλλου ἑρμηνείᾳ, ἔχουσαν οὕτως· Οὐκ ἀνάχυσίν τινα [τῆς [62]] εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαι φαμεν· μενούσης δὲ μᾶλλον ἑκατέρας τοῦθ' ὅπερ ἐστίν, ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν Λόγον. Καὶ πάλιν τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν· Καὶ οὐ δήπου φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς στῆναι [63] τὴν τοῦ B Λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυχόν· ἀλλ' οὐδ' αὖ πάλιν τὴν ἀνθρωπίνην εἰς τὴν αὐτοῦ τοῦ [64] Λόγου· νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν, ἐνοικήσαντος τοῦ Λόγου σωματικῶς τῷ ἐκ τῆς ἁγίας Παρθένου ναῷ. Ὡσαύτως δὲ λέγει καὶ Βασίλειος ὁ Καισαρείας τῆς Καππαδοκίας ἐν τῷ κατ' Εὐνομίου λόγῳ· Διὸ μετὰ πάσης ἀγωνίας τε καὶ εὐλαβείας δεῖ συνορᾷν, ὅπως ἂν ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἑκατέρας φύσεως ἀποδειχθῇ ἡ ἀλήθεια.

Ὅτι μέντοι γε οὐ μίαν οἱ Πατέρες ἡμῶν ἐπὶ Χριστοῦ ἀλλὰ δύο φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει κηρύττουσιν, εἴρηται μὲν καὶ πρότερον, οὐδὲν δὲ κωλύει καὶ νῦν παραστῆσαι. Λέγει γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος [65] ὁ Νύσσης ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ· Εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκός τε λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο; Καὶ ὁ ἐν ἁγίοις δὲ Ἐφραὶμ ἐν τῷ Περὶ ἐνανθρωπήσεως καὶ Εἰς τὸν μαργαρίτην· Οὐχ ἡττήθη, φησί, τῇ πλοκῇ τῆς προσλήψεως, ἵνα ἀπολέσῃ ὃ ἔσχε, καὶ ὃ μὴ ἔσχε γένηται. Τέλειον ἔχει ὃ ἦν, καὶ τέλειον ἔχει ὃ προσέλαβε. Καὶ Κύριλλος δὲ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, ἀλλὰ καὶ ἐν τῇ πρὸς Σούκενσον [66] πρώτῃ καὶ ἐν τῷ Περὶ πίστεως λόγῳ καὶ ἐν τῷ Κατὰ τοῦ δυσσεβοῦς Νεστορίου καὶ ἐν τοῖς Θησαυροῖς τὰ αὐτὰ λέγει. Ὡσαύτως δὲ καὶ ἐν τῷ Περὶ ἐνανθρωπήσεως λόγῳ· φησὶ γάρ· Ἀλλ' εἰς ἓν ἄμφω συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων. Καὶ μεθ' ἕτερα· Ἐπαγωνιεῖται δὲ αὖ καὶ συναθλήσει τῷ λόγῳ καὶ ὁ σοφὸς Ἰωάννης, μονονουχὶ καὶ συναγείρων τὰς φύσεις, καὶ σύνδεων [τὴν φύσιν] τῶν ἑκατέρᾳ [67] προσόντων ἰδιωμάτων τὴν δύναμιν. Καὶ ἐκ μυρίων ἄλλων λόγων αὐτοῦ τὰ αὐτὰ ἔστι λαβεῖν. Ἑρμηνεύων δὲ τὸν προφήτην Ζαχαρίαν οὕτω φησίν· Ὁ δέ γε θεσπέσιος Ἰεζεκιὴλ [68] ὁρόB *tenuitatem, sed neque rursum humanam in ipsam Dei: intellecta potius et subsistente utraque in propriæ naturæ termino, factam unionem dicimus, inhabitante corporaliter Verbo in templo, quod ex beata Virgine sumpsit.* Sic et Basilius Cæsareæ Cappadociæ episcopus libro *Contra Eunomium: Propterea omni contentione et cautione considerandum est, quomodo in uno eodemque utriusque naturæ ostendatur veritas.*

Cum vero illi ad quos scripsi quæsiverunt tenui dictione, quæ ab aliquibus Patribus dicta sunt, ostendit usum qui est in interpretatione Cyrilli ad Hebræos hoc modo: *Non refusionem aliquam naturarum in se mutuo factam esse dicimus, manente potius utraque, hoc, quod est, uniri carni intelligimus Verbum.* Et rursum idem in eadem re: *Et non dicimus, velut quamdam refusionem in naturis factam esse, ut sitam Verbi naturam in hominis, verbi causa,* B *tenuitatem, sed neque rursum humanam in ipsam Dei: intellecta potius et subsistente utraque in propriæ naturæ termino, factam unionem dicimus, inhabitante corporaliter Verbo in templo, quod ex beata Virgine sumpsit.* Sic et Basilius Cæsareæ Cappadociæ episcopus libro *Contra Eunomium: Propterea omni contentione et cautione considerandum est, quomodo in uno eodemque utriusque naturæ ostendatur veritas.*

Quoniam Patres quidem non unam in Christo, sed duas naturas in personali unione confitentur. Quod et antea dictum est, nunc vero idem recensere nihil prohibet. Dicit enim Gregorius Nyssenus in libro *Contra Apollinarium: Sic igitur in con-* C *trariis proprietatibus utraque harum cognoscatur natura, carnis, inquam, et Dei, quomodo una sunt duæ.* Et sanctus Ephræm in libro *De incarnatione* et in *Margaretam: Non minuta est*, inquit, *connexio assumptionis, ut perdiderit quod habuit; et quod non habuit, adepta sit. Sed perfectum est quod assumpsit, et quod adepta est.* Et Cyrillus epistola ad Eulogium, et prima ad Succensum, et in Oratione de fide, et libro *Contra* impium *Nestorium*, et in *Thesauris* eadem dicit, similiter et libro *De incarnatione*, sic habet: *Sed in unam utrasque collegisse secundum conjunctionem æconomicam naturarum proprietates, multis sermonibus nobis ostenditur.* Et post alia: *Contendit et certat oratione; verum et sapiens Joannes tantum non connectens* **262***a* *potestatem pro-* D *prietatum accidentium utrique naturæ.* Sed e multis aliis locis hæc fas est colligere. Exponens enim prophetam Zachariam sic ait: *Sanctus Ezechiel thronum vidisse se dixit:* « In firmamento super caput Cherubim [k]: » *Dixit se in throno vidisse sedentem quemdam duplicis naturæ.* Et rursum, Commentario in Joannem libro secundo habet: *Cum aliquid facies,*

[k] Ezech. x, 18.

VARIÆ LECTIONES.

[61] τρέποντα ς. [62] τῆς expungit Scaliger. [63] στῆναι] fortasse legendum μεταστῆναι. [64] αὐτοῦ] τοῦ αὐτοῦ ς. [65] ὁ post Γρηγόριος add. A. [66] οὔκενσον A. [67] ἑκάτερα ς. [68] Ἰεζ.] x, 18.

quando nobis simplex, naturam ingreditur duplex; et alia sexcenta. Quomodo non ex duabus naturis dixit sacra synodus Christum esse, luculenter declarans, ante sæcula cum e Patre natum divinitate, et in ultimis diebus nostra causa et ad nostram salutem e Maria Deipara semperque Virgine humanitate. Alioqui si Cyrilli epistolas amplexus sit, quæ ubique illud e duabus naturis vociferantur: quomodo non sine causa hæreseis adversus sanctum synodum fremit?

A νον τεθεᾶσθαί φησιν ἐπὶ στερεώματος ὑπερκείμενον τῶν Χερουβίμ· ἔφη δὲ ὅτι τὸν ἐπὶ θρόνου καθήμενον ἑώρακε διφυᾶ. Καὶ πάλιν ἑρμηνεύων τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, ἐν τῷ δευτέρῳ βιβλίῳ φησίν· Ἐπεὶ τί ποιήσεις, ὅταν ἡμῖν ὁ ἁπλοῦς τὴν φύσιν εἰσβαίνῃ διπλοῦς; καὶ μυρία ἄλλα. Πῶς δὲ οὐκ ἐκ δύο φύσεων εἶπεν ἡ ἁγία σύνοδος τὸν Χριστὸν, διαῤῥήδην βοῶσα πρὸ αἰώνων τὸν αὐτὸν ἐκ τοῦ Πατρὸς γεννηθῆναι κατὰ τὴν θεότητα, καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Θεοτόκου [431 H.] καὶ Ἀειπαρθένου κατὰ τὴν ἀνθρωπότητα; ἄλλως τε δὲ εἰ τὰς Κυρίλλου ἠσπάσατο ἐπιστολὰς, αἳ πολλαχοῦ τὸ ἐκ δύο φύσεων διακεκράγασι, πῶς οὐ μάτην ἡ αἵρεσις κατὰ τῆς ἱερᾶς συνόδου φρυάττεται;

Verum inspice malignitatem hæreticorum. Dicente enim synodo: *De Patre et Filio et Spiritu sancto docent perfectionem, et Domini incarnationem recte sentientibus ob oculos ponunt.* Quatuor in Trinitate personas illam dicere furenter accusator exclamavit. Quare? quia, cum dixisset Patrem, Filium et Spiritum sanctum, et Domini incarnationem pro persona adjunxit. Verum hanc blasphemiam sanctus scriptor in caput auctorum retorquet, multis testimoniis antiqua traditione hunc ordinem esse ostendens, ut post sanctæ et supernaturalis Trinitatis laudes, unius in Trinitate incarnationem sancta Ecclesia confiteatur, ne autem quaternitatem connumeret. Sic Cyrillus, libro VII *De adoratione in spiritu et veritate*, loquitur; sic et in Evangelium Joannis et Matthæi, aliique permulti.

B Ἀλλ' ὅρα τὸ κακοῦργον τῆς αἱρέσεως. Φαμένης γὰρ τῆς συνόδου· Περί τε γὰρ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκουσι τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησι [69]. Τετράδα εἰπεῖν ἐμμανῶς ἡ κατήγορος ἀνεβόησε. Διὰ τί; [821 R.] διότι μετὰ τὸ εἰπεῖν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον τὴν τοῦ Κυρίου ἐπήγαγεν ἐνανθρώπησιν. Ἀλλὰ καὶ ταύτην ὁ συγγραφεὺς τὴν συκοφαντίαν εἰς τὰς τῶν συκοφαντῶν ἔτρεψε κεφαλὰς, μυρίαις μαρτυρίαις ἀρχαιοπαράδοτον εἶναι τὴν τοιαύτην ἐπιδειξάμενος σύνταξιν, ὡς μετὰ τὴν τῆς ἁγίας καὶ ὑπερφυοῦς Τριάδος ἀνύμνησιν τὴν τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος σάρκωσιν ἡ Ἐκκλησία θεολογεῖ, μηδαμῶς τετράδος ἐγκληθεῖσα συναρίθμησιν. Οὕτω Κύριλλος ἐν τῷ ἑβδόμῳ λόγῳ τῆς ἐν Πνεύματι λατρείας λέγει, οὕτως ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, οὕτως ἐν τῷ κατὰ Ματθαῖον, καὶ μυρίοι ἄλλοι.

C Clare vero in multis suis libris divus Cyrillus, et in divinitate perfectum, et in humanitate Christum prædicat et tradit. Quibus et sacra consentiens synodus, unum eumdemque Jesum Christum unigenitum in duabus naturis inconfuse et indivise prædicavit. Quibus iterum **262***b* Cyrillus in epistola ad Succensum consentit, dicens: *Intelligentes ergo, ut dixi, incarnationis modum: videamus quomodo duæ naturæ, per unionem inseparabilem, inconfuse, insolubiliter inter se convenerint. Caro enim caro est, non divinitas, licet Dei caro facta sit. Eodem modo et Verbum Deus est, non caro, licet per incarnationem propriam sibi carnem fecerit.* Et deinde: *Quantum profecto sub intelligentiam cadere possit, et sub oculos animæ, quo modo incarnatus est Unigenitus, duas naturas esse dicimus: unum vero Christum, Filium, Dominum, Dei Verbum incarnatum et hominem factum:* Et in epistola ad Orientales: *Duarum naturarum unio facta est, ideo unum Christum, unum Filium, unum Dominum confitemur.* Et in epistola ad Acacium Melitenes episcopum: *Cum itaque curiose incarnationis modus inquiritur, duo quædam inter se ineffabiliter et sine confusione, per unionem conjuncta humana mens omnino videt, incarnatum vero nequaquam intelligit, sed unum ex*

Λαμπρῶς δὲ καὶ ἐν πολλοῖς αὐτοῦ λόγοις ὁ νικηφόρος Κύριλλος τὸ ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τοῦ Χριστοῦ τέλειον ἀνακηρύττει καὶ παραδίδωσιν. Ὃ καὶ ἡ ἁγία συνῳδοῦσα σύνοδος ἔτα τὸν αὐτὸν Ἰησοῦν Κριστὸν Κύριον [70] μονογενῆ ἐν δυσὶ φύσεσιν ἀσυγχύτως τε καὶ ἀδιαιρέτως ἐκήρυξεν. Οἷς πάλιν ὁ ἱερὸς Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ συμφθέγγεται, λέγων· Ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως, ἀτρέπτως· ἡ γὰρ σὰρξ σάρξ ἐστι καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ· ὁμοίως δὲ καὶ ὁ Λόγος Θεός ἐστι καὶ οὐ σὰρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. Καὶ μεθ' ἕτερα· Οὐκοῦν ὅσον μὲν ἦκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασιν, ὃν τρόπον ἐνηνθρώπησεν ὁ μονογενὴς, δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ Χριστὸν καὶ Υἱὸν καὶ Κύριον τὸν τοῦ Θεοῦ Λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. Καὶ ἐν τῇ πρὸς τοὺς Ἀνατολικοὺς ἐπιστολῇ· Δύο γὰρ φύσεων ἕνωσις γέγονε, διὸ ἕνα Χριστόν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς. Ὅτε [71] τοίνυν ὁ τῆς σαρκώσεως πολυπραγμονεῖται τρόπος, δύο τὰ ἀλλήλοις ἀποῤ-

D

VARIÆ LECTIONES.

[69] παρίστησι] imo παριστῶσι. [70] Κύριον et mox τε add. A. [71] ὅτε] ὅτι A : ὅταν ς.

ῥήτως τε καὶ ἀσυγχύτως συνηνεγμένα [72] καθ' ἕνωσιν ὁρᾷ δὴ πάντως ὁ ἀνθρώπινος νοῦς, ἑνωθέντα γε μὴν [73] διίστησιν οὐδαμῶς, ἀλλ' ἕνα τὸν ἐξ ἀμφοῖν καὶ Υἱὸν καὶ Χριστὸν καὶ Θεὸν καὶ Κύριον εἶναι πιστεύει καὶ ἀραρότως εἰσδέχεται. Καὶ ἐν τοῖς Σχολίοις· Γεγονότα δὲ σάρκα καὶ ἐν ἡμῖν σκηνῶσαί φησιν, ἵνα δι' ἀμφοῖν ἀποδείξῃ καὶ γενόμενον ἄνθρωπον καὶ οὐ μεθέντα τὸ ἴδιον. Μεμένηκε γὰρ ὅπερ ἦν, νοεῖται δέ πάντως ἕτερον ἐν ἑτέρῳ τὸ κατοικοῦν, τουτέστιν ἡ θεία φύσις ἐν ἀνθρωπότητι, καὶ οὐ παθοῦσα φυρμὸν ἢ ἀνάχυσίν τινα καὶ μετάστασιν τὴν εἰς [74] ὅπερ οὐκ ἦν. Τὸ γὰρ οἰκεῖν ἐν [75] ἑτέρῳ λεγόμενον οὐκ αὐτὸ γέγονε τοῦθ' ὅπερ [432 H.] ἐστὶ τὸ ἓν ᾧ κατοικεῖ, νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρῳ. Καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ Λευϊτικοῦ [76]. Διὰ τοῦτο καὶ δύο λαμβάνεται τὰ ὀρνίθια καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα, πλὴν ζῶντα καὶ καθαρά. Ζωῆς γὰρ καὶ καθαρότητος ἁπάσης παρεκτικός καὶ αὐτὸς καθ' ἑαυτὸν ὁ λόγος καὶ ὁ ἐκ Παρθένου ναὸς τὸν αὐτὸν Λόγον ἔχων ἐν ἑαυτῷ· ἦν γὰρ ἴδιον αὐτοῦ τὸ σῶμα, καὶ οὐχὶ ἀλλότριον φόρημα. Διά τοι τοῦτο καὶ εἷς Κύριος Ἰησοῦς Χριστός. Καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ κατὰ Ματθαῖον [77] Εὐαγγελίου· Οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινός τε καὶ νοητὸς καὶ ὡς ἐν τύπῳ τῷ ἐξ ὕλης δηλούμενος αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ [78] Χριστὸς, διπλοῦς χαρακτήρ. Καὶ μεθ' ἕτερα· Ὁ στατὴρ τοιγαροῦν ὁ νοητὸς, τουτέστι τὸ νόμισμα τὸ βασιλικὸν, [824 R.] ὁ ἐν ἑνότητι διπλοῦς χαρακτὴρ, ἑαυτὸν ὑπὲρ πάντων ὡς παρὰ πάντων προσκεκόμικε τῆς ἡμετέρας ζωῆς ἀντίλυτρον. Καὶ ἐν τῷ κατὰ Ἀρείου λόγῳ πάλιν· Διττὸς οὖν ἄρα ἐστὶ ὁ ἐφ' Υἱῷ λόγος· ἀναθετέον δὴ οὖν ὡς Θεῷ τὰ [79] Θεοῦ καὶ ὡς καθ' ἡμᾶς γεγονότι τὰ ἀνθρώπινα· καὶ πάλιν· Ἆρ' οὖν (ἐρήσομαι γὰρ) σοφοὶ καὶ ἀγχίνοι καταλογισθεῖεν ἂν οἱ διφυᾶ καὶ διπλοῦν τὸν ἕν γε τούτοις προστέμενοι [80] Λόγον, καὶ καιροῖς ἀπονέμοντες τοῖς καθήκουσι τὴν μυσταγωγίαν; Καὶ ἐν τῷ 0' λόγῳ τῆς ἐν πνεύματι λατρείας· Ἐξ ἀργύρου δὲ καὶ ἐκ δυοῖν ἡ βάσις· λαμπρὸς γὰρ ἐν τῇ καὶ διαφανὴς ὁ Χριστὸς, κατά γε τὸ, Θεὸς [81] Κύριος καὶ ἐπέφανεν ἡμῖν, καὶ οἱονεὶ διφυᾶ τὴν γνώμην ἔχων· νοεῖται γὰρ ἐν ταυτῷ Θεὸς καὶ ἄνθρωπος. Τουτὶ γάρ, οἶμαι, ἐστὶ τὸ διπλῆν ἐξ ἀργύρου τὴν βέσιν ἔχειν. Καὶ ἐν τῷ Κατὰ Νεστορίου λόγῳ· Ἑτέρα μὲν γὰρ παρὰ τὸν τοῦ Θεοῦ Λόγον ἡ σὰρξ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον, ἑτέρα δὲ πάλιν οὐσιωδῶς ἡ αὐτοῦ τοῦ Λόγου φύσις. Οὕτω σύμφωνος τῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου δογμάτων ἡ Κυρίλλου πανταχοῦ δόξα.

Πάλιν μέντοι τῆς αὐτῆς ὁσίας συνόδου φαμένης, Οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, ὅρα πῶς κατ' οὐδένα τρόπον ὁ νικηφόρος Κύριλλος διαφωνεῖ. Ἐν γὰρ τῇ πρὸς τὸν Νεστόριον α' φησὶν ἐπιστολῇ· Οὐκ ambobus Filium, Deum et Christum, et Dominum esse credit, et convenienter id suscipit. Et in Scholiis: *Factam carnem, et in nobis, inquit, habitasse, ut ambobus ostendit, et factum hominem, et proprium suum non dimisisse; nam memminerat qualis esset. Intelligitur autem omnino alter in altero habitans, hoc est, divina natura in humanitate, et non patiens misturam, refusionem aliquam, vel mutationem illius in id, quod non erat. Habitare vero in altero dictum, non idem factum est hoc, quod est in quo habitat.* Magis autem intelligitur illud alterum in altero, in Expositione Levitici: *Propterea duæ sumuntur aves, et cognoscuntur iterum ambæ ut una, nisi quod vivant et puræ sint* [l]. *Vitæ enim et puritatis omnis capax est ipsum per se Verbum, et templum e virgine sumptum, idem Verbum in se continet. Erat enim proprium ejus corpus, et non aliena gestatio, propterea et unus Dominus Jesus Christus.* Et in Expositione Evangelii secundum Matthæum [m]: *Stater igitur et verus est, et intelligibilis, et ut in figura ex materia ostensus est idem Dominus noster Jesus Christus duplex character.* Et deinde: *Stater igitur intelligibilis, hoc est numisma regium, qui in unitate duplex character, seipsum* **263***a pro nostræ omnium vitæ redemptione tulit.* Et rursum libro *Contra Arium*: *Duplex igitur est de Filio sermo: Referenda igitur ad Deum quæ sunt Dei, et quæ sunt hominis, homini.* Et mox: *Sapientes ergo (dicam enim) et solertes dixerint, duplicem et fidum in his adducentes sermonem, et temporibus convenientibus attribuant sacrorum disputationem;* et libro nono *De adoratione in spiritu*: — *Ex argento vero et ex duobus est basis. Clarus enim [in terra] et illustris Christus, juxta illud: « Deus Dominus, et illuxit nobis n. » Et tanquam duplicem habens sententiam, in hoc enim noscitur Deus et homo. Hoc enim est, ut puto, duplex ex argento habere fundamentum.* Et libro *Adversus Nestorium*: — *Nam altera quidem præter Dei Verbum caro, et secundum propriæ naturæ Verbum, alia rursum essentialiter ipsius Verbi natura.* Sic et consentit sacræ et œcumenicæ synodo sancti Cyrilli sententia.

Rursum sacro concilio asserente: *Nequaquam naturarum differentia sublata per unionem, sed potius servata utriusque naturæ proprietate, et in unam personam, et in unam hypostasin coalescente:* vide quomodo nullatenus Cyrillus dissentiat. Nam in epistola prima ad Nestorium ait: *Non ut sublato discrimine naturarum per unionem, sed magis per-*

[l] Levit. v, 7. [m] Matth. xvii, 27. [n] Psal. cxvii, 27.

VARIÆ LECTIONES.

[72] συνηγμένα ζ. [73] γε μὴν τε μὴν A : τε μὴ ζ. [74] τὴν εἰς A : τῆς ζ. [75] ἐν om. pr. A. [76] Λευίτ.] v, 7. [77] Ματθ.] xvii, 27. [78] ὁ add. A. [79] ὡς θεῷ τὰ A : πρὸς θεῷ τὰ τοῦ ζ. [80] προϊέμενοι ζ. [81] Θεὸς] Psal. cxvii, 27.

ficientibus nobis unum Dominum, Filium, et Christum, divinitate et humanitate, per ineffabilem consensionem unione. Et rursum in Scholiis : *Adorat quidem, ut adorandam naturam capiens, et adoratur iterum idem, tanquam adorandæ ulterius naturæ exsistens, qualenus percipitur Deus.* Et vide, ut neque secundum rectum casum, neque secundum accusativum adducit Cyrillus divisionem unius Christi. Rursum ipse in Scholiis loquitur : *Non dividendus igitur unus Dominus Jesus Christus proprie : sed unum et eumdem Jesum Christum oportet sentire, naturarum dicimus differentiam, et inconfuse invicem easdem servantes.* Et in *Thesauris : — Denique quid aliud sit, quam ignorantiam dixit œconomice,* **263***b nisi iterum servare humanitati convenientem ordinem? Humanitatis enim proprium, non scire futura.* Et in secunda epistola ad Succensum : *Si enim et unus dicatur pro nobis Filius Dei incarnatus, non permistus ideo invicem videri, neque in carnis naturam mutata est Verbi natura : sed neque carnis in Verbi, sed in proprietate naturali utraque manente et intellecta. Hæc ipsa sic recipiens solvit scandalum, sed qui contraria asserit, subjicitur terribili edicto immaculatæ vocis dicente in evangelicis : « Væ homini per quem venit scandalum* [o]. » Sic concilium et Cyrillus. Et non solum Cyrillus, sed et alii sancti Patres, ut consentientes in fide, ita et unius sententiæ cognoscuntur.

Sed adhuc vide hæreseos impudentiam. Reprehendit enim eum, qui epistolam suam Tomum vocaverat, nescientes rudes, quomodo idem Cyrillus et strenuus Athanasius, aliorumque Patrum cœtus, pios labores tomos vocent. Quare frustra Tomi nomen illos decepit, et in hæresim induxit.

Sed non relinquunt hæretici impudentes et inverecundi, hoc, *in quo consentiunt*, ut temporalem et opportunam annuntians conjunctionem, hoc vero, *in quantum*, pro *donec* capi ; sed sacer quidem scriptor ostendit adverbium in sacris Litteris, non solum temporalem sensum significare sed in multis sæpe et infinitum. Sed mihi videtur, *in quantum*, hic non *donec* significare, sed potius pro *qualenus* accipi. Nisi quod beatus Gregorius Theologus easdem voces prædixit ; quem Leo sequitur.

Rursum vero hæresis Leonem calumniatur, quia, inquit, dixit, unius et ejusdem hoc, humilitas carnis et magnitudo divinitatis ; et certe si non præ-

ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα Κύριον καὶ Υἱὸν καὶ Χριστὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς · καὶ πάλιν ἐν τοῖς Σχολίοις· Προσκυνεῖ μὲν γὰρ ὡς τὴν προσκυνοῦσαν φύσιν λαβών, προσκυνεῖται δὲ πάλιν ὁ αὐτὸς ὡς τῆς προσκυνουμένης φύσεως ὑπάρχων ἐπέκεινα, καθ' ὃ νοεῖται Θεός, Καὶ σκόπει ὡς οὔτε τὰ κατ' εὐθεῖαν ἄρθρα οὔτε τὰ κατ' αἰτιατικὴν μερισμὸν εἰσάγει τῷ ἱερῷ Κυρίλλῳ τοῦ ἑνὸς Χριστοῦ. Πάλιν δὲ ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς Σχολίοις φησίν, Οὐ διοριστέον ἄρα τὸν ἕνα Κύριον Ἰησοῦν [433 H.] Χριστὸν ἰδικῶς καὶ εἰς Θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν δεῖ φρονεῖν τοῖς τῶν φύσεων φαμὲν εἰδόσι τὴν διαφορὰν καὶ ἀσυγχύτως ἀλλήλαις τηροῦσιν [82] αὐτάς. Καὶ ἐν τοῖς Θησαυροῖς · Τέλος δὲ τί ἂν ἕτερον εἴη ἢν ἄγνοιαν ἄφησεν [83] οἰκονομικῶς, ἢ ἀποσώζειν πάλιν τῇ ἀνθρωπότητι τὴν αὐτῇ πρέπουσαν τάξιν ; ἀνθρωπότητος γὰρ ἴδιον τὸ μὴ εἰδέναι τὰ μέλλοντα. Καὶ ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ · Εἰ γὰρ καὶ εἷς λέγοιτο πρὸς ἡμῶν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τὸ ἐκείνοις δοκοῦν, οὔτε μὴν εἰς, τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ Λόγου φύσις, ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ, ἀλλ' ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου. Ὁ ταῦτα οὕτω δεχόμενος λύει τὸ σκάνδαλον · ὁ δὲ ἐναντίως φερόμενος ὑπόκειται τῇ φοβερᾷ ἀποφάσει τῆς ἀρχάντου φωνῆς, λεγούσης ἐν τοῖς Εὐαγγελίοις, Οὐαὶ δι' οὗ ἔρχεται τὸ σκάνδαλον. Οὕτως ἡ σύνοδος καὶ ὁ Κύριλλος · καὶ οὐχ ὁ Κύριλλος μόνον, ἀλλὰ καὶ πᾶς ὁ ἄλλος τῶν ἱερῶν ἀνδρῶν χορὸς, ὥσπερ ὁμόφρονες. οὕτω γνωρίζονται καὶ ὁμόφωνοι.

Ἀλλ' ἔτι σκόπει τὸ ἀναίσχυντον τῆς αἱρέσεως · ἐπικαλεῖ γὰρ αὐτῷ τὴν ἐπιστολὴν τόμον [84] καλέσαντι, ἀγνοοῦντες οἱ παράπλῆγες ὡς αὐτός τε Κύριλλος καὶ ὁ πολύαθλος Ἀθανάσιος [825 R.], καὶ πολὺς ἄλλος τῶν ἁγίων ὅμιλος τοὺς ἰδίους ὑπὲρ εὐσεβείας πόνους τόμους ἐκάλεσαν, ὥστε μάτην αὐτοῖς τὸ τοῦ Τόμου ὄνομα τὴν τομὴν ἐφάντασε καὶ διαίρεσιν.

Ἀλλ' οὐκ ἐπιλείπουσιν οἱ τῆς αἱρέσεως ερασταὶ καταισχυνόμενοι καὶ ἀναιδευόμενοι τὸ, Ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστὶν, ὡς χρονικὴν καὶ πρόσκαιρον ἐπαγελλόμενον τὴν συναφειαν · τὸ γὰρ ἐν ὅσῳ ἀντὶ τοῦ ἕως λαμβάνεσθαι. Ἀλλ' ὁ μὲν ἱερὸς συγγραφεὺς δείκνυσι τὸ ἐπίρρημα παρὰ τοῖς ἱεροῖς Λογίοις οὐ χρονικὴν μόνον διάνοιαν [85] ὑποσημαῖνον, ἀλλ' ἐν πολλοῖς πολλάκις καὶ τὸ ἀπέραντον · ἐμοὶ δὲ δοκεῖ τὸ ἐν ὅσῳ ἐνταῦθα οὐδὲ τὴν ἕως δύναμιν ἔχειν, ἀλλ' ἀντὶ τοῦ καθὸ παρειλῆφθαι μᾶλλον, προεῖπε φωνὰς, οἷς ὁ ἐν ἁγίοις Λέων ἠκολούθησεν.

Πάλιν δὲ ἡ αἵρεσις διαβάλλει τὸν ὅσιον Λέοντα, διότι, φησὶν, εἶπε τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τό τε ταπεινὸν τῆς σαρκὸς καὶ τὸ μέγεθος τῆς θεότητος.

o Matth. x, 7.

VARIÆ LECTIONES.

[82] τηροῦσιν A : τηροῦντες ς. [83] ἔφη ς. [84] αὐτῷ τὴν ἐπιστολὴν τόμον A : τὴν ἐπιστολὴν αὐτοῦ ς. [85] διάνοιαν μόνον ς.

Καίτοι γε εἰ μὲν μὴ προεῖπών τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, τάχα ἂν τοῖς ἄφροσι παρεῖκε λαβῆς ὑπόνοιαν ὡς ἀνὰ μέρος τίθησι τὴν σάρκα καὶ τὴν θεότητα, εἰ καὶ μηδὲ τοῦτο ἡ λέξις μηδὲ τότε ἐδήλου· ἐπεὶ δὲ προεῖπών, Τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, ἐπήγαγε, τό τε ταπεινὸν τῆς σαρκὸς καὶ τὸ μέγεθος τῆς θεότητος, πῶς οὐκ ἐσχάτης ἐστὶ μανίας ἐν αἰτίαις ποιεῖν τὸν ἀναίτιον; ὅτι δὲ καὶ τῶν ἱερῶν ἡμῶν Πατέρων γέμει τὰ γράμματα τὰς τοιαύτας φωνάς, περιττὸν οἶμαι παριστάνειν τῇ παραθέσει τῶν χρήσεων [86]. Καίτοι καὶ εἴ τι τοιοῦτον ὑπονοεῖται τοῖς τοῦ μακαρίου Λέοντος [434 H] ῥήμασιν, ἐχρῆν κατὰ τὸν ἐν ἁγίοις Γρηγόριον τὸ ἀμφίβολον πρὸς τὸ εὐσεβέστερον εὐλαβῶς ἑλκῦσαι ἀλλὰ μὴ θρασέως οὕτω πρὸς τὴν ἀσέβειαν ἐκβιάσασθαι. εἰ δὲ ἐν οὐδενὶ λόγῳ αὐτοῖς ὁ θεολόγος Γρηγόριος, ἀλλ' οὖν γε δυσωπηθῆναι τὸν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

A dixisset *unius et ejusdem*, cito hæreticis occasionem hæreseos dedisset, quod ipse divisim ponat carnem et divinitatem. Etsi vox hoc tunc non significabat. Quando vero dixit *unius et ejusdem*, adjunxit, *humilitas carnis* **264a** *et magnitudo divinitatis*. Quomodo non ultimæ sit dementiæ innoxium accusare. Quia sanctorum Patrum libri his vocibus scatent, supervacaneum existimo afferre copiam exemplorum, et si quid simile in his verbis beati Leonis intelligitur, oportuit, secundum Gregorium, dubium ad pietatem caute trahere, sed non audacter ad impietatem convertere. Si in nullo libro Theologus Gregorius illos confundat, sanctus Paulus id facit: *In captivitatem redigentes omnem intellectum in obsequium Christi* [p].

Οἱ δὲ πάλιν ἐπιπηδῶσι τοῖς τοῦ ἀνδρὸς ῥήμασιν ἐν οἷς φησιν. Ἐνεργεῖ γὰρ ἑν [89] ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιόν ἐστι, τοῦ μὲν Λόγου, κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ Λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος. Ἰδού, φασί, δύο πρόσωπα εἴρηκεν, καὶ ἰδίᾳ τὰς ἐνεργείας ἐκήρυξε. Καίτοι γε οὐδὲν τοιοῦτον οὔτε ἡ λέξις οὔτε ἡ ἀκολουθία ἀπαιτεῖ τοῦ νοήματος. Ποῦ γὰρ εἶπεν ὡς ἀνὰ μέρος [καὶ ἀνὰ μέρος] μορφὴ ἑκατέρα ἐνεργεῖ; ἢ ποῦ παρέλιπε [89] τὸ μετὰ τῆς θατέρου κοινωνίας, τουτέστιν ἐν τῇ ἑνώσει τῶν φύσεων; Εἰ δ' οὗτος ταῦτα εἰπὼν ὑπ' αἰτίαν, καὶ Κύριλλος οὐκ ἄλλα λέγων ἐν τοῖς κατὰ Νεστορίου λόγοις τῆς αὐτῆς ἔνοχος μέμψεως· Παρεχώρει μὲν γὰρ τὸ σῶμα, φησὶ, [90] τοῖς τῆς ἰδίας χρᾶσθαι φύσεως νόμοις, καὶ τὴν τοῦ θανάτου γεῦσιν ἐδέχετο, καὶ τοῦτο παθεῖν ἐφέντος αὐτῷ χρησίμως τοῦ ἑνωθέντος Λόγου. Καὶ πάλιν ἐν τοῖς Θησαυροῖς, Ἐπιτρέπει δὲ τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ καὶ κατὰ ἀλήθειαν φορῆσαι σάρκα καὶ ἄνθρωπον γενέσθαι αὐτοῖς [91] φύσει προσόντα, εἰς ἀπόδειξιν τοῦ ὄντως κατὰ τὰς Γραφάς. Ἀλλὰ ταῦτα μὲν τανῦν.

B Sed rursum in illius verba invadunt, in quibus ait: *Cooperatur utraque forma cum utraque communione, quod proprium est. Verbo quidem operante hoc quod est Verbi, et corpore quæ sunt corporis.* Ecce, inquiunt, duas personas posuit, et propria opera attribuit. Et sane nihil tale neque vox neque consequentia sensus postulat. Ubi enim dixit, ut divisim utraque natura operetur, vel ubi reliquit, cum utriusque conjunctione, hoc est, unione naturarum? Si vero ipse qui hæc dixit, accusatur, Cyrillus non alia dicens in libris *Contra Nestorium*, etiam accusetur. Dicit enim: *Corpus propriæ naturæ* [uti] *legibus, et mortem gustasse cancedit, et hoc passum esse adjuncto illi utiliter unilo Verbo.* Et rursum in *Thesauris*: *Permittit corpori et humanitati ea quæ illis conveniunt; et declarationem veram carnem fuisse, et hominem factum secundum Scripturas.* Sed hæc nunc.

Ὅτι δὲ ἡ μορφὴ οὐχ ὑπόστασις ἢ πρόσωπον [92] νοεῖται ἀλλ' οὐσία, Βασίλειος μὲν ὁ λαμπρὸς τῆς Ἐκκλησίας κῆρυξ ἐν τῷ κατ' Εὐνομίου [93] λόγῳ τρανῶς διδάσκει, καὶ Κύριλλος δ' ἐν τοῖς Θησαυροῖς λέγων, Ἣν ἔλαβε μορφὴν ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ὁμοουσία ἡμῶν [94] ἐστιν, ὅτι καὶ ἐξ ἡμῶν. Ἔστι δὲ Θεοῦ μορφὴ ὁ Υἱός· ὁμοούσιος ἄρα ἐκείνου οὗ καὶ ἐστιν ἐν μορφῇ. Καὶ πρὸ τούτων ὁ μέγας Παῦλος, Ὁ ἐν [95] μορφῇ Θεοῦ ὑπάρχων [828 B] οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Δῆλον γὰρ οὐχὶ πρόσωπον ὑπῆρχεν ὁ Υἱὸς τοῦ Πατρὸς, οὐδὲ τῆς αὐτῆς ὑποστάσεως, ἀλλὰ τῆς αὐτῆς οὐσίας ἐν ᾗ καὶ εἶναι λέγεται. Πάλιν δὲ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ κατ' Εὐνομίου [96] λόγῳ, ἐν τῷ πρώτῳ κεφαλαίῳ, οὕτω φησὶ, Τὸ ἐν μορφῇ ἐν οὐσίᾳ ἐστὶ Θεοῦ. Οὐ

Quia forma non hypostasis vel persona rursus intelligitur, sed essentia. Egregius quoque Ecclesiæ doctor Basilius in libro *Contra Eunomium*, clare docet, et Cyrillus in *Thesauris*, dicentes: *Quam accepit formam in forma Dei exsistens, nobis est consubstantialis, et e nobis est. Est vero Dei forma Filius; similis igitur illi cujus etiam in forma est.* Et ante hos magnus ille Paulus: *Qui cum in forma Dei esset,* C *non rapinam arbitratus est esse se æqualem Deo, sed se ipsum* **264b** *exinanivit formam servi accipiens* [q]. Clarum est jam quomodo non persona sit Patris Filius, nec ejusdem personæ, sed ejusdem essentiæ, et in qua etiam est. Rursum sanctus Basilius libro *Contra Eunomium*, capite primo sic habet: *In forma in essentia Dei; non enim aliud forma, et aliud essentia Dei est, ne composita sit, qui secundum formam*

[p] I Cor. x, 5. [q] Philipp. II, 5, 6.

VARIÆ LECTIONES.

[86] χρήσεων A : χρημάτων ς. [87] αἰχμ.] II Corr. x, 5. [88] ἐν om. A. [89] παρέλειπε A. [90] φησί add. A [91] αὐτοῖς A : αὐτῆς ς. [92] πρόσ. πάλιν νοεῖται ς. [93] εὐνόμιον A. [94] ἡμῖν ς. [95] ὁ ἐν] ὃς ἐν corr. A. ut est Philipp. II, 6. [96] εὐνόμιον A.

æqualis. Hæc et Amphilochius, episcopus Iconii, epistola ad Seleucum: *Quare et Dei formam et servi simul desinere in unam personam Filii et Domini Jesu. Sic Christum Dei Filium duarum naturarum, passibilis et impassibilis, mortalis et immortalis, intelligibilis et invisibilis, palpabilis et impalpabilis, sine principio et cum principio, incircumscriptæ et circumscriptæ.* Prænominati viri ut excellentis pietate, beatus Cyrillus secundum tertiam synodum adducit testimonia contra Nestorium. Et sane Proclus Constantinopolitanus, et Cyriacus Paphi episcopus, unus e trecentis et octodecim Patribus hæc habet. Ille quidem in *Pulcheranis* post natalem, et in *Epiphaniæ oratione*, hic idem in *Oratione de incarnatione* eadem dicit. Et Chrysostomus in *Sermone de assumptione*, et Gregorius Nyssenus libro *Contra Eunomium*: — *Quid gloriæ splendor? quid hoc, clavis fixum? Qualis forma ad mortem rapitur, et qualis ab inferno redit?* Sic quidem ubique cum sancta synodo convenit, et cum sancto Leone omnis sanctorum Patrum cœtus.

γὰρ ἄλλο μορφὴ καὶ ἄλλο οὐσία Θεοῦ, ἵνα μή σύνθετος ᾖ. Ὁ οὖν κατὰ μορφὴν ἴσος κατ' οὐσίαν [97] ἴσος. Τὰ αὐτὰ δὲ καὶ ὁ ἐν ἁγίοις Ἀμφιλόχιος ὁ Ἰκονίου ἐν τῇ πρὸς Σέλευκον ἐπιστολῇ, Ὥστε [98] τὴν τοῦ Θεοῦ μορφὴν καὶ τὴν τοῦ δούλου μορφὴν συντελεῖν εἰς ἓν πρόσωπον Υἱοῦ τε καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, οὕτω Θεόν τε καὶ ἄνθρωπον ὁμολογῶ τὸν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ἕνα δὲ Υἱὸν δύο φύσεων, παθητῆς τε καὶ ἀπαθοῦς, θνητῆς τε καὶ ἀθανάτου, νοητῆς καὶ ἀοράτου, ψηλαφητῆς καὶ ἀνεπάφου, ἀνάρχου καὶ ἀρχομένης, ἀπεριγράφου καὶ περιγεγραμμένης. Τοῦ μέντοι γε προκειμένου ἀνδρὸς, ὡς τὸ ἐπίσημον ἐπ' εὐσεβείᾳ ἔχοντος, ὁ ἱερὸς Κύριλλος κατὰ τὴν [435 H.] ἱερὰν γ' σύνοδον παρήγαγε μαρτυρίας [99] κατὰ Νεστορίου. Καὶ μὴν καὶ Πρόκλος ὁ Κωνσταντινουπόλεως καὶ Κυριακὸς ὁ τῆς Πάφου ἐπίσκοπος, εἰς ὢν τῶν τιη' ἁγίων Πατέρων, τὰ αὐτά φησιν, ὁ μὲν ἐν Πουλχεριαναῖς μετὰ τὸ γενέθλιον, ὁ δὲ ἐν τῷ Εἰς τὰ Θεοφάνια λόγῳ. Ὁ αὐτὸς δὲ καὶ ἐν τῷ Περὶ ἐνανθρωπήσεως [1] τὰ αὐτὰ λέγει· ἀλλά γε δὴ καὶ ὁ Χρυσόστομος ἐν τῷ Περὶ τῆς ἀναλήψεως λόγῳ. Καὶ ὁ Γρηγόριος δὲ [2] ὁ Νύσσης ἐν τοῖς Κατ' Εὐνομίου ταῦτά φησι, Τί τὸ τῆς δόξης ἀπαύγασμα; τί τὸ τοῖς ἥλοις καταπειρόμενον; ποία μορφὴ ἐπὶ τοῦ πάθους ῥαπίζεται, καὶ ποία ἐξ Ἅδου δοξάζεται; Οὕτω μὲν οὖν [οὕνω] σύμφωνοι πανταχοῦ τῇ τε ἁγίᾳ συνόδῳ καὶ τῷ ἱερῷ ἀνδρὶ Δέοντι καὶ ὁ προγενέστερος ἅπας τῶν ἁγίων χορός.

Sed impudens hæresis rursum contra hunc blaterat, ubi dicit: *Aliud est quod miraculis coruscat, aliud quod injuriis succumbit*, filiorum dualitatem adducit et personarum. Et si dixerit: *Miraculis coruscat et aliud injuriis succumbit*, prætextum habet. Etsi igitur figura sit opinio, quia hoc omnino non dicit, sed aliud quidem miraculis coruscare, aliud vero injuriis succumbere, utraque ejusdem esse dicit, et passionem et miracula, quomodo impietatis **265***a* occasionem præbuit? hoc et alii Patres docuerunt. Gregorius Nyssenus libro *Contra Eunomium*, neque quibus magis hæresis ventilatur, neque his uti accusata est. Non enim neutro, sed contra vocem masculinum sermonem instituit. Dicit enim: *Quis lassus e via et quis sine labore totum mundum substituens Verbo?* Per continuationem: *Quid gloriæ splendor, quid clavis confixum?* Hæc clara sunt, inquit, licet nullus explicet.

Ἀλλ' ἡ αἵρεσις πάλιν ἀναισχυντοῦσα κατὰ τοῦ ἱεροῦ Λέοντός [3] φησιν ἐν τῷ εἰπεῖν αὐτὸν τὸ μὲν αὐτοῦ [4] διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν υἱῶν δυάδα συνεισάγει καὶ ὑποστάσεων. Καίτοι εἰ, Ὁ μὲν, ἔφη, διαλάμπει τοῖς θαύμασιν, ὁ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν, εἶχεν ἂν προφάσεως [5] κἂν γοῦν σχῆμα ἡ λαβή· ὅτε [6] δὲ τοῦτο μὲν παντελῶς οὐ λέγει, ἀλλὰ τὸ μὲν αὐτοῦ διαλάμπειν τοῖς θαύμασι, τὸ δὲ ὑποκεῖσθαι ταῖς ὕβρεσι, τοῦ αὐτοῦ εἶναι λέγων ἀμφότερα, τὰ τε πάθη καὶ τὰ θαύματα, πῶς ἂν ἀσεβείας τινὸς λαβὴν παράσχοι; τὸ αὐτὸ δὲ καὶ πάντες οἱ Πατέρες ἡμῶν ἐκδιδάσκουσιν. Ὁ δέ γε Νύσσης Γρηγόριος [ἐν τῷ] κατ' Εὐνομίου γράφων οὐδ' οἷς μᾶλλον ἀνασοβεῖται ἡ αἵρεσις, οὐδὲ τούτοις χρήσασθαι παρητήσατο. Οὐ γὰρ κατὰ τὸ οὐδέτερον, ἀλλὰ κατὰ τῆς φωνῆς τὸ ἀρρενικὸν προάγει [7] τὸν λόγον. Λέγει γὰρ, Τίς ὁ κοπιάσας ἐκ τῆς ὁδοιπορίας, καὶ τίς ὁ ἀπόνως ὅλον τὸν πόσμον ὑποστήσας τῷ λόγῳ; Καὶ [8] κατὰ συνέχειαν, Τί τὸ τῆς δόξης ἀπαύγασμα, καὶ τί τὸ τοῖς ἥλοις καταπειρόμενον; φανερὰ γὰρ ταῦτα, φησι, κἂν μή τις ἑρμηνεύσῃ τῷ λόγῳ.

Iterum irridentbeatum Leonem, sic dicentem: *Quod quemadmodum Verbum ab æqualitate a Patris gloria est inseparabile, sic et corpus naturam nostram non reliquit.* Et quid hæc differunt ab eo, quem dicimus esse nobis similem secundum humanitatem et Patri per divinitatem? Quod soli Eutychi non placet, et asseclis ejus. Sed et Leo prædictis hæc addit: *Unus enim et idem vere est Filius Dei, et vere*

Πάλιν δὲ διασύρουσι τὸν ἐν ἁγίοις Λεοντα φάμενον οὕτως, ὅτι Καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ Πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν. Καὶ τί διαφέρει ταῦτα τοῦ λέγειν ὁμοούσιον ἡμῖν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα καὶ ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα; ὃ τῷ Εὐτυχεῖ μόνῳ [9] οὐκ ἀρέσκει καὶ ὅσοι τῆς ἐκείνου μανίας ὑπόδικοι.

VARIÆ LECTIONES.

[97] κατ' οὐσίαν ἴσος add. A. [98] ὥστε] malim. ὡς δὲ. [99] μαρτυρίας om. pr. A. [1] ἐνανθρ. λόγῳ τὰ ς. [2] δε et mox τε add. A. [3] κατὰ τοῦ ἱεροῦ λεόντός A: καὶ κατὰ τοῦ ἱεροῦ λέγεται ς. [4] αὐτοῦ corr. A: αὐτῶν ς. [5] προφάσεις ς. [6] ὅτε] libri ὅτι. [7] προσάγει ς. [8] καὶ add. A. [9] μόνον A.

Καίτοι ὁ ἐν ὁσίοις Λέων τοῖς εἰρημένοις ἐπιφέρει, Εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς Υἱός τε Θεοῦ [10] καὶ ἀληθῶς Υἱὸς ἀνθρώπου ὑπάρχει. Ὃ πᾶσαν ἀσεβούντων ἰσχὺν ἄμαχον ἔχει καταισχῦναι κακόνοιαν.

[829 R.] Ταῦτα μὲν οὖν παρὰ τῶν αἱρετικῶν προτεινόμενα πρὸς λαβὴν [11] τῆς εὐσεβείας γενναίως ὁ ἐν ἁγίοις Ἐφραίμιος ἀπελύσατο. Τίθησι δὲ καὶ αὐτὸς οἰκοθεν τοῦ αὐτοῦ τόμου ῥήματα, ἐν οἷς τοῦ ἀρχιερέως αὐτοῦ τῆς εὐσεβείας ἐξαστράπτει τὸ κήρυγμα, καὶ οὐδ' ἡ ἀναίσχυντος τῶν [436 H.] ἀσεβούντων τόλμα ἐπιλαβέσθαι τινὸς τούτων οὐμενοῦν οὐδαμῶς ἀπηναισχύντησεν. Ὧν ἐκ πολλῶν ἐστὶν ἓν καὶ τὸ, Ὁ ἀπαθὴς Θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. Ἀναθεματίζει δὲ τρανῶς ἡ σύνοδος καὶ Νεστόριον διὰ τοῦ αὐτοῦ Λέοντος, οὕτω λέγουσα, Ἀναθεματιζέσθω Νεστόριος ὁ τὴν μακαρίαν οὐχὶ τοῦ Θεοῦ, ἀνθρώπου δὲ μόνον πιστεύων εἶναι μητέρα, ἵνα τῆς μὲν σαρκὸς ἄλλο τῆς δὲ θεότητος ἄλλο πρόσωπον ἀπεργάσηται [12]. Πῶς οὖν τὰ Νεστορίου φρονεῖ ὁ Νεστόριον καὶ τὰ αὐτοῦ δόγματα οὕτω καταδικάζων;

Filius hominis, quod omnes vires impiorum imbelles potest confundere.

Hæc quidem contra hæreticos pietatem defendens Ephræmius adducit; ponit et idem proprii libri verba, in quibus archiepiscopi illius pietatis illustrat præconium, et neque impudens impiorum audacia aliquid horum apprehendere erubescit, quorum e multis hoc verum est, *Deus impassibilis homo passibilis fieri non dedignatus est, et immortalis subjicere se mortis legibus.* Excommunicat clare per Leonem sanctum concilium Nestorium hoc modo: *Exsecratus sit Nestorius, qui sacram Virginem non Dei, sed hominis modo matrem esse contendit: ut carnis aliam, aliam divinitatis personam statuat.* Quomodo igitur cum Nestorio sentit, cum ejus dogmata condemnet?

Πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν δ' σύνοδον, λέγοντες ὡς ἐδογμάτισε μηδενὶ ἐξεῖναι προφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν πίστιν ἑτέραν παρ' ἣν ἐξέθετο αὐτή. Καίτοι οὐ τοῦτο ἡ σύνοδος διωρίσατο, κἂν ἀναισχύντως οὗτοι καταψεύδωνται [13]. ἀλλὰ τὴν πίστιν ἣν οἱ τι' καὶ η' [14] ἅγιοι Πατέρες ἐξέθεντο τιμῶσά τε καὶ θειάζουσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν, καὶ τὰ ὑπόλοιπα. Δῆλον δὲ ἐστιν ἐξ αὐτῶν [15] μάλιστα τῶν συνοδικῶν φωνῶν, ὧν καὶ μόνον ἀναγινωσκομένων οὐδεμιᾶς ἄλλης δεῖσθαι [16] κατασκευῆς ἢ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. Καὶ οὐχ ὥρισε μὲν τοῦτο, ἔπραξε δὲ ἄλλως, ἀλλ' ὡς ὥρισεν, οὕτω πανταχοῦ καὶ διαπραττομένη γνωρίζεται· καὶ γὰρ τοὺς τῇ εὐσεβείᾳ προσιόντας οὐκ ἄλλο σύμβολον, ἀλλὰ τῶν τιη' ἁγίων Πατέρων ἐκδιδάσκει καὶ παραδίδωσιν.

Ecce iterum quartam synodum hæretici calumniantur, dicentes eam docuisse non licere proferre, vel scribere, vel componere, vel sentire aliam fidem, præter eam quam ea reposuit; et tamen id synodus non decrevit, quamvis impudentissime id hæretici mentiantur: sed **265***b* eam fidem quam trecenti octodecim Patres asseruerunt observans et confirmans, præterquam quod dixit nemini licere aliam fidem proferre, et quæ sequuntur. Ex his omnibus synodi vocibus quas solum oportet legere, maxime manifestum, non alia præparatione vel probatione veritatem receptam indigere, nec aliud definire, aliud facere; sed ut decrevit sic ubique et fecisse cognoscitur, neve etiam pios aliud symbolum profiteri, quam 318 Patres docuerunt et tradiderunt.

Γέλωτα δὲ μᾶλλον καθ' ἑαυτῶν ἢ διαβολὴν τῆς συνόδου καταχέουσιν, ἐν οἷς φασιν αὐτὴν πολλῶν διασύρεσθαι. Πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι, καὶ τότε ἀρχιερέων οὖσαι πλήρωμα; τὴν δὲ τῶν ρ' οὐδ' εἰ γέγονε τινὲς τῶν Αἰγυπτίων εἰδέναι ἠθέλησαν. Ἀλλ' ἐάσωμεν [17] τὸ ἀλόγιστον.

Sed rident eos hæretici, ubi dicunt hanc ab omnibus infestari. Quot enim synodi contra primam generalem contradixerunt, quæ et archiepiscopos habuerunt; illam vero centum et quinquaginta Patrum, si non fuit, quidam Ægyptii scire voluerunt, sed permittatur illis stupiditas.

Ἐπεὶ δὲ χρῆσίν τινα τοῦ Ἰουλίου Ῥώμης οἱ πρὸς οὓς ἔγραφεν ὑπὲρ [18] τῆς ἰδίας δυσσεβείας (ὡς ἐνόμιζον) προεκόμισαν [19], τὴν μὲν χρῆσιν ὁ σοφὸς συγγραφεὺς ἐπεδείξατο κατά τε τοῦ Σαμωσατέως Παύλου καὶ τῆς Νεστοριανῆς δευτέρας αἱρέσεως εἰρῆσθαι, καὶ κωλύειν τὰς δύο φύσεις ἰδικῶς καὶ ἀνὰ μέρος φρονεῖν, ὥσπερ καὶ δύο ὑποστάσεις καὶ πρόσωπα καὶ υἱούς. Καὶ γὰρ ἡ μία φύσις ἐπὶ Χριστοῦ τῷ Ἰουλίῳ ἐνταῦθα ἀντὶ τῆς ὑποστάσεως εἴληπται, καὶ οὐδὲν οὔτε τῇ ἀληθείᾳ οὔτε τοῖς ἄλλοις θεοφόροις ἡμῶν Πατράσιν ἀπομάχεται. Καὶ δῆλον τοῦτο ποιεῖ

Cum vero aliquod verbum Julii pontificis, ad quos de propria impietate scripserat, ut putabant prolatum: sapiens ille vir id contra Paulum Samosatensem, secundamque Nestorii hæresim prolatum esse declaravit, et duas naturas seorsim et divisim confiteri prohibere, ut et duas hypostases, duasque personas et filios. Una enim natura in Christo pro hypostasi a Julio relicta est, verumtamen neque veritati, neque sanctis Patribus contradicit. Clare idem ostendit Julius pontifex contra Marcionem, Valentinum, Apollinarium, et Euty-

VARIÆ LECTIONES.

[10] τε τοῦ Θεοῦ ς. [11] πρὸς λαβὴν A : προσλαβὼν ς. [12] ἀπεργάζηται ς. [13] καταψεύδονται ς. [14] τι. καὶ η' A : τιη' καὶ οἱ ς. [15] μάλιστα ἐξ αὐτῶν ς. [16] δεῖται Scaliger. [17] ἐάσθω μὲν τὸ ς. [18] ὑπὲρ mg. : libri ὑπό. [19] προσεκόμισαν A.

chem, sacris tela verbis jaculans. Sic enim in *Oratione de consubstantialitate* scriptum reliquit: *Unde necessario, et corporeum universe et divinum universe dici, et qui non potest in unitis differentiis cognosci, quid erit proprium utrique, dissonis repugnantiis concidit: qui vero propria cognoscit, unionemque custodit, neque naturas mentitur, neque ignorare unionem posset.* Quibus perspicue patet, quomodo sanctus Julius duas naturas fateatur; nam naturam prædictis verbis pro hypostasi accepit.

Reprehendit enim alia non pauca absurda, quæ ii contra quos scripsit sanctus Ephræmius suæ epistolæ inseruerunt, plena esse impietatis ostendens. **266***a* Illud vero mirum videri queat, quæ prædixit Cyrillus, eadem iterum a concilio pronuntiari; ut illud, inquam: *Nusquam sublata naturarum differentia per unionem.* Et iterum hoc: *Concurrentibus naturis in unam personam et in unam hypostasin.* Hæc sunt quæ in Cyrillo infesti calumniantur.

Hæc vir Dei Ephræm exsequitur. Apponit vero epistolas sancti Simeonis, qui in seditione Cionensi occubuit, et Baradati ad Basilium Antiochiæ episcopum missas; item ad Leonem imperatorem, **266***b* horum utriusque proprie ad alterum duorum secundum unam scripta. Jacobi enim una et ipsa ad sanctissimum Basilium mittitur. Omnes enim candido et simplici stylo conscriptæ, sancto vero Spiritu plenæ et sacra doctrina. Similiter prædicant Chalcedonensem synodum in sacris hisce dogmatibus constanter manere, communi scriptorum testimonio, et qui eas suscipiunt amare ac prædicare, quæ in ea decreta sunt, consolationem admonitionemque continentes.

CCXXX.

Beati Eulogii archiepiscopi Alexandriæ orationes XI.

267*a* Legi sancti Eulogii archiepiscopi Alexandriæ orationum undecim volumen. Prima Romanum pontificem cui inscripsit, appellat; qui a scriptore synodicam accepit epistolam, deesse autem illam ostendit, quod quatuor synodorum appellationes neque verbo probarit, neque hic inseruit, neque numerum uniuscujusque synodi significarit, nec sancti Leonis epistolæ ad verbum mentionem faciat. Sed neque Eutyches, neque Dioscorus, neque Severus anathemati traditi sunt. Et quia hoc verbum, *in duobus*, obscurius quam par erat, denuntiatum est. Hæc erant quæ illæ synodum re-

ὁ θεῖος Ἰούλιος κατὰ Μαρκίωνος καὶ Οὐαλεντίνου καὶ Ἀπολιναρίου καὶ Εὐτυχέως διὰ τῶν ἱερῶν αὐτοῦ φωνῶν τὸ βέλος ἀφείς. Ἔφη γὰρ ἐν τῷ λόγῳ τῷ περὶ τοῦ [20] ὁμοουσίου, Ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθόλου καὶ τὸ θεϊκὸν καθόλου λέγεσθαι. Καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι τί τὸ ἴδιον ἑκατέρου, ἐναντιώμασιν ἀσυμφώνοις περιπεσεῖται· ὁ δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕνωσιν φυλάττων οὔτε τὰς φύσεις ψεύδεται οὔτε τὴν ἕνωσιν. Ὥστε φανερὸν ὡς ὁ θαυμαστὸς [12] Ἰούλιος τὰς δύο φύσεις ἀνομολογῶν, τὴν μίαν [437 H.] φύσιν ἐν τῷ προτεθέντι ῥητῷ ἀντὶ τῆς ὑποστάσεως παρέλαβεν.

Ἐλέγχει δὲ καὶ ἕτερά τινα οὐκ ὀλίγα ἄτοπα [832 R.] ἃ οἱ [22] πρὸς οὓς ἀντέγραφεν [23] ὁ φιλόθεος Ἐφραίμιος τῇ οἰκείᾳ ἐντεθείκασιν ἐπιστολῇ, δεικνὺς αὐτὰ δυσσεβείας γέμοντα. Ἐκεῖνο δέ ἐστι θαυμάζειν ἄξιον, ὅτι ἃ Κύριλλος μὲν προεῖπεν, ἐκεῖ [24] δὲ ἡ σύνοδος λαβοῦσα προήνεγκε (λέγω δὴ τὸ Οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, καὶ πάλιν τὸ, Συντρεχουσῶν τῶν φύσεων εἰς ἓν πρόσωπον καὶ μιαν ὑπόστασιν), ταῦτα οἱ ἐπὶ Κυρίλλῳ σεμνυνόμενοι διασύρουσιν.

Ἀλλὰ γὰρ ταῦτα διελθὼν ὁ θεοφιλὴς Ἐφραίμιος παρατίθησιν ἐπιστολὰς τοῦ τε ἐν ἁγίοις Συμεῶνος, τοῦ τὴν ἐν τῷ κίονι στάσιν ἀθλήσαντος, καὶ Βαραδάτου πρὸς Βασίλειος τὸν [25] ἐπίσκοπον Ἀντιοχείας ἐπεσταλμένας καὶ δὴ καὶ πρὸς Λέοντα τὸν βασιλέα, ἑκατέρου [26] τούτων ἰδίᾳ [27] πρὸς ἑκάτερον τοῖν δυοῖν ἀνὰ μιᾶς [28] γεγραμμένης. Τοῦ μέντοι γε Ἰακώβου μία καὶ αὐτὴ πρὸς τὸν αὐτὸν [29] εὐσεβέστατον ἐγράφη βασιλέα [30]. Ἅπασαι δὲ ἀφελεῖ μὲν συντέθεινται καὶ ἁπλῷ λόγῳ, Πνεύματος δὲ πεπλήρωνται καὶ τῆς ἱερᾶς ἡμῶν σοφίας. Πρεσβεύουσι δ' ὁμοίως τὴν ἐν Καλχηδόνι σύνοδον, ἐν τοῖς εὐσεβεστάτοις ταύτης δόγμασι διαμένειν τοὺς γεγραφότας ἀνομολογοῦσαι, καὶ τοὺς δεχομένους αὐτὰς στέργειν καὶ κηρύσσειν τὰ ἐν τῇ ὁσίᾳ σπουδῇ δογματισθέντα παράκλησίν τε καὶ παραίνεσιν συνεισάγουσαι [31].

ΣΛ'.

Εὐλογίου πάπα Ἀλεξανδρείας λόγοι ια'.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις Εὐλογίου βίβλος πληρουμένη λόγοις ια' [32]. Τούτων ὁ α' Ῥώμης ἀρχιερέα ἔλεγε πρὸς ὃν ἔγραψεν· ὃς ἐδέξατο μὲν [33] παρὰ τοῦ συγγραφέως ἐπιστολὴν συνοδικήν, ἐνδεῖν δὲ αὐτὴν ἀντεδήλωσεν, ὅτι μήτε τῶν τεσσάρων συνόδων τὰς προσηγορίας ῥήματι εἶπε, μηδ' ἔνθα συνέστησαν, ἀλλὰ μηδὲ τοῦ πλήθους τὸν ἀριθμὸν ἑκάστης ἐσήμηνε· καὶ ὅτι οὐδ' ἡ τοῦ ἐν ἁγίοις Λέοντος ἐπιστολὴ ἐπὶ λέξεως μνήμης ἔτυχεν, ἀλλὰ μηδ' Εὐτυχὴς μηδὲ Διόσκορος μηδὲ Σεβῆρος ἀναθέματι [34] παρεδόθησαν. Καὶ ὅτι ἡ [35] ἐν δύο φωνὴ ἀμυδρότερον ἢ ὅσον ἐχρῆν ἀπηγγέλλετο. Ἃ μὲν ὁ τὰ συνοδικὰ δεξάμενος

VARIÆ LECTIONES.

[20] τοῦ add. A. [21] θαυμάσιος ς. [22] οἱ add. A. [23] ἀντέγραψεν ς. [24] ἐκεῖ] ἐκεῖνα A, ἐκεῖθεν mg. [25] τὸν add. A. [26] an ἑκατέρῳ? [27] ἰδίῳ ς. [28] ἀνὰ μιᾶς A : ἀνανίας ς. [29] αὐτὸν add. A. [30] βασιλέα A : Βασιλειὸν ς. [31] post συνεισάγουσαι in A vacui versus quatuor et pagina una. [32] Quæ post Εὐλογίου in ς addantur, οὗτος πατριάρχης ἦν Ἀλεξανδρείας, omisi cum AC. [33] μὲν om. A. [34] Σεβ. τῷ ἀναθ. ς. [35] ὅτι ἡ διότι ἡ A, ὅτι ὁ ς.

ἠτιᾶτο, ταῦτα ἦν· ὁ μέντοι γε θεοφιλὴς ἀνὴρ λόγον ὑπὲρ ὧν ἠτιάθη διδοὺς, πρῶτον μὲν περιειλῆφθαι πάντα φησὶν ἐπὶ κεφαλαίων τοῖς συνοδικοῖς ἃ ἔδοξε παραλελεῖφθαι, πλὴν πλατύτερον καὶ νῦν εἰπεῖν περὶ αὐτῶν μηδένα λαθεῖν ὄκνον, Τοῦτο δὲ σπουδαίως [36] τε καὶ θεοφρόνως ἐπιτελῶν εἰς τὸ ἄριστόν τε καὶ τελεώτατον τά τε ἄλλα καὶ τὴν περὶ τῆς πίστεως ἱερὰν ἡμῶν ὁμολογίαν διατίθησιν, ἐμφιλοχωρῶν μάλιστα τῇ κατὰ τὴν οἰκονομίαν ἱερολογίᾳ, ἐν ᾗ τῶν τε δύο φύσεων ἀδιαίρετόν τε καὶ ἀσύγχυτον τὴν καθ' ὑπόστασιν ἕνωσιν ὑμνεῖ, καὶ τὰς ἑκατέρωθεν αἱρετικὰς παραφυάδας τῇ μαχαίρᾳ τέμνει τῆς ἀληθείας. Κέχρηται δὲ καὶ τῇ λέξει τῆς κράσεως εὐσεβῶς μὲν, πλὴν κέχρηται, μὴ κατὰ τὸν ἄνουν Ἀπολινάριον τῇ φωνῇ κεχρῆσθαι διαμαρτυρόμενος, μὴ μέντοι γε μηδὲ κατὰ τὸν δυσσεβῆ Εὐτυχῆ, ἀλλ' ὡς ὁ τῆς εὐσεβείας νόμος βούλεται, ἅτε δὴ ἕνα τὸν [438 H.] Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τρανολογεῖν ἐν δύο φύσεσιν ἀδιαιρέτοις τε καὶ ἀσυγχύτοις εἰδὼς, ἐν τελείᾳ θεότητι καὶ τελείᾳ ἀνθρωπότητι, οὔτε τῆς κράσεως σύγχυσιν αὐτῷ δηλούσης, οὔτε τῆς ἐν δύο φωνῆς διαίρεσιν παρεισαγούσης. [833 R.] Τούτοις δὲ καὶ Ἀθανάσιον καὶ Κύριλλον συμβαίνειν ὑπαγορεύει, οἷς καὶ [37] αὐτοὶ διωμολόγησαν μίαν φύσιν τοῦ Θεοῦ [38] Λόγον σεσαρκωμένην· ἐν ᾧ γὰρ ἔφησαν σεσαρκωμένην, τὴν προσληφθεῖσαν ἀνεκήρυξαν φύσιν. Ταῦτα διελθὼν, καὶ ὡς καὶ ἐν ἄλλοις αὐτοῦ πόνοις γυμνάζει τὴν προκειμένην φωνὴν ἐπισημηνάμενος, τριπλῇ φησι μερίζεσθαι [39] διανοίᾳ τὴν παροῦσαν χρῆσιν [40]. Καὶ γὰρ τὸ σεσαρκωμένη ἢ ἀντὶ τοῦ, σαρκὶ ἐσχηματισμένη καὶ οἷον εἰδοποιηθεῖσα, ὥσπερ ὁ χαλκοῦς τῇ μορφῇ τοῦ ἀνδριάντος, ἐκληφθείη ἄν. ἢ ὅτι εἰς σάρκα τῆς τοῦ Λόγου φύσεως τραπείσης καὶ οἷον ἀποσαρκωθείσης μία προῆλθεν ἡ φύσις· ἢ ὅτι μία οὖσα ἡ τοῦ Λόγου φύσις κατὰ τὴν οἰκονομίαν οὐκέτι μία μόνη ἀλλὰ καὶ μετὰ σαρκὸς θεωρεῖται, τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἑαυτῇ τε καὶ τῇ προσληφθείσῃ σαρκὶ διασώζουσα. Αἱ μὲν οὖν πρῶται δύο ὑπολήψεις Ἀπολινάριόν ἴσασι καὶ Εὐτυχέα· ἡ δὲ τρίτη δόξα τοῦ κηρύγματός ἐστι τῶν ἀποστόλων, ἣν καὶ ὁ τῶν μακαρίων ἡμῶν Πατέρων [41] χορὸς ἐκεῖθεν μαθὼν συνετήρησεν. Καὶ δῆλον ὡς, εἴ τις εὐσεβεῖν ἐθέλοι [42] ἐν τῷ λέγειν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, τὸ αὐτὸ φρονεῖν ἂν χαριτωθείη τοῖς δύο φύσεις ἀδιαιρέτους καὶ ἀσυγχύτους ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ θεωροῦσι τε καὶ δοξάζουσιν· εἰ δὲ μὴ, πρὸς Ἀπολινάριον ἢ [43] Εὐτυχέα πάντως δραμεῖται. Καὶ γὰρ ἐνταῦθα τὴν μίαν μὲν φύσιν ἀντὶ τῆς ὑποστάσεως εἰρῆσθαι, τὸ δὲ σεσαρκωμένην ἀντὶ τῆς ἀνθρωπίνης φύσεως, ὡς μηδὲν διαφωνεῖν τὸν λέγοντα μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην ἢ μίαν ὑπόστασιν τοῦ Λόγου ἀνθρωπίνην φύσιν ἀναλαβοῦσαν· διὸ καὶ οἱ Πατέρες ἡμῶν ἐπεξηγούμενοι τὴν φωνὴν ἐπάγουσιν, Οὐκ ἀνῃρημένης τῆς τῶν φύσεων διαφορᾶς διὰ [44] τὴν ἕνωσιν, σωζομένης δὲ

A cipiens accusabat : sanctus vero vir eorum de quibus accusabatur, rationem reddens, primo quidem comprehensa esse capitibus omnia synodalibus ait, quæ, ut recipiantur, digna visa sunt. Verum de his pluribus agere non piget. Hoc vero studiose et pie ad optimum ac perfectissimum exitum adducens ; cum alia, tum sacram fidei nostræ addit confessionem, maximæ inhærens sententiæ de incarnatione Domini. In qua indivisam et impermistam hypostascos duarum naturarum unionem profitetur, et utrinque natas hæreses gladio dissecat veritatis. Utitur autem verbo mistionis pie quidem, sed non utitur secundum insanum Apollinarium, quomodo hac voce sit utendum testiatus, neque secundum audacem Eutychem, sed B ut lex pictatis permittit : ut qui nosset unum Filium Dominum nostrum Jesum Christum declarare, duabus naturis indivisis et inconfusis constare in perfecta humanitate et perfecta divinitate : ut permistio secundum illum confusionem non significet, neque inducat divisionem vocis ἐν δύο. Eadem autem sentire Athanasium et Cyrillum prædicat, qui unam verbi naturam incarnatam confessi sunt. Cum enim *incarnatam* dixerunt, assumptam naturam prædicarunt. In his pergens, ut et in aliis ejus scriptis contendit super hac voce, tribus ostendens modis capi posse vocem *incarnatam*. Etenim *incarnata*, pro carnem induta, et veluti effigie conformata, quæmadmodum **267** *b* æs simulacri forma, C sumi possit ; vel quod conversa verbi natura in carnem, et quasi incarnata una prodiit natura : vel quod una exsistens Verbi natura, secundum incarnationem non amplius una sola, sed cum carne spectetur ; incommutabilitatem atque integritatem sibi et assumptæ carni conservans. Primæ itaque duæ significationes Apollinarii et Eutychis, tertia vero ex mente apostolorum est, quam et sanctorum Patrum nostrorum cœtus inde mutuatus retinuit. Clarum vero est, si quis pie sentire velit, dicendo unam Verbi naturam incarnatam, gratiam adepturum, sentiendo cum iis qui duas naturas inconfusas atque impermistas in uno et eodem Christo esse et cognoscunt, et statuunt. Alioqui cum Apollinario et Eutyche sentit. Etenim unam hic naturam pro D persona dictam esse, Incarnatam vero pro humana natura : ut nihil intersit dicere unam Verbi naturam incarnatam, vel unam Verbi personam humanam assumpsisse naturam. Quamobrem Patres nostri hanc vocem explanantes adducunt : *Non sublata naturarum differentia per unionem, sed potius utraque conservata in proprio naturæ termino et verbo, in uno eodemque Christo Jesu Deo nostro.* Quare si conservata cognoscantur, cognita prædicentur, et quæ prædicantur, et numerentur : perspi-

VARIÆ LECTIONES.

[36] δὲ σπουδαίως τε A : τε σπουδαίως ς. [37] καὶ post οἷς. [38] Θεοῦ et mox καὶ add. A. [39] διαμερίζεσθαι ς. [40] χρῆσιν] τὸ σεσαρκωμένην addit mg. A cum ς. [41] πατέρων ἡμῶν ς. [42] ἐθέλει ς. [43] ἢ A : καὶ ς. [44] διὰ καὶ A, καὶ μετὰ rc. A.

cuum est pie dicendo unam Verbi naturam incarnatam, et illud, duas naturas in unione hypostatica indivisas, nullam differentiam piis afferre. His ac similibus prima absolvitur oratio.

A μᾶλλον ἑκατέρας ἐν τῷ ἰδίῳ τῆς φύσεως ὅρῳ τε καὶ λόγῳ, ἐν τῷ αὐτῷ καὶ ἑνὶ Χριστῷ τῷ Θεῷ ἡμῶν. Ὥστε εἰ τὰ σωζόμενα μὲν θεωρεῖται, τα δὲ [45] Θεωρούμενα ὁμολολεῖται, ἃ δὲ ὁμολογεῖται, καὶ ἀριθμεῖται, φανερὸν ὅτι τὸ λέγειν εὐσεβῶς μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, καὶ τὸ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει, διαφορὰν οὐδεμίαν εἰς τὸν τῆς εὐσεβείας ἐμποιεῖ λόγον. Ταῦτα καὶ τοιαῦτα ἕτερα εἰπὼν περατοῖ τὸν α' λόγον.

Secunda *dogmatica* inscribitur, quæ fidei expositionem continet, quæ pie et sincere de veritate sentit, et hæc de incarnato Christo eodem modo prosequitur, compendiosius hæc quam supra exsequens, nihil tamen accurationis omittens, et hæc percurrens in admonitionem desinit, et eos qui ab Ecclesia se segregarunt, ad communem consensionem revocare conatur. Hoc libro ait, earum quæ in Ecclesia sunt a Verbi ministris traditæ doctrinæ, quædam dogmata sunt, quædam præconia et differentia : dogmata **268***a* cum occultatione et sapientia declarantur, et obscurirati sæpe de industria involvuntur, ne profanis sint sancta exposita, et margaritæ porcis objiciantur : præconia sine ulla obscuritate dicuntur, et ea præsertim quæ de præceptorum et divinæ reverentiæ observatione tractant. Esse præterea dogmata quædam obscuriora, quæ omnino, ut ita dixerim, tacentur: solis vero illis mystice tradita, qui fideles habent spiritualem sapientiam per Verbum vivum. Præterea distinctionem eorum, quæ de Christo dicuntur, facit, quædam revera et proprie dicta asserens: alia per transumptionem. Capiuntur enim a nobis, quemadmodum ipse caput sit omnium, quæ a nobis dicuntur, peccatum, maledictum, et si qua similia. Ait enim Apostolus : *Qui non noverat peccatum, pro nobis peccatum fecit* [r]. Et iterum: *Christus nos redemit a maledicto legis, factus pro nobis maledictum* [s]. Sic et inobedientiam nostram et ignorantiam, ut caput integri corporis suscepisse. Et illud, *Deus meus, Deus meus, utquid dereliquisti me?* per ineffabilem amorem, nostra tanquam sua assumpsit.

Ὁ δὲ β' ἐπιγράφεται μὲν δογματικὸς, ἔκθεσιν δὲ καὶ οὗτος ἀπαγγέλλει πίστεως· ἐν ᾗ τὴν τε Τριάδα εὐσεβοφρόνως θεολογεῖ καὶ τὰ περὶ τὴν οἰκονομίαν ὁμοίως διέξεισι, συνοπτικώτερον μὲν ἢ ἐν τῷ προτεταγμένῳ ταῦτα διεξιών, οὐδὲν μέντοι τῆς ἀκριβείας καθυφιείς. Καὶ ταῦτα διαδραμὼν εἰς παραίνεσιν περαίνει τὴν σπουδὴν, δι' ἧς τοὺς τῆς Ἐκκλησίας [439 H]. ἀποφοιτῶντας τὴν κοινὴν ὁμόνοιαν ἀσπάσασθαι παρακαλτῖ. Ἐν τούτῳ τῷ λόγῳ φησὶν ὡς τῶν ἐν τῇ Ἐκκλησιᾳ παραδιδομένων [46] ὑπὸ των ὑπηρετῶν τοῦ Λόγου διδαγμάτων τὰ μέν ἐστι δόγματα, τά δὲ κηρύγματα. Καὶ ἡ διαφορὰ, τὰ μὲν δόγματα μετ' ἐπικρύψεως καὶ σοφίας ἀπαγγέλλεται, καὶ τὴν ἀσάφειαν πολλάκις ἐξεπίτηδες περιβάλλεται, ὡς ἂν μὴ βεβήλοις εἶεν τὰ ἅγια ἔκθετα καὶ οἱ μαργαρῖται τοῖς χοίροις προκείμενοι, τὰ δὲ κηρύγματα χωρὶς τινος ἐπικρύψεως ἀπαγγέλλεται, καὶ μάλιστα ὅσα εἰς λόγον ἐντολῶν καὶ θείου φόβου συντήρησιν ἀναφέρεται. Εἶναι δὲ καὶ τῶν δογμάτων ἔτι τινὰ μυστικώτερα, ἃ παντελῶς ὡς τὸ ἔπος φάναι σεσίγηται, ἐκείνοις δὲ μόνοις μυστικῶς παραδέδοται, οἳ [47] διὰ Λόγου ζῶντος ἔχουσι πνευματικὴν σοφίαν πιστοῖς [48] ταῦτα παρατίθεσθαι [49]. Ἔτι δὲ διαστολὴν τῶν ἐπὶ Χριστοῦ λεγομένων ποιεῖται, τὰ μὲν ἀληθῶς καὶ κυρίως ὑποτιθέμενος λέγεσθαι, τὰ δὲ κατὰ ἀναφοράν. Ἀναφέρεται γὰρ ἀφ' ἡμῶν, ὡς κεφαλῆς ἐκείνου πάντων ἡμῶν ἀνασχομένου [836 R.] γενέσθαι, ἥ τε ἁμαρτία καὶ ἡ κατάρα καὶ ὅσα παραπλήσια. Λέγει γὰρ ὁ Ἀπόστολος, Τὸν μὴ [50] γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε · καὶ πάλιν, Χριστὸς [51] ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Οὕτω δὲ καὶ τὸ ἀνυπότακτον ἡμῶν καὶ τὴν ἄγνοιαν, ὡς κεφαλὴν τοῦ ὅλου σώματος, ἀναδέχεσθαι, καὶ τὸ, Θεέ μου, Θεέ μου, ἵνα τι με ἐγκατέλιπες ; Δι' ἄφατον φιλανθρωπίαν ὡς ἑαυτοῦ τὰ ἡμέτερα οἰκειούμενον.

Tertia oratio adversus calumniantes sanctos Patres et concilium Chalcedonense decertat. Primo vero epistolas ad Succensum a beato Cyrillo conscriptas, et quæ huc pertinere videntur dijudicat. Etenim adversarii ab hujusmodi vocibus tanquam a turre quadam adversus dogmata pietatis incurrunt. Hinc et alias calumnias refellit. Nam hæreticorum opinionem primum quidem proponit secunda epistola ad Succensum, quæ ait, dicere duas esse naturas indivisas post unionem, contrarium esse iis qui unam Verbi naturam incarnatam colunt. Contra quos veritatis patronus disserit, ut qui

Ὁ δὲ γ' λόγος κατὰ τῶν συκοφαντησάντων τοὺς ἁγίους Πατέρας καὶ τὴν ἐν Καλχηδόνι σύνοδον ἀγωνίζεται. Καὶ πρῶτον μὲν τὰς πρὸς Σούκενσον ἐπιστολὰς, αἳ τῷ μακαρίῳ Κυρίλλῳ ἐγράφησαν, καὶ ὅσα ἄλλα ταύταις συντρέχειν δοκοῦσι, διευκρινεῖ (καὶ γὰρ οἱ δι' ἐναντίας ἀπὸ τῶν τοιούτων ῥωνῶν, ὥσπερ ἀπό τινος ἀκροπόλεως, κατατρέχειν τῶν τῆς εὐσεβείας δογμάτων φρυάττονται), ἔπειτα δὲ καὶ τὰς ἄλλας συκοφαντίας ἀποσκευάζεται. Τὸ μὲν οὖν αἱρετικὸν φρόνημα πρῶτον μὲν προτείνει τῆς δευτέρας πρὸς Σούκενσον ἐπιστολῆς χρῆσιν [52], ἥτις τὸ δύο λέγειν φύσεις ἀδιαιρέτους μετὰ τὴν ἕνωσιν ἐναντίον εἶναι

[r] II Cor. v, 21. [s] Galat. III, 13. [t] Psal. XXI, 1; Matth. XXVI. 46.

VARIÆ LECTIONES.

[45] δὲ add. A. [46] παραδεδομένων A. [47] οἳ] οἷς corr. A. [48] πιστοὶ C : fortasse legendum πιστῶς. [49] παρατιθεται A. [50] τὸν μὴ] II Cor. v, 21. [51] Χριστὸς] Gal. III, 13. [52] χρῆσιν AC : χρῆσις ς.

φησι τοῖς μίαν πρεσβεύουσι τοῦ Λόγου φύσιν σεσαρκωμένην. Οἷς ἀνθυποφερων ὁ συνήγορος λέγει τῆς ἀληθείας, ὡς οἱ μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην δοξάζοντες σαφῆ μὲν βούλονται διὰ τῆς φωνῆς ποιεῖν τὴν καθ' ὑπόστασιν ἕνωσιν [53], καὶ ὡς ὁ Λόγος οὐκ ἄνθρωπον προϋπεστάντα προσέλαβεν ἀλλὰ σὰρξ ὡς ἀληθῶς γέγονεν· ἡ δὲ οὐκ ἐξαρκεῖ τοῦ μυστηρίου δεῖξαι τὸ τέλειον. Ποῦ γὰρ ἔστι διὰ τῆς φωνῆς λαβεῖν εἴτε ἔμψυχος ἦν ἡ ἀναληφθεῖσα σὰρξ ἢ μή, καὶ εἰ ἐσχημάτιστο μόνον τῇ σαρκὶ ἢ ἀληθῶς ἐπεφύκει σάρξ; πόθεν δ' ὅτι τέλεια ἢ ὅτι ἀσύγχυτα τὰ συνελθόντα μεμενήκασιν; οὐδὲν γὰρ τούτων διευκρινημένον ἔστιν ἐξ αὐτῆς εὑρεῖν. Διὰ τοῦτο γὰρ καὶ Ἀπολιναρίῳ καὶ Εὐτυχεῖ τὸ προκείμενον χωρίον περιπτύσσεται, τῷ μὲν συγχέοντι τὰ συνελθόντα, Ἀπολιναρίῳ δὲ ἄψυχον τὴν σάρκα [440 II.] φανταζομένῳ. Ἀλλὰ καὶ Μάνεντι φίλον ἡ φωνὴ, σχήματι καὶ φαντασίᾳ τὴν ἐνανθρώπησιν πλάττοντι. Οἱ μέντοι γε [54] λέγοντες δύο φύσεις ἀδιαιρέτους ἀσύγχυτα μὲν τὰ συνελθόντα φυλάττουσιν, οὐδ' οὗτοι μέντοι διὰ τῶν αὐτῶν φωνῶν τὴν καθ' ὑπόστασιν κηρύττουσιν ἕνωσιν. Δυνατὸν γὰρ πάλιν κακούργως [55] λαβεῖν τὸ ἡνωμένον, ὡς Νεστόριος, τιμῇ καὶ δόξῃ καὶ τοῖς ἄλλοις αἱρετικοῖς ἐπιτεχνάσμασιν. Διὰ τοῦτο καὶ ὁ θεῖος Κύριλλος κατὰ τὸ πέρας τῆς εἰρημένης ἐπιστολῆς, Τὸ δὲ ἀδιαίρετον, [56] ἔφη, προστεθὲν δοκεῖ μέν πως παρ' ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν, αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι. Τὸ γὰρ ἀδιαίρετον παρ' αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας καθ' ἕτερον λαμβάνεται τρόπον· φασὶ γὰρ ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ ἀδιαίρετός ἐστι τοῦ Θεοῦ Λόγου ὁ ἐν ᾧ κατῴκησεν ἄνθρωπος. Ὥστε διττὸν καὶ ὁ μέγας Κύριλλος οἶδε τὸ ἀδιαίρετον, τὸ μὲν αἱρετικῆς δόξης, τὸ δὲ οἰκεῖόν τε καὶ ὀρθοδόξου φρονήματος. Διχῇ δὲ τοῦ ἀδιαιρέτου λεγομένου, εὐλόγως ἔφησε μάχεσθαι τὸ λέγειν μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην τοῖς κατὰ Νεστόριον φάσκουσι δύο φύσεις ἀδιαιρέτους. [837 R.] Αὐτὸ δὲ τοῦτο τὸ ῥητὸν ὀρθῆς γίνεται δόξης, ἀπομεριτθὲν τῆς ὁμωνυμίας. Ἀπομερίζεται δὲ κατ' ἄλλους τρόπους, μάλιστα δὲ ἐν τῷ τὴν [57] καθ' ὑπόστασιν προσλαβεῖν ἕνωσιν· αὕτη γὰρ ἡ προσθήκη τὸ ἀκριβὲς πληροῦσα καὶ τὸν δόλον ἐλαύνει Νεστορίου καὶ τοὺς συκοφάντας τῆς εὐσεβείας καταισχύνει. Ἀτελὴς οὖν ἑκατέρα φωνὴ, ὡς ἐκ τῶν εἰρημένων δῆλον κατέστη, μὴ προσλαβοῦσα τὴν ἑτέραν, λέγω δὴ καὶ ἡ λέγουσα μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην καὶ ἡ δύο φύσεις ἀδιαιρέτους. τελειοῦται δὲ ἑκατέρα συμπλεκομένη τῇ ἑτέρᾳ [58]· ἡ μὲν γὰρ τοῦ Λόγου φύσις σεσαρκωμένη τὴν καθ' ὑπόστασιν ἁπλῶς ἕνωσιν εἰσάγει, ὁ δὲ τὰς δύο φύσεις λέγων ἀδιαιρέτους τὸ ἄφυρτόν τε καὶ ἀσύγχυτον τῶν συνελθόντων μηνύει. Οὐκοῦν ἀπομερισθεῖσα φωνὴ θατέρας ἡ ἑτέρα καὶ σοφιστικῶς προαγομένη δικαιοτάτην ἂν τὴν κατάγνωσιν ἐνέγκοι. Ὥστε δικαίως καὶ ὁ ἱερὸς Κύριλλος πρὸς Νεστόριον ἀποτεινόμενος ὡς ἀτελῆ τὴν λέγουσαν

A unam Verbi naturam incarnatam docent, clara voce volunt demonstrare eam quæ est per hypostasim : et quod Verbum hominem præexsistentem non assumpserit, sed revera caro factum sit. Hæc autem vox non satis demonstrat mysterii perfectionem. Ubi enim licet accipere per vocem, fueritne animata assumpta caro, necne ? **268***b* et an solum carne indutum, vel revera natum sit caro ? Unde porro quod perfecta et inconfusa, concurrentia permanserint ! nihil enim horum clarum ex ea reperies. Propterea enim et Apollinario et Eutychi propositus locus convenit, huic quidem conjuncta confundenti, Apollinario vero animatam carnem imaginanti. Quin et hæc vox placet Maneti, imaginariam et adumbratam fingenti incarnationem. Qui vero duas inconfusas asserunt naturas, inconfusa quidem concurrentia conservant, neque hi per easdem voces unionem hypostaticam prædicant. Fieri enim potest, ut contra improbe capiant quod unitum est (ut Nestorius) honore et gloria ; et aliis hæreticorum inventis. Ideo et beatus Cyrillus in fine hujus epistolæ, *indivisum*, ait, *additum, videtur nostræ rectæ fidei esse signum : illi vero non ita sentiunt.* Indivisum enim apud illos, secundum novas Nestorii voces, alio modo sumitur. Dicit enim honoris paritate, et voluntatis et auctoritatis indivisum hominem esse, in quo Dei verbum habitavit. Quare duplicitar magnus ille Cyrillus indivisum intelligit : aliud quidem hæretice, aliud vero propie et orthodoxe. Duobus autem modis indivisum usurpando, vere dixit : dicere unam Verbi naturam incarnatam pugnare contra Nestorianos asserentes duas naturas indivisas. Idem autem quod dictum est, Ecclesiæ est orthodoxæ, si æquivocatio tollatur. Tollitur autem et aliis modis, maxime vero, in assumendo unionem hypostaticam. Eadem enim hæc additio accurate adimplens et fraudem Nestorii discutit, et hæreticos confundit. Imperfecta ergo est utraque vox, ut ex prioribus patet non alteram arripiendo. Itaque intelligo eam vocem quæ dicit unam Verbi naturam incarnatam, et illam quæ dicit duas naturas inconfusas, utramque perficere inter se copulatam. Verbi enim natura incarnata unionem hypostaticam simpliciter profert, qui vero duas asserit indivisas naturas, immistum et inconfusum eorum quæ conjunguntur significat. Igitur divisa vox altera ab altera, et caplose adducta justissimam reprehensionem **269***a* meretur. Quare recte sanctus Cyrillus in Nestorium invectus, ut imperfectam vocem dicentem duas indivisas naturas, et non valentem hæreticorum sectam refutare, accusat, et pugnare [ait] cum illa quæ dicit unam naturam incarnatam. Cum qua si composita veniat, sinceram pietatem ostendit, duas indivisas naturas in unione hypostatica clare prædicans. Sic certe licet quis una Verbi naturam

VARIÆ LECTIONES.

[53] ἕνωσιν add. C. [54] γε add. A. [55] κακούργοις ς. [56] ἀδιαιρέτως A. [57] τὴν om. A. [58] ἑτέρᾳ A ; ἑκατέρᾳ ς.

incarnatam dixerit, et maxime cum Apollinario dimicans, aut Manete, aut Eutyche, imperfecte proferat, et illorum sententiam potius adjuvans, et Cyrilli sententiam oppugnans, et inverteus, et constringens eos qui duas naturas indivisas in unione hypostatica confitentur.

ρῆσιν δύο φύσεις ἀδιαιρέτους, καὶ μὴ ἐξαρκοῦσαν τὸ αἱρετικὸν σόφισμα διελέγξαι, παραιτεῖται, καὶ μάχεσθαι αὐτῇ τὴν λέγουσαν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, μεθ' ἧς εἰ συντεθεῖσα προῆλθεν, ἀκήρατον τὴν εὐσέβειαν ἐδήλου, τὰς δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τρανολογοῦσα. Οὕτω δὴ κἂν μίαν τις προφέρῃ [59] τοῦ Λόγου φύσιν σεσαρκωμένην, καὶ μάλιστα πρὸς Ἀπολινάριον διαμαχόμενος [60] ἢ Μάνεντα ἢ Εὐτυχέα, ἀτελῶς τε ἂν προφερόμενος [61] εἴη, καὶ τῷ ἐκείνων μᾶλλον φρονήματι συνεπαμύνων, καὶ τὴν τοῦ Κυρίλλου δόξαν διαπολεμῶν τε [62] καὶ ἀνατρέπων, συνελαύνων δὲ καὶ τοὺς δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ὁμολογοῦντας ἑνώσει.

Quod autem duas naturas confiteri in unione hypostatica, congruat cum Ecclesia unam naturam Verbi incarnatam docente, Cyrillus accurate veritatis custos, clare ostendit. Orientis enim episcopos negantes unam Verbi incarnatam, duas vero naturas in unione hypostatica et docentes et sentientes, recte et lubentissime excepit. Sanctus enim Joannes, qui Antiochenam tenuit sedem, scripsit, *duarum factam esse unionem naturarum, et ideo unum Christum, unum Filium, unum Dominum nos confiteri : secundum hanc inconfusæ unionis intelligentiam, confitemur Deiparam Virginem Dei matrem esse, quia Dei Verbum incarnatum est, et carnem induit.* Ardens ille veritatis studiosus Cyrillus, hæc et his consimilia Scripturis asserens, non modo libenter et jucundissime accessit, sed et Paulum Emisenum qui ab ipso missus erat in publico cœtu concionaturus, quæ et sibi et mittenti Cyrillo fuerit sententia, laudibus excepit, et ut eadem sentientem magnifecit. Concio vero persequitur illud : *Verbum caro factum est, et habitavit in nobis* [u]. [Secundo interpretatus est : *Verbum caro factum est, et habitavit in nobis.*] Hoc est **269***b* in nostra natura. Talia Paulus ille prædicans, Cyrilli laudibus ornatur.

Ὅτι δὲ τὸ δύο φύσεις ὁμολογεῖν ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει σύνδρομόν ἐστι τῇ εὐσεβῶς ὀρθαζούσῃ γνώμῃ, μίαν [441 H.] φύσιν τοῦ Λόγου σεσαρκωμένην, ἐμαρτύρησε περιφανῶς ὁ φύλαξ τῆς ἀκριβείας Κύριλλος. Τοὺς γὰρ Ἀνατολικοὺς τοῦ θεοῦ ἀρχιερεῖς μίαν μὲν τοῦ Λόγου φύσιν σεσαρκωμένην οὐδαμῶς εἰπόντας, δύο δὲ φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ δογματίζοντας καὶ φρονοῦντας εὖ μάλα καὶ μετὰ πολλῆς τῆς εὐφροσύνης ἀπεδέξατο. Ὁ μὲν γὰρ [63] ἐν ἁγίοις Ἰωάννης, ὃς τὸν ἀρχιερατικὸν τῆς Ἀντιοχείας περιεῖπε θρόνον, ἔγραψεν, ὅτι Δύο φύσεων ἕνωσις γέγονε. διὸ ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον ὁμολογοῦμεν. Κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν Παρθένον Θεοτόκον διὰ τὸ τὸν Θεὸν Λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι. Ὁ δὲ θερμὸς τῆς ἀκριβείας ἐραστὴς Κύριλλος ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα τοῖς γράμμασι διομολογησάμενον [64] οὐ μόνον ἀσμένως καὶ περιχαρῶς προσήκατο, ἀλλὰ καὶ Παῦλον τὸν Ἐμίσης [65] ἐπίσκοπον, ὃς ἐξ αὐτοῦ ἀπέσταλτο, ἐπὶ πανδήμου προσομιλήσαντα πανηγύρεως ὃ [66] ὑπῆρχεν αὐτῷ τε καὶ τῷ ἀποστείλαντι φρόνημα, ἐγκωμίοις τε ἐδεξιώσατο καὶ ὡς ὁμογνώμονα ἐμεγάλυνεν. Ἡ δὲ ὁμιλία διεξῄει ὡς ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν [67] ἐν ἡμῖν, καὶ ὅτι τὸ σὰρξ ἐγένετο τὸ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν ἐν τῇ ἡμετέρᾳ φύσει. Τοιαῦτα μὲν ὁμιλήσας ὁ Παῦλος τῶν Κυριλλείων ἀπήλαυσεν ἐπαίνων.

Respice iterum Joannem duas naturas declarantem, et unum Filium : *Aliud tabernaculum, aliud inhabitans ; aliud templum, aliud inhabitans Deus. Attende dicto ; non dixi : Alius est et alius, ut de duobus Christis aut duobus filiis ; sed « aliud et aliud, ut de duabus naturis. Quando ergo dixit : Habitavit in nobis, et duas dixit naturas, tum et hoc addidit : « Et vidimus gloriam ejus, gloriam quasi Unigeniti. »* Hæc et id genus alia sancti evangelistæ Joannis verba docent vera esse cum prædictis dogmata. A propria auspicatus doctrina ait : *Sanctus Isaias propheta Christi doctorum eloquentiam prænuntians ait : « Hauritis aquas in gaudio de fontibus Salvatoris* [v]. *» Ecce hausimus nobis aquas e divino fonte, prædicti, inquam, doctoris, qui sancti Spiritus facibus accensus, ostendit nobis magnum et sanctum Salvatoris mysterium.* Sic sanc-

Ὅρα δὲ πάλιν καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα καὶ ἕνα Υἱόν. Ἕτερον σκηνὴ καὶ ἕτερον τὸ σκηνοῦν, ἕτερον ὁ ἐνοικῶν Θεός. Πρόσεχε τῷ λεγομένῳ. [840 R.] Οὐκ εἶπον ἕτερος καὶ ἕτερος, ὡς ἐπὶ δύο Χριστῶν · ἢ δύο υἱῶν, ἀλλ' ἕτερον καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. Ὅτε οὖν εἶπεν Ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐκήρυξε δύο φύσεις, τότε ἐπήγαγε· Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς. Ταῦτα οὖν καὶ τοιουτότροπα τοῦ ἱεροῦ γεγραφότος Ἰωάννου, ἐπιμαρτύρεται μὲν τοῖς εἰρημένοις δογμάτων ὀρθότητα, τῆς δὲ οἰκείας ἀπαρχόμενος διδασκαλίας ὧδέ φησιν, Ὁ μακάριος προφήτης Ἡσαΐας [69], τῶν ἐν Χριστῷ διδασκάλων τὰς εὐστομίας προανακηρύττων, ἔλεγεν· Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου, Ἰδοὺ τοίνυν ἠντλήσαμεν ἡμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τοῦ προλαβόντος

[u] Joan. I, 14. [v] Isa. XII, 3.

VARIÆ LECTIONES.

[59] προφέροι A : προσφέρῃ ς. [60] ἀπομαχόμενος ς. [61] προσφερόμενος ς. [62] τε add. A. [63] γὰρ om. A. [64] διομολογησάμενος ς. [65] ἐμέσης ς. [66] ὃ] ἃ A. [67] καὶ τὸ ἐσκήνωσεν ς. [68] πρώτου A : αὐτοῦ ς. [69] Ἡσ.] XII, 3.

φημὶ διδασκάλου, ὃς καὶ ταῖς τοῦ Πνεύματος ἁλουχίαις λελαμπρυσμένος [70] διεσάφησεν ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ Σωτῆρος μυστήριον. Οὕτω τὸν ἱερὸν Ἰωάννην, δύο φύσεις ἄνω καὶ κάτω στρέφοντα, ὁ τῆς ἀληθείας θερμὸς ἐραστὴς Κύριλλος πηγὴν μὲν ἁγίαν ἀποκαλεῖ, τῆς δὲ τοῦ παναγίου Πνεύματος φωτοχυσίας ἔμπλεων [71] καὶ λαμπρὸν ὑποφήτην τοῦ κατὰ Χριστὸν σεπτοῦ καὶ μεγάλου μυστηρίου. Οὐ μόνον δὲ, ἀλλὰ καὶ περὶ τοῦ μνημονευθέντος ἀρχιερέως Παύλου, πρὸς τὸν αὐτόν ἐν ἁγίοις Ἰωάννην ἀντιγράφων, ὧδέ φησιν ἐπὶ λέξεως· Ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου καὶ θεοσεβεστάτου [72] ἀδελφοῦ καὶ συλλειτουργοῦ Παύλου [442 H.] θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος. Καὶ πάλιν· Ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν Ἐκκλησιῶν ἡ διχοστασία γέγονε, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου τοῦ θεοσεβεστάτου Παυλου ἐπισκόπου χάρτην προσκομίσαντες [73] ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν. Οὕτω μὲν οὗτος [74] καὶ τὸν ἀρχιερέα Παῦλον θυμηδίας αἴτιον [75] γενέσθαι καὶ τὴν προσκομισθεῖσαν [76] δι' αὐτοῦ τῶν ἀνατολικῶν πίστιν, τὸ ἀδιάβλητον ἔχουσαν, ἀνακηρύττει [77]. Ἐπὶ δὲ τούτοις δεικνύς ἐναργῶς ἐφ' οἷς τοῖς ἀνατολικοῖς συμβαίνει καὶ ἃ κοινῇ πρεσβεύουσιν, ἵνα μὴ τὸ φιλόνεικον μεταφέρειν ἄδειαν λάβοι πρὸς ὃ βούλοιτο τὴν εἰρηνικὴν ὁμόνοιάν τε καὶ κατάστασιν, αὐτοῖς ῥήμασι κεφάλαιον τελευταῖον ταῦτα ποιεῖται· Τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ Κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας [78] τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων, καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας· Οἷς ἐπιφέρει καὶ τὴν οἰκοθεν κρίσιν, λέγων· Ταύταις ὑμῶν [79] ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ αὐτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ [80] Κύριος, μία πίστις, ἓν βάπτισμα) ἐδοξάσαμεν τὸν τῶν ὅλων Σωτῆρα Θεὸν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις [81] Γραφαῖς καὶ τῇ παραδόσει τῶν ἁγίων Πατέρων συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ὑμῖν καὶ αἱ παρ' ἡμῖν Ἐκκλησίαι. Καὶ τίς ἂν ἄλλος εἴη μεγαλοφωνότερος ἢ ἀξιοπιστότερος Κυρίλλου Κύριλλον ἑρμηνεῦσαι καὶ τὸ αὐτοῦ φρόνημα καθαρὸν καὶ ἀκαπήλευτον αἱρετικῆς ἐπιμιξίας παραστῆσαι; ἐξ ὧν οὖν ἀδιαφόρους δοξάζειν αὐτόν τε καὶ τοὺς ἀνατολικοὺς τὴν εὐσέβειαν ἀνεῖπεν, ἔδειξε περιφανῶς ἀδιάφορον εἶναι καὶ τὸ ἐφ' ἑνὸς προσώπου ἤτοι μιᾶς ὑποστάσεως δύο τὰς φύσεις ἀδιαιρέτους ὁμολογεῖν, καὶ τὸ μίαν τοῦ Λόγου σεσαρκωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ.

Οὐ μόνον δὲ πρὸς τοὺς τῆς ἀνατολῆς γράφων τὸ ὁμόδοξον αὐτοῖς μαρτυρεῖ, [841 R.] ἀλλὰ καί τινων ἐγκαλούντων αὐτῷ ὅτι τὰς δύο φύσεις ὁμολογοῦντας τοὺς ἀνατολικοὺς ἐδέξατο, αὐτὸς πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου ἐπίσκοπον ὑπὲρ αὐτῶν γράφει, ὡς

A clum Joannem duas naturas sursum deorsum vertentem, fervidus ille veritatis adamator Cyrillus sacrum fontem appellat, lumine sancti Spiritus plenum, et clarum prædicatorem magnorum et sanctorum Christi mysteriorum. Neque hunc solum, sed de commemorato antea Paulo ad Joannem scribens, qui de voce dixit: *Veniente Alexandriam confratre et domino pio, et sacris iisdem initiato, animi voluptate impleti sumus, et valde probabiliter, ut viri ita mediantis.* Et iterum: *Modum excedens, et non facile excusandum Ecclesiarum dissidium contigit, nunc maxime Domino impleti sumus, proferente epistolam beato Paulo episcopo, irreprehensibilem habens fidei professionem.* Sic quidem jucunditate dignum Paulum fuisse, B et allatam Orientalium fidem irreprehensibilem prædicare. Ad hæc accurate ostendens, in quibus cum Orientalibus consentiat, et quæ communiter **270a** allegant, ne contentiosam transferre securitatem, accipiat ad quod volet, pacificam consensionem, et constitutionem verbis ipsis caput hoc postremum facit: *Scimus viros divinos Scripturæ perilos quas de Domino voces protulerint, partim dum velut uni personæ illas communicant partim dum veluti in duas distribuunt, et quasdam Deo dignas respectu divinitatis Christi, quasdam abjectas respectu humanitatis tradunt.* Quibus adjungit et suum judicium: *Quæ cum nostris vocibus conveniunt, sic et illos sentientes reperimus;* « *Unus enim Dominus, una fides, unum baptisma* [x]. » *Sensimus* C *universorum Salvatorem Deum aliis invicem congaudentes, quia divinæ Scripturæ, et traditioni sanctorum Patrum fidem habent consentientem, quæ apud vos et nos sunt Ecclesiæ.* Et quis alius sit generosior et fide Cyrillo dignior, ad Cyrillum interpretandum, et ejusdem sententiam puram et hæreticis misturis non inquinatam constituere, in quibus indifferenter opinari se et Orientales de pietate renuntiarunt? Ostendit clare non differre et hoc, in una persona, vel in una hypostasi duas naturas indivisas confiteri, et hoc, unam Verbi naturam incarnatam anima rationali et intelligibili.

D Non ad Orientales modo scribens, similem illis testatur opinionem, sed accusantibus nonnullis, quod duas naturas confitentes Orientales suscepit, ipse ad Valerianum Iconii episcopum scribit, Orientales Nestorium damnasse, et sanctorum Patrum

[x] Ephes. IV, 5.

VARIÆ LECTIONES.

[70] λελαμπρυμένος A. [71] ἔμπλεον A. [72] θεοσεβάστου ς. [73] προκομίσαντος ς. [74] οὗτος] libri οὕτω· [57] αἴτιον A : ἄξιον ς. [76] libri προκομισθεῖσαν. [77] ἀνακηρύττειν ς. [78] ἄνδρας τῶν γράμματων τάς ς. [79] ἡμῶν ς. [80] εἷς γάρ] Ephes. IV, 5. [81] θεοπίστοις ς.

consensionem sinceram servare, sanctam Virginem Dei Genitricem nobiscum confitentes, et unum esse Christum, Filium et Dominum a Deo Patre genitum Deum Verbum, et ultimis temporibus e muliere in carne natum, et perfectum eum esse in divinitate, et perfectum in humanitate, non in duos filios et Christos et Dominos separantes, et hæc oppugnare audentes, ut mendaces et fraudulentos et mendacii sui patrem prætexentes, detestari hortatur ac refugere, Sed et in ea, quæ ad Acacium Melitinensem episcopum, de his Orientalibus sic habet: *Non dividere eos* **270***b unum Filium et Christum, quem e Patre dicunt ut Deum, et ex muliere natum in carne ut hominem, et quomodo non intelligatur secundum humanitatem nostri similis, neque Patri secundum divinitatem, nisi intelligatur simul et Deus et homo idem. Quod Nestorius negavit.* Sic non solum duas naturas Orientales asserentes salvat: sed tametsi quis accuset, profugoator fit, et quod mirum videatur, etsi non apponant *indivise*, non dicit ipsos naturas dividere. Scivit enim et unum Christum, unam personam, et unam hypostasin, qui dicit eumdem Deum et hominem, et Deiparam Virginem, nihilominus etiamsi addat *indivisos*, ut confitens ex dictis unionem hypostaticam, simul et hoc indivisum vere adducit. Quid idem tutæ et divinæ adamator doctrinæ iterum ad Acacium scribens: *Licet*, inquit, *duas naturas dicere, nec divisionem naturarum ullo modo intelligere, cum quis adjungat prædictis unionem hypostaticam.* Et ad Eulogium scribens, consentientem existimavit secum, unam Verbi naturam incarnatam credentem, cum duas naturas indivisas in unione hypostatica confitentur.

A Νεστόριον μὲν οἱ ἀνατολικοὶ κατακρίνουσι, καὶ τὴν τῶν Πατέρων ὁμολογίαν ἀκήρατον διασώζουσι, τὴν ἁγίαν Παρθένον Θεοτόκον μεθ' ἡμῶν ἀνομολογοῦντες, καὶ ἕνα εἶναι Χριστὸν καὶ Υἱὸν καὶ Κύριον, τὸν ἐκ Θεοῦ μὲν Πατρὸς γεννηθέντα Θεὸν Λόγον, ἐπ' ἐσχάτων δὲ τὸν αὐτὸν ἐκ γυναικὸς κατὰ σάρκα τεχθέντα, καὶ τέλειον εἶναι τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι, οὐ διαιροῦντες εἰς δύο υἱοὺς ἢ Χριστοὺς ἢ Κυρίους· καὶ τοὺς τολμῶντάς τι λέγειν κατ' αὐτῶν ὡς ψεύστας καὶ ἀπατεῶνας καὶ τὸν τοῦ ψεύδους ἑαυτῶν προβαλλομένους πατέρα μυσάττεσθαί τε παραινεῖ καὶ ἀποπέμπεσθαι. Ἀλλὰ μὴν καὶ ἐν τῇ πρὸς Ἀκάκιον [443 H.] τὸν Μελιτηνῆς ἐπίσκοπον περὶ τῶν ἀνατολικῶν οὕτω φησίν. Οὐ διαιροῦσιν εἰς δύο [82] τὸν ἕνα Υἱὸν καὶ Χριστόν, B τὸν αὐτὸν δὲ εἶναί φασι τὸν ἐκ Θεοῦ Πατρὸς ὡς Θεὸν καὶ ἐκ γυναικὸς κατὰ σάρκα ὡς ἄνθρωπον, καὶ ὡς οὐκ ἄν νοοῖτο ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα οὐδὲ τῷ Πατρὶ κατὰ τὴν θεότητα, εἰ μὴ νοοῖτο Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς, ὃ Νεστόριος οὐκ ἀνείχετο. Οὕτω οὐ μόνον δύο λέγοντας φύσεις τοὺς ἀνατολικοὺς κατασπάζεται, ἀλλὰ κἂν κατηγορῇ τις, ὑπέρμαχος γίνεται, καὶ (τὸ παράδοξον) κἂν μὴ προσθῶσι τὸ ἀδιαιρέτως, οὐ λέγει διαιρεῖν αὐτοὺς τὰς φύσεις. Οἶδε γὰρ ὡς [83] ἕνα Χριστὸν, ἓν πρόσωπον, μίαν ὑπόστασιν ὁ λέγων, τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον, καὶ Θεοτόκον τὴν Παρθένον, οὐδὲν ἧττον, κἂν μὴ προσθῇ τὸ ἀδιαιρέτους, ὡς ὁμολογῶν ἐκ τῶν εἰρημένων τὴν καθ' ὑπόστασιν ἕνωσιν, συνεισάγει καὶ τὸ ἀληθῶς ἀδιαίρετον. Ὁ αὐτὸς δὲ τῆς ἀσφαλοῦς καὶ θείας εἰρήνης [84] ὄντως ἐραστὴς πάλιν πρὸς Ἀκάκιον γράφων, Ἔνεστι, φησὶ, καὶ δύο φύσεις εἰπεῖν [85], καὶ μὴ διαίρεσιν τῶν φύσεων ἐννοεῖν πως, ἐπειδάν τις συνάψοι τοῖς εἰρημένοις τὴν καθ' ὑπόστασιν ἕνωσιν· C Καὶ μὴν ἐπιστέλλων καὶ πρὸς Εὐλόγιον ὁμόδοξον ἡγεῖται τὸν μίαν φύσιν λέγοντα τοῦ Λόγου σεσαρκωμένην τῷ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει συνομολογοῦντι.

Reprehendunt quidam expositionem quam faciunt Orientales, et aiunt: *Quare ipsos duas naturas confitentes, tulit, et præsul laudavit Alexandriæ?* Nestoriani asserunt illum quoque sic sentire, eos involventes, qui nihil accurate sciant. Oportet autem reprehendentibus hæc respondere, non omnia quæ astruunt sectarii, vitari et reprehendi debere: quare Orientales duas naturas confitentes admittit; pie enim illi asserunt; Nestorium damnat, non quia duas naturas dixit, sed quia, duas asserens naturas, unionem hypostaticam non recipit: quemadmodum non unam Verbi naturam esse incarnatam. Mox enim subdit: *Tametsi duas naturas Nestorius dicat, differentiam carnis et Dei Verbi significans, sed nondum unionem hypostaticam nobiscum confitetur. Nos enim hæc conjungentes, unum Christum, unum Filium. unum Dominum confitemur.* Hoc communis ipsius et Orientalium confessio. Deinde rursum adducit: *Unam Verbi naturam incarnatam confitemur*; quasi dice-

Ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως ἣν πεποίηνται οἱ ἀνατολικοὶ, καί φασι· Διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο καὶ ἐπήνεσεν ὁ τῆς Ἀλεξανδρείας; Οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. Χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν ὅτι οὐ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, φεύγειν καὶ παραιτεῖσθαι χρή· ὥστε δύο φύσεις D λέγοντας τοὺς μὲν ἀνατολικοὺς ἀποδέχεται (εὐσεβῶς γὰρ οὗτοί φασι), Νεστόριον δὲ κατακρίνει, οὐχ ὅτι δύο φύσεις ἔλεγεν, ἀλλ' ὅτι δύο φύσεις λέγων τὴν καθ' ὑπόστασιν ἕνωσιν οὐ προσίετο, ὥσπερ οὐδὲ τὸ μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην. Μετ' ὀλίγα γὰρ ἐπιφέρει, ὡς Κἂν δύο λέγῃ φύσεις [86] Νεστόριος, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν· ἡμεῖς γὰρ ἑνώσαντες αὐτὰ, ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Ὃ κοινόν ἐστιν ὁμολόγημα αὐτοῦ τε καὶ τῶν ἀνατολι-

VARIÆ LECTIONES.

[82] εἰς δύο add. A. [83] ὡς A : ὁ ς. [84] εἰρήνης add. A et mg. C. [85] εἰπεῖν καὶ δύο φύσεις φησί ς. [86] φύσεις λέγῃ ς.

κῶν. Εἶτα καὶ πάλιν ἐπάγει· Μίαν τὴν τοῦ Υἱοῦ φύσιν ὁμολογοῦμεν σεσαρκωμένην, ὡσεὶ ἔλεγεν, Ἡμεῖς τὴν διαφορὰν τῶν συνελθόντων ὁμολογοῦντες δύο μὲν λέγομεν φύσεις, [844 R.] ἀλλὰ καὶ τὴν ἕνωσιν ἐξακριβοῦντες συνάπτομεν αὖθις τὸ μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην· τὸ μὲν γάρ ἐστι [87] τῆς τῶν ἑνωθέντων διαφορᾶς, τὸ δὲ αὐτῆς τῆς καθ' ὑπόστασιν ἑνώσεως [88] δηλωτικόν. Ἐξ ὧν δὲ περὶ Νεστορίου ἔφη, μόνον οὐχὶ τοῦτο βοᾷ, ὡς Εἴ γε τὴν ἕνωσιν μεθ' ἡμῶν καὶ Νεστόριος ᾔδει, ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον [89] ὁμολογῶν, ἐδεξάμεθα ἂν αὐτὸν καὶ δύο λέγοντα φύσεις, εἴπερ διὰ τῆς τοιαύτης φωνῆς τὴν διαφορὰν τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου δηλοῦν ἐβούλετο, ἀλλὰ μὴ διασπᾷν τὴν ἕνωσιν ἐτεχνάζετο. Εἰ δὲ τὸ δύο φύσεις λέγειν, ὡς αὐτὸς εἶπε, τὴν διαφορὰν σημαίνει τῆς σαρκὸς καὶ τοῦ Θεοῦ [444 II.] Λόγου, καὶ ταύτην δεῖ σώζεσθαι μετὰ τὴν ἕνωσιν, δῆλον ὅτι καὶ τὰς δύο διδάσκει φύσεις μετὰ τὴν ἕνωσιν σώζεσθαι· τῆς γὰρ διαφορᾶς σωζομένης, ἀνάγκη καὶ τὰ ὧν ἡ διαφορὰ συνδιασώζεσθαι. Καὶ τοὺς ἀνατολικοὺς δ' εἰπὼν συμφρονεῖν αὐτῷ, καίτοι μηδαμοῦ φαμένους μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, ἀλλὰ δύο μὲν λέγοντας τὰς φύσεις, ἡνωμένας δὲ τῇ καθ' ὑπόστασιν ἑνώσει, ἀδιαφόρους τὰς φωνὰς περιφανῶς ἀποφαίνεται. Ὥστε καὶ ἡ σύνοδος, κἂν μὴ τῇ γλώσσῃ, ἀλλὰ τῇ γε [90] γνώμῃ, μίαν φύσιν κηρύττειν οἴδε τοῦ Λόγου σεσαρκωμένην.

A ret: Nos differentiam coeuntium confitentes, duas quidem asserimus naturas, sed et unionem tradentes, **271** *a* hoc statim adjungimus, unam Verbi esse naturam incarnatam: hoc siquidem de unitorum differentia, illud vero hypostaticam unionem ostendit. Ex quibus de Nestorio dicit, tantum non clamat: Ut si nobiscum unionem Nestorius asserit, unum Christum, unum Dominum, unum Filium confitens, recepimus illum duas dicentem naturas: siquidem eadem voce differentiam carnis ac Dei Verbi conatur ostendere, sed ne decerpere veritatem conatus sit. Si vero duas naturas dicere, ut ipse dixit, differentiam significat carnis et Dei Verbi, et hanc servare oportet [post] unionem: nimirum duas naturas docet post unionem servare. Differentia scilicet servata, necesse est ea B servari de quibus differentia. Et Orientales secum ait consentire, et nequaquam unam Verbi naturam incarnatam asserentes, sed duas quidem asserentes naturas hypostatica unione unitas, indifferentes voces clare ostenditur. Quare synodus, et sinon lingua, tamen sententia unam novit Verbi naturam incarnatam prædicare.

Οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον ῥᾴδιόν [91] ἐστι τοῦτο καθορᾶν, ἀλλὰ καὶ ἐκ τοῦ λιβέλλου ὃν ἔγραψε μὲν οἰκείᾳ χειρὶ ὁ θεσπέσιος Φλαβιανὸς, ἐπιδέδωκε δὲ Θεοδοσίῳ τῷ βασιλεῖ· ἡ δὲ σύνοδος πρὸ τῶν ἄλλων ταύτην ἔκρινεν ἀναγνωσθῆναι. Ἔχει γὰρ ἐπὶ λέξεως ὧδε· Καὶ ῥὰρ ἐκ δύο φύσεων ὁμολογοῦντες τὸν C Χριστὸν μετὰ τὴν σάρκωσιν ἐν μιᾷ ὑποστάσει καὶ ἐν ἑνὶ προσώπῳ, ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Εἶτα καὶ μίαν μὲν φύσιν τοῦ Θεοῦ [92] Λόγου, σεσαρκωμένην μέντοι καὶ ἐνανθρωπήσασαν λέγειν οὐκ ἀρνούμεθα, διὰ τὸ ἐξ ἀμφοῖν ἕνα καὶ τὸν αὐτὸν εἶναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Non modo e dictis hoc facile est perspicere, sed etiam ex eo libello quem propria manu sanctus Flavianus concripsit, et Theodosio imperatori inscripsit: concilium vero ante alios hunc legi præcepit. Sic enim ibi ad verbum: *Etenim e duabus naturis Christum post incarnationem in una hypostasi confitentes, et in una persona unum Christum, unum Filium, unum Dominum confitemur: deinde et unam naturam Verbi incarnatam, et carnem indutam dicere non negamus, quia e duobus unum et eumdem esse Dominum nostrum Jesum Christum.*

Σὺ δέ μοι σκόπει κἀκεῖνο. Ἡ σύνοδος συνεχῶς [93] τὸν αὐτὸν λέγει καὶ ἕνα Χριστόν. Τοῦτο δὲ τί ἐστιν ἕτερον ἢ τὸ τὴν καθ' ὑπόστασιν ἕνωσιν ὁμολογεῖν, ἢ, εἰ βούλει, τὴν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην; Καὶ γὰρ χωρὶς [94] τῶν αἱρετικῶν σοφισμάτων ἡ χρῆσις αὕτη προφερομένη τὸ ἀδιάφορον ἔχει, πρός γε τὴν προειρημένην διάνοιαν [95].

Tu vero et illud considera. Concilium continenter dicit eumdem et unum Christum. Hoc vero quid aliud est quam unionem hypostaticam confiteri, vel, si placet, unam Verbi naturam incarnatam? Etenim absque hæreticorum cavillationibus, usus hic antea allatus differentiam continet ad prædictum sensum.

Ὥσπερ δὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἡ σύνοδος λέγουσα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο φύσεων ὁμοίως ἀνευφημεῖ, οὕτω καὶ ἐν θεότητι καὶ ἀνθρωπότητι [96] λέγουσα ἐν δυσὶ δοξάζει φύσεσι καὶ συνομολογεῖ. Οὐ γὰρ ἐκ τούτων μέν ἐστιν ὁ Χριστὸς, οὐχὶ ταῦτα δὲ, οὐδὲ ταῦτα μὲν, οὐκ ἐν τούτοις δὲ, ἀλλ' ἐξ ὧν ἐστι, καὶ ἐν τούτοις γνωρίζεται καὶ ταῦτά ἐστιν. Οὕτω δὲ καὶ Ἀμβρόσιος ὁ θαυμάσιος ἐν τῷ περὶ ἐνανθρωπήσεως τετάρτῳ δογματίζει λόγῳ· Ἐν τῷ Θεὸς εἶναι αἰώνιος τὰ τῆς σαρκὸς μυστή- D

Quemadmodum autem ex humanitate atque divinitate Christum Dominum ex duabus naturis similiter synodus prædicans iterum laudat: sic et in divinitate et **271***b* humanitate dicens in duabus opinatur naturis ac confitetur. Non enim ex his est Christus, neque hæc, neque illa, non in quibus, sed e quibus est, et in quibus agnoscitur. Et hæc fere sunt. Sic quoque beatus Ambrosius libro IV *De incarnatione* docet: *Ibi Deus ab æterno esse carnis mysteria prævidit, nec separatus, sed unus. Postquam*

VARIÆ LECTIONES.

[87] ἐστι A : ἐπί ς. [88] ἕνωσίς ἐστι δηλωτικός ς. [89] ἕνα Κύριον, ἕνα Υἱόν ς. [90] γε add. A. [91] libri ῥᾳόν. [92] Θεοῦ add. A. [93] τὸν αὐτὸν συνεχῶς ς. [94] χωρὶς A : καὶ χωρὶς ς. [95] διανοίας ς. [96] ἐνἀνθρωπότητι ς.

utrumque unus, et unus in utroque, hoc est, in divinitate et humanitate. Rursus idem alio libro, unde mutuatus est doctus Cyrillus contra Nestorium, sic bonus inquit Ambrosius: *Unus Dei Filius in utraque specie verba facit, quando utraque prædilus natura est.* Hoc vero dictum corrupit Severus, nihil injuriarum omittens. Vertit enim unam vocem in alteram, ut persuadeat apparere voce non naturam, sed loquendi formulam, quod ipsum reprehendi merito debet. Verumtamen refellitur ob usum vocis prædictum cum dicit in utroque idem designare. Quid sibi vult hoc *eodem* pro *in utroque*, hoc est conjungens divinitati et humanitati, quare si *in utraque* dicat, ut sincere habent verba Ambrosii, sive *in utroque*, ut improbus ille sophista vocem depravat, nihilominus duæ offenduntur naturæ. Idcirco, ut diximus, Ambrosius quod *in utroque* est dicens, hoc est *in utraque re*, ad divinitatem et corpus, vocem traduxisse videtur. Et idem ad Albinum scribens: *Ut perfectus*, inquit, *in utraque natura sit.* Sed hactenus de his.

ρια προσελάβετο, οὐ διηρημένος, ἀλλ' εἷς, ἐπειδὴ τὸ ἑκάτερον εἷς καὶ ὁ εἷς ἐν ἑκατέρῳ, τουτέστι καὶ θεότητι καὶ σώματι. Πάλιν δὲ ἐν ἄλλῳ λόγῳ, ἐξ οὗ καὶ ὁ σοφὸς Κύριλλος χρῆσιν κατὰ Νεστορίου προσήνεγκεν, οὕτως ὁ χρηστὸς Ἀμβρόσιός φησιν· Εἷς Θεοῦ Υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ, ἐπειδήπερ ἑκατέρα φύσις ἐν αὐτῷ. Τοῦτο δὲ τὸ ῥητὸν ἐκακούργησε μὲν Σεβῆρος, οὐδὲν δὲ τῆς κακουργίας ἀπώνατο. Μεταστρέφει μὲν γὰρ εἰς τὸ ἑκατέρῳ τὴν ἑκατέρᾳ [97] φωνήν, ἵνα πείσῃ δηλοῦσθαι διὰ τῆς φωνῆς μὴ τὴν φύσιν, ἀλλὰ τὸν τρόπον τῆς λαλιᾶς, οἷον ἐν ἑκατέρῳ τρόπῳ θείῳ τε καὶ ἀνθρωπίνῳ λαλεῖ. Ὅπερ αὐτόθεν μὲν ἔχει τὸν ἔλεγχον, οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς προειρημένης ἐπιῤῥαπίζεται χρήσεως· ἐν αὐτῇ γὰρ εἰπὼν αὐτὴν τὴν λέξιν ἐν ἑνατέρῳ [98] αὐτὸς ἡρμήνευσε [845 R.] τί βούλεται αὐτῷ τὸ ἐν [445 H.] ἑκατέρῳ [99], τουτέστιν ἐπισυνάψας καὶ θεότητι καὶ σώματι. Ὥστε εἴτε ἐν ἑκατέρᾳ λαλεῖ, ὡς ἔχει τὸ ἀκακούργητον τῶν Ἀμβροσίου ῥημάτων, εἴτε ἐν ἑκατέρῳ, ὡς ὁ τῆς κακίας σοφιστὴς τὴν φωνὴν διαφθείρει, οὐδὲν ἧττον αἱ δύο φύσεις δηλοῦνται, διότι ὁ αὐτὸς Ἀμβρόσιος, ὡς εἴρηται, τὸ ἐν ἑκατέρῳ εἰπών, τουτέστιν ἐν ἑκατέρῳ πράγματι, πρὸς τὴν θεότητα καὶ τὸ σῶμα τὴν φωνὴν ἀποδέδωκεν ἀναφέρεσθαι. Καὶ πρὸς Ἀλβῖνον δὲ γράφων ὁ αὐτὸς, Ἵνα, φησὶ, τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Si vero quis nobis Athanasium proferat libro *De incarnatione*, Gregorium item Thaumaturgum in libro *De fide particulari*, prohibentes duas in Christo asserere naturas: sciat ille (ut sæpe jam diximus) neque reliquos Patres duas naturas asserere, neque unam complecti, sed et frequenter rejecisse; post enim adductam *indivisi* vocem, neque temere amplexos esse, neque improvide illum explanasse; neque enim sumpserunt inordinatum. Conveniente vero cum prædictis unione hypostatica, nemo **272***a* pius visus est qui hanc vocem valde adamaverit. Nemo igitur dicat, nihil enim hoc ad pietatem, ut in Christo duas naturas dicere Patres prohibeant; sed ostendat, quando aut ubi confitentes unionem hypostaticam duas dicere naturas indivise prohibebant? Etenim et sic vide quomodo dicat Athanasius: *Non duas naturas prædicamus unum Filium, unam adoratam et unam non adoratam.* Et quis ignorat, adoratum et non adoratum in duas quidem hypostases dividunt unum, hypostaticam unionem prædicant?

Εἰ δέ τις ἡμῖν Ἀθανάσιον ἐν τῷ Περὶ σαρκώσεως προκομίζει λόγῳ, καὶ τὸν Νεοκαισαρείας Γρηγόριον ἐν τῷ Περὶ τῆς κατὰ μέρος πίστεως, δύο λέγειν κωλύοντας ἐπὶ τοῦ [1] Χριστοῦ τὰς φύσεις, μανθανέτω οὗτος ὅτι (καθάπερ εἴρηται πολλάκις) σὺθ' οἱ λοιποὶ Πατέρες τὸ δύο λέγειν φύσεις οὔτε [2] ἁπλῶς ἠσπάσαντο, ἀλλὰ καὶ πολλάκις ἀπώσαντο, μετὰ μέντοι γε τοῦ ἀδιαιρέτου προελθοῦσαν τὴν φωνὴν οὔτε προπετῶς ἀσπάσασθαι [3] οὔτε ἀβασανίστως ταύτην περιπτύξασθαι οὐμενοῦν οὐκ ἐλάμβανον τὸ ἀδίστακτον· συνομολογηθείσης δὲ τοῖς λεχθεῖσι τῆς καθ' ὑπόστασιν ἑνώσεως, οὐμενοῦν οὐδεὶς ὤφθη τῶν εὐσεβῶν μὴ λίαν τὴν φωνὴν ἀσπαζόμενος. Μὴ οὖν λεγέτω τις (οὐδὲν γὰρ τοῦτο πρὸς τὴν εὐσέβειαν) ὡς ἐπὶ Χριστοῦ δύο φύσεις λέγειν οἱ Πατέρες ἐκώλυσαν· ἀλλὰ δεικνύτω πότε ἢ ποῦ τοὺς συνομολογοῦντας τὴν καθ' ὑπόστασιν ἕνωσιν δύο λέγειν φύσεις ἀδιαιρέτως ἐκώλυσαν. Καὶ γὰρ κἀνταῦθα ὅρα πῶς φησιν ὁ Ἀθανάσιος· Οὐ δύο φύσεις ὁμολογοῦμεν τὸν ἕνα Υἱὸν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον. Ἀκούεις πῶς εἶπε προσκυνητὴν καὶ ἀπροσκύνητον. Καὶ τίς οὐκ οἶδεν ὅτι τὸ προσκυνητὸν καὶ ἀπροσκύνητον [4] εἰς δύο μὲν ὑποστάσεις τέμνουσι τὸν ἕνα, τὴν καθ' ὑπόστασιν δὲ ἕνωσιν ἐκκηρύττουσιν;

Sed magni Athanasii sensus clarus est. Testimonium quod Gregorii Thaumaturgi nomine subjicitur, illius quidem esse dicitur, sed Apollinarii esse absurditas illa manifeste declarat. Habet enim: *Et est verus Deus sine carne in carne visus, perfectus in vera et divina perfectione, non duæ personæ, neque duæ naturæ. Neque enim quatuor adorare dicimus.* Vides quomodo pateat impietas. Nam perfectum dicens in divinitate, humanitatem reticuit; et adjicere,

Ἀλλ' ἡ μὲν τοῦ μεγάλου Ἀθανασίου διάνοια δῆλη· ἡ δὲ τὸν θαυματουργὸν Γρηγόριον ὑποβαλλομένη χρῆσις (λέγεται μὲν γὰρ ἐκείνου, τὸν δὲ Ἀπολλινάριον εἰσκομίζει) κατάφωρον [4] προβάλλεται τὴν ἀτοπίαν. Λέγει γάρ· Καὶ ἔστι Θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθεὶς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρας προσκυνεῖν λέγομεν. Ὁρᾷς ὅπως προφανὴς ἡ δυσσέβεια; Τὸ τέλειον γὰρ εἰπὼν

VARIÆ LECTIONES

[97] ἑκατέρᾳ corr. A: ἑκατέραν ς. [98] ἑκατέρᾳ corr. A. [99] ἑκατέρῳ A: τῷ ἑκατέρῳ ς. [1] τοῦ add. A. [2] οὔτε] an οὕτως? [3] ἀσπάσασθαι] malim ἀπώσασθαι. [4] κατάφορον ς.

κατὰ τὴν θεότητα, τὸν ἀνθρωπότητα παντελῶς ἐσιώπησε. Καὶ τὸ προεἰπεῖν δὲ, ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθείς, τῆς Ἀπολιναρίου φρενοβλαβοῦς γεωργίας πικρόν ἐστι βλάστημα.

sine carne in carne apparens, impiæ culturæ acerbum est germen.

Ἀλλὰ γὰρ καὶ ἡ χρῆσις, ἣν ἡ αἵρεσις προκομίζει ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς τοῦ Ἰουλίου Ῥώμης, ἀναμφίβολον μὲν οὐκ ἔχει τὸ γνήσιον· ὁ γὰρ ἱερὸς Κύριλλος, ἐν τῇ κατ' Ἔφεσον συνόδῳ ἐκ τῆς πρὸς Δόκιον ἐπιστολῆς αὐτοῦ χρείαν προενεγκών, οὐκ ἠξίωσεν εἰς μνήμην ταύτης ἐλθεῖν. Ἣν δὲ τῇ συνόδῳ προανέγνωσεν [5], οὕτω τοῖς ῥήμασιν ἔχει· Ὁ τοῦ Θεοῦ Υἱὸς σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας, τέλειος Θεὸς ἐν σαρκὶ, τέλειος ἄνθρωπος ἐν Πνεύματι· οὐ δύο υἱοὶ, εἷς μὲν γνήσιος Υἱὸς ἀνάλαβὼν ἄνθρωπον, [446 H.] ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ τοῦ Θεοῦ, ἀλλ' εἷς ἐν οὐρανῷ μονογενὴς, μονογενὴς ἐπὶ γῆς Θεός. Ἡ μὲν τοῦ Ἰουλίου ῥῆσις ἡ τῇ συνόδῳ διαγνωσθεῖσα [6] τοιαύτη· εἰ δὲ γνησίαν ἤδει τὴν φωνὴν ἣν ἐκ τῆς πρὸς Διονύσιον προφέρουσιν ἐπιστολῆς καὶ μάλιστα Νεστόριον κατακρίνουσαν, οὐκ ἂν ὑπερεῖδε ταύτην.

Sed enim testimonium quod hæresis affert ex epistola Julii Romani ad Dionysium, haut dubie non est genuinum. Etenim sanctus Cyrillus in synodo Ephesina ex epistola ad Decium [*fort.* Decimum] ejus usum adducens, non dignatus est in memoriam hujus venire, quam in synodo cognovit his verbis: *Filius Dei habitans in hominibus, non in homine operans, perfectus Deus in carne, perfectus homo in Spiritu, non duo filii, unus quidem genitus Filius carnem assumens, alter vero homo morti obnoxius, assumptus a Deo: sed unus unigenitus in cœlo, unigenitus in terra Deus.* Julii papæ quidem verba in synodo lecta hæc fere, sive veram sonat vocem, quam ex epistola ad Dionysium adducunt, et maxime Nestorium damnans hanc non contempsit.

ὅπως δὲ πρὸς [463 H.] ἀλλήλας, καὶ οὐδαμῆ τὸ στάσιμον οὐδὲ τὸ πάγιον ἔχουσιν, ἀπογυμνώσας τε καὶ ἀνακαλυψάμενος [44], ἐκ τῆς ἐκεῖθεν ἀτοπίας ὁρᾷν αὐτοὺς πρὸς τὴν ἕνωσιν τῆς Ἐκκλησίας ὑποτίθεται· Τοὺς μὲν γὰρ παράγει λέγοντας σώζεσθαι τὰς διαφορὰς μετὰ τὴν ἕνωσιν, ὥσπερ καὶ Σεβῆρον, τοὺς δὲ σώζεσθαι μηδαμῶς, ὥσπερ καὶ Τιμόθεον ἐν ἄλλοις τε καὶ ἐν οἷς κατὰ τοῦ ἐν ἁγίοις ἀγωνίζεται Λέοντος. Οὐ μόνον δὲ αὐτὸς οὐκ ἀνέχεται φάναι σώζεσθαι, ἀλλὰ καὶ ἀσεβείας ἐνόχους ἀποφαίνει τοὺς, εἴ τινες σώζεσθαι τῶν φύσεων τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν δογματίζουσιν. Ἀλλὰ καὶ Σεβῆρος πάλιν σώζεσθαι λέγων τὰς διαφορὰς, τὰ πράγματα οἷς ἡ διαφορὰ ἐπιθεωρεῖται οὐ συνομολογεῖ σώζεσθαι. Καὶ οὐ πανταχοῦ δογματίζει τοῦτο· παλίντροπος γάρ ἐστι τὴν πίστιν καὶ πολύμορφος· καὶ γὰρ ἔν τισιν αὐτοῦ [45] λόγοις καὶ αὐτὰ διομολογεῖ τὰ πράγματα σώζεσθαι. Οὕτως οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς τὸ ἀλλόφυλον τῆς εὐσεβείας στασιάζουσι σύνταγμα. Ἐκ τούτου παραινῶν τοὺς στασιάζοντας τῷ φρονήματι τῆς εὐσεβείας συνδραμεῖν, κατ' ἐπιδρομὴν ἱστορεῖ Μαρκιανὸν μὲν συγκροτῆσαι τὴν ἐν Καλχηδόνι σύνοδον, καὶ ὡς ἐκείνου τὸν βίον λιπόντος Λέων μὲν κατέστη τῶν πραγμάτων κύριος, οἱ δὲ Αἰγύπτιοι τῆς ἱερᾶς ἐπαναστρέψαντες συνόδου ταραχῆς ἐπλήρωσαν τὴν οἰκουμένην, δυσσεβῶς τε καὶ πεπλασμένως φημίσαντες ὡς ἡ σύνοδος Κύριλλον ἀπεβάλετο [46] καὶ Νεστόριον ἀπεδέξατο. Ὧν τὸν ἄλογον ὁ Λέων καταστέλλων θόρυβον, τὰ ψηφισθέντα ἐν Καλχηδόνι [47] καὶ τὰ πραχθέντα πανταχοῦ διαπέμψας τῆς οἰκουμένης μετ' ἐγκυκλίων κελεύσεων ἕκαστον τῶν ἀρχιερέων καὶ ἱερέων, ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τῷ μοναδικῷ διέδαμπον βίῳ, τὸ φρόνημα αὐτῶν ἐγγράφως ἀνομολογῆσαι διετάξατο· ὃ καὶ προθύμως πεπράχασι, τῶν ἀρχιερέων τοῦ ἀριθμοῦ εἰς ἑξακοσίους καὶ χιλίους [880 R.] συγκεφαλαιωθέντος, μηδενὸς ἑτερογνωμονήσαντος πλὴν Ἀμφιλοχίου τοῦ [48] Σίδης, ὃς μετ' οὐ πολὺ καὶ αὐτὸς δι' ὑπογραφῆς συνεφώνησε. Μεθ' ὧν καὶ ὁ μέγας Συμεών, ὁ ἐν τῷ στύλῳ τὸν ἀγγελικὸν ἐκεῖνον βίον διανυσάμενος, καὶ Βαράδατος, καὶ ἄλλοι τὸν αὐτὸν βαθμὸν τῆς πολιτείας φθάσαντες. Ταῦτα διαδραμὼν καὶ δικαίως Σεβῆρον τῷ ἀναθέματι παραπεμφθῆναι παραστησάμενος [49] εἰς τέλος διέστειλε τὴν διάλεξιν.

Καὶ ὁ ἐφεξῆς δὲ λόγος προδιαβάλλεται [50] μὲν τὴν αὐτὴν ἐπιγραφήν, παραίνεσιν δὲ πρὸς τοὺς διεστῶτας τῆς Ἐκκλησίας εἰσηγεῖται, ἐκ τῆς πρὸς ἀλλήλους τῶν αἱρετιξόντων κἀνταῦθα μάχης τε καὶ διαφορᾶς συνιδεῖν τὸ τῆς Ἐκκλησίας ὀρθὸν φρόνημα παρακαλῶν. Λέγει δὲ καὶ ὅθεν κατετμήθη εἰς μυρίας διαιρέσεις καὶ τομὰς ἡ αἱρετικὴ δόξα. Ἐπερωτῶσα γὰρ τὰ τέκνα τῆς Ἐκκλησίας, εἰ, καθάπερ δύο τὰς φύσεις λέγουσιν, οὕτω καὶ τὰς ὑποστάσεις λέγειν ἀνέχονται, καὶ ἐπεὶ μίαν λέγουσιν ἐπὶ Χριστοῦ τὴν ὑπόστασιν, ἆρα καὶ μίαν φύσιν ἐπ' αὐτοῦ δογματίζουσι, ταῦτα

A ipsis auctoribus et cum aliis ejusdem sectæ pugnent, nec usquam quidquam stabile et solidum habeant, aperiens declaransque ex illorum absurditate, si ad Ecclesiæ unionem respiciant ostendit. Hos enim producit, ut asserentes differentias post unionem servari, uti Severum ; illos autem ut negantes servari, uti Timotheum, cum in aliis ipsius scriptis, tum in iis quibus sanctum Leonem oppugnat. Ipse vero non solum dicit non servari differentias, sed etiam impietatis reos peragit illos quicunque differentias post unionem servari docent. Sed Severus rursus dum docet differentias servari, res tamen quibus differentia cognoscitur, negat servari. Nec constanter hoc ubique docet : inconstans enim, et Vertumnus aliquis aut Proteus est in fide ; etenim B in quibusdam libris confitetur ipsas etiam res servari. Adeo non solum inter se ipsi, sed neque sibi ipse quisquam constans dogma Babylonicum, nempe et a vera pietate alienum cudunt. Hinc [sumpta occasione] hortatus dissidentes, ut in Ecclesiæ sententiam descendant, cursim narrat a Marciano Chalcedonensem ; synodum coactam ; Leonem, Marciano mortuo, suffectum summæ rerum præfuisse : Ægyptios concilium evertere conatos orbem totum tumultibus implesse, impie ficteque rumores sparsisse, Cyrillum a synodo damnatum, Nestorium receptum fuisse. Quorum [inquit] insanum furorem reprimens Leo decreta concilii Chalcedonensis actaque cum encyclicis seu circularibus mandatis per totum orbem misit, singulisque episcopis et C presbyteris, nec non iis qui in religiosa et monastica vita celebres habebantur præcepit, uti sententiam suam scripto profiterentur. Quod episcopi, numero mille sexcenti, prompte sane exsecuti sunt, nemine qui aliter sentiret deprehenso præter Amphilochium Sidæ pontificem, qui tamen et ipse paulo post concilii sententiæ subscripsit consensitque. A quibus stetit et Simeon qui in columna cœlitum vitam æmulabatur [Simeon stylita], et Baradatus, aliique eamdem vivendi rationem secuti. His oratione decursis, cum **283***b* Severum anathemate proscriptum dixisset, disputationem fine concludit.

D Sequens oratio eamdem præfert inscriptionem, et adhortationem ad eos continet, qui ab Ecclesia dissidebant, qua monet, ut suas inter se pugnas, suorumque dissensiones hæreticorum, cum Ecclesiæ recto consensu respiciant componantque. Ostendit præterea unde factum sit ut opinatio hæretica in infinitas quasi sectas et sententias distracta et divulsa sit. Interrogans enim [hæresis] Ecclesiæ filios an, quemadmodum duas [in Christo] naturas asserunt, asserant similiter et duas personas, et cum respondent unam esse in Christo hypostasin, quærit an etiam

VARIÆ LECTIONES

[44] ἀποκαλ. ς. [45] αὐτῷ ς. [46] ἀπεβάλλετο ς· [47] Χαλκ. A. [48] τοῦ A : τῆς ς. [49] πάραστησάμενος — διέστειλε A : συστησάμενος — διέστησε ς. [50] παραδιαβάλλεται ς. malim προβάλλεται.

asserant unam naturam? Sed nihil horum hactenus unquam quæ hæresis quæsivit, ab [Ecclesiæ filiis] audivit. Vicissim autem et ab Ecclesia interrogatur hæresis, cur id quærat? an quod existimet naturam et personam esse idem, et propterea putet eos qui asserant duas naturas, etiam asserere duas personas? Aut contra, bui unam profiteantur personam, etiam unam profiteri naturam censet? Hinc nato contentionis initio, bellum illud hæreticorum inter se digladiantium multiplex et implacabile exstitit, idemne sit natura et hypostasis. Etenim si dicimus unam in Trinitate naturam esse, necessario dicendum erit, unam quoque esse hypostasin. Aut si tres hypostases, natura quoque in tres erit partienda naturas. Hinc commenti sunt aliud esse naturam, et aliud essentiam. Naturam rursum diviserunt in generalem et singulares naturas. Et cum ad Sergium scribit Severus: *Unam*, inquit, *essentiam Christum esse volumus dicere, ne concurrentium differentiam auferamus. Nam vel una semel nata essentia aut etiam qualitate, quomodo mansit naturarum, ex quibus unus exsistit Christus, secundum essentiam differentia? Si enim una qualitas est et essentia, frustra deinceps ponit differentiam.* Et sane, quibus fundamentis nixus unam asserere essentiam Severus recusat, iisdem vel invitus negare cogitur unam esse in Christo naturam. Nonnulli porro ex impudentioribus, naturam, personam, essentiam idem esse admittentes, non horruerunt affirmare etiam in sancta Trinitate tres esse essentias, unde et tres deos et tres deitates, etsi non verbo, mente tamen docent. Et hi quidem damnantur veluti tres essentias **284***a* in Trinitate prodigiose cudentes, hi vero quod non proprie Deum Patrem aut Filium, aut Spiritum sanctum dici censeant. Isti vero fortasse sint, qui tantum signatas seu figurativas proprietates putant esse hypostases. Ita in multas sententias et errores alios illorum dissecta secta progressa est, quemadmodum et de differentia concurrentium in Christo naturarum. Aliis enim nugatoribus visum est perire differentiam post unionem naturarum: aliis servari differentiam judicatum; qui et ipsi bifariam divisi sunt. Nam qui differentiam manere volunt, nolunt tamen ea manere per quæ exsistit differentia. Alii vero et illa manere, cogente necessaria consequentia, sæpe concedentes (alia hæc est insania atque amentia), duas tamen naturas appellare penitus aversantur. Vox enim *duo*, inquiunt, per partes et per se res differentes ostendit. His breviter disputatis, longa exhortatione hunc quoque librum finit.

Aliam orationem componit contra Agnoitas sive *ignorantes*. Monachos autem quosdam ait ex Pa-

ἐπερωτῶσα [51] ἡ αἵρεσις ὧν μὲν ἐζήτησε [52] τέως οὐδὲν ἀκούει [464 H.], ἀντεπερωτᾶται δὲ παρὰ τῆς Ἐκκλησίας τί δήποτε ταῦτα ἐρωτᾷ· ἆρα γὰρ ταὐτὸν ἡγεῖται φύσιν καὶ ὑπόστασιν, καὶ διὰ τοῦτο τοὺς δύο λέγοντας φύσεις νομίζει δύο καὶ ὑποστάσεις δοξάζειν, ἢ ἀνάπαλιν τοὺς μίαν ὑπόστασιν λέγοντας καὶ μίαν φύσιν συνομολογεῖν νομίζει; Ἀρχὴν οὖν τοιαύτην τῆς κινήσεως λαβούσης, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄσπονδος τῶν αἱρετιζόντων ἐν ἑαυτοῖς συνερράγη πόλεμος, εἰ ταὐτὸν φύσις καὶ ὑπόστασις, ἐπεὶ [53] μίαν φύσιν ἐπὶ τῆς Τριάδος φαμὲν, καὶ μίαν ὁμολογεῖν ἀνάγκη τὴν ὑπόστασιν, ἢ ἐπεὶ τὰς ὑποστάσεις τρεῖς καὶ ἡ φύσις εἰς τρεῖς διαιρείσθω. Κἀκεῖθεν ἄλλο μὲν σημαίνειν τὴν φύσιν, ἄλλο δὲ σημαίνειν τὴν οὐσίαν ἀνέπλασαν, καὶ τὴν φύσιν πάλιν εἰς γενικὴν φύσιν καὶ ἰδικὰς φύσεις κατεμέρισαν. Καὶ πρὸς μὲν τὸν γραμματικὸν Σέργιον ὁ Σεβῆρος γράφων· Μίαν οὐσίαν, φησὶν, εἰπεῖν τὸν Χριστὸν ἐβουλόμεθα [54], ἵνα τῶν συνελθόντων τὴν διαφορὰν μὴ ἀνέλωμεν. Μιᾶς γὰρ καθάπαξ γεγεννημένης οὐσίας ἢ καὶ ποιότητος, πῶς ἔτι μεμένηκε τῶν φύσεων, ἐξ ὧν εἷς ὁ Χριστὸς, ἡ κατ' οὐσίαν διαφορά; εἰ γὰρ μία ποιότης καὶ οὐσία, τὰ τῆς διαφορᾶς λοιπὸν φροῦδα καθέστηκε. Καίτοι γε ἐξ ὧν τὴν μίαν οὐσίαν εἰπεῖν ὁ Σεβῆρος παραιτεῖται, ἐκ τῶν αὐτῶν καὶ τὸ μίαν λέγειν φύσιν ἐπὶ Χριστοῦ, κἂν μὴ βούλοιτο, παρῃτήσατο. Τινὲς δὲ τῶν ἀπηρυθριασμένως [55] φύσιν καὶ ὑπόστεασιν καὶ οὐσίαν ταυτὸν εἰπεῖν ἐκδεξαμένων [56] καὶ ἐπὶ τῆς ἁγίας Τριάδος τρεῖς οὐσίας λέγειν οὐκ ἔφριξαν, δι' ὧν καὶ τὸ τρεῖς θεοὺς καὶ θεότητας, εἰ καὶ μὴ [57] τῇ φωνῇ, τοῖς γε νοήμασι δογματίζουσι. Καὶ οἱ μὲν κατακρίνονται ὡς τρεῖς οὐσίας ἐπὶ τῆς Τριάδος τερατευόμενοι, οἱ δὲ ὡς οὐ κυρίως θεὸν τὸν Πατέρα ἢ τὸν Υἱὸν ἢ τὸ Πνεῦμα δοξάζοντες· οὗτοι δ' ἂν εἶεν οἱ μόνα τὰ χαρακτηριστικὰ ἰδιώματα τὰς ὑποστάσεις εἶναι δογματίζοντες. Καὶ εἰς πολλὰ ἄλλα τοιαῦτα ὁ μερισμὸς [58] αὐτοῖς καὶ ἡ κατατομὴ προελήλυθεν, ὥσπερ καὶ περὶ τῆς διαφορᾶς τῶν συνελθούσῶν ἐπὶ [59] Χριστοῦ φύσεων. Τοῖς μὲν γὰρ μετὰ τὴν ἕνωσιν μὴ φυλάττεσθαι τὴν διαφορὰν ἐπῆλθε φαντάζεσθαι, τοῖς δὲ σώζεσθαι τὴν διαφορὰν ἡ ὁμολογία γέγονε. [881 R.] Διχῇ δὲ καὶ οὗτοι διετμήθησαν. Οἱ μὲν γὰρ τὴν διαφορὰν ὁμολογοῦντες σώζεσθαι τὰ ὧν ἡ διαφορὰ σώζειν οὐ βούλονται· οἱ δὲ κἀκεῖνα ὑπὸ τῆς ἀναγκαζούσης ἀκολουθίας συγχωροῦντες πολλάκις (ἄλλος λῆρος τοῦτο [60] καὶ ἄλλη παράνοια), δύο ταύτας λέγειν οὐμενοῦν οὐδ' ὅλως ἀνέχονται· ἡ γὰρ δύο φωνὴ, φασὶν, ἀνὰ μέρος καὶ καθ' ἑαυτὰ τὰ διαφέροντα τίθησι. Ταῦτα καὶ τὸ τοιαῦτα διὰ βραχέων προθεὶς, καὶ τὴν παραίνεσιν πλατυτάμενος, καὶ τὸν παρόντα καταπαύει λόγον.

Γράφει λόγον ἕτερον κατὰ Ἀγνοητῶν. Μοναχούς δέ τινας τῶν ἐκ τῆς κατὰ τὰ Ἱεροσόλυμα ἐρήμου

VARIÆ LECTIONES.

[51] ἐπερωτῶσα A : ἐπιζητοῦσα ς. [52] ἐπεζήτησε μέν ς. [53] ante ἐπεὶ inseruerim ὥστε. [54] ἐβουλόμεθα] imo οὐ βουλόμεθα. [55] ἀπηρυθριαμένων ς. [56] ἐκδεξάμενοι ς. [57] μὴ add. A. [58] ὁ μερισμός A : ὁρισμός ς. [59] ἐπὶ τοῦ Χρ. ς. [60] τοῦτο A : οὗτος ς.

κινῆσαι λέγει τὸ δόγμα, οἳ ἄγνοιαν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ περιάπτειν ὑπήχθησαν ἐξ ὧν τε εἶπεν αὐτός· Ποῦ τεθείκατε Λάζαρον ; καὶ · Οὐδεὶς οἶδε τὴν ὥραν ἐκείνην ἢ τὴν ἡμέραν οὐδὲ [61] ὁ Υἱός, καὶ ἐξ ἄλλων τοιουτοτρόπων. Ὁ δὲ ἱερὸς Εὐλόγιος οὗτος [465 H.] οὔτε κατὰ τὸ ἀνθρώπινον, πολλῷ δὲ μᾶλλον οὐδὲ κατὰ τὸ θεῖον ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὔτε τὸν τάφον τοῦ Λαζάρου, οὔτε τὴν τέλειον ἡμέραν διατείνεται. Οὔτε γὰρ τὸ ἀνθρώπινον, εἰς μίαν ὑπόστασιν συνελθὸν τῇ ἀπροσίτῳ καὶ οὐσιώδει σοφίᾳ, ἀγνοήσει ἄν τι, ὥσπερ οὐδὲν τῶν παρόντων, οὕτω δὴ οὐδὲ τῶν μελλόντων, οὔτε διαψευσθῆναι δύναται τὸ εἰρημένον παρ' αὐτοῦ. Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν, εἰ μὴ ἄρα καὶ τὸν Πατέρα πρὸς τὴν ἄγνοιαν οἱ πάντα τολμῶντες παρελκύσωσι. Τὸ μέντοι γε φάναι τὸν Σωτῆρα· Ποῦ τεθείκατε Λάζαρον ; εἰς ἐπίστασιν καὶ μνήμην ἄγοντα [62] τοὺς παρόντας τῶν Ἰουδαίων εἰπεῖν. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερά τινα διαπράξασθαι, ὥσπερ τό· Δύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν, ἵνα ἐξ ὧν τε κατὰ μέρος εἶδον καὶ ἐξ ὧν ἤκουσαν, πιστὸν μὲν τὸ ὁρᾶσθαι καὶ ἀναμφισβήτητον, ἀνεξάλειπτον δὲ παραδοθείη τῇ μνήμῃ. Λέγει δὲ ὅτι καὶ τὰ ἐπὶ Χριστοῦ λεγόμενα τὰ μὲν κατὰ ἀναφοράν, τὰ δὲ κατὰ ἀλήθειαν λέγεται· κατὰ ἀναφορὰν μὲν τὸ ἁμαρτίαν αὐτὸν καὶ κατάραν ὑπὲρ ἡμῶν γενέσθαι (οὐ γὰρ γέγονε ταῦτα, ἀλλ' οἷα τῆς κεφαλῆς οἰκειουμένης τὰ τοῦ ἰδίου σώματος, αὐτὸς τὰ τοῦ σώματος ἀναδέχεται)· κατὰ ἀλήθειαν δὲ λέγεται ἄνθρωπός τε γεγονέναι καὶ πεινῆσαι καὶ διψῆσαι καὶ τὰ ὅμοια. Ὥστε εἴ τις ἐθέλοι λέγειν ἀγνοεῖν αὐτὸν κατὰ ἀναφοράν, ὡς οὐκ ἐκτὸς ἀγνοίας ὄντος αὐτοῦ τοῦ σώματος ἤτοι τῆς ἀνθρωπίνης φύσεως [63], ἧς ἐστιν αὐτὸς κεφαλὴ [64], οὐκ ἂν μὲν ἔξω τοῦ εἰκότος περιενεχθείη, οὐ μὴν ἀγνοοῦντα τὴν τοῦ Πατρὸς σοφίαν δοξάσειεν. Ἀλλ' εἰ τό· Ποῦ τεθείκατε αὐτόν ; ἄγνοιαν τοῦ Χριστοῦ κατηγορεῖν τοὺς ἀπαιδεύτους ἀνέπεισε, πῶς οὐχὶ καὶ τῷ Πατρὶ τὴν αὐτὴν ἄγνοιαν ἐπιῤῥίψουσι διαπυνθανομένῳ καὶ λέγοντι πρὸς τὸν Ἀδάμ· Ποῦ εἶ ; καὶ πρὸς τὸν ἀδελφοκτόνον· Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου ; καί· Κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα· καταβὰς [65] οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται, εἰ δὲ μή, ἵνα γνῶ. Ἐρωτᾷ δὲ καὶ ὁ Ἰησοῦς τὸ δαιμόνιον. Τί ὄνομά σοι ; κἀκεῖνο ἀποκρίνεται· Λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. Ἀλλὰ καὶ τοῖς τυφλοῖς λέγει· Τί θέλετε ποιήσω ὑμῖν; καὶ πῶς οὐκ ἔστι ταῦτα φανερὸν ὡς οὐκ ἀγνοίας ἦν, ἀλλὰ τὸ μὲν [66] ἐπερωτᾷ ἀπ' αὐτοῦ τοῦ δαιμονίου [884 R.] τὸ πλῆθος τῶν κατοικούντων τοῖς μαθηταῖς ἐπιδεῖξαι βουλόμενος, ὡς [67] ἂν μάθοιεν ὡς καὶ τῶν πολλῶν ἤδη περιγέγονεν, πίστιν αὐτοῖς [68] καὶ θάρσος ἐντιθεὶς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν

A læstina solitudine excitasse [pravum] dogma, qui Domino nostro Jesu Christo ignorantiam, ex iis quæ ipse dixit, assignare conati sunt : *Ubi posuistis Laxarum* [n] ? [inquit Dominus] et : *Nemo novit horam, aut diem illum, neque Filius hominis* [o], atque item ex aliis hoc genus verbis. Sanctus autem Eulogius iste, Christum Jesum Dominum nostrum, neque secundum humanitatem quidem, multo minus vero secundum divinitatem ignorasse sepulcrum Lazari, neque etiam illum ultimum diem contendit. Neque enim humanitas Christi in unam inaccessibilis et substantialis sapientiæ hypostasin admissa quidquam velut rerum præsentium, ita futurarum poterit ignorare : neque falsum esse potest quod dixit : *Omnia quæcunque habet Pater, mea sunt* [p], B nisi et Patri, nihil non audentes, ignorantiam ascribent. Enimvero hoc quod dixit Salvator : *Ubi posuistis Lazarum ?* eo dixisse ait, ut id præsentes Judæi scirent, illorumque memoriam firmaret. Imo non hoc solum, sed et alia quædam id genus fecisse affirmat, ut illud : *Solvite eum, et sinite abire* [q], ut ex iis quæ speciatim viderant, et quæ audierant, fidem oculorum testatam et indubitatam [Judæis] faceret ; memoriæ vero illorum factum nunquam oblitterandum infigeretur. Docet etiam alia de Christo dicta per figuram, alia secundum rei veritatem. Figurate dicitur illum pro nobis **284***b* peccatum et maledictum factum esse ; neque enim fuit quidquam horum. Sed veluti sibi caput vindicat ea quæ sunt reliqui corporis, ita Christus ea quæ corporis sunt sibi assignat. Secundum rei C veritatem autem dicitur homo factus, et esuriisse, et sitivisse, et hoc genus similia. Quod si ergo quis velit dicere, eum figurate et anaphorice aliquid ignorare, eo quod corpus non sit extra ignorantiam, aut humana vox cujus ipse caput est, is non absurde loquetur, neque interim Patris sapientiam ignorasse aliquid docebit. Sed si illa verba : *Ubi posuistis eum?* ad Christi ipsius, imperiti homines, referunt ignorantiam, quomodo non eamdem ignorantiam in Patrem rejicient, quando interrogat et dicit ad Adamum : *Ubi es* [r] ? et ad fratricidam : *Ubi est Abel frater tuus* [s] ? et : *Clamor Sodomorum et Gomorrhæorum multiplicatus est, et peccata eorum magna valde : descendam ergo et videbo* D *utrum clamorem suum* [qui venit ad me] *opere compleverint necne, ut sciam* [t]. Interrogat et Jesu dæmonium : *Quod tibi nomen est?* et illud respondet : *Legio mihi nomen est, quia multi sumus* [u]. Quin et cæcos interrogat : *Quid vultis faciam vobis* [v] ? Et quomodo non patet, hæc non ex ignorantia quæsita ? Sed a dæmonibus quidem quærit, quanta sit obsidentium multitudo, ut discipulis ostendat se jam multis esse superiorem, et fidem firmet ; animosque addit

[n] Joan. XI, 34. [o] Marc. XIII, 32. [p] Joan. XVI, 15. [q] ibid. 35. [r] Gen. III, 9. [s] Gen. IV, 9. [t] Gen. XVIII, 20. [u] Marc. V, 9. [v] Matth. XX, 32.

VARIÆ LECTIONES

[61] ἡμ. ἐκείνην οὐδέ ς, [62] ἐνάγοντα A. [63] φύσεως A : φωνῆς ς. [64] αὐτὸς ἡ κεφαλή ς. [65] σφόδρα καὶ καταβάς ς. [66] μέν A : μήν ς. [67] ὡς ante καὶ add. A. [68] αὐτοῖς πίστιν ς.

calcandi super serpentes et scorpiones, et super omnem virtutem inimici [x]. Cæcos autem interrogat, ut petitionem ab illis eliciat. Quantum enim beneficium ex petitione accipimus, tantum afficimur ad beneficium [agnitum et] acceptum. Illud autem quod de extremo judicii die dictum, quod illud nemo novit, neque angeli, neque Filius, nisi solus Pater, id quidam ob eam rationem dictum existimant, ut discipuli arbitrati quotidie diem ultimum imminere semper vigilarent. Sed nihil obstat quominus et hoc figurate dictum interpretemur, quemadmodum et illud : *Tu scis insipientiam meam* [y], et illud, *Deus, Deus meus, ut quid me dereliquisti* [z]? Sunt qui censeant illum dixisse quod ignoraret ultimum diem, ut humanæ naturæ signum proprium quod illi inest, declararet et ostenderet; non quod ipse ignoraret : absit! [quod ipse ignorarit]. Quicunque enim vel divinitati ipsius, vel humanitati ignorantiam **285***a* ascribet, nunquam certissimæ temeritatis crimen effugiet. Sed cum, ut beatus Cyrillus docet, subtili mentis conceptu et animi imaginibus per contemplationem, rem a re dividimus, tum videmus proprias naturæ utriusque, ut in se est, notas et proprietates. Aut, ut Gregorius Theologus tradit, quando naturæ ratione distinguuntur, etiam nomina naturarum simul dividuntur. Sed nudæ puræque humanitatis signum proprium est ignorantia. Hac ratione ergo Christi humanitati, ut simplici et puræ humanitatis naturæ consideratæ [præcise secundum ea quæ a se ipsa habet] adscribi poterit ignorantia. Et hoc est quod Theologus explicavit, quando dixit : *Scit quidem ut Deus, nescit vero ut homo.* Quibus dictis addit, quod si qui ex Patribus ignorantiam in Salvatore ex parte humanitatis admiserunt, id tamen non ut dogma sanxerunt, sed Arianorum insaniam repressuri (qui omnia [quæ in Christo erant] humana ad Unigeniti divinitatem transtulerunt, ut increatum Dei verbum creaturam ostenderent), rectius hæc de humanitate dici posse existimarunt, quam humana ab illis [Arianis] ad divinitatem trahi. Etsi forte qui dixerit, etiam Patres figurate seu anaphorice locutos esse, religiosius videbitur judicasse. His expositis, dicendi finem facit.

Liber postremus orationem continet, cui titulus : *Decretum in Samaritanos editum.* Argumentum orationis hujusmodi : Plebs Samaritana in contrarias divulsa factiones, inter se dissidebat, et peregrinis se opinionibus propugnabat. Alii enim Jesum Nave eum esse censuerunt, de quo Moyses dixit : *Prophetam vobis excitabit Dominus Deus ex fratribus vestris, ut me* [a]. Alii rejecta hac sententia, Dosthen quemdam nomine, sive Dositheum prædicarunt Samaritanum etiam gente æqualem Simoni Mago. Et hunc illum esse a Moyse prædi-

A τὴν δύναμιν τοῦ ἐχθροῦ. Τοὺς τυφλοὺς δὲ ἐπερωτᾷ οἰκονομῶν ἐξ αὐτῶν προσαχθῆναι τὴν αἴτησιν· ὅσον γὰρ αἰτοῦντες τῆς ὠφελείας τυγχάνομεν, τοσοῦτον τὴν αἴσθησιν τῆς εὐεργεσίας δεχόμεθα. Τὸ δὲ περὶ τῆς ἐσχάτης ἡμέρας εἰρημένον, ὡς οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ, τινὲς μὲν κατ' οἰκονομίαν εἰρῆσθαί φασιν, ἵνα τῶν μαθητῶν κατὰ πᾶσαν ἡμέραν νομιζόντων ἐπελεύσεσθαι τὴν τελευταίαν ἡμέραν ἀεὶ γρηγοροῦντες διατελῶσιν· [466 II.] οὐδὲν δὲ κωλύει καὶ τοῦτο ἐκλαβεῖν ὡς κατὰ ἀναφορὰν εἰρημένον, καθάπερ καὶ τό· Σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ τό· Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Ἔνιοι δέ φασιν αὐτὸν ἀγνοεῖν φάναι τὴν ἐσχάτην ἡμέραν τὸ ἰδίως προσὸν τῇ ἀνθρωπίνῃ φύσει γνώρισμα δεικνύοντά τε καὶ ἐμφανίζοντα, οὐχ ὡς αὐτοῦ ἀγνοοῦντος (ἄπαγε· οὔτε γὰρ κατὰ τὴν θεότητα οὔτε κατὰ τὴν ἀνθρωπότητα τὴν ἄγνοιαν λέγειν ἐπ' αὐτοῦ θράσους ἐπισφαλοῦς ἠλευθέρωται), ἀλλ' ἐπειδή, ὡς ὁ μακάριος Κύριλλός φησιν, ἐν ἰσχναῖς διαιροῦντες ἐννοίαις ἤτοι νοῦ φαντασίαις τῷ τρόπῳ τῆς θεωρίας ἑκατέρας φύσεως ὁρῶμεν ἴδια [69] καὶ καθ' ἑαυτὰ γνωρίσματα, ἢ καὶ ὡς ὁ θεολόγος Γρηγόριος, ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα· ἴδιον δὲ γνώρισμα ψιλῆς ἀνθρωπότητος ἡ ἄγνοια· κατὰ τοῦτο ῥηθείη ἂν ἐπὶ τῆς κατὰ Χριστὸν ἀνθρωπότητος, ὡς ἁπλῶς ἀνθρωπότητος, θεωρεῖσθαι τὴν ἄγνοιαν. Καὶ τοῦτο καὶ ὁ θεολόγος ἐτράνωσεν, εἰπών· Γινώσκει μὲν ὡς Θεὸς, ἀγνοεῖ δὲ ὡς ἄνθρωπος, ἂν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου. Ταῦτα εἰπὼν ἐπάγει ὡς εἰ καί τινες τῶν Ηατέρων τὴν ἄγνοιαν ἐπὶ τῆς κατὰ τὸν Σωτῆρα παρεδέξαντο ἀνθρωπότητος, οὐχ ὡς δόγμα τοῦτο προήνεγκαν, ἀλλὰ πρὸς τὴν τῶν Ἀρειανῶν μανίαν ἀντιφερόμενοι, οἳ καὶ τὰ ἀνθρώπινα πάντα ἐπὶ τὴν θεότησα τοῦ Μονογενοῦς μετέφερον, ὡς ἂν κτίσμα τὸν ἄκτιστον Λόγον τοῦ θεοῦ παραστήσωσιν, οἰκονομικώτερον ἐδοκίμασαν ἐπὶ τῆς ἀνθρωπότητος ταῦτα φέρειν ἢ παραχωρεῖν ἐκείνους μεθέλκειν ταῦτα κατὰ τῆς θεότητος. Εἰ δὲ κατὰ ἀναφορὰν κἀκείνους δοίη ταῦτά τις εἰπεῖν, τὸν εὐσεβέστερον λόγον ἀποδέξεται. Ταῦτα διελθὼν [70] πέρατι περιβάλλει τὸν λόγον.

Τελευταῖον δὲ περιεῖχε τὸ βιβλίον λόγον ἐπιγραφὴν φέροντα, Ὅρος ἐκφωνηθεὶς τοῖς Σαμαρείταις· Ἡ δὲ ὑπόθεσις πρόκειται τοιαύτη. Τῶν Σαμαρειτῶν τὸ πλῆθος εἰς ἀντικειμένας μερίδας διαιρεθέντες καὶ στασιάσαντες πρὸς ἀλλήλους καὶ ἀλλοφύλοις ἑαυτοὺς ἀποδιατειχίσαντες δόξαις, οἱ μὲν Ἰησοῦν τὸν Ναυῆ ἐδόξαζον εἶναι περὶ οὗ Μωϋσῆς εἶπε· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, οἱ δὲ τοῦτον [71] μὲν παρεγράφοντο, Δοσθην δέ τινα τοὔνομα ἢ Δοσίθεον ἀνεκήρυττον. Σαμαρείτην μὲν καὶ αὐτὸν τὸ γένος,

[x] Luc. x, 19. [y] Psal. LXVIII, 6. [z] Psal. XXI, 2; Matth. XXVI, 46. [a] Deut. XVIII, 15.

VARIÆ LECTIONES.

[69] ἰδία A. [70] διελθὼν Λ : δὴ περιελθών ς. [71] τοῦτο ς.

συναχμάσαντα δὲ κατά γε [72] τοὺς χρόνους Σίμωνι τῷ Μάγῳ · καὶ τοῦτον εἶναι τὸν προφητευθέντα τερατευόμενοι ἐξ αὐτοῦ τὴν ἐπωνυμίαν ἔφερον, Δοσθηνοὶ καλούμενοι. Οὗτος δὲ ὑβριστὴς μὲν γέγονε τῶν τοῦ Θεοῦ προφητῶν, ὑβριστὴς δὲ μάλιστα τοῦ Ἰούδα τοῦ ἑνὸς τῶν δώδεκα πατριαρχῶν, [885 R.] μηδὲ τοὺς περὶ αὐτοῦ [73] μυρίους ἐπαίνους παρὰ τῆς Μωσαϊκῆς Γραφῆς αἰσχυνθείς. Τοὺς οὖν εἰρημένους πάντας πλόνων καὶ διαγελῶν, εἰς ἑαυτὸν πάντα καὶ τὴν προφητείαν καὶ τὴν ἄλλην περιέσπα θειότητα. Μυρίαις δὲ καὶ ποικίλαις ἄλλαις νοθείαις τὴν Μωσαϊκὴν ὀκτάτευχον κατακιβδηλεύσας, καὶ ἑτερά τινα συγγράμματα μωρά τε καὶ ἀλλόκοτα καὶ ἀπεναντία [74] πνευματικῆς [467 H.] νομοθεσίας συντεταχὼς τοῖς πειθομένοις κατέλιπεν. Ἀπεκήρυττε δὲ καὶ τὴν ἀνάστασιν. Αἱ μὲν οὖν μερίδες οὕτω εἰς ἀντιπάλους καὶ βλασφήμους δόξας διετέτμηντο. Ἐπιδιδόασι δὲ καὶ λιβέλλους ὑπέρ τε [75] τοῦ οἰκείου φρονήματος καὶ κατὰ τοῦ ἀντικειμένου, μερὶς ἑκατέρα τὸν παρ' αὐτοῖς πρεσβευόμενον προφήτην εἶναι προτιμῶσα. Καθίζει δὲ τούτων δικαστὴς ὁ ἱερὸς Εὐλόγιος μετὰ συνόδου ἀρχιερεῖς τε τῶν ἐπισήμων καὶ τοὺς λαμπροὺς τῶν ἐν ἀξιώμασι πλήρωμα ποιουμένης· Μαρκιανὸς [76] δὲ τηνικαῦτα, ὃς τοῖς Ῥωμαϊκοῖς ἐνίδρυτο σκήπτροις, ἕβδομον ἔτος ἦνυε τῆς βασιλείας. Γυμνάσας δὲ τὰ παρ' ἑκατέρων λεγόμενα ὁ ἱερὸς Εὐλόγιος, καὶ τῆς ἀληθείας ἑκατέρους διελέγξας μακρὰν ἀφισταμένους, τὸν μὲν προφητευόμενον γραφικοῖς παρέστησε ῥητοῖς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν εἶναι, τοὺς δὲ μακράν τε καὶ χαλεπωτάτην ἀποπλανηθῆναι πλάνην, τοὺς μὲν Ἰησοῦν τὸν τοῦ Ναυῆ τὸν προφητευόμενον εἶναι κενολογοῦντας, τοὺς δὲ Δόσθην ἢ Δοσίθεον τὸν δυσσεβῆ τερατολογοῦντας. Καὶ οὕτω τὸν σύλλογον διαλύει, συντελευτώσης αὐτῷ καὶ τῆς ὑποθέσεως καὶ τῆς ἐκφωνήσεως καὶ τοῦ περιελθόντος εἰς τὰς ἡμετέρας χεῖρας τρίτου τεύχους.

Actum, portentose commenti, ab ipsius nomine Dostheni cognominati sunt. Hic in divinos Dei prophetas maledicus, potissimum tamen in Judam unum de duodecim patriarchis contumelioseus, nihil reveritus immensas de illo in voluminibus Mosaicis perscriptas laudes. His ergo prophetis omnibus explosis exsibilatisque ipse sibi omnia et vaticinia, et **285***b* reliquam divinitatem arrogavit. Octateuchum spuriis scriptis et omni genere mistis corruptelis adulteravit, aliosque libros stultitia et portentis plenos, divinisque legibus contrarius consarcinavit, suisque asseclis reliquit. Resurrectionem quoque negavit. Hæ ergo factiones ita in dissidentes, contrarias et impias sectas et opiniones dissectæ fuerant. Utraque porro factio libellos pro sua sententia, et contra adversariam partem, suum quæque prophetam alteri præferendo porrexit. Sanctus Eulogius cum synodo frequentissima, pontificibus plena insignibus atque illustribus dignitate viris, judex his præsedit. Marcianus susceptum imperium Romanum septimum jam annum administrabat. Beatus Eulogius discussis quæ ab utraque parte asserebantur, et utraque erroris a veritate procul remoti convicta, illum a prophetis prædictum Messiam, ex Scripturis sacris docuit esse Dominum nostrum Jesum Christum verum Deum : illos vero gravissimo errore laborasse ; hos quidem quod Jesum Nave illum prophetam prænuntiatum fingerent ; illos vero quod Dosthen seu Dositheum impium portentose comminiscerentur. Atque ita concilium solvit. Sed argumentum et decretum cum Eulogio periit : tertius liber superstes in nostras manus pervenit.

Ἐν τούτῳ τῷ βιβλίῳ τὴν ἀνάστασιν ὁ συγγραφεὺς ἐκ τῶν Μωσαϊκῶν μαρτυριῶν ἐπιδεικνύναι σπεύδων τοιαῦτά φησιν· Εἰ μὴ πανάληθες ἦν τὸ τῆς ἀναστάσεως χρῆμα, πῶς ἔλεγε πρὸς Ἀβραὰμ ὁ Θεός· Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, ταφεὶς [77] ἐν γήρει καλῷ; Πῶς γὰρ ἂν ἀπῄει καὶ πρὸς ποίους, εἰ μηδαμῶς μηκέτι μήτε αὐτὸς [78] ἔμελλεν εἶναι, μήτε πρὸς οὓς ἀπῄει ; Πῶς δὲ πάλιν μετ' ὀλίγα τὸ ἱερὸν λόγιον φησι περὶ αὐτοῦ· Καὶ ἐκλιπὼν ἀπέθανεν Ἀβραὰμ ἐν γήρει καλῷ, πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ ; Τίς γὰρ τοῦ μὴ ὄντος προσθήκη, καὶ πῶς προστίθεται τοῖς μὴ οὖσι τὸ ὄν [79] ; Τί δὲ λέγει καὶ περὶ τοῦ Ἰακώβ, ὅτι Συνήχθησαν πάντες οἱ υἱοὶ αὐτοῦ καὶ πᾶσαι αἱ θυγατέρες, καὶ ἦλθον [80] παρακαλέσαι αὐτὸν, καὶ οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων ὅτι Καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδην; Πῶς γὰρ ἂν ἐπινοηθείη κάθοδος τοῦ μὴ

In hoc auctor resurrectionem ex Moysis tabulis testatam facere connixus hæc disputat : Quod nisi verissima esset de resurrectione sententia, quomodo diceret ad Abrahamum Deus : *Te autem ibis ad patres tuos cum pace, sepultus in senectute bona* [b] . Quomodo enim abiret, et ad quos abiret, si ille nullus amplius futurus erat, et non essent ii ampliusad quos abiturus erat? Et quomodo rursum paulo infra de illo divinum ait eloquium : *Et deficiens mortuus est Abraham in senectute bona, provectæque ætatis, et plenus dierum, congregatusque est ad populum suum* [c] ? Quænam congregatio fit ad id, quod non est ? Et quomodo id quod est addi potest iis quæ non sunt ? Quid porro de Jacob dicit ? *Congregati sunt omnes filii et filiæ, ut lenirent dolorem patris, et noluit consolationem accipere, sed ait : Descendam ad filium meum* **286***a lugens in infernum* [d] · Quomodo intelligitur descensus ejus qui non exsistit? et quomodo descendit ad filium, qui ex deliramento

[b] Gen. xv, 15. [c] Gen. xxv, 3. [d] Gen. xxxvii, 35.

VARIÆ LECTIONES.

[72] γε A : τε ς. [73] αὐτόν ς. [74] ἀπ' ἐναντίας A. [75] τε add. A. [76] Μαρκιανὸς] Μαυρίκιος Fabricius. [77] τραφεὶς A. [78] αὐτὸς] οὗτος A. [79] τὸ ὄν] rectius τὸ μὴ ὄν : cf. p. 286. [80] ἦλθον] ἤθελον A.

exsecrati Dosithei, nullus usquam esse potest? Rursum Jacob quando benedicit filiis, ait: *Ego congregor ad populum meum* [e]. Si noverat suam naturam [seu essentiam] una cum præsenti vita finitum iri, quomodo dixit qui mortuus, nusquam amplius fuit, se ad populum suum qui nusquam erat, congregari? Advertesis, quid ipse Dominus et Deus universorum dicatad Moysen, quando illum in extremum Nebo deduxit, et ostendit illi terram quam daturus erat in hæreditatem Israel. Addit enim: *Et videbis eam*: deinde: *Et apponeris ad populum tuum et tu, sicut appositus est et Aaron frater tuus* [f]. Illud autem quos non moveat, Deo ipso clamante affirmanteque: *Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob?* Ecquomodo erit Deus, Deus verus eorum qui nusquam futuri sunt, sed in nihilum redacti? Eccur paradisum ad orientem plantavit in terra Edem, in quo hominem, quem formarat, posuit, si illum statim quidem peccaturum norat, et e paradiso in exsilium ejectum iri, neminem vero postea ex hominibus in illo habitaturum? Etenim si omnes, sive qui piam sive impiam hanc vitam exegerunt, decurso vitæ præsentis stadio in nihilum recidunt, nec quisquam manet, qui paradisum ut hæres occupet, divinisque gaudiis in illo perfruatur, quomodo non hæc ingrata adversus Deum, et impia opinio, frustra creatum ostendit, et per hanc in illum injuriam, ipsum communem rerum effectorem Deum contumeliose perstringit, quando illum ea fecisse insimulat, quæ nec mediocriter prudens unquam faceret?

Sic impiam Dosithei de resurrectione sententiam ex sacra Scriptura refutans, ostendit mundum corrumpi, quem ille incorruptibilem, animam vero corruptibilem monstrose fingebat: angelorum naturam a Deo factam, quam insanus ille inter ea quæ nusquam exsistunt, ponebat; dæmonum quoque genus factum esse, et manere; Dostheni vero idola seu simulacra, dæmonas esse dictitabant, aliud genus dæmoniorum nullum agnoscebant; eo insaniæ illum esse progressum ostendit.

286*b* In hoc [porro] libro quæstionem addit, cur, cum multa essent animalia inter munda numerata, quinque tantum sacrificata fuerint, et ab antiquis [Judæis] ad rem divinam adhibita, hircus nempe, et aries, et bos, turtur et columba? Respondet, antiqua figuram esse, et pleraque ad ænigmatum cognitionem referri. Quinque autem ex mundis sacrificari ait, quod per illa quinque sensus nostros pari numero voluerit insinuare: his enim purificatos seu mundos nos adjungere Verbo vult legislator et decernit. Atque hæc quidem [ex orationibus Eulogii] excerpta sunt.

[e] Gen. XLIX, 29. [f] Deut. XXXII, 49, 50.

A ὄντος; Πῶς δὲ καὶ κατέβαινε καὶ πρὸς τὸν υἱὸν τὸν μηδαμῇ μηδαμῶς κατὰ τὸν Δοσιθέου δύσφημον λῆρον δυνάμενον εἶναι; Πάλιν δὲ τοὺς υἱοὺς εὐλογήσας ὁ Ἰακώβ φησιν. Ἐγὼ δὲ προστίθεμαι πρὸς τὸν λαόν μου. Εἰ γὰρ περατουμένην ᾔδει τὴν ὕπαρξιν αὐτοῦ τῷ πέρατι τοῦ παρόντος βίου, πῶς ἔλεγε προστίθεσθαι μὴ ὢν αὐτὸς τῷ μηδαμῇ μηδαμῶς ὄντι αὐτοῦ λαῷ; Ὅρα δὲ, καὶ αὐτὸς ὁ Δεσπότης [81] καὶ θεὸς τῶν ὅλων τί λέγει τῷ Μωϋσεῖ, ὅτε αὐτὸν εἰς τὸ ὄρος ἀναβιβάζει τὸ πέραν Ναβαῦ [82], καὶ τὴν γῆν ἐπιδεικνύει ἣν ἔμελλε κατακληροδοτεῖν τῷ Ἰσραήλ; Ἐπάγει γάρ, Καὶ ὄψει αὐτήν· εἶτα, Καὶ προστεθήσῃ πρὸς τὸς λαόν σου καὶ σὺ, καθὰ προσετέθη καὶ Ἀαρὼν ὁ ἀδελφός σου. [888 R.] Ἐκεῖνο δὲ τίνας οὐκ ἂν δυσωπήσειεν, αὐτοῦ Θεοῦ [468 H.] διακεκραγότος καὶ λέγοντος. Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; Πῶς γὰρ ἂν εἴη Θεὸς ὁ ἀληθινὸς Θεὸς τῶν μηκέτι ἐσωμένων, ἀλλὰ ἀποφθαρέντων εἰς τὸ μὴ ὄν; Τί δὲ καὶ τὸν κατὰ ἀνατολὰς παράδεισον ἐφύτευσε, τὸν ἐν Ἐδὲμ, ἐν ᾧ τὸν ἄνθρωπον ὃν ἔπλασεν ἔθετο, εἰ ἐκεῖνον μὲν εὐθὺς παραβήσεσθαι ᾔδει καὶ τοῦ χωρίου γενησόμενον ὑπερόριον, μηδένα δὲ τῶν μετὰ ταῦτα ἀνθρώπων μέλλοντα πάλιν οἰκήσειν αὐτόν; Εἰ γὰρ ἕκαστος καὶ τῶν εὐσεβῶς [83] βεβιωκότων καὶ τῶν δυσσεβῶς πολιτευσαμένων μετὰ τὸ στάδιον τοῦ παρόντος βίου πρὸς τὸ μὴ ὂν ἀναλύεται [84], καὶ οὐδεὶς οὐκέτι διαμένει ὥστε καὶ παράδεισον κληρονομεῖν καὶ τῆς ἐν αὐτῷ τρυφῆς ἀπολαύειν ἱερᾶς, πῶς οὐ μάτην αὐτὸν γεγενῆσθαι ἡ τοιαύτη ἀγνώμων καὶ δυσσεβὴς ὑπόληψις ἀποφανεῖ [85], καὶ διὰ τῆς εἰς ἐκεῖνον ὕβρεως τὸν κοινὸν ἐξυβρίσει Δημιουργὸν, ἐκεῖνα πράττειν κατηγορῶν, ἃ μηδὲ μέτριος ἄν τις διαπράξαιτο ἀνήρ;

Οὕτω τὸ δυσσεβὲς περὶ ἀναστάσεως διὰ τῶν ἱερολογιῶν Δοσιθέου κήρυγμα καταβαλὼν, καὶ ὅτι φθαρτὸς ὁ κόσμος (ἐκεῖνος γὰρ φθαρτὴν μὲν [86] τὴν ψυχὴν, ἄφθαρτον δὲ τοῦτον ἑτερατολόγει), καὶ ὅτι τῶν ἀγγέλων ἡ φύσις παρὰ Θεοῦ ὑπέστη (τῶν γὰρ μὴ ὄντων καὶ τούτων τὴν φύσιν [87] ἐκεῖνος ὁ ληρώδης ἐνόμιζε), ναὶ δὴ καὶ ὅτι τὸ δαιμόνιον γέγονε τε καὶ διαμένει φῦλον (οἱ γὰρ Δοσθηνοὶ τὰ μὲν εἴδωλα δαίμονας ἔλεγον, ἄλλο δέ τι δαιμόνιον φῦλον οὐκ ἐγίνωσκον), εἰς πολλὴν αὐτὸν ἐλάσαι φρενοβλάβειαν διήλεγξεν.

Ἐν τούτῳ τῷ βιβλίῳ ἀπορίαν προθεὶς [88], ὅτι πολλῶν ὄντων ζώων ἃ τῆς τῶν καθαρῶν ἐταχθη μερίδος, διὰ τί πέντε μονα ἐθυσιάζοντο τοῖς παλαιοῖς καὶ ἱερουργοῦντο, τράγος καὶ κριὸς καὶ βοῦς, τρυγὼν καὶ περιστερά; Καὶ ἐπιλύεται, τύπον μὲν εἶναι λέγων τὰ παλαιὰ, καὶ τὰ πλείω εἰς αἰνιγμάτων ἀναφέρεσθαι θεωρίαν, πέντε δὲ ἐκ τῶν καθαρῶν ἱερουργεῖσθαι, ἅτε δὴ καὶ τὰς ἡμετέρας αἰσθήσεις τὸν ἴσον ἀριθμὸν ὑποβαλλόμενος [89] ταύτας γὰρ ἡμᾶς κεκαθαρμένας προσάγειν τῷ Λόγῳ νομοθετεῖ τε καὶ βούλεται ὁ νομοθέτης. Ἀλλὰ τὰ μὲν τῆς ἐκλογῆς ἐν τοὐτοις.

VARIÆ LECTIONES.

[81] δεσπότης om. B. [82] Ναβάτ B. [83] εὐσεβῶς A. [84] διαλύεται. [85] ἀπόφαίνει A. [86] μέν A : ἐπί ς. [87] τούτων τὴν φύσιν B, τοῦτου φῦσιν C et pr. A. [88] προσθείς ς. [89] ὑποβαλλὸμενος] fortasse legendum ὑποβαλλομένας.

ΣΑΑ΄

Σωφρονίου Ἱεροσολύμων συνοδικὴ Ἐπιστολή·

Ἀνεγνώσθη Σωφρονίου Ἱεροσολύμων πατριάρχου Συνοδικὴ, ἣ ἀπεστάλη ἐν Ῥώμῃ Ὁνωρίῳ τῷ ταὐτης ἐπάρχοντι. Αὕτη ἡ ἐπιστολὴ πλήρης μὲν ἐστιν εὐσεβείας, ἐννεωτερίζει δὲ πολλαχοῦ [90] τοῖς ῥήμασι, καθάπερ τις πῶλος ἐπιγαυρούμενος τοῖς σκιρτήμασι. Πλὴν τήν τε ὀρθόδοξον ὡς μάλιστα γνώμην ἐξακριβοῖ, καὶ τῶν ἱερῶν δογμάτων οὐ τὴν τυχοῦσαν μάθησιν ἐπιδείκνυται. Ἐν ταύτῃ τῇ ἐπιστολῇ εὑρήσεις καὶ Μάγνον σὺν Ἀπολιναρίῳ ἀναθεματιζόμενον, καὶ Θεοδώρητον τῆς Ἐκκλησίας οὐκ ἀποκηρυττόμενον, εἰ καὶ ἐν οἷς Κυρίλλου κατεψηφίσατο τὸ ἄδόκιμου καὶ μεμπτὸν ἀπηνέγκατο. Ἀλλὰ καὶ ὡς ἄλλος μέν ἐστιν Ὠριγένης ὁ παλαιὸς, ἕτερος δὲ ὁ μετ' ἐκεῖνον, ὁ [91] ἐπικληθεὶς Ἀδαμάντιος· καὶ ὡς τοῖς ἄλλοις αἱρετικοῖς συναναθεματίζεται ὁ Σύρος Ἰάκωβος, [469 H.] ἐξ οὗ τὴν ἐπωνυμιαν τὸ τῶν Ἀκεφάλων αἱρετικῶν εἵλκυσε σύστημα. Αἰτεῖται δὲ ἡ ἐπιστολὴ, καὶ εἴ τι παρώρθη τῶν ὀφειλόντων ῥηθῆναι, τὸν Ῥώμης Ὁνώριον [889 R.] οἷα δὴ καὶ δυνάμενον ταύτης ποιήσασθαι καὶ τὴν διόρθωσιν καὶ τὴν ἀναπλήρωσιν· μεγάλην δ' ἂν ὁμολογήσειν τὴν χάριν, εἰ μὴ διαμάρτοι τῆς αἰτήσεως, καὶ μηδέποτε φανῆναι τῆς εὐεργεσίας ἀγνώμονα. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ βιβλίῳ ἔλεγεν ἡ συνοδικὴ Σωφρονίου τοῦ ἁγιωτάτου ἐπιστολή.

Ἐν δὲ τῷ αὐτῷ περιείχοντο τεύχει χρήσεις ἁγίων καὶ διαφόρων Πατέρων, τῶν τε προγενεστέρων τῆς τετάρτης συνόδου καὶ τῶν κατ' αὐτὴν ἀκμασάντων καὶ τῶν ἔτι μεταγενεστέρων. Αἱ δὲ χρήσεις τὴν διπλῆν ἐνέργειαν ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀνεκήρυττον, ὧν πατέρες καὶ γεννήτορες ἦσαν Λέων τε ὁ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεὺς, καὶ αὐτὴ ἡ τετάρτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, Πέτρος τε ὁ Μύρων ὁσιώτατος ἐπίσκοπος, καὶ Γεννάδιος ὁ Κωνσταντινουπόλεως, καὶ ὁ τῆς Φωτικῆς ἐπίσκοπος ὄνομα Διάδοχος, καὶ Ἐφραίμιος [92] ὁ τῆς Ἀντιοχείας ἀρχιερεὺς, ὃς καὶ κατὰ τῶν Ἀκεφάλων ἐν πολλοῖς συντάγμασι γενναίως ἠνδρίσατο, καὶ Διονύσιος ὁ πολὺς μὲν τὴν γλῶσσαν, πλείων δὲ [93] τὴν θεωρίαν, ὁ μαθητὴς Παύλου καὶ τοῦ Χριστοῦ μάρτυς καὶ τῶν Ἀθηνῶν [94] ἐπίσκοπος, καὶ Ἰουστῖνος ὁ μαρτυρικοῖς αἵμασι βεβαιώσας τὸ φιλόσοφον, καὶ ὁ πολύαθλος Ἀλεξανδρείας Ἀθανάσιος, Γρηγόριός τε ὁ τῆς θεολογίας μυσταγωγὸς, καὶ τῆς Ἐκκλησίας ὁ κόσμος Βασίλειος, καὶ ὁ ποταμὸς τῶν λόγων ὁ Νύσσης Γρηγόριος, καὶ ὁ νικηφόρος Κύριλλος, καὶ ὁ τῆς ἐνθέου παῤῥησίας γνώμων ἀκίνητος καὶ τῆς εὐσεβείας, ὁ Μεδιολάνων Ἀμβρόσιος, καὶ ὁ χρυσοῦς τὴν γλῶτταν καὶ τὸ στόμα Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος, καὶ Σεβηριανὸς ὁ Γαβάλων, καὶ ὁ ἐν ἁγίοις Θεόδοτος (Ἀγκύρας οὗτος ἐπεστάτησε), καὶ Ἰωάννης ὁ Κωνσταντινουπόλεως, ὁ ἐκ Καππαδοκίας ἕλκων τὸ γένος καὶ τὸ ἐπώνυμον, ἀνὴρ ἀρετῆς οἰκητήριον, καὶ ὁ ἐν ἁγίοις Εὐλόγιος, ὁ τῆς Ἀλεξανδρείας ἀρχιεπίσκοπος, ὁ πολλοῖς λόγοις καταβαλὼν τὴν τῶν Ἀκεφάλων δυσσέβειαν, καὶ Ἰωάννης ὁ ἐν ἁγίοις ἐπίσκο-

CCXXXI.

Sophronii Hierosolymitæ synodica Epistola.

Legi *Epistolam synodicam* Sophronii patriarchæ Hierosolymitani, Honorio Romano imperatori missam. Hæc epistola plena est pietate, novis passim verbis, ut equi pullus saltibus gaudens, nisi quod rectam opinionem diligenter examinet, et sacrorum dogmatum non fortuitam esse cognitionem ostendat. In hac epistola invenias Magnum cum Apollinario excommunicatum et Theodoretum ab Ecclesia non abmissum, etsi ubi Cyrillum damnavit, pravum et malum asseruerit. Sed et quod alius sit Origenes antiquus, alius qui post illum vocatus Adamantius, quodque cum aliis hæreticis condemnetur Jacobus Syrus, a quo hæreticorum Acephalorum secta nomen traxit. Rogat autem hæc epistola, si quid prætermissum siteorum quæ dici debuerant, Honorium Romanum imperatorem, ut qui posset, ea et impleret et corrigeret. Habiturum autem se magnam gratiam, si voto non frustratus fuerit, et nunquam beneficii immemorem fore. Hæc autem in hac Oratione synodica sancti Sophronii epistola tradit.

In hoc volumine continebantur testimonia sanctorum variorum Patrum, qui ante quartam synodum fuerunt, et qui post illam floruerunt, et post nati sunt. Quæ testimonia duplicem in Christo Deo nostro operationem prædicarunt, quorum principes et præcipui erant, Leo veteris Romæ pontifex, et quarta illa **287***a* œcumenica synodus, Petrus sanctissimus Myrorum episcopus, Gennadius Constantinopolis, et Photicæ episcopus nomine Diadochus et Euphræmius Antiochiæ præsul, qui etiam contra Acephalos in multis libris strenue certavit. Et Dionysius copiosus quidem verbis, copiosior tamen speculatione, discipulus sancti Pauli, Christi martyr, Atheniensium episcopus ; et Justinus martyrii sanguine philosophiam confirmans ; et strenuus Athanasius Alexandriæ præsul ; et Gregorius, theologiæ arcanum vas ; et decus Ecclesiæ, Basilius ; et verborum flumen Nyssenus ; et fortis athleta Cyrillus ; et in Dei sententia libere confitenda infractus Ambrosius, Mediolani antistes ; et aureus ore et lingua Joannes Constantinopoleos episcopus ; et Severianus Gabalorum ; et sanctus Theodotus, qui Ancyræ præfuit ; et Joannes, Constantinopolitano genere et cognomine Cappadox, homo vere virtutis domicilium ; et beatus Eulogius, episcopus Alexandriæ, qui multis verbis Acephalorum sententiam refellit ; et Joannes antistes Scythopolitanus, qui docte et pie de synodo Chalcedonensi scripsit ; et Heraclianus episcopus Chalcedonensis, qui cum Manichæis maximum certamen iniit ; et Leontius solitariam et monasticam vitam ducens ; et beatus Anastasius Theopolitanus,

VARIÆ LECTIONES.

[90] πολλαχοῦ Λ : πανταχοῦ ς. [91] ὁ ante ἐπικληθεὶς om. Λ· [92] Εὐφραίμιος ς. [93] πλεῖον ς. [94] Ἀθηναίων ς.

et Symeonius monachus et presbyter. Testimonium vero quod sanctum agnoscit ex epistola ejus ad Justinianum imperatorem, quæ etiam contra Nestorianos et Eutychianos digladiatur, depromptum est. Ipse vero Justinianus pius imperator in iis quæ ad Zoilum patriarcham Alexandrinum scripsit, hanc epistolam *Thesaurum* nominavit, etiam profecto Constantinus quidam dignitate quæstoria (nam ipse quoque contra impium Theodosium scripsit), unde testimonia de duabus in Christo operationibus describuntur. Ad hos omnes accedit Theophilus unus e piis et doctis, qui in scriptis suis cum Severo plurimum pugnat, quem odiosus et contentiosus sectarius librarium ipse pessimus scriptor per contumeliam **287***b* nominat. Hæc quidem testimonia quæ liber hic continebat e sanctis illis prius nominatis Patribus deprompta sunt. Utilia vero essent ad reprehendendum eos qui unam tantum in Chriso operationem asserunt. Continebatur etiam testimonium in supradictis quoddam e libro quodam sine inscriptione positum. Liber vero unde testimonium erat petitum Severum his orationibus reprehensum clare demonstrabat.....

A πος Σκυθοπόλεως, ὃς καὶ ὑπὲρ τῆς ἐν Καλχηδόνι συνόδου σοφῶς τε καὶ θεοφρόνως ἐσπούδασε, καὶ Ἡρακλειανὸς [95] ὁ Καλχηδόνος ἐπίσκοπος, ὁ πολὺν κατὰ τῶν θεομάχων Μανιχαίων ἀγῶνα βαλόμενος [96], καὶ Λεόντιος ὁ τὴν ἐρημικὴν πολιτείαν καὶ τὸν μονάδα βίον ἑλόμενος, Ἀναστάσιός τε ὁ ἐν ἁγίοις Θεουπόλεως ἐπίσκοπος, καὶ Συμεώνιος μοναχὸς καὶ πρεσβύτερος (ἡ δὲ χρῆσις ἡ τὸν ὅσιον ἐπιγινώσκουσα ἐξ ἐπιστολῆς ἐστιν ἣν πρὸς τὸν Ἰουστινιανὸν βασιλέα διεπέμψατο, ἥ καὶ κατὰ Νεστοριανῶν τε καὶ Εὐτυχιανιστῶν τὸν ἀγῶνα ἔχει· αὐτός τε Ἰουστινιανὸς [97] ὁ εὐσεβὴς βασιλεὺς, ἐν οἷς πρὸς Ζώϊλον ἔγραψε — πατριάρχης δ' Ἀλεξανδρείας οὗτος ἦν — καὶ τὴν ἐπιστολὴν θησαυρὸς ἐπωνόμασε), ναὶ δὴ καὶ Κωνσταντῖνός τις, τῶν κοιαιστώρων φέρων τὸ ἀξίωμα· καὶ γὰρ οὗτος λόγον κατὰ Θεοδοσίου τοῦ δυσσεβοῦς ἐσπούδασεν, ἐξ οὗ χρήσεις περὶ τῶν δύο ἐνεργειῶν [470 H.] συναναγράφονται. Ἐπὶ πᾶσι καὶ Θεόφιλός τις τῶν θεοφιλῶν καὶ λογίων, ὃς κατὰ Σεβήρου πολὺν ἐν λόγοις ἀγῶνα διήνεγκεν· ὃν καὶ δυσχεραίνων καὶ διαπληκτιζόμενος ὁ δυσσεβὴς καλλιγράφον [98] ὁ κακογράφος, οἷα δὴ ἐνοβρίζων, ὠνόμασεν. Αἱ μὲν οὖν χρήσεις, ἃς ἡ βίβλος περιεῖχε, τοὺς εἰρημένους ἱεροὺς ἄνδρας πατέρας ἐπεγράφοντο, χρήσιμοι δ' ἂν εἶεν πρὸς ἔλεγχον τῶν φρονούντων ἐπὶ Χριστοῦ δυσσεβῶς μίαν ἐνέργειαν. Περιείχετο μέντοι ταῖς εἰρημέναις καὶ ἐξ ἀνεπιγράφου χρῆσις [99], τὸ δὲ σύνταγμα, ἐξ οὗ ἡ χρῆσις, Σεβῆρον ὑπεδείκνυ γενναίως τοῖς λόγοις καταβαλλόμενον.

CCXXXII.

Stephani Gobari Tritheitæ liber.

Legi librum Stephani Tritheitæ cognomine Gobari. Opus magni videbatur laboris, fructum vero non æqualem operæ tulit. Laudis enim studium magis C quam magnam utilitatem præ se fert. Ipsa capita quæ tractat, quæque in communes et ecclesiasticas quæstiones retulit, minimum quinquaginta duo erant, paucis his adjectis particularibus. Hæc duplices sententias includunt, et non solum duplices, sed etiam repugnantes. Sententias vero has non argumentis, nec verbis sacræ Scripturæ confirmavit, sed testimoniis tantum, ut scriptor putavit, variorum Patrum, quorum alia sententiam Ecclesiæ, alia contrariam continebant. Contrariam quidem, antiqua testimonia, et antiquorum hominum non multum de certa sententia laborantium asseruerunt, quarum aliqua non amplexi sunt, sed tamen ei qui hæc collegit amplecti visi sunt : ecclesiasticam vero opinionem confirmant testimonia virorum qui vere senserunt. Hæc autem sunt capita, de quibus per testimonia duplex, et contraria sententia proponitur :

Proprietas, et figura, et forma hypostasis est, sed non conjunctio substantiæ, et proprietatis, nec per se subsistens. — Hoc primum nonnulla testimonia confirmarunt ; deinde rursum postea contrarium alia, hoc est, formam et proprietatem, et characte-

ΣΛΒ'.

Στεφάνου Τριθείτου τοῦ ἐπίκλην Γοβάρου βιβλίον.

[892 R.] Ἀνεγνώσθη βιβλίον Στεφάνου τινὸς τριθείτου, ᾧ ἐπίκλην ὁ Γόβαρος. Τὸ δὲ βιβλίον πόνων μὲν ἐδόκει μακρῶν, κέρδος δ' ἔφερε τῆς πολλῆς οὐχ ὅμοιον ὀπουδῆς. φιλοτιμίαν γὰρ μᾶλλον ἢ χρειαν ἐπεδείκνυτο περιττήν [1]. Ἀλλὰ γὰρ τὰ μὲν κεφάλαια περὶ ὧν ἡ σπουδὴ, καὶ ὅσα εἰς κοινὰς καὶ ἐκκλησιαστικὰς ἀνεφέρετο ζητήσεις, μικροῦ β' καὶ ν' ἦν, μερικωτέρων τινῶν οὐ πολλῶν τούτοις παρεμβεβλημένων. Ταῦτα δὲ δίτταὶ δόξαι κατεμερίζοντο, καὶ οὐ δίτταὶ μόνον, ἀλλὰ καὶ ἀντικείμεναι. Τὰς δὲ δόξας οὐ λογισμοί τινες οὐδὲ λόγια συνεκρότουν ἱερὰ, χρήσεις δὲ μόνον, ὡς ὁ γράφων ἐνόμιζε, διαφόρων Πατέρων, ὧν αἱ μὲν τὸ ἐκκλησιαστικὸν φρόνημα, αἱ δὲ συνεκρότουν τὸ ἀπόβλητον. Ἀλλὰ τὸ μὲν ἀπόβλητον παλαιαί τε χρήσεις καὶ παλαιῶν ἀνδρῶν, οὐ πάντα πρὸς ἀκρίβειαν ἐξετασάντων, περιέθαλπον, ὧν ἐνίων μὲν οὐδ' ἔθαλπον, ἐδόκουν δὲ θάλπειν ὅμως τῷ συλλέγοντι ταύτας· τὸ δὲ φρόνημα τὸ ἐκκλησιαστικὸν αἱ τῶν μάλιστα τὴν ἀλήθειαν ἐξακριβωσάντων ἱερῶν ἀνδρῶν ἐβεβαίουν μαρτυρίαι. Ἔστι δὲ τὰ κεφάλαια, περὶ ὧν ἡ διὰ τῶν χρήσεων διπλῆ καὶ ἀντικειμένη σπουδάζει κατασκευὴ, ταῦτα·

Ὅτι τὸ ἰδίωμα καὶ ὁ χαρακτὴρ καὶ ἡ μορφὴ ὑπόστασίς ἐστιν, ἀλλ' οὐχὶ συμπλοκὴ τῆς οὐσίας καὶ τοῦ ἰδιώματος, οὐδὲ τὸ αὐθυπόστατον. — Τοῦτο μὲν αἱ χρήσεις κατασκευάζουσι πρότερον, εἶτα πάλιν ὕστερον τὸ ἐναντίον ἕτεραι, τουτέστιν ὅτι τὸ ἰδίωμα καὶ ἡ

VARIÆ LECTIONES.

[95] Ἡρακλιανό ς Α. [96] βαλόμενος Β : βαλλόμενος ς. [97] τε ὁ Ἰουστ. ς. [98] καλλιγράφων ς. [99] χρήσεις Α. [1] περιστήν ς.

μορφὴ καὶ ὁ χαρακτὴρ οὐκ ἔστιν ὑπόστασις, ἀλλὰ τῆς ὑποστάσεως χαρακτήρ. Καὶ ἐπὶ τῶν ἄλλων κεφαλαίων, ἵνα μὴ τὰ αὐτὰ καθ' ἕκαστον λέγειν συναναγκασθείημεν, τὴν ἀντίθεσιν αἱ διάφοροι χρήσεις ἀπολαμβάνουσαι δοκοῦσιν ἑκατέρωθεν συνιστᾷν τὸ προτεινόμενον. — Ὡς ὁ Βαπτιστὴς Ἰωάννης Ὀκτωβρίῳ μηνὶ συνελήφθη· οὗ τὸ ἀντικείμενον, ὡς οὐκ ἐν τούτῳ, ἀλλ' ἐν τῷ Νοεμβρίῳ. — Ὡς ἡ Θεοτόκος τὴν δεσποτικὴν σύλληψιν ἐν τῷ μηνὶ τῶν νέων εὐηγγελίσθη, οἷον Ἀπριλλίῳ, ὃν Ἑβραῖοι [2] Νισὰν [3] καλοῦσι· τέτοκε δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μηνῶν συντελεσθέντων [4] θ', τουτέστιν Ἰανουαρίῳ ε', κατὰ τὸ μέσον τῆς νυκτὸς ἥτις ἐστὶ πρὸ ὀκτὼ εἰδῶν Ἰανουαρίων· τὸ δὲ τούτου ἀντικείμενον, [471 H.] ὡς οὐκ ἐν τῷ εἰρημένῳ μηνὶ, ἀλλ' ἐν πέμπτῃ καὶ εἰκάδι τοῦ Μαρτίου εὐηγγελίσθη, ἐτέχθη δὲ ὁ Σωτὴρ ἡμῶν οὐκ Ἰανουαρίῳ πέμπτῃ, ἀλλὰ πρὸ ὀκτὼ καλανδῶν Ἰανουαρίων. — Ὅτι ἐν τῇ ἀναστάσει τὸ αὐτὸ [5] σῶμα κατὰ πάντα, ὃ καὶ νῦν περικείμεθα, ἀπολῃψόμεθα, μηδεμίαν διαφορὰν ἐπὶ τὸ ἄφθαρτον προσειληφότες· καὶ τὸ ἀντικείμενον, ὡς οὐ τὸ αὐτὸ σῶμα τῷ νῦν ἀναλῃψόμεθα φθειρομένῳ. — Ὅτι ἐν τῷ αὐτῷ σχήματι ἀναστησόμεθα· καὶ ὅτι οὐκ ἐν τῷ αὐτῷ, ἀλλ' ἐν ἑτέρῳ. — Ὅτι καθ' ἣν ἡλικίαν ἕκαστος τὸν βίον μετήλλαξεν, κατὰ ταύτην καὶ ἀναστήσεται· τὸ δὲ ἀντικείμενον, ὅτι οὐχ οὕτως, ἀλλὰ καὶ τὰ παιδία ἐν τελείῳ σχήματι ἀναστήσονται, καὶ οὐκ ἀθρόον πάντες, ἀλλὰ παρὰ μέρος. — Ὅτι λεπτὸν καὶ ἀερῶδες καὶ αἰθέριον καὶ πνευματικὸν ἐν τῷ καιρῷ τῆς ἀναστάσεως ἀπολῃψόμεθα τὸ σῶμα· καὶ ὅτι οὐ τοιοῦτον, ἀλλὰ γήϊνον καὶ παχὺ καὶ ἀντίτυπον. — [893 R.] Ὅτι τὸ θεῖον ἀνθρωπόμορφον καὶ ἔμψυχον, καὶ ὅτι τὸ κατ' εἰκόνα τὸ σωματικὸν σχῆμα δηλοῖ, καθ' ὃ καὶ ὁ ἄνθρωπος πρὸς μίμησιν τοῦ ἀρχετύπου διαπέπλασται, καὶ ὡς οἱ ἄγγελοι σώματά τε ἔχουσιν ὁμοιόσχημα τῶν ἀνθρωπίνων σωμάτων, καὶ ὡς ἐκ τῆς θείας οὐσίας ἡ ἀνθρωπίνη προελήλυθε ψυχή· καὶ τὰ ἀντικείμενα τούτοις, ὡς οὔτε τὸ θεῖον ἀνθρωπόμορφον, οὔτε ὅλως ἐσχηματισμένον, ἀλλ' οὔτε ἄλλο τι πέφυκεν εἶναι τῶν προειρημένων· ὡσαύτως δὲ οὐδ' οἱ ἄγγελοι σώματα, ἀλλ' ἀσώματοι, καὶ ὡς ἡ τῶν ἀνθρώπων ψυχὴ οὐκ ἐκ τῆς θείας οὐσίας. — Ὅτι ἄλλο ἦν τὸ πρὸ τῆς παραβάσεως τοῦ ἀνθρώπου σῶμα, ὅπερ καὶ αὐγοειδὲς καλοῦσι, καὶ ἄλλο τὸ μετὰ τὴν παράβασιν, ὃ νυνὶ περικείμεθα σάρκινον, καὶ τοῦτό ἐστιν οἱ δερμάτινοι χιτῶνες, ὅπερ καὶ ἀποτιθέμεθα ἐν τῇ ἀναστάσει· καὶ ἐκ τοῦ ἐναντίου, ὅτι οὐχ ἡ σὰρξ ἡμῶν οἱ [6] δερμάτινοι χιτῶνες. — Ὅτι πρότερον οἱ δίκαιοι ἀναστήσονται, καὶ σὺν αὐτοῖς πάντα τὰ ζῶα, καὶ ἐπὶ χίλια ἔτη τρυφήσουσιν ἐσθίοντες [7] καὶ πίνοντες καὶ τεκνοῦντες, καὶ μετὰ τοῦτο ἡ καθολικὴ ἐπιστήσεται ἀνάστασις· καὶ ἐκ τοῦ ἐναντίου, ὅτι [8] τῶν δικαίων προανάστασις οὐκ ἔστιν, οὐδὲ ἡ χιλιονταετὴς τρυφή, οὐδὲ ὁ [9] γάμος. — Ὅτι μετὰ τὴν ἀνάστασιν ἐν παραδείσῳ τῶν δικαίων ἔσται ἡ διατριβή, καὶ ὅτι οὐκ ἐν παραδείσῳ, ἀλλ' ἐν τοῖς οὐρανοῖς, καὶ ὡς ὁ παρά-

A rem hypostasin non esse, sed hypostaseos figuram. Et in aliis capitibus, ne in singulis eadem repetere-cogamur, testimonia diversa contrarium asseren tia, videntur utrumque prolatum confirmare. — Joannes Baptista Octobri mense conceptus est, cujus contrarium, non in hoc, sed Novembri. — Deipara Dominicæ conceptionis in mense Novorum annuntiationem accepit, nimirum Aprili, quem Hebræi Nisam. **288***a* dicunt, peperit vero Dominum nostrum Jesum Christum mensibus novem evolutis, hoc est quinto Januario, media nocte, quæ est octavo Idus Januarias; huic opinio contraria, non in illo mense, quem diximus, sed die vicesimo quinto Martii annuntiationem accepisse, et peperisse Salvatorem non quinto Januarii, sed octavo Kalendarum Januarii. — In resurrectione idem omnino B corpus quo nunc induimur, assumemus, nullam mutationem in incorruptibile assumentes; et e contrario, non corruptibile hoc idem nos corpus assumemus. — Eadem forma resurgemus, et non eadem, sed alia. — Qua ætate quis mortuus est, eadem resurget; contrarium, non ita, sed pueri in perfecta statura resurgent, et non simul omnes, sed divisim. — Tenue, aerium, ætherium, et spirituale tempore resurrectionis corpus assumemus; et non hoc, sed terreum, densum, et solidum. Deitatem humana esse forma, et animatam; et illud ad imaginem corpoream figuram ostendere, qua et homo ad imitationem archetypi conditus est. Angelos habere corpora ejusdem figuræ, qua sunt C hominum, et e divina substantia animam humanam prodiisse. Et his contraria: Deitatem non esse humana forma, nec omnino figuratam, sed neque quidquam aliud prædictorum natura esse. Similiter nec angelos corporeos, sed incorporeos esse, humanamque animam non esse e divina substantia. — Aliud fuisse hominis corpus ante prævaricationem, quod splendidum vocant, et aliud post transgressionem, carneum scilicet, ut nunc est (et hoc sunt pelliceæ tunicæ), quod in resurrectione deponemus. Et e contrario, pellitas (*pelliceas* vetus interpres) tunicas non esse carnem. — Primo resurgent justi, et cum iis omnia animalia, [et post] mille annos vivent, laute comedentes, bibentes, D generantes, et post hæc universalis fiet resurrectio; et e contrario, neque justorum præcedet resurrectio, neque post mille annos deliciæ, neque generatio erit. — Post resurrectionem in paradiso **288***b* justorum erit commoratio; et non in paradiso sed in cœlis, et paradisus non in cœlo, nec in terra, sed in iis quæ interjecta sunt. — Superna Jerusalem est paradisus, et in tertio cœlo, et arbores in eo, sensu præditæ sunt, et intellectum habent et rationem, et homo post prævaricationem inde in terram delatus est. Deinde et contrarium. Paradisum

VARIÆ LECTIONES.

[2] ὃν οἱ Ἐ · ς. [3] Νησᾶν A. [4] τελεσθ. ς. [5] αὐτὸ add. A. [6] ἡμῶν ἐστιν οἱ B. [7] τρυφ. καὶ ἐσθ. ς. [8] ὅτι] ὅτι τε A. [9] ὁ om. A.

non in tertio esse cœlo, sed in terra. — Bona quæ præparata sunt justis, oculus non vidit, nec auris audivit, nec in cor hominis ascenderunt. Quanquam Hegesippus vir antiquus et apostolicus, libro quinto Commentariorum haud scio an offensus dicit frustra hæc dici, et eos qui hæc dicunt in sacram Scripturam, et contra Christum dicentem : *Beati oculi vestri videntes, et aures vestræ hæc audientes* g, etc., mentiri. — Damnati peccatores in punitione absolvuntur a malitia, et post absolutionem liberantur a pœna. Quanquam non omnes damnandi liberantur, et absolvuntur, sed aliqui tantum, et hanc esse Ecclesiæ sententiam, neminem e pœna eripi. — Uri et non comburi, est incorruptibiliter corrumpi. Titus autem, episcopus Bostrorum, contra Manichæos scribens, primo libro ait : *Quomodo corruptio suimet corruptio? Semper enim aliud quid corrumpit, non seipsum. Si seipsum corrumperet, principium non habuisset : corrumpetur enim seipsum corrumpens. Fieri enim non potest incorruptibilem corruptionem communi sensu percipi aliquando posse.* Et clarum est hunc sanctum virum in altero sensu dixisse impossibilem esse corruptionem non corruptam, et sanctum Joannem secundum alterum sensum. Hic quidem incorruptibilem esse corruptionem dixit, pro perpetuo viventem, et semper exsistentem ; ille vero corruptionem incorruptibilem non esse, hoc est, non posse corruptionem impassibilitatem esse, et incorruptionem, et accidentium servatricem [impassibilitatem]. Sed cum utraque sententia ita se habeat, Gobarus auctor operis differentem sententiam non intelligens, pugnantes quodammodo inter se tradidit conclusiones. — Futurum sæculum octavum est : et contra non octavum, sed nonum est. — Salvatoris nostri Jesu Christi **289***a* corpus tenue erat post resurrectionem, et agile, cœleste, leve, neque tangibile : et ideo intravit clausis januis [h]. Et tangibile et crassum corpus est aliud a tenui : et eo quod est diversæ figuræ et diversæ substantiæ. Hujus contrarium est : Dominum nostrum, Jesum Christum post resurrectionem, nec purum, nec subtile, nec agile corpus habuisse : magica vero arte, non ipsius corporis natura, januis clausis intrasse. — Christus non deposuit carnem post resurrectionem, sed una cum carne in dextra sedet Patris ; et e contrario, veniet judicare vivos et mortuos, non carnem indutus, sed divinum habens corpus. — Non veniet Dominus in secundo adventu, sed nuda divinitate. Hoc vero Gobarus caput constituens, et testimonia adducens Titi episcopi Bostrorum, milleque alia habens quæ adducere posset testimonia, Dominum Jesum Christum in sola divinitate venturum, omnia omisit, et nullius meminit, ubique præsultantem suam impietatem,

δεισος οὔτε ἐν τῷ οὐρανῷ οὔτε ἐπὶ τῆς [10] γῆς, ἀλλὰ τούτων μεταξύ. — Ὡς ὁ παράδεισος ἡ ἄνω ἐστὶν Ἱερουσαλὴμ, καὶ ἐν τῷ τρίτῳ ἐστὶν οὐρανῷ, καὶ τὰ ἐν αὐτῷ ξύλα νοερά τέ εἰσι καὶ σύνεσιν ἔχουσι καὶ λόγον, καὶ ὡς ὁ ἄνθρωπος μετὰ τὴν παράβασιν ἐκεῖθεν ἐπὶ τὴν γῆν κατηνέχθη. Εἶτα καὶ τὸ ἀντικείμενον, ὅτι ὁ παράδεισος οὐκ ἔστιν ἐν τῷ τρίτῳ οὐρανῷ, ἀλλ' ἐπὶ τῆς γῆς. — [472 H.] Ὅτι τὰ ἡτοιμασμένα τοῖς δικαίοις ἀγαθὰ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Ἡγήσιππος μέντοι, ἀρχαῖός τε ἀνὴρ καὶ ἀποστολικός, ἐν τῷ πέμπτῳ τῶν Ὑπομνημάτων, οὐκ οἶδ' ὅ τι καὶ [11] παθὼν, μάτην μὲν εἰρῆσθαι ταῦτα λέγει, καὶ καταψεύδεσθαι τοὺς ταῦτα φαμένους, τῶν τε θείων Γραφῶν καὶ τοῦ Κυρίου λέγοντος · Μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν οἱ βλέποντες, καὶ τὰ ὦτα ὑμῶν τὰ ἀκούοντα, καὶ ἑξῆς. — Ὅτι οἱ ἐν τῇ κολάσει παραδιδόμενοι τῶν ἁμαρτωλῶν καθαίρονται τῆς κακίας ἐν αὐτῇ, καὶ μετὰ τὴν κάθαρσιν ἀπολύονται τῆς κολάσεως. Εἶτα καὶ ὅτι [12] οὐ πάντες οἱ παραδοθέντες τῇ κολάσει καθαίρονται καὶ ἀπολύονται, ἀλλὰ τινες· καὶ ὅτι, ὅπερ ἐστὶν ἀληθὲς τῆς Ἐκκλησίας φρόνημα, οὐδεὶς ἀπολύεται τῆς κολάσεως. — Ὅτι τὸ καίεσθαι καὶ μὴ κατακαίεσθαι φθορά ἐστιν ἄφθαρτον φθείρεσθαι. Τίτος δὲ ὁ ἐπίσκοπος Βόστρων, κατὰ Μανιχαίων γράφων, ἐν τῷ πρώτῳ λόγῳ φησί · Πῶς ἂν εἴη φθορὰ ἑαυτῆς ἡ φθορά; Πάντως γὰρ ἕτερόν τι φθείρει, οὐχ ἑαυτήν. Εἰ δὲ ἑαυτὴν ἔφθειρεν, οὐδὲ τὴν ἀρχὴν ἂν ὑπέστη · φθαρήσεται γὰρ ἑαυτὴν μᾶλλον φθείρουσα ἢ οὖσα · φθορὰν γὰρ ἄφθαρτον ἀδύνατον κατά γε τὰς κοινὰς ἐννοίας ἐπινοηθῆναί ποτε. Καὶ δῆλον ὅτι ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ καθ' ἑτέραν ἔννοιαν εἶπεν ἀδύνατον εἶναι τὴν φθορὰν ἄφθαρτον, ὁ δὲ θεσπέσιος Ἰωάννης καθ' ἑτέραν · ὁ μὲν γὰρ τὴν φθορὰν ἄφθαρτον εἶπεν ἀντὶ τοῦ διαιωνίζουσαν καὶ διὰ παντὸς γινομένην, [896 R.] ὁ δὲ τὴν φθορὰν ἄφθαρτον μὴ εἶναι, τουτέστι [13] μὴδύνασθαι τὴν φθορὰν ἀπάθειαν εἶναι καὶ ἀφθαρσίαν καὶ σωστικὴν τῶν ὑποκειμένων [14]. Ἀλλ' οὕτως ἐχούσης ἑκατέρας διανοίας, ὁ πατὴρ τῆς παρούσης σπουδῆς Γόβαρος, τὴν διάφορον ἔννοιαν οὐ συνιεὶς, ὡς ἀντικειμένας ἀλλήλαις παρέθηκε τὰς φωνάς. — Ὅτι ὁ μέλλων αἰὼν ὄγδοός ἐστι· καὶ τὸ ἀντικείμενον, ὡς οὐκ ὄγδοος, ἀλλ' ἔνατος. — Ὅτι τὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σῶμα λεπτομερὲς μετὰ τὴν ἀνάστασιν γέγονε καὶ πνευματικὸν καὶ οὐράνιον καὶ κοῦφον καὶ μηδὲ ὑποπίπτον ἁφῇ, καὶ διὰ τοῦτο καὶ [15] τῶν θυρῶν εἰσῆλθε κεκλεισμένων· καὶ ὡς τὸ ἁπτὸν καὶ παχυμερὲς σῶμα ἕτερόν ἐστι παρὰ τὸ λεπτομερὲς, καὶ ἀντίτυπον, καὶ οὐσίας διαφόρου. Καὶ τοῦ εἰρημένου τὸ ἀντικείμενον, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ [16] Χριστὸς μετὰ τὴν ἀνάστασιν οὔτε ἀνέπαφον οὔτε λεπτομερὲς οὔτε πνευματικὸν εἶχε σῶμα, κατὰ θαυματουργίαν δὲ καὶ οὐ τῇ τοῦ σώματος φύσει τῶν θυρῶν εἰσῆλθε νε-

g Matth. xiii, 16. h Joan. xx, 26.

VARIÆ LECTIONES.

[10] τῆς om. A. [11] καὶ om. B. [12] εἶτα καὶ ὅτι A : καίτοι ς. [13] ante τουτέστι cum B omisi hæc : τουτέστι μὴ δύνασθαι τὴν φθορὰν ἄφθαρτον μὴ εἶναι. [14] ὑποκειμένων ἀπάθειαν. Ἀλλ' ς. [15] καὶ ante τῶν om. B. [16] ὁ add. A.

κλεισμένων. — Ὅτι ὁ Χριστὸς οὐκ ἀπέθετο τὴν σάρκα μετὰ τὴν ἀνάστασιν, ἀλλὰ μετὰ τῆς σαρκὸς ἐν δεξιᾷ καθέζεται τοῦ Πατρός· καὶ ἐκ τοῦ ἀντικειμένου, ὡς ἐλεύσεται [473 H.] μὲν κρῖναι ζῶντας καὶ νεκρούς, οὐκέτι δὲ σάρκα ἔχων, ἀλλὰ θεοειδέστερον σῶμα. — Ὅτι οὐ μετὰ σαρκὸς, ἀλλὰ γυμνῇ τῇ θεότητι κατὰ τὴν δευτέραν παρουσίαν ὁ Δεσπότης παραγίνεται. Τοῦτο δὲ θέμενος ὁ Γόβαρος εἰς κεφάλαιον, καὶ χρήσεις παραγαγὼν Τίτου ἐπισκόπου Βόστρων, μυρίας ἔχων ἑτέρας συναγαγεῖν αἳ κατασκευάζουσι τὸ μὴ [17] γυμνῇ τῇ θεότητι παραγενέσθαι τὸν Δεσπότην Χριστὸν, πάσας παρῆκε καὶ οὐδεμιᾶς ἐμνήσθη, πανταχοῦ προπηδῶσαν αὐτοῦ τῆς ψυχῆς ἐπιδεικνὺς τὴν ἀσέβειαν, ἥ τις ἐν τῇ ἀπαρνήσει τῆς σαρκὸς μίαν φύσιν δογματίζειν ἀναιδεύεται.— Ὅτι τὸ ἀπαθὲς καὶ ἄτρωτον καὶ ἀθάνατον σῶμα ἑτερουσίου [18] ἐστι καὶ ἑτερογενὲς τῷ ἡμετέρῳ σώματι· καὶ ὅτι τὰ φθαρτὰ [19] καὶ θνητὰ εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν μεταβάλλοντα τὴν κατ' οὐσίαν τροπὴν ἐπιδέχεται. — Ὅτι ἕκαστος ὅρος μένων ἐντελὴς τὴν τῶν ὁριστῶν διασώζει φύσιν· εἰ δέ τις τούτου ἀφέλοι τι ἢ προσθήσει, τὸ ὁριστὸν διαλύεται. Ταῦτα τοίνυν τὰ δύο κεφάλαια, ὥσπερ καὶ τὰ μικρῷ [20] πρόσθεν εἰρημένα, μονομερῶς καὶ οὐκ ἐξ ἑκατέρου τῶν ἀντικειμένων τὰς χρήσεις ἐδέξαντο. — Ὅτι ὁ τοῦ Θεοῦ Λόγος ὅλος ἐστὶν ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν, καὶ ὅλος ἐστὶν [21] ἐν τῷ σώματι ὃ καθ' ὑπόστασιν ἥνωσεν ἑαυτῷ· καὶ ἁπλῶς ἡ τῆς θεότητος οὐσία καὶ φύσει καὶ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ πάντα πληροῖ, καὶ δι' ἑκάστου τῶν ὄντων δίεισι τῇ πρὸς τὸ πᾶν ἀναχράσει. Καὶ ὅτι οὐχ οὕτως, ἀλλ' ὁ Θεὸς ἐκτός ἐστι [22] τοῦ παντὸς κατ' οὐσίαν, ἐν πᾶσι δέ ἐστι ταῖς ἑαυτοῦ δυνάμεσιν. — Ὅτι πρὸ τῆς τοῦ κόσμου γενέσεως καὶ ἀγγέλους ὁ Θεὸς ἔκτισε· καὶ ὅτι οὐχ οὕτως, ἀλλ' ἐν τῇ πρώτῃ τῆς κοσμογενείας ἡμέρᾳ. — Ὅτι οἱ ἄγγελοι καὶ οἱ δαίμονες σώμασιν ἥνωνται, καὶ ὅτι οὐδέτεροι αὐτῶν σώματι ἥνωνται. — Ὅτι οἱ ἄγγελοι καὶ αἱ λογικαὶ ψυχαὶ καὶ πάντα τὰ νοερὰ κτίσματα φύσει καὶ κατὰ φύσιν εἰσὶν ἄφθαρτα· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ φύσει, ἀλλὰ χάριτι εἰσιν ἀθάνατοι, φύσει δὲ μόνος ὁ Θεός.

[897 R.] Ὅτι οἱ ἄγγελοι κατελθόντες ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν σάρκα [23] τε ἔσχον καὶ παιδοποιὰ μόρια, καὶ ταῖς γυναιξὶν ὁμιλήσαντες τοὺς γίγαντας ἐγέννησαν, καὶ ἐδίδαξαν αὐτοὺς τέχνας τε καὶ κακοτεχνίας· οἱ δὲ γίγαντες ἀλόγοις μιγέντες ἐγέννησαν τερατώδεις ἀνθρώπους καὶ δαιμόνια ἄρρενά τε καὶ θήλεα· κολάζονται δὲ οἱ ἄγγελοι ἐκεῖνοι ἔνθα τῆς γῆς πῦρ ἀναδίδοται καὶ θερμὰ ὕδατα· καὶ ὅτι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν δαιμόνια γίνονται, Καὶ τοὐναντίον, ὅτι ἄσαρκοι ὄντες οἱ ἀποστατήσαντες ἄγγελοι οὐ δι' ἑαυτῶν, ἀλλὰ διὰ μέσων ἀνθρώπων ἐμίγησαν ταῖς γυναιξί, μᾶλλον δὲ οὔτε δι' ἑαυτῶν οὔτε διὰ μέσων ἀνθρώπων· καὶ ὅτι οὐ μεταβάλλουσιν [24] αἱ τῶν ἀνθρώπων ψυχαὶ εἰς δαιμόνια. — [474 H.] Ὅτι ὁ οὐρανὸς σφαιρικός ἐστι καὶ κύκλῳ [25] κινεῖται· καὶ ὅτι οὔτε [26] σφαιρικός ἐστιν οὔτε [27] κύκλῳ κινεῖται. — Ὅτι τὸ εἰρημένον, Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος, τὸ Πνεῦμα τὸ ἅγιον ἦν· καὶ ὅτι οὐ τὸ Πνεῦμα τὸ ἅγιον ἦν, ἀλλὰ τὸ ἓν τῶν τεσσάρων στοιχείων.— Ὅτι ἡ κυριακὴ ἡμέρα ἡ αὐτή ἐστιν ἡ [28] ὀγδόη καὶ πρώτη·

A quæ in negando, carnis unam naturam esse, impudens est, ostendens. — Corpus impassibile, invulnerabile, et immortale, alterius est substantiæ et generationis quam corpus nostrum : et mortalia in incorruptionem et immortalitatem transeuntia, mutationem substantiæ admittunt. — Definitio unaquæque perfecta manens, definitorum conservat naturam : si quis vero ab illo aliquid sustulerit, eive addiderit, definitum dissolvitur. Hæc duo igitur capita, quemadmodum et parva illa prius dicta, ex una parte tantum, et non ex utraque oppositorum testimoniis muniuntur. Deus Verbum totus est in omni, et super omne, et totus est corpore quod sibi hypostatice adunivit, et simpliciter divinitatis substantia tum natura, cum virtute et operatione, B omnia complet, et per singula creata communicando se ad universum transit. Et non ita. Deus sua substantia est extra universum, in omnibus vero suis est virtutibus. — Ante mundi creationem Deus angelos creavit. Et non sic, sed primo die quo mundum fecit. — **289***b* Angeli et dæmones corporibus uniuntur, et contra, neutri horum corporibus uniuntur.— Angeli et rationales animæ, et omnes creaturæ intelligibiles, natura ipsa, et secundum naturam incorruptibiles, et immortales sunt. Et e contrario, non natura, sed gratia sunt immortales; natura vero solus Deus.

C Angeli descendentes e cœlo in terram, carnem habuerunt, et genitalia, et cum mulieribus commisti gigantes procrearunt : et docuerunt illos artes et malas artes. Gigantes vero cum brutis congredientes, homines prodigiosos genuere, et dæmones tam virili quam muliebri specie. Illi angeli puniuntur, ubi terrarum ignis editur atque erumpit, et calida aqua. Animæ peccatorum dæmonia sunt. Et contra omnes angeli rebelles, cum sine carne fuerint non per se, sed usi hominibus velut instrumentis, congressi sunt cum feminis; at potius neque per se, neque hominibus usi velut mediis, et non mutantur hominum animæ in dæmonia. — Cœlum rotundum est, neque in orbem vertitur. Et non est rotundum, et in orbem vertitur. — Hoc quod dictum : *Spiritus* D *Domini ferebatur super aquas* [i], hic Spiritus sanctus fuit; et contra Spiritus sanctus non fuit, sed unum e quatuor elementis. — Dies Dominicus idem est, et octavus et primus; et non sic. — Animæ hominum sunt corpora intelligibilia, et eadem figura sunt, qua forma exterior corporis; et e contrario, incorporea est

[i] Gen. 1, 2.

VARIÆ LECTIONES

[17] μὴ add. A. [18] ἑτερούσιον ς. [19] φθαρτὰ καὶ add. A. [20] μικρὰ ς. [21] ἐστὶν ὁ ἐν ς. [22] ἐστὶν ἐκτὸς ς. [23] σάρκας A. [24] μεταβάλλουσιν A : μεταβάλλονται ς. cf. col. 1100 B et C. [25] καὶ κύκλῳ A : οὔτε κύκλῳ ς. [26] ὅτι οὔτε A : ὅτι οὐ ς. [27] οὔτε A : καὶ ς. [28] ἡ om. A.

anima,et corporeis non subjicitur figuris.—Animæ hominum antemundi constitutionem fuerunt,et cœlis in corpora transierunt, ut Moses et prophetæ,Socrates,Plato,Joannes Baptista, apostolorumque animæ, et ipsa etiam Christi.Et e contrario, non ante corpora in cœlo erant hominum animæ,sed in corporis ortu substiterunt. Ante fuit corpus,deinde anima : vel potius, nec prius sunt, nec post sunt, sed simul exsistunt. Corpus Adami fecit Deus e terra : et non e terra, sed ex aqua et vento.—Spiraculum quod Deus inspiravit in faciem Adami temporarium fuit,nec ut æternus Spiritus; et non temporarium fuit, sed animus **290***a* immortalis.—Temporarium spiraculum non fuit, neque anima, sed mens, ut e tribus partibus homo constituatur, mente, anima et corpore. Et nihil dictorum fuit inspiratum illud spiraculum, sed Spiritus sanctus. Et non ipse fuit anima, neque mens appellatus, sed creans animam.—Terra,aqua, et reliqua elementa mutantur in fructus, et plantas, et cibus in corpora et nervos, et reliqua membra corporis. Et e contrario : terra non convertitur in plantas, et fructus, nec alimentum in corpus nostrum.—Post mortem anima neque corpus, neque sepulcrum excedit. Et e contrario, non manet cum corpore anima, neque in sepulcro. Hic mille testimoniis abundans Gobarus,Severiani solum Gabalorum antistitis,et Irenæi adhibuit.—Omne generatum corruptibile est et mortale, voluntate Dei manet insolubile et incorruptibile. Et e contrario, natura corruptum non potest incorruptibile esse voluntate Dei. Contraria enim docet sibi hoc asserens, et impossibilitatem Creatori assignat. Ad hanc opinionem confirmandam testimonium adducit Justini Martyris, libro quo gentium errores refutat, et contra Platonis argumentum dicentis : *Cum facti estis, immortales non estis, neque omnino indissolubiles; neque igitur dissolvemini, nec moriemini morte, nacti legem, quæ mea voluntate fortior est.* Ipse quidem Martyr Platonicum arguens sophisma ostendit Platonem Creatorem inducere, quasi contra se ipsum loquatur et nullam consequentiam dictis adhibeat : vel enim necesse est omne generatum corruptibile esse secundum priorem definitionem, vel eum dicendo omne generatum corruptibile esse mentiri. Gobarus gentile argumentum evertens nititur ad Ecclesiæ opinionem traducere.

A καὶ ὅτι οὐχί. — Ὅτι σώματά εἰσι νοερὰ αἱ τῶν ἀνθρώπων ψυχαὶ, καὶ διατετυπωμέναι κατὰ τὸ φαινόμενον ἔξωθεν τοῦ σώματος σχῆμα· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι ἀσώματός ἐστιν ἡ ψυχὴ καὶ σωματικοῖς οὐχ ὑπόκειται τύποις. — Ὅτι αἱ ψυχαὶ πρὸ τῆς τοῦ κόσμου ὑπέστησαν καταβολῆς, καὶ ὅτι ἐκ τῶν οὐρανῶν εἰς τὰ σώματα κατέβησαν [89], ὥσπερ Μωσῆς καὶ οἱ προφῆται καὶ Σωκράτης καὶ Πλάτων καὶ ὁ βαπτιστὴς Ἰωάννης καὶ τῶν ἀποστόλων αἱ ψυχαὶ, ἀλλὰ καὶ αὐτή γε ἡ τοῦ Κυρίου. Καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι πρὸ τῶν σωμάτων οὐκ ἦσαν αἱ ψυχαὶ ἐν οὐρανῷ, ἀλλ' ἐν τῇ τοῦ σώματος γενέσει ὑπέστησαν, προϋπάρχει μέντοι γε [90] τὸ σῶμα, εἶτα ἡ ψυχή. ἢ [91] μᾶλλον, ὅτι οὔτε προϋπάρχουσιν οὔτε μεθυπάρχουσιν, ἀλλὰ συνυπάρχουσιν ἀλλήλαις. — Ὅτι τὸ σῶμα τοῦ Ἀδὰμ ἀπὸ γῆς ἔπλασεν ὁ Θεός· καὶ ὅτι οὐκ ἀπὸ γῆς, ἀλλ' ἐξ ὕδατος καὶ πνεύματος. — Ὅτι ἡ πνοὴ, ἣν ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ, πρόσκαιρος ἦν καὶ οὐχ ὡς τὸ Πνεῦμα αἰώνιον· καὶ ὅτι οὐ πρόσκαιρος ἦν, ἀλλὰ ψυχὴ ἀθάνατος. — Ὅτι οὐ, πρόσκαιρος ἦν οὔτε ψυχὴ, ἀλλὰ νοῦς, ὡς ἐκ τριῶν συγκεῖσθαι μερῶν τὸν ἄνθρωπον, νοῦ τε καὶ ψυχῆς καὶ σώματος· καὶ ὅτι οὐδὲν τῶν εἰρημένων ἦν ἡ ἐμφυσηθεῖσα πνοὴ, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐκ αὐτὸ ψυχὴ οὐδὲ νοῦς χρηματίσαν, ἀλλὰ δεδημιουργηκός τὴν ψυχήν. — Ὅτι ἡ γῆ καὶ τὸ ὕδωρ καὶ τὰ λοιπὰ στοιχεῖα μεταβάλλει εἰς τοὺς καρποὺς καὶ τὰ φυτὰ, καὶ ἡ τροφὴ εἰς σάρκα καὶ νεῦρα καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ μεταβάλλει ἡ γῆ εἰς τὰ [92] φυτὰ καὶ τοὺς καρποὺς, οὔτε ἡ τροφὴ εἰς τὸ ἡμέτερον σῶμα. Ὅτι μετὰ θάνατον ἡ ψυχὴ οὔτε τοῦ σώματος οὔτε τοῦ τάφου χωρίζεται· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ παραμένει τῷ σώματι ἡ ψυχὴ οὔτε τῷ τάφῳ. Ἐνταῦθα δὲ μυρίων εὐπορῶν ὁ Γόβαρος χρήσεων, Σεβηριανοῦ μόνον τοῦ Γαβάλων καὶ Εἰρηναίου παρέθηκε χρήσεις. — Ὅτι πᾶν γενητὸν φθαρτόν ἐστι καὶ θνητὸν, βουλήσει δὲ Θεοῦ διαμένει ἄλυτον καὶ ἄφθαρτον. Καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τὸ φύσει φθαρτὸν οὐ δύναται ἄφθαρτον εἶναι βουλήσει Θεοῦ. Ἐναντία γὰρ [900 R.] δοξάζει ἑαυτῷ ὁ τοῦτο λέγων, καὶ ἀδύνατα χαρίζεται τῷ Δημιουργῷ. Ταύτης δὲ τῆς δόξης χρῆσιν μὲν παρέθηκεν [475 H.] ἐκ τοῦ μάρτυρος Ἰουστίνου· τῷ δὲ πρὸς τὴν Ἑλληνικὴν μὲν δόξαν συνενήνεκτο μάχη, καὶ τοῦ Πλάτωνος ἔλεγχος κατεσκευάζετο εἰρηκότος, Ἐπείπερ [93] ἐγένεσθε, ἀθάνατοι μὲν οὐκ ἔστε οὐδὲ ἄλυτοι πάμπαν, οὔτοι [94] γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρης, τῆς ἐμῆς βουλήσεως ἰσχυροτέρου δεσμοῦ [95] λαχόντες. Καὶ ὁ μὲν μάρτυς, τὸ Πλατωνικὸν διελέγχων σόφισμα, ἐπιδείκνυσι τὸν Πλάτωνα τόν τε Δημιουργὸν εἰσάγοντα τἀναντία λέγοντα ἑαυτῷ, καὶ εἰρμὸν ἀκολουθίας οὐδένα τοῖς εἰρημένοις ἁρμόζοντα· ἢ γὰρ ἀνάγκη πᾶσα τὸ γενητὸν φθαρτὸν εἶναι κατὰ τὸν πρότερον ὅρον, ἢ ψεύδεσθαι λέγοντα πᾶν τὸ γενόμενον φθαρτὸν εἶναι. Ὁ δὲ Γόβαρος τὸν Ἑλληνικὸν ἔλεγχον εἰς ἀνατροπὴν ἐκβιάζεται χρῆσθαι τοῦ φρονήματος τοῦ ἐκκλησιαστικοῦ.

Hæc igitur priora capita duobus et contrariis testimoniis, ut putavit, adornans, ad ea quæ unius partis tantum sunt descendit.Et primo quidem dicit,

Τὰ τοίνυν εἰρημένα κεφάλαια διπλαῖς καὶ ἀντικειμέναις χρήσεσιν, ὡς ἐνόμιζε, κατασκευάζων, ἐπὶ τὰ μονομερῆ πάλιν μεταβαίνει. Καὶ πρῶτον μέν

VARIÆ LECTIONES

[89] μετέβησαν ς. [90] γε om. A. [91] ἢ] καὶ B. [92] εἰς τὰ A : εἰς σάρκα καὶ νεῦρα καὶ τὰ ς. [93] ἐπείπερ] Timæi p. nostræ edit. 43, 6. [94] οὔτοι B, οὔτι A : οὔτε ς. [95] θεσμοῦ ς.

φησιν, ὅπερ ἐστὶ τῆς ὅλης συντάξεως ηʹ καὶ λʹ κεφάλαιον [36], ὅπως ἐδόξασε περὶ τῆς τοῦ Κυρίου ἡμῶν ἐνανθρωπήσεως ὁ ἐν ἁγίοις Εὐστάθιος, ὁ τῆς Ἀντιοχείας ἀρχιερωσύνης προεδρεύσας, ἐφεξῆς δὲ ὅπως ὁ ἁγιώτατος Κύριλλος, ὁ τῆς Ἀλεξανδρείας ἀρχιερεύς· καὶ ὅπως ἐνόησαν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι τὸ, Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ, καὶ ὅπως τοῦτο Σεβῆρος ἐνόησεν.

A quod totius opusculi caput est tricesimum octavum, quomodo de Domini incarnatione beatus Eustathius Antiochenus antistites docuerit, et ut beatus **290***b* Cyrillus Alexandrinus, et qua ratione hoc doctores Ecclesiæ intellexerint: *De die illo, vel hora nemo scit, neque angeli, neque Filius, nisi Pater*i; et quomodo hoc Severus intellexerit.

Ταῦτα μονομερῶς διελθὼν τὰ κεφάλαια μεταβαίνει πάλιν ἐπὶ τὴν διπλῆν προκομιδὴν τῶν χρήσεων, καὶ ποιεῖται κεφάλαιον βʹ καὶ μʹ ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ [37] Χριστὸς ἐγαλακτοτροφήθη ἐκ τῆς Θεοτόκου Μαρίας, καὶ ὅτι οὐκ ἐγαλακτοτροφήθη. — Ὅτι τὸ, Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων ἐστὶν Ἰωάννου τοῦ βαπτιστοῦ, περὶ ἑαυτοῦ εἶπεν ὁ Σωτήρ· καὶ ὅτι οὐ περὶ ἑαυτοῦ, ἀλλὰ περὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ. — Ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς λʹ ἐνιαυτῶν ὑπάρχων ἐσταυρώθη· καὶ ὅτι οὐ λʹ, ἀλλὰ γʹ καὶ λʹ· καὶ ὅτι οὐ γʹ καὶ λʹ, ἀλλὰ μʹ· καὶ ὅτι οὔτε [38] λʹ, ἐτῶν οὔτε μʹ μόνον, ἀλλὰ καὶ πλέον, οὐ πολὺ τῶν νʹ ἀφεστηκώς. — Ὅτι ἐν ᾧ καιρῷ παρέδωκε τοῖς μαθηταῖς ὁ Κύριος τὸ τῆς καινῆς διαθήκης μυστήριον, τὸ νομικὸν ἔφαγε πάσχα· καὶ ὅτι οὐκ ἔφαγε τηνικαῦτα τὸ νομικὸν πάσχα. — Ὅτι ὁ χαλκοῦς ὄφις, ὃν ὕψωσεν ἐν τῇ ἐρήμῳ ὁ Μωσῆς, τύπος ἦν τοῦ Δεσπότου· καὶ ὅτι οὐχὶ τύπος, ἀλλὰ ἀντίτυπος. — Ὅτι ὁ τὸ ὠτίον ἀπικόψας τοῦ δούλου τοῦ ἀρχιερέως Θωμᾶς ἦν· καὶ ὅτι οὐχὶ Θωμᾶς ἦν, ἀλλὰ Πέτρος. — Ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους ἡ θεότης ἐχωρίσθη τοῦ σώματος τοῦ Χριστοῦ· [476 II.] καὶ ὅτι οὔτε τῆς ψυχῆς οὔτε τοῦ σώματος ἡ θεότης ἐχωρίσθη. — Ὅτι λύτρον ἀντὶ τοῦ κατεχομένου ἀνθρώπου τῷ ἐχθρῷ τὸ οἰκεῖον ὁ Σωτὴρ ἔδωκεν αἷμα, τοῦ ἐχθροῦ τοῦτο αἱρησαμένου. καὶ τὸ ἀντικείμενον, ὡς οὐχὶ τῷ ἐχθρῷ, ἀλλὰ τῷ Θεῷ καὶ Πατρὶ προσήνεγκε τοῦτο. — Ὅτι κρεῖσσον καὶ θαυμασιώτερον τῆς ἐν τῷ ὄρει μεταμορφώσεως ἀνέστη ὁ Χριστός· καὶ ὅτι οὐ μετεστοιχείωσεν ἀναστὰς τὸ σῶμα πρὸς δόξαν τὴν αὐτῷ κεχρεωστημένην, ἀλλὰ τοιοῦτον ἔδειξεν οἷον ἦν καὶ πρὸ τοῦ θανάτου. Καὶ τοῦτο μὲν λέγει Κύριλλος, τὸ δὲ ἀντίθετον ὁ Ἀλεξανδρείας Διονύσιος.

Hæc capita unius opinionis prosequens descendit iterum ad ea quæ duplices opiniones continent, et caput constituit. Dominus noster Jesus Christus lactee beata Virgine nutritus est, et non lacte nutritus est. — *Minimus in regno cælorum major est Joanne Baptista* [k], de se ipso dixit Salvator; et non de se ipso, B sed de Joanne evangelista. — Dominus noster Jesus Christus tricesimo ætatis anno crucifixus est, et non tricesimo, sed tricesimo tertio. Et non tricesimo tertio, sed quadragesimo; et nec tricesimo tertio, nec etiam solum quadragesimo, sed amplius, non multum a quinquagesimo distans. — Eo tempore quo Jesus Christus tradidit discipulis novi Testamenti mysterium, pascha secundum legem comedit, et quod tunc non comederit pascha legale. — Æneus serpens quem Moses in eremo erexit, typus fuit Christi, et non typus, sed antitypus. — Fuit Thomas, qui servo summi sacerdotis auriculam amputavit; et non fuit Thomas, sed Petrus. — Tempore passionis deitas e corpore Christi discessit, et non discessit ab anima nec a corpore. — C Salvator lytrum pro humano genere comprehenso, proprium inimico sanguinem dedit, inimico hunc eligente. Et e contrario, non inimico, sed Deo Patri hunc obtulit. — Gloriosius et admirabilius Christus resurrexit quam in monte transfiguratus est. Et resurgens non mutavit corpus in gloriam sibi debitam, sed tale monstravit quale erat ante mortem. Et hoc quidem dicit Cyrillus, sed contrarium Dionysius Alexandrinus.

[901 R.] Ὅτι ἐν τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς ἤλειψε τὸν Κύριον ἡ Μαρία [39] μύρῳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ἐν δὲ τῇ ιγʹ τὸ μυστικὸν δεῖπνον ὁ Κύριος παραδίδωσι τοῖς μαθηταῖς, ἐν δὲ τῇ ιδʹ τὸ σωτήριον ὑπέστη πάθος, ἐν δὲ τῇ ιεʹ ἐκ νεκρῶν ἀνέστη, καὶ τῇ ιςʹ [40] ἀνελήφθη· ἢ οὐχ οὕτως, ἀλλὰ τῇ μὲν ιδʹ τὸ μυστικὸν ἔφαγε δεῖπνον, τῇ δὲ ιεʹ ἐσταυρώθη, ἀνέστη δὲ τῇ ιςʹ [41]. ἢ ὅτι οὐδὲ τοῦτο, ἀλλ' ὅτι τριήμερος μὲν καὶ ἐν τῇ Κυριακῇ γέγονεν ἡ τοῦ Κυρίου ἀνάστασις, καὶ μετὰ μʹ ἡμέρας ἀνελήφθη.

Duodecimo primi mensis Christum Maria in domo Simonis leprosi unguento unxit, et decimo tertio Christus sacram cœnam discipulis dedit. Decimo quarto salutarem passionem subiit. Decimo quinto resurrexit a mortuis, et decimo sexto assumptus est. Vel non **291***a* ita: sed decimo quarto sacram D cœnam manducavit, decimo quinto crucifixus est, decimo sexto resurrexit. Vel neque hoc, sed post triduum, et in Dominica facta est resurrectio, et post quadraginta dies assumptus est.

Ὅτι ἀπὸ τῆς ἑσπέρας τῆς εʹ, ὅτε τὸ μυστικὸν δεῖπνον ὁ Κύριος παρεδίδου τοῖς μαθηταῖς, τότε τὸ σῶμα αὐτοῦ ἐτέθυτο.

A vespera quinta cum Dominus cœnam discipulis dedit, tunc corpus suum sacrificavit.

i Marc. XIII, 32. k Luc. VII, 28.

VARIÆ LECTIONES.

[36] κεφάλαια ς. [37] ὁ et τὸ et alterum ὁ add. A. [38] οὔτε B : οὐ ς. [39] cf. Suicer. Thess. I, p. 386. [40] ιςʹ] ἑξακαιδεκάτῃ B. [41] ιςʹ] ἑξακαιδεκάτῃ B.

Hactenus quidem de communibus doctrinis Ecclesiæ et quæstionibus per omnia fere capita disseruit, plerumque per contraria testimonia alteram contradictionis partem confirmans, pauca vero unius opinionis testimoniis confirmans. Hinc autem quædam capita particularia numero octodecim tractat, ut: Quales opiniones habuerit Severus de sanctis Ecclesiæ sacerdotibus? et quomodo sentiat de iis quæ dicta sunt a Cyrillo et Joanne in epistola ad Thomam Germaniceæ episcopum? et quod ea quæ dicta sunt de restauratione rerum a Gregorio Nysseno non probet, neque Papiam episcopum Hieropolitanum, et martyrem, nec sanctum Irenæum Lugdunensem, ubi dicunt regnum cœlorum esse fruitionem quamdam ciborum sensibilium.

A Μέχρι μὲν οὖν τούτων περὶ τῶν κοινῶν τῆς Ἐκκλησίας δογμάτων τε καὶ ζητημάτων μικροῦ διὰ πάντων τῶν κεφαλαίων ἐποιεῖτο τὸν λόγον, τὰ πλεῖστα μὲν δι' ἀντικειμένων χρήσεων ἑκατέρου μέρος τῆς ἀντιθέσεως ἐπικουρῶν, ὀλίγα δὲ καὶ μονομερέσι μαρτυρίαις ἐπιβεβαιῶν. Ἐντεῦθεν δὲ περί τινων ἰδικῶν κεφαλαίων τὸν ἀριθμὸν ὀκτωκαίδεκα διαλαμβάνει, οἷον τίνας εἶχεν ὑπολήψεις Σεβῆρος περὶ τῶν τῆς Ἐκκλησίας ὁσίων μυσταγωγῶν; καί ὅπως διετέθη πρὸς τὰ εἰρημένα παρὰ Κυρίλλου καὶ Ἰωάννου ἐν τῇ πρὸς Θωμᾶν τὸν ἐπίσκοπον Γερμανικείας; καὶ ὅτι τῷ ἐν ἁγίοις Γρηγορίῳ, τῷ ἐπισκόπῳ Νύσσης, τὰ εἰρημένα περὶ ἀποκαταστάσεως οὐκ ἀποδέχεται, οὐ μὴν ἀλλ' οὐδὲ Παπίαν τὸν Ἱεραπόλεως ἐπίσκοπον καὶ μάρτυρα, οὐδὲ Εἰρηναῖον τὸν ὅσιον ἐπίσκοπον Λουγδούνων, ἐν οἷς λέγουσιν αἰσθητῶν τινων βρωμάτων ἀπόλαυσιν εἶναι τὴν τῶν οὐρανῶν βασιλείαν.

Divus Basilius sanctum Dionysium Alexandrinum in locis multis non admittit, maxime ubi Arianorum hæresim confirmat. Defendit illum non ut impia sentientem, sed quod nimio Sabellium oppugnandi studio verbo tenus in contrariam deflexerit opinionem. Quin et de Spiritu sancto impia illum verba fundere. — Magnus Athanasius hunc Dionysium defendit: *Dionysius*, inquit, *nunquam sensit cum Arianis, nec veritatem ignoravit, nec ab aliis episcopis impietatis damnatus est, nec Arianas voces locutus est, tanquam docendo.* Quin et Theodoretus eadem de hoc Dionysio habet. — Apponit ad hæc testimonia, et quomodo Theophilus et cum eo tota synodus erga beatum Joannem Chrysostomum affecta fuerit. — Qualem habuerint opnionem de beato Joanne Chrysostomo episcopo Constantinopolitano Cyrillus et Atticus. — Quid senserit sanctus Isidorus Pelusiota de Theophilo et Cyrillo Alexandriæ episcopis, deque Joanne Chrysostomo; illos **291***b* odii erga Joannem Chrysostomum accusavit, hunc vero laudavit et coluit. — Severus, impulsus ut beatum Isidorum reprehenderet, non inventa causa aliqua, affingit illi quod cum Origene senserit, etsi idem iterum per sese, a veritate superatus id revocet. — Ad hæc qualem opinionem habuerit Hyppolytus et Epiphanius de Nicolao e septem diaconis uno: et quod valide illum condemnent. — Divinus Ignatius et Clemens Stromateus, Eusebius Pamphili, Theodoretus Cyri episcopus Nicolaitarum damnant hæresim, sed ipsum Nicolaum talem fuisse negant. — Hippolytus et Irenæus epistolam Pauli ad Hebræos dicunt non esse illius. Clemens quidem, et Eusebius, aliorumque Patrum concessus hanc etiam aliis adnumerant, et aiunt hunc Clemeutem hanc ex Hebræo transtulisse. — Origenem et Theognostum magnus ille Athanasius Alexandrinus in multis libris admittit. Et Titus Bostrorum, et Gregorius Theologus in epistolis eumdem Philocalum nominat. Et Nyssenus laudabiliter ejus mentionem facit, et

B Ὅτι Βασίλειος ὁ ἐν ἁγίοις τὸν ἐν ἁγίοις Διονύσιον Ἀλεξανδρείας οὐκ ἐν πολλοῖς ἀποδέχεται, μάλιστα δὲ ἐν οἷς τὸ Ἀρειανῶν ἔθνος ἐπερείδεται. Ἀπολογεῖταί δὲ ὑπὲρ αὐτοῦ ὡς οὐκ ἀσεβεῖ γνώμῃ, μάχῃ δὲ τῇ πρὸς Σαβέλλιον εἰς τὴν ἀντίθετον κατὰ τοὺς λόγους περιτραπῆναι δυσφημίαν. Οὐ μὴν ἀλλὰ καὶ περὶ τοῦ Πνεύματος οὐκ εὐαγεῖς αὐτὸν ἀφεῖναι φωνάς. — Ἀλλὰ καὶ ὁ μέγας Ἀθανάσιος τοῦ αὐτοῦ ἀνδρὸς Διονυσίου ὑπεραπολογεῖται· Τὰ γὰρ Ἀρείου, φησὶ, Διονύσιος οὔτε ἐφρόνησέ ποτε, οὔτε ἡγοήσε [477 H.] τὴν ἀλήθειαν· οὔτε γὰρ ὑφ' ἑτέρων ἐπισκόπων ἐπ' ἀσεβείᾳ κατεγνώσθη, οὔτε τὰς Ἀρειανικὰς φωνὰς ἐφθέγγετο ὡς δογματίζων. Ἀλλὰ καὶ Θεοδώρητος τοὺς αὐτοὺς ὑπὲρ τοῦ εἰρημένου Διονυσίου λογισμοὺς ἀποδίδωσιν. — Ἔτι μὴν παρατίθησι μαρτυρίας, καὶ ὅπως μὲν διετέθη Θεόφιλος καὶ ἡ σὺν αὐτῷ σύνοδος πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον· καὶ ποίας ἔσχε δόξας Ἀττικὸς καὶ Κύριλλος περὶ τοῦ αὐτοῦ ἁγιωτάτου Ἰωάννου Κωνσταντινουπόλεως· καὶ οἵας ἔσχεν ὑπολήψεις ὁ εὐλαβέστατος Ἰσίδωρος ὁ τοῦ Πηλουσίου περὶ Θεοφίλου καὶ Κυρίλλου τῶν Ἀλεξανδρείας ἱεραρχῶν καὶ περὶ τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου, ὡς τοὺς μὲν ἕνεκα τῆς πρὸς τὸν Χρυσόστομον ἀπεχθείας ἐκάκιζε, τὸν δὲ ἐπῄνει τε καὶ ἐθαύμαζεν. — Ὅτι Σεβῆρος τὸν ἐν ἁγίοις Ἰσίδωρον μέμψασθαι μὲν ὁρμηθείς, οὐκ ἔχων δὲ ὅθεν, φήμην αὐτῷ περιπλάττει Ὠριγενιασμοῦ, εἰ καὶ ταύτην αὐτὸς πάλιν ἀποσκευάζεται δι' ἑαυτοῦ, ὑπὸ τῆς ἀληθείας νικώμενος. — Ἔτι δὲ ποίας ὑπολήψεις ἔσχεν Ἱππόλυτος καὶ Ἐπιφάνιος [42] περὶ Νικολάου τοῦ ἑνὸς τῶν ζ' διακόνων, καὶ ὅτι ἰσχυρῶς αὐτοῦ κατηγινώσκουσιν, Ἰγνάτιος μέντοι ὁ θεοφόρος, καὶ Κλήμης ὁ στρωματεύς, καὶ Εὐσέβιος ὁ Παμφίλου, καὶ Θεοδώρητος [904 R.] ὁ Κύρου τὴν μὲν Νικολαϊτῶν κατηγινώσκουσιν αἵρεσιν, τὸν δὲ Νικόλαον μὴ τοιοῦτον [43] εἶναι ἀποφαίνονται. — Ὅτι Ἱππόλυτος καὶ Εἰρηναῖος τὴν πρὸς Ἑβραίους ἐπιστολὴν Παύλου οὐκ ἐκείνου εἶναι φασι, Κλήμης μέντοι καὶ Εὐσέβιος καὶ πολὺς ἄλλος τῶν

Λουγδούνων, ἐν οἷς λέγουσιν αἰσθητῶν τινων βρωμάτων ἀπόλαυσιν εἶναι τὴν τῶν οὐρανῶν βασιλείαν.

C

D

VARIÆ LECTIONES.

[42] Ἐπιφ. ante lacunam A. [43] μὴ τὸν τοιοῦτον ς.

θεοφόρων Πατέρων ὅμιλος ταῖς ἄλλαις συναριθμοῦσι ταύτην ἐπιστολαῖς, καὶ φασιν αὐτὴν ἐκ τῆς Ἑβραΐδος μεταφράσαι τὸν εἰρημένον Κλήμεντα. — Ὅτι Ὠριγένην καὶ Θεόγνωστον ὅ τε μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐν πολλοῖς ἀπεδέχετο λόγοις καὶ Τίτος ὁ Βόστρων, καὶ ὁ θεολόγος Γρηγόριος ἐν ἐπιστολαῖς φιλόκαλον αὐτὸν λέγει, καὶ ὁ Νύσσης δὲ εὐφήμως εἰς μνήμην ἄγει. Ἀλλὰ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας πρὸς αὐτὸν ἐκεῖνον γράφων, ἔτι δὲ καὶ μετὰ θάνατον πρὸς Θεότεκνον τὸν τῆς Καισαρείας ἐπίσκοπον γράφων, δι' ἐπαίνων τὸν Ὠριγένην ἄγει. Καὶ Ἀλέξανδρος ὁ Ἱεραπόλεως ἐπίσκοπος καὶ μάρτυς, πρὸς τὸν αὐτὸν Ὠριγένην γράφων, λίαν οἰκειοῦται τὸν ἄνδρα τοῖς λόγοις. — Ὅτι Θεόφιλος μὲν καὶ Ἐπιφάνιος λίαν ἐκτρέπονται τὸν Ὠριγένην. — Τίνας ὑπολήψεις εἶχεν ὁ ἁγιώτατος Ἱππόλυτος περὶ τῆς τῶν Μοντανιστῶν αἱρέσεως, καὶ τίνας ὁ ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριος.

A Dionysius Alexandrinus ad hunc eumdem scribit: et post mortem illius scribens ad Theotecnum Cæsariensem episcopum laudat Origenem, atque Alexander Hierapolitanus ad Origenem scribens, verbis eum plurimum delinit. — Theophilus et Epiphanius Origenem plurimum aversantur. — Quid senserit beatus Hippolytus de hæresi Montanistarum, et quid Gregorius Nyssenus.

Τὰ μὲν οὖν μερικώτερα τῶν κεφαλαίων ἐν τούτοις· πάλιν δὲ ἐπί τι κοινότερον μεταβαίνει, καὶ παρατίθησι χρήσεις ὅτι παντὸς τεθνεῶτος ψυχὴ ὠφελεῖται μέγιστα διά τῶν ὑπὲρ αὐτοῦ [478 H.] ἐπιτελουμένων εὐχῶν καὶ προσφορῶν καὶ ἐλεημοσυνῶν, καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐχ οὕτως.

B

Hæc quidem particularia magis quam capita in his. Iterum vero in quid communius delabitur, et affert testimonia. — Anima omnis mortui juvatur maxime per preces, oblationes, et eleemosynas pro se factas. Et e contrario non sic.

Τὸν μὲν οὖν Γόβαρον μέχρι τούτων τῶν κεφαλαίων τὸν πόνον εὕρομεν ἀναδεξάμενον.

Hactenus quidem reperimus Gobarum capitum suorum libellum confecisse.

ΣΛΓ'.

Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως βίβλος.

CCXXXIII.

Germani patriarchæ CP. liber apologeticus pro Gregorio Nysseno.

Ἀνεγνώσθη βιβλίον τὸν ἐν ἁγίοις Γερμανὸν φέρον συγγραφέα, ὃς μετὰ τὸ Κυζίκου χειροτονηθῆναι Κωνσταντινουπόλεως ἐχρημάτισεν ἀρχιερεύς· ἀνταποδοτικὸς δὲ ἡ ἀνόθευτος τὴν ἐπιγραφὴν ἔχει, ὅ'σον ἂν εἴη περὶ [44] τῆς ἀνοθεύτου τῶν βεβιωμένων ἀνθρώποις ἀνταποδόσεως. Τῆς μὲν οὖν ἐπιγραφῆς ἡ ἐπαγγελία τοιαύτη, ἀγωνίζεται δὲ ὁ λόγος τὸν ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριον καὶ τὰ τούτου συγγράμματα τῆς Ὠριγενείου παρασχεῖν ἐλεύθερα λώβης. Καὶ γὰρ οἷς τοῦ δαιμονίου φύλου καὶ τῶν εἰς κόλασιν ἀτελεύτητον παραπεμπομένων ἀνθρώπων ἡ λῆρος ἀποκατάστασις φίλου, οὗτοι δή, ἅτε τὸν ἄνδρα ὑψηλόν τε τοῖς δόγμασι καὶ πολὺν τοῖς τῶν λόγων ῥεύμασιν εἰδότες, καὶ λαμπρὰν τῆς εὐσεβείας τὴν ὑπόληψιν εἰς πάντας ἀνθρώπους περιηχηθεῖσαν ὁρῶντες, ἐπεβάλοντο [45] παρενεῖραι τοῖς ἐκείνου φωτιστικοῖς καὶ σωτηρίοις λόγοις τὰ ζοφώδη καὶ ὀλέθρια τῆς Ὠριγένους ὀνειρώξεως ἀμβλωθρίδια, τῇ τοῦ ἀνδρὸς πέριωνύμῳ [46] ἀρετῇ τε καὶ γνώσει τὴν αἱρετικὴν ὑποβαλεῖν λαθραίως διανοηθέντες ἀπόνοιαν. Διότι τοῦτο μὲν προσθήκαις νόθοις, τοῦτο δὲ καὶ διαστροφῇ τῶν ὀρθῶν λογισμῶν βεβιασμένη, πολλὰ τῶν ἀμωμήτων ἐκείνου συνταγμάτων κατακιβδηλεύειν ἐπειράθησαν. Καθ' ὧν Γερμανὸς ὁ τῆς εὐσεβείας συνήγορος ὀξὺ τῆς ἀληθείας ἐπαφεὶς τὸ ξίφος, καὶ νεκροὺς τῇ πληγῇ λιπὼν τοὺς πολεμίους, νικηφόρον καὶ πρωταγωνιστὴν τὸν καθ' οὗ τὰς ἐπιβουλὰς ἡ αἱρετικὴ φάλαγξ ἐρράδιούργει καὶ κατεσκεύαζε παρεστήσατο. [905 R.] Ἔστι μὲν οὖν ὁ ἀνὴρ ἐν τῷ παρόντι λόγῳ καθαρός τε καὶ διειδὴς, καὶ τὰς ἐν ὀνόμασι τροπὰς εὐστόχως ὑποβαλλόμενος, καὶ τὴν μὲν φράσιν ἡδύνων, οὐχ ὀφελκόμενος δὲ πρὸς ψυχρότητα, γενναῖος μὲν τοῦ ἐπιβαλεῖν τῇ προθέσει, ὅμοιος δὲ διελθεῖν

C

Legi librum auctore Germano, qui primum Cyzici ordinatus, post Constantinopolitanus patriarcha fuit, qui liber inscribitur, *Retribuens et legitimus*: quod perinde est ac **292***a* si dixeris: De vera et legitima retributione, quod rependatur hominibus prout vixerint. Et hæc quidem tituli inscriptio. Contendit vero Gregorium Nyssæ episcopum ejusque scripta ab Origenis errore esse immunia. Etenim quibus delirium illud placet, dæmonibus et hominibus in æternam pœnam conjectis liberationem inde exspectandam: illi (quod virum doctrina singularem, et eloquentia insignem cum agnoscerent, claramque sanctitatis existimationem per omnium ora decantatam viderent) aggressi sunt claris et salutaribus ejus scriptis obscura ac perniciosa Origeniani somni venena admiscere, virtutique hominis, et doctrinæ celebri hæreticam occulte amentiam subjicere. Quare partim additamentis falsis partim rectis argumentis violenter detortis, multa ex irreprehensibilibus ejus monumentis calumniari conati sunt. Contra quos Germanus pietatis patronus acutum veritatis gladium stringens, et vulnere prostratos hostes relinquens, victorem superioremque eum constituit in quem hæretica colluvies insidias struxerat et posuerat. Hujus stylus in hoc opusculo purus ac clarus, verborumque tropos feliciter arripiens, phrasi venusta et eleganti, non ad frigiditatem vergens, proposito valide insistens, par etiam in contentionibus suscipiendis, nihilque citra necessitatem immiscens, nihil quod dictu sit necessarium prætermittens, tum constructione et epicheremati-bus, tum enthymematibus, et est veluti clara sanæ doctrinæ norma. Ita et illorum si quis vehementes,

D

VARIÆ LECTIONES.

[44] περὶ om. B. [45] ἐπεβάλλοντο ς. [46] πολυωνύμῳ Bς.

claras, et gratas, et spiritualem doctrinam ostentationi præferentes scribere orationes cupit, egregium est exemplum, et imitatione dignum.

τὰ ἀγωνίσματα, καὶ τοῦ μὲν ἀναγκαίου μηδὲν ἔξωθεν παραπλέκων, οὐδὲν δὲ τῶν ὀφειλόντων ῥηθῆναι παρορῶν, οὔτε ταῖς κατασκευαῖς οὔτε τοῖς ἐπιχειρήμασιν οὔτε τοῖς ἐνθυμήμασιν. Ἀλλ' ἔστιν ὥσπερ τῶν εὐσεβῶν δογμάτων κανὼν ἀπαρέγκλιτος [47], οὕτω καὶ τῶν, εἴ τις ἐθέλει [48] λόγους γράφειν δυνατοὺς καὶ σαφεῖς καὶ χαρίεντας καὶ πνευματικὴν διδασκαλίαν προτιμῶντας τῆς ἐπιδείξεως, καλὸν παράδειγμα καὶ ἀξιοζήλωτον.

Notat enim primo hæreticum dogma, quod dæmones in antiquum statum, et eos qui in flagitiis suis moriuntur, post pœnas definitas in beatorum numerum aggregandos nugatur. Refellit vero fabulis plenam impietatem, primum e Domini **292***b* verbis, hinc ex apostolicis decretis, quibus et prophetarum testimonia adjicit, clare ostendentia, ut æterna est justorum ineffabilis fruitio, sic et peccantium sempiternam atque infinitam pœnam futuram; non modo autem testimoniis allatis hæreticum atque profanum condemnat venenum, verum etiam e sanctis Patribus. Quinetiam validius, ex ejusdem propriis scriptis quorum perfide hæresis patronum accipere aggressa est: ex his omnibus piis sententiis et verbis calamitosam illam animæque perniciosam fabulam a toto clero ecclesiastico illum maovere, pium vero dogma, malitiam exosum confirmare et erigere apparet, ad eumdem quoque modum instruere ac munire veritatis vallum, unde hostem arcere in promptu sit. Dicta reliqua deinde sancti Patris affert, quibus improbi ac nequam sectarum, caupones, vinum aquæ miscentes adulterare illa, quin potius ecclesiasticas doctrinas conati sunt. Has porro sacras sententias adducens de Origenistis in propriis sententiis convictis quibus illi male utebantur, triumphum egit. Reprehendens tum quod legitima quidem audacibus et impudentibus additamentis illegitima redderent, tum vero additamenta continuantes, nova magna arrogantia et stupiditate ad hæreticam suam opinionem ea audacter detorquerent. Et, ut breviter dicam omnia, sancti hujus Patris scripta ab omni hæretica pravitate, et a calumnia, quæ in impietatem vergit, immunia esse declarat. Hæc porro immunitas et improbitatis refutatio et ex antecedentibus loci depravati, et ex consequentibus conficitur et demonstratur; et ex aliis sexcentis beati Gregorii Nysseni libris, qui orthodoxe et legitime sentiunt, recte excutiens, ut nemo melius in salutares preces ac laudes Dei laborem liniit. Libri autem quos insidiis excipere hæretici moliti sunt, et quos Germanus veritatis propugnator primarius ab latronum insultu sine noxa servavit, sunt *Dialogus ad Macrinam sororem de anima;* et *Liber catecheticus*, et ille qui *De perfecta vita* narrationem continet.

Ἐπιῤῥαπίζει μὲν οὖν πρότερον τὸ αἱρετικὸν δόγμα, ὃ τῆς ἀποκαταστάσεως τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον καὶ τῶν ἐν ἁμαρτίαις καταλυσάντων τὸν βίον, μετά [49] τινας ποινὰς ὡρισμένας εἰς τὸν χορὸν τῶν δικαίων μετελθεῖν τερατεύεται. Ἐλέγχει δὲ τὸ μυθῶδες τοῦτο δυσσέβημα πρῶτον μὲν ἐξ αὐτῶν τῶν Δεσποτικῶν φωνῶν, δεύτερον δὲ [50] ἐκ τῶν ἀποστολικῶν κηρυγμάτων, οἷς [479 H.] καὶ προφητικὰς ἐπισυνάπτει μαρτυρίας, τρανολογούσας ὥσπερ αἰώνιον τὴν τῶν δικαίων ἀνεκλάλητον ἀπόλαυσιν, οὕτω καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητόν τε καὶ ἀνυπόστατον κόλασιν. Οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον χρήσεων τὸ αἱρετικὸν καὶ ἀλλόφυλον καταβάλλει φρύαγμα, ἀλλὰ καὶ ἐξ ἄλκων ἱερῶν ἀνδρῶν, ναὶ δὴ (τὸ κραταιότερον) καὶ ἐκ λογίων αὐτοῦ ἐκείνου, ὃν [51] κακομηχάνως ἡ αἵρεσις συνήγορον λαβεῖν ἠγωνίζετο. Διὰ δὴ τούτων ἁπασῶν τῶν ἱερολογιῶν τὸ μὲν παθοποιὸν καὶ ψυχοφθόρον πάσης ἐκκλησιαστικῆς χοροστασίας ἀπελαύνων ἀνεδείχθη μυθολόγημα, τὸ δὲ τῆς εὐσεβείας μισοπόνηρον κρατύνων τε καὶ ἀνυψῶν φρόνημα. Οὕτω δὲ προδιασκευάσας καὶ κραταιωσάμενος τὸ τῆς ἀληθείας ὀχύρωμα, ἐξ οὗ καταβαλεῖν ῥᾴον ἔμελλε τὸν [52] πολέμιον, τὰ ῥητὰ λοιπὸν μετὰ ταῦτα τοῦ ἱεροῦ προάγει Πατρὸς, οἷς οἱ κακοὶ καὶ πονηροὶ τῶν δογμάτων κάπηλοι τὸν οἶνον ὕδατι μιγνύντες κιβδηλεύειν αὐτὰ, μᾶλλον δὲ τὰ τῆς Ἐκκλησίας ἐμελέτησαν διδάγματα. Ταῦτα δὴ τὰ ἱερὰ ῥητὰ [53] προθεὶς, ἁλωκότας ἐπ' αὐτοφώρῳ τοὺς Ὠριγενιαστὰς οἷς ἐκακούργουν ἐθριάμβευσε, τοῦτο μὲν ἀπηρυθριασμέναις καὶ ἀναισχύντοις προσθήκαις ἐπινοθεύοντας διελέγχων τὰ ἀνόθευτα, τοῦτο δὲ καὶ τὸ συνεχὲς ὑφορωμένους τῆς προσθήκης, ἐκ πολλῆς ἄλλης αὐθαδείας τε καὶ ἀπονοίας, πρὸς τὴν αἱρετικὴν αὐτῶν ἐπίνοιαν ἀποθρασυνθέντας ἐκβιάζεσθαι. Καὶ, ὡς ἔπος εἰπεῖν, πάσης τοὺς τοῦ ἀνδρὸς ἀπηλλαγμένους πόνους ἀποφαίνει αἱρετικῆς τε ἐπιβουλῆς καὶ συκοφαντίας ἀφορώσης εἰς ἀσέβειαν. Ἡ δὲ ἀπαλλαγὴ καὶ τῆς κακουργίας ὁ ἔλεγχος ἔκ τε τῶν προηγουμένων τοῦ κεκακουργημένου [54] χωρίου καὶ τῶν ἑπομένων κατασκευάζεταί τε καὶ ἀνακαλύπτεται, καὶ ἐξ ἄλλων δὲ τοῦ θεσπεσίου Γρηγορίου μυρίων λόγων, τὸ ὀρθὸν διασωζόντων καὶ ἀνόθευτον. Καὶ ταῦτα καλῶς ἀγωνισάμενος, καὶ ὡς οὐκ ἄν τις ἄλλος ἄμεινον, εἰς σωτηρίους εὐχὰς καὶ δοξολογίας Θεοῦ ἀποπερατοῖ τὸ φιλοπόνημα. Οἱ δὲ λόγοι, οὓς ὑπελθεῖν ἐνέδραις τὸ ἀλλόφυλον ἐτεχνάσατο [55] καὶ ὁ παρὰ τῆς ἀληθείας ταχθεὶς στρατηγὸς τῆς λῃστρικῆς ἐφόδου κακῶν ἀπαθεῖς διεσώσατο, ὅ τε Περὶ ψυχῆς ἐστι πρὸς τὴν ἀδελφὴν Μακρῖναν Διάλογος, καὶ δὴ καὶ ὁ Κατηχητικὸς καὶ ὁ Περὶ τελείου [56] βίου τὴν εἰσήγησιν ἀναδεξάμενος.

VARIÆ LECTIONES.

[47] ἀπαρέγκλιτος Scaliger : libri ἀτπαρεγκλήτος. [48] ἐθέλοι B. [49] μετά A : κατὰ ς. [50] δὲ om. A. [51] ὃν corr. B : ὧν ς. [52] τὸν| τὸ A. [53] ῥητὰ] ῥήματα B. [54] κακουργουμένου B. [55] ἐτεχνήσατο ς. [56] περὶ τοῦ τελείου ς.

ΣΛΔ'.

Τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως λόγου.

[908 R.] Ἀνεγνώσθη τοῦ ἁγίου Μεθοδίου, ἐπισκόπου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου, οὗ ἡ [57] ἐκλογὴ τὰ ὑποκείμενα λέγει·

Ὅτι οὐ δεσμόν φησι τὸ σῶμα τῆς ψυχῆς εἶναι, ὡς Ὠριγένης ᾤετο, οὐδὲ δεσμώτιδας τὰς ψυχὰς παρὰ τοῦ [58] προφήτου Ἱερεμίου καλεῖσθαι διὰ τὸ ἐν σώμασιν αὐτὰς τυγχάνειν. Οὐ γὰρ ἐμποδίζειν τὰς τῆς ψυχῆς ἐνεργείας τὸ σῶμα τίθεται, συμπερι-άγεσθαι δὲ μᾶλλον τὸ σῶμα καὶ συνεργεῖν πρὸς ἃ ἡ ψυχὴ ἐπιτρέπει. Ἀλλὰ πῶς [480 H.] τὸ τοῦ θεολόγου Γρηγορίου νοητέον καὶ ἄλλων πολλῶν;

Ὅτι Ὠριγένης δεσμὸν τὸ σῶμα ἔλεγε δεδόσθαι τῇ ψυχῇ μετὰ τὴν παράβασιν, πρὶν δὲ ἀσώματον [59] αὐτὴν βιοτεύειν. Ἀλλὰ καὶ τοῦτο τὸ σῶμα, ὃ περι-κείμεθα, αἴτιον εἶναι τῶν ἁμαρτιῶν· διὰ τοῦτο καὶ δεσμὸν ἔλεγεν, ὡς ἀπὸ τῶν ἀγαθῶν ἔργων κωλύειν δυνάμενον τὴν ψυχήν.

Ὅτι εἰ δεσμὸς ἐδόθη τὸ σῶμα μετὰ τὴν παράβα-σιν, ἢ τῶν κακῶν ἢ τῶν ἀγαθῶν ἐδόθη τῇ ψυχῇ. Τῶν μὲν οὖν ἀγαθῶν ἀδύνατον· οὐδὲ γὰρ ἰατρὸς [60] ἢ τε-χνιτῶν ἄλλους τῷ ἁμαρτήσαντι δίδωσι φάρμακον ὥστε πλέον ἐξαμαρτῆσαι, μὴ ὅτι γε Θεός. Λείπεται δὴ τῶν κακῶν. Ἀλλὰ μὴν ὁρῶμεν ὡς κατ' ἀρχὰς ὁ μὲν Κάϊν περικείμενος τοῦτο τὸ σῶμα ἐφόνευσεν· οἱ δ' ἐφεξῆς πρὸς ἃς ἀθεμιτουργίας ἐξώκειλαν, δῆλον. Οὐδὲ τῶν κακῶν ἄρα δεσμὸς τὸ σῶμα. Οὐδ' ὅλως ἄρα δεσμός, οὐδ' ὕστερον αὐτὸ ἠμφιάσατο μετὰ τὴν πα-ράβασιν ἡ ψυχή.

Ὅτι ἄνθρωπος, φησί, λέγεται ἀληθέστατα κατὰ φύσιν [61] οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συν-τεθέν. Ὁ δ' [62] Ὠριγένης τὴν ψυχὴν μόνην ἔλεγεν ἄνθρωπον, ὡς ὁ Πλάτων.

Ὅτι διαφορὰν ἀνθρώπου καὶ τῶν ἄλλων ζώων φησί· καὶ τοῖς μὲν διάφορα σχήματα φύσεως δέδοται καὶ μορφαί, ὁπόσας ἡ στερέμνιος καὶ ὁρατὴ φύσις κελεύοντος ἐγέννησε Θεοῦ, τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκελον καὶ πάντα πρὸς ἐκείνην ἀπηκριβωμένον τὴν πρωτότυπον τοῦ Πατρὸς καὶ μονογενῆ εἰκόνα. Καὶ πῶς τοῦτο λέγει ὁ ἅγιος, ἐπισκεπτέον.

Ὅτι φησὶ Φειδίαν τὸν αγαλματοποιὸν τὸ Πισαῖον εἴδωλον ποιήσαντα ἐξ ἐλέφαντος [63] προστάξαι ἔλαιον ἔμπροσθεν τοῦ ἀγάλματος [64] ἐκχέειν, ὥστε ἀθάνατον ἐς δύναμιν αὐτὸ φυλάσσεσθαι [65].

Ὅτι φησὶν, Ὁ διάβολός ἐστι πνεῦμα περὶ τὴν ὕλην γενόμενον ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀθηνα-γόρᾳ ἐλέχθη, ὥσπερ δὴ καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐτοῦ ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς [66]

[1] Thren. III, 34.

CCXXXIV

A

Excerpta ex Oratione S. Methodii de Resurrectione.

293*a* Legi sancti Methodii episcopi et martyris, ex Oratione de resurrectione; cujus compendii hoc est argumentum:

Corpus non esse vinculum animæ, ut Origenes existimavit; neque animas carceribus illigatas a Jeremia propheta dici [1], eo quod in corporibus sint: neque enim animæ operationes a corpore impediri affirmat, imo corpus circumferri potius, et cooperari ea ad quæ anima invitat. Enimvero quomodo illud Gregorii Nazianzeni, et multorum aliorum intelligendum?

Origenes asseruit corpus post prævaricationem B animo vinculi loco adjunctum esse, cum prius sine corpore viveret. Quin et hoc corpus quod gestamus causam esse peccatorum; propterea etiam vinculum appellavit, ut quod animam a bonis operibus prohibere possit.

Quod si corpus animæ ut vinculum copulatum est post prævaricationem, aut datum est bonorum aut malorum animæ. Impossibile est bonorum; nullus enim medicorum aut artificum aliorum porrigit remedium peccanti, ut plus peccet: multo minus Deus. Sequitur ergo, malorum: atqui videmus, ut primum Cain hoc corpore vestitus homicidium fecerit; posteri vero ad quæ scelera prolapsi sint, manifestum est. Ergo corpus non est vinculum malorum, nec ullum penitus vinculum [aut carcer], C nec illud anima post prævaricationem primum induit.

Homo, inquit, secundum naturam, dicitur verissime neque anima sine corpore, neque corpus sine anima, sed illud quod ex anima et corpore in unam pulchritudinis formam componitur. Origenes vero, ut Plato, solam animam dixit constituere hominem.

Differentiam inter hominem et cætera animalia esse dicit: animalibus variæ species et diversæ formæ datæ sunt, quantas nimirum valida et visibilis natura Deo jubente produxit; homini vero datum est ut esset similis Deo, Deique formæ, et omnia quæ ad perfectam et primigeniam Patris et Filii unigeniti imaginem spectant. Et qua ratione D hoc [datum sit] sanctus ait investigandum.

293*b* Phidiam statuarium ait, cum Pisæam statuam ex ebore formasset, imperasse ut oleum interius infusum semper ex statua promanaret, ut illi immortalem vim hoc modo conciliaret.

Diabolus, inquit, est spiritus, circa materiam, a Deo factus, ut et Athenagoræ placuit (quemadmodum et reliqui angeli ab eodem Deo facti sunt), cui materia et quæ ad materiæ formas pertinent,

VARIÆ LECTIONES

[57] ἡ om. A. [58] ψυχὰς καὶ παρὰ ς. [59] ἀσώματον AB : ἀσωμάτως ς. [60] ἰατρῶν ς. [61] κατὰ φύσιν ἀληθέστατα ς. [62] ὁ δ'] οὐδ' A. [63] ἐλεφάντου ς. [64] τοῦ ἀγάλμ. ἐκχέειν ἔμπρ. B. [65] φυλάττεσθαι B. [66] τῆς add. A.

administratio commissa est. Ad hoc enim angeli creati a Deo, ut rebus ab ipso effectis præessent: ut Deus quidem communem et generalem omnium providentiam gerens, qua rerum omnium potestas et imperium ab ipso pendet. Reliqui vero angeli in iis officiis ad quæ illos Deus fecit, et præfecit, mansere: diabolus vero arrogantia elatus, et in rebus suæ fidei commissis, invidia adversus nos concepta, perfidus factus est. Quemadmodum et ii, qui postea corporum amore capti, cum filiabus hominum per amorem sunt congressi. Nam et ipsis Deus, uti et hominibus, liberum dedit [ad bonum eligendum, aut malum] arbitrium.

Et per pelliceas tunicas mortem intelligit. Narrat enim de Adam: quem Deus omnipotens cum immortalem fecisset, sciens eum ex insidiis [diaboli] malum factum, uti et ille erat qui eum deceperat, diabolus propterea illi pelliceas vestes concinnavit, quasi illum induens mortalitate, ut per corporis solutionem omne quod in eo malum erat, moreretur.

Sancto Paulo binas revelationes contigisse dicit: neque enim Apostolus, inquit, paradisum in tertio cœlo collocat, uti norunt qui subtilia ejus verba animadvertunt, quando dicit: *Scio hominem hujusmodi raptum usque ad tertium cœlum* [m]. Et: *Scio hujusmodi hominem, sive in corpore. sive extra corpus, Deus scit; quoniam raptus est in paradisum* [n]. Duas illustres revelationes se vidisse significat: bis manifeste raptus; semel quidem usque ad tertium cœlum [semel autem in paradisum. Illud enim: *Scio raptum hujusmodi usque ad tertium cœlum*] proprie significat illi apparitionem factam in tertio cœlo. Illud vero: *Scio rursum raptum hujusmodi hominem,* **294***a sive in corpore sive extra corpus, Deus scit, quoniam raptus est in paradisum:* alteram rursum apparitionem sibi factam in paradiso ostendit. Hæc autem eo dicit quod contrarium sentientes paradisum tantum spiritualem ponerent ex apostolico dicto, velut qui supra cœlum esset, ut inde concluderent sine corpore futuram in paradiso vitam.

Docet etiam malum facere aut non facere esse in nostra potestate, quia non penderemus pœnas de malis coactis, aut præmia reciperemus pro benefactis. Sed cogitare vel non cogitare mala, in nostra potestate non est. Hinc divum Paulum ait dicere: *Non quod volo hoc facio; sed quod nolo, hoc facio* [o], hoc est, Non quod volo cogitare, hoc cogito; sed quod nolo. Porro cradicatum esse vitium mala cogitandi, affirmat per

A ὅλης εἴδεσι πεπιστευμένον διοίκησιν. Τούτων [67] γὰρ ἡ [τῶν ἀγγέλων] σύστασις τῷ Θεῷ ἐπὶ προνοίᾳ γεγονέναι [68] τοῖς ὑπ' αὐτοῦ διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν [69] ὁ Θεὸς ἔχων τῶν ὅλων πρόνοιαν ᾗ τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος. Ἀλλ' οἱ μὲν λοιποὶ, ἐφ' ὧν αὐτοὺς [70] ἐποίησε καὶ διετάξατο ὁ Θεὸς, ἔμειναν· αὐτὸς δὲ ἐνύβρισε καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων ἐγένετο διοίκησιν, φθόνον ἐγκισσήσας καθ' ἡμῶν, ὥσπερ καὶ οἱ μετὰ ταῦτα σαρκῶν ἐρασθέντες [909 R.] καὶ ταῖς τῶν ἀνθρώπων εἰς φιλοτησίαν ὁμιλήσαντες θυγατράσιν. Αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκάτερα διετάξατο βούλησιν ὁ Θεὸς, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων. Καὶ πῶς τοῦτο ληπτέον;

B Ὅτι δερματίνους χιτῶνας τὸν θάνατόν φησι. Λέγει γὰρ περὶ τοῦ Ἀδὰμ, ὃν ὁ Θεὸς ὁ παντοκράτωρ ἀθάνατον κακὸν ἐξ ἐπιβουλῆς ἰδὼν γεγεννημένον, [481 R.] καθάπερ καὶ ὁ πλανήσας αὐτὸν διάβολος ἦν, τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητι περιβαλὼν αὐτὸν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν [71] κακὸν [72] ἀποθάνῃ.

C Ὅτι δύο ἀποκαλύψεις φησὶ γεγονέναι τῷ ἁγίῳ Παύλῳ. Λέγει γὰρ, Ἀλλ' [73] οὐδὲ ὁ Ἀπόστολος ὑποτίθεται εἶναι τὸν παράδεισον ἐν τῷ τρίτῳ οὐρανῷ τοῖς λεπτῶν ἀκροᾶσθαι λόγων ἐπισταμένοις. Οἶδα γὰρ τὸν τοιοῦτον ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ, λέγων· καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι [74] εἴτε χωρὶς τοῦ σώματος, ὁ Θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, δύο ἀποκαλύψεις μεγάλας ἑωρακέναι μηνύει, δὶς ἀναληφθεὶς ἐναργῶς, ἅπαξ μὲν ἕως τρίτου οὐρανοῦ, ἅπαξ δ' εἰς τὸν παράδεισον. Τὸ γάρ· Οἶδα ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ, ἰδίως ἀποκάλυψιν αὐτῷ κατὰ τὸν τρίτον οὐρανὸν πεφηνέναι [75] συνίστησι· τὸ δὲ, Καὶ οἶδα, πάλιν ἐπιφερόμενον, τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι εἴτε ἐκτὸς σώματος [76], ὁ Θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, ἑτέραν αὖθις αὐτῷ πεφανερῶσθαι κατὰ τὸν παράδεισον ἀποκάλυψιν δείκνυσι. Ταῦτα δὲ λέγει, ἐπεὶ οἱ δι' ἐναντίας τὸν παράδεισον νοητὸν ἐτίθεντο [77] ἐκ τοῦ ἀποστολικοῦ ῥητοῦ, ὡς ὄντα ὑπὲρ τὸν οὐρανὸν [78], ἵνα τὸ ἀσωμάτως γενέσθαι τὴν ἐν τῷ [79] παραδείσῳ διαγωγὴν συνάξωσιν [80].

D Ὅτι φησὶ, Τὸ μὲν πρᾶξαι ἢ μὴ πρᾶξαι τὰ κακὰ ἐφ' ἡμῖν, ἐπεὶ οὐκ ἂν δίκας ἐδίδομεν τῶν κακῶς δρωμένων ἢ ἀμοιβὰς ἐλαμβάνομεν τῶν καλῶς· τὸ δ ἐνθυμηθῆναι τὰ κακὰ ἢ μὴ οὐκ ἐφ' ἡμῖν. Διά τοῦτο καὶ τὸν θεῖον Παῦλόν φησι λέγειν· Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ οὐ θέλω, τοῦτο ποιῶ, τουτέστιν, οὐχ ὃ θέλω ἐννοεῖν, τοῦτο ἐννοῶ, ἀλλ' ὃ μὴ θέλω. Ἐκριζωθῆναι δέ φησι καὶ τὸ τὰ κακὰ ἐνθυμεῖσθαι διὰ τῆς τοῦ φυσικοῦ θανάτου παρουσίας,

[m] II Cor. XII, 2. [n] Ibid. 3. [o] Rom. VII, 15.

VARIÆ LECTIONES.

[67] τοῦτο A. [68] γεγονέναι] lege γέγονε. [69] γεννικὴν ς. [70] αὐτοὺς A : αὐτὸς ς. [71] γενηθὲν ς. [72] κακὸν om. A. [73] ἀλλ'] ἄλλως superscripto ἄλλος B. [74] ἐν τῷ σώματι A. [75] πεφηνέναι ante κατὰ ponit B. [76] ἐκτὸς τοῦ σώματος B. [77] ἔθεντο ς. [78] οὐρανὸν] ἄνθρωπον A. [79] τῷ om. A. [80] συνάξουσιν ς.

ἐπεὶ καὶ διὰ τοῦτο θάνατος ἐδόθη παρὰ Θεοῦ τῷ ἐξ- A ημαρτηκότι, ἵνα μὴ ἀθάνατον μείνῃ τὸ κακόν. Ἀλλὰ πῶς τοῦτο εἴρηται ; σημειωτέον ὅτι καὶ ἄλλοις ἡμῶν Πατράσιν εἴρηται, εἴπερ ὁ θάνατος τοῖς τοῦτον μετερχομένοις κατὰ τὸν καιρὸν ἐκεῖνον οὔτε προσθήκη οὔτε ὕφεσις [81] ἁμαρτημάτων γίνεται.

potestatem mortis naturalis. Propterea enim a Deo peccatori mors infertur, ne malum esset æternum. Sed qua ratione hoc intelligendum est? Sciendum hoc etiam ab aliis nostris Patribus esse traditum : morientibus per mortem peccata nec augeri nec minui.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία κατὰ σύνοψιν.

Compendiosa expositio dictorum quorumdam apostolicorum ex eodem sancti Methodii libro.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία κατὰ σύνοψιν.

Legi ex eodem illius libro compendiosam dictorum quorumdam apostolicorum explanationem.

Ἴδωμεν δὲ τί ἦν ὅπερ πρῶτον εἰς τὸν Ἀπόστολον προήχθημεν εἰπεῖν. Τὸ γὰρ, Ἐγὼ δὲ [83] ἔζων, λεχθὲν αὐτῷ, χωρὶς νόμου ποτὲ ἄνω τὴν ἐν τῷ παραδείσῳ, καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώματος, ἀλλὰ μετὰ σώματος ἡμῶν ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ. Ἐκτὸς B δ' ἐπιθυμίας διήγομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας προσβολάς. [912 R.] Τὸ γὰρ μὴ ἔχειν διορισμὸν καθ' ὃν δεῖ πολιτεύεσθαι, μηδὲ ἐξουσίαν αὐτοδέσποτον λογίου ποίῳ [482 H.] δεῖ χρῆσθαι πολιτεύματι, ἵνα δικαίως ἢ τιμηθῇ ἢ ψεχθῇ, ἀνυπεύθυνον παντὸς λέλεκται ὑπάρχειν τοῦτο ἐγκλήματος, ὅτι μὴ δύναται τούτων τις ἐπιθυμῆσαι, ὧν μὴ κεκώλυται· κἂν ἐπιθυμήσῃ δὲ, οὐκ αἰτιαθήσεται. Τὸ γὰρ ἐπιθυμῆσαι οὐκ ἐπὶ τῶν παρόντων καὶ ὑποκειμένων ἐν ἐξουσίᾳ πίπτει, ἀλλ' ἐπὶ τῶν παρόντων μὲν, μὴ ὄντων δ' ἐν ἐξουσίᾳ· πῶς γάρ, οὗ μὴ κεκώλυταί τις μηδ' ἐνδεής ἐστι, τούτου ἐρᾷ ; ὅθεν διὰ τοῦτο Τὴν ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις. Ἀκουσάντες γάρ· Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε C ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, τότε τὸ ἐπιθυμῆσαι συνέλαβον καὶ ἐκίσσησαν. Διὸ δὴ τὴν ἐπιθυμίαν καλῶς οὐκ ἤδειν ἐλέχθη, εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις, οὐδὲ ἐσθίειν, εἰ μὴ εἴρητο· Οὐ φάγεσθε ἀπ' αὐτοῦ. Ἐντεῦθεν γὰρ ἐκτήσατο ἀφορμὴν εἰς τὸ διαπαῖξαί με ἡ [83] ἁμαρτία· δοθείσης γὰρ τῆς ἐντολῆς ἔσχε λαβὴν ὁ διάβολος κατεργάσασθαι ἐν ἐμοὶ τὴν ἐπιθυμίαν. Χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρὰ, οἷον οὐ δοθείσης γὰρ τῆς ἐντολῆς ἄπρακτος ἦν ἡ ἁμαρτία. Ἐγὼ δὲ ἔζων πρὸ τῆς ἐντολῆς ἀμέμπτως [84], οὐκ ἔχων ἐπιταγὴν καθ' ἣν ἔδει πολιτεύεσθαι. Ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι [85] ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη [86] εἰς θάνατον, ὅτι μετὰ τὸ νομοθετῆσαι τὸν Θεὸν, καὶ διαστείλασθαί μοι ἃ ποιητέον καὶ μὴ ποιητέον, κατειργάσατο ἐν ἐμοὶ τὴν ἐπιθυμίαν ὁ διάβολος. Ἡ γὰρ ἐπαγγελία τοῦ Θεοῦ ἡ δοθεῖσά μοι αὕτη εἰς ζωὴν καὶ ἀφθαρσίαν, ἵνα πειθόμενος αὐτῇ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον ἔχω καὶ χαρὰν, ἀθετήσαντι αὐτὴν εἰς θάνατον ἀπέβη, ἐπειδὴ ὁ διάβολος, ὃν ἁμαρτίαν νῦν οὗτος ἐκάλεσε διὰ τὸ δημιουργὸν αὐτὸν ἁμαρτίας ὑπάρχειν, διὰ τῆς ἐντολῆς ἀφορμὴν λαβὼν πρὸς παρακοὴν ἀπατῆσαι

Videamus quid ad Apostolum habeamus dicere. Illud enim, quod ab eo dictum est : *Ego vivebam sine lege* p, aliquando [nempe] sursum in paradiso, ut ab initio posuimus, ante legem, non extra corpus, sed cum corpore nostro, vitam in protoplastis actam indicit, extra concupiscentiam tamen viximus, ignari penitus quæ vis [aut impetus] esset concupiscentiæ. Etenim non habere ad cujus præscriptum vivas, neque explicandi jussi divini (quo pacto vivendum sit, ut vel debito præmio afficiaris, vel damneris) liberam potestatem, hoc ab omni rerum crimine absolvit, quia nemo appetit ea quæ non prohibentur. Et quamvis concupierit, non tamen accusabitur. Appetere enim non cadit in præsentia, et ea quæ in potestate sunt posita [sed in præsentia quidem, non tamen in potestate nostra posita]. Quomodo enim hoc quispiam amet, a quo non arcetur, et quo non indiget? Hinc *concupiscentiam nescivissem, nisi lex dixisset : Non concupisces* q. Audientes enim : *De ligno scientiæ boni et mali non* **294***b comedetis. In quocumque enim die comederitis ex eo, morte moriemini* r, tunc concupiscentiam arripuerunt et conceperunt. Ideo bene dictum est : *Concupiscentiam nesciebam, nisi lex dixisset : Non concupisces* s. Nec comedere [appetivissem] nisi dictum fuisset : *Non comedetis ex illo*. Hinc enim peccatum mihi illudendi occasionem accepit. Dato enim mandato, diabolus occasionem habuit excitandi in me concupiscentiam. Nam sine lege peccatum erat mortuum. Non data enim lege, peccatum quasi inefficax erat. Ego autem vivebam ante legem inculpate, ut qui normam non haberem secundum quam viverem. *Sed cum venisset mandatum, peccatum revixit. Ego autem mortuus sum, et inventum est mihi mandatum quod erat ad vitam, hoc esse ad mortem* t. Nam post legem a Deo latam, et mandatum mihi datum quid faciendum esset, operatus est in me concupiscentiam diabolus. Nam promissio [præceptum] Dei mihi data ad vitam et immortalitatem, ut obediens illi, vitam ad immortalitatem semper efflorescentem habeam, et gaudeam, contemnenti illam in mortem vertit : cum diabolus, quem hic peccatum nominavit, eo quod ipse architectus seu auctor sit peccati, qui accepta, per præceptum,

p Rom. VII, 9. q Exod. XX, 17, r Gen. II, 17. s Rom. VII, 7. Ibid. 9, 10.

VARIÆ LECTIONES.

[81] Ὕφεσις A : ὑφαίρεσις ς. [82] ἐγὼ δὲ] Rom. VII, 9. [83] ἡ add. A. [84] ἀμέμπτως] βίον ἄμεμπτον B. [85] μοι add. A. [86] αὐτὴ ς.

occasione me per inobedientiam decipiendi, deceptum occidit, hæc scilicet damnationis sententia: *Quacumque die comederitis ex illo, moriemini;* reum pergit, *ut lex quidem sancta, et præceptum Dei sanctum*, justum et bonum, ad salutem nempe, non ad exitium datum: nihil enim inutile vel noxium a Deo fieri credimus. Quid ergo? Num bonum mihi mortem creavit, quod mandatum mihi datum summi boni causa fieri debebat? Absit; quia lex Dei mihi nequaquam causa fuit, ut corruptionis jugum subirem, sed diabolus; ut per bonum, malum palam fieret, qui effecit apud me ut fieret et deprehenderetur summus peccator peccati et fabricator: *Scimus enim quod lex spiritualis est* [u], eoque nulli ullius damni causa: spiritualia enim ab irrationali concupiscentia et peccato procul habitant: *Ego autem carnalis sum, venundatus sub peccatis* [v], quasi diceret: Ego autem carnalis sum, et in medio boni et mali in libero arbitrio constitutus, ut in mea potestate sit, quid **295***a* velim eligere: *Posui enim ante faciem tuam*, inquit, *vitam et mortem* [x]. Ego pronus ad violandam legem spiritualem videlicet præcepti; et [promptus] ad materialem [seu carnalem] serpentis videlicet suggestionem, propter hanc electionem venundatus cecidi in peccatum, obnoxius diabolo. Hinc ergo obsidens me peccatum insidet et incolit atque inhabitat in carne mea, pœna mihi legem prævaricanti imposita, ut venundarer peccato. Hinc illud dictum: *Quod operor non intelligo; et quod odi, facio* [y]; non est de factis intelligendum, sed de solo cogitatu. Neque enim est in nostra potestate cogitare aut non cogitare absurda: sed uti, vel non uti cogitationibus reipsa in nobis est. Nam arcere cogitationes uti nobis non incidant, non possumus, cum aliunde suggestas admittamus: sed consentire, aut patrare non cogimur. Propterea *Velle mihi quidem adjacet*, ne mala cogitem; *perficere autem*, ut illa exstinguam, ne amplius menti occurrant, *non habeo* [z]. Quia hoc, ut dicebam non est in nostra potestate, ut si sensus talis hujus dicti: *Non enim, quod volo bonum facio.* Volo enim ne cogitare quidem, quæ mihi noceant; hoc etenim bonum prorsus inculpatum est. Et hoc quidem, quod volo bonum, non facio; *quod vero nolo, facio malum* [a]. Nolo cogitare, cogitando interim quæ nolo cogitare. Atque propter hæc ipsa forte David Deum [supplex] adiit, iratus cogitationibus suis, quas passus est invitus: *Ab occultis meis munda me, et ab alienis parce servo tuo. Si mei non fuerint dominati, tunc immaculatus ero, et emundabor a delicto magno* [b]. Et ipse Apostolus alibi: *Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei, et in captivitatem redigentes omnem intellectum in obsequium Christi* [c].

A με, ἀπατήσας, ἀπέκτεινε, τῷ, Ἡ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, κατακρίματι ὑπεύθυνον γενέσθαι κατεργασάμενος. Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ τοῦ Θεοῦ ἁγία καὶ δικαία καὶ ἀγαθή, ὅτι μὴ ἐπὶ τῷ βλάψαι, ἀλλ' ἐπὶ τῷ [87] σῶσαι ἐδόθη· μὴ γὰρ οἰώμεθα [88] ἀνωφελές τι ἢ βλαβερὸν ποιεῖν τὸν Θεόν. Τί οὖν; Τὸ ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος, ὁ τοῦ μεγίστου μοι ὡς [89] αἴτιον ἐσόμενον ἀγαθοῦ νομοθέτημα ἐδόθη; Μὴ γένοιτο, ὅτι μὴ ἡ ἐντολὴ τοῦ Θεοῦ εἰς τὸ καταδουλωθῆναί με ἐγένετο τῇ φθορᾷ [90] αἰτία, ἀλλ' ὁ διάβολος, ἵνα φανερωθῇ διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐμοὶ κατασκευάσας, ἵνα γένηται καὶ ἐλεγχθῇ καθ' ὑπερβολὴν ὁ εὑρετὴς τῆς ἁμαρτίας ἁμαρτωλός. [483 H.] Οἴδαμεν ὅτι ὁ νόμος ἐστὶ πνευματικός, διὸ καὶ οὐδὲν αἴτιος B γὰρ βλάβης οὐδενί· πόρρω γὰρ ἐπιθυμίας ἀλόγου καὶ ἁμαρτίας ἐσκήνηνται τὰ πνευματικά. Ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, οἷον ἐγὼ δὲ σάρκινος ὢν, καὶ ἐν μέσῳ τοῦ ἀγαθοῦ καὶ πονηροῦ καταστὰς ὡς αὐτεξούσιος, ἵνα ἐπ' ἐμοὶ ἐλέσθαι ὃ βούλομαι ᾖ (Τέθεικα γάρ, φησὶ, πρὸ προσώπου [91] σου [92] τὴν ζωὴν καὶ τὸν θάνατον), νεύσας πρὸς τὸ παρακοῦσαι μὲν τοῦ πνευματικοῦ νόμου, οἷον τῆς ἐντολῆς, ἐπακοῦσαι δὲ τοῦ ὑλικοῦ, οἷον τοῦ ὄφεως τῆς συμβουλίας, πέπραμαι διὰ τὴν τοιαύτην αἵρεσιν, [913 R.] πεσὼν ὑπὸ τὴν ἁμαρτίαν, τῷ διαβόλῳ. Ὅθεν ἐντεῦθεν πολιορκήσάν με τὸ κακὸν ἐνιζάνει, καὶ ἐμπολιτεύεται εἰσοικῆσαν [93] ἐν τῇ σαρκί μου, δίκης ἐπιτεθείσης μοι τὴν ἐντολὴν ἀθετήσαντι πραθῆναι τῷ κακῷ. Διὸ καὶ τό· Οὐ γινώσκω ὃ κατεργάζομαι, καί· Ποιῶ ὃ μισῶ, λεγόC μενον οὐκ ἐπὶ τοῦ δρᾶσαι τὸ φαῦλον παραληπτέον, ἀλλ' ἐπὶ τοῦ μόνον ἐνθυμηθῆναι. Οὐ γὰρ ἐφ' ἡμῖν τὸ ἐνθυμεῖσθαι ἢ μὴ ἐνθυμεῖσθαι κεῖται τὰ ἄτοπα, ἀλλὰ τὸ χρῆσθαι ἢ μὴ χρῆσθαι τοῖς ἐνθυμήμασι. Κωλῦσαι μὲν γὰρ πίπτειν εἰς ἡμᾶς τοὺς λογισμοὺς οὐ δυνάμεθα, προσδεχομένων ἡμῶν ἔξωθεν εἰσπνεομένους· μὴ πεισθῆναι μέντοι ἢ μὴ χρῆσθαι δυνάμεθα. Διὸ τὸ μὲν θέλειν αὐτά μὴ ἐνθυμηθῆναι παρακεῖσθαι [94], τὸ δὲ κατεργάσασθαι εἰς τὸ ἀφανίσαι, ἵνα μὴ [95] αὖθις περὶ τὸν λογισμὸν ἀνέλθωσιν, οὔ, ὅτι μὴ κεῖται τοῦτο ἐφ' ἡμῖν, ὡς ἔφην. Ὡς' εἶναι τὸν νοῦν τοιοῦτον τοῦ ῥητοῦ· Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν. Θέλω γὰρ μὴ ἐνθυμεῖσθαι ἃ βλάπτει με, ἐπειδὴ D τοῦτο τὸ ἀγαθὸν πανάμωμον. Καὶ τοῦτο μὲν, ὃ θέλω ἀγαθὸν, οὐ ποιῶ· ὃ δὲ μὴ θέλω, πράσσω κακὸν, οὐ θέλων ἐννοεῖσθαι, καὶ ἐννοούμενος ἃ μὴ θέλω. Καὶ ἐπισκέψασθε εἰ μὴ διὰ ταῦτα αὐτὰ καὶ ὁ Δαβὶδ ἐνετύγχανε τῷ Θεῷ, δυσχεραίνων ἐπὶ τῷ λογίζεσθαι καὶ αὐτὸν ἃ μὴ ἤθελεν· Ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ [96] ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. Καὶ αὐτὸς δὲ ὁ Ἀπόστολος ἐν ἑτέρῳ

[u] Rom. VII, 14. [v] Ibid. [x] Deut. XXX, 15. [y] Rom. VII, 15. [z] Ibid. 18. [a] Ibid. 19. [b] Psal. XVIII, 13, 14. [c] II Cor. X, 4, 5.

VARIÆ LECTIONES.

[87] τῷ B : τὸ ς. [88] οἰόμεθα ς. [89] om. B. [90] τῇ φθορᾷ] ἢ φθορᾶς B et corr. A. [91] πρὸ προσωπου φησὶ ς. [92] σου om. ς. [93] εἰσοικῆσαν corr. A. ἐνοικῆσαν B : εἰσοικεῖσθαι ς. [94] παρακεῖσθαι] legendum videtur παράκειται. [95] ἵνα μὴ — ἀνέλθωσιν B : ἵνα καὶ — μὴ ἀνέλθωσιν ς. [96] ἀπὸ] Psal. XVIII, 13.

λογισμοὺς [97] καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ·

Εἰ δέ τις ὁμόσε [98] τῷ λόγῳ ἴέναι τολμῶν ἀποκρίνοιτο ὡς ἄρα διδάσκοι ὁ Ἀπόστολος ὡς οὐ μόνον ἐν τῷ λογίζεσθαι τὸ κακὸν μισοῦμεν καὶ ὃ οὐ θέλομεν πράσσομεν [99], ἀλλὰ καὶ ἐν τῷ κατεργάζεσθαι αὐτό, διὰ τό, Οὐ γὰρ ὃ οὐ θέλω ποιῶ ἀγαθὸν λελέχθαι· ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω, ἀξιώσομέν [1] που, εἰ ἀληθῇ λέγει ὁ ταῦτα λέγων, διασαφῆσαι τί ἦν τὸ κακὸν ὃ ἐμίσει μὲν ὁ Ἀπόστολος καὶ οὐκ ἐβούλετο ποιεῖν, ἐποίει δὲ, καὶ τὸ ἀγαθὸν [2] ὃ ἐβούλετο μὲν ποιεῖν, οὐκ ἐποίει [3] δὲ, ἀλλ' ἀντιστρόφως, ὁσάκις μὲν ἤθελε ποιῆσαι τὸ ἀγαθὸν, τοσαυτάκις οὐ τὸ ἀγαθὸν, ὃ ἤθελεν, ἐποίει, ἀλλὰ τὸ πονηρὸν, ὃ μὴ ἤθελεν, ἐποίει. Πῶς δὲ καὶ ἡμᾶς εἰς τὸ παντάπασιν ἀποτινάξασθαι τὸ ἁμαρτάνειν προτρεπόμενος Μιμηταί [4] μου [5], ἀποφαίνεται, γίνεσθε, [6] καθὼς κἀγὼ Χριστοῦ; Οὕτως οὐ τὸ [7] ποιεῖν ἃ μὴ ἤθελεν ὑπέθετο τὰ προειρημένα, ἀλλὰ τὸ [8] μόνον λογίζεσθαι· ἐπεὶ πῶς ἂν ἦν μιμητὴς Χριστοῦ ἀκριβής;

Καλὸν μὲν οὖν, εἰ μὴ εἴχομεν, ἦν ἂν καὶ χαρμιώτατον, τοὺς ἀντιπράσσοντας ἡμῖν καὶ μαχομένους· ἐπεὶ δὲ τοῦτο [484 H.] ἀδύνατον καὶ ὃ θέλομεν οὐ δυνάμεθα (θέλομεν γὰρ μὴ ἔχειν τοὺς ἐξέλκοντας εἰς πάθη· ἦν γὰρ ἂν [9] ἀνιδρωτὶ σωθῆναι· καὶ ὃ θέλομεν τοῦτο οὐ γίνεται, ἀλλ' ὃ οὐ θέλομεν· δεῖ γὰρ ἡμᾶς δοκιμάζεσθαι ὡς ἐχρῆν), μὴ ἐνδιδῶμεν, ὦ ψυχή, μὴ ἐνδιδῶμεν [10] τῷ [11] πονηρῷ, Ἀλλ' ἀναλαβόντες [12] τὴν πανοπλίαν τοῦ Θεοῦ ὑπερασπίζουσαν ἡμῶν, ἐνδυσώμεθα τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησώμεθα [13] τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου, ἐπὶ πᾶσί τε ἀναλάβωμεν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾗ δυνησόμεθα πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, [916 R.] καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, πρὸς τὸ δύνασθαι στῆναι πρὸς τὴν μεθοδείαν τοῦ διαβόλου, λογισμούς τε καθελεῖν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Χριστοῦ. — Ὅτι μὴ ἔστιν ἡμῖν ἡ πρὸς αἷμα καὶ σάρκα πλη

Οὐ γὰρ [14] ὃ θέλω πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Εἰ δὲ [15] ὃ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός [16]· νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα [17] ἐν ἐμοὶ ἁμαρτία. Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθὸν, ὀρθῶς λέγων. Μέμνησθε γὰρ ὡς ἐν τοῖς ἔμπροσθεν διωριζόμεθα, ἀφ' οὗ τὸν ἄνθρωπον πλανηθέντα τὴν ἐντολὴν ἀθετῆσαι συνέβη, ἐντεῦθεν ἐκ τῆς παρακοῆς τὴν ἁμαρτίαν λαβοῦσαν γένεσιν εἰς αὐτὸν εἰσφρῆκέναι. Οὕτω γὰρ στάσις ἐνέπεσε, σφαδασμῶν [18] τε καὶ λογισμῶν ἀνοικείων ἐπληρώθημεν, κενωθέντες μὲν τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, πλη

A Si quis autem in eodem [Pauli] loco progredienti ausus dixerit, quasi doceat Apostolus, quod non solum ratiocinando malum oderimus, et quod nolumus, faciamus; sed etiam in operando id ipsum, eo quod dicat: *Non quod volo facio bonum: sed quod nolo malum, hoc facio* [d], ab hoc, qui vere, ita **295***b* ut dicit, sentit, petimus explicari, quid sit illud malum quod Apostolus oderat, et nolebat facere. Faciebat autem, et bonum, quod volebat facere, tamen non faciebat; sed contra potius, quoties volebat bonum facere, toties bonum, quod volebat, non faciebat, sed malum, quod nolebat, faciebat. Quemadmodum vero nos quoque, ut peccatum penitus abjiciamus adhortatur: *Imitatores*, inquit, *mei estote, sicut et ego Christi* [e]: ita non faciendo B quæ nolebat, subjicit ante dicta. Sed solum cogitando quomodo Christi sedulus erit imitator?

Bonum igitur, nisi haberemus hostes et adversarios, erat jucundissimum. Sed quia hoc erat impossibile, et quæ volumus, nequimus: nolumus enim adversarios, qui nos in vitia trahant (quod esset sine sudore salvari). Et hoc quod volumus, non fit, sed quod nolumus. Oportebat enim nos probari; ne dedamus, o anima, ne dedamus nos in malo: *Sed accipientes armaturam Dei protegentem nos, induamur loricam justitiæ, et calceemus pedes in præparationem Evangelii, in omnibus sumamus scutum fidei, in quo possimus omnia tela nequissimi ignea exstinguere, et galeam salutis, et gladium spiritus, quod est verbum Dei, ut possitis stare adversus insidias diaboli, consilia destruere* [f], *et omnem altitudinem extollentem se contra scientiam Christi* [g]. — *Quoniam non est nobis colluctatio adversus carnem et sanguinem* [h].

Non enim quod volo, hoc ago; sed quod odi, hoc facio. Si autem quod nolo, illud facio, consentio legi, quoniam bona est. Nunc autem non amplius ego operor illud, sed quod habitat in me peccatum. Scio enim quia non habitat in me, hoc est in carne mea, bonum [i], recte dicens [divus Paulus]. Meministis enim, quemadmodum antea a nobis explicatum est, D postquam accidit ut homo deceptus præceptum contemneret, ab illo tempore peccatum, propter inobedientiam, originem accepit in homine habitandi. In hunc enim statum res incidit. Ærumnis anxiis et cogitationibus importunis oppressi, Dei spiritu

[d] Rom. VII, 19, 20. [e] I Cor. XI, 1. [f] Ephes. VI, 11-17. [g] II Cor. X, 5. [h] Ephes. VI, 12. [i] Rom. VII, 15-18.

VARIÆ LECTIONES.

[97] λογ.] II Cor. x, 5. [98] ὁμόσε om. AB. [99] πράττομεν ς. [1] ἀξιώσωμέν ς. ἀληθῶς ς. [2] καὶ τὸ ἀγαθόν. [3] ἐποίει δὲ om. AB. [4] μιμ·] I Cor. XI, 1. [5] μου om. pr. A. [6] γίνεσθαι ς. [7] τὸ mg. : libri τῷ. [8] τὸ A. τῷ ς. [9] ἂν add. A. [10] ἐνδιδωμένῳ ψυχῇ μὲν ἐνδ. A. [11] τῷ A : ἐν τῷ ς. [12] ἀναλαβ.] Ephes. VI, 13. [13] ὑποδυσώμεθα ς. [14] οὐ γαρ ὃ] εἰ γὰρ ὃ οὐ B. cf. Rom. VII, 13. [15] εἰ δὲ — ποιῶ om. AB. [16] καλόν A. [17] οἰκοῦσα] ἐνοικοῦσα A. [18] σφαδαϊσμῶν A.

exuti sumus, et **296***a* corporali concupiscientia impleti, quam callidus nobis serpens immisit. Hinc Deus mortem, qua deleret in nobis peccatum, excogitavit, ut ne in nobis, si immortales mansissemus, etiam concupiscentia semper repullulans immortalis esset. Unde Apostolus : *Scio enim quod non habitet in me, hoc est, in carne mea, bonum ;* quod cum dicit, vult declarare peccatum in nobis, post prævaricationem, per concupiscentiam nidificasse, cujus velut nova germina, cogitationes carnem titillantes in nobis semper excitantur. Duo enim cogitationum genera exsistunt, alterum a concupiscientia, se in corpus nostrum insinuante, natum, quod ex sensu, ut dixi, seu cogitatione, corporalis spiritus constat; alterum autem a lege divini præcepti [profectum], quam uti naturalem legem a Deo insitam accepimus, quæ mentem nostram ad virtutem excitat. Unde condelectamur legi, in animo, hoc enim interior homo est. Legi vero diaboli [condelectamur] secundum inhabitantem in carne concupiscentiam. Diabolus enim, qui repugnat, et oppugnat legem Dei quasi impetum quemdam mentis ad bonum ; hic est qui sensus nostros corporales et vitiosos semper impellit ad impietatem. Tres enim Paulus hic manifeste mihi leges explicare videtur : unam secundum insitum in nobis bonum, quam aperte vocavit legem mentis : alteram, quæ fit ex diaboli impetu seu tentatione, cum sæpe ad improbas animam pertrahit imaginationes, quam ait repugnare legi mentis. Tertiam secundum peccatum ex concupiscentia inveterascentem in carne, quam legem peccati habitantem in membris appellavit, qua inductus [homo] sæpe ad peccatum et improbas actiones pellicitur. Videtur enim quasi nobis ipsis nunc hoc melius, nunc illud deterius ; et cum id, quod nobis videtur natura melius, deteriore illo potentius fuerit, animus toto impetu fertur in bonum ; quando vero id quod deterius est, regnum insolenter affectarit, homo rursum contraria via in deteriores cogitationes et consilia præceps agitur. Eapropter Apostolus ab eo velut morte et exitio cupit liberari [j], quemadmodum et Propheta : *Ab occultis meis munda me,* inquit [k]. Ipsa ergo verba hoc declarant Apostoli dicentis : *Condelector enim legi secundum* **296***b interiorem hominem ; video autem legem in membris meis contradicentem legi mentis meæ, et captivantem me in lege peccati, quæ est in membris meis. Infelix ego homo, quis me liberabit de corpore mortis hujus* [l] ? Non corpus mortem appellans, sed legem peccati in membris per prævaricationem in nobis latitantem, et semper ad mortem peccati animam trahentem. Statim ergo infert (utique liberatus, a quali morte liberari cupiebat : quis autem illum liberavit?) : *Dei Gratia per Jesum Christum* [m]. Itaque, o

ρωθέντες δὲ ἐπιθυμίας ὑλικῆς, ἣν ὁ πολύτροπος ἐνεφύσησεν εἰς ἡμᾶς ὄφις. Διὸ καὶ τὸν θάνατον ὁ Θεὸς πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ὑπὲρ ἡμῶν ἀνεύρατο, ἵνα μὴ ἐνάθανάτοις ἡμῖν ἀνατείλασα, ὡς ἔφην, ἀθάνατος ᾖ. Ὅθεν ὁ Ἀπόστολος, Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν, λέγων τὴν ἀπὸ τῆς παραβάσεως διὰ τῆς ἐπιθυμίας εἰσοικισθεῖσαν εἰς ἡμᾶς ἁμαρτίαν βούλεται μηνύειν, ἧς δὴ καθάπερ βλαστήματα [19] νέα οἱ φιλήδονοι περὶ ἡμᾶς ἀεὶ λογισμοὶ συνίστανται. Διισσὰ γὰρ ἐν ἡμῖν λογισμῶν γένη, τὸ μὲν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἐμφωλευούσης ἐν τῷ σώματι συνιστάμενον, ἥτις ἐξ ἐπινοίας [20] (ὡς ἔφην) συνέστη τοῦ ὑλικοῦ πνεύματος, τὸ δὲ ἀπὸ τοῦ νόμου τοῦ κατὰ τὴν ἐντολήν, ὃν ἔμφυτον ἐλάβομεν ἔχειν καὶ φυσικὸν νόμον, πρὸς τὸ καλὸν ἡμῶν ἐξεγείροντα τὸν λογισμόν. Ὅθεν τῇ μὲν νομοθεσίᾳ τοῦ Θεοῦ κατὰ τὸν νοῦν συνηδόμεθα (τοῦτο γὰρ ὁ ἔσω ἄνθρωπος), τῇ δὲ νομοθεσίᾳ τοῦ διαβόλου κατὰ τὴν ἐνοικοῦσαν ἐπιθυμίαν ἐν τῇ σαρκί. Ὁ γὰρ ἀντιστρατευόμενος καὶ ἀντιπράσσων τῷ νόμῳ τοῦ Θεοῦ, οἷον τῇ πρὸς τὸ ἀγαθὸν ὁρμῇ τοῦ νοὸς, αὐτός ἐστιν ὁ τοὺς ἐμπαθεῖς ἀναφύων ἀεὶ καὶ ὑλικοὺς πρὸς ἀνομίαν περισπασμούς. Τρεῖς γὰρ νόμους ὑποτιθέμενος ὁ Παῦλος ἀναφανδὸν ἐνταῦθά μοι καταφαίνεται, ἕνα μὲν τὸν [21] κατὰ τὸ ἔμφυτον ἐν ἡμῖν ἀγαθὸν, ὃν καὶ νόμον σαφῶς ἐκάλεσε νοὸς, ἕνα δὲ τὸν ἐκ προσβολῆς συνιστάμενον νόμον τοῦ πονηροῦ καὶ εἰς τὰς ἐμπαθεῖς [485 H.] ἐξέλκοντα πολλάκις φαντασίας τὴν ψυχήν, ὃν ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοὸς ἔφη, καὶ τρίτον τὸν κατὰ τὴν ἁμαρτίαν ἐκ τῆς ἐπιθυμίας [22] σκιρώσαντα ἐν τῇ σαρκὶ, ὃν ἁμαρτίας νόμον οἰκοῦντα ἐν τοῖς μέλεσιν ἐκάλεσεν, ᾧ ἐποχούμενος πολλάκις καθ' ἡμῶν ἐγκελεύεται, πρὸς ἀδικίαν καὶ πράξεις συνελαύνων κακάς. Φαίνεται γὰρ ὡς ἑαυτοῖς ἡμῖν τὸ μὲν [23] βέλτιον, τὸ δὲ χεῖρον ὄν, καὶ ὅταν μέλλῃ τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον γενηθῆναι, φέρεται ὅλος πρὸς τὸ ἀγαθὸν ὁ νοῦς, ὅταν δὲ τὸ χεῖρον ἐπιβρίσῃ πλεονάσαν, ἄγεται πάλιν ἀντιστρόφως πρὸς λογισμοὺς χείρους [24] ὁ ἄνθρωπος· οὗ δὴ καὶ χάριν ὁ Ἀπόστολος εὔχεται ῥυσθῆναι, θάνατον αὐτὸ καὶ ὄλεθρον ἡγούμενος, ὥσπερ δὴ καὶ ὁ Προφήτης· Ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, λέγων. Αὐτὰ οὖν τὰ ῥήματα τοῦτο συνιστῶσι, [917 R.] Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω, λέγοντος, ἄνθρωπον, βλέπω δ' ἕτερον νόμον ἀντιστρατευόμενον τοῖς μέλεσι μου τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντα με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου ; οὐ τὸ σῶμα θάνατον ἀποφαινόμενος, ἀλλὰ τὸν νόμον τῆς ἁμαρτίας τὸν ἐν τοῖς μέλεσι διὰ τῆς παραβάσεως ἐν ἡμῖν ἐμφωλεύοντα καὶ πρὸς θάνατον ἀεὶ τὸν [25] τῆς ἀδικίας τὴν ψυχὴν ἐμφαντάζοντα. Ἐπιφέρει γοῦν εὐθέως ἀμέλει, διαλυόμενος ὁποίου θανάτου ἐγλίχετο ῥυσθῆναι καὶ τίς αὐτὸν ὁ ῥυό-

[j] Rom. VII, 24. [k] Psal. XVIII, 13. [l] Rom. VII, 22-24. [m] ibid., 25.

VARIÆ LECTIONES.

[19] βλάστημα ς. [20] ἐπιπνοίας Scaliger. [21] τὸν add. A. [22] ἐπιθυμίας] ἁμαρτίας AB. [23] τὸ μὲν] τόδε B. [24] χείρονας ς. [25] τὸν add. A.

μενος ἦν [26], Χάρις δὲ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ· Προσεκτέον δὲ, εἰ [27] τὸ σῶμα θάνατον τοῦτο, ὦ Ἀγλαοφῶν, ὡς ὑπειλήφατε, ἔλεγεν, οὐκ ἂν τὸν Χριστὸν ὡς ῥυόμενον αὐτὸν ὕστερον ἐκ τοῦ τοιούτου κακοῦ παρελάμβανεν, ἐπεὶ τί παράδοξον ἀπὸ τοῦ Χριστοῦ παρουσίας ἐσχήκαμεν; Τί δὲ καὶ ὁ Ἀπόστολος ὅλως, ὡς διὰ τῆς παρουσίας τοῦ Χριστοῦ δυναμούμενος τοῦ θανάτου ὑπὸ τοῦ Θεοῦ ἐλευθερωθῆναι τοῦτο ἐφθέγγετο, ὁπότε πᾶσι καὶ πρὸ τοῦ τὸν Χριστὸν ἐλθεῖν εἰς τὸν κόσμον συνέβαινε θνήσκειν; ὥστε οὐ τὸ σῶμα τοῦτο, ὦ Ἀγλαοφῶν [28], θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν τὴν κατοικήσασαν διὰ τῆς ἐπιθυμίας ἐν τῷ σώματι λέγει [29], ἧς ὁ Θεὸς αὐτὸν διὰ τῆς παρουσίας τοῦ Χριστοῦ ἐῤῥύσατο.

A Aglaophon, animadvertendum, si hoc corpus, ut existimatis, mortem appellavit, non Christum quasi liberatorem suum a tali postea malo nominasset. Quid deinde Christi adventus singulare nobis attulisset; quid omnino Apostolus, veluti per Christi adventum confirmatus, ut a morte per Deum liberaretur, hoc prædicaret? quando omnibus, etiam antequam Christus in mundum veniret, mori datum est, ut non hoc corpus, o Aglaophon, mortem appellet, sed peccatum quod per concupiscentiam habitat in corpore, a qua ipsum Deus per adventum Christi liberavit.

Ο γὰρ νόμος τῆς ζωῆς τοῦ πνεύματος ἐν Χριστῷ Ἰησοῦ ἐλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας τοῦ θανάτου. Ὅπως ὁ ἐγείρας Ἰησοῦν ἐκ νεκρῶν [30] διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ἡμῖν ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν τῆς ἁμαρτίας τῆς ἐν τῷ σώματι κατακριθείσης πρὸς ἀναίρεσιν, ἵνα τὸ δικαίωμα τοῦ κατὰ τὴν ἐντολὴν πρὸς τὸ ἀγαθὸν ἡμᾶς ἐφελκομένου φυσικοῦ νόμου φανερωθῇ ἐξαφθέν. Τὸ γὰρ ἀδύνατον τοῦ ἐν ἡμῖν φυσικοῦ ἀγαθοῦ, ἐν ᾧ ἠσθένει ὑπὸ τῆς ἐπιθυμίας ἠττώμενον τῆς ἐγκειμένης ἐν τῷ σώματι, ὁ Θεὸς ἀνεῤῥώσατο, πέμψας τὸν Υἱὸν αὐτοῦ τὴν ὁμοίαν τῆς σαρκὸς τῆς ἁμαρτίας σάρκα ἀνειληφότα, ἵνα τῆς ἁμαρτίας κατακεκριμένης πρὸς ἀναίρεσιν, εἰς τὸ μηκέτι καρποφορῆσαι ἐν [486 R.] τῇ σαρκὶ, τὸ ἰδίωμα τοῦ φυσικοῦ νόμου πληρωθῇ, πλεονάσαν τῇ ὑπακοῇ τοῖς μὴ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς περιπατοῦσιν, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν τοῦ πνεύματος καὶ τὴν ὑφήγησιν. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς [31], ὃ δή ἐστι τὸ εὐαγγέλιον, ἕτερος ὢν τῶν προειρημένων νόμων, διὰ τοῦ κηρύγματος πρὸς ὑπακοὴν τεθεὶς καὶ ἄφεσιν ἁμαρτημάτων, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, νικήσας ἐκ παντὸς τὴν ἁμαρτίαν βασιλεύουσαν τῆς [32] σαρκός.

B *Lex enim vitæ spiritus in Christo Jesu liberavit nos a lege peccati et mortis* [n]: ut is qui Jesum ex mortuis excitavit, propter spiritum ejus inhabitantem in nobis, vivificet mortalia corpora nostra, peccato in corpore ad abolitionem damnato, ut justificatio naturalis legis secundum præceptum nos ad bonum trahentis accensa appareat. Nam infirmam partem naturalis boni, quæ victa a concupiscentia in corpore degente ægrotabat, sanavit Deus, mittens Filium suum, qui similem carnem carni peccati assumpsit, ut peccato ad internecionem profligato, ne repullularet in carne, et proprietas naturalis legis impleretur in iis qui non secundum concupiscentiam carnis, sed secundum desiderium et ductum spiritus ambulant. Lex enim spiritus vitæ, C quod est Evangelium (quæ alia est ab **297***a* ante dictis legibus, per prædicationem ad obedientiam et remissionem peccatorum posita) liberavit nos a lege peccati et mortis, devicto penitus peccato quod carni dominabatur.

Ὅτι φησὶ μὴ τρέφεσθαι ἢ αὐξάνειν ἀπὸ τῆς γῆς τὰ φυτά. Λέγει γὰρ, Διαπορήσαι δ' ἄν τις πῶς εἰς τὸν ὄγκον ἀναλαμβάνεσθαι δύναται τῶν δένδρων ἡ γῆ μεταλλοιουμένη· ἐχρὴν γὰρ, ἅτε τῆς ὑποκειμένης γῆς ἀναρπαζομένης ἀεὶ διὰ τῶν ῥιζῶν εἰς ὅλην τὴν ἕξιν τοῦ ξύλου, τὸν τόπον, καθ' ὃν τὸ δένδρον βεβλάστηκε, κοιλαίνεσθαι· ὥστε μάταιος αὐτῶν ὁ τοιοῦτος τῆς περὶ τὰ σώματα ῥύσεως ἀναλογισμός. Πῶς γὰρ ὅλως ἡ γῆ διὰ τῶν ῥιζῶν εἰς τοὺς κορμοὺς τῶν φυτῶν εἰσδυομένη, καὶ διὰ τῶν πόρων εἰς πάντας αὐτῶν κατακερματιζομένη τοὺς κλάδους, εἰς φύλλα καὶ καρπὸν μεταβάλλεται; Εὐμήκη μὲν οὖν δένδρα, κέδροι [33] ἢ πίτυες ἢ ἐλάται, καὶ πολλὴν φέροντα κατ' ἔτος κόμην καὶ καρπὸν, [920 R.] ἰδεῖν ἔστιν [34] ὡς οὐδὲν τῆς ὑποκειμένης γῆς εἰς τὸν αὐτῆς [35] ὄγκον τῆς δρυάδος κατ-

D Plantas ait [Methodius] nec a terra ali nec augeri. Dubitet, inquit, quispiam quomodo terra immutata in tantam arborum amplitudinem assumi (seu crescere) possit. Oportebat enim locum in quo arbor excrevit, et circumjacente terra subducta in ligni naturam excavari. Inanis ergo illorum talis de corporum fluxu consideratio. Quomodo enim ulla ratione terra per radices in truncos ingressa, et per venas in omnes earum ramos diffusa, in folia et fructus commutatur? Proceræ quidem arbores cedrus, vel pinus, vel abietes, et multas frondes et fructus quotannis ferunt. Licet enim videre, ut nihil subjectæ terræ in vastitatem quercus assumant. Oportebat enim, si verum sit, terram per radices ascendentem in lignum mutari, omnemque circumcirca locum terræ cavari: quia quod

[n] Rom. VIII, 2.

VARIÆ LECTIONES.

[26] ἦν] ἦν φησιν B. [27] εἰ] fortasse legendum ὅτι εἰ. [28] Ἀγλαόφρων ς. [29] λέγει B : λέγειν ς. [30] ἐκ νεκρῶν Ἰησοῦν ς. [31] τῆς ζωῆς post τὴν præced. ponit Roth. [32] βασ. καὶ τῆς ς. [33] κέδρος ς. [34] ἰδεῖν γὰρ ἔστιν ς. [35] αὐτῆς — δρυάδος] ἑαυτῆς — θρυάδος AB.

aridum est non ita potest affluere ut humor semper affluit, cum proximus submovetur. Jam vero et ficus similesque stirpes in ædium recessibus frequentes satæ, nihil omnino ex ædificio in se vertisse videntur. Ergo si multorum annorum fructus ex illis et folia quis colligeret, ingentem in domorum penetralibus terræ copiam ex illis factam videret. Unde absurdissimum est existimare terram in fructuum ubertatem mutari, et folia consumi, quamvis per hanc omnia fiant, cum terræ sede locoque utuntur. Neque panis sine mola, loco, tempore et igne fit, et tamen nihil horum est aut fit panis, uti et in sexcentis idem est videre.

A αναλίσκουσιν. Ἐχρῆν γὰρ, εἰ ἀληθὲς [36] ἦν διὰ τῶν ῥιζῶν ἀνερχομένην ἀποξυλοῦσθαι τὴν γῆν, ἅπαντα τὸν περὶ αὐτά τόπον τῆς γῆς κοιλαίνεσθαι, ὅτι μὴ ἐπιῤῥέειν πέφυκε τὸ ξηρὸν, καθάπερ καὶ τὸ ὑγρὸν, ἀεὶ πρὸς τὸ κινούμενον. Ἤδη δὲ καὶ συκαῖ καὶ ἄλλα τοιαῦτα φυτὰ μνημείων ἐν οἰκοδομήμασι πολλάκις βλαστήσαντα οὐδὲν εἰς ἑαυτὰ τῆς οἰκοδομῆς ὅλως ἱστοροῦνται καταναλωκέναι. Εἰ γοῦν ἐτῶν πολλῶν συλλογίσασθαί τις τὸν καρπὸν αὐτῶν καὶ τὰ φύλλα βουληθείη, κατίδοι ἂν πολλαπλασίονα τῆς ἐπὶ τῶν μνημείων γῆς τὸν ὄγκον αὐτῶν γεγενημένον. Ὅθεν ἀτοπώτατον ἡγεῖσθαι τὴν γῆν εἰς καρπῶν φορὰν μεταβαλλομένην καὶ φύλλα καταναλίσκεσθαι, κἂν δι' αὐτῆς ἅπαντα γίνωνται, ἕδρᾳ αὐτῇ χρώμενα [37] καὶ τόπῳ. Οὐδὲ γὰρ ἄρτος δίχα μύλου καὶ τόπου καὶ χρόνου καὶ πυρὸς γίνεται, καὶ οὐδὲν ἔστιν ἢ γίνεται τούτων ὁ ἄρτος. Καὶ ἐπὶ ἄλλων μυρίων ὡσαύτως.

Hoc Pauli : *Scimus enim, quoniam si terrestris domus nostra hujus habitationis dissolvatur* [o], etc. Origenistæ ad tollendam corporum resurrectionem aiunt tabernaculum accipi pro corpore, et cœlestem domum nulla manu factam, quæ illi spiritualia indumenta vocant. Hinc dicit sanctus Methodius, **297***b* per terrestrem domum, brevem hanc vitam abusive intelligendam, et non hoc habitaculum. Si enim per terrestrem domum dissolvendam corpus nostrum ab eo intelligi putatis : quid habitaculum sit docete, cujus domus sit dissolvenda. Aliud enim est habitaculum, aliud habitaculi domus, et aliud nos, quorum est habitaculum. Si enim, inquit, terrestris domus nostra habitationis dissolvitur ; quasi figurate nos esse animas ostenderet, habitationem vero corpus, domum autem habitationis usuram carnis in præsenti vita. Si ergo hæc corporis vita instar domus dissolvatur, habebimus in cœlo non manufactam, inquit, quod hæc vita differentiæ causa manufacta propterea dicatur, eo quod omnis cultus et studia vitæ hujus manibus administrentur et gerantur. Corpus enim, cum sit opus Dei, manufactum non dicitur, eo quod non sit arte hominum effectum. Si autem corpus propterea manufactum dixerint, quod a Deo sit effectum, tunc etiam animæ, et angeli, et ipsa in cœlis indumenta manufacta dicentur. Omnia quippe hæc Dei sunt opera. Quæ est ergo domus manufacta ? Hæc, inquam, brevis vita, ope humana sustentata seu condita : *In sudore*, inquit, *vultus tui vesceris pane tuo* [p] ; qua dissoluta illam immortalem non manufactam occupamus, quemadmodum Dominus ipse declaravit, cum dixit : *Facite vobis amicos de mammona iniquitatis, ut cum defeceritis, recipiunt vos in æterna tabernacula* Quod enim ibi Dominus appellavit *tabernacula*, hic Apostolus vocat *indumenta*. Quod ibi *amicos iniquitatis*, hic Apostolus *domus* dissolvendas diversorii seu habitationis. Quemadmodum ergo, cum dies vitæ nostræ præ-

B Ὅτι τὸ, Οἴδαμεν [38] γὰρ ὡς ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, καὶ ἑξῆς, οἱ Ὠριγενιασταὶ εἰς ἀναίρεσιν τῆς τῶν σωμάτων ἀναστάσεως προβάλλονται, σκῆνος τὸ σῶμα καὶ ἀχειροποίητον ἐν οὐρανοῖς οἰκίαν τὰ παρ' αὐτῶν πνευματικὰ ἐνδύματα λέγοντες. Διό φησιν ὁ ἅγιος Μεθόδιος · Ἐπίγειον οἰκίαν τὴν [39] ἐνταῦθα βραχύβιον ζωὴν καταχρηστικῶς ληπτέον, καὶ οὐ τὸ σκῆνος τοῦτο. Εἰ γὰρ ἐπίγειον οἰκίαν καταλυομένην τὸ σῶμα τίθεσθαι αὐτὸν νομίζετε, φράσατε τὸ σκῆνος τί ἐστιν, οὗ ἡ οἰκία καταλύεται ; Ἕτερον γὰρ τὸ σκῆνος, καὶ ἄλλο τοῦ σκήνους ἡ οἰκία, καὶ ἕτερον ἡμεῖς, ὧν ἐστι τὸ σκῆνος. [487 H.] Ἐὰν γὰρ ἡ ἐπίγειος ἡμῶν οἰκία, φησὶ, τοῦ σκήνους καταλυθῇ, οἷον ἡμᾶς μὲν τὰς ψυχὰς εἶναι δηλώσας, σκῆνος δὲ τὸ σῶμα, οἰκίαν δὲ τοῦ σκήνους τὴν κατὰ τὴν παροῦσαν ζωὴν ἀπόλαυσιν τῆς σαρκὸς τροπικῶς. Ἐὰν οὖν ἡ [40] νῦν δὴ αὕτη ἡ τοῦ σώματος ζωὴ δίκην οἰκίας καταλυθῇ, ἔξομεν τὴν ἐν τοῖς οὐρανοῖς ἀχειροποίητον. Ἀχειροποίητόν φησι διὰ τὸ χειροποίητον ταύτην λέγεσθαι τὴν ζωὴν κατὰ ἀντιδιαστολὴν, παρὰ τὸ πάντα ἡμῶν τὰ κοσμήματα καὶ σπουδάσματα τοῦ βίου χερσὶ παλαμᾶσθαι ἀνθρώπων. Τὸ γὰρ σῶμα δημιούργημα ὑπάρχον Θεοῦ χειροποίητον οὐ λέγεται, ὅτι μὴ ἐπαλαμήθη τέχναις ἀνθρώπων. Εἰ δὲ διότι ὑπὸ Θεοῦ ἐδημιουργήθη, χειροποίητον αὐτὸ λέξουσι, χειροποίητοι ἄρα καὶ αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι καὶ τὰ ἐνδύματα αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς · Θεοῦ γὰρ αὐτουργήματα καὶ ταῦτα. Τίς οὖν ἐστιν ἡ χειροποίητος οἰκία ; Ἡ βραχύβιος, ὡς ἔφην, αὕτη ζωὴ, ἡ ἀπ' ἀνθρωπίνων χειρῶν δραματουργουμένη · Φάγῃ [41] γὰρ, φησὶν, ἐν ἱδρῶτι τοῦ προσώπου σου τὸν ἄρτον σου · ἧς καταλυθείσης ἐκείνην τὴν ἀχειροποίητον ζωὴν ἔχομεν. Καθάπερ καὶ ὁ Κύριος εἰπὼν ἐδήλωσε · Ποιήσατε [42] φίλους ἐκ τῆς ἀδικίας τοῦ μαμωνᾶ [43], ἵνα ὅταν ἐκλίπωσι [44], δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. Ὃ γὰρ ἐκεῖ σκηνὰς ὁ Κύριος ἐκάλεσε, τοῦτο ἐνταῦθα ὁ Ἀπόστολος ἐνδύματα · ὃ δὲ ἐκεῖ φίλους ἐκ τῆς ἀδικίας, ἐνταῦθα καταλυομένας ὁ

[o] II Cor. v, 1. [p] Gen. III, 19. [q] Luc. XVI, 9.

VARIÆ LECTIONES.

[36] ἀληθῶς AB. [37] χρώμενοι ς. [38] οἴδαμεν] II Cor. v, 1. [39] τὴν om. A. [40] ἡ ante τοῦ om. pr. A. [41] φάγῃ ς. [42] ποιήσατε] Luc. XVI, 9. [43] μαμμωνᾶ ς. [44] ἐκλίπωσιν AB : ἐκλίπητε ς.

Ἀπόστολος οἰκίας, Καθάπερ γοῦν ἐὰν ἐκλείψωσιν αἱ τῆς παρούσης ζωῆς ἡμῶν ἡμέραι, τὰ πρὸς εὐποιΐαν τὰς ψυχὰς ἡμῶν [45] ὑποδέξονται ἀγαθοεργήματα, ἃ ἀπὸ τῆς ἐν τῇ ἀδικίᾳ ζωῆς ἐκτησάμεθα [921 R.] τῷ τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι, οὕτω τῆς ζωῆς καταλυθείσης τῆς ὠκυμόρου τὴν πρὸ τῆς ἀναστάσεως ἕξομεν οἴκησιν αἱ ψυχαὶ [46] παρὰ τῷ Θεῷ, ἔστ' ἂν ἀνακαινοποιηθεῖσαν ἡμῖν ἄπτωτον ἀναλάβωμεν οἰκίαν [47]. Ὅθεν καὶ στενάζομεν, μὴ θέλοντες τὸ σῶμα ἀπεκδύσασθαι, ἀλλ' ἐπ' αὐτῷ τὴν λοιπὴν ἐπενδύσασθαι ζωήν. Τὸ γὰρ οἰκητήριον τὸ ἐξ οὐρανοῦ, ὃ ἐπιθυμοῦμεν [48] ἐπενδύσασθαι, ἡ ἀθανασία ἐστίν. Ἤν ἐὰν ἐπενδυσώμεθα, καταποθήσεται πᾶν τὸ ἐν αὐτῇ ὁλοσχερῶς ἀσθενὲς ὑπὸ τῆς ἀχρόνου ζωῆς καταναλωθὲν καὶ θνητόν.

Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους, τουτέστι διὰ πίστεως γὰρ ἐπιβαίνομεν ἔτι, ἀτρανοτάτῳ λογισμῷ τὰ ἐκεῖ πράγματα κατοπτεύοντες, καὶ οὐ σαφῶς, ὥστε καὶ ὁρᾷν καὶ ἀπολαύειν καὶ ἐν αὐτοῖς εἶναι.

Τοῦτο [49] δὲ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα κληρονομῆσαι βασιλείαν Θεοῦ οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Σάρκα, φησίν, οὐ τὴν σάρκα αὐτὴν ἐδήλωσεν, ἀλλὰ τὴν ἄλογον πρὸς τὰς [50] μαχλώσας τῆς ψυχῆς ὁρμὴν ἡδονάς. Εἰπὼν οὖν ὅτι [51] Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, ἐπαπεφήνατο· Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Φθορὰ δὲ οὐκ αὐτό ἐστι τὸ φθειρόμενον, ἀλλὰ τὸ φθεῖρον. Ἐπικρατήσαντος μὲν γὰρ τοῦ θανάτου κλίνεται τὸ σῶμα [488 H.] εἰς φθοράν· ἐπιμενούσης δὲ ἔμπαλιν τῆς ζωῆς ἐν αὐτῷ ἕστηκε μὴ καθαιρούμενον. Διὸ [52] ἐπειδὴ μεθόριον τῆς ἀφθαρσίας ἐγενήθη καὶ τῆς φθορᾶς ἡ σάρξ, οὐκ οὖσα οὐδὲ φθορὰ οὐδὲ ἀφθαρσία, ἐκρατήθη τε διὰ τὴν ἡδονὴν ὑπὸ τῆς φθορᾶς, ποίημα τῆς ἀφθαρσίας καὶ κτῆμα ὑπάρχουσα, διὰ τοῦτο γεγένηται εἰς φθοράν. Καὶ ἐπεὶ συνεκροτήθη ὑπὸ τῆς φθορᾶς καὶ θανάτῳ διὰ παιδείαν παρεδόθη, εἰς νῖκος αὐτὴν τῇ φθορᾷ καθάπερ κληρονομίαν οὐ κατέλιπεν, ἀλλὰ πάλιν διὰ τῆς ἀναστάσεως νικήσας τὸν θάνατον ἀπέδωκε τῇ ἀφθαρσίᾳ, ἵνα μὴ κληρονομήσῃ ἡ φθορὰ τὴν ἀφθαρσίαν, ἀλλ' ἡ ἀφθαρσία τὸ φθαρτόν. Ἐπαποκρίνεται γοῦν, Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν, καὶ τὸ θνητὸν τὴν ἀθανασίαν. Φθαρτὸν δὲ καὶ θνητὸν ἐνδυόμενον ἀθανασίαν καὶ ἀφθαρσίαν τί ἂν [53] ἕτερον εἴη παρὰ τὸ σπειρόμενον ἐν φθορᾷ καὶ ἀνιστάμενον ἐν ἀφθαρσίᾳ, ἵνα, Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊνου, φορέσωμεν καὶ τὴν [54] εἰκόνα τοῦ ἐπουρανίου; Ἡ γὰρ εἰκὼν τοῦ χοϊνου, ἣν ἐφορέσαμεν, τὸ Γῇ [55] εἶ καὶ εἰς γῆν ἀπελεύσῃ ἐστίν, ἡ δὲ εἰκὼν τοῦ ἐπουρανίου ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀφθαρσία.

A sentis defecerint, bona opera, animas nostras ad compensanda benefacta, quæ in vita iniquitatis possedimus, (eo quod mundus sit in maligno positus) recipient [r] : ita brevi hac vita soluta, animæ ante resurrectionem habitationem habebunt apud Deum, donec instauratam et nunquam casuram recipiamus domum. Unde et ingemiscimus, nolentes corpus hoc exuere, sed super ipsum reliquam vitam induere [s]. Illud enim domicilium cœleste, **298***a* quod superinduere cupimus, est immortalitas quam ubi induerimus, absorbebitur penitus a vita æterna consumptum, quidquid in illa infirmum et mortale.

B *Per fidem enim ambulamus, non per speciem*, hoc est, per fidem adhuc progredimur, statum illic obscurissima consideratione contemplantes, et non aperte, ut videre, et frui, et esse in illo possimus.

Hoc autem dico, fratres, quod caro et sanguis regnum Dei possidere non possint, neque corruptio incorruptionem hæreditabit [t]. Cum carnem vocat, non hanc carnem intellexit, sed irrationalem impetum contra lascivas animæ voluptates. Cum ergo dicit : *Quod caro et sanguis regnum Dei non possidebunt*, simul declaravit, quod *neque corruptio hæreditabit incorruptionem*. Corruptio autem non est id quod corrumpitur, sed quod corrumpit. Morte enim prædominante, corpus in corruptionem vergit. Vita C autem in eo rursum manente, manet incorruptum. Quare cum inter confinia corruptionis et incorruptionis caro nata sit, nec sit corruptio ne incorruptio, victa est a corruptione, propter delectationem, incorruptionis opificium, quamvis esset in possessione [incorruptio]. Hinc [caro] nata est in corruptionem. Et postquam victa est a corruptione, et morti propter castigationem tradita, non reliquit illam corruptioni ad victoriam in hæreditatem, sed rursum victa per resurrectionem morte reddidit incorruptioni, ut ne corruptio incorruptionem in hæreditatem acciperet, sed potius incorruptio corruptibile [absorberet]. Dicit enim : *Oportet enim corruptibile hoc induere incorruptionem, et mortale immortalitatem* [u]. Corruptibile autem et mortale D induere immortalitatem et incorruptionem quid aliud sit, quam seminatum in corruptione, resurgens in incorruptione : *Ut sicut portavimus imaginem terreni, portemus et imaginem cœlestis* [v]? Imago enim terreni, quam portavimus, illud est : *Terra es, et in terram reverteris* [x]. Imago autem cœlestis est resurrectio ex mortuis et incorruptio.

[r] I Joan. v, 19. [s] II Cor. v, 2. [t] I Cor. xv, 50. [u] Ibid. 53. [v] Ibid. 49. [x] Gen. iii, 19.

VARIÆ LECTIONES.

[45] ἡμῶν om. B. [46] αἱ ψυχαὶ] ἀναψυχὴν Scaliger. [47] οἰκίαν AB : τὴν οἰκίαν. ς. [48] ἐπενδύσασθαι ἐπιθυμοῦμεν. cf. II Cor. v, 2. [49] τοῦτο] I Cor. xv, 50. [50] τὰς om. A. [51] ὅτι om. A. [52] διὸ om. AB. [53] ἂν] δ' ἄν A. [54] τὴν om. A. [55] γῇ] Gen. iii, 19.

Justinus vero Neapolitanus vir haud longe ab apostolorum temporibus et virtutibus remotus, quod mortale est hæreditate accipi dicit, vitam vero hæreditatem accipere. Et carnem quidem mori, vivere vero regnum cœlorum. Quando vero Paulus **298***b* a sanguine regnum Dei possideri posse negat, non dicit hoc, ut carnis regenerationem videatur negare, sed ut doceat, non possideri regnum Dei, quod est vita æterna, a corpore, sed corpus a vita. Si enim regnum Dei, quod est vita, a corpore possideretur, eveniret ut vita a corruptione absorberetur. Nunc contra id quod mortuum est, a vita possidetur, ut in victoria mors a vita absorbeatur, et corruptibile ab incorruptibili possideri videatur, liberum tamen a morte et peccato factum; sed ut serviat et ministret immortalitati, ut corpus sit incorruptionis, non incorruptio corporis. *Quod mortui in Christo resurgent primum, deinde nos qui vivimus* [y]. De hoc ita censet sanctus Methodius : Hoc est [inquit] : Ipsa nostra hæc corpora. Nos enim qui vivimus, animæ sumus, qui excitata e terra corpora mortua accipimus, ut in occursum Domini simul cum ipsis rapti gloriose celebremus illi festum resurrectionis. Pro quibus æterna nobis tabernacula non interitura aut solvenda accepimus.

A Ἰουστῖνος δὲ ὁ Νεαπολίτης, ἀνὴρ οὔτε τῷ χρόνῳ πόῤῥω ὢν τῶν ἀποστόλων οὔτε τῇ ἀρετῇ. κληρονομεῖσθαι μὲν τὸ ἀποθνῆσκον, κληρονομεῖν [56] δὲ τὸ ζῶν λέγει, καὶ ἀποθνήσκειν μὲν [57] σάρκα, ζῆν [58] δὲ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁπόταν δὲ σάρκα ὁ Παῦλος [59] καὶ αἷμα μὴ δύνασθαι τὴν βασιλείαν τοῦ Θεοῦ κληρονομῆσαι λέγῃ, οὐχ ὡς ἐκφαυλίζων, φησί, τῆς σαρκὸς τὴν παλιγγενεσίαν ἀποφαίνεται, ἀλλὰ διδάσκων οὐ κληρονομεῖσθαι βασιλείαν Θεοῦ, αἰώνιον ὑπάρχουσαν ζωήν, ὑπὸ τοῦ σώματος, ἀλλὰ τὸ σῶμα ὑπὸ τῆς ζωῆς. Εἰ γὰρ ἐκληρονομεῖτο ἡ βασιλεία τοῦ Θεοῦ ὑπὸ τοῦ σώματος ζωὴ ὑπάρχουσα, συνέβαινεν ἂν τὴν ζωὴν ὑπὸ τῆς φθορᾶς καταπίνεσθαι. Νῦν δὲ τὸ τεθνηκὸς ἡ ζωὴ κληρονομεῖ, ἵνα εἰς νῖκος καταποθῇ ὁ θάνατος ὑπὸ τῆς ζωῆς, καὶ τὸ B φθαρτὸν τῆς ἀφθαρσίας κτῆμα ἀναφανῇ, [924 R.] ἐλεύθερον μὲν θανάτου καὶ ἁμαρτίας γεγεννημένον, δοῦλον δὲ καὶ ὑπήκοον ἀθανασίας, ὅπως τῆς ἀφθαρσίας τὸ σῶμα ᾖ, καὶ μὴ τοῦ σώματος ἡ ἀφθαρσία. Ὅτι Καὶ οἱ [60] νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς [61] οἱ ζῶντες, ὁ ἅγιος Μεθόδιος οὕτω φησί· Τουτέστιν αὐτὰ ἡμῶν ταῦτα τὰ σώματα· ἡμεῖς γὰρ οἱ ζῶντες αἱ ψυχαί ἐσμεν, οἱ ἀπολαμβάνοντες ἐγερθέντες ἐκ τῆς γῆς τοὺς νεκρούς, ἵνα εἰς ἀπάντησιν ἅμα αὐτοῖς ἁρπασθέντες τοῦ Κυρίου ἐνδόξως ἑορτάσωμεν αὐτῷ τὴν φαιδρὰν τῆς ἀναστάσεως ἑορτήν, ἀνθ' ὧν αἰωνίους ἡμῶν τὰς σκηνάς, οὐκέτι τεθνηξομένας ἢ λυθησομένας, ἀπειλήφαμεν.

Vidi, inquit, in Olympo monte Lyciæ ignem sponte sua in montis cacumine ex imo terræ enascentem, juxta quem stirps, pyragnus (78) [nomine] exsistit adeo florida, virens, et opaca, ut e fonte potius nata videatur. Quam igitur ob causam C cum naturæ corruptibiles sint, et corpora ab igne consumantur, hæc sola stirps non solum non exuritur, sed magis etiam efflorescit, quamvis natura facile exuri possit, præsertim ad ipsius radices igne eructante? Ramos ergo ex circumjacentis silvæ arboribus, in ignem illic erumpentem conjeci, qui subito flammis correpti in cinerem redacti sunt. Quid ergo sibi vult hoc miraculum? Signum et indicium futuri diei Deus hoc exhibuit, uti sciamus, flammis olim omnia absumpturis corpora quæ in puritate et justitia vitam transegere, per ignem non secus ac frigidam aquam transitura.

Ὅτι φησὶν, Ἐθεασάμην ἐν Ὀλύμπῳ ἐγὼ (ὄρος δέ ἐστιν ὁ Ὄλυμπος τῆς Λυκίας) πῦρ αὐτομάτως κατὰ τὴν ἀκρώρειαν τοῦ ὄρους κάτωθεν ἐκ τῆς γῆς [489 H.] ἀναδιδόμενον [62], περὶ ὃ πῦρ ἄγνος [63] φυτόν ἐστιν [64], οὕτω μὲν εὐθαλὲς καὶ Χλοερὸν, οὕτω δὲ σύσκιον, ὡς ὑπὸ πηγῆς μᾶλλον αὐτὸ δοκεῖν [65] βεβλαστηκέναι. Δι ἥντινα οὖν αἰτίαν, εἰ φύσεις εἰσὶ φθαρτῶν καὶ ὑπὸ πυρὸς καταναλωμένων σωμάτων, οὐ μόνον οὐ καταφλέγεται τὸ φυτὸν τοῦτο, ἀλλὰ καὶ μᾶλλον ἀκμαιότερον ὑπάρχει, εἰ τῇ φύσει ἐστὶν εὔκαυστον, καὶ ταῦτα περὶ αὐτὰς αὐτοῦ τὰς ῥίζας τοῦ πυρὸς ἐντυφομένου [66]; κλάδους γοῦν ἐγὼ δένδρων ἐκ τῆς παρακειμένης ὕλης ἐπέῤῥιψα, καθ' ὃν ἀνερεύγεται τὸ πῦρ τόπον, καὶ εὐθέως εἰς φλόγα ἀρθέντες ἐτεφρώθησαν. Τί οὖν βούλεται τὸ παράδοξον; Δεῖγμα τοῦτο τῆς μελλούσης ὁ Θεὸς ἡμέρας καὶ προοίμιον ἔθετο, ἵνα γινώσκωμεν ὅτι πάντων πυρὶ κατομβρουμένων τὰ ἐν ἁγνείᾳ σώματα διατρίψαντα καὶ δικαιοσύνῃ, καθάπερ ψυχρῷ ὕδατι, τῷ πυρὶ ἐπιβήσονται.

Vide, inquit, utrum non beatus **299***a* Joannes cum D dicit : *Dedit mare mortuos suos, qui in eo erant : et mors et infernus dederunt mortuos suos, qui in ipsis erant* [z]; partes ab elementis redditas ad uniuscujusque reparationem, ostenderit? Mare quidem

Ὅτι φησὶν, Ἐπίστησον δὲ μή ποτε καὶ ὁ μακάριος Ἰωάννης, Ἔδωκεν [67] ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, λέγων, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς [68], τὰ ἀπὸ τῶν στοιχείων ἀναδιδόμενα πρὸς ἀποκατά-

[y] I Thess. IV, 15, 16. [z] Apoc. XX, 13.

VARIÆ LECTIONES.

[56] κληρονομεῖν — ἀποθνήσκειν] θνήσκειν AB. [57] μὲν] δὲ B. [58] ζῆν] ζωὴν B. [59] ὁ Παῦλος] I Cor. XV, 50. [60] καὶ οἱ] I Thess. IV, 15, 16. [61] ἡμεῖς] καὶ ἡμεῖς A. [62] ἀναδιδόμενον ante κάτωθεν ponit B. [63] πῦρ ἄγνος B et rc. A : πύραγνος ς. [64] ἐστι φυτόν B. [65] δοκεῖν add. B. [66] ἐντυφωμένου A, ἐκτυφομένου Roth. [67] ἔδωκεν] Apocal. XX, 13. [68] τοὺς ἐν αὐτῇ] αὐτῆς B

NOTÆ.

(78) *Salicem torrentis* vertit Lev. XXIII. Job. XL.

στασιν ἑκάστου μόρια ἐδήλωσε· τὴν μὲν γὰρ θάλασσαν εἶναι τὴν ὑγρὰν οὐσίαν, ᾅδην δὲ τὸν ἀέρα παρὰ τὸ ἀειδὲς, διὰ τὸ μὴ ὁρᾶσθαι, καθάπερ ἐλέχθη καὶ Ὠριγένει, καὶ θάνατον τὴν γῆν παρὰ τὸ ἐν αὐτῇ κλίνεσθαι τὰ [69] θνήσκοντα, ὅθεν καὶ χοῦς ἐκλήθη θανάτου [70] ἐν Ψαλμοῖς [71], εἰς χοῦν θανάτου κατῆχθαι εἰρηκότος Χριστοῦ.

[A] [constat] esse naturam humidam, infernum autem, aerem ab obscuritate, quod non videatur, quemadmodum Origenes explicat, mortem item esse terram, eo quod mortuus in ea reponatur. Unde et pulvis est appellata mors in Psalmis, Christo dicente *se in pulverem mortis deductum esse* [z].

Ὅτι φησὶ, Πᾶν γὰρ τὸ ἐκ καθαροῦ ἀέρος καὶ καθαροῦ πυρὸς συνιστάμενον σύγκριμα, καὶ τοῖς ἀγγελικοῖς ὁμοούσιον ὑπάρχον, οὐ δύναται γῆς ἔχειν ποιότητα καὶ ὕδατος, ἐπεὶ συμβήσεται ἔσεσθαι αὐτὸ γεῶδες. Τοιοῦτον καὶ ἐκ τούτων τὸ ἀναστῆναι μέλλον σῶμα ἀνθρώπου [72] Ὠριγένης [73] ἐφαντάζετο, ὃ καὶ [74] πνευματικὸν ἔφησεν [75].

Ait [Methodius] : Quidquid ex puro aere et puro igne componitur, et angelicis naturis consubstantiale est, illud non potest habere terræ et aquæ qualitatem, quia necessario ipsum esset terrestre. Tale autem et ex hisce [aere et igne] resurrecturum corpus fingit Origenes, quod spirituale appellavit.

Ὅτι φησὶ, Ποδαπὸν ἄρα ἐστὶ [76] καὶ σχῆμα τὸ ἀνιστάμενον, εἰ ὅλως τὸ ἀνθρωποειδὲς τοῦτο, ὡς [B] ἄχρηστον ὂν κατ' αὐτὸν, ἐξαφανίζεται· ὃ πάντων ἐστὶ τῶν εἰς ζῶα συγκεκριμένων σχημάτων ἐρασμιώτερον· ᾧ καὶ τὸ Θεῖον χρῆται εἰκόνι, καθάπερ καὶ ὁ σοφώτατος Παῦλος δηλοῖ· Ἀνὴρ [77] μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. Εἰς ὃ καὶ τὰ νοερὰ τῶν ἀγγέλων σώματα διεκοσμήθησαν. Ἆρα κυκλοτερὲς ἢ πολυγώνιον ἢ κυβικὸν ἢ πυραμοειδές; πλεῖσται γὰρ τῶν σχημάτων αἱ παραλλαγαί. Ἀλλὰ τοῦτο ἀμήχανον. Οὐκοῦν τίς ἡ ἀποκλήρωσις, τὸ μὲν θεοείκελον σχῆμα (ὁμολογεῖ γὰρ καὶ αὐτὸς ὁμοειδῆ εἶναι τὴν ψυχὴν τῷ σώματι) ἀπαγορεύεσθαι ὡς ἀκλεέστερον, ἄπουν δὲ καὶ ἄχειρον ἀνίστασθαι;

Atqui, inquit, quæ species erit resurgentis, si forma hæc humana, velut inutilis ipsi, exstinguatur, quæ ex omnibus in animalia cadentibus formis est amabilior, qua Numen ipsum utitur, quemadmodum sapientissimus Paulus explanat : *Vir quidem non debet velare caput suum, quoniam imago et gloria Dei est* [a], ad quod rationalia quoque angelorum corpora sunt exornata. Eritne ergo [corporis resurgentis forma] circularis, aut angularis, aut cubica, aut pyramidalis? Variæ enim sunt figurarum species ; sed hoc est impossibile. Ecqua hæc sors esset, formam Deo similem (similem enim animam esse corpori ipse quoque fatetur) velut deteriorem abjici, et [corpus] sine pedibus manibusque resurgere?

[925 R.] Ὅτι φησὶν, Ὁ μετασχηματισμὸς ἡ εἰς τὸ ἀπαθὲς καὶ ἔνδοξόν ἐστιν ἀποκατάστασις· νῦν [C] μὲν γὰρ σῶμα [78] ἐπιθυμίας ἐστὶ καὶ ταπεινώσεως (διὸ καὶ Δανιὴλ [79] ἀνὴρ ἐπιθυμιῶν ἤκουε), τότε δὲ μετασχηματισθήσεται εἰς σῶμα ἀπαθὲς, οὐ τῇ ἐξαλλαγῇ τῆς διακοσμήσεως τῶν μελῶν, ἀλλὰ τῷ μὴ ἐπιθυμεῖν τῶν ὑλικῶν ἡδονῶν.

Transformatio, inquit, est ad immortalitatem et gloriam transmutatio. Nunc enim corpus est in desiderio et humilitate : unde Daniel *vir desideriorum* est appellatus [b]. Tunc autem transfigurabitur in corpus impassibile, non mutato in deterius ornatu membrorum, sed exstincta corporalium voluptatum concupiscentia.

Ὅτι φησὶν [490 H.] ἐξελέγχων τὸν Ὠριγένην· Βούλεται τοίνυν ὁ Ὠριγένης τὴν μὲν αὐτὴν σάρκα μὴ ἀποκαθίστασθαι τῇ ψυχῇ, τὴν δὲ ποιὰν ἑκάστου μορφὴν, κατὰ τὸ εἶδος τὸ τὴν σάρκα καὶ νῦν χαρακτηρίζον, ἐν ἑτέρῳ πνευματικῷ ἐντετυπωμένην ἀναστήσεσθαι σώματι, ἵνα ἕκαστος πάλιν ὁ αὐτὸς φανῇ κατὰ τὴν μορφὴν, καὶ τοῦτο εἶναι τὴν ἐπαγγελλομένην ἀνάστασιν. Ῥευστοῦ γὰρ, φησὶν, ὑράρχοντος τοῦ ὑλικοῦ σώματος καὶ μηδέποτε μένοντος ἐφ' ἑαυτῷ, ἀλλὰ ἀπογινομένου καὶ ἐπιγινομένου περὶ τὸ εἶδος τὸ χαρακτηρίζον τὴν μορφὴν ὑφ' οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, ἀνάγκη δὴ τὴν ἀνάστασιν ἐπὶ μόνου εἴδους ἔσεσθαι. Εἶτα μετ' ὀλίγον φησὶν, Οὐκοῦν, ὦ Ὠρίγενες, εἰ ἐπὶ τοῦ εἴδους μόνον προσδοκᾶσθαι διισχυρίζῃ τὴν ἀνάστασιν ἐν πνευματικῷ μεταθησομένου σώματι, ἀπόδειξίν τε δοκιμωτάτην τὴν κατὰ τὸν Ἠλίαν ἡμῖν ὀπτασίαν καὶ Μωϋσα παρέχεις, Ὥσπερ ἐκεῖνοι, φάμενος, μετὰ τὴν ἀπὸ τοῦ βίου

Coarguens dein Origenem ait : Origenes igitur vult non eamdem carnem cum anima conjunctum iri, sed qualem nunc singulorum formam, secundum speciem corpus carni imprimit, [talem sed] in alio corpore spirituali impressam resurrecturam, ut unusquisque rursum idem videatur secundum formam ; et hanc esse **299***b* promissam nobis resurrectionem. Cum enim, inquit, corpus materiale fluxum sit, et in seipso nequaquam persistat, sed [D] deficiat et crescat secundum figuram, quæ formam exprimit, sub qua [specie] continetur et figura, necesse est ut resurrectio in sola specie fiat. Deinde post pauca dicit : Si igitur, o Origenes, resurrectionem in sola specie in spirituale corpus mutata, exspectandam contendis, et visionem Eliæ et Moysis nobis pro certissima demonstratione exhibes : *Quemadmodum illi*, inquis, *post mortem non alia, quam viventes olim habebant, species apparuerunt:*

[z] Psal. xxi, 16. [a] I Cor. xi, 7. [b] Dan. ix, 23.

VARIÆ LECTIONES.

[69] τά **A** : τόν ς. [70] θανάτου] θάνατος **B**. [71] ψαλμοῖς] xxi, 16. [72] ἀνθρώπου om. **B**. [73] ὁ Ὠριγένης **A**. [74] καὶ add. **A**. [75] ἔφη **B**. [76] ἐστὶ] σοι **B**. [77] ἀνήρ] I Cor. xi, 7. [78] σῶμα ς. [79] Δανιήλ] ix, 23.

B παίδων καὶ παρθένων ἐρωτικὰς ᾄδει περιστάσεις. Καὶ τὰ ἐπιθαλάμια δὲ τοῖς ἄρτι θαλαμευομένοις ἅμα οἱ ἡίθεοι καὶ αἱ παρθένοι ἐπὶ τῶν θαλάμων ᾖδον. Ὑμέναιον δὲ ἐν γάμοις ᾄδεσθαί φασι [34] κατὰ πόθον καὶ ζήτησιν Ὑμεναίου τοῦ Τερψιχόρας, ὃν φασι γήμαντα ἀφανῆ γενέσθαι· οἱ δὲ κατὰ τιμὴν τοῦ Ἀττικοῦ Ὑμεναίου· τοῦτον γάρ φησί ποτε διώξαντα ἁρπελέσθαι κούρας Ἀττικὰς ληστῶν. Ἐγὼ δὲ οἶμαι βίου τινὰ [35] εὐτυχοῦς προαναφώνησιν ὑπάρχειν, καὶ συνεύχεσθαι τοῖς συνιοῦσι [36] πρὸς γάμου κοινωνίαν μετὰ φιλοστοργίας Αἰολικῇ παραπλέκοντας [37] τὴν εὐχὴν διαλέκτῳ, οἷον ὑμεναίειν καὶ ὁμονεῖν τούτους ἀεὶ ὁμόσε ναίοντας [38]. Ὁ δὲ σίλλος [39] λοιδορίας καὶ διασυρμοὺς πεφεισμένως [40] ἀνθρώπων ἔχει. Διαφέρει δὲ τοῦ ἐπικηδείου ὁ θρῆνος, ὅτι τὸ μὲν ἐπικήδειον παρ' αὐτὸ

C τὸ κῆδος, ἔτι τοῦ σώματος προκειμένου [41] λέγεται ὁ δὲ θρῆνος οὐ περιγράφεται χρόνῳ.

Τὰ δὲ λεγόμενα παρθένια [42] χοροῖς παρθένων ἐνεγράφετο. Οἷς καὶ τὰ δαφνηφορικὰ ὡς εἰς γένος πίπτει· δάφνας γὰρ ἐν Βοιωτίᾳ δι' ἐνναετηρίδος [43] εἰς τὰ τοῦ Ἀπόλλωνος κομίζοντες οἱ [44] ἱερεῖς ἐξύμνουν αὐτὸν διὰ χοροῦ παρθένων. Καὶ ἡ αἰτία· τῶν Αἰολέων [45] ὅσοι κατῴκουν Ἄρνην καὶ τὰ ταύτῃ [46] χωρία, κατὰ χρησμὸν ἀναστάντες ἐκεῖθεν καὶ προσκαθεζόμενοι Θήβας ἐπόρθουν προκατεχομένας [47] ὑπὸ Πελασγῶν. Κοινῆς [48] ἀμφοῖν ἑορτῆς Ἀπόλλωνος ἐνστάσης ἀνοχὰς ἔθεντο, καὶ δάφνας [49] τεμόντες, οἱ μὲν ἐξ Ἑλικῶνος οἱ δὲ ἐγγὺς τοῦ Μέλανος ποταμοῦ, ἐκόμιζον τῷ Ἀπόλλωνι. Πολεμάτας δὲ ὁ τῶν Βοιωτῶν

D ἀφηγούμενος ἔδοξεν ὄναρ νεανίαν τινὰ πανοπλίαν αὐτῷ διδόναι καὶ εὐχὰς ποιεῖσθαι τῷ Ἀπόλλωνι δαφνηφοροῦντας διὰ [525 H.] ἐνναετηρίδος [50] προστάττειν [51]. Μετὰ δὲ τρίτην ἡμέραν ἐπιθέμενος κρατεῖ τῶν πολεμίων· καὶ αὐτός τε τὴν δαφνηφορίαν ἐτέλει, καὶ τὸ ἔθος ἐκεῖθεν διατηρεῖται. Ἡ δὲ

VARIÆ LECTIONES.

[28] προτεροῦσιν Ah : πρωτεύουσιν ς. [29] παρὰ Ah : περὶ ς. [30] ἔδοξε Ah : ἤρεσε ς. [31] μεταβάλλει Ah : μεταλαμβάνει ς. [32] οἴνῳ] ἤδη A. [33] αὐτοῖ post μέθην ponit A. [34] φησι **A**. [35] τινὰ Ah : τινὸς ς. [36] συνιοῦσι Ah : συνοῦσι ς. [37] παραπλέκοντα ς. [38] ναίοντας Ah : μένοντας ς. [39] σῖλος A. [40] πεφεισμένως ante λοιδορίας ponit ς. [41] προκειμένου Ah : κειμένου ς. [42] παρθενεῖα Gaisford-dus. [43] ἐννεαετηρίδος A, ἐννεατηρίδος B. [44] οἱ om. A. [45] Αἰολέων Ah : ἑῴων ς. [46] ταύτῃ Ah : ταύτης ς. [47] προκατεχομένας Ah : προσκαθεζομένας ς. [48] κοινῶς ς. [49] δάφνας A : δαείνας ς, τέμτοντες Ah. [50] ἐννεαετηρίδος **A**. [51] προστάττειν post ποιεῖσθαι ponit ς.

δαφνηφορία· ξύλον ἐλαίας, καταστέφουσι δάφναις καὶ ποικίλοις ἄνθεσι, καὶ ἐπ' ἄκρου μὲν χαλκῇ ἐφαρμόζεται σφαῖρα, ἐκ δὲ ταύτης μικροτέρας ἐξαρτῶσι· [989 R.] κατὰ δὲ τὸ μέσον τοῦ ξύλου περιθέντες ἐλάσσονα τῆς ἐπ' ἄκρῳ [52] σφαίρας καθάπτουσι πορφυρᾶ στέμματα· τὰ δὲ τελευταῖα τοῦ ξύλου περιστέλλουσι κροκωτῷ. Βούλεται δ' αὐτοῖς ἡ μὲν ἀνωτάτω σφαῖρα τὸν ἥλιον, ᾧ καὶ τὸν Ἀπόλλωνα ἀναφέρουσιν, ἡ δὲ ὑποκειμένη τὴν σελήνην, τὰ δὲ προσηρτημένα τῶν σφαιρίων ἄστρα τε καὶ ἀστέρας, τὰ δέ γε στέμματα τὸν ἐνιαύσιον δρόμον· καὶ γὰρ καὶ τξέ ποιοῦσιν αὐτά. Ἄρχει δὲ τῆς δαφνηφορίας παῖς ἀμφιθαλής, καὶ ὁ μάλιστα αὐτῷ οἰκεῖος βαστάζει τὸ κατεστεμμένον ξύλον, ὃ κωπὼ [53] καλοῦσιν· αὐτὸς δὲ ὁ διαφνηφόρος ἑπόμενος τῆς δάφνης ἐφάπτεται, τὰς μὲν κόμας καθειμένος [54], χρυσοῦν δὲ στέφανον φέρων, καὶ λαμπρὰν ἐσθῆτα ποδήρη ἐστολισμένος, ἰφικρατίδας [55] τε ὑποδεδεμένος· ᾧ χορὸς παρθένων ἑπακολουθεῖ, προτείνων κλῶνας πρὸς ἱκετηρίαν τῶν [56] ὕμνων. Παρέπεμπον δὲ τὴν δαφνηφορίαν εἰς Ἀπόλλωνος Ἰσμηνίου [57] καὶ χαλαζίου [58].

Τὸ δὲ τριποδηφορικὸν [59] μέλος τρίποδος προηγουμένου παρὰ τοῖς Βοιωτοῖς ᾄδετο. Ἔσχε δὲ καὶ τοῦτο αἰτίαν τοιαύτην· Πελασγῶν τινες Πάνακτον [60] τῆς Βοιωτίας ἐπόρθουν, Θηβαῖοι δὲ ἥμυνον καὶ πέμψαντες εἰς Δωδώνην περὶ τῆς τοῦ πολέμου νίκης ἐχρῶντο. Χρησμὸς δὲ τοῖς Θηβαίοις ἐξέπεσεν ὡς, εἰ μέγιστον ἀσέβημα ἀσεβήσουσι, νικήσουσιν. Ἔδοξεν οὖν αὐτοῖς ἀσεβημάτων εἶναι μέγιστον τὸ τὴν χρησμῳδήσασαν αὐτοῖς τὸν χρησμὸν ἀνελεῖν· καὶ ἀνεῖλον. Αἱ δὲ περὶ τὸ τέμενος συνιέρειαι δίκην λαβεῖν ἀπῄτουν τοῦ φόνου τοὺς Θηβαίους. Θηβαῖοι δὲ οὐκ ἐπιτρέπουσι γυναιξὶ μόναις τὴν περὶ αὐτῶν δίκην [61]· κοινῆς δὲ κρίσεως ἀνδρῶν καὶ γυναικῶν γεγενημένης, καὶ τῶν ἀνδρῶν λευκὰς αὐτοῖς ἐπενεγκόντων ψήφους, ἀπέφυγον οἱ Θηβαῖοι. Ὕστερον δὲ [62] ἐπιγνόντες αὐτοῖς τὸ ὑπὸ τοῦ χρήσμοῦ προστασσόμενον, βαστάσαντες τῶν κατὰ τὴν Βοιωτίαν ἱερῶν τριπόδων [63] ἕνα, καὶ κατακαλύψαντες ὡς ἱερόσυλοι, ἀνέπεμψαν εἰς Δωδώνην. Εὐπραγήσαντες δὲ ἐξ ἐκείνου τοῦ λοιποῦ τὴν πρᾶξιν ἑορτὴν ἐποίουν.

Ὠσχοφορικὰ [64] δὲ μέλη παρ' Ἀθηναίοις ᾄδετο· τοῦ χοροῦ δὲ [65] δύο νεανίαι, κατὰ γυναῖκας ἐστολισμένοι, κλῆμα [66] ἀμπέλου κομίζοντες, μεστὸν εὐθαλῶν βοτρύων (ἐκάλουν δὲ αὐτὸ ὤσχην [67], ἀφ' οὗ καὶ τοῖς μέλεσιν ἡ ἐπωνυμία) τῆς ἑορτῆς καθηγοῦντο. Ἄρξαι δέ φασι Θησέα [68] πρῶτον τοῦ ἔργου· ἐπεὶ γὰρ ἑκούσιος ὑποστὰς τὸν εἰς Κρήτην πλοῦν ἀπήλλαξε τὴν πατρίδα τῆς κατὰ τὸν δασμὸν συμφορᾶς, χαριστήρια ἀποδιδοὺς Ἀθηνᾷ καὶ Διονύσῳ, οἳ αὐτῷ κατὰ τὴν νῆσον τὴν Δίαν ἐπιφανησαν, ἔπραττε

mos ille religiose observatus. Hæc Daphnephoria oleagineum lignum lauris coronant, variisque floribus exornant, cujus in apice ænea sphæra imposita; ex hac minores dependent: medio vero ligno purpureæ coronæ adaptantur, minores quam quæ summo fastigio impositæ. Imam vero ligni partem circumvestiunt crocotula. Significat autem ipsis suprema quidem sphæra, solem, quo Apollinem designant: huic vero subjecta, lunam significat. Globuli vero appensi, stellæ et astra sunt; coronæ annuum cursum significant: trecentas enim et sexaginta quinque conficiunt. Præest autem daphnephoriis puer patrimus, et matrimus, cui maxime conjunctus, gestat coronatum lignum, quod κωπὼ ipsi vocant. Daphnephorus vero sequitur, tangens laurum: comis quidem demissis et fluxis, aureaque corona redimitus, splendidaque veste, et talari indutus, calceisque, quos ab Iphcirate Ἰφικρατίδας Græci vocant [9]. Hunc virginum chorus comitatur, ramos ad supplicationem, quæ hymnis celebrabatur, prætendens. Mittebant autem lauri gestationem ad Apollinis Ismenii et Galaxii fanum.

Τριποδιφορικὸν carmen, tripode prælato a Bœotis canebatur, institutumque hac de causa. Pelasgi quidam Panactum, Bœotiæ urbem vastabant, Thebani vero defensabant, missisque in Dodonam legatis, de belli victoria consulebant. Oraculum vero Thebanis responsum dedit, si **322a** impiissimum crimen admitterent, fore ut victoria potirentur. Visum igitur ipsis, impiorum facinorum maximum fore, vatem quæ reddidisset ipsis oraculum, interfecerunt. Quæ vero sacerdotes templo præerant, repetebant supplicium de cæde a Thebanis. Thebani vero ut solæ multeres sententiam de se ferrent, detrectabant. Communi itaque judicio facto, virorum simul ac mulierum, et viris candidos calculos pro illis ferentibus, effugere Thebani. Cognito tandem id ab oraculo illis mandatum fuisse, tripodem unum ex iis, qui sacri erant apud Bœotos, gestantes, ac tecte, tanquam sacrilegi, circumferentes, Dodonam remiserunt. Quæ res cum feliciter cessisset, exinde in solemne festum vertit.

Oschophorica vero carmina ab Atheniensibus canebantur: chori autem adolescentes duo, muliebri veste induti, palmites vitis gestantes, plenos maturis uvis, quod ipsi ὄσχην vocarunt, unde et carminibus nomen inditum, festum auspicabantur. Primum vero Thesea hoc inchoasse ferunt. Postquam enim sponte sua in Cretam navigationem instituisset, patriam tributi vexatione liberavit: beneficium gratitudinis ergo reddens Minervæ, et Libero, qui ipsi in Dia insula apparuerant. Fiebat au-

[9] Diodorus Siculus lib. xv Biblioth.; Suidas et Pollux.

VARIÆ LECTIONES.

[52] ἐλάσσονα τῆς ἐπ' ἄκρῳ A, ἐλάσσονα τῆς ἐπ' ἄκρου *h*, ἐλάσσονας τῆς τοῦ ξύλου ς. [53] κόπω pr. A, κοπὼ *h*, κώπω B. [54] καθειμένος AB : καθειμένας ς. [55] ἰφικρατίδας] ἐπικρατίδας Ah. [56] τῶν om. A. [57] ἰσανίου B, ἰσυνίου *h*. [58] χαλαζίου Ah : γαλαξίου ς. [59] τριποδικὸν B. [60] Πάνακτον] cf. Muller. Orchomen., p. 385. [61] δίκην] δίκην ἀξιοῦν AB*h*. [62] δὲ add. A. [63] τριπόδων Ah : τρίποδα ς. [64] ὠσχοφορικὰ Ah : ὀσχοφορικὰ ς. [65] δὲ om A. [66] κλήματα — μεστῶν ς. [67] ὤσχην Ah : ὄσχην ς. [68] Θησέα φασὶ ς.

tem a duobus adolescentibus, in umbra educatis, sacris ut operarentur, adhibitis ministris [r]. Ducebatur autem ab Atheniensibus hæc pompa ex Liberi fano in Palladis Sciriadis templum : insequebaturque adolescentes illos chorus, et canebant id genus carmina. Ex singulis vero tribubus puberes inter se cursu certabant, quique alios antevertisset, ex quintuplici, quæ dicebatur phiala, et cinno (qui ex oleo, vino, melle, caseo et farina bordeacea temperabatur) bibebat.

Precatoria carmina ab iis componebantur, qui aliquid Deum rogarent. Pragmatica vero, quæ res gestas aliquorum continent. Emporica, quæ quasi peregrinationem et negotiationem ostentarent, a quibusdam conscripta sunt. Et apostolica, quæ dum quid mitteretur ad aliquem, fiebant. Gnomologica notum est admonitiones de moribus continere. Georgica vero, agri et stirpium tempestivitates et curam. Epistaltica, quæ ad obeunda mandata aliquibus composita mittebantur.

Hactenus quidem ex duobus Procli libris ea excerpsimus. quæ ex grammaticis laudabilia ipse deprompserat (92).

A

B

τοῦτο, δύσι νεανίαις ἐσκιατραφημένοις [526 H.] χρησάμενος πρὸς τὴν ἱερουργίαν ὑπηρέταις. Ἦν δὲ τοῖς Ἀθηναίοις ἡ παραπομπὴ ἐκ τοῦ Διονυσιακοῦ ἱεροῦ εἰς τὸ τῆς Ἀθηνᾶς τῆς Σκιράδος [69] τέμενος. Εἵπετο δὲ τοῖς νεανίαις ὁ χορὸς, καὶ ᾖδε τὰ μέλη. Ἐξ ἑκάστης δὲ φυλῆς ἔφηβοι διημιλλῶντο πρὸς ἀλλήλους δρόμῳ · καὶ τούτων ὁ πρότερος ἐγεύετο ἐκ τῆς πενταπλῆς λεγομένης φιάλης, ἣ συνεκιρνᾶτο ἐλαίῳ καὶ οἴνῳ καὶ μέλιτι καὶ τυρῷ καὶ ἀλφίτοις.

Εὐκτικὰ δὲ μέλη ἐγραφετο τοῖς αἰτουμένοις τι παρὰ Θεοῦ γενέσθαι. Πραγματικὰ δὲ, ἃ τινων περιεῖχε πράξεις. [992 R.] Ἐμπορικὰ δὲ, ὅσα κατὰ τὰς ἀποδημίας καὶ ἐμπορείας [70] ἐπιδεικνύμενά τισιν ἐγράφη. Καὶ ἀποστολικὰ δὲ, ὅσα διαπεμπόμενοι [71] πρός τινας ἐποίουν. Τὰ δὲ γνωμολογικὰ δῆλον ὅτι παραίνεσιν ἠθῶν ἔχει, καὶ τὰ γεωργικὰ δὲ χώρας καὶ φυτῶν καιρούς καὶ ἐπιμελείας. Καὶ τὰ ἐπισταλτικὰ δὲ, ὅσα κατ' ἐντολὰς πρός τινας ποιοῦντες διέπεμπον [72].

Οἱ μὲν [73] δύο λόγοι τῆς Πρόκλου Γραμματικῆς χρηστομαθίας ἐν τούτοις [74].

CCXL.

Joannes Philoponus in Hexaemeron.

322*b* Legi Joannem Philoponum *In Hexaemeron*. Dedicat librum Sergio Constantinopolitano, cujus suasu se laborem suscepisse præfatur, seque eo respexisse, ut ostenderet mundi ortum apud Mosem rebus apparentibus respondere.

ΣΜ'.

Ἰωάννου τοῦ Φιλοπόνου εἰς τὴν Ἑξαήμερον.

Ἀνεγνώσθη ἐκ τῶν Ἰωάννου τοῦ Φιλοπόνου εἰς τὴν Ἑξαήμερον. Ὅτι τὸ σύγγραμμα Σεργίῳ τῷ Κωνσταντινουπόλεως προσφωνεῖ, ἐκείνου προτροπῇ τοῦτον ὑπελθεῖν τὸν πόνον προοιμιαζόμενος. Τὸν δὲ σκοπὸν εἶναί φησι σύμφωνον δεῖξαι τοῖς φαινομένοις τὴν τοῦ θεσπεσίου Μωσέως κοσμογένειαν.

[r] Sic et Plut. in *Theseo*.

VARIÆ LECTIONES.

[69] κειράδος A, κειριάδος *h* : Σκειριάδος ς. [70] ἐμπορίας ς. [71] διαπεμπόμενοι A : διαπεμπόμενα ς. [72] ἐξέπεμπον ς. [73] μὲν A : δὲ ς. [74] post τούτοις in A vacui versus quatuor et pagina una.

NOTÆ

(92) Χρηστομαθίας ἐκλογαι *electa*, verti. Nam et Electorum commentarios 160 reliquit Plinius major Plinio sororis filio, ut ipse ait libro III, *epistola* 5, et *laudabilia* potius reddidi, quam *epitomen*, vel *utilem doctrinam* : ne erres ; χρηστὰ enim et χρήσιμα erant in scriptoribus loca non oscitanter legenda, quod utilia essent : quæ et X figura decussatim scripta notabantur. Latini *Laudabilia* vocabant, et his siglis LL. hoc est locus laudabilis, ut Val. Probus ait, designabant. Contra quæ culpanda, damnandave videbantur, Græci ferali littera Θ, et utrique obelo fodiebant, quod ὀβελίζειν erat, ut monuit vir doctissimus Petr. Pithœus lib. II, *Adversar. subcesivorum*, c. 3, et in M. Varronem *De re rustica* ; Pet. Victorius, se L. litteram, vel τὸ *laudabilia*, in veteribus libris persæpe reperisse, quæ et Joseph. Scaliger argute explanavit.

Διαιρεῖται εἰς δ'.) Εἰς δύω legendum reor, itaque scripsisse Photium arbitror : nam ex duobus tantis Procli libris hoc fragmentum concinnatum est : et Suidas tres duntaxat libros χρηστομαθίας agnoscit : et vero in numerorum notis singulis facilis errandi ansa librariis objici solet, ut ὅ in ὃ commutarit, vel primam in δύω litteram oscitans scriba reliquisse contentus, properavit. Sexcenta id genus σφάλματα in ipso Suida, et Laertio, ut reliquos taceam deprehendas. Non procul abiero. In eo ipso Suida Μουνυχιὼν δεύτερος μὴν παρ' Ἀθηναίοις, reponendum enim δέκατος. Natum mendum suspicor, ex compendio δεκ quod in δευ migravit. Munychion enim mensis, quem Martio respondere putant, decimus a Junio, qui primus erat Atticorum mensium, in quem solstitium æstivum caderet, ut Theodorus Gaza observavit. Sed quoniam in manibus Suidæ liber est, non pigebit de Procli scriptis reliqua describere, sed Latine : *Proclus Lycius Syriani discipulus, auditor item et Plutarchi, Nestorii filius philosophi, philosophus et ipse Platonicus. Hic scholæ Athenis præfuit : ipsius discipulus et successor fuit Marinus Neapolitanus. Scripsit plurima tam philosophica, quam grammatica. Commentarium in integrum Homerum, in* Opera item et dies *Hesiodi* ; Laudabilium locorum libros γ'. De educatione *lib. duos in Platonem* De repub. *libros* IV ; *in Orphei* Theologiam *et* De consensu Orphei, Pythagoræ et Platonis. De oraculis *libros* X ; De diis apud Homerum, *aliaque*. Hæc Suidas exstant et in Euclidem, et Ptolemæum Comment. ut mathematicum summum agnoscas : in Peripatetica vero disciplina, libellus de motu, quo Aristotelem a libro III. *Physic.* et deinceps in Compendium redegit, Platonicæ vero doctrinæ, Platonis *theologica elementa, et Physica* nuper edita. In Italicis vero bibliothecis, et August, in *Timæum*, in *Primum Alcibiadem* in *Cratylum*, in *Parmenidem* dialogos commentarii adhuc latent. Plures et nostræ, et cl. viri Pet. Joannem Nunnesii in hanc Procli *Chrestomathiam* notæ seorsim prodibunt.

C

D

Ὅτι σκοπὸς ἦν τῷ Μωσεῖ οὔτε φυσιολογῆσαι οὔτε ἀστρονομῆσαι ἀλλ' εἰς θεογνωσίαν καὶ διὰ τῆς κόσμογονίας ἀνθρώπους ἀγαγεῖν, καὶ παρασιῆσαι ὅτι δὴ τὸ μέγα τοῦτο καὶ λαμπρὸν τοῦ κόσμου δημιούργημα ἔχει τὸν Θεὸν ποιητήν, καὶ οὔτε αὐτόματον ἔσχε τὴν ὕπαρξιν οὔτε ἀγένητον τὴν ὑπόστασιν καὶ τῷ Θεῷ συναίδιον. Καὶ Πλάτωνα δὲ τὸν παρ' Ἕλλησι νομισθέντα σοφώτατον, καίτοι πολλαῖς ὕστερον γενεαῖς γέγονότα καὶ οὐ πλήθει τυχόντι τοὺς λόγους ποιούμενον, ἀλλὰ τοῖς ἐπὶ φιλοσοφίᾳ τῶν ἄλλων' προὔχουσιν, ὅμως Μωσέα δείκνυσιν ἐν τῇ τῆς κοσμογονίας αὐτοῦ διηγήσει ἐκμιμούμενον. Πολὺ δὲ μεγαλοπρεπέστερον Μωσέα Πλάτωνος τεθεολογηκέναι παρίστησιν. Ὅτι οὐδέν φησιν οὐδ' ὅλως τῶν ἐν τῇ κοσμογονίᾳ τοῦ προφήτου τῇ τοῦ παντὸς διατάξει ἀσύμφωνον· τοὐναντίον δὲ καὶ πολλὰ τῶν ὕστερον αἰτιολογηθέντων ὑπὸ τῶν φυσικῶν ἐκ τῶν Μωσέως γραφέντων εἴληφε τὴν ἀρχήν. Ὅτι ἐν πολλοῖς ἀξίως τὸν μέγαν ἀποθειάζει Βασίλειον, καὶ Θεόδωρον τὸν Μοψουεστίας, εἰ καὶ μὴ ἐν πᾶσιν οἷς ἐπαιτιᾶται, ἀλλ' οὖν οὐκ ἐν ὀλίγοις ἐπιλαμβάνεται δικαίως.

A Moses nec physicum nec astronomum agere voluit, sed homines ad Dei cognitionem, per mundi etiam creationem trahere et invitare conatus est. Magnum hoc et splendidum mundi opus a Deo factum, neque a se principium habere, neque ingenerabilem materiam, neque Deo coæternam. Platonemque, quem Græci sapientissimum existimarunt, etsi sæculis multis posterior fuerit, nec ex plebe cuique libros suos scripserit, sed iis qui præ cæteris in philosophia ingentes progressus fecerunt, Mosem in mundi conditi enarratione imitatum fuisse. Sed Mosem sublimius multo rem refert enarrasse. Nihil ait in mundi creatione esse, rerumque ordine quin Mosis verbis respondeat; contra vero multa eorum, quorum a physicis investigatæ causæ, B e Mosis scriptis desumpta sunt. In multis magnum Basilium, et Theodorum Mopsuestiæ laudibus merito extollit, etsi non in omnibus quæ reprehendit, licet non pauca jure vellicet.

(993 R.) Ὅτι τῆς ἀρχῆς πολλαχῶς σημαινομένης τὸ, Ἐν ἀρχῇ, τὸ νῦν τὴν [75] κατὰ χρόνον ἀρχὴν δηλοῦν. Κατὰ χρόνον δὲ λέγειν φησὶν οὐχ οὗ τῆς γενέσεως προηγεῖται χρόνος, ὡς ἡμῶν ἑκάστου, ἀλλὰ τὸ πρῶτον τοῦ χρόνου νῦν, ἐν ᾧ τὸν οὐρανὸν καὶ τὴν γῆν παρήγαγεν ὁ Θεὸς, [527 H.] παντὸς χρονικοῦ χωρὶς διαστήματοσι Πᾶσαν γὰρ ἀρχὴν ἑτέραν εἶναι πάντως φησὶν, οὗπερ λέγεται ἀρχή· καὶ τοῦτο διὰ παραδειγμάτων κατασκευάζει. Ὥστε ἐν τῇ ἀρχῇ τοῦ χρόνου καὶ οὐκ ἐν χρόνῳ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν ὁ Θεός. Ἀλλ' ἓν τοῦτο σημαινόμενον τῆς ἐν ᾧ γέγονεν ἀρχῆς ὁ οὐρανὸς καὶ ἡ γῆ. Δεύτερον τὸ πρῶτον τοῦ κατασκευάσματος μόριον, ὡς ἀρχὴ ἡ τρόπις τοῦ πλοίου καὶ οἱ θεμέλιοι τῆς οἰκίας. Δῆλον δ' ὅτι καὶ κατὰ τοῦτό φησι τὸ σημαινόμενον τῆς ἀρχῆς δυνατὸν ἐννοῆσαι τὸν οὐρανὸν καὶ τὴν γῆν ἐν ἀρχῇ γεγενῆσθαι· οἷον γὰρ θεμέλιον καὶ ἀρχὴν τῶν γεγονότων ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν προκατεβάλετο. Κατὰ δὲ τὰ ἄλλα τῆς ἀρχῆς σημαινόμενα οὐκέτι·

Principium variis modis cum dicatur, refert illud : *In principio*, nunc temporarium principium indicare : dicere vero, inquit, temporarium, non cujus generationem tempus præcedat, ut unius cujusque nostrum : sed primum temporis nunc, quo Deus cœlum et terram in medium produxit, sine ullo temporis intervallo. Omne enim principium omnino aliud esse dicit, quam in cujus dicitur principium, idque exemplis ostendit. Quare in principio temporis, et non in tempore, cœlum terramque condidit Deus. Sed unum hoc significat principium, in quo cœlum et terra condita sunt. Secundo, prima **323***a* fabricæ pars, ut initium navis est carina, domus fundamenta. Hinc apparet et eodem modo significationem principii intelligi posse, cœlum et terram in principio facta esse. Tale enim fundamentum et principium rerum, Deus cœlum et terram, primum posuit, in aliis significationibus principii non ita.

Ὅτι ἀντὶ [76] τοῦ, Ἐν ἀρχῇ, « ἐν κεφαλαίῳ » εἰπὼν ὁ Ἀκύλας δίδωσιν ἐννοεῖν ἀντὶ τοῦ συνημμένως καὶ ὁμοῦ γενέσθαι τὸν οὐρανὸν σημαίνειν τὸ, Ἐν ἀρχῇ· οὐδὲ γὰρ τὸ μὲν αὐτῶν πρότερον, τὸ δὲ ὕστερον γέγονεν· Εἰώθαμεν γὰρ κεφάλαιον καλεῖν τὴν ἐν ἑνὶ πολλῶν [77] ἅμα συναίρεσιν· καὶ πολλὴ ἡ χρῆσις. Ἐδήλωσε δὲ καί ἡ τῆς σὺν προσθήκη, συνδυασμὸν ὡς τὰ πολλὰ δηλοῦσα, Καὶ γὰρ εἰπὼν, Ἐν κεφαλαίῳ ἔκτισε σὺν τὸν οὐρανὸν, σὺν τὴν γῆν, ἐν ἀρχῇ παρέσχε τὴν δήλωσιν τοῦ ἅμα γενέσθαι τὰ δύο. Τινὲς τὸ, ἐν κεφαλαίῳ, οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς ἀρχῆς τοῦ σώματος τῆς κεφαλῆς αὐτὸ λογιζόμενοι ἐσχηματίσθαι, εἰς τοιαύτην ἀρχὴν αὐτὸ μετειλήφασιν.

Pro his *In principio*, vertens sic Aquila, Ἐν κεφαλαίῳ, occasionem dedit cogitandi, συνημμένως τὸ, in principio significare junctim et simul cœlum et terram facta esse. Neque enim hoc ex illis prius, D hoc vero posterius factum est. Κεφάλαιον enim appellare solemus conjunctionem omnium simul in unum, et frequens hujus usus. Ostendit et additum vocabulum σὺν [id est simul] conjunctionem ; quia multa demonstrat. Dicit enim : *In capite creavit simul cœlum, simul terram* [t]; in principio significat simul duo esse facta. Nonnulli illud, ἓν κεφαλαίῳ non eo modo, sed metaphoram a summa corporis parte, quæ caput est, ductam esse volunt, et ad hoc principium retulerunt.

Ὅτι φησὶν, Οὐρανὸν καὶ γῆν εἰπὼν διὰ τῶν

Cœlum et terram dicens per extrema media con-

[t] Gen. I, 1.

VARIÆ LECTIONES.

[75] τὴν add. C. [76] ἀντὶ C : καὶ ἀντὶ ς. [77] πολλῶν] libri πολλήν.

junxit, ut etiam omnia loquuntur. Extrema autem hæc rite vocantur, terra orbis centrum sustinens, omnium inferiorum est principium; cœlum vero omnia ambiens, omnium finis est. Iterum vero cœlum descendendo, initium est, ejusque respectu terra tunc finis, media vero sunt, aqua, aer, et ignis. Ideo pergit : *Tenebro super abyssum; aquam abyssum* vocat, tenebras vero luce carentem *aerem*. Etenim proprie dicentur tenebræ cum lumen abest. Et consuetudo tenebras obscurum aerem vocat, vel speciem aeris nocturnam, vel ex alio accidente.

A ἄκρων καὶ τὰ μέσα συμπαρείληφεν, ὡς καὶ πάντα φασίν. Ἄκρα δὲ εὐλόγως ταῦτα καλεῖται, ὅτι γῆ μὲν κέντρον τοῦ παντὸς ἐπέχουσα κάτωθεν πάντων ἐστὶν ἀρχή, πέρας δὲ ὁ πάντα περιέχων οὐρανός. Πάλιν ἄνωθεν ἀρχὴ μέν ἐστιν ὁ οὐρανὸς, πέρας δὲ ἡ γῆ. Μέσα δὲ ὕδωρ καὶ ἀήρ, καὶ πῦρ. Διό φησιν ἐφεξῆς· Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, τὸ μὲν ὕδωρ ἄβυσσον εἰπὼν, τὸ δὲ σκότος τὸν ἀφώτιστον ἀέρα καὶ γὰρ κυρίως σκότος ἐστὶν ἡ τοῦ φωτὸς ἀπουσία. Καὶ ἡ συνήθεια δὲ σκότος τὸν ἀφώτιστον λέγει ἀέρα, ἤτοι τὸ νυκτερινὸν τοῦ ἀέρος κατάστημα ἢ καὶ τὸ ἄλλως πως συμβαῖνον.

Tenebras palpabiles, quales senserunt Ægyptii [t] duabus de causis dici vult, vel quod splendor nullus cœlestis immistus est aeri, ob densitatem ejus, ut palpari, et tangi per resistentiam a contingentibus queat : vel quod tangendo duriora corpora instar cæcorum sic progrediantur, et hoc ipso cognoscant sic attrectata. *Abyssus* ab omnibus multa aqua dicitur, et in profundum demersa, quamque capere non valemus, nec oculis consequi.

B Ὅτι τὸ ψηλαφητὸν σκότος τοῖς Αἰγυπτίοις σκότος ψηλαφητὸν εἰρῆσθαι διὰ δύο αἰτίας, ἢ ὅτι μηδεμία ἀκτὶς τῶν οὐρανίων εἰσεκρίνετο τῷ ἀέρι διὰ τὴν πολλὴν αὐτοῦ παχύτητα καὶ οἷον ψηλαφητὴν καὶ δυναμένην αἴσθησιν ἀντιτυπίας τοῖς ἐπαφωμένοις παρέχειν, ἢ ὅτι διὰ τὸ ψηλαφητὸν τὰ στερεμνιώτερα τῶν σωμάτων δίκην τυφλῶν καὶ οὕτω τὰς μεταβάσεις ποιεῖσθαι, ἢ καὶ αὐτὸ τοῦτο γνωρίζειν οὕτω τὰ ψηλαφώμενα.

Ideo etiam Moses abyssum hanc aquam vocat, nisi quod etiam nomine aquæ nominet. *Ac Spiritus enim* **323***b Domini ferebatur super aquas*. Super aquas enim aer ipse innatat. Nomen autem aeris Moses non usurpavit : vel eo quod Hebræi nondum certum aeri nomen dedissent, vel quo sufficeret Mosi vocabulo *aquæ* utrumque denotare. Magnam enim aer et aqua communionem habent, et sæpius in sequentibus hoc nomine de utroque utitur.

Ὅτι ἄβυσσος παρὰ πᾶσι τὸ πολὺ καλεῖται ὕδωρ καὶ εἰς βάθος χωροῦν ἄληπτον ἡμῖν, παρὰ τὸ μηνύειν [78] εἰς αὐτό· διὸ καὶ Μωσῆς ἄβυσσον ἐκεῖνο τὸ ὕδωρ καλεῖ. Πλὴν καὶ ὕδωρ αὐτὸ κατονομάζει· Καὶ πνεῦμα γὰρ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· τοῖς ὕδασι γὰρ ἀὴρ ἐπινήχεται. Αὐτὸ δὲ τὸ τοῦ ἀέρος ὄνομα παρὰ τῇ Μωϋσέως οὐκ ἔστι γραφῇ, ἢ μήπω ἐχούσης τότε [79] τῆς Ἑβραΐδος διαλέκτου ἀφωρισμένον ὄνομα τῷ ἀέρι, [528 H.] ἢ ἀρκουμένου Μωϋσέως διὰ τοῦ ὕδατος τῆς φωνῆς ἄμφω δηλοῦν· πολλὴ γὰρ ὕδατος καὶ ἀέρος ἡ κοινωνία, καὶ πολλάκις ἐν τοῖς ἑξῆς ἐπ' ἀμφοῖν κέχρηται τῷ ὀνόματι.

C

Moses angelorum eorumque creationis nullam mentionem facit, quasi mundi historiam scripserit. Verum non est dicendum istos simul exstitisse vel post cœlum factos esse, sed antea; idque e rerum natura, sacrisque Litteris conatur demonstrare : depugnans scilicet adversus Theodorum ejusque rationes, quibus angelos una cum cœlis factos esse asserit, et magnum Basilium ejusdem sententiæ adducens, pro quo etiam videtur decertandum. Recensens igitur summatim demonstrationes, quibus ille angelos cum mundo non simul creatos probat, addit : Vide tandem ex quibus cœlestis eorum ortus constet. Primo, quod nec Moses, nec alia Scriptura sacra dicit cum cœlo factos esse. Secundo quod non sint corpora, nec corporibus organicis ut anima postea vincti. Tertio, e cœlesti eorum potentia. Quarto, quod Deum assidue videant; quibus omnibus creaturæ mundanæ carent. Quinto, quod irrationales animæ cum corporibus non sint creatæ, etsi sine corporibus esse nequeant. Postremo, quod hominum animus, ne cum proprio corpore quidem

D Ὅτι τοὺς ἀγγέλους καὶ [80] μηδαμοῦ τῆς προαγωγῆς [78] αὐτῶν ἐμνήσθη Μωσῆς, ἅτε τῶν ἐγκοσμίων ἱστορίαν παραδιδοὺς, ἀλλ' οὖν οὐδὲ δεῖ λέγειν ὡς συνυπέστησαν, φησὶν, ἢ καὶ ὕστερον γεγόνασιν οὐρανοῦ, πρότερον δέ. Καὶ τοῦτο πειρᾶται καὶ φυσικώτερον καὶ ἐκ τῶν θείων Λογίων παριστάνειν, ὡς δῆθεν πρὸς Θεόδωρον [996 R.] ἀπομαχόμενος, καὶ τὰς παρ' αὐτοῦ κομιζομένας ἀποδείξεις ὅτι σὺν οὐρανῷ γεγόνασιν ἀνασκευαζόμενος, καὶ σύμφωνον τὸν μέγαν ἐπικομιζόμενος Βασίλειον, ὑπὲρ οὗ καὶ δοκεῖ Θεοδώρῳ διαμάχεσθαι. Ἀνακεφαλαιούμενος οὖν τὰς ἀποδείξεις δι' ὧν τοὺς ἀγγέλους μὴ συνυποστῆναι τῷ κόσμῳ παριστάνειν ἠγώνιστο, φησὶ, Σκόπει τοίνυν ἐκ πόσων αὐτῶν ἡ ὑπερκόσμιος συνῆκται γένεσις. ἐκ τοῦ μήτε Μωσέα μήτ' ἄλλην θεόπνευστον Γραφὴν ἅμα τῷ κόσμῳ γεγονέναι αὐτοὺς εἰπεῖν, ἐκ τοῦ μήτε σώματα εἶναι μήτε συνδεδέσθαι σώμασιν ὀργανικοῖς ὥσπερ τὴν ἡμετέραν ψυχήν, ἐκ τῆς ὑπερκοσμίου δυνάμεως αὐτῶν, ἐξ ὧν τὸ θεῖον διηνεκῶς θεωροῦσιν, ὧν οὐδὲν τῶν ἐγκοσμίων μετέχει· ἐκ τοῦ μηδὲ τὰς ἀλόγους ψυχὰς συγκα-

[t] **Exod. x, 21.**

VARIÆ LECTIONES.

[78] μηνύειν] imo μὴ δύειν. cf. Etym. M. [79] τότε] libri τό. [80] καὶ] lege εἰ καὶ.

ταβεβλῆσθαι τοῖς σώμασι, καίτοι χωρὶς σωμάτων μὴ δυναμένας εἶναι· ἐκ τοῦ μὴ τὴν ἀνθρωπίνην ψυχὴν μηδὲ τῷ ἰδίῳ συνυπόστῆναι σώματι· τὸ μὲν γὰρ ἐκ γῆς, ἡ δὲ καθ' ἑαυτὴν θειοτέρας ὑπὸ Θεοῦ μετέσχε γενέσεως [81].

A sit creatus. Hoc enim e terra, ille per se divina participat generatione, etc.

ΣΜΑ'.

Βίος Ἀπαλλωνίου ἀπὸ φωνῆς Φιλοστράτου.

Ἀνεγνώσθη ἐκ τοῦ εἰς τὸν Ἀπολλώνιον [82] ἀπὸ φωνῆς Φιλοστράτου. Ὅτι [83] Βαβυλῶνά φησι τετειχίσθαι ὀγδοήκοντα καὶ τετρακόσια στάδια κύκλῳ· τεῖχος δὲ αὐτῆς τρία μὲν τὸ ὕψος ἡμίπλεθρα, πλέθρου δὲ μεῖον τὸ εὖρος. Ποταμῷ δὲ Εὐφράτῃ τέμνεται ξὺν ὁμοιότητι τοῦ εἴδους, ὃν ἀπόῤῥητος ὑποστείχει γέφυρα, τὰ βασίλεια τὰ ἐπὶ ταῖς ὄχθαις ἀφανῶς ξυνάπτουσα. Γυνὴ γὰρ λέγεται Μήδεια, τῶν ἐκείνῃ ποτε ἄρχουσα, τὸν ποταμὸν ὑποζεῦξαι τρόπον ὃν μήπω τις ποταμῶν ἐξεύχθη. Λίθους γὰρ δὴ καὶ χαλκὸν καὶ ἄσφαλτον, καὶ ὁπόσα ἐς ἔφυδρον ξύνδεσιν ἀνθρώποις εὕρηται, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ νήσασα, τὸ ῥεῦμα εἰς λιμνας ἔτρεψε, ξηρόν τε ἤδη τὸν ποταμὸν ὤρυγεν [84], ὀργυιὰς ἐς δύο σήραγγα ἐργαζομένη κοίλην, ἵνα ἐς τὰ βασίλεια τὰ περὶ ταῖς ὄχθαις ὥσπερ ἐκ γῆς ἀναφαίνοιτο, καὶ ἤρεψεν αὐτὴν ἴσως τῷ τοῦ ῥεύματος δαπέδῳ. Οἱ μὲν δὴ θεμέλιοι ἐβεβήκεσαν καὶ οἱ τοῖχοι τῆς σήραγγος· ἅτε δὲ [85] τῆς ἀσφάλτου δεομένης τοῦ ὕδατος εἰς τὸ λιθοῦσθαι καὶ πήγνυσθαι, ὁ Εὐφράτης ἐπαφείθη ὑγρῷ τῷ ὀρόφῳ, καὶ ὧδε ἔστη τὸ ζεῦγμα. Τὰ δὲ βασίλεια χαλκῷ μὲν ἥρεπται καὶ ἀπ' αὐτῶν ἀστράπτει· θάλαμοι δὲ καὶ ἀνδρῶνες καὶ στοαὶ τὰ μὲν ἀργύρῳ, τὰ δὲ χρυσοῖς [529 H.] ὑφάσμασι, τὰ δὲ χρυσῷ αὐτῷ, καθάπερ γραφαῖς, ἠγλάϊσται. Φησὶ δὲ φῆσαι [86] τὸν Ἀπολλώνιον καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον εἰς θόλου ἀνῆχθαι σχῆμα, οὐρανῷ τινι εἰκασμένον· σαπφειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ· [997 R.] κυανωτάτη δὲ [87] ἡ λίθος καὶ οὐρανία ἰδεῖν. Θεῶν τε ἀγάλματα, οὓς νομίζουσιν, ἵδρυται ἄνω καὶ χρυσᾶ φαίνεται καθάπερ ἐξ αἰθέρος. Δικάζει μὲν δὴ ὁ βασιλεύς, χρυσαῖ δὲ ἴυγγες ἀποκρέμανται τοῦ ὀρόφου τέτταρες [88], τὴν Ἀδράστειαν αὐτῷ παρεγγυῶσαι καὶ τὸ μὴ ὑπὲρ τοὺς ἀνθρώπους [89] αἴρεσθαι. Ταύτας οἱ μάγοι αὐτοί φασιν ἁρμόττεσθαι, φοιτῶντες εἰς τὰ βασίλεια· καλοῦσι δὲ αὐτὰς θεῶν γλώττας.

Ὅτι [90] φησὶν Ἀπολλώνιον καὶ τοὺς μετ' αὐτὸν ἐξιόντας τῆς Περσῶν ἀρχῆς καὶ προσιόντας τῷ Καυκάσῳ εὐωδεστέρας τῆς γῆς αἰσθέσθαι. Τὸ δὲ ὄρος τοῦτο ἀρχὴν ποιούμεθα τοῦ Ταύρου τοῦ δι' Ἀρμενίας τε καὶ Κιλίκων ἐπὶ Παμφύλους τε καὶ Μυκάλην στείχοντος, ἢ τελευτῶσα εἰς θάλασσαν, ἣν Κᾶρες οἰκοῦσι, τέρμα τοῦ Καυκάσου νομίζοιτ' ἄν, ἀλλ' οὐχ, ὡς ἔνιοί φασιν, ἀρχή· τό τε γὰρ τῆς Μυκάλης ὕψος οὔπω μέγα, καὶ αἱ ὑπερβολαὶ τοῦ Καυκάσου τοσοῦτον ἀνεστᾶσιν ὡς σχίζεσθαι περὶ αὐτὰς [91] τὸν ἥλιον. Περιβάλλει δὲ Ταύρῳ ἑτέρῳ καὶ

CCXLI.

Apollonii Tyanei Vita e Philostrato.

Legi *Vitam Apollonii* auctore Philostrato. Babylonis, inquit, muri quadringentorum stadiorum et octoginta ambitum complectuntur : in altitudinem vero tria semijugera attolluntur, cum sint paulo minus unius jugeris latitudine. Secat autem mediam Babylona Euphrates, cum formæ similitudine, quem Euphratem occultus subit pons, regiam, quæ in utraque ripa est, invicem modo invisibili con- B jungens. Fertur enim mulier Medea aliquando id regnum sortita fluvium junxisse, quo modo antea nemo. Lapides enim et æs, præterea bitumen et raliqua **324***a* conglutinationi in aquis faciendæ ab hominibus inventa, ad fluminis ripas ubi coacervavit, fluminis aquas in paludes derivavit, atque exsiccato fluminis alveo, duarum ulnarum specum excavavit, ut ad regias, quæ utrinque fluminis ripas adjacent, per eam, quam diximus, foveam non secus ac per aridam terram aditus intercederet, ita ut fornicis altitudo fluminis alveo adæquaretur. Fundamenta processerant, et parietes specus ; quasi bitumen aqua indigeret, ut lapidesceret, et indurarelur, Euphrates humido fornicis tecto immissus est, atque hæc jungendi ratio fuit. Regia autem ære C adoperta fulget, thalami vero, et porticus, ac virorum domicilia partim argento, partim aureis velis, partim auro ipso veluti lineamentis condecorata sunt. Ait Apollonium in porticum venisse, cujus jus suprema pars in formam tholi fabricata cœli faciem imitabatur saphiro lapide adoperta : qui lapis maxime cæruleum cœli colorem refert. Erant illic imagines deorum, quos illi colunt, exsculptæ, auratæ luce affusa videntur. Is autem locus est, ubi rex jus dicere consuevit ; ex testitudine vero iynges aviculæ quatuor pendebant (quas motacillas vulgo vocant), Nemesim illi exhibentes, admonentesque regem, ne se supra hominem efferret. Has vero dicunt magos, cum in regiam venissent, jussisse fieri. Vocant autem ipsas deorum linguas.

D Apollonius et alii post illum, Persarum regno exeuntes, cum ad Caucasnm appropinquaverunt, olentis terræ jucundum odorem senserunt. Hunc autem montem principium facimus Tauri, qui per Armeniam et Ciliciam, et ad Pamphiliam usque et Mylen procedit, quæ Mycale in mare juxta quod Cares habitant, definiens, Caucasi finis putatur, non autem principium ut quibusdam placet. Mycales enim altitudo non admodum magna est, Caucasi autem summitates in tantum exsurgere perhibentur, ut sol circa ipsa scindatur. Complectitur

VARIÆ LECTIONES.

[81] post γενέσεως in C vacui versus 38. [82] ἐκ τοῦ εἰς τὸν Ἀπολλώνιον AB : Ἀπολλωνίου βίος ς. [83] ὅτι] Philostrat. V. A. I, 25. [84] ὤρυγεν AB : ὤρυττεν ς. [85] δὲ] libri δή. [86] φῆναι ς. [87] δὲ A : τε ς. [88] τέσσαρες ς. [89] ἀνθρώπους A : οὐραοὺς ς. [90] ὅτι] II, 2. [91] αὐτὸν AB.

autem altera parte Taurus conterminam Indiæ Scythiam omnem juxta Mæotidem, et sinistrum Pontum, viginti millium stadiorum longitudine. Tantum enim terræ modum complectitur Caucasi ambitus. Quod autem nostra ex parte appellatus Taurus supra Armeniam prætendatur, quod longo tempore creditum non est, testantur pantheræ, quas in Pamphyliæ parte, quæ aromata profert, captas esse comperimus. Tales enim feræ **324***b* aromatibus gaudent, et ex longinquo odorem attrahentes, et ex Armenia per montes proficiscentes, ad styracis lacrymas feruntur, quoties venti ab ea parte flantes ab arboribus id gummi stillantibus odorem perferunt. Accepi etiam in Pamphylia pantheram captam fuisse, aureum torquem circa collum habentem Armeniis litteris hujusmodi inscriptum : *Rex Arsaces deo Nysæo.* Regnabat autem temporibus illis in Armenia Arsaces. Is, ut opinor, feram eximia præ cæteris magnitudine Baccho sacravit. Bacchus enim Nysæus a Nysa, quæ in India est, nuncupatur, non ab Indis solum, sed omnibus gentibus, quæ ad Orientem spectant. Illa vero, quam dixi, fera circurata ab homine aliquandiu est, attrectari demulcerique patiens. Adveniente autem vere, ubi veneris eam cupido stimulavit, maris desiderio tacta in montes secessit, eodem quod gestabat ornamento. Capta autem fuerat in inferiore Tauri parte aromatum odore allecta. Caucasus autem, Mediam atque Indiam terminans, in mare Rubrum altero cubito descendit. Transeuntibus autem Caucasum quadricubitos homines occurisse ferunt, colore subnigros, aliosque vidisse cubitorum quinque, cum trans flumen Indum pervenissent. Cum jam montem transgressi essent, viri occurrerunt qui elephantis vehebantur. Hi autem sunt, qui regionem colunt intra Caucasum montem et Cophenem fluvium, homines plane inculti, et elephantorum sessores, quorum alii etiam camelis insidebant, quibus ad cursum utuntur Indi, hisque uno die mille stadiorum iter conficiunt, et genua nullibi flectunt. Indum fluvium Apollonius cum suis trajecit, cujus latitudo, qua navigatur, stadiis ferme XL extenditur : ortum e Caucaso ducit, et jam inde cæteris Asiæ fluviis major : deinde procedens multos navigabiles fluvios ex se producit.

A τὴν ὅμορον τῇ Ἰνδικῇ Σκυθίαν πᾶσαν, κατὰ Μαιῶτίν τε καὶ ἀριστερὸν Πόντον, σταδίων μάλιστα δισμυρίων μῆκος· τοσοῦτον γὰρ ἐπέχει μέτρον τῆς γῆς ὁ ἀγκὼν τοῦ Καυκάσου. Τὸ δὲ περὶ τοῦ ἐν τῇ ἡμεδαπῇ Ταύρου λεγόμενον, ὡς ὑπὲρ τὴν Ἀρμενίαν πορεύοιτο, χρόνῳ ἀπιστηθὲν πιστοῦνται λοιπὸν αἱ παρδάλεις ἃς οἶδα ἁλισκομένας [92] ἔν τῇ Παμφύλων ἀρωματοφόρῳ· χαίρουσι γὰρ τοῖς ἀρώμασι, καὶ ἐκ πολλοῦ τὰς ὀσμὰς ἕλκουσαι φοιτῶσιν ἐξ Ἀρμενίας διὰ τῶν ὀρῶν πρὸς τὸ δάκρυον τοῦ στύρακος, ἐπειδὰν οἵ τε ἄνεμοι ἀπ' αὐτῶν πνεύσωσι καὶ τὰ δένδρα ὀπώδη γένηται. Καὶ ἁλῶναί ποτέ φασιν ἐν Παμφυλίᾳ παρδάλιον [93] στρεπτῷ ἅμα, ὃν περὶ τῇ δέρῃ ἔφερε· χρυσοῦν δὲ ἦν, καὶ ἐπεγέγραπτο Ἀρμενίοις γράμμασι Βασιλεὺς Ἀρσάκης θεῷ Νυσίῳ. Βασιλεὺς μὲν δὴ Ἀρμενίας τότε ἦν Ἀρσάκης, καὶ αὐτὸς οἶμαι ἰδὼν τὴν πόρδαλιν [94] ἀνῆκε τῷ Διονυσίῳ διὰ μέγεθος τοῦ θηρίου· Νύσιος γὰρ ὁ Διόνυσος ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσσης Ἰνδοῖς τε ὀνομάζεται καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. Ἡ δὲ χρόνον μέν τινα ὑπεξεύχθη ἀνθρώπῳ, καὶ χεῖρα ἠνέσχετο ἐπαφωμένην τε καὶ καταψῶσαν· ἐπεὶ δὲ ἀνοίστρησεν αὐτὴν ἔαρ, ἀνέθορεν ἐς τὰ ὄρη πόθῳ ἀρσένων, ὡς εἶχε τοῦ κόσμου, καὶ ἤλω περὶ τὸν κάτω Ταῦρον ὑπὸ τοῦ ἀρώματος ἑλχθεῖσα. Ὁ δὲ Καύκασος ὁρίζει μὲν τὴν Ἰνδικὴν καὶ τὴν Μηδικήν, καθήκει δὲ ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν ἑτέρῳ ἀγκῶνι. Ὅτι παραμείψαντας [95] τὸν Καύκασον τετραπήχεις ἀνθρώπους ἰδεῖν φησιν [96], οὓς ἤδη μελαίνεσθαι καὶ πενταπήχεις δὲ ἑτέρους, ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν [530 H.] ἐλθόντας. Ὅτι [97] ὑπερβάντας φησὶ τὸ ὄρος τὸν Καύκασον ἐντυχεῖν ἐπὶ ἐλεφάντων ἤδη ὀχουμένοις ἀνδράσιν. Εἰσὶ δ' οὗτοι μέσοι Καυκάσου καὶ ποταμοῦ Κωφῆνος, ἄβιοί τε καὶ ἱππόται τῆς ἀγέλης ταύτης. Καὶ κάμηλοι δὲ ἐνίους ἦγον, αἷς χρῶνται Ἰνδοὶ ἐς τὰ δρομικά. πορεύονται δὲ χίλια στάδια διὰ τῆς ἡμέρας, γόνυ οὐδαμοῦ κάμψασαι. Ὅτι [98] Ἰνδὸν ἐπεραιώθησαν οἱ περὶ Ἀπολλώνιον σταδίους μάλιστα μ΄. τὸ γὰρ πλῶϊμον αὐτοῦ τοσοῦτον. [1000 R.] Ἄρχεσθαι δὲ αὐτόν φασιν ἐκ τοῦ Καυκάσου μείζω αὐτόθεν ἢ οἱ κατὰ τὴν Ἀσίαν ποταμοὶ πάντες, προχῶρεῖν δὲ πολλοὺς τῶν ναυσιπόρων ἑαυτοῦ ποιούμενον [99].

B

C

Ultra fluvium autem pergentes ipsos dux a Satrapa datus, recta ad Taxala duxit : ubi regia erat Indorum regis. Qui secus Indum fluvium habitant, lineis vestibus amiciuntur. Linum autem plurimum in agris nascitur. Calceamenta ex papyro facta gestant ; nobiliores vero bysso induuntur. Byssus ex arbore nascitur : quæ inferiore sui parte populo similis est, foliis autem salici. Cum vidisset Apollonius byssum, gavisus est, quia fusco amictui, quem gestabat, non dissimilis admodum esset. Taxila vero magnitudine **325***a* ab antiqua Nino

D Ὅτι [1] φησί, Πορευθέντας αὐτοὺς ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν [2] ἦγεν ὁ παρὰ τοῦ σατράπου ἡγεμὼν εὐθὺ τῶν Ταξίλων, οὗ τὰ βασίλεια ἦν τῷ Ἰνδῷ. Στολὴν δ' εἶναι τοῖς μετὰ τὸν Ἰνδὸν λίνου φασὶν ἐγχωρίου καὶ ὑποδήματα βύβλου. Καὶ βύσσῳ δὲ τοὺς φανερωτέρους αὐτῶν ἐστάλθαι· τὴν δὲ βύσσον φύεσθαι δένδρου φασὶν ὁμοίου μὲν τῇ [3] λεύκῃ τὴν βάσιν, παραπλησίου δὲ τῇ ἰτέᾳ τὰ πέταλα. Καὶ ἡσθῆναι φησι τῇ βύσσῳ ὁ Ἀπολλώνιος, ἐπειδὴ ἔοικε φαιῷ τριβωνι. Τὰ δὲ Τάξιλα μέγεθος μὲν εἶναι κατὰ τὴν Νῖνον, τετειχίσθαι δὲ συμμέτρως ὥσπερ αἱ Ἑλλάδες, βα-

VARIÆ LECTIONES.

[92] οἶδα ἁλισκομένας AB : οἱ διαλισκομένας ς. [93] πάρδαλιν B. [94] πάρδαλιν ς. [95] παραμείψαντας AB : παραμείψας ς. [96] libri φασὶν. [97] ὅτι] II, 6. [98] ὅτι Ἰνδόν. [99] ἑαυτοῦ ποιούμενον (II, 18) om. AB. [1] οἱ om. ς. [2] ὅτι] II, 20. [3] τῇ om. AB.

σίλεια δ' εἶναι ἀνδρὸς τὴν Πώρου ποτὲ ἀρχὴν ἄρχοντος [4].

Οτι [5] αἱ πηγαὶ τοῦ Ὑφάσιος ποταμοῦ, ᾧ πλησιάσαι φησὶ τοὺς περὶ Ἀπολλώνιον τὸν Ὑδραώτην ὑπερβάντας καὶ πολλὰ διαμείψαντας ἔθνη, τούτου δὴ τοῦ ποταμοῦ αἱ πηγαὶ βλύζουσι μὲν ἐκ πεδίου ναυσίποροι αὐτόθεν, προϊοῦσαι δὲ καὶ ναυσὶν ἤδη ἄποροί εἰσιν· ἀκρῶνυχίαι [6] γὰρ [7] παραλλὰξ πετρῶν ὑπανίσχουσι τοῦ ὕδατος, περὶ ἃς ἀνάγκη τὸ ῥεῦμα ἐλίττεσθαι καὶ ποιεῖν τὸν ποταμὸν ἄπλουν. Εὖρος δὲ αὐτῷ [8] κατὰ τὸν Ἴστρον· ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος. ὁπόσοι δι' Εὐρώπης ῥέουσι. Δένδρα δ' ὁ [9] Ὕφασις προσόμοια [10] φύει [11] περὶ τὰς ὄχθας, καί τι καὶ μύρον ἐκδίδοται τῶν δένδρων, ὃ ποιοῦνται Ἰνδοὶ γαμικὸν χρίσμα. Καὶ τοὺς ἰχθῦς δὲ τοὺς ταὼς λεγομένους μόνος οὗτος ποταμῶν τρέφει· πεποίηνται [12] δὲ αὐτοὺς ὁμωνύμους τοῦ ὄρνιθος, ἐπεὶ κυάνεοι μὲν αὐτοῖς οἱ λόφοι, στικταὶ δὲ αἱ φολίδες χρυσᾶ δὲ τὰ οὐραῖα, καὶ ὁπότε βούλοιντο, ἀνακλώμενα. Ἔστι δέ τι [13] θηρίον ἐν τῷ ποταμῷ σκώληκι εἰκασμένον λευκῷ, τοῦτον δ' οἱ τήκοντες ἔλαιον ποιοῦνται. Πῦρ δὲ ἄρα τοῦ ἐλαίου τούτου ἐκδίδοται, καὶ στέγει αὐτὸ πλὴν ὑέλου οὐδέν. Ἁλίσκεται δὴ μόνῳ τῷ βασιλεῖ τὸ θηρίον τοῦτο πρὸς τειχῶν ἅλωσιν· ἐπειδὰν γὰρ θίγῃ τῶν ἐκάλξεων ἡ πιμελή, πῦρ ἐκκαλεῖται κρεῖττον σβεστηρίων, ὁπόσα ἀνθρώποις πρὸς τὰ πυρφόρα εὕρηται. Καὶ τοὺς [14] ὄνους δὲ τοὺς ἀγρίους ἐν τοῖς ἕλεσι τούτοις ἁλίσκεσθαί φασιν. Εἶναι δὲ τοῖς θηρίοις τούτοις ἐπὶ μετώπου κέρας, ᾧ ταυρηδόν τε καὶ οὐκ ἀγεννῶς μάχονται. Καὶ ἀποφαίνειν τοὺς Ἰνδοὺς ἔκπωμα τὸ κέρας τοῦτο· οὐ γὰρ οὔτε νοσῆσαι τὴν ἡμέραν ἐκείνην ὁ [15] ἀπ' αὐτοῦ πιὼν, οὔτε ἂν τρωθεὶς ἀλγῆσαι, πυρός τε διεξελθεῖν ἄν, καὶ μηδ' ἂν φαρμάκοις [531 H.] ἁλῶναι, ὁπόσα ἐπὶ κακῷ πίνεται. Βασιλέων δὲ τὸ ἔκπωμα εἶναι, καὶ βασιλεῖ μόνῳ ἀνεῖσθαι τὴν θήραν. Μῦθον δὲ ἄρα δεικνύει ταῦτα τῶν ἐν Ἰνδοῖς βασιλέων καὶ νόσοι καὶ θάνατοι. Τὸ δὲ θηρίον, οἷον [16] εἴρηται, τοιοῦτον ὁρᾶται.

Ἐντεῦθεν [17] ὑπερβαλεῖν τοῦ Καυκάσου τὸ κατατεῖνον ἐς τὴν Ἐρυθρὰν θάλασσαν· εἶναι δὲ αὐτὸ συνηρεφὲς ἰδέαις ἀρωμάτων. Τοὺς μὲν δὴ πρώνας τοῦ ὄρους τὸ κινναμωμον φέρειν, προσεοικέναι δὲ αὐτὸ νέοις κλήμασι. Βάσανον δὲ τοῦ ἀρώματος τὴν αἶγα εἶναι· κινναμώμου γὰρ εἴ τις αἰγὶ [18] ὀρέξειε, κνυζήσεται πρὸς τὴν χεῖρα καθάπερ κύων, ἀπιόντι τε ὁμαρτήσει τὴν ῥῖνα ἐς αὐτὸν ἐρείσασα, κἂν ὁ αἰπόλος ἀπάγῃ [19], [1001R.] θρηνήσει καθάπερ λωτοῦ ἀποσπωμένη. Ἐν δὲ τοῖς κρημνοῖς τοῦ ὄρους λίβανοί τε ὑψηλαὶ πεφύκασι καὶ πολλὰ εἴδη ἕτερα [20]. Καὶ τὰ δένδρα δὲ αἱ πεπερίδες [21], ὧν γεωργοὶ [22] πίθηκοι, εἴκασται μὲν τῷ παρ' Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ, φύεται δὲ ἐν τοῖς ἀποτό-

non multum differt, et Græco more ædificata est. Erat autem regia Pori, regnum obtinentis.

Fontes Hyphasidos fluvii, cui appropinquasse dicit Apollonium, Hydraote superato, plurimisque gentibus peragratis, hujus, inquam, fluvii fontes e solo scaturiunt, estque fluvius ipse a principio navigabilis, paululum vero procedens navibus invius est. Petræ namque superiori parte acutæ, atque inter se densæ, sub aqua latentes ab alveo prominent, quibus aqua illisa, et in se conversa innavigabilem fluvium reddit. Latitudo vero Istrum adæquat, qui Europæ fluminum maximus habetur. In ripis ejus arbores nascuntur, similes iis qui ad Istrum nascuntur, a quibus unguentum distillat, quo in nuptiis Indi perungi consuevere. Pisces etiam quos Taos appellant in hoc duntaxat flumine oriri perhibent: vocantur autem eodem quo et pavones nomine, quia ipsis et cæruleæ sunt cristæ, squamæ vero versicolores, cauda vero aurea, in quamcunque voluerit partem versatilis. Est præterea in eodem flumine bellua albo vermi similis: ex qua capta oleum fit ad usus ignis accommodatum, quod nisi vitro contineri non possit. Capitur autem regi tantummodo ejuscemodi bellua, qua ille diruendorum mœnium causa utitur. Nam ubi murorum propugnacula ejusmodi pinguedo tetigerit, ignis excitatur, quibuscunque rebus quas homines adversus ignem excogitaverint, potentior. Asinos præterea silvestres, palustribus locis capi dicunt. Esse autem hujusmodi feris in fronte cornu, quo taurorum more generosissime pugnent. Conficere autem Indos ex illis cornibus pocula: asseruntque nullis morbis eo die affici, qui ex ejusmodi poculo potaverit, neque si vulnerati fuerunt, dolere, et ex igne etiam incolumes egredi, neque ullis venenis lædi, quæcunque nocendi gratia in potu dantur. Idcirco regum esse illa pocula, et regi tantum ejusmodi feræ venationem permitti. Fabulosa hæc esse, et regum Indiæ morbi mortesque testantur. Hæc vero bellua, ut eam descripsimus, talis apparet.

Inde Caucasi illam partem transcenderunt, quæ in Rubrum mare porrigitur. Ea vero diversis aromatum generibus consita est. Montis namque cacumina Cinnamomum ferunt, quod novis sarmentis assimilatur: bonitatis autem ejus experimentum dat capra. Si quis enim **325***b* Cinnamomum capræ porrexerit, tanquam catulus manu demulceri affectat, abeuntemque insequitur, nares quoad potest ipsi admovet: quod si pastor eam amoverit, non secus queritur, quam si loto privaretur. In montis autem præruptis arbores, e quibus thus distillat, proceræ nascuntur, et aromatum aliæ species multæ, inter quas et piperis arbores sunt, quod piper, tanquam agricolæ, genus quoddam

VARIÆ LECTIONES.

[4] ἔχοντος ς. [5] ὅτι] III, 1. [6] ἀκρονυχίαι A. [7] γὰρ A : δὲ ς. [8] αὐτῶν ς. [9] δ' ὁ] δ' ἔχει ὁ B et rc. A. ὁ ς. [10] προσόμοια] ὡς ὅμοια A. [11] φύσει] φύσει A. [12] πεποίηνται AB : πεποίηται ς. [13] τι add. A. [14] καὶ τοὺς] III, 2. [15] ὁ A : καὶ ὁ ς. [16] οἷον om. pr. A. [17] ἐντεῦθεν] III, 4. [18] αἰγὶ corr. A : αἴγιον ς [19] ὑπάγῃ ς. [20] εἴδη ἕτερα] ἡδύοσμα AB. [21] πιπερίδες A. [22] ὧν οἱ γεωργοὶ AB.

simiorum colit. Piperis arbor illi similis esse traditur, quam Græci ἄγνον (id est, *castam*) appellant, tum partibus aliis, tum maxime fructuum racemis. Nascitur autem in extremis præruptisque locis, generi hominum inaccessis, ubi simiorum, quas diximus, populus montis cavernas, et omnia foramina incolit. Simios autem magni faciunt Indi, quoniam piperis, ut sic dicam, vindemiatores sunt: quapropter et armis et canibus leones, et cæteras feras ab ipsis arcent. Irruit autem in simium leo ægrotus, medicinæ quidem gratia, namque hujusmodi simiorum carnes leonum morbis medentur, senescens vero, pastus cibique causa. Nam ubi propter senium cervos aut apros venari leones nequeunt, simias devorant, quod superest virium in illas exercentes. Quæ de pipere, hæc sunt [u-v]. Accedentes Indi ad arbores, quæ in parte montis infima nascuntur, fructusque ab illis decerpentes, parvas quasdam propter arbores areolas faciunt, quo piper congerunt, ipsum projicientes, ceu rem neglectam et minimi ab hominibus existimatam. Simiæ vero in aviis abditæ desuper aspicientes, ubi nox advenit, Indorum opus imitatæ, avulsos arborum ramusculos in areas, quas diximus, conferunt. Inde vero nullo labore colligunt.

A μοις, οὐκ ἐφικτὸς τοῖς ἀνθρώποις, οὗ λέγεται πιθήκων οἰκεῖν ὅῆμος ἐν μυχοῖς καὶ ὅ τι αὐτοῦ κοῖλον. Οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγωσι, τοὺς λέοντας ἀπ' αὐτῶν ἐρύκουσι κυσί τε καὶ ὅπλοις. Ἐπιτίθεται δὲ [23] πιθήκῳ λέων νοσῶν μὲν ὑπὲρ φαρμάκου (τὴν γὰρ νόσον αὐτῷ τὰ κρέα ἴσχει ταῦτα), γεγηρακὼς δὲ ὑπὲρ σίτου· τῆς γὰρ τῶν ἐλάφων καὶ συῶν θήρας ἔξωροι γεγονότες τοὺς πιθήκους λαφύσσουσιν, ἐς τοῦτο χρώμενοι τῇ λοιπῇ ῥώμῃ. Τὰ δὲ περὶ τὰς πεπερίδας [24] πραττόμενα ὧδε ἔχει· Προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω μέρεσι καὶ τὸν καρπὸν ἀποθερίσαντες ἄλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα, καὶ τὸ πέπερι περὶ αὐτάς ξυμφέρουσιν, οἷον ῥιπτοῦντες ὡς ἄτιμόν τι καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις. Οἱ δὲ ἄνωθεν κἀκ [25] τῶν ἀβάτων καθεωρακότες ταῦτα, νυκτὸς ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον, καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες ῥίπτουσι φέροντες ἐς τὰς ἄλως· οἱ δὲ Ἰνδοὶ ἀπόνως συλλέγουσιν.

Superato monte subjectam planitiem conspicatus Apollonius cum suis, fossis aqua redundantibus interfectam animadverterunt. Erant autem fossarum aliæ rectæ, aliæ obliquæ, aquam a Gange derivantes. Has autem fossas partim terminis designandis, partim irrigandis agris, cum sitissent, servire dicebant. Sunt autem agri omnium qui apud Indos coluntur feracissimi, et ibi hæreditas omnium maxime opima. Protenditur enim in longitudinem dierum quidecim secus Gangem ambulantibus, decem autem et octo e mari ad montem usque simiarum patet, cui planities æqua extenditur. Terra autem colore nigra est, et frugum omnium ferax, ubi spicas, arundinum instar, conspici dicunt. Fabas autem triplo majores iis quæ in Ægypto nascuntur. Sesamum quoque proferre, et milium eximiæ magnitudinis. Præterea nuces iisdem in locis nasci perhibent. Vites autem parvæ admodum, quantæ apud Mæones Lydosque ibi nascuntur. Vinum tamen ex illis expressum, **326***a* gustatu et odore jucundissimum esse aiunt. Aliam præterea arborem illic inveniri ait lauro similem: quæ folliculum mali Punici magnitudine profert. Folliculo autem pomum inest colore cæruleum, ac veluti pulcherrimus hyacinthus: suavissimum vero omnium, quæ toto anno nascantur.

Ὑπεράραντες [26] δὲ τοῦ ὄρους πεδίον φασιν ἰδεῖν λεῖον κατατετμημένον εἰς τάφρους πλήρεις ὕδατος· εἶναι δὲ αὐτῶν τὰς μὲν ἐπικαρσίους, τὰς δὲ ὀρθὰς διηγμένας ἐκ τοῦ ποταμοῦ τοῦ Γάγγου, τῆς τε χώρας ὄρια οὔσας, τοῖς τε πεδίοις ἐπαγομένας, ὁπότε ἡ γῆ διψῴη· Τὴν δὲ γῆν ταύτην ἀριστην φασὶ τῆς Ἰνδικῆς εἶναι, καὶ μεγίστην τῶν ἐκεῖ λήξεων, πεντεκαίδεκα ἡμερῶν ὁδοῦ μῆκος ἐπὶ τὸν Γάγγην, ὀκτωκαίδεκα δὲ ἀπὸ θαλάσσης ἐπὶ τὸ τῶν πιθήκων ὄρος, ᾧ ξυμπαράττινει πεδίας [27]. Μέλαινα πᾶσα ἡ χώρα καὶ πάντων εὔφορος· ἰδεῖν μὲν γὰρ στάχυας ἀνεστῶτας ὅσον οἱ δόνακες. ἰδεῖν δὲ κυάμους τριπλασίους τῶν Αἰγυπτίων τὸ μέγεθος, σήσαμόν τε καὶ κέγχρον, ὑπερφυᾶ πάντα, καὶ τὰ κάρυα φύεσθαί φασι. Τὰς δὲ ἀμπέλους φύεσθαι μικρὰς, καθάπερ Λυδῶν καὶ Μαιόνων, ποτίμους [28] δὲ εἶναι καὶ ἀνθοσμίας ὁμοῦ τῷ ἀποτρυγᾶν. Ἐνταῦθα καὶ δένδρῳ φησὶν ἐντετυχηκέναι προσεοικότι τῇ [532 H.] δάφνῃ, φύεσθαι δὲ αὐτοῦ κάλυκα εἰκασμένην τῇ μεγίστῃ ῥοᾷ, καὶ μῆλον ἐγκεῖσθαι τῇ κάλυκι κυάνεον μὲν ὥσπερ τῶν ὑακίνθων αἱ καλαί, πάντων δὲ ἥδιστον ὁπόσα ἐξ ὡρῶν ἥκει.

Cum autem e monte descenderent, invenerunt draconum venationem. Omnis enim Indiæ regio draconibus abundat, et multitudine et magnitudine mirandis. Itaque paludes plenæ, pleni montes, neque tumulus iis vacuus reperitur. Verum palustres pigri tardique, suntque longitudine cubitorum triginta, et vix caput attollentes: sunt vero draconibus feminis similes, et terga habentes subnigra, et cæteris minus squamosa. Campestres palustribus per

Καταβαίνοντες [29] δὲ τὸ ὄρος δρακόντων θήρᾳ περιτυγχεῖν φασι· δρακόντων μὲν γὰρ δὴ ἀπείροις μήκεσι διέζωσται πᾶσα ἡ Ἰνδικὴ χώρα, καὶ μεστὰ μὲν αὐτῶν ἕλη, μεστὰ δὲ ὄρη, κενὸς δὲ οὐδεὶς λόφος. Οἱ μὲν δὴ ἕλειοι νωθροί τέ εἰσι καὶ τριακοντάπηχυ [30] μῆκος ἔχουσι, καὶ κράνος αὐταῖς οὐκ ἀνέστηκεν, ἀλλ' εἰσὶ ταῖς δρακαίναις ὅμοιοι, μέλανες δὲ ἱκανῶς τὸν νῶτον, καὶ ἧττον φολιδωτοὶ τῶν ἄλλων. Οἱ δὲ [31] πεδινοὶ πλεονεκτοῦσι τῶν ἑλείων πάντα· καὶ γὰρ ἐς

[uv] Horapollo lib. II, cap. 76.

VARIÆ LECTIONES.

[23] δὲ om. pr. A. [24] πιπερίδας A. [25] κἀκ Λ : ἐκ ς. [26] ὑπεράρ.] III, 5. [27] πεδία AB. [28] ποταμίους pr. A. [29] καταβ.] III, 6. [30] τριακοντάπηχυ B et corr. A : τριακοντάπηχον ς. [31] οἱ δὲ] III, 7.

πλέον τοῦ μήκους ἐλαύνουσι, [1004 R.] καὶ ταχύτεροι τῶν ὀξυτάτων ποταμῶν φέρονται, καὶ διαφεύγει αὐτοὺς οὐδέν. Τούτοις καὶ λοφιὰ φύεται, νέοις μὲν ὑπανίσχουσα τὸ μέτριον, συναυξομένη [32] δὲ τελευμένοις καὶ ἀνίσχουσα [33] ἐς [34] πολύ, ὅτε δὴ [35] πυρσοί [36] τε καὶ πριονωτοὶ γίνονται. Οὗτοι καὶ γενειάσκουσι, καὶ τὸν αὐχένα ὑψοῦ αἴρουσι, καὶ τὴν φολίδα στίλβουσι δίκην ἀργύρου· αἱ δὲ τῶν ὀφθαλμῶν κόραι λίθος ἐστὶ διάπυρος. Ἰσχὺν δὲ αὐτῶν ἀμήχανον εἶναί φησιν [37] ἐς πολλὰ τῶν ἀποθέτων. Γίνεται δὲ τοῖς θηρῶσιν ὁ πεδινὸς εὕρημα [37], ἐπειδὰν τῶν ἐλεφάντων τινὰ ἐπισπάσηται· τουτὶ γὰρ ἀπόλλυσιν ἄμφω τὰ θηρία. Καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας ὀφθαλμοὶ καὶ δορὰ καὶ ὀδόντες· εἰσὶ δὲ τὰ μὲν ἄλλα ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ καὶ διάστροφοι καὶ τὴν αἰχμὴν ἄτρεπτοι [38], καθάπερ οἱ τῶν μεγάλων [40] ἰχθύων. Οἱ δὲ [41] ὀρειοι δράκοντες τὴν μὲν φολίδα χρυσοῖ φαίνονται, τὸ δὲ μῆκος ὑπὲρ τοὺς πεδινούς· γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κἀκεῖνα. Καὶ κατωφρύωνται μᾶλλον ἢ οἱ πεδινοί, ὄμματά τε ὑποκάθηται τῇ ὀφρύϊ δεινὸν καὶ ἀναιδὲς δεδορκοτα. Ὑπόχαλκόν τε ἦχον [42] φέρουσιν, ἐπειδὰν τῇ γῇ ὑποκυμαίνωσιν [43]. Ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων πῦρ αὐτοῖς ἄττει λαμπάδος [44] πλέον, Οὗτοι καὶ τοὺς ἐλέφαντας αἱροῦσιν. Αὐτοὶ δὲ ὑπὸ τῶν Ἰνδῶν οὕτως ἁλίσκονται· Κοκκοβαφεῖ πέπλῳ χρυσᾶ ἐνείροντες γράμματα [45] τίθενται πρὸ τῆς χειᾶς, ὕπνον ἐγγοητεύσαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλμοὺς ἀτρέπτους ὄντας ὁ δράκων, καὶ πολλὰ τῆς ἀπορρήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε καὶ τὸν αὐχένα ὑποβαλὼν τῆς χειᾶς ἐπικαθεύδει τοῖς γράμματι. Προσπεσόντες [46] οὖν οἱ Ἰνδοὶ κειμένῳ πελέκεις ἐναράττουσι, καὶ τὴν κεφαλὴν ἀποτεμόντες λητίζονται τας ἐν αὐτῇ λίθους. Λίθοι δὲ τούτοις ἀπόκεινται τὸ μὲν εἶδος ἀνθηραὶ καὶ πάντα ἀπαυγάζουσαι χρώματα [47], τὴν δὲ ἰσχὺν ἀῤῥητοι κατὰ τὸν δακτύλιον ὃν γενέσθαι φασὶ τῷ Γύγῃ. Πολλάκις δὲ τὸν Ἰνδὸν αὐτῷ πελέκει καὶ αὐτῇ τέχνῃ συλλαβὼν ἐς τὴν αὐτοῦ χειαν φέρων ᾤχετο, μόνον οὐ σείων τὸ ὄρος. Οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν Ἐρυθρὰν οἰκεῖν λέγονται. Τὰ δ' ἔτη τῶν θηρίων τούτων γνῶναί τε ἄπορον καὶ εἰπεῖν ἄπιστον. Προϊόντες [48] δέ φασιν [49] αὐλοῦ μὲν ἀκοῦσαι δόξαι νομέως δή τινος ἀγέλην τάττοντος, [533 H.] ἐλάφους δὲ ἄρα βουκολεῖσθαι λευκάς. ἀμέλγουσι δὲ Ἰνδοὶ ταύτας, εὐτραφὲς ἡγούμενοι τὸ ἀπ' αὐτῶν γάλα.

'Εντεῦθεν ἡμερῶν τεττάρων πορευόμενοι δι' εὐδαίμονος καὶ ἐνεργοῦ τῆς χώρας, προσελθεῖν φάσι [50] τῇ τῶν σοφῶν ἥτοι τῶν λεγομένων Βραχμάνων τύρσει, καὶ συγγενέσθαι αὐτοῖς ἐφ' ἱκανόν· περὶ οὓς [51] αὐτούς φησιν [52] εἰρηκέναι τε καὶ ἰδεῖν καὶ ἀκοῦσαι ἃ

A omnia superiores. Nam et in majorem porrecti sunt longitudinem, et velocius fluminibus, quamvis rapacibus, feruntur, ita ut illos evadere nihil possit. His autem crista nascitur, juvenibus mediocriter prominens, provectis vero ætate grandior, et valde assurgens, estque ignita et ferrata. Ili vero jubas et cervicem altius attollunt, et eorum squamæ instar argenti fulgent. Oculorum autem pupillæ lapides sunt tanquam ignis fulgentes. Horum serpentum vim maximam esse ferunt ad morbos periculosissimos tollendos. A venantibus reperiuntur campestres dracones (cum enim elephantem aliquem convulserunt, utraque bellua interit) et eos capientibus lucro sunt oculi, pelles, dentes. Sunt autem membris apris ingentibus pares, sed corpore gra-
B ciliorem et in quamcunque partem versatiles, rostro autem validissimo tanquam ingentes pisces. Montani vero dracones squamas habent coloris fulvi, longitudine autem excedunt campestres, barbaque illis est cincinnata, et ipsa coloris aurei, et supercilia majora habent quam campestres, oculi autem superciliis subsunt, torve, graviterque aspicientes, qui dracones perinde ac si essent ænei sibilant, quandocunque per terram serpunt. E cristis vero quæ rubræ sunt, velut ignis scintillare videtur; et isti quoque elephantos capiunt. Ipsi vero ab Indis hoc modo capiuntur: pallium coccineum litteris aureis superintextum, ante cubicula extendunt; scripta autem incalatoria verba somnum videntur
C illos vero hunc superba grandiloquentia verborum magis quam rerum veritate se efferentem. Rhetoricas poeticasque artes parum attigit, sed ad sanctiorem Aristotelis philosophiam se convertit, vidensque illam necessariis ratiocinationibus magis quam proprio sensui credere, et ut via ac ratione procedat, divinis autem imaginationibus non adeo uti, parum etiam de hac sollicitus fuit: ubi autem Platonis sententias gustavit, non jam aspicere, ut ait Pindarus (4), dignatus est ulterius. Sed finem consecuturum speravit, si in Platonis sententiarum adyta penetrare potuisset, et eo omne suum studium, impetumque convertit. Antiquissimos philosophos Pythagoram et Platonem ut deos coluit, et eorum animas alatas, quas in locum supercœ-

D lestem, inque campum veritatis, et pratum elevatas divinis putavit ideis pasci. De recentioribus vero Porphyrium, Jamblichum, Syrianum, Proclum, et alios mediæ ætatis, magnum thesaurum collegisse divinæ scientiæ dicit. Eos autem qui in caducis et humanis studiis libenter occupantur, vel qui intelligere acute ac scire multa volunt, non magno-

VARIÆ LECTIONES

[4] ὀξεῖαν δὲ καὶ Suidas v. Ἀγχίνοια. cf. idem. v. Ἔρως et Στοιχεῖα ἀρχαί. [5] τε A : τοῦ ς. [6] τρίτων] τούτων B. [7] κατοκωχὴν A. κατοχὴν B : κατακωχὴν ς cum Suida v. Κατακωχή. [8] ἀποκαθ. A et Suidas : δοπκαθ. ς. [9] γνώρισιν] νόησιν Suidas v. Εὐμοιρία. [10] ὑψηλόνουν] ὑψηλὸν οὖν A. [11] πολυμαθείας B. [12] τούτῳ ς. [13] ἐπτερωμένων] cf. Toup. II, p. 118.

NOTÆ.

(3) Suidas dictione ἀγχίνοος, et Henr. Steph. Thesaurus in ἐπιστρεφής.

(4) Ode 4 *Olymp.* μηκέτι πάπταινε πόρσιον. *Ne amplius circumspice longius.* Utitur et Oda 3 extrema et in *Pythiis* oda 3. Ὅστις αἰσχίνων *etc.* ut proverbii speciem obtinere videatur.

pere conferre ad sublimem ac divinam sapientiam. Antiquorum enim Aristotelem et Chrysippum ingeniosissimos et discendi cupidissimos, quin etiam laboriosos, nec tamen omnino ad summum ascendisse. Recentium vero Hieroclem, et similes, scientiis humanis nulli quidem fuisse inferiores, sed in divinis notionibus non admodum fuisse versatos tradit. Librorum copiam reprehendit, quæ potius multarum opinionum, quam cognitionum causa est. Uno vero solo præceptore acquiescens, ad hunc unum **338***a* seipsum effingebat, illius dictata exscribendo. Præsentia, ut apparet, hæc non amavit, nec statuas adorare volebat : sed jam ad ipsos accessit deos intus latentes, non in adyto, sed in arcano sui, quod aliquando summæ est ignorantiæ. Qua ratione igitur ad eos, cum sic essent, adiit ? B vehementi amore, eoque latente. Et quis alius amor nisi occultus ? et quemnam hunc dicimus, sciunt qui experti sunt : dicere autem non possumus, ac ne cogitare quidem. Dixerit quispiam illum non verba, sed rerum dicere substantias. Promptissime inveniebat de quibus ipse dubitabat apud alios, et de quibus alii apud ipsum disceptabant, non multarum quidem rerum cognitione, et alienarum doctrinarum scientia obruendo veritatem, dubitantes autem confutando, sed excellentis ingenii vi, ac plane divina ; et immenso desiderio divina pervestigandi veritatem compertam, vaticinanti similis erat. Poterat perspicere quid reconditum tegeret oratio, quidve sanum inesset. Marinus, qui Procli successor (5), et Isidori cum cæteris in Aristoteleis C doctor, cum librum multorum versuum scripsisset in Philebum Platonis, eumque legere juberet Isidorum, et judicium ferre an evulgari posset, ille libro lecto, sententiam suam libere patefecit, nullam tamen inconcinnam vocem emisit, hanc tantum : videri magistro digna. Marinus hoc intelligens, librum igni tradidit.

Hoc etiam a cæteris philosophis distabat Isidorus, quod non sola syllogismorum vi se aut suos vellet adhærere veritati : cumque veritas non una videatur via, nolebat eos ratione, veluti cæca in rectam viam ductrice, impelli. Sed persuadere semper adnisus est, et oculos ad animam referre : aut si D inessent, repurgare. Cum imperatorum res gestas scribere jussus, obsecutus est : de quo opere dicam, quod scio, cum eo perducta erit oratio : non dico modo, quasi ne audire quidem debuerim. Neque Leontius, qui optime **338***b* sibi consultum puta-

A εἶναι βουλομένους οὐδὲν μέγα ἀνύτειν [14] εἰς τὴν θεοπρεπῆ καὶ μεγάλην σοφίαν. Τῶν γὰρ παλαιῶν Ἀριστοτέλη καὶ Χρύσιππον εὐφυεστάτους γενομένους, ἀλλὰ καὶ φιλομαθεστάτους γεγονότας, ἔτι δὲ καὶ φιλοπόνους, οὐκ ἀναβῆναι ὅμως τὴν ὅλην ἀνάβασιν. Τῶν δὲ νεωτέρων Ἱεροκλέα τε καὶ εἴ τις ὅμοιος, οὐδὲν μὲν ἐλλείποντας εἰς τὴν ἀνθρωπίνην παρασκευήν, τῶν δὲ μακαρίων νοημάτων πολλαχῇ πολλῶν ἐνδεεῖς γενομένους φησίν. Ὅτι καὶ [15] τῶν βιβλίων τὸν ὁμαδὸν παρῃτεῖτο, πολυδοξίας μᾶλλον αἴτιον ὄντα ἢ πολυνοίας. Ἑνὶ δὲ μόνῳ τῷ διδασκάλῳ ἐπαναπαυόμενος πρὸς μόνον ἐκεῖνον ἀπετύπου ἑαυτὸν, τὰ παρ' αὐτοῦ λεγόμενα [16] ἀπογραφόμενος. Δῆλος δ' ἦν οὐκ ἀγαπῶν τὰ παρόντα οὔτε τὰ ἀγάλματα προσκυνεῖν ἐθέλων, ἀλλὰ ἤδη ἐπ' αὐτοὺς τοὺς θεοὺς ἰέμενος εἴσω κρυπτομένους, οὐκ ἐν ἀδύτοις, ἀλλ' ἐν αὐτῷ τῷ ἀπορρήτῳ, ὁτιποτέ ἐστι, τῆς παντελοῦς ἀγνωσίας. Πῶς οὖν ἐπ' αὐτοὺς ἴοι τοιούτους ὄντας ; Ἔρωτι δεινῷ, ἀπορρήτῳ καὶ τούτῳ. Καὶ τίς δὲ ἄλλος ἢ ἄγνωστος καὶ ὁ ἔρως ; Καὶ τίνα τοῦτόν φαμεν, ἴσασιν οἱ πειραθέντες, εἰπεῖν δὲ ἀδύνατον, καὶ νοῆσαί γε οὐδὲν μᾶλλον ῥᾴδιον. Εἶπεν ἄν τις οὐ λόγους αὐτὸν, ἀλλὰ πραγμάτων φθέγγεσθαι οὐσίας. Ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους, καὶ ὧν ἕτεροι πρὸς αὐτὸν, οὐ πολυμαθίᾳ καὶ ἀλλοτρίων δοξασμάτων [17] ἱστορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν [18], ἐπιστομίζων δὲ τοὺς ἀποροῦντας· ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου [19], πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας, οἷον ἀπομαντευομένῳ ἐφκει τὴν τῆς ἀληθείας εὕρεσιν. Ἦν δ' ἱκανὸς διιδεῖν [20] ὅπη τε σαθρὸν [21] φθέγγεται ὁ λόγος, καὶ ὅπη ὑγιές· Μαρῖνος δὲ ὁ Πρόκλου διάδοχος, ὁ [12] καὶ Ἰσιδώρου (μετὰ καὶ ἄλλων) τῶν Ἀριστοτέλους λόγων διδάσκαλος, ὑπόμνημα πολύστιχον εἰς Φίληβον συντάξας τοῦ Πλάτωνος, οὗτος τῷ Ἰσιδώρῳ ἐντυχεῖν τε τῷ ὑπομνήματι κελεύει, καὶ ἐπικρῖναι εἰ ἐξοιστέον. Ὁ δὲ ἀναγνοὺς οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων, οὐ μέντοι οὐδὲ ἄμουσον ἀφῆκε φωνήν, τοσοῦτον δὲ μόνον ἔφη, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου. Ὁ δὲ Μαρῖνος συνεὶς πυρὶ διέφθειρε τὸ βιβλίον.

Ἐξαίρετον δ' ἦν αὐτῷ παρὰ τοὺς ἄλλους καὶ τοῦτο φιλοσόφους· οὐκ ἠβούλετο συλλογισμοῖς ἀναγκάζειν μόνον οὔτε ἑαυτὸν οὔτε τοὺς συνόντας ἑπακολουθεῖν τῇ ἀληθείᾳ μὴ ὁρωμένῃ [23], κατὰ μίαν ὁδὸν πορεύεσθαι συνελαυνομένους ὑπὸ τοῦ λόγου, οἷον τυφλοὺς [24] τὴν ὀρθὴν ἀγομένους πορείαν· ἀλλὰ πείθειν ἐσπούδαζεν ἀεὶ καὶ ὄψιν ἐντιθέναι τῇ ψυχῇ, μᾶλλον δὲ ἐνοῦσαν διακαθαίρειν. Ὑπηρεσίαν ἐτέλει, ἢ πρὸς τάχος ἐπετέτακτο [25] γράφειν τὰ ὑπὸ τῶν ἀρχόντων προσταττόμενα [26]. Περὶ οὗ ἐρῶ κατὰ τὸν ἰκνούμενον λόγον. Ὃ εἰδὼς οὐ λέγω, ὡς μηδὲ ἀκοῦ-

VARIÆ LECTIONES.

[14] ἀνύτειν B : ἀνύττειν ς. [15] καὶ add. A. [16] Cf. Suidas v. Μαρῖνος οὗτος. [17] δοξασμάτων] δραμάτων Suidas v. Εὑρετής. [18] ἀλήθειαν] ἀλήθειαν καὶ ἀποκρύπτων id. [19] Cf. Suidas v. Ἀγχίσπορος, Ἀμήχανον, Πολυήχοος. [20] ἰδεῖν Suidas v. Πρόσοιτο. [21] σαθρὸν A cum Suida : θησαυρὸν ς correxerunt etiam Hemsterhusius ad Polluc. VIII, 104, et Leichius, p. VII. [23] alierum ὁ om. B. [25] ὁρωμένην ς. [24] τυφλοῦ τινος ὀρθὴν ἀγομένου ς. [25] ἀπετέτακτο A. [26] πραττόμενα ς.

NOTÆ.

(5) Cujus et vitam Marinus Neapolites, quæ exstat, conscripsit sup. cod. 181. Vide Suidam in Marino

σαι ὤφελον. Ὁ δὲ Λεόντιος ἄριστα βεβουλεῦσθαι [27-28] νομίζων οἴκαδε ἐπανήει μετὰ [551 H.] παῤῥησίας ἀτυχοῦς καὶ κακοδαίμονος, οὐ πλουτήσας οὐδὲ σωθείς, ὡς ᾤετο, ἀλλὰ ὠμιωθεὶς μὲν εὐσεβείας θεφιλοῦς, πανωλεθρίᾳ δὲ τὴν ψυχὴν διαφθαρείς. Ὁ μὲν οὖν [29] οὕτω διήντλησε πάντα τὸν βίον ἐν συμφοραῖς· Οὐδεὶς δ' οὕτως ἦν τὴν ψυχὴν [30] ἀτεράμων καὶ βάρβαρος, ὃς οὐκ ἐπείθετο [31] καὶ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ στόματος ἐκείνου ῥέουσι λόγοις· τοιάδε τις ἐπεκάθητο πειθὼ τοῖς χείλεσι τοῦ ἀνδρὸς, [1037 R.] οὐκ ἀνθρώπειόν τι χρῆμα, ἀλλὰ θειότερον. Φύσιν ἀξιάγαστος, μέγας μὲν τὸ σῶμα καὶ εὐμήκης ἰδεῖν, καλὸς δὲ καὶ ἀγαθὸς τὴν [32] ὄψιν, τῆς δ' ἡλικίας ἐν τῷ φρονιμωτάτῳ τότε γεγονὼς, εὐόμιλός τε καὶ ἡδὺς, ἱκανὸς καὶ ὠφέλιμος τοῖς ἐντυγχάνουσι. Καὶ τὴν [33] τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν, τὸν [34] Δώριον τρόπον [35] τῆς τύχης [36] ὡς [37] ἀληθῶς ἡρμοσμένην. Μόνος δὲ ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν, τὴν παλαιὰν παροιμίαν [38] ἔργῳ διήλεγξεν, οὐχ ἥλιξιν, ἀλλὰ πρεσβύταις καὶ πρεσβυτικοῖς λόγοις τερπόμενος.

A bat, cum dicendi libertate infelici ac infortunata domum revertit, neque dives factus, nec servatus, ut putabat, sed divina privatus pietate, animo corruptissimo ac perditissimo fuit. Sic quidem omnem vitam in infortuniis transegit. Nemo adeo immiti fuit animo et barbaro, qui sacro Isidori ab ore verbis manantibus non persuasus fuit et mitigatus, talis in labris viri insidebat suadela, non humanum opus, sed divinum, natura sua admiratione dignus erat. Ingenti quidem corpore et spectabili proceritate, visu pulcher et facilis, ad maturam ætatem cum pervenisset, comis et suavis, commodus, et colloquentibus utilis: mediocri nec delicato usus est cibo, neque propter paupertatem noxio, neque propter divitias opiparo: sed et musicam adhibuit temperatam, et Dorico (6) modo revera accommodatam. Solus ipse inter homines, quos audivimus, antiquum proverbium (7) re ipsa coarguit, non juvenibus, sed senibus ac senum congressu delectabatur.

Εἴποις δ' ἂν καὶ μόνος ἀνθρώπων οὓς ἀκοὴ ἔσχεν ἢ ἔγνω· ἢ καὶ οὕτως, οἳ πρὸς ἀκοὴν ἦλθον, ἢ ὧν εἰς κατάληψιν ἀκοὴ ἦκεν, ἢ οὓς δι' ἀκοῆς ἴσμεν, ἢ οὓς διασώζει μνήμη, ἢ οὓς οὐκ ἔσβεσε λήθη, καὶ πολλὰ τοιαῦτα.

Dixeris, et solus inter homines quos audivit, vel cognovit, vel etiam sic, qui ad famam venerunt, vel quorum fama innotuit, vel, quos fama novimus, quos memoria servavit, vel quos oblivio non delevit, aliaque similia.

Ὅτι φυλακεῖα οἱ Ἀλεξανδρεῖς ἐκάλουν τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. Οὐκ ἦν δὲ γνήσιος ὁ γάμος, εἰ μὴ ὁ ἱερεὺς ὁ τῆς θεοῦ ἐν τοῖς γαμικοῖς συμβολαίοις ὑπεσημήνατο χειρὶ τῇ ἑαυτοῦ. Ὅτι Ἱεροκλῆς [39] ὁ τὰς ἐν Ἀλεξανδρείᾳ διατριβὰς ὑψηλοφροσύνῃ καὶ μεγαληγορίᾳ κοσμήσας, μετὰ τοῦ σεπτοῦ [40] καὶ μεγαλοπρεποῦς εὕρους [41] τε τὴν διάνοιαν εἰς ὑπερβολὴν ἦν [42], καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχῇ [43] τοὺς ἀκροωμένους, πρὸς τὴν Πλάτωνος ἁμιλλώμενος ἀεὶ καλλιῤῥημοσύνην καὶ πολύνοιαν. Οὗτός ποτε τὸν Πλάτωνος Γοργίαν τοῖς ἑταίροις ἐξηγεῖτο· εἷς δὲ τις τῶν ἀκροατῶν, Θεοσέβιος, ἀπεγράψατο [44] τὴν ἐξήγησιν. Πάλιν δ' οἷα εἰκὸς, ἐκ δευτέρου τοῦ Ἱεροκλέους εἰς τὸν Γοργίαν καταβαλλομένου μετά τινα χρόνον τὴν ἐξήγησιν ὁ αὐτὸς ταύτην ἀπεγράψατο, καὶ ἀντιπαραβαλὼν [45] τὰ πρότερα καὶ τὰ ὕστερα εὗρεν οὐδὲν τῶν αὐτῶν ὡς ἔπος εἰπεῖν, ἑκάτερα δὲ ὅμως, ὃ καὶ παράλογον ἀκοῦται, τῆς Πλάτωνος ἐχόμενα καθ' ὅσον οἷόν τε προαιρέσεως. Τούτῳ [46] μὲν οὖν ἐπιδείκνυται τοῦ ἀνδρὸς ἡλίκον ἦν ἄρα τὸ τῶν φρενῶν πέλαγος. Γυναῖκα παιδοποιὸν ἄγεται. Ὡς δ' οὐκ ἐπείθετο τὸ δαιμόνιον τῆς γυναικὸς ἐξελθεῖν λόγοις ἡμερωτέροις,

Alexandrini pannos sordium muliebrium nominabant Phylacea. Non erant legitimæ nuptiæ, nisi sacerdos dei matrimonia manu sua notasset. Hierocles, qui scholas Alexandriæ instituit, constans et magnificus excellenti ingenio et facundia pulcherrimorum nominum, et verborum facilitate et copia, in sui admirationem auditores rapiebat, cum Platonis oratione venusta et docta semper contendens. Hic aliquando Platonis Gorgiam sociis explicabat. Unus vero auditorum Theosebius explicationem descripsit. Iterum vero, ut verisimile est, secundam explicationem Hieroclis Gorgiam **339***a* explicantis post aliquod tempus similiter descripsit, et collatis prioribus cum secundis, nihil, ut sic dicam, eorumdem invenit. Utraque tamen, quod sane auditu novum est, Platonis, quoad ejus fieri poterat, institutum continebat. Hinc colligitur quanta viri illius in sententiis copia. Uxorem quoque ex qua liberos susciperet, ducit, cujus postquam dæmonium mansuetioribus verbis egredi recusaret, juramentis illud Theosebius, quamvis nec magiæ esset peritus, nec miracula patrasset, exire compulit. Juravit solis radios prætendens, per Deum Hebræorum (8). Dæmon vero expulsus est clamans, se

VARIÆ LECTIONES

[27-28] ὁ δὲ — βεβουλεῦσθαι A : οὐδὲ — βουλεύεσθαι ς. [29] οὖν et mox δ' add. A. [30] τὴν ψυχὴν post βάρβαρος ponit B. [31] ἐπείθετο] ἐτέγγετο Ruhnken. Tim. p. 249 *a*. [32] τὴν B : εἰς ς. [33] καὶ τὴν [τὴν δὲ Suidas v. Ἄθρυπτος. [34] τὸν] καὶ τὸν idem. [35] τρόπον post ἀληθῶς ponit B. [36] τῆς τύχης] τῆς ψυχῆς A, om. Suidas. [37] ὡς om. A. [38] Cf. Suidas v. Ἥλιξ ἥλικα. [39] ὅτι ὁ Ἱεροκλῆς ς. [40] σεπτοῦ] ἀτρέπτου A. cum Suida v. Ἱεροκλῆς. [41] εὔῤῥους B cum eodem. [42] ἦν om. Suidas. [43] πανταχοῦ idem. [44] ἐπεγράψατο A. [45] ἀντιπαραβάλλων B. [46] τοῦτο ς.

NOTÆ.

(6) Suidas in *Dorico*.

(7) Arist. lib. I *Rhetor*. cap. *De voluptate*, ἥλιξ ἥλικα τέρπει.

(8) Christum intelligit. Judæi enim et Hebræi initio sunt appellati Christiani.

quidem deos colere, sed etiam hunc revereri. Omnem igitur rudentem movit,et omnia fecit et dixit, suadendo et hortando, prout ei animus fuit, nihil infectum cupiens relinquere, quod suscepisset. Theosebius multa dixit de scholis Epicteti : has vero moralis Musæ fictiones ipse confinxit. Omnium vero temperantissimus Theosebius, et congressus est cum muliere prolis causa. Cum vero liberos non produxissent, fecit annulum temperantiæ Theosebius. Mulier, inquit, olim dedi annulum,procreatricis conjunctionis conciliatorem, hunc vero jam tibi do temperantiæ magistrum, adjutorem tibi semper futurum temperantis officii. Si igitur potueris, et cupieris mecum vivere caste : sin minus, licet tibi bona cum venia alii nubere, dum te amicus amicam relinquam. Ipsa autem conditionem libens accepit.

A ὅρκῳ αὐτὸ [47] ἐπηνάγκαζεν ὁ Θεοσέβιος, καίτοι οὔτε μαγεύειν εἰδὼς, οὔτε θεουργίασμά τι [48] μελετήσας. Ὥρκιζε δὲ τὰς τοῦ ἡλίου πρωτείνων ἀκτῖνας καὶ τὸν [49] Ἑβραίων Θεόν. Ὁ δὲ ἀπελήλατο ὁ δαίμων, ἀναπραγῶν εὐλαβεῖσθαι μὲν τοὺς θεούς, αἰσχύνεσθαι δὲ καὶ αὐτόν. Πάντα οὖν κάλων ἐκίνει καὶ πάντα ἔπραττε καὶ ἔλεγε πείθων καὶ παρακαλῶν, οἷος ἐκείνου θυμὸς, οὐδὲν ἄπρακτον [552 H.] ἀπολιπεῖν ἀνεχόμενος, ἐφ' ὅ τι ἂν ὁρμήσειεν. Ἔλεγε [50] μὲν ὁ Θεοσέβιος τὰ πολλὰ ἀπὸ τῶν Ἐπικτήτου σχολῶν, τὰ δὲ καὶ αὐτὸς ἐπετεχνᾶτο τῆς ἠθοποιοῦ διανοήματα Μούσης. Ὁ δὲ πάντων σωφρονέστατος Θεοσέβιος καὶ τὴν πρὸς γυναῖκα παιδοποιὸν ὁμιλίαν ἐδέξατο. Ἐπεὶ δὲ παῖδας οὐκ ἐγεννάτην, κατασκευασάμενος ὁ Θεοσέβιος τὸν τῆς σωφροσύνης δακτύλιον,

B Ὦ γύναι, φησὶ, τῇ γυναικὶ, πάλαι μέν σοι ἐπιδέδωκα δακτύλιον ἁρμοστὴν παιδουργοῦ συμβιώσεως· τὰ νῦν δὲ τοῦτον ἐπιδίδωμί σοι σωφρονιστὴν, ἐπίκευρόν σοι παρεσόμενον ἀεὶ τῆς σώφρονος [51] οἰκουρίας. Εἰ μὲν οὖν δυνήσῃ τε καὶ θελήσεις ἐμοὶ συμβιῶναι τὸν καθαρώτερον τρόπον· εἰ δὲ μὴ, ἔξεστιν ἀπαλλάττεσθαι πρὸς ἕτερον [52], εὐμενῶς καὶ πράως ἐκδιδομένην παρὰ φίλου φίλην. [1040 R.] Ἡ δὲ ἠσμένισεν.

Ammonius in poetarum narratione ac correctione Græcarum vocum occupatam artem dilexit (9). Hic fuit Ammonius, qui habuit asinum, quem aiunt poeticas audiendo disciplinas sæpe pabulum neglexisse, licet etiam appositum esset, et esurire cogeretur : sic poetico studio asinus capi visus est. Mediocriter, inquit, Isidorus poetica attigit, parum **339***b* de eis sollicitus, quod non instruant animum, sed imaginatione linguaque tenus maneant, et illa cum omnibus exploratis notionibus pugnant, ideoque in his infirmior fuit, unde etiam hymnos quos scripsit, aliquis videat sublime quid et divinum continere,versuum tamen speciem non habere. Theon (10) non admodum ingeniosus fuit nec acutus, sed studiosus ac laboriosus, si quis alius : ideoque poetas et oratores callebat, memoriaque tenebat et ad summam utrorumque artis accurationem venire sibi videbatur,versus tamen et orationes, licet plurimum amaret, scribere non valuit. Commissa pugna contra Scythas ante conspectum urbis Romæ, quos Attila contra Valentinianum, qui post Honorium Romæ imperabat, duxit, tanta utrinque facta est cædes, ut nemo pugnantium ab utraque parte servaretur, prælerquam duces, paucique satellites eorum.Hoc vero omnium narratu maxime incredibile : cum cecidissent pugnantes, corpore defatigati, animo adhuc erecti, pugnabant tres

Ὁ δὲ Ἀμμωνιανὸς [53] ἠγάπα τὴν ἐπὶ ποιητῶν ἐξηγήσει καὶ διορθώσει τῆς Ἑλληνικῆς λέξεως καθημένην [54] τέχνην. Οὗτος ἦν Ἀμμωνιανὸς, ᾧ [55] συνέβη κεκτῆσθαι ὄνον, ὃν φασιν ἀκροώμενον πολλάκις [56] τῶν ποιητικῶν μαθημάτων τροφῆς ἀμελεῖν, καίτοι καὶ ἐκ παρασκευῆς καὶ λιμώττειν ἠναγκασμένον· οὕτως ὤφθη φιλομαθίας ποιητικῆς ἄλλος ὁ ὄνος. Ὅτι, φησὶ [57], μετρίως μετέσχε τῶν ποιητικῶν ὁ Ἰσίδωρος, οὐ λίαν σπουδάσας περὶ αὐτὰ [58], ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώσσης ἱστάμενα, τὰ δὲ αὐτῶν καὶ μαχόμενα ταῖς ὁμολογουμέναις ἐννοίαις· διὸ καὶ ἐνδεέστερος [59] ἦν ἐν τούτοις. Ὅθεν καὶ ὕμνους ὅσους ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν καὶ τελεσιουργὸν ἐπιφαίνοντας, τοῖς δ' ἔπεσιν οὐ πάνυ συνηρμοσμένους. Ἦν δὲ ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξὺς, φιλομαθὴς δὲ καὶ φιλόπονος, εἴ τις ἄλλος [60]. Διὸ καὶ ποιητῶν καὶ ῥητόρων ἐμπειρότατός τε καὶ μνημονικώτατος γέγονε, καὶ τεχνικῆς ἀκριβείας ἑκατέρων εἰς ἄκρον ἥκειν ἐδόκει. Γράφειν δὲ μέτρα ἢ λόγους, καίτοι λίαν ἐρῶν, ἀδύνατος ἦν. Ὅτι μάχης πρὸ τοῦ Ῥώμης ἄστεως [61] γεγενημένης Ῥωμαίων πρὸς Σκύθας οὓς Ἀττίλας [62] ἦγεν, Οὐαλεντιανοῦ τοῦ μετὰ Ὀνώριον Ῥώμης βασιλεύοντος, φόνος ἐρρύη ἑκατέρωθεν τοσοῦτος ὡς μηδένα τῶν συμπλακέντων τῇ μάχῃ μηδετέρου μέρους περισωθῆναι, πλὴν τῶν ἡγεμόνων καὶ τῶν περὶ αὐτοὺς ὀλίγων δορυφόρων. Τὸ δὲ παραλο-

VARIÆ LECTIONES.

[47] αὐτὸν B. [48] θεουργίασμά τι A : θεουργίας μάτην ς, unde Toup. II, p. 324, θεουργίας μά τήν. [49] τὸν A : τῶν ς. [50] ἔλεγε] cf. Suidas v. Ἐπίκτητος. [51] σώφρονος] σωφροσύνης A. [52] πρὸς ἕτερον] πρότερον A. [53] Ἀμμώνιος A. [54] καθειμένην B cum Suida v. Ἀμμωνιανός. [55] ᾧ] ὃν B. [56] πολλάκις post μαθημάτων ponit ς. [57] ὅτι φησὶ — [58] περὶ αὐτὰ] ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως ἀλλ' ὅσον ὀρέξεως εἶχεν, εἶχε δὲ ἐπ' ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας Suidas v. Ἄττα. [59] ἐνδεέστερος] ἀσθενέστερος A. cf Suidas v. Ἐνδεέστερος, Ῥυθμίζει, Τελεσιουργόν. [60] εἴ τις ἄλλος] εἰς ὑπερβολὴν Suidas v. Θέων σοφιστής. [61] ἄστεος B. [62] Ἀττίλας B, Ἀντίλας A, Ἀτήλλας ς.

NOTÆ.

(9) Ammonius, et ejus asinus. Tales inducuntur asini etiam aurei a Luciano et Apuleio.

(10) Theon. Videndus Suidas : exstant et Theonis progymnasmata et in extremo Declamationes, quæ fere Libanii sunt.

γώτατον, ὅτι φασὶν, ἐπειδὴ πεπτώκασιν οἱ μαχόμενοι, τοῖς σώμασιν ἀπειπόντες, ἔτι ταῖς, ψυχαῖς ἵσταντο πολεμοῦντες ἐπὶ τρεῖς ἡμέρας ὅλας καὶ νύκτας, οὐδὲν τῶν ζώντων εἰς ἀγῶνα ἀπολειπόμενοι, οὔτε κατὰ χείρας οὔτε κατὰ θυμόν. Ἑωρᾶτο γοῦν καὶ ἠκούετο τὰ εἴδωλα τῶν ψυχῶν ἀντιφερόμενα καὶ τοῖς ὅπλοις ἀντιπαταγοῦντα [63]. Καὶ ἀρχαῖα δὲ ἄλλα τοιαῦτα φάσματα [64] πολέμων μέχρι νῦν φαίνεσθαί φησι [65], πλὴν ὅτι ταῦτα τὰ [66] μὲν ἄλλα, ὅσα ζῶντες ἄνθρωποι κατὰ πόλεμον ὁρῶσιν, οὐδὲν ὀστερεῖν, φθέγγεσθαι δὲ οὐδὲ [67] ἐπὶ μικρόν. Καὶ ἓν μὲν ἐπιφαίνεσθαι ἐν [68] τῷ περὶ Σόγδαν [69] ποτὲ λίμνην οὖσαν πεδίῳ, φαίνεσθαι δ' ὑπὸ τὴν ἕω τὸ [70] φάσμα, φωτὸς ἤδη [553 H.] τὴν γῆν ὑπαυγάζοντος, δεύτερον δ' ἐν Κούρβοις [71] χωρίῳ [72] τῆς Καρίας· ἐν τούτῳ γὰρ φαίνεσθαι οὐ καθ' ἑκάστην ἡμέραν, ἀλλ' ἐνίοτε διαλείποντα ὀλίγας τινὰς, οὐδὲ ὡρισμένας [73] γε ταύτας, περὶ ὄρθρον ἕως ἡλίου λαμπρᾶς ἀνατολῆς ἐν ἀέρι διαφοιτῶντα ψυχῶν ἄττα σκιοειδῆ φαντάσματα [74] πολεμοῦντα ἀλλήλοις. Καὶ ἐν τοῖς καθ' ἡμᾶς δὲ χρόνοις πολλοὶ διηγήσαντο, οὐχ οἷοί τε ὄντες ψεύδεσθαι, καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις αὐτῆς [75] μέρεσιν ὁρᾶσθαι ἱππότων πολεμίων ἐπελαυνόντων φάσματα, κατὰ τὸν τοῦ θέρους μάλιστα καιρὸν, μεσημβρίας σταθερᾶς [76] ἱσταμένης.

Ὅτι τὸν Σεβήρου [77] ἵππον φησὶ (Ῥωμαῖος δ' ἦν οὗτος, καὶ Ἀνθεμίου παρασχόντος ἐλπίδας ὡς ἡ Ῥώμη πεσοῦσα πάλιν δι' αὐτοῦ ἀναστήσεται, ἐπὶ Ῥώμην, ταύτης προαναχωρήσας, ἐπανῆκε καὶ τιμῆς ὑπατικῆς ἔτυγε), τούτου τοίνυν ὁ ἵππος ᾧ τὰ πολλὰ ἐχρῆτο, ψηχόμενος σπινθῆρας ἀπὸ τοῦ σώματος πολλούς τε καὶ μεγάλους ἠφίει, ἕως αὐτῷ τὸ τέρας εἰς τὴν ὑπατικὴν ἀρχὴν ἐν τῇ Ῥώμῃ κατηνύσθη [78]. Ἀλλὰ καὶ Τιβερίῳ ὄνος, ὡς Πλούταρχος ὁ Χαιρωνεύς φησιν, ἔτι μειρακίῳ ὄντι καὶ ἐν Ῥώδῳ ἐπὶ λόγοις ῥητορικοῖς διατρίβοντι [1041 R.], τὴν βασιλείαν διὰ τοῦ αὐτοῦ [79] παθήματος προεμήνυσεν. Ἀλλὰ καί τῶν [80] περὶ Ἀττίλαν ἕνα ὄντα τὸν Βαλίμεριν [81] ἀπὸ τοῦ οἰκείου σώματος ἀποπάλλειν σπινθῆρας· ὁ δὲ ἦν ὁ Βαλίμεριος Θευδερίχου πατὴρ, ὃς νῦν τὸ μέγιστον ἔχει κράτος Ἰταλίας πάσης [82]. Λέγει δὲ καὶ περὶ ἑαυτοῦ ὁ συγγραφεὺς ὡς Καὶ ἐμοὶ ἐνδυομένῳ τε καὶ ἐκδυομένῳ, εἰ καὶ σπάνιον τοῦτο συμβαίνει, συμβαίνει δ' οὖν σπινθῆρας ἀποπηδᾶν ἐξαισίους, ἔσθ' ὅτε καὶ πτύπον παρέχοντας, ἐνίοτε δὲ [83] καὶ φλόγας ὅλας καταλάμπειν τὸ ἱμάτιον, μὴ μέντοι καιούσας. Καὶ τὸ τέρας ἀγνοεῖν εἰς ὃ τελευτήσει, ἰδεῖν δὲ λέγει καὶ ἄνθρωπόν τινα ἀπὸ τῆς κεφαλῆς ἀφιέντα σπινθῆρας, ἀλλὰ καὶ φλόγα ἀνάπτοντα, ὅτε βούλοιτο, ἱματίῳ τινὶ τραχεῖ παρατριβομένης. Ἤλαυνε τὸν ἵππον, ὅσον εἶχε τάχους· εἶχε δὲ τῶν ἄλλων ἐνδεέστερον. Τῶν πολιτικῶν πραγμάτων ἀποτυχὼν, ἐπὶ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον

A integras noctes et dies, nihil viventibus pugnando inferiores, neque manibus, neque animo. Visæ igitur et auditæ animarum formæ pugnantes, et armis strepentes, et antiquas, similesque bellorum facies in hunc usque diem videri aiunt, nisi quod omnia illa faciendo, quæ vivi homines bellando solent, ne parvam quidem edere vocem possint, et unum spectrum quidem videri in campo juxta Sudam [*al.* Soedam], qui olim palus fuit : videri autem mane visionem, aurora jam terram illustrante. Secundo in Cubis campo Cariæ. Ibi enim non quotidie, sed interdum aliquibus diebus, nec illis certis, circa crepusculum matutinum aurora oriente, in aere frequentia animarum spectra umbrarum figura inter se pugnantia videri. Et nostra tempestate multi narrarunt homines bonæ fidei, juxta Siciliam in campo B nominato **340***a* Tetrapyrgio, et in aliis non paucis locis videri equitum pugnantium simulacra, idque maxime æstatis tempore, cum ardentissimus est meridies.

Severi equus (qui Romanus erat, spem faciente Anthemio, Romam eversam iterum per ipsum erigendam Romam, hac spe cum prius discessisset, reversus consulatum adeptus) : hujus igitur equus, quo multum usus est, tractatus scintillas e corpore multas, et magnas ejecit, donec illi portentum hoc ad consularem dignitatem Romæ illum evexit (11). C Sed et Tiberio asinus, ut refert Plutarchus Chæronensis, adhuc juveni, et in Rhodo operam danti eloquentiæ, imperium eodem eventu præsignificavit. Sed et Balemerin unum ex Attilæ aulicis de suo corpore jecisse scintillas. Hic Balemeris pater fuit Theodorici ejus, qui nunc summum totius Italiæ imperium tenet. Dicit autem etiam de seipso auctor: Etiam mihi cum et induor, et exuor, etsi id raro admodum accidit, accidit tamen, ut scintillæ ingentes exsiliant, aliquando cum sonitu, interdum etiam flammæ integræ vestem illustrent, nihil tamen exurant, et se ignorare quo hoc portentum tenderet. Vidisse se ait et hominem quemdam e capite scintillas evibrantem, et flammam, cum vellet, e capite veste asperiore attrito excitantem. Impulit D equum quam potuit celerrime, indiguit et aliis rebus. Reipublicæ administratione excidens, ad quietam otiosamque vitam se contulit, odio eorum qui in republica molesti erant. Venerunt ad Severum Brachmanni juxta Alexandriam, et proprio hospitio illos et debito cultu suscepit. Hi de gentis more

VARIÆ LECTIONES

[63] ὅπλοις καὶ ἀντ. A. [64] φαντάσματα ς. [65] φασι ς. [66] τὰ add. A. [67] οὐδὲ A : οὐκ ς. [68] ἐν add. A. [69] Σόγδαν A : Σούδαν ς. [70] τὸ add. A. [71] κούβοις ς. [72] χωρίον A. [73] οὐ διωρισμένας ς. [74] φάσματα ς. [75] αὐτῆς A : αὐτοῖς ς. [76] σταθηρᾶς om. A. [77] Σεβήρου] Τιβερίου et mox ὑφίει Eustathius ad Il. v. p. Rom. 513, 3: cujus errorem notavit Leichius, p. XV. [78] ἐν Ῥώμῃ κατηνύσθαι ς. [79] αὐτοῦ om. A. [80] τῶν A : τὸν ς. [81] Βαλέμεριν ς. [82] ἁπάσης ς. [83] δὲ om. A.

NOTÆ.

(11) Quem Tiberii imp. Vitam, sed quæ intercidit, conscripsisse refert in Catalogo Lamprid.

domi admodum graviter vixerunt, neque balnea publica, neque conspectum ullum urbanum quærentes,sed externum omne fugerunt. Comedebant palmas et oryzam, aquam bibebant. Erant illi non e Brachmannis, qui in montibus degunt, neque ex Indis, qui urbes incolunt: sed utrorumque vitam prorsus sectabantur, Brachmannorum **440***b* apud populum negotia, si quibus indigerent, et populi apud Brachmannos peragentes. Dixerunt illi de Brachmannis montanis,quæcunque de iis scriptores divulgant: imbres precibus illos petere, et etiam eosdem avertere, famem, pestemque, aliaque mala, quæ curari non possunt, precibus posse depellere. Dixerunt iidem unipedes homines apud se esse, et dracones ingentis magnitudinis septicipites, et alia valde inusitata.

A ἐτράπετο, μίσει τῶν ἐν τῇ πολιτείᾳ δυσχερασμάτων [84]. Ἦκον δὲ πρὸς τὸν Σεβῆρον καὶ Βραχμᾶνες [85] κατὰ τὴν Ἀλεξάνδρειαν, καὶ ἐδέξατο σφᾶς οἴκῳ ἰδίῳ καὶ θεραπείᾳ τῇ προσηκούσῃ· οἳ κατὰ χώραν ἐπ' οἴκου μάλα σεμνῶς ἔμενον, οὔτε λουτρῶν δεόμενοι δημοσίων, οὔτε ἄλλης ἐπόψεως οὐδεμιᾶς τῶν κατὰ ἄστυ γινομένων, ἀλλὰ πᾶν [86] τὸ θυραῖον [87] ἐξετρέποντο. Ἐσίτουντο δὲ φοίνικας καὶ ὄρυζαν, καὶ ἦν αὐτοῖς πόμα τὸ ὕδωρ. Ἦσαν δὲ οὗτοι οὔτε τῶν ἐν ὄρεσι [88] διατριβόντων Βραχμάνων, οὔτε τῶν ἐν πόλεσι κατῳκημένων Ἰνδῶν, ἀλλ' ἀτεχνῶς ἀμφίβιοι, τοῖς Βραχμάνοις ὑπηρετούμενοι τὰ πρὸς τὰς πόλεις, εἴ που δεήσειεν, καὶ ταῖς πόλεσιν αὖ [89] τὰ πρὸς τοὺς Βραγμᾶνας [90]. Ἔλεγον δὲ καὶ οὗτοι περὶ τῶν ὀρείων Βραχμάνων ὅσα οἱ συγγραφεῖς περὶ αὐτῶν θρυλοῦσιν, ὄμβρους τε καὶ ἀνομβρίας εὐχαῖς καταπράττειν καὶ λιμῶν καὶ λοιμῶν [554 H.] ἀποδιώξεις ἄλλων τε κακῶν ἀποτροπάς, ὅσα μὴ ἀνίατον ἔχει τὴν εἱμαρμένην. Ἔλεγον δὲ οὗτοι καὶ μονόποδας ἀνθρώπους παρὰ σφίσιν ἱστορῆσαι, καὶ δράκοντας ἐξαισίους κατὰ μέγεθος ἑπτακεφάλους, καὶ ἄλλα ἄττα πολὺ τὸ παράλογον ἔχοντα [91].

Dixit Severus videri Gorgoniadem herbam, ejusque radicem omnino similem esse puellæ, caput crinibus tectum serpentinis habenti. Divinationem e nubibus,antiquis ne anditu quidem notam,quamdam mulierem Anthusam temporibus Leonis imperatoris Romani refert invenisse. Quæ in Ægis Ciliciis nata dicebatur, originem primam a Cappadocibus habitantibus ad Comanum montem Orestiadum trahens, referens genus suum ad Pelopem. Hæc sollicita de viro, cui militare aliquod munus demandatum, quique ad bellum Siculum cum aliis missus erat, oravit in somno, ut futura cognosceret, et oravit ad solem orientem versa; pater vero ejus in somnis jussit illam ad solem etiam occidentem orare, et illa orante, per serenum subito nubes circa solem orta est, et deinde aucta in hominem formata est; alia vero nubes orta, et in æqualem crescens magnitudinem, in leonem ferum mutata est. Leo vero ingenti hiatu oris facto hominem deglutit. Species illa hominis e nube facta Gotho fuit similis. Nam post paulo Leo rex ducem Gothorum Asperem,et filios fraudulenter necavit.Ex illo tempore in hunc usque diem Anthusa assidue meditata est, qua ratione e nubibus prædicere divinando posset. Ægyptii Sothin Isin (12) esse asserunt, Græci hanc ad Sirium stellam referunt, et Sirium tanquam canem Orionis venatoris comitem pingunt: quin potius in cœlo depictum ostendunt.

B Ὅτι ἔλεγεν ὁ Σεβῆρος τεθεᾶσθαι Γοργονιάδα βοτάνην, ἧς εἶναι τὴν ῥίζαν ἄντικρυς ὁμοίαν παρθένῳ τὴν κεφαλὴν ἐχούσῃ κατηρεφῆ [92] δρακοντείοις πλοκάμοις. Ὅτι τὴν [93] διὰ τῶτ νεφῶν μαντικὴν οὐδαμῶς τοῖς παλαιοῖς οὐδ' ἀκοῇ ἐγνωσμένην Ἄνθουσάν τινα γυναῖκα ἐξευρεῖν ἐν ταῖς ἡμέραις Λέοντος τοῦ Ῥωμαίων βασιλέως· ἐξ Αἰγῶν δὲ κατήγετο τῶν Κιλικίων ἡ γυνή, τὸ δὲ ἀνέκαθεν ἀπὸ τῶν ἐν Καππαδοκίᾳ κατοικισθέντων ἐπὶ τὸν Κομανὸν τὸ ὄρος Ὀρεστιαδῶν· καὶ ἀνάγειν τὸ γένος εἰς Πέλοπα. Αὕτη φροντίζουσα περὶ τἀνδρὸς [94] ἐπιτετραμμένου στρατιωτικήν τινα ἀρχὴν καὶ ἐπὶ τὸν κατὰ Σικελίαν ἀπεσταλμένου μετὰ καὶ ἄλλων πόλεμον, εὔξατο προϊδεῖν ὀνείρῳ τὰ συμβησόμενα, εὔξατο [95] δὲ πρὸς ἥλιον ἀνίσχοντα. Ὁ δὲ πατὴρ ὄναρ αὐτῇ ἐπιστὰς [96] ἐκέλευε καὶ πρὸς δυόμενον εὔξασθαι. Καὶ εὐχομένης ἐξ αἰθρίας τινὸς νέφος συστῆναι περὶ τὸν ἥλιον, ἐκεῖθεν δ' αὐξηθῆναι καὶ εἰς ἄνθρωπον διατυπωθῆναι· ἕτερον δ' αὐτοῦ νέφος ἀποσπασθὲν [97] ἐπεδίδου τε εἰς μέγεθος ἴσον, καὶ εἰς λέοντα διεσχηματίζετο [98] θηρίον· ὁ δὲ ἠγρίαινε, καὶ μέγα χάσμα πεποιημένος ὁ λέων καταπίνει τὸν ἄνθρωπον. Γότθῳ ἐφῆκε τὸ ἀνθρώπειον καὶ νεφοποίητον εἴδωλον. Ἐπὶ δὲ τοῖς φάσμασιν ὀλίγον· ἔπειτα τὸν ἡγεμόνα τῶν Γότθων Ἄσπερα [99] βασιλεὺς Λέων ἐδολοφόνησεν αὐτὸν καὶ παῖδας. [1044 R.] Ἐξ ἐκείνου οὖν τοῦ χρόνου διέμεινεν ἡ Ἄνθουσα ἄχρι δεῦρο ἀεὶ ἐπιτηδεύουσα τὸν τρόπον τῆς διὰ τῶν νεφῶν μαντικῆς προγνώσεως. Ὅτι τὴν Σῶθιν Αἰγύπτιοι τὴν Ἶσιν εἶναι θεολογοῦσιν, οἱ δὲ Ἕλληνες εἰς τὸν Σείριον ἀνάγουσι τοῦτο τὸ ἄστρον, καὶ ὡς κύνα τὸν Σείριον, ὀπαδὸν τοῦ Ὡρίωνος ὄντα κυνηγετοῦντος, οὕτω διαζωγραφοῦσι, μᾶλλον δὲ ἐντετυπωμένον τῷ οὐρανῷ δεικνύουσι. Τινὲς δὲ [1]

C

D

341*a* Aliqui per impudentiam statuas fregerunt et perdiderunt,et sacro auxilio destituti cives, humana opera et arte portum vix sibi servant Ægyptii. Hi persequebantur, uxoris, inquam, ministri, canem ex Africa fugientem struthionis diripientem car-

VARIÆ LECTIONES.

[84] δυσχερανάντων ζ. [85] Βραχμᾶνες B : Βραχμάναι ζ. [86] πᾶν om. B. [87] θυραῖον] θεωρεῖν B et corr. A. [88] ὄρεσι B : ὄρει ζ. [89] αὖ A : αὐτῶν ζ. [90] Βραχμάνους B. [91] libri ἐχοντας. [92] κατερεφῆ ζ. [93] τὴν add. A. [94] ἀνδρὸς ζ. [95] ηὔξατο ζ. [96] ἐπιστὰς add. A. [97] ὑποσπασθὲν ζ. [98] διεσχ. τὸ θηρίον ζ. [99] Ἄσπαρα B. [1] δὲ om. A.

NOTÆ.

12) Isis dea. Canicula, Plutarch. lib. *De Iside et Osiride*. Horapollo, lib. I, *Hieroglyph.* cap. 3.

ἐλαθον τὸ ἱέρωμα κατάξαντες καὶ διαφθείραντες, καὶ ἀπορούμενοι τελεστικῆς βοηθείας οἱ ἐπιχώριοι ἀνθρωπίνῃ σπουδῇ καὶ τέχνῃ τὸν λιμένα μόλις ἑαυτοῖς περισώζουσιν οἱ Αἰγύπτιοι. Οἱ δὲ ἐδίωκον, οἱ τῆς γυναικὸς θεράποντες, τὸν κύνα φεύγοντα, τῆς Λιβυκῆς στρουθοῦ τὰ κρέα ἁρπάσαντα. Ὀρυττόντων δὲ ἀνακύπτει καὶ ἐκφαίνεται παλαιτάτου νεὼ ἀέτωμα.

A nes : fodientibus vero apparet, prominetque antiquissimi templi pinnaculum.

Ὅτι ὁ Ἑρμείας [2] γένος μὲν ἦν Ἀλεξανδρεύς, πατὴρ δ' Ἀμμωνίου καὶ Ἡλιοδώρου. Οὗτος ἐπιεικὴς ἦν τὴν φύσιν καὶ ἁπλοῦς τὸ ἦθος, ἠκροάσατο δὲ καὶ Συριανοῦ σὺν Πρόκλῳ. Φιλοπονίᾳ μὲν οὗτος οὐδενος ἦν δεύτερος, ἀγχίνους δὲ οὔτι [3] σφόδρα ἦν, οὐδὲ λόγων εὑρετὴς ἀποδεικτικῶν, οὐδὲ γενναῖος ἄρα ζητητὴς ἀληθείας· οὔκουν οὐδ' οἷός τε ἐγεγόνει πρὸς ἀποροῦντας κατὰ τὸ καρτερὸν ἀνταγωνίζεσθαι, καίτοι ἐμνητο ὡς εἰπεῖν πάντων ὧν τε ἀκηκόει τοῦ [555 H.] διδασκάλου ἐξηγουμένου καὶ τῶν ἐν βιβλίοις ἀναγεγραμμένων. Ἀλλὰ τὸ αὐτοκίνητον οὐ προσήνθει τῇ πολυμαθίᾳ [4]. Τὰ δὲ πρὸς ἀρετὴν εὖ ἤσκητο, ὥστε μηδ' ἂν τὸν μῶρον αὐτὸν ἐπιμωμήσασθαι μηδὲ μισῆσαι τὸν φθόνον. Οὗτος ἰδιώτου ποτὲ πωλοῦντος αὐτῷ βιβλίον, καὶ ἔλαττον ἢπερ ἦν ἄξιον αἰτοῦντος, ἐπηνώρθωσέ τε τὴν πλάνην καὶ πλείονος ὠνήσατο. Καὶ οὐχ ἅπαξ τὴν δικαιοσύνην ταύτην, ἧς τοῖς ἄλλοις οὐδέ τις ἦν [5] ἐπιστροφὴ, ἀλλὰ πολλάκις [6], ὁσάκις συνέβαινεν ἀγνοεῖν τὸν πιπράσκοντα τὸ δίκαιον τίμημα, ἐπεδείκνυτο, οὐ κατὰ τοὺς ἄλλους ἀγαπῶν τὸ ἕρμαιον, οὐδὲ οἰηθεὶς [7] ἄρα μηδὲν ἀδικεῖν, εἰ ἑκὼν πᾶρ' ἑκόντος ὁτιοῦν ἐωνήσατο· καὶ γὰρ ἔνεδράν τινα εἶναι [8] τῷ πράγματι καὶ ἀπάτην, οὐ λέγουσαν τὸ ψεῦδος, ἀλλὰ σιωπῶσαν τὴν ἀλήθειαν, καὶ ἀδικίαν οὖσαν λανθάνειν τοὺς πολλοὺς, οὐ βίαιον, ἀλλὰκλοπιμαίαν [9], οὐδ' [10] ἐπικίνδυνόν τινα λῃστοῦ δίκην κλέπτουσαν, ἀλλ' ὑπὸ μὲν τοῦ νόμου ἀφειμένην, τὸ δὲ δίκαιον ἀνατρέπουσαν. Ὅτι ὁ [11] ἀδελφὸς Ἑρμείου Γρηγόριος ἅπαν ἦν τοὐναντίον, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπὶ [12] τὰς ζητήσεις καὶ τὰς μαθήσεις, ἄλλως δὲ οὐχ ἡσύχιος οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινὰ, ἀλλά τι καὶ παρακεκινηκώς [13]· ὕστερον [14] δὲ καὶ τῇ νόσῳ ἐάλω ἐπὶ πλέον, ὥστε δύσχρηστον αὐτοῦ τοῖς λογισμοῖς καὶ πολὺ παραλλάτνον γενέσθαι τὸ ὄργανον. Ὅτι τῷ Ἑρμείᾳ ἐκ τῆς Αἰδεσίας πρεσβύτερον τῶν φιλοσόφων υἱέων τίκτεται παιδίον, καὶ ἡ Αἰδεσία τῷ υἱεῖ ἑπτὰ μῆνας ἀπὸ γενέσεως ἄγοντι προσέπαιζέ τε οἷα εἰκὸς, καὶ βάβιον καὶ παιδιόν ἀνεκάλει [15], ὑποκορίζουσα τὴν φωνήν. Ὁ δὲ ἀκούσας ἠγανάκτησε καὶ ἐπετίμησε τὸν παιδικὸν τοῦτον ὑποκορισμὸν, καὶ [16] διηρθρωμένην τὴν ἐπιτίμησιν ἐξενεγκών. Καὶ ἄλλα δὲ πολλὰ περὶ τοῦ παιδὸς τούτου τερατολογεῖ, καὶ ὅτι οὐκ ἀνεχόμενος τὴν ἐν σώματι ζωὴν ἑπτὰ ἐτῶν τοῦ βίου ἀπέστη· οὐ γὰρ ἐχώρει αὐτοῦ τὴν ψυχὴν ὁ περὶ γῆν ὅδε τόπος. Βάβια δὲ οἱ Σύροι, καὶ μάλιστα οἱ ἐν Δαμασκῷ, τὰ νεογνὰ καλοῦσι παιδία, ἤδη δὲ καὶ τὰ

Hermias natione Alexandrinus, pater Ammonii et Heliodori. Hic fuit natura bonus et simplex, auditor Syriani (12) cum Proclo. Laboris studio nulli inferior : solers tamen non admodum fuit, nec firma ad rem argumenta invenire poterat, neque magnus veritatis investigator. Quare non poterat contra dubitantes fortiter dimicare, quamvis ea memoria valeret, ut recitaret quæcunque a præceptore docente audivisset, quæque scriptis mandata essent. Sed mentis celeritas cum discendi studio non vigebat. B Virtuti egregiam operam navavit, ut nihil in eo Momus ipse reprehendere, nec livor odisse posset. Cum imperitus ei librum venderet, et pretium minus quam valeret exigeret, hominis errorem correxit, et pluris emit. Nec semel hanc justitiam, cujus nullam alii rationem habent, verum etiam sæpius, quoties venditorem debitum pretium ignorare contigisset, ostendit : non aliorum more fortuito lucro deditus, ratus aliquam se injuriam facturum, si volens a volente etiam quovis modo emeret. Nam dolum quemdam esse in contractu et fraudem, non indicare errorem, sed veritatem occultare, et cum sit injuria non violenta sed fortuita, plerosque latere, nec furari aliquid, instar latronum, cum periculo, sed a lege quidem absolvi, justitiam autem C corrumpere. Habuit fratrem Gregorium omnino dissimilem, plus nimio acutum, et ad quæstiones et disciplinas expeditum ; cæteroquin inquietum, nec placidis moribus, sed nonnihil emotæ mentis. Post autem crebro morbo correptus est, ut rationis usu parum valeret, **341***b* et organum valde mutaretur. Natus est Hermiæ ex Ædesia filius, cæteros philosophorum filios superans : et Ædesia cum filio jam septem nato menses, ut fieri amat, jocabatur, et Babium et puellum voce diminutiva appellabat. Pater audiens conquestus est, et increpuit hanc puerilem diminutionem, et articulatam increpando vocem protulit : aliaque multa de illo puero mira dicuntur, eum scilicet vitam in corpore non tolerasse, sed septimo anno vivere desiisse, nec ejus D animam terrestrem aliquem locum excepisse. Syri et maxime qui in Damasco habitant, pueros recens natos Babia vocant. Jam vero et adolescentes a dea Babia, quæ apud illos putatur esse, sic vocant. Jam enim nonnulli eorum, qui aures fractas habent, et sensum depravatum, in comœdiam et in risum

VARIÆ LECTIONES.

[2] Ἑρμείας] cf. Suidas h. v. [3] οὔτι — οὐδέ A : οὔτε — οὔτε ς. [4] φιλομαθίᾳ ς. τὰ] τὸ B. [5] ἦν add. A. [6] ἀλλὰ καὶ πολλ. ς. [7] ἄρα A cum Suida v. Ἑρμαῖον : ὅτι ς. [8] nonne ἐνεῖναι? [9] κλοπιμαῖον A. [10] οὔθ' ς. [11] ὁ om. A. [12] ἐπὶ] ἐπί τε Suidas (v. Γρηγόριος ἀδελφός), qui hoc fragmentum e Damascii historia philosophica apponit. [13] παρακεκινηκός B. [14] ὕστερον δὲ] ἐπεὶ δὲ Ἀθήνηθεν ἦκεν εἰς Ἀλεξάνδρειαν ὕστερον Suidas : idem mox om. τοῖς λογισμοῖς. [15] ἀνεκάλει] αὖ ἐκάλει B. [16] ὑποκ. καὶ] ὑποκ. τορόν B.

NOTÆ.

(13) Suidas in *Hermia* legendus.

philosophorum arcana converterunt. Panicum quoddam animal vidisse ait Hieracem Alexandrinum Ammonio æqualem cum ex Æthiopia Byzantium proficisceretur, quod depictis et delineatis admodum simile, et audisse illum vocem animalis hujus circa Alexandriam, veluti si strideret. Ammonius fuit diligentissimus, et multos explicatores, qui olim floruissent, juvit, maxime autem Aristotelem sectabatur. Quinetiam non solum æqualibus suis, verum etiam aliis Proclo antiquioribus præstitit, prope dixerim qui unquam exstiterunt, in geometria et astronomia. Proclus os Isidori, tanquam divinum et plenum philosophicæ vitæ, admiratus est : oculi celeritatem mentis demonstrantes, et jucunda gravitas emicans, sincerusque pudor philosophum ad ipsum convertebat.

A μειράκια ἀπὸ τῆς παρ' αὐτοῖς νομιζομένης Βαβίας [17] θεοῦ. [1045 R.] Ἤδη γὰρ ἐνίοις τῶν τὰ ὦτα κατεαγότων καὶ ἅμα [18] διεφθαρμένων τὰς διανοίας εἰς κωμῳδίαν ἐτράπη καὶ γέλωτα πολὺν τὰ τῆς φιλοσοφίας ἀπόῤῥητα. Ὅτι Πανικόν τι ζῷον διακομιζόμενον [19] θεάσασθαί φησιν ὁ Ἱέραξ ὁ Ἀλεξανδρεὺς, ὁ συνακμάσας Ἀμμωνίῳ, ἐξ Αἰθιοπίας εἰς τὸ Βυζάντιον, ἐοικὸς ἀκριβῶς τοῖς γραφομένοις καὶ τυπουμένοις· ἀκηκοέναι τε αὐτοῦ τῆς φωνῆς διὰ τῆς Ἀλεξανδρείας φερομένου οἱονεὶ τριζούσης. Ὅτι ὁ Ἀμμώνιος φιλοπονώτατος γέγονε, καὶ πλείστους ὠφέλησε τῶν πώποτε γεγενημένων ἐξηγητῶν· μᾶλλον δὲ τὰ Ἀριστοτέλους ἐξήσκητο. Ἔτι δὲ διήνεγκεν οὐ τῶν καθ' ἑαυτὸν μόνον, ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοῦ Πρόκλου ἑταίρων [20], ὀλίγου δὲ ἀποδέω καὶ τῶν πώ-

B ποτε γεγενημένων εἰπεῖν, τὰ ἀμφὶ γεωμετρίαν τε καὶ ἀστρονομίαν. Καὶ ὁ Πρόκλος ἐθαύμαζε τὸ Ἰσιδώρου πρόσωπον, ὡς ἔνθεον ἦν [556 H] καὶ πλῆρες εἶσω [21] φιλοσόφου ζωῆς· οἵ τε ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες, καὶ ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς ἐπέστρεφε [22] πρὸς αὐτὸν τὸν φιλόσοφον.

Eunoius tardæ mentis fuit, modo juvenili insolentia tumens, et in orationibus turgidus. Superianus jam triginta annorum rhetorica auspicatus est, quanquam ingenio tardior esset, tamen nimio studio tandem Athenis clara et celebri urbe designatur sophista, **342***a* non multum gloria Lachare inferior. Lachares studio magis quam ingenio claruit orator ; ingenii ejus tarditatem scripta satis arguunt, sacrum fuisse virum, et sacro divinarum rerum flagrasse amore. Metrophanes sophista natus ex Lachare. Refert auctor vidisse se simulacrum Veneris, quod in templo Herodes sophista dedica-

C rat. Hoc, inquit, contemplans, sudavi præ stupore et admiratione ; adeoque gaudio perfusus sum, ut domum redire non possem ; et sæpius abituriens ad videndum redirem. Tantam illi pulchritudinem artifex immiscuerat, non blandum quid aut molle, sed tortuum et masculum, armatam quidem, sed velut quæ a victoria lætabunda revertitur. Hierum Plutarchi filium sub Proclo philosophantem in domo Quirini vidisse refert adeo parvum caput humanum, ut cicer adæquaret magnitudine et forma, unde et nomen capiti ex cicere inditum esse : cæteroquin humanum caput esse, oculos et vultum habere, et superius crines, et integrum os, et ore tantam vocem emittere, quantam mille homines. Hæc de ciceris hoc capite prodigiose refert auctor, aliaque innumerabilia, digna impii Damascii et scriptione

D et fide.

Ὅτι Εὐνόϊος ὁ ῥήτωρ βραδύνους ἦν, Ἡδὴ νεανικοῦ φρονήματος ὑπόπλεως καὶ σοβῶν ἐν λόγοις. Ὅτι Σουπηριανὸς τριάκοντα ἐτῶν τῶν [23] ῥητορικῶν ἀρξάμενος, καίτοι τὴν φύσιν ὑπονωθέστερος ὤν, ὅμως δι' ὑπερβολὴν φιλοπονίας ὕστερον ἐν ταῖς λιπαραῖς καὶ ἀοιδίμοις Ἀθήναις ἀνηγορεύετο σοφιστὴς, οὐ πάνυ τῆς Λαχάρου [24] δόξης ἀπολειπόμενος. Ὅτι καὶ [25] Λαχάρης ἐξ ἐπιμελείας μᾶλλον ἢ φύσεως ἔδοξε κατὰ τὴν ῥητορικὴν εὐδοκιμῆσαι. Δηλοῖ δὲ αὐτοῦ τὸ τῆς φύσεως ἀγεννέστερον [26] καὶ τὰ συγγράμματα αὐτοῦ. Ἄνδρα ἱερὸν καὶ περὶ τὰ θεῖα βακχεύοντα μεγαλοπρεπῶς. Ὅτι Μητροφάνης ὁ σοφιστὴς ἔκγονος ἦν Λαχάρους [27]. Ὅτι φησὶν [28] ὁ συγγραφεὺς ἄγαλμα τῆς Ἀφροδίτης ἰδεῖν [29] ἱδρυμένον Ἡρώδου τοῦ σοφιστοῦ ἀνάθημα. Τοῦτο οὖν, φησὶ, θεασάμενος ἱδρωσα μὲν ὑπὸ τοῦ θάμβους καὶ [30] ἐκπλήξεως, οὕτω δὲ τὴν ψυχὴν διετέθην ὑπὸ τῆς εὐσροσύνης, ὥστε οὐχ οἷός τ' ἦν οἴκαδε ἐπανιέναι, πολλάκις δὲ ἀπιὼν ἐπαναστρέφειν ἐπὶ τὸ θέαμα· τοσοῦτον αὐτῷ κάλλος ἐνεκέρασεν ὁ τεχνίτης, οὐ γλυκύ τι καὶ ἀφροδίσιον, ἀλλὰ βλοσυρόν τε καὶ ἀνδρικὸν, ἔνοπλον μὲν, οἷον δὲ ἀπὸ νίκης ἐπανηγμένης [31] καὶ τὸ γεγηθὸς ἐπιφαινούσης [32]. Ὅτι Ἱέριον τὸν Πλουτάρχου, ὑπὸ Πρόκλῳ φιλοσοφοῦντα [33], ἐς τὴν Κυρίνου [34] λεγομένην οἰκίαν θεάσασθαί φησι μικρὰν οὕτω κεφαλὴν μόνην ἀνθρώπου, τό τε μεγέθος καὶ τὸ εἶδος οὐδὲν ἐρεβίνθου διαφέρουσαν· διὸ καὶ ἐρέβινθον αὐτὴν καλεῖσθαι· τὰ δ' ἄλλα κεφαλὴν ἀνθρωπείαν εἶναι, ὀφθαλμούς τε ἔχειν καὶ πρόσωπον καὶ τρίχας ἄνω καὶ στόμα πᾶν, καὶ ἀπὸ τοῦ στόματος φωνὴν ἀφιέναι, ὅσον ἀνθρώπων χιλίων, τοσοῦτον μεγάλην. Τοῦτο τερατευσάμενος περὶ τοῦ ἐρεβίνθου ὁ συγγραφεὺς τῆς κεφαλῆς, καὶ ἄλλα μυρία περὶ αὐτῆς ἄξια Δαμασκίῳ τῷ δυσσεβεῖ καὶ γράφειν καὶ πιστεύειν προστερατεύεται.

Salustius Cynicus non tritam philosophiæ

Ὁ Σαλούστιος κυνίζων οὐ τὴν εἰθισμένην ὁδὸν

VARIÆ LECTIONES.

[17] Βαβαίας A. [18] ἅμα om. Suidas v. Ἴδτα κατεαγότα et Τὰ ὦτα ἐπὶ τῶν ὥσμιων. [19] διακομιζόμενον B : διακομιζόμενος ζ. [20] ἑτέρων ζ. [21] εἶσω om. B. [22] ἐπέτρεχεν ἱκανῶς τὸν φιλόσοφον καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον Suidas v. Ἄπλαστος. [23] τῶν] ὧν A. cf. Suidas v. Ὀψιμαθής et Σουπηριανό. [24] Λαχάρους] Vid. ad Marin. vit. Procli p. 89. [25] καὶ add. A. mox ἢ καὶ φύσ. ζ. [26] ἀγενέστερον A. [27] Λαχάρου B. cf. Suidas v. Μητροφάνης ἔκγονος. [28] φησὶν add. A. [29] ἰδεῖν] ἴδοι A. [30] καὶ A : τε καί ζ. [31] ἐπανηγμένης A : ἐπανερχομένης ζ. [32] ἐπιφανούσης ζ. [33] φιλοσοφοῦντα ante ὑπὸ ponit B. [34] Κυρίνου] Δωρίνου B et corr. A.

ἐπορεύετο τῆς φιλοσοφίας, ἀλλὰ τὴν κεχαραγμένην πρὸς ἔλεγχόν τε καὶ λοιδορίαν καὶ τὸν μάλιστα δὴ πόνον ὑπὲρ ἀρετῆς. Ὑπεδέδετο δ' οὗτος σπανιάκις, ἢ τὰς Ἀττικὰς Ἰφικρατίδας ἢ τὰ συνήθη σανδάλια [35] περιδεδεμένος. [1048 R.] Ἐφαίνετο [36] δὲ οὐδέποτε ἐπὶ πλεῖστον χρόνον οὔτε ἀῤῥωστῶν τὸ σῶμα οὔτε ταλαιπωρούμενος τὴν ψυχήν, ἀλλὰ (τὸ λεγόμενον) εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπέμενε. Καλὰ καὶ ἀξιέπαινα πολιτεύματα, καὶ ὅσα τοιαῦτα φιλανθρωπεύματα.

A viam tenuit, sed quæ adversus reprehensiones et risiones tuta est firmaque, et ad laborem pro virtute suspiciendum. Rarius induebat, vel Iphicratidas, vel usitata sandalia (14). Visus est corpore nunquam diu infirmus, nec animo æger. Sed, ut dici solet, erecta cervice laborem subibat, honesta item et laudabilia studia, et id genus alia homine digna.

[537 H.] Ὁ Καρχηδονίων βασιλεὺς Γεζέριχος [37], ἀκούσας ὡς οἱ Ῥωμαῖοι τὸν σύμμαχον αὐτοῖς κατ' αὐτοῦ Μαρκελλῖνον [38] δόλῳ καὶ παρὰ τοὺς ὅρκους ἀνεῖλον, ἥσθη τε ἄγαν ἐπὶ ταῖς ἐλπίσι τῆς νίκης, καὶ ἔδοξεν εἰρηκέναι λόγον οὐ Καρχηδονίῳ προσήκοντα ἀλλὰ Ῥωμαίῳ βασιλεῖ· τοὺς γάρ τοι Ῥωμαίους ἔφατο τῇ ἀριστερᾷ χειρὶ ἀποκόψαι τὴν δεξιάν. Ὁ δὲ Μαρκελλῖνος τῆς Δαλμάτων [39] ἦν χώρας αὐτοδέσποτος ἡγεμών, Ἕλλην τὴν [40] δόξαν. Ὅτι ὁ Σαλούστιος εἰς τοὺς τῶν ἐντυγχανόντων ὀφθαλμοὺς ἀφορῶν προέλεγεν ἑκάστοτε τὴν βίᾳ [41] γενησομένην ἑκάστῳ τελευτήν. Τὴν δ' αἰτίαν τῆς προγνώσεως οὐδ' αὐτὸς εἶχε φράζειν· καίτοι ἐπειρᾶτο [42] ἐρωτώμενος τὸ σκοτεινὸν τῶν ὀφθαλμῶν αἰτιᾶσθαι καὶ ἀχλυώδες καὶ νοτισμοῦ μεστὸν, οἷον ἐπὶ πένθεσι ταῖς κόραις αὐταῖς ἐμφερόμενον. Καὶ Οὐράνιόν τινα ὄνομα, Ἀπαμείας [43] τῆς ἐν Συρίᾳ πολίτην καὶ ἄρξαντα Καισαρείας τῆς ἐν Παλαιστίνῃ, ἀπὸ τῶν ὀφθαλμῶν γνωρίζειν τὸν ὅμοιον τρόπον τοὺς πολυαράτους γόητάς φησι. Καὶ Νόμον δέ τινα τοὔνομα, πολίτην ἴδιον, ὁ συγγραφεὺς λέγει [44] ἀπὸ τῆς κατὰ τὰ ὄμματα τῶν ἐντυγχανόντων θέας τοὺς λανθάνοντας ἐπιγινώσκειν φονέας. Ὁ δὲ τὸν Αἰγαῖον διαπεραιωθεὶς, ὁ Ἰσίδωρος, καὶ αὐτὸς δὲ Ἀσκληπιάδης, ἔφασκεν ἑωρακέναι πλόκαμον ἐν τῷ Νείλῳ ποταμῷ [45] δαιμόνιον τὸ μέγεθος καὶ τὸ κάλλος. Αὖθις δέ ποτε παρὰ τῷ Νείλῳ [46] ἑστιωμένοις ἀμφοτέροις (παρῆν δὲ ἐκ τρίτων καὶ [47] ὁ ἡμέτερος φιλόσοφος) ἀνέδραμεν ἀπὸ τοῦ ποταμοῦ πλόκαμος ὡς ἰδεῖν πεντάπηχυς. Καὶ πολλὰ τοιαῦτα φάσματα λέγει. Ὅτι κατὰ τὴν Ἡλιούπολιν τῆς Συρίας εἰς ὄρος τὸ τοῦ Λιβάνου τὸν Ἀσκληπιάδην ἀνελθεῖν φησι, καὶ ἰδεῖν πολλὰ τῶν λεγομένων βαιτυλίων [48] ἢ βαιτύλων, περὶ ὧν μυρία τερατολογεῖ ἄξια γλώσσης ἀσεβούσης. Λέγει δὲ καὶ ἑαυτὸν καὶ τὸν Ἰσίδωρον ταῦτα χρόνῳ ὕστερον θεάσασθαι. Ἡ δὲ ἱερὰ γενεὰ καθ' ἑαυτὴν διέζη βίον θεοφιλῆ καὶ εὐδαίμονα, τόν τε φιλοσοφοῦντα καὶ τὸν τὰ θεῖα θεραπεύοντα. Ἀνέκαιον ὁσίῳ πυρὶ τοὺς βωμούς.

Carthaginensium rex Gezerichus, audito Romanos dolo et **342***b* præter juramentum, Marcellinum, qui contra se cum eis belligeraret interemisse, magno gaudio elatus est, spe victoriæ, et locutus est verba non Carthaginensem, sed Romanum imperatorem decentia : *Romani*, inquit, *sinistra manu dexteram amputarunt*. Marcellinus vero Dalmatiæ, cui cum imperio præerat, dux erat, sed gentilis. Salustius inspiciens obviorum oculos, prædixit frequenter singulis mortem violentam. Causam vero, qua ante prænosceret, ne ipse quidem dicere poterat, quanquam interrogatus prætenderet oculorum obscuritatem et tenebras, et humore plenos esse, qualis in luctu pupillis ipsis oculorum contineretur. Et ait quemdam Uranium nomine, Apamenum civem in Syria, et dominantem Cæsareæ in Palæstina, ex oculis nosse eodem modo plurimos præstigiatores admodum exsecrandos ; et quemdam Nomum civem, Sum auctor, ait, ex visu oculorum occurrentium, latentes homicidas agnovisse. Isidorus et ipse Asclepiades, cum trajecissent mare Ægæum, aiunt se vidisse in flumine Nilo cæsariem, mira magnitudine et forma. Statim vero comedente utroque juxta Nilum (aderat et tertius noster philosophus) accurrit a Nilo cæsaries, ut videbatur, quinque cubitorum : et alia monstra narrat. Juxta Heliopolin Syriæ, ait Asclepiadem in montem Libani ascendisse, et vidisse multa betulia vel bætula, de quibus multa prodigiose, dignaque impio ore prosequitur, dicitque se et Isidorum hæc postea vidisse. Sacra progenies per se vixit vitam felicem et piam, philosophicam, divinarumque rerum investigatricem, sancto igne aras accenderunt.

Ὅτι ἡ [49] πάρδαλις ἀεὶ, φησὶ, διψῇ [50], ὁ ἱέραξ οὐδέποτε· διὸ σπανιάκις ὁρᾶται πίνων. Ὁ ἱπποπόταμος ἄδικον ζῶον, ὅθεν καὶ ἐν τοῖς ἱερογλυφικοῖς γράμμασιν ἀδικίαν δηλοῖ· τὸν γὰρ πατέρα ἀποκτείνας βιάζεται τὴν μητέρα. Ὁ σοῦχος δίκαιος· ὄνομα δὲ κροκοδείλου καὶ εἶδος ὁ σοῦχος· οὐ γὰρ ἀδικεῖ ζωον

Pardalis semper sitit, accipiter nunquam, ideoque rarius videtur bibere, Hippopotamus (15) injusta bellua, unde et in hieroglyphicis (16) litteris crudelitatem significat, patrem necat, matrem violat. Suchus vero justus est, quod nomen **343***a* crocodili et species est : nullum enim animal lædit. Duode-

VARIÆ LECTIONES.

[35] σανδάλια B : σάνδαλα Aς cum Suida v. Ἰφικρατίδες. [36] cf. Suidas v. Εὐλόφως. [37] Γιζέριχος A. [38] de Marcellino cf. Suidas h. v. [39] δελμάτων A. [40] τὴν] τε B. [41] βίᾳ] βιαίαν A. [42] ἐπεπείρατο ς. [43] Ἀπαμείας τῆς B, Ἀπάμας τῆς A : Ἀπανάστη ς. [44] λέγει] φησιν B. [45] ἐν τῷ νείλῳ ἑωρακέναι ποταμῷ πλόκαμον B. [46] τὸν Νεῖλον ς. [47] καὶ et mox τῆς add. A. [48] βαιτουλίων ς. [49] ἡ add. A. [50] φησὶ διψῇ A : διψᾷ ς.

NOTÆ.

(14) De hoc calceamenti genere, nos ex Julio Polluce, aliisque ad Procli Chrestomathiam.

(15) Hippopotamus. De hoc fluviatili equo eadem Plinius, Solinus, et Ammianus Marcellinus, et Plutarchus in *Iside et Osiride* Ægyptiis impudentiam significare ait, et Clemens lib. v *Stromat.*

(16) Horapollo lib. 1, cap. 56, quem etiam consule de crocodilo, æluro, etc.

cim tempora felis distinguit, singulas noctes et dies urinam singulis horis emittens, semper instar instrumenti cujusdam horas dirigens: quin etiam lunæ dies ait numerare proprio fetu. Quinetiam felem septem primo, sex secundo partu, tertio quinque, quarto quatuor, quinta tres, sexto duos, septimo unum edere, et tot esse fetus felis, quot habet luna dies. Cebus est simiæ species et semen circa solis et lunæ congressum emittit. Oryx animal (17) sternutans ostendit Sothin oriri. Ne duces eorum perniciosis civitati contentionibus distraherentur, prædicebat ex secreta quadam visione. In pariete lumen densum apparet, transformatur tanquam concretus in faciem revera divinam et supernatura-
lem, non dulci venustate, sed severa efformatam, visu pulcherrimam, tamen in severitate illa blandum quid ostendit; hunc Alexandrini loco Osiridis et Adonidis in deorum mysteriis coluerunt. Erat in Heraisci philosophi natura aliquid quod inquinamenta generationis aboleret. Si quam impura loquentem mulierem de quacunque tandem re audisset, statim ei caput doluit: atque ita viventi semper quædam divinitas aderat; mortuo vero, cum lege usitata sacerdotibus Asclepiades tradere pararet, cum cætera, tum Osiridis vestes, quibus tegeretur corpus, statim, cum lumine e sindonibus undique arcanæ descriptiones elucebant, et circum has species quædam divinorum simulacrorum videbantur. Fuit et primus ejus ortus sacer et mysticus. Fertur enim ex utero matris prodiisse, indice silentii digito labiis adhærente, quo modo et Ægyptii fabulantur Orum, et ante Orum solem natum esse. Itaque cum digitus labiis adhæreret, sectione illi fuit opus, et labrum semper leviter **343***b* incisum permansit, conspicuum omnibus signum inenarrabilis illius nativitatis. Dicitur Proclus Heraiscum se doctiorem confessus esse. Quæ enim ille scivit, et Heraiscus norat; sed quæ Heraiscus, non item Proclus.

A οὐδέν. Τὰς δώδεκα ὥρας ἡ αἴλουρος διακρίνει, νύκτας καὶ ἡμέρας οὐροῦσα καθ' ἑκάστην ἀεί, δίκην ὀργάνου τινὸς ὡρογνωμονοῦσα. Ἀλλὰ καὶ τῆς σελήνης, φησίν, ἀπαριθμεῖται τὰ φῶτα τοῖς οἰκείοις [51] γεννήμασι. Καὶ γὰρ τὴν αἴλουρον ζ' μὲν τὸν πρῶτον, ς' δὲ [558 H.] τὸν δεύτερον τόκον, τὸν τρίτον ε', καὶ [52] δ' τὸν τέταρτον, καὶ γ' τὸν πέμπτον, ἐφ' οἷς δύο τὸν ἕκτον καὶ ἕνα ἐπὶ πᾶσι τὸν ἕβδομον· καὶ εἶναι τοσαῦτα γεννήματα τῆς αἰλούρου, ὅσα καὶ τὰ τῆς σελήνης φῶτα. Ὁ κῆβος (ἔστι δὲ πιθήκου εἶδος) ἀποσπερμαίνει κατὰ τὴν σύνοδον ἡλίου καὶ σελήνης. Ὁ ὄρυξ τὸ ζῶον πταρνύμενος ἀνατέλλειν διασημαίνει τὴν Σῶθιν. Ἕως οἱ ἡγεμόνες αὐτῶν διέστησαν εἰς ἔριν πολιτοφθόρον. Καὶ προέλεγε κατὰ τὴν ἀπόῤῥητον θέαν. [1049 R.] Ὁ δ' ἐν τῷ τοίχῳ τοῦ φωτὸς
B φανεὶς ὄγκος οἷον παγεὶς εἰς πρόσωπον διεμορφοῦτο, πρόσωπον ἀτεχνῶς θεσπέσιον δή τι καὶ ὑπερφυὲς, οὐ γλυκείαις χάρισιν, ἀλλὰ βλοσυραῖς ἀγαλλόμενον, κάλλιστον δ' ὅμως ἰδεῖν καὶ οὐδὲν ἧττον ἐπὶ τῷ βλοσυρῷ τὸ ἥπιον ἐπιδεικνύμενον. Ὃν Ἀλεξανδρεῖς ἐτίμησαν Ὄσιριν ὄντα καὶ Ἄδωσιν κατὰ τὴν μυστικὴν θεοκρασίαν. Ὅτι ἐνῆν, φησὶ, τῇ τοῦ Ἡραΐσκου τοῦ φιλοσόφου φύσει καὶ τι τοὺς μολυσμοὺς τῆς γενέσεως ἀναινόμενον [53]· εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὁθεν γυναικὸς ἀκαθάρτου τινὸς, ἤλγει παραχρῆμα τὴν κεφαλήν [54]. Οὕτω μὲν ζῶντι συνῆν ἀεί τι θεοειδές· ἀποθανόντι δὲ ἐπειδὴ τὰ νομιζόμενα τοῖς ἱερεῦσιν ὁ Ἀσκληπιάδης ἀποδιδόναι παρεσκευά-
ζετο, τά τε ἄλλα καὶ τὰς Ὀσιριάδας [55] ἐπὶ τῷ σώματι [56] περιβολὰς, αὐτίκα φωτὶ κατελάμπετο πανταχῇ
A Maximinus, inquit, religione erat gentilis, oculis adeo terribilibus, ut intuentium aversaretur oculos. Cujus sibi conscius, ut plurimum terram, non ipsos homines obvios respiciebat, et etiam multa vidit visa, quæ alii non videbant. Poterat et dæmones noxios immittere, et aliunde immissos coercere. Cum impie quid ageret Byzantii, gladii pœna affectus est, nec philosophicam vitam intelligens, si quis e multitudine injuriam ei inferret **349***a* ignorabat civilia et gravia negotia. Cunctatio longior ei fuit, quam spes festinandi in Cariam vel Athenas ferret. Venio ad precationes, quas ad deum habuit, et Cyllenio tardante, et negotia differente, nihil Isidorus perfecit, parcens pretiosissimæ rei, juxta sententiam sapientis, tempori. Videns meipsum divino B lumine illustratum, quantum putas animi contentionem fecisse? Insanus factus cum esset, abrepta securi, sibi virilia amputat. Et ego hæc Isidoro nuntiavi, qui semper sapienter, et divinus sacris sermonibus attendit, cum putaret se de corpore periclitari. Hoc vero exemplum propriæ voluntatis est, hæc grati animi ergo, pauca pro multis reddenti. Navigabamus Samum, corpus vero tumebat a pedibus infra incipiens, usque ad inguina et verenda; consopitus sum in navi; deinde in somnis polluor, vittam, sacram vestem, stolam, faciei simulacrum, fasciam. Tantum philosophiam audivimus contemni nunquam Athenis, quantum vidimus vituperari ab Hegia. Archiadas (28) patrem et alios multos superabat non parum virtute. Philosophica C minus curabat, tanquam adeo ineptus, propter patrimonium blandiens, vita pius si quis alius. Eupithius ingeniosior erat, moribus tamen idiota; imo etiam idiota et simplicior: imbecillum illius erat corpus, et non multum a morte sejunctum. Hic quidem statim ægre audivit defensionem, quasi spei illius consilium speciosum non satisfaceret. Talia multa dicens et occinens, persuasit Marinus Isidoro (29) ut reciperet decretum de successione, et successor creatus est, nomine magis quam reipsa, Platonicæ doctrinæ. Quod si divinior res est, ut tu ais, Hegia, **349***b* (dicebat illi Isidorus) sacerdotalis administratio, idem ego affirmo; sed

VARIÆ LECTIONES.

[78] χρῆσμα ζ. [79] τὸν δὲ βαίτυλον B. [80] τοῖς A : καὶ τοῖς ζ. post ἄλλοις mg. A : περὶ τοιούτου δαιμονίου ἤκουσα κἀγὼ ἐν Ἑλλάδι παρὰ τῶν ἐν τοῖς τοῦ Παρνασσοῦ μέρεσιν ἐμφαινομένου· περὶ οὗ καὶ ἕτερά τινα παραδοξότερα ἔλεγον, σιωπῆς ἄξια μᾶλλον ἢ ἀφηγήσεως. [81] ἀφιεὶς om. C. [82] ἀνέβλεπεν ζ. [83] ὁρώντων B. [84] φησὶν B : φασὶν ζ. [85] ἀνατέλλει ζ. [86] ἄλλους] ἄλλως B. [87] ὢν A : ἦν ζ. [88] πληκτικῶν A : πολιτικῶν ζ. [89] τε A : τότε ζ. [90] τοῦ A : καὶ τοῦ ζ. [91] οὐ add. A. [92] malim. ἐγανοσκόμην. [93] ἀεὶ om. B. [94] τὸ σῶμα ζ. [95] κινδυνεύσειν. ἀλλὰ τούτῳ B. [96] ἄρα δεῖγμα A : παράδειγμα ζ. [97] κρήδεμνον. [98] ῥῳ' AC : τοῦ ζ. τὸ ῥῳ οἶμαι ὡραίου ἢ ἱεροῦ δεῖν ἀναγινώσκεσθαι Maximus Margunius. [99] ἡμιτύβιον om. B. ἡμιτύβιον] ἢ τύμβιον A. [1·2] cf. Suidas v. Ἀρχιάδας et Εὐπείθιος et Ἡγίας : unde Leichius p. XX ὁ δὲ Ἡγίας τὸ μὲν ὅλον τοῦ πατρὸς Ἀρχιάδου οὐκ. [3] πολλῶν ἄλλων] τῶν πολλῶν Suidas v. Εὐπείθιος.

NOTÆ.

(28) Archidas Hegia. Vide Suidam.

(29) Marini successor Isidorus.

primum homines esse deos futuros necesse est. Ideoque et Plato dixit majus bonum homini accidere non posse, quam philosophiam. Sed hoc contigit nunc stare (30) in acie, non novaculæ, sed ultimæ revera senectutis. Ignorabat se aggredi ad corrigendas res incurabiles et nequissimas, nihil amplius vero profecit. Vere ineunte, mortuo Marino, voluit Isidorus Athenas deserere; monebat autem Syrianum et Hegiam Isidorus, quam necessarium sit, philosophiam labentem restituere.

A δὲ [4] καὶ ἀτοπώτερον ἔχων ἢ κατ' ἰδιώτην. Ἀσθενῶν αὐτὸς τὸ σῶμα καὶ οὐ πόρρω τεινων θανάτου. Ὁ δὲ πρὸς μὲν τὸ παραυτίκα δυσχερῶς ἤκουσε τῆς ἀπολογίας, ἅτε [δὴ [5]] μὴ κατ' ἐλπίδας αὐτῷ πραττούσης τῆς ἀγαθοειδοῦς προαιρέσεως. Τοιαῦτα πολλὰ λέγων τε καὶ ἐπᾴδων ἔπεισε τὸν Ἰσίδωρον ὁ Μαρῖνος δέξασθαι τὸ ψήφισμα τῆς διαδοχῆς· καὶ ἐψηφίσθη διάδοχος ἐπ' ἀξιώματι μᾶλλον ἢ πράγματι τῆς Πλατωνικῆς ἐξηγήσεως. Εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φῂς, ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία, φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. Διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζου ἀγαθὸν φιλοσοφίας. Ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς. Ἐλάνθανε δὲ ἑαυτὸν ἀνίατα [6] πράγματα καὶ πόρρω μοχθηρίας προβεβηκότα [7] διορθώσασθαι ἐπιχειρῶν· ἤνυτε [8] δὲ οὐδὲν ἐπὶ [9] πλέον. Ἤρι δὲ ἀρχομένῳ, τοῦ Μαρίνου τὸ σῶμα ἀπολιπόντος, ἐβουλεύετο τὰς Ἀθήνας ἀπολιπεῖν ὁ Ἰσίδωρος. Παρῄνει δὲ Συριανὸν καὶ Ἡγίαν ὁ Ἰσίδωρος ὡς χρεὼν εἴη φιλοσοφίαν ὑποῤῥέουσαν ἀνασώσασθαι.

Quæ verbis ornata prætermissa sunt, ea necesse est cum excerptis conjungi.

B Ὅσα παρεῖται [10] χρεὼν ταῖς ἐκλογαῖς συντετάχθαι καλλιέπειαν ἔχοντα.

Per artem quamdam dubiam, et extra humanam spem constitutam, in secretis arcana pro se ipsis divinæ spei quærentes, et pro aliis Ægyptiis, totius ordinis. Sed hinc alicunde a tertio ortu, qui circa mundum est ligare funem revocatæ servationis. Severus patricius Romanus et alia narrabat multa Alexandriæ agens, et lapidem se vidisse, in quo lunæ erant mutantes varie formam secundum solem, quandoque crescentes, interdum decrescentes; lapidi ipse etiam sol inerat. Unde dicuntur hi lapides synoditæ vocari: et dixit se etiam solarem lapidem vidisse, non qualem multi vidimus, radios ex sese aureos effundentem, sed discum solis forma in medio lapide esse, et inde ignis globum videri, ab illo vero radios exsilire, usque ad circumferentiam: esse enim globosum et integrum lapidem. Vidisse et lunarem non aqua maceratum, qui deinde exhibet lunulam, et ideo aquilunarem vocatum: sed natura se vertentem secundum motus lunæ. Mirabile est hoc opus naturæ, sed multa obscura et non intelligibilia de eo narrantur. Multi dicunt periisse Ægyptium. Fama tamen salutis **350***a* nuntia vulgabatur, et forsitan res involuntaria sit, et idem fortasse etiam rebus immortalibus accidit: optima monens, et oratione hortans eos qui in opere torpescerent.

Διὰ μηχανῆς τινος ἀπόρου καὶ ἀνθρωπίνης ἐλπίδος ἔξω καθεστηκυίας ἐν ἀπορῥήτοις τὰ ἀπόῤῥητα διαμηχανωμένους ὑπέρ νε σφῶν αὐτῶν τῆς οὐρανίας ἐλπίδος καὶ ὑπὲρ τῶν ἄλλων Αἰγυπτίων τῆς ὅλης εὐθημοσύνης. Ἀλλ' ἐντεῦθέν ποθεν ἀπὸ τῆς τρίτης καὶ περικοσμίου γενέσεως ἀναδήσασθαι τὰ πείσματα τῆς ἀναγωγοῦ σωτηρίας. Καὶ δὴ Σεβῆρος, ἀνὴρ τῆς Ῥώμης πατρίκιος, ἄλλα τε διηγεῖτο ἐν Ἀλεξανδρείᾳ συνδιαιτώμενος [11], καὶ ὅτι λίθον ἐθεάσατο ἐν ᾧ σελήνης ἐγίνετο σχήματα μεταμορφουμένης παντοῖα μὲν, ἄλλοτε δ' ἄλλα πρὸς ἥλιον αὐξομένης καὶ μειουμένης ἐνόντα τῷ λίθῳ καὶ αὐτὸν τὸν ἥλιον· ὅθεν ἡ φήμη τοὺς τοιούτους λίθους καλεῖ συνοδίτας [12]. Καὶ ἡλίτην δὲ λίθον ἔλεγεν ἑωρακέναι, οὐχ οἷον οἱ πολλοὶ ἑωράκαμεν, ἀκτῖνας διαφαίνοντα ἀπὸ τοῦ βάθους χρυσίδιτας, ἀλλὰ δίσκον ἡλιοειδῆ κείμενον μέσον τοῦ λίθου, σφαῖραν αὐτόθεν πυρὸς ὡς ἰδεῖν· ἀπ' αὐτῆς δὲ τὰς ἀκτῖνας ἐκθρώσκειν ἕως ἐπὶ τὴν ἴτυν· εἶναι γὰρ σφαιροειδῆ καὶ ὅλον τὸν λίθον. Ἰδεῖν δὲ καὶ σεληνίτην, οὐ τὸν ὕδατι τεγγόμενον, [569 H.] εἶτα ἐκφαίνοντα τὸν μηνίσκον, καὶ διὰ τοῦτο ὑδροσεληνίτην καλούμενον, ἀλλὰ κατὰ φύσιν τὴν ἑαυτοῦ τρεπόμενον ὅτε καὶ ὅπως ἡ σελήνη τρέποιτο, θαυμάσιον χρῆμα τοῦτό γε φύσεως. Τυφλῆς δὲ καὶ ἀσαφοῦς τῆς φήμης περιπλανωμένης. Ὁ μὲν οὖν πλεῖστος λόγος ἀπολωλέναι τὸν Αἰγύπτιον, διεφέρετο δὲ ὅμως καὶ σωτηρίας τις ἄγγελος φήμη. Καὶ τάχα ἂν ἤδε ἡ πάθη ἀπροαίρετος ἂν εἴη, καὶ διὰ τοῦτο συμβαίνοι ἂν ἴσως καὶ ταῖς ἀκηράτοις. Τὰ βέλτιστα παραινῶν, καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν τῷ ἔργῳ βλακεύοντας.

Cum tres sint animæ species, triplex etiam politicæ ratio, quarum quælibet tres illas habet, sed una præcipua forma est, a qua appellatur, ac prima quidem rationem secuta est ducem, cujusmodi vita et respublica sub Saturno fuit, quæ aurea ætas dicitur, vel genus proximum diis, ut fabulæ modo poetæ

Ὅτι τριῶν ὄντων εἰδῶν τῆς ψυχῆς, τριττὴ καὶ ἡ πολιτεία, καὶ ἔχει μὲν ἑκάστη τὰς τρεῖς, [1068 R.] ἀλλ' ἐνὶ διαμορφοῦται καὶ ὀνομάζεται τῷ ἐπικρατοῦντι. Καὶ λόγῳ μὲν ἰθύνεται, ὡς ὁ ἐπὶ Κρόνου βίος, ἡ λεγομένη χρυσῆ γενεὰ, ἢ τὸ θεῶν ἀγχίσποροι γένος, οἷα ἐν σχήματι μύθου σημαίνουσιν οἱ ἐν τῷ

VARIÆ LECTIONES.

[4] δὲ] δέ τι id. [5] δὴ om. AC. [6] ἀνίατα] ἄνω τά A. [7] προβεβηκότα om. B. [8] ἤνυτε B : ἤνυε ς. [9] ἐπὶ add. A. [10] παρεῖνται B. [11] συνδιαιτώμενος A, ἐνδιαιτώμενος B : συνδιαιτούμενος ς. [12] συνο ἰτὰς] cf. Boissonad. Marin. p. 90.

NOTÆ

(30) Vide apud Platon. et proverb.

τριποδι τῆς Μούσης καθήμενοι ποιηται. Θυμῷ δὲ [13] διανισταμένην πολιτείαν τὴν ἐπὶ πογέμους καὶ μάχας, καὶ ὡς ἐπίπαν φάναι, τὴν περὶ πρωτείων καὶ δόξης ἀγωνιζομένην, οἵαν [14] γενέσθαι τὴν ἐπὶ τῆς ἱστορίας ἑκάστοτε θρυλουμένην ἀκούομεν. Ἐπιθυμίᾳ [15] δὲ τὴν πανταχῇ διαῤῥέουσαν καὶ ὑπὸ τρυφῆς ἀκολάστου διεφθαρμένην, ταπεινὰ καὶ γυναικεῖα φρονοῦσαν, δειλίᾳ σύνοικον καὶ ἐν πάσῃ ὑηνείᾳ [16] καλινδουμένην, φιλοχρήμονα, μικροπρεπῇ, δουλεύειν ἀσφαλῶς ἐθέλουσαν [17], οἷα τῶν ἐν τῇ νῦν γενέσει πολιτευομένων ἡ ζωή. Προθυμότατος εἰς ἀποδημίαν οὐ τὴν μάταιον καὶ τρυφῶσαν, εἰς ἀνθρώπινα οἰκοδομήματα καὶ μεγέθη καὶ κάλλη πόλεων διαχαίνουσαν· ἀλλ' εἴ πού τι θαυμαστὸν ἀκήκοεν ἢ ἱεροπρεπὲς, ἀφανὲς [18] ἢ φανόν [19], αὐτόπτης ἠδούλετο γενέσθαι τοῦ θαύματος. Αὐτὴν δὲ τὴν ψυχὴν ἐν ταῖς ἱεραῖς εὐχαῖς πρὸς ὅλον τὸ θεῖον πέλαγος ἔλεγε, τὰ μὲν πρῶτα συναγειρομένην ἀπὸ τοῦ σώματος εἰς ἑαυτὴν, ἀΰθις δὲ ἐξιστημένην τῶν ἰδίων ἠθῶν καὶ ἀναχωροῦσαν ἀπὸ τῶν λογικῶν ἐννοιῶν ἐπὶ τὰς τῷ νῷ συγγενεῖς, ἐκ δ' αὖ τρίτων ἐνθουσιῶσαν καὶ παραλλάττουσαν εἰς ἀήθη τινὰ γαλήνην καὶ οὐκ ἀνθρωπίνην. Τοῦτον ἐπαινῶν Ἰσίδωρος ὁ φιλόσοφος κατὰ στόμα εἶχε. Μετριωτέρα γὰρ πειθὼ καὶ παραίνεσις τῆς [20] ἀπὸ τῶν ἄλλων λόγων τοῖς πολλοῖς ἡ ἀπὸ τῆς ἱστορίας, καὶ μᾶλλον τῆς παλαιοτέρας ἡ ἀπὸ τῆς νεωτέρας καὶ τοῖς ἀκροωμένοις φέρουσά τι γνωριμώτερον. Οἱ δὲ καὶ ἐν τοῖς Αἰγυπτίοις φιλοσοφήμασι τὸν Ἰσίδωρον συνεργὸν καὶ συγκωνηγέτην παρελάμβανον [21] τῆς ἐν βυθῷ κεκρυμμένης ὡς ἀληθῶς ἱερᾶς ἀληθείας· καὶ πολλαχοῦ φῶς ἀνῆπτεν αὐτοῖς ἐν ταῖς ζητήσεσι τῆς ἀρχαιοτρόπου σοφίας. Τὸ δὲ σύμπαν αὐτῷ τῆς εὐπορίας οὐκ ἀπὸ βιβλίων καὶ δοξασμάτων ἐπορίζετο ἀλλοτρίων διὰ μνήμης, ἀλλ' ἔξιν τινὰ βεβαίαν καὶ πάμφορον ἀληθείας τῆς γε τοιαύτης ἀπ' [370 H.] ἀρχῆς ἐκτήσατο. Καὶ δύσεται τοῖς ἀνθρώποις, ἅτε οὐ δυναμένοις αὐτοῦ φέρειν τὴν θείαν [22] ἀνατολήν. Ἠναγκάζετο [23] ἐπιμελεῖσθαι τῆς τῶν παίδων εὐαγωγίας. Καὶ μὴν καὶ ἐν ταῖς ἐξηγήσεσιν ἐνδεέστερος τῷ λόγῳ ἢ ὥστε ἑρμηνεύειν τὰ δοκοῦντα ἀποχρώντως. Οὐ μὴν οὐδ' ἐνταῦθα ἀβοήθητος ἦν ὑπὸ τῆς φύσεως καὶ τῆς ἄλλης μελέτης, ἀλλὰ κατεβάλλετο [24] μὲν σπουδὴν πρὸς τὴν σαφήνειαν, τὴν δὲ τῶν ὀνομάτων εὐρυθμίαν ἀφιεὶς ἑτέροις πρὸς ἐπίδειξιν εἶχετο τῶν πραγμάτων, οὐ λόγους τὸ πλέον ἢ νοήσεις φθεγγόμενος [25], οὐδὲ νοήσεις μᾶλλον ἢ τὰς οὐσίας αὐτῶν τῶν πραγμάτων ἄγων εἰς φῶς. Τὴν περὶ τὸ θεῖον [26] ἁγιστεύουσαν θέμιν. Εὐφραίνετο δὲ ὁρῶν τὸν Πρόκλον ὁ Ἰσίδωρος αἰδοῖόν [27] τέ ἅμα καὶ δεινὸν ἰδεῖν, αὐτὸ δοκῶν ἐκεῖ ὁρᾷν [28] τὸ φιλοσοφίας τῷ ὄντι πρόσωπον. Ἐπεὶ καὶ ὁ Πρόκλος ἐθαύμαζε τοῦ Ἰσιδώρου τὸ εἶδος ὡς ἔνθεον καὶ πλῆρες [29] εἴσω φιλοσόφου ζωῆς. Ὁ δὲ Σαλούστιος οὐκέτι τῷ δικανικῷ, ἀλλ' ἤδη τῷ σοφιστικῷ βίῳ

A in tripode musæ sedentes tradunt. Alia quæ iracundia inflammata, in bella et pugnas ruit, et ut summatim dicam, principatus et gloriæ cupiditate æstuans : cujusmodi fuisse audivimus eam, de qua crebræ narrationes historiarum. Alia quæ appetitu regitur, luxu et deliciis diffluens, corrupta, abjecto et muliebri animo ignaviæ dedita, incerta sorte jactata, avara, vilis, servilis, qualis nunc est hominum vita. Propendebat in peregrinationem, non vanam, aut deliciosam, inhiantem hominum substructionibus spectandis, aut urbibus magnis ac pulchris : sed sicubi quid mirandum audiret, vel augustum, sive occultum, sive apertum, ipsismet oculis videre volebat. Ipsam animam in sacris precibus totum divi-
nitatis oceanum esse dixit : primo a corpore in se
B collectam ; deinde a suis moribus recedentem, et a rationalibus notionibus deflectentem ad res, quæ menti cognatæ sunt; tertio divinitus afflatam et mutatam in insolitam serenitatem, non humanam, sed Deo convenientem. Hunc laudans Isidorus in ore habuit. Commodior enim persuasio, præceptioque præ aliis materiis, vulgo ab historia, et maxime a recentiore potius quam antiquiore, et audientibus aliquid notius afferens. At illi in disciplinis etiam Ægyptiis Isidorum socium, sodalemque assumpserunt investigandi veritatem sacram, quæ in profundo lateret, et illis sæpe in quæstionibus antiquæ **350***b* sapientiæ lumen accendit. Omnis illi soleitia non a libris et disciplinis alienis per memoriam suppetebat, sed habitum quemdam firmum et fecundissi-
C mum, qui omnia comprehenderet hujus veritatis, ab initio habuit. Et occidet hominibus, ut qui divinum ejus ortum ferre nequeant : coactus est curam filiorum gerere, ut bene instituerentur. Verborum in explicando parcior fuit, quam ut satis sensa animi explicaret : neque enim natura, exercitioque eum hic destituebat, sed studium ipse ad perspicuitatem convertebat. Nominum concinnitatem et ostentationem aliis relinquens, rem sectatus est : non plura verba locutus quam sensa mentis essent, neque plura sensa quam rerum natura pateretur, justitiam, quæ Deum veneratur, in lucem ferens. Gaudebat Isidorus viso Proclo, ratus in eo se venerandum et gravem philosophiæ vultum vere
D videre. Cum etiam Proclus Isidori faciem ut divinam fuerit miratus, plenaque intus philosophiæ vitæ. Salustius non amplius forensi, sed oratoriæ arti intendit animum. Publicatas etiam Demosthenis orationes memoriæ mandavit omnes. Adhæc satis erat disertus, non recentiores sophistas imitans, sed cum vetere scriptionis splendore certans, orationesque scripsit non multo illis inferiores. Nudis pedibus orbem terrarum, ut fertur, ambiit. Ἓδη capit pro ipsis deliciis. Ponitur

VARIÆ LECTIONES.

[13] δὲ om. A. [14] οἷον A. [15] ἐπιθυμίαν B. [16] ὑηνείᾳ A : κυβείᾳ. [17] θέλουσαν ς. [18] ἀφανὲς] ἢ ἀφανὲς A. [19] φανερόν ς. [20] τῆς A : τοῖς ς. [21] συνελάμβανον B, [22] θείαν] ἀλήθειαν A. [23] ἠναγκάζετο] εἶναι εἰκάζετο A. [24] κατεβάλετο A. [25] φθεγγόμενος οὐδὲ νοήσεις om. A. [26] τῶν θείων A. [27] αἰδοῖον — δεινὸν] αἰδοῖ — δείμω B. [28] ἐκεῖνον ὁρῶν A. [29] πλῆρες Suidas v. Εἶδος : πλήρης ς.

eadem vox et pro statuis : item pro templi pavimento. Millies insomnia vidit, ut uno verbo dicam. Semel vero etiam verum visum apparuit hominem circumspiciens, pro accurate contemplans, præter consuetum morem loquendi. Liberi erant ab humanis impedimentis, quæ plerumque sunt. Nemo in divinis rebus adeo hebes est, quin sentiat omnem Dei vim, maxime autem in puniendis improbis. Non aberraret a vera musa, vel a sacra veritate. **351** *a* Socii alius opinionis, et sectatores, et ad philosophiam roborabantur, quanquam initio philosophandi dexteritatem non assequerentur. Voto usus, ad familiarem humanumque sensum a portentosis spectris rediit, et elocavit ad tempus matrimonio aptum. Sed etiam philosophiæ induto pallio, tanquam sponsa philosophica in divinis rebus exercente religione, et quæcunque efferri, et quæcunque non efferri possunt. Ille Aphrodisiadem secessit, et cum uxore sine liberis vixit.

A προσεῖχε τὸν νοῦν. Ἐξέμαθε δὲ καὶ τοὺς δημοσίους ἅπαντας τοῦ Δημοσθένους λόγους. Καὶ δὴ λέγειν ἦν ἱκανὸς, οὐ τοὺς νέους [30] μιμούμενος σοφιστὰς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον τόνον [31] τῆς λογογραφίας ἀμιλλώμενος. Ἀμέλει καὶ ἔγραψε λόγους οὐ πολύ τι ἐκείνων λειπομένους, [1069 R.] ἀνυπόδετος περιιὼν τὴν οἰκουμένην, ὡς φάναι λόγον [31], ἅπασαν. Ὅτι τὰ ἕδη καὶ ἐπὶ αὐτῶν λαμβάνει τῶν τεμενῶν, τάττεται δὲ καὶ ἐπὶ τῶν ἀγαλμάτων· λέγεται δὲ ἕδος καὶ τὸ ἔδαφος τοῦ νεώ. Ὄναρ μὲν μυριάκις παρῆν ὡς φάναι τὸ ἔπος, ἅπαξ δὲ καὶ ὕπαρ [32] ἐφάνη τὸ φάσμα. Περιορώμενον τὸν ἄνθρωπον ἀντὶ τοῦ ἐμβλέπου ἀκριβῶς, ἐπισκοποῦν [33], ἐναντίως τῆς τῶν πολλῶν χρήσεως. Ἀκώλυτοι διέμενον ὑπὸ τῶν εἰωθότων κατὰ τὸ ἀνθρώπινον [34] κωλυμάτων. Οὐδείς ἐστιν οὕτω τὸ Θεῖον ἐκκεκωφημένος, ὃς οὐκ αἰσθάνεται αὐτοῦ τῆς ἐνεργείας πάσης μὲν, οὐχ ἥκιστα δὲ τῆς κολαζούσης τοὺς ἁμαρτάνοντας. Οὐκ ἂν ἁμάρτοι Μούσης ἀληθοῦς, ἢ οὐκ ἂν ἁμάρτοι ἀληθείας ἱερᾶς. Οἱ τῆς ἀλλοφύλου δόξης ἑταῖροι καὶ συστασιῶται. Καὶ πρὸς [35] φιλοσοφίαν ἔρρωντο, καίτοι ἀρχὴν ἀτυχοῦντες εὐαγωγίας φιλοσόφου. Καὶ τῇ εὐχῇ χρησάμενος εἰς τὴν συνήθη καὶ ἀνθρωπίνην αἴσθησιν ἀπὸ τῶν ἀλλοκότων ὄψεων ἐπανῆλθε. Καὶ δὴ ἐξέδωκεν ἱκνουμένῳ [36] τῷ τοῦ γάμου καιρῷ. Ἀλλὰ καὶ τρίβωνα περιβαλὼν φιλοσοφίας [37], ὡς φιλόσοφον, τὴν νύμφην. Τῆς περὶ τὰ θεῖα διατριβούσης θρησκείας, ὅση τε ῥητὴ καὶ ὅση ἀπόῤῥητος. Οὐδ' [38] εἰς Ἀφροδισιάδα μετεχώρησε παράκλητος [39]. Ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν.

Hilarius philosophus, amans voluptates venereas, Proclo non est usus magistro. Dixit persuasum longiorem sibi fore in corpore vitam, ob dexteritatem uxoris : et hæc dixit, non gratum sibi esse confitens, ut alicui videri possit, sed ægre ferens moram in corpore, et ad uxorem referens, quantum homini licet, mortis dilationem, uxorisque laudavit facilitatem, et collætatus est. Deus primam matrimonii spem miseratus, dedit illi signum futuræ stirpis, et tandem uxorem suam maritus gravidam vidit. Asclepiodoto tenebræ, quominus legeret, impedimento non erant. Narravit et alia, quæ audiisset, et de ejus visa multa digna admiratione. Vox cujusnam esset incertum, navem sistere jussit, et de ὁμακοΐου est, quod ipsi videmus et audimus. Et usque ad mortem castus vixit, nec quisquam est, etiam inter inimicos, qui eum reprehenderit. Marinus inepto ingenio, nec excellentem Parmenidis expositionem præceptoris sui tulit, ad ideas vero contemplationem demisit, a supernaturalibus unitatibus : Firmi et Galeni notionibus ut plurimum motus, aut incorruptis conceptibus mentis beatorum virorum. Justitiam coluit, et quæ philosophum decent, non adulatorios mores, aut sordidos. Marinus propter seditionem Athenis Epidaurum secessit, subodoratus insidias vitæ comparatas. Marinus et ipse Proclus non una solum, **351** *b* sed ambabus manibus Isidorum amplexi sunt. Proclus videns illius animi

Ὁ δὲ Ἱλάριος [40] φιλοσοφῶν μὲν, ἐκδεδιὴ τημένος δὲ τὰς ὑπογαστρίους ἡδονὰς, οὐκ ἔτυχε Πρόκλου διδασκάλου. Πεπεῖσθαι ἔλεγε πολυχρονιώτερόν οἱ γενέσθαι τὸν μετὰ τοῦ σώματος βίον διὰ τὴν δεξιότητα τῆς γυναικός. Καὶ ταῦτα ἔλεγεν οὐ χάριν ὁμολογῶν, ὡς ἂν τῳ δόξειεν, ἀλλὰ δυσχεραίνων πρὸς [571 H.] τὴν ἐν σώματι διατριβὴν, καὶ εἰς ἐκείνην ἀναφέρων, ὅσα γε εἰς ἄνθρωπον, τὴν τοῦ θανάτου ἀναβολήν. Καὶ τῆς γυναικὸς ἐπῄνει τὴν εὐαγωγίαν, καὶ συνήδετο. Κατελείσας τοῦ γάμου τὰς πρώτας ἐλπίδας ὁ Θεὸς ἐδίδου σύμβολον τῆς ἐσομένης γονῆς· καὶ τὴν γαμετὴν λοιπὸν ἑώρα ἐπίτεκα οὖσαν ὁ ἀνήρ. Καὶ οὐδὲν ἐμποδὼν πρὸς τὴν ἀνάγνωσιν τῷ Ἀσκληπιοδότῳ ὁ σκότος ἐγίνετο [41]. Διηγεῖτο δὲ ἄλλα τε ὧν ἀκήκοε, καὶ δὴ καὶ τῆς αὐτοῦ ὄψεως οὐκ ὀλίγα θαύματος ἄξια. Ἡ δ' ἄγνωστος φωνὴ ὅτου εἴη τὴν ναῦν ἀνακωχάζειν ἐκέλευε. Τοῦ [42] ὁμακοΐου [43] τῆς αὐτοψίας καὶ ἀκοῆς ἅμα. Καὶ διετέλεσεν ἄχρι θανάτου ἀμιγὴς παντὸς σώματος. Οὐδ' ἔστιν ὅστις ἐσυκοφάντησεν αὐτὸν ἐπὶ τοιαύταις διαβολαῖς, οὐδὲ τῶν ἐχθίστων [44]. Ὁ δὲ Μαρῖνος [45] τῷ ἀτόνῳ τῆς φύσεως οὐδὲ τοῦ Παρμενίδου τὴν ὑπεραίρουσαν ἐξήγησιν τοῦ διδασκάλου ἤνεγκεν, ἐπὶ τὰ εἴδη δὲ τὴν θεωρίαν κατήγαγεν ἀπὸ τῶν ὑπερουσίων ἑνάδων [46], ταῖς Φίρμου καὶ Γαληνοῦ τὸ πλέον ἐννοίαις ἐπισπώμενος ἢ ταῖς ἀληράτοις ἐπιβολαῖς τῶν μακαρίων ἀνδρῶν. Ἐθεράπευε [47] τὰ δίκαια καὶ φιλοσοφίᾳ πρέποντα, ἀλλ' οὐ τὸν θῶπα τρόπον καὶ βάναυσον. Διὰ τὴν στάσιν ὁ

VARIÆ LECTIONES.

[30] νέους] νεωτέρους ἐκμιμησάμενος Suidas v. Πῖνος, νεωτέρους ἐκμιμούμενος idem v. Σαλούστιος οὗτος. [31] τόνον A : πόνον ζ præstat Suidæ πῖνον. [31] λόγῳ B. [32] ὕπαρ ἐφάνη A : ὑπερεφάνη ζ. [33] διεσκόπουν ζ. [34] τὸν ἄνθρωπον A. [35] πρὸς] εἰς A. [36] ἱκανουμένω ζ. [37] φιλοσοφίας περιβαλών ζ. [38] οὐδ' A : ὁ δ' ζ. [39] παρακληθεὶς A. [40] cf. Suidas v. Ἱλάριος Ἀντιοχεύς. [41] ἐγένετο A. [42] τοῦ om. B. [43] ὁμακοΐου ζ. [44] ἐχθίστων om. B. [45] Μαριανὸς A. [46] ἑνάδων] ἐν ᾳδου B et corr. A. [47] ἐθεράπευε] cf. Suidas v. Θῶπες.

Μαρῖνος ἐξ Ἀθηνῶν εἰς Ἐπίδαυρον ἀνεχώρησε, τὰς ἄχρι τοῦ σώματος ἐκβαινούσας ἐπιβουλὰς ὑφορώμενος. Ὁ δὲ Μαρῖνος, καὶ αὐτὸς ὁ Πρόκλος, οὐ τῇ ἑτέρᾳ μόνον, ἀλλ' ἀμφοῖν τοῖν [48] χεροῖν τοῦ Ἰσιδώρου περιείχοντο. Ὁ δὲ Πρόκλος ὁρῶν αὐτοῦ τὴν προθυμίαν ἄτρυτον οὖσαν καὶ τὴν φιλομάθειαν ἀκόρεστον, πηγὰς λόγων εἰς τὴν ἐκείνου ψυχὴν ἀφιεὶς ἱερῶν τε καὶ φιλοσόφων, γαννύμενος αὐτῷ διετέλει πλατεῖαν ὑπέχοντι καὶ ἀριήκοον τὴν τῆς διανοίας ὑποδοχήν. Εἶξε δεδιὼς τὴν ἑκατέρου ἐπιτίμησιν καὶ ἅμα λύπην ἀγανακτοῦσαν. Ἔσεισεν ὑπερφυῆ τινα σεισμὸν καὶ οὐ φύσεως ἔκγονον. Ἦν ἄρα τις Ἀττικὴ γυνή, πολλὰς εἰδυῖα μηχανὰς εἰς [1072 R.] πειθώ, ὡς διέδειξεν [49]. Οὐ μιᾷ [50] χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν, κατὰ τὴν παροιμίαν. Τοιοῦτος ἦν τό τε [51] σῶμα καὶ τὴν ψυχήν, ὥστε καταπληγνύναι [52] τῇ συννοίᾳ τοὺς ἐντυγχάνοντας, ἡνίκα καιρὸς ἦν σεμνότητος καὶ ἐμβριθεστέρων ἠθῶν τε καὶ λόγων· χαρίεις δ' αὖ [53] πρὸς τοὺς χαρίεντας. Ἀντὶ γὰρ φιλοσοφίας καὶ ἀπραγμοσύνης εὐδαίμονος εἰς πολιτείαν ἑαυτὸν καὶ εἰς ἀρχὰς ἐξέωτε φέρων. Φύσει δὲ ὢν φιλόνεικος καὶ ἀήττητος ἐφ' ὅ τι ἂν ὁρμήσειε, καὶ φιλόδοξος ὡς οὐκ οἶδ' εἰ [54] ἕτερος ἐπὶ τιμίοις [55] ἔργοις τε καὶ λόγοις καὶ τὴν ἀρετὴν εἰς τὸ ἔξω προάγουσι τῆς ψυχῆς, προσκρουστικὸς ἀεὶ καὶ ἀμιλλητικὸς πρὸς τοὺς ὑπερέχοντας ἦν. Ἠβούλετο δὲ μόνον ἀξιωθῆναι ὁ δεόμενος τῆς τὸν ἄρχοντα προσκυνούσης ἐντεύξεως. Οἱ δὲ [56] πλεῖστοι ὠρθοῦντο πρὸς τὰ ἀρχαῖα ταῖς ἐλπίσιν. Ὄργανον ὁ Παμπρέπιος ἐπιτήδειον τῆς πρὸς τὸ κάλλιον ἀντιπνεούσης ἀνάγκης ἦν. Κατὰ τὸν ἰκνούμενον χρόνον, ἀντὶ τοῦ κατὰ τὸν ἐπιόντα.

[572 H.] Ὅτι τοὺς κατὰ τῆς ἱερᾶς ἡμῶν καὶ ἀκαταλύτου πίστεως ἐπιλυττήσαντας ὁ Δαμάσκιος ἀριθμούμενος, καὶ ἄκων (ὡς ἔοικε) [57] καὶ ὑπὸ τῆς κατὰ τὴν ἐτάργειαν [58] ἀληθείας βιαζόμενος τάδε ἀναγράφει. Ἐπεχείρησε μὲν γὰρ καὶ [59] Ἰουλιανὸς ὁ βασιλεύς, ἀλλ' ἐτέων οὐκ ἐπέβη πισύρων, ἐπεχείρησε δὲ χρόνοις ὕστερον καὶ Λούκιος, ἀνὴρ ἐν Βυζαντίῳ τὴν στρατηγίδα ἀρχὴν [60] ὑπὸ βασιλεῖ Θεοδοσίῳ κοσμῶν, ὃς πειραθεὶς τὸν βασιλέα ἀνελεῖν εἰσω τῶν βασιλείων παρῆλθε, καὶ τρὶς θελήσας ἐξελκύσαι τοῦ κολεοῦ [61] τὸ ξίφος ἀπετρέπετο καταπεπληγμένος· ἑώρα γὰρ ἐξαίφνης γυναῖκα μεγάλην καὶ βλοσυρὰν περιπτυσομένην κατὰ νώτων [62] τὸν [63] Θεοδόσιον. Μετὰ ταῦτα ὁ μέγας τῆς ἕω στρατηλάτης ἐπεχείρησεν, ἀλλ' ἐπεσχέθη βίαιον εὑράμενος θάνατον· ἀπὸ γὰρ τοῦ ἵππου πεσὼν καὶ τὸ σκέλος κακῶς διατεθεὶς ἐτελεύτησε τὸν βίον. Εἶτα Σεβηριανός, φησίν, ὁ πολίτης ἡμῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις μετὰ καὶ ἄλλων συχνῶν· [64] ἀλλ' ὀλίγου δεῖν θανάτῳ ἐζημιώθη δι' ἀπιστίαν τῶν συνειδότων, ἄλλων τε ἴσως, καὶ Ἑρμενερίχου [65] τοῦ Ἄσπερος [66] παιδὸς ἐξειπόντος τὴν συνωμοσίαν τῷ Ζήνωνι. Ὑρὸς οἷς Μάρσος καὶ Ἴλλους· ὧν ὁ μὲν Μάρσος ἐν αὐτῇ τῇ ἐπαναστάσει νόσῳ τέθνηκεν, ὁ δὲ Ἴλλους συλληφθεὶς ξίφει τὸν βίον κατέστρεψεν. Ἀκοντίζει τὴν

Damascius enumerans eos qui sacram et indissolubilem fidem nostram insane oppugnarunt, etiam ut apparet, invitus et coactus veritatis vi hæc scribit. Conatus est Julianus imperator, sed ultra quatuor annos non progressus est. Cogitavit et idem postea Lucius dux militiæ Byzantii sub Theodosio, qui conatus imperatorem interficere, in palatium venit et ter tentans gladium educere, perterritus decessit. Viditenim repente mulierem inusitatæ magnitudinis et terribilem, a tergo Theodosium amplexantem. Post hæc magnus orientis ductor Zeno id conatus est, sed violenta morte præpeditus fuit. Nam **352***a* cadens ex equo crus confringens exspiravit. Deinde Severianus noster civis nostro tempore, cum aliis nonnullis compluribus, parum abfuit quin multaretur morte propter consciorum perfidiam, et aliorum fortasse, et Armorichi filii Asperis, qui conjurationem Zenoni detexit. Præter hos et Marsus et Illus, quorum Marsus, in ipsa rebellione, morbo exstinctus est. Caput in hostium exercitum jaculatur, superne e rupe præcipitatur. Ammonius amans turpis lucri, et omnia ad quamcunque utilitatem referens, paciscitur cum eo, qui tunc inspecturus venerat, quænam esset prævalitura opinio. Supellectilia erant omnis generis librorum, cum liberis ope-

VARIÆ LECTIONES.

[48] ταῖν B. [49] διεδίδαξεν ς. [50] οὐ μιᾷ] Suidam v. Θεαγένης confert Leichius p. XXI. [51] τό τε add A. [52] καταπηγνύναι B, καταπηγύναι A, καταπλαγῆναι ς. [53] αὖ A : ἦν ς. [54] εἰ add. Leichius. [55] ἐπ τιμίοις] ἐπιτίμοις A : ἐπιτιμίοις ς. [56] οἱ δὲ — ἐλπίσιν om. B. [57] ὡς ἔοικε om. A. [58] ἐνέργειαν ς. [59] καὶ om. A. οὐκ a correctore habent AB. [60] ἄρχειν ς. [61] κουλεοῦ ς. [62] νώτου ς. [63] τὸν om. A. [64] ἄλλων τινῶν συχνῶν ς. [65] Ἑρμινερίχου A, Ἁρμενερίχον C : Ἀρμερίχου ς. [66] Ἄσπαρος B.

ram dabat gratia reipublicæ. Verbis primum, inquit auctor, specimen edidi, rethoricæ pallium induens : quare erat pallium etiam oratorium, ut philosophicum. Natura homines otiosæ vitæ virtutem tribuunt, cum meo quidem judicio sic se non habeat. Virtus enim in media republica in civilibus officiis et sermonibus versans, animum ad fortitudinem exercet, et experientia magis confirmatur quid sanum sit et integrum : quidque fictum et adulterinum latitet in hominum vita. Hoc omne reprehenditur, et citius emendatur : boni vero et utilitatis quantum est in rebus publicis, quantum et confidentiæ et fortitudinis. Quare orationes privatim habentes, et multa optime et graviter de justitia et temperantia philosophantes, ad res coacti descendere, valde inepte se gerunt. Proclum Athenas ire adhuc in corpore exsistentem.

A κεφαλὴν εἰς τὸ τῶν πολεμίων στρατόπεδον, ἄνωθεν ἀπὸ τῆς πέτρας ἀποδισκεύσας. Ὁ δὲ Ἀμμώνιος αἰσχροκερδὴς ὢν καὶ πάντα ὁρῶν εἰς χρηματισμὸν ὀντιναοῦν, ὁμολογίας τίθεται πρὸς τὸν ἐπισκοποῦντα τὸ [67] τηνικαῦτα τὴν κρατοῦσαν δόξαν. Γρυμαία ἔκειτο παντοδαπῶν βιβλίων. Ὅταν ἀφροδισιάζῃ ἐπὶ παιδοποιίᾳ πολιτικῇ. Λόγους [68], φησὶν ὁ συγγραφεύς, ἐπεδεικνύμην πρότερον, τὸν ἐπὶ ῥητορικῇ τρίβωνα περιθέμενος, ὥστε ἦν καὶ τρίβων ῥητορικὸς, ὡς καὶ φιλόσοφος. Πεφύκασι δὲ [69] ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, οὐχ οὕτως ἔχον κατά γε τὴν ἐμὴν κρίσιν [70]. Ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε καὶ λόγων ἀναστρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐρρωμενέστερον, καὶ βεβαιοῦται μᾶλλον ἐπὶ [71] τῆς πείρας, B ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον· ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαστον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τοῦτο πᾶν διελέγχεται καὶ ἑτοιμότερον [72] καθίσταται πρὸς διόρθωσιν. Τὸ δὲ ἀγαθοεργόν τε καὶ ὠφελητικὸν ὅσον ἐστὶν ἐν τοῖς πολιτεύμασιν! τὸ δὲ θαῤῥαλέον καὶ βέβαιον [73] ἠλίκον! τοιγαροῦν οἱ ἐν γωνίᾳ καθήμενοι λόγοι [74], [1073 R.] καὶ πολλὰ φιλοσοφοῦντες εὖ μάλα σεμνῶς περὶ δικαίου καὶ σωφροσύνης, ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι δεινὰ ἀσχημονοῦσιν. Εἰς Ἀθήνα καὶ Πρόκλον ἀπαίοε' ἔτι διακρατούμενον ἐν τῷ σώματι.

Agapius gravis simul et facilis, antiquam linguam supra vulgarem imitatus, omnes in se Byzantinos convertit. Admirationi fuit Alexandriæ disertis hominibus : omnibus enim artibus instructus erat. Volebat **352** *b* grammaticos et rhetores examinare et judicare, et, ut paucis dicam, in sapientia quadrangulus esse videbatur, et etiam erat. Magnum honorem Gesius consecutus est, non solum quod arte medica valeret, et docendo et operando : sed etiam ob omnem aliam eruditionem, dialecticis sese instruens. Isidoro Domnam uxorem ducente, natus est filius, quem Proclum nominavit. Domna quinto post partum die mortua, maritum philosophum mala fera, amaroque conjugio liberavit. Æsculapius Beryti non est Græcus, neque Ægyptius, sed alius Phœnix indigena. Nam Saducо nati sunt filii, quos Dioscuros et Cabiros interpretantur. Octavus natus est Esmunus, quem Æsculapium interpretantur. Hic visu pulcherrimus, et juvenis, qui visus admirationem excitaret, quem, ut ait fabula, Astronoe dea Phœnissa mater deum adamavit. Solitusque in saltibus venari, ut vidit deam sibi insidiantem, et se dum fugeret insequentem, et jamjam comprehensuram, pudenda securi sibi amputat. Ipsa hoc casu dolens, et Pæana vocans juvenem, recreatum vitali calore in deos retulit, a Phœnicibus Esmunum vocatum ob calorem vitæ. Alii dignantur Esmunum octavum interpretari. Octavus filius Saducо erat, qui in densis tenebris magnam lucem accendit. Hanc juvenis orationem exceperunt et valde admirati sunt Mariniani.

Σεμνὸς ὢν ἅμα καὶ εὐόμιλος ὁ Ἀγάπιος [75], τήν τε ἀρχαίαν γλῶτταν ὑπὲρ [573 H.] τὸν ἰδιώτην μελετήσας, ἐπέστρεψεν εἰς ἑαυτὸν τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους, θαῦμα δὲ ἑαυτοῦ παρέσχετο καὶ ἐν Ἀλεξανδρείᾳ τοῖς λογιμωτέροις· ὥρμητο γὰρ ἀπὸ πάσης τῆς παιδείας, ζητητικός τε καὶ κριτικὸς ἠβούλετο εἶναι γραμματικῶν τε καὶ ῥητορικῶν, καὶ συλλήβδην εἰπεῖν, ἐδόκει τετράγωνος εἶναι καὶ ἦν τὴν σοφίαν. C Καὶ εἰς κλέος ὁ Γέσιος μέγα ἀνέβη, οὐ μόνον ἰατρικῆς εἵνεκα [76] παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης πάσης [77] παιδείας. Διαλεκτικαῖς συνουσίαις ἀρδόμενος τὴν ψυχήν. Ὅτι ἀγαγομένῳ [78] Ἰσιδώρῳ Δόμναν γυναῖκα τίκτεται αὐτῷ παῖς ἐξ αὐτῆς Πρόκλον [79] τὸ παιδίον ἐπωνόμασε [80]. Καὶ ἡ Δόμνα ἐπί γε τῷ [81] τόκῳ πέμπτῃ [82] ὕστερον ἡμέρᾳ ἀποθνήσκει, κακοῦ θηρίου καὶ πικροῦ συνοικεσίου ἐλευθερώσασα τὸν φιλόσοφον ἑαυτῆς. Ὅτι ὁ ἐν Βηρυτῷ, φησὶν, Ἀσκληπιὸς οὐκ ἔστιν Ἕλλην οὐδὲ Αἰγύπτιος, ἀλλά τις ἐπιχώριος Φοῖνιξ. Σαδύκῳ γὰρ ἐγένοντο παῖδες, οὓς Διοσκούρους [83] ἑρμηνεύουσι καὶ Καβείρους. Ὄγδοος δὲ ἐγένετο ἐπὶ τούτοις ὁ Ἔσμουνος, ὃν Ἀσκληπιὸν ἑρμηνεύουσιν. Οὗτος κάλλιστος ὢν θέαν καὶ νεανίας ἰδεῖν ἀξιάγαστος, ἐρώμενος γέγονεν, ὡς φησιν ὁ μῦθος. Ἀστρονόης θεοῦ Φοινίσσης, μητρὸς θεῶν. Εἰωθώς τε κυνηγετεῖν ἐν ταῖσδε ταῖς νάπαις, ἐπειδὴ ἐθεάσατο τὴν θεὸν αὐτὸν ἐκκυνηγετοῦσαν καὶ φεύγοντα ἐπιδιώκουσαν καὶ ἤδη καταλήψομένην, ἀποτέμνει πελέκει τὴν αὐτὸς αὑτοῦ [84] παιδοσπόρον φύσιν. Ἡ δὲ τῷ πάθει περιαλήσασα, καὶ Παιᾶνα καλέσασα [85], τὸν νεανίσκον [86] τῇ τε ζωο-

VARIÆ LECTIONES.

[67] τὸ om. A. [68] λόγοις ς. [69] δὲ] οἱ Suidas v. Μισοπράγμων, γὰρ οἱ v. Οὐλπιανός ἀδελφός. [70] κρίσιν om. Suidas l. prodius l. [71] ἐπὶ] ἀπὸ idem l. priore. [72] ἑτοιμότατον id. ib. [73] βέβαιον] ἰσχυρὸν A. [74] λόγιοι Suidas. [75] Ἀγάπιος cf. Suidas h. v. [76] εἵνεκα A : ἕνεκα ς cum Suida v. Γέσιος. [77] ἁπάσης Suidas. [78] ἀναγαγομένῳ A. [79] Ηρόκλος B. [80] ἐπωνόμασε] ἐπονομασθέν A. [81] τῷ add. A. [82] πέμπτην — ἡμέραν AB. [83] Διοσκόρους] cf. Müller Orchomen. p. 451. [74] ἑαυτοῦ A. [85] καὶ Παιᾶνα καλέσασα om. A. Scaliger καὶ πόαις ἀναπαλέσασα. [86] τὸν νεανίσκον post ἀναζωπυρὴ σασα ponit B.

γόνῳ θέρμῃ ἀναζωπυρήσασα θεὸν ἐποίησεν, Ἔσμουνον ὑπὸ Φοινίκων ὠνομασμένον ἐπὶ τῇ θέρμῃ τῆς ζωῆς. Οἱ δὲ τὸν Ἔσμουνον ὄγδοον ἀξιοῦσιν ἑρμηνεύειν ὅτι ὄγδοος ἦν τῷ Σαδύκῳ παῖς. Ἐν σκότῳ διωλυγίῳ πολὺ φῶς ἀνάψας. Τοῦτον ἀπεδέξαντο τοῦ νεανίσκου τὸν λόγον καὶ ἠγάσθησαν οἱ ἀμφὶ τὸν Μαρῖνον, πῶς οἷός σφόδρα [87]; Οὔπω ἐξερρώγει τὰ δύσκολα τῆς ὑποθέσεως. Ἐμὲ δὲ ἐπεσπάσατο ἡ ῥύμη τοῦ λόγου πρὸς τὰ μετὰ ταῦτα ἐκβεβηκότα [88] ποιήσασθαι τὴν ἐκβολήν, ἐπακολουθήσαντα παριόντι τῷ βίῳ τῶν διαδόχων, οὓς εἵλετο Πρόκλος. Ὁ δὲ καὶ παράδοξον ἀκοῦσαι, μετὰ σεμνότητος εὐγενοῦς καὶ βεβαίας ἐφαίνετο τοῖς παροῦσι χαρίεις, τὰ μὲν πολλὰ σπουδάζων εἰς τὸ κοινὸν τοῖς ἀκούουσιν ὄφελος, ἐνιεὶς δὲ ἐνίοτε τῷ παίζοντι τὴν σπουδήν, καὶ σκώπτων εὐφυῶς τοὺς ἁμαρτάνοντας, ὥστε ἐπικαλύπτειν τῷ λεγοίῳ τὸν ἔλεγχον. Εἰς ὕψος καὶ μῆκος οἷον θαυμάσιον. Ὥστε τὰ ἀρχαῖα καὶ πρὸς τὸ μυθῶδες ἐκνενικηκότα μηκέτι ἄπιστα εἶναι. Καὶ ἤτει παρ' ἐμοὶ ὑποδοχὴν λανθάνουσαν.

A Nondum tamen difficultate argumenti rupta, me orationis vis attraxit, ut ad sequentia me ab illa revocarem, et instante vita, eos successores imitarer, quos Proclus elegerat. Quodque novum auditu, cum generosa solidaque gravitate videbatur præsentibus gratus. Plurima conatus ad communem auditoribus utilitatem, interdum vero jocando de illa gravitate remittens, et peccantes ingeniose carpens, ut risu increpationem tegeret. **353***a* Altitudine et longitudine egregius, ut antiqua et fabulosa jam vera sint, et a me petebat occultam admissionem.

[574 II.] Ὁ δὲ Θεοσέβιος τὸν τῆς σωφροσύνης δακτύλιον, ὃν ὁ Χαλδαῖος [89] εἰσιὼν παραδίδωσι, τοῦτον οὗτος κατασκευασάμενος, προσελθὼν τῇ γυναικὶ ἔφη· Πάλαι μέν σοι ἐπιδέδωκα δακτύλιον ἁρμοστὴν παιδουργοῦ συμβιώσεως· τὰ νῦν δὲ τοῦτον ἐπιδίδωμί σοι σωφρονιστήν, ἐπίκουρον [90] παρεσόμενον [1076 R.] τῆς σώφρονος οἰκουρίας. Ἡ δὲ ἁσμένως ἐδέξατο, καὶ συνέζησε τῷ ἀνδρὶ τὸν λοιπὸν χρόνον ἄνευ σωματικῆς κοινωνίας. Τῷ δὲ φυλακτηρίῳ τούτῳ τὸ δραστήριον οὐκ ἐπὶ τῇ [91] γαμετῇ μόνον, ἀλλὰ καὶ ἐφ' ἑαυτοῦ πάλαι εἰώθει μαρτυρεῖν· καὶ γὰρ ὅτε νεώτερος ἦν, ὡμολόγει καὶ αὐτὸς ἀγωνιεῖσθαι [92] τὸν παιδείας ἀγῶνα πρὸς τοὺς γενεσιουργοὺς πολεμίους, τούς τε ἔξωθεν ἐπιτιθεμένους καὶ τοὺς ἔνδον [93] προδιδόντας. Καταδοὺς δὲ τῶν αἰσθήσεων πασῶν, μᾶλλον τῶν ἄλλων τῆς ἁπτικῆς κατεβόα· εἶναι γὰρ αὐτὴν τῷ ὄντι χθονίαν καὶ γενέσεως ἀέναον [94] ὀχετόν.

B Theosebius castitatis annulum, quem accedens vilis quispiam dedit, adornans uxori dedit, dicens: *Olim tibi annulum dedi conjunctionis filiorum procreandorum, nunc tibi do temperantiæ, qui tibi ad castam domus custodiam adjumento futurus est.* Illa vero libenter accepit, et reliquo tempore cum viro caste vixit. Hoc munimento non in uxore solum, sed etiam in se magnitudinem animi testari solebat. Etenim juvenis cum esset, testatus est etiam ipse, eruditionis certamen subiisse se cum hostibus, qui generationem procurarent, tam extrinsecus imminentes, quam intus proditionem molientes; reclamans autem omnibus sensibus, maxime tactui reclamabat. Hunc enim esse revera terrestrem, rebellem, trahentem animam ad perennem fontem generationis.

C ἀντίτυπον καὶ κατασπῶσαν τὴν ψυχὴν εἰς τὸν τῆς

ΣΜΓ'.

Ἐκ τοῦ Ἱμερίου τοῦ σοφιστοῦ διάφοροι μελέται.

Ἀνεγνώσθη ἐκ τῶν Ἱμερίου τοῦ σοφιστοῦ [95] διάφοροι Μελέται. Τοὺς ὡραιοτέρους δὲ τῶν αὐτοῦ λόγων ἡ ἐκλογὴ δρεπομένη τὴν τούτων ἔκδοσιν ἀποθησαυρίζει [96].

Ἐκ τοῦ ὑπὲρ Δημοσθένους Ὑπερίδου, ἐκ τῆς θεωρίας.

Ὕποπτος μὲν καὶ σφαλερὰ παντὶ δήμῳ τοιαύτη συμβουλή, καὶ οὐ μικρὰ λυποῦσα πρὸς πειθὼ τὸν ἀκούοντα. Ἀμφότεροι γὰρ δημοτικοὶ καὶ πρὸς τὸ βέλτιον ὑπειλημμένοι τυγχάνουσιν. Οὐδὲ τοῖς γυμνοῖς χρῆσθαι τῶν ὀνομάτων, ἀλλὰ τοῖς δι' ἐμφάσεως τὸ βούλημα σημαίνουσιν.

CCXLIII.

Himerii Sophistæ Declamationes.

Legi quasdam *Declamationes* Himerii Sophistæ. Elegantiorum vero ejus sermonum collectio exarata istorum editionem recondit.

Ex oratione Hyperidis pro Demosthene. Ex Theoria.

Suspecta et periculosa omnibus hæc deliberatio est, magnamque habet difficultatem, antequam auditori persuadeat. Ad populum hæ duæ habitæ, et quam optime elaboratæ: siquidem non simplicibus D et nudis nominibus utuntur, sed iis, quæ emphasi quadam consilium clarius exhibent.

Ἐκ τῆς μελέτης αὐτὸ τὸ προοίμιον.

Ὤρετο μὲν, ὦ Ἀθηναῖοι, Φίλιππος δι' ἑνὸς τούτου κηρύγματος οὐ Δημοσθένην [97] μόνον, ἀλλὰ καὶ πάντων ὑμῶν ἀφαιρήσεσθαι [98] τοὺς δημαγωγούς, ὅσοι μετ' ἐκείνου δόντες ἑαυτοὺς τῇ πολιτείᾳ, Φιλίππῳ μὲν ἄβατον τὴν Ἀττικὴν, τῇ πόλει δὲ ἀκέραιον μέ-

Hujus Declamationis hoc proœmium.

Philippus, Athenienses, non Demosthenem solum hoc uno edicto, sed et reliquos vestros oratores, qui cum illo se totos reipublicæ **353***b* dederant, existimavit se ablaturum. Hactenus quidem Philippum Attica prohibuimus, urbique ad hæc usque tempora

VARIÆ LECTIONES.

[87] καὶ προσηγάσθησαν πῶς οἷει σφόδρα τὸν Πρόκλον Suidas v. Προσηγάσθησαν. [88] ἐκβεβηκότα C: ἐμβεβηκότα ζ. [89] χυδαῖος ζ. [90] ἐπίκουρόν σοι παρεσ. ζ. [91] τῇ add. A. [92] ἀγωνιεῖσθαι]. imo ἀγωνίζεσθαι. [93] ἔνδοθεν B. [94] ἀέννaον ζ. [95] σοφιστοῦ. [96] ἀποθησαυρίζει AB et mg. C: σοφιστοῦ μελετῶν ζ. [97] Δημοσθένη ζ. [98] ἀφαιρεθήσεσθαι A.

libertatem integram conservavimus. Nunc enim sponte calamitatibus premi velle videbimur, nec Philippi imperium detrectare, qui ad barbaros primum conversus, et totam illic regionem depopulans, deinde ad vicina urbi nostræ, totique Græciæ loca undecunque nos infestans descendit, venatores hac in re callidos imitatus, qui eo tempore tantum feris parcunt, quo se ad venandum magis comparant. Nihil tamen nobis ut victis eripuit, nec Peloponnesus perfossa, neque ruina Phocensium, neque Eubœa cum Medorum tropæis tyrannide oppressa, nec Arcadia in servitutem redacta, nec Elea fortuna, nec nostrum imperium coegit immutare. Quin et tentatam Chersonesum cognoscimus, et Hellespontum inimicum habebimus. Quænam, obsecro, pestis, aut terræmotus tot civitates exinanivit, tot nationes evertit, ac perdidit, quot ipse Philippus, ejusque tempora? Probe enim scivit fore, si quis Demostheni auscultaverit, nihil se unquam hoc impediente consequi, nec eorum, quæ habet, quidquam occupare posse. Nec dona solum dat ad urbes corrumpendas, proditorum consiliis excitatus, neque solum præmia pro patria nostra proponit, neque modo in populum improbos inducit; sed in oratores ac rhetores dolos machinatus est, quam rem omnes festi loco, ac veluti panegyrin duxerunt, tum ille non verbis, sed more suo tacite cœpit nocere. Imponebat etenim mari terram (31), superque medios montes navigabat, terræque vice mari, marisque loco terra utebatur, et urbs in triremes pro Attica demigrans, omnia quæcunque in palatiis solent, super aquam exhibuit. Non Macedones finibus insistunt suis, prius scilicet clementer exactis tributis a nobis conservati, sed exacta civitate nostra ex imperio, irrepserunt in eum locum, quem nobis majores nostri reliquerunt. Quænam Philippum lex ad mare duxit, et illud elementum contingere coegit, cui non multum dissimilis est? Quando quidem enim lex, et rerum occasio idem postulant, utilitate incitatus utrique morem geram, quando aliud usus seu occasio, aliud leges suadent. **354***a* Omittens legis verba, utilitatem sequor. Et quis vestrum ignorat, quomodo illi olim nostris legislatoribus valere jussis, et Solone, Dracone, aliisque omnibus neglectis, Macedonum Philippique amicitiam, legis loco, et patriæ, reique pretiosæ duxerint? Infamia notatum a Deo [pro in columna triumphantem] ob ea quæ ausus fuit. Suspectum habeo Æschinem. Turbat enim me comœdia Phocensis, quam nobis non in scena adumbrate, sed reipsa egregius ille histrio, tertias partes sortitus exhibuit. Verumtamen cum hæc ita

A χρι νῦν τὴν ἐλευθερίαν [99] διετηρήσαμεν. Δόξομεν γὰρ ἑκόντες ἤδη καὶ οὐκ ἄκοντες δυστυχεῖν τε καὶ ὑποβεβλῆσθαι Φιλίππῳ. Ὁ δὲ ἐπὶ τοὺς βαρβάρους ἐτράπετο πρότερον, καὶ τὴν ἐκεῖ κενώσας ἤπειρον ἐπὶ τὰ καίρια μέρη λοιπὸν τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἐφέρετο, πανταχόθεν ἡμᾶς περιστοιχιζόμενος κατὰ τοὺς δεινοὺς τῶν θηρατῶν, οἳ τοσοῦτον φείδονται τῶν θηρίων χρόνον, ὅσον ἔτι παρασκευάζονται. Ἐκίνησε δὲ ἡμᾶς οὐδὲν οὐδὲ ἀντιλαβέσθαι τῶν πραγμάτων ἠνάγκασεν, οὐ διορυττομένη [1] Πελοπόννησος, οὐ τὸ πτῶμα τὸ Φωκικόν, οὐκ Εὔβοια μετὰ τῶν τροπαίων τῶν Μηδικῶν τυραννουμένη, οὐκ Ἀρκαδία δουλεύουσα, οὐ τὰ Ἠλεῖα [2] ἀτυχήματα· ἀλλὰ καὶ Χερρόνησον πειραζομένην ἐπείδομεν, καὶ
B τὸν Ἑλλήσποντον ἀλλοτριούμενον ὁρῶντες ἐμέλλομεν. Τίς γὰρ λοιμὸς ἢ σεισμὸς τοσαύτας πόλεις ἐκένωσεν ἢ τοσαῦτα γένη ἀνθρώπων ἠφάνισε καὶ κατέδυσεν, ὅσα Φιλίππος καὶ ὁ Φιλίππου χρόνος; Οἶδε γὰρ ἀκριβῶς, ὧν τε μηδέπω [575 H.] τυγχάνει, διὰ τοῦτον ἀποστερούμενος, καὶ ὧν ἔχει μηδὲν ἂν λαβών [3], εἰ συμβουλεύοντι Δημοσθένει τις ἐπείθετο. Οὐδὲ κατὰ τῶν πόλεων μόνον [4] δωροδοκεῖ ταῖς τῶν προδοτῶν ἐπηρμένος γνώμαις ὁ Φίλιππος, οὐδὲ ἆθλα τῶν πατρίδων προτίθησιν, οὐδὲ κατὰ τῶν δήμων ὁπλίζει τοὺς ἀλάστορας· ἀλλ' ἐπὶ τοὺς ῥήτορας, ἐπὶ τοὺς δημαγωγοὺς μετενήνοχε τὸ μηχάνημα. Ἀλλὰ καὶ τοὐναντίον ἑορτὴν εἶναι καὶ πανήγυριν ἐκείνην τὴν πρᾶξιν
C ἅπαντες ἐνομοθέτησαν. Τότε ἐκεῖνος παρανομεῖν οὐκ ἀπὸ ῥημάτων, ἀλλ' ἀπὸ τῆς φύσεως ἤρχετο. Ἐπετίθει γὰρ θαλάττῃ μὲν ἤπειρον, ὀρῶν δὲ μέσων ἐναυτίλλετο, θαλάττῃ μὲν ὅσα γῇ, γῇ δὲ ὅσα θαλάττῃ χρώμενος. Καὶ τὰς τριήρεις ἀντὶ τῆς Ἀττικῆς μετοικήσασα [5], [1077 R.] καὶ πάντα ὅσα ἐν ἀνακτόροις, ἐπὶ τῆς θαλάττης ἡ πόλις ἔπραττεν. Οὐ [6] Μακεδόνες ἐπιπολάζουσι τοῖς πράγμασιν, οἱ πρόσθεν ἀγαπητῶς μετὰ τῶν φόρων σωζόμενοι; Παρωσάμενοι δὲ τῆς ἀρχῆς [7] τὴν ἡμετέραν πόλιν αὐτοὶ παρέδυσαν εἰς τὴν τάξιν
D ἐκείνην, ἐφ' ἧς [8] ἡμᾶς οἱ πρόγονοι κατέλιπον. Τίς νόμος [9] κατήγαγεν ἐπὶ θάλατταν Φίλιππον καὶ στοιχείου μηδὲν αὐτῷ διαφέροντος προσάψασθαι κατηνάγκασεν; Ὅταν μὲν γὰρ τὰ αὐτὰ κελεύωσιν ὅ τε νόμος καὶ ὁ τῶν πραγμάτων καιρὸς, ἀμφοτέροις διὰ τὸ συμφέρον πείθομαι· ὅνταν δὲ [10] ἕτερα μὲν ἡ χρεία, ἕτερα δὲ οἱ νόμοι φράζωσι [11], παρεὶς ἀκούειν τῶν συλλαβῶν ἀκολουθῶ τῇ συμφέροντι. Καὶ τίς οὐκ οἶδεν ὡς ἐκεῖνοι πάλαι τοῖς παρ' ἡμῶν [12] νομοθέταις ἐρρῶσθαι φράσαντες, καὶ πολλὰ χαίρειν [13] Σόλωνι καὶ Δράκοντι καὶ τοῖς ἄλλοις εἰπόντες ἅπασι, τὸ Μακεδονικὸν χρυσίον [14] καὶ τὴν Φιλίππου φιλίαν νόμους καὶ πατρίδα καὶ πολιτείαν [15] καὶ πάντα τὰ τιμιώτατα νομίζουσι; Στηλίτην παρὰ τῷ Θεῷ γινόμενον ἀντὶ τοῦ ἐν στήλῃ θριαμβευόμενον

VARIÆ LECTIONES.

[99] τὴν ἐλευθερίαν ante ἀκέραιον ponit ς. [1] διορυσσομένη B. [2] ἠλεῖα A : εἰλῆ ς. [3] ἀνλαβὼν] ἀναλαβὼν A. [4] μόνων A. [5] μετοικήσασα Wernsdorfius : libri μετοικίσασα. [6] οὐ] οἱ B. [7] ἀρχῆς] τύχης A. [8] ἧς A : ἣν ς. [9] νόμος Λ : νόμων ς. [10] δὲ ante ἕτερα add. A. [11] φράζουσι ς. [12] ἡμῖν B. [13] πολλὰ μὲν χαιρ. ς. [14] χρυσίον add. A. [15] καὶ πολιτείαν add. A.

NOTÆ.

(31) Fort. de Xerxe.

ὢν ἐτόλμησεν. Ὑφορῶμαι Αἰσχίνην· ταράττει γὰρ με τὸ δρᾶμα τὸ Φωκικόν, ὅπερ οὐκ ἐπὶ σκηνῆς ἡμῖν, ἀλλ' ἐπὶ τῆς ἀληθείας αὐτῆς ὁ θαυμαστὸς [16] οὗτος τριταγωνιστὴς ἐπεδείξατο. Ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, εἰρωνεύονται τὸν ἄνθρωπον, καὶ τὸν Πεισίστρατον πολλάκις παραφέρουσι, καὶ οὐκ αἰσχύνονται νῦν μὲν εἰς δειλίαν καὶ μαλακίαν σκώπτοντες, νῦν δὲ μὴ τυραννήσῃ τῆς πόλεως δεδιότες· ἐκ τοῦ Πειραιῶς ἐπὶ τοὺς τυράννους ἀναγόμενος. Φθείρουσι μὲν τὰ περὶ αὐτὴν τὴν πόλιν, Φιλίππῳ δὲ ὁδοποιοῦσι τὰ πράγματα.

A se habent, hominem risu excipiunt, et Pisistratum sæpenumero appellant, neque erubescunt, ut ignavum et mollem scommatibus petere, nunc etiam metuentes ne tandem etiam urbem tyrannide opprimat, quæ maxime a se mutuo differunt. Qui integris classibus ad reges e Piræo delatus est. Hæc corrumpunt rempublicam, Philippo vero viam sternunt.

Ἐκ τῆς μελέτης ἣ [17] Δημοσθένην εἰσάγει συμβουλεύοντα κατάγειν [18] Αἰσχίνην, φήμης ῥυείσης ὅτι Ἀλέξανδρος τοὺς φυγάδας κατάξει.

Ὄντος γὰρ ἑκατέρου δεινοῦ, καὶ τοῦ λύειν ψῆφον ἐκόντας καὶ τοῦ ταῦτα ὑπομεῖναι παρὰ γνώμην ἐξ ἐπιτάγματος, ἧττον ἐκόντας κακὸν τοῦ λύειν ἄκοντας ὑπείληφα. Τὸ μὲν γὰρ ἐνδέχεταί ποτε καὶ φιλανθρωπίας δόξαν [576 H] λαβεῖν· οἱ δὲ ἑτέροις ὑπακούοντες τὴν μὲν αἰσχύνην ἑαυτῶν ποιοῦσι, τῶν δὲ προσταξάντων τὴν εὔκλειαν.

Κοινολογεῖται καὶ μετὰ βῆμα βασιλεῦσιν Αἰσχίνης, καὶ μετὰ Κτησιφῶντα καὶ τὴν φυγὴν τυράννους ἔτι περιεργάζεται. Ἄνθρωπος τὴν οὐσίαν [19] ὅλην ὑπερπηδήσας τοῖς ὅπλοις, καὶ τῇ φύσει [20] φιλονεικῶν λοιπὸν ὅτι πολεμίους μὴ κέκτηται [21]. Δι' οὓς ἦρθη τοσοῦτος [22] Φίλιππος, δι' οὓς ἔπεσε τὰ τῶν Ἑλλήνων φρονήματα· παρ' ὧν σύμμαχοι, τόποι, καιροί, πᾶσα τῶν μεγάλων κατορθωμάτων ἡ πρόφασις. Ἀλλὰ τὸ μὲν Θηβῶν πάθος ὑπερεφώνει [23] τοὺς Ἕλληνας· Ἀλέξανδρος δὲ τὴν πόλιν καὶ μετὰ Θήβας ἠσχύνετο. Καίτοι γε, εἴχέ τι τότε τῇ πόλει καὶ μέμψασθαι· ἡμεῖς γὰρ Θηβαίων πεσόντων τὴν τελετὴν ἀπεκλείσαμεν, ἵνα μὴ τοῖς Θηβαίων θρήνοις ἀντιβοῶμεν τὸν Ἴακχον. Ὥσπερ γὰρ ἀγαθοῦ φανέντος τοῦ κομιζομένου τὴν χάριν μεθέξειν ἡ πόλις τὸ μέρος τῆς δόξης ἤμελλεν, οὕτω τῆς αἰσχύνης, εἰ πονηρὸς [24] ἐξηλέγχετο. Οὔτ' ἂν ἑτέρου γράφοντος καὶ παρανομοῦντος ἐσίγησα, ἀλλὰ προσδραμὼν ἂν [1080 R.] τῷ βήματι, τὸν Σόλωνα κεκραγὼς, τὴν πολιτείαν ἐπιβοώμενος, Οὐ λύσω τοὺς νόμους, ἂν ἔφην, οὐδὲ δέχομαι φυγάδας ἐξ ἐπιτάγματος, οὐδὲ τῷ Φωκέων αὐθέντῃ κελεύοντος ἄλλου [25] σπένδομαι· ἀλλ' ἕως ἂν ἔχω λιμένας, ἕως ἡλικίαν ἀκμάζουσαν, ἕως ἀριθμῶ τὰ τρόπαια, ἕως μία [26] γοῦν ἐκ Πειραιῶς ἔτι τριήρης ἀνάγεται, οὐ προήσομαι τοὺς νόμους, οὐδὲ τῆς πολιτείας ἀφίσταμαι, οὐδὲ ποιῶ τὴν φήμην αὐτῆς τῆς πόλεως πόρθησιν, οὐδ' ὑποπτεύων τὰ παρὰ τῆς τύχης ἀμφίβολα φθάνω τὴν δουλείαν αὐτὸς ἑκουσίως αἱρούμενος. Κατίτω τοίνυν Αἰσχίνης, Δημοσθένους, ἀλλὰ μὴ Ἀλεξάνδρου κελεύοντος· παρανομοῦντος ῥήτορος, ἀλλὰ μὴ βασιλέως προστάττοντος· ὡς φυγὰς ἐλεούμενος, μὴ φοβερὸς ἡμῖν ὡς ἐκ προστάγματος. Ἀθηναίων οἱ λόγοι, καὶ γνωρίζω τὴν πόλιν ἀπὸ τοῦ ῥήματος· ὑμεῖς γάρ ἐστε οἱ πᾶσαν μὲν γῆν, πᾶσαν

Ex oratione in qua Demosthenem inducit de revocando Æschine consultantem, vulgato rumore Alexandrum exsules revocaturum.

Cum utrumque acerbum sit, et edictum sponte solvere, et hæc sustinere præter voluntatem ex mandato, minus malum existimavi sponte solvere, quam invite tolerare. Nam fieri quidem potest, ut hoc aliquando humanitatis gloriam consequatur, qui vero aliis obediunt, sibi ipsis infamiam, imperantibus vero honorem conciliant.

Æschines confert cum regibus sermones pro suggestu, et post exsilium propter Ctesiphontem amplius sollicitat reges. Homo universam Asiam armis peragrans, et ingenio id demum adnitens, ne habeam cum quibus contendam. Per eos tantum elatus est Philippus, per quos Græcorum animi deciderunt: a quibus commilitones, loci opportunitates, omnis fortiter gerendarum rerum occasio data erat. Thebanorum quidem calamitas advocabat Græcos, Alexander vero hanc urbem post Thebas reverebatur, quanquam et tunc aliquid habuerit, quod urbi huic objiceret. Non enim Thebanorum victorum sacra exclusimus, ne ad eorum lamenta Bacchum hymno invocaremus. Quemadmodum **354***b* enim urbs, si vir sincerus compareat, qui gratiam queat referre gloriæ particeps futura est, sic et malo referente gratiam, infamia notatur. Neque alio scribente, et contra leges agente, ego obmutuerim, sed conscensis rostris Solonem invocans, et rempublicam compellans, dixerim: Leges non abrogo, neque exsules recipio ex mandato, ac ne jubente quidem Phocensium percussore, neque fœdus ineo, sed quandiu portus habuero, quandiu robustam ætatem, quandiu tropæa numeravero, quandiu adhuc una e Piræo triremis adducetur, non deseram leges, neque rempublicam relicturus sim, nec patiar hujus civitatis gloriam diripi, nec veritus fortunæ casus, ego ipse mihi manus inferam, antequam servitutem videam. Redeat igitur Demosthene, non Alexandro jubente, Æschines, præter legem agente oratore, non imperante rege, redeat quasi exsul misericordiam consecutus, non tanquam ex præcepto nobis metuendus. Hæ Atheniensium voces e quibus urbem agno-

VARIÆ LECTIONES.

[16] θαυμαστὸς] καλὸς B. [17] ἣ A : ἧς ς. [18] κατάγει B. [19] οὐσίαν A : Ἀσίαν ς. [20] φύσει] φήμῃ B. [21] κέκτημαι C. [22] τοσοῦτος] ἐς τοσοῦτον ὁ B. [23] ὑπερεφόβει Scaliger. [24] εἰ πονηρὸς ς. [25] ἄλλου A: ἀλλ' οὐ ς. malim Ἀλεξάνδρου. [26] γοῦν μία ς.

sco. Vos enim estis, qui pro institutis majorum, et pro libertate, terra marique tropæa fixistis. Tanto exercitu advenit Xerxes, terram et mare permutans, ut petentes glebam et cyathum loco concionis in barathrum conjecerit. At ipsa civitas elementis his fortior permansit. Quoniam licet aliis, ut sic dixerim, singula eorum quæ gesta sunt, eadem natura esse videantur, specie tamen distinguuntur : verbi gratia aliquis proximum percutit; in certamine si vicerit, coronam habebit, extra certamen pœnas dabit.

Deploravimus urbem hanc olim a tyrannis eversam, tamen ultro quam defendere debuimus, eam Medis incendendam tradidimus. Ille cum Philippo, etiam post calamitatem Chæronensem, societatem non iniit. Fuit nobis aliquando illa consuetudo, ut Græciæ præessemus, et pro libertate contra tyrannos depugnaremus. Ortum a Miltiade hæc lex habuit, floruit sub Themistocle, pervenit usque Cimonem, servata est sub Pericle, culta sub Alcibiade, et ego eam servatam voluissem, sed libidine assentationeque proditorum abrogata est. Imperio alios exuimus, **355***a* non contradixisti, a patrio more discessimus : non conquestus es. Non cessit urbs nostra Lacedæmoniorum urbi ad Siciliam. Verum tota insula unam ætatem extra patriam transegit : urbs vero hæc etiam ad Occidentem prudentia inexpugnabilis permansit. Fac, si libet, improbum esse Æschinem, perniciem Phocensium, proditorem Thraciæ, interitum Cersoclepti, et si quibus aliis nominibus injuriose populum tractans, appellatus est. Athenis enim semper una cum fertilitate, contra Græcos, o Athenienses, succrevit et vitium. Multos quidem degeneres sæpenumero urbs conservavit, non eorum factionem probans, sed calamitatem miserata. Nemini unquam contra leges, quandiu prudentiam retinuit, subjecta fuit. Quid igitur non jam denuntio, quin vita prius decedo, quam videam hanc urbem servitute oppressam? Ego idem ipse sane non talem esse rumorem existimo, qualem nonnulli fingunt, primum Alexandri mores considerans, et quisnam ille sit, qui simul et aggreditur et perficit : imo vero rebus, quas aggreditur, famam, et eos qui nuntiant, antevertit. Cum alia multa magnaque opera sua, quæ adulatores confingunt, celeritate potius, quam virtute eos, quos adoritur, antequam adesse diceretur, et visus fuisse audiret, superans, confecerit instar fulminis, et tonitrui, quod sæpe antequam exspectetur, præcedit. Sic Sardes occupavit, sic Cariam evertit, sic Lyciam distraxit, sic Pamphyliam invasit, sic viderunt eum Cilices, sic incubuit Persis, sic Darium perterruit. Et, proh dolor! quam vicina etiam calamitas! Sic et Thebas diripuit. Sic cecidit urbs illa in umbilico

δὲ θάλασσαν τροπαίων ὑπὲρ τῶν νόμων καὶ τῆς ἐλευθερίας πληρώσαντες. Ἐπολέμει Ξέρξης, γῆν μεταποιῶν καὶ θάλατταν [27], ὅτι τοὺς τὴν βῶλον καὶ τὸν κύαθον αἰτήσαντες τὸ βάραθρον ἀντὶ τῆς ἐκκλησίας ἐδέχετο. Ἀλλ' ἡ πολις ἔμεινε τῶν στοιχείων πλέον ἀκίνητος. Ἐπεὶ κάν τοῖς ἄλλοις, ὡς ἔπος εἰπεῖν, τῶν πραττομένων ἕκαστον, κἂν ταὐτὸν εἶναι τῇ φύσει δοκῇ. ἀλλὰ τῇ προφάσει μερίζεται. Οἷον τύπτει τις τὸν πλησίον. Ἂν μὲν ἐν ἄθλοις, ἔχει νικήσας τὸν στέφανον · ἂν δὲ τῆς ἀγωνίας ἐκτὸς, ὑπέχει τὸ τίμημα.

Ἐθρηνοῦμέν ποτε πορθουμένης ὑπὸ τῶν τυράννων τῆς πόλεως · ἀλλ' ἑκόντες αὐτὴν ὑπὲρ ἀνδραγαθίας τῷ πυρὶ τῶν Μήδων ἐδώκαμεν. Ὁ μὴ Φιλίππῳ σπεισάμενος, μηδὲ μετὰ τὴν μεστὴν τῆς πονηρᾶς [28] τύχης Χαιρώνειαν. Ἦν ἡμῖν ποτε πάτριον ἡγεῖσθαι τῆς Ἑλλάδος καὶ τοῖς τυράννοις ὑπὲρ τῆς ἐλευθερίας ἀνταγωνίζεσθαι. [577 H.] Οὗτος ὁ νόμος ἤρξατο μὲν ἀπὸ Μιλτιάδου πρότερον, ἤκμασε δὲ ἐπὶ Θεμιστοκλέους, κατέδη [29] δὲ εἰς Κίμωνα, ἐφυλάχθη δὲ ὑπὸ Περικλέους, ἐθαυμάσθη δὲ ὑπὸ Ἀλκιβιάδου · ἐπ' ἐμοῦ δὲ τῇ γνώμῃ μὲν ἐτηρήθη, τῇ τύχῃ [30] δὲ καὶ τῇ κολακείᾳ τῶν προδιδόντων διέφθαρται. Ἀπέστημεν [31] ἑτέροις τῆς ἡγεμονίας · οὐκ ἀντεῖπες [32] · παρεχωρήσαμεν τοῦ πατρίου σχήματος · οὐκ ἠγανάκτησας. Οὐκ εἶξε μετὰ Σικελίαν Λακεδαιμονίοις ἡ πόλις · ἀλλ' ἡ μὲν νῆσος τὴν ἡλικίαν ὅλην ἐχώρησεν, ἡ πόλις δὲ ἔμεινε τῷ φρονήματι καὶ μετὰ τὴν ἑσπέραν ἀνάλωτος· Ἀλλὰ πονηρὸς Αἰσχίνης. Ἰρόσθες, εἰ βούλει, καὶ Φωκέων ὄλεθρον καὶ προδοσίαν Θράκης καὶ ἀναίρεσιν Κερσοβλέπτου καὶ πάνθ' ὅσα πολλάκις Αἰσχίνης ἀδικῶν τὸν δῆμον ἐγκέκληται· Νόσημα γάρ, ὦ Ἀθηναῖοι, κατὰ τῶν Ἑλλήνων τῇ φορᾷ [33] τῶν Ἀθηναίων συνήκμασε. Πονηροὺς μὲν γὰρ ἡ πόλις ἤδη που [34] πολλάκις ἔσωσεν, οὐκ ἐπαινοῦσα τὴν γνώμην, ἀλλὰ τὴν τύχην οἰκτείρουσα · ὑπήκουσε [35] δὲ οὐδενὶ κατὰ τῶν νόμων [36], ἡνίκα ἐτήρει τὸ φρόνημα. Τί οὖν οὐκ ἤδη προαγγέλλω ; τί δὲ οὐκ ἔξειμι τοῦ βίου, πρὶν ἰδεῖν τὴν πόλιν δουλεύουσαν ; Ἐγὼ γοῦν καὶ αὐτὸς ἡγοῦμαι τὴν φήμην ἔχειν, οὐχ οὕτω [37] δ' ἔχειν ὡς τερατεύονταί τινες, σκοπῶν πρῶτον μέν, ὦ Ἀθηναῖοι, τὸν Ἀλεξάνδρου τρόπον. Τίς δὲ οὗτός ἐστιν ; ὁμοῦ τε ἐγχειρεῖ καὶ πέπρακται, μᾶλλον δὲ φθάνει τοὺς μὲν λογισμοὺς ταῖς πράξεσιν, οἷς δὲ ἐγχειρεῖ, τοὺς διαγγέλλοντας. [1081 R.] Ἐπεὶ καὶ τὰ πολλὰ δὴ ταῦτα καὶ μεγάλα τῶν ἔργων, ἃ λογοποιοῦσιν οἱ κόλακες, τάχει μᾶλλον ἢ ῥώμῃ [38] κρατῶν τούτους [39] οἷς ἐπῆει κατώρθωσε, πρὶν ἀγγελθῆναι παρὼν, πρὶν ἀκουσθῆναι φαινόμενος, κατὰ τοὺς σκηπτοὺς ἢ τὰς βροντὰς, αἳ πολλάκις φθάνουσι τῆς προσδοκίας [40] ἠχήσασθαι. Οὕτω Σάρδεις εἷλεν, οὕτω Καρίαν ἐπόρθησεν, οὕτω Λυκίαν παρέσυρεν, οὕτω Παμφυλίαν ἐπέδραμεν, οὕτως ὤφθη Κίλιξιν, οὕτως ἐπέστη Πέρσαις, οὕτω Δαρεῖον ἐξέπληξεν · οἴμοι τῶν ἐγγὺς

VARIÆ LECTIONES.

[27] θάλασσαν B. [28] πονηρίας — Χαιρωνίαν A. [29] κατέδη — Περικλέους om. A. [30] τύχῃ A : ψυχῇ ς. [31] ἀπέστης B. [32] ἀντεῖπες ὅτι παρεχ. B. [33] φορᾷ] φθορᾷ Reiskius apud Wernsdorfium. [34] που ἤδη ς. [35] ἐπήκουσε B. [36] τὸν νόμον A. [37] οὐχ οὕτω δ' ἔχειν om. A. [38] ῥώμῃ B : τῇ ῥώμῃ ς. [39] τούτους Reiskius : libri τούτοις. [40] τὴν προσδοκίαν A.

κακῶν, οὕτω καὶ Θήβας ἀνήρπασεν. Ἔπεσε πόλις ἐπὶ τῆς Ἑλλάδος μέσης, φθάσαντος τὴν φήμην τοῦ πτώματος. Κἀγὼ μὲν ἠγνόουν τὴν συμφορὰν, τὴν δὲ πόλιν εἶχε τὸ πολυάνδριον. Τοῦτο μὲν δὴ πρῶτον οὐκ ἐᾷ με προσέχειν· δεύτερον δὲ ὅτι οἶδεν Ἀλέξανδρος, κἂν εἴ σφόδρα τις αὐτὸν μεθύειν ὑπὸ τῆς εὐτυχίας ὑπείληφε, καὶ ἐξῆς. Τί οὖν οὐ καθαιρῶ τὰ τρόπαια; τί δὲ [41] οὐκ ἀνατρέπω τὰς στήλας; τί δὲ οὐκ ἐξαλείφω τὰ ἐπιγράμματα; Πάντα γὰρ οἶμαι [42] τὰ τῆς ἀρετῆς ὑπομνήματα, ὥσπερ τοῖς ἀγαθοῖς κόσμος ἐστὶν, οὕτως ἔλεγχος τοῖς καταισχύνουσι.

Καλῶς ἐθαύμαζον τὴν Ποικίλην οἱ Σαλαμῖνι [43] κινδυνεύσαντες. Ἐδαπάνων γὰρ ἐπὶ τῆς θαλάττης [44] τὸ τῆς ἠπείρου λείψανον. Παρνασσὸς [45] δὲ ἐς τὴν θάλασσαν ἐσφενδόνα τὰς κορυφὰς, καὶ τοῖς ἑαυτοῦ μέρεσιν ἀντὶ βελῶν ὑπὲρ τοῦ γένους ὁπλίζεται. Μερίζονται δὲ τὰς μάχας Ἕλληνες, καὶ νέμονται πρὸς ἀλλήλους μετὰ τῶν [46] στοιχείων τὰ κατορθώματα, Λακεδαιμόνιοι [578 H.] τὴν ἤπειρον, ἡμεῖς τὴν θάλατταν. Ἐκεῖνοι τριακοσίοις τὰς Πύλας σώμασιν, ἡμεῖς τοσαύταις τριήρεσι τὰς τῆς Ἑλλάδος παρόδους κλείομεν. Νεανίσκου δὲ Μακεδόνος καθ' ὅλης τῆς ὑφ' ἡλίῳ κωμάζοντος, καὶ λυποῦντος μικροῦ καὶ αὐτὴν τὴν τύχην οἷς ἐνυβρίζει τοῖς εὐτυχήμασιν, οὐκ ἔστιν ὃς διανίσταται. Ὅτε [47] βασιλεῖ τὰς ὑποσχέσεις διακονούμενος [48] οὐ πείσας ἀπῆλθεν, ἀλλὰ κερδάνας ὅτι μὴ πείσας ἐσώζετο. Ὑμᾶς δὲ χειροήθεις ἀεὶ τοῖς τυραννοῦσι [49] παρασκευάζουσιν, ἵνα αὐτοῖς μὲν ὑπάρχῃ πλουτεῖν, τῇ πόλει δὲ τὸ τῶν οἰκείων στέρεσθαι. Ἀναγκαῖος μὲν ὁ φόβος, ὀψὲ δὲ καὶ λίαν βραδέως ἄρτι [50] τὸν τρόπον τὸν Αἰσχίνου [51] φυλάττεσθε [52]. Τὰς τριήρεις ἐμπρήσει τῆς πόλεως οὐκέτι δι' Ἀντιφῶντος οὐδὲ δι' ἀποῤῥήτων, ὡς πρότερον, ἀλλ' αὐτοπροσώπως [53] τὴν ἀδικίαν ὑποκρινόμενος. Ὁ δῆμος ὁ τῶν Ἀθηναίων Αἰσχίνῃ γράφει τὴν κάθοδον, ὁ τὰς ἀπ' Ἰνδῶν φήμας ὡς ὅπλα καὶ μάχας φοβούμενος. Ὤκνουν Ἀριστείδην κατάγειν, καὶ ταῦτα οὐ κακίαν, ἀλλ' ἀρετὴν τῆς φυγῆς ἔχοντα πρόφασιν. Ἵνα γὰρ πεισθῶσι τῷ Σόλωνι, οὐδ' αὐτὸν [54] ἔφευγον ἀδικεῖν δόξαι τὸ [55] δίκαιον. Κεῖται Βαβυλὼν, Δαρεῖος οἴχεται, Ἰνδοὺς ἀνήρηκε, Πέρσαι δουλεύουσι· μόναι λείπουσιν [56] Ἀθῆναι τοῖς κατορθώμασιν, ὧν Πέρσαι τοσαυτάκις ἥσθοντο τῆς ἀρετῆς, ὁσάκις ἔδει μάχεσθαι.

A Græciæ, antequam audiissem, cumque ego adhuc calamitatem ejus ignorarem, sepulcrum suorum facta est. Hoc autem impedit quominus primum prosequar. Secundo vero scivit Alexander, quamvis eum quis admodum rebus secundis ebrium putarit, etc. Cur ergo non tollo tropæa? Cur columnas non everto? cur inscriptiones non expungo? Nam hæc omnia virtutis memoriam existimo continere, ut justis in honorem, deterioribus in opprobrium cedant.

Merito Salaminii Variam **355***b* post pericula porticum admirabantur (32-33). Nam quæ in terra superfuerant reliquæ, eas in mare pro hac consumpserunt. Parnassus contorsit in mari montis vertices, et partibus suis loco telorum pro hac gente pugnavit. Diviserunt Græci inter se pugnas, et distribuerunt cum elementis et officia, Lacedæmonii terra, nos mari pugnaturi, illi trecentis hominibus Thermopylas, nos totidem triremibus omnes Græciæ aditus occlusimus. Nemo vero erat, qui posset resistere adolescenti illi Macedonio, totum qua patet orbem pervadenti, et pene constristanti ipsam fortunam iisdem rebus secundis quibus ille nos infestat. Hic regi promissiones explens, re infecta rediit, sed id commodi accepit, ut servaretur. Semper quidem vos faciles tyrannis præbuistis, ut illi quidem ditescant, civitas vero bonis spolietur. Necessarius quidem metus, tandem sero, lenteque admodum Æschinis consuetudinem retinete: urbis triremes incendet, non per Antiphontem, aut alios occultos, ut prius, sed per se ficta improbitate. Populus Atheniensis licet famam Indorum ut arma et bella metuat, Æschinem revocat. Negligit revocare Aristidem, qui non propter delictum, sed virtutis nomine exsulavit. Si enim Solonis legibus parerent, justum certe non proscriberent (34). Jacet Babylon, cæsus est Darius, Indos evertit, Persas subegit, soli Athenienses virtute sua reliqui sunt, quorum robur toties Persæ experti sunt, quoties pugna contenderunt.

Ἐκ τῆς μελέτης ἧς [57] ἡ ἐπιγραφὴ « Ἐπίκουρος, Πρόνοιαν οὐκ εἶναι λέγων, ἀσεβείας φεύγει γραφήν. »

Ex Declamatione cui titulus est : « Epicurus Providentiam negans, impietatis accusatur. »

Ἐκ τῆς θεωρίας

Οἶδε ῥητορικὴ καὶ φιλοσοφίαν [58] ἑαυτῇς ὕλην ποιήσασθαι· τύραννος γὰρ ἡ τοῦ λέγειν ἄνωθεν δύναμις.

Ex theoria.

Scivit rhetorica sibi philosophiam materiam dicendi parare : sublimior enim dicendi vis, instar tyranni est.

VARIÆ LECTIONES.

[41] δὲ om. A. [42] οἶμαι α] τὰ μετὰ B et corr. A. [43] Σαλαμίνιοι ζ. [44] θαλάσσης B. [45] Παρνασὸς B. [46] τῶν add. A. [47] ὅτε] ὅ, τε C. [48] διακρινούμενος A. [49] τυραννοῦσι] τυγχάνουσι A. [50] ἄρτι A : ἀντὶ ζ. [51] τὸν Αἰσχ.] τοῦ Αἰσχ. B. [52] φυλάττεσθαι ζ. [53] αὐτοπρόσωπος B. [54] malim αὐτὸ. [55] τὸ] τὸν B. [56] λείπ. αἱ Ἀθῆναι ζ. [57] ἧς om. C. [58] φιλοσοφίαν ἑαυτῇς] φιλοσοφίας A.

NOTÆ.

(32-33) Pœcile porticus Athenis. Vide Æmilium Probum. Vide infr., in orat. proxima.

(34) Plutarchus in decem Græciæ oratoribus. Vide Plutar. et Corn. Nepotem seu Probum

Exordium orationis.

Discet nunc aperte Epicurus, si antea ignorabat, doctus, sed convictus, Providentia regi universum. Quod enim mali condemnentur, puniantur, et pœnas luant, **356***a* manifestum est indicium non naturæ temere ac frustra ruentis, sed legis atque instituti, et rationis administrandi, et hoc amplius, ipsius Providentiæ est argumentum. Jam itaque aliquid, Athenienses, commemoratione dignum accidit. Venit in judicium Epicurus vultu subtristi, et suam, quam de voluptate habet, opinionem tetrico vultu corrupit. Duplici de causa odio dignissimus, cum quod aliter doceat privatim, tum quod aliter publice exhibeat. Ibi enim voluptatem quidem jactat, ut jucunditatem ex omnibus rebus colligat : hic vero gravitatem mentitur, ut judices conciliando subripiat. Novum sane judicium, homo propter naturam mundi judicatur, et perversus Sophista, propter providentiam pœnam subit. Perit omnis virtus per doctrinam Epicuri et sermones. Pereunt concilia, et judicia, honestatis præmia, improbitatis supplicium, quin et supra cœlum evadit impietas, nullusque est locus qui impudentiæ et audaciæ Epicuri sit expers. Et hac de causa, antiquis philosophiæ vestigiis insistere erubuit, et eamdem quam priores ire viam neglexit (35). Eorum porro animi angustiam potissimum incusat, qui a nobis propter doctrinas impias puniti sunt, quare omnes adhuc impietate longo intervallo superare parat. Cur non accusetur, qui tale ac tantum nomen ausus est sibi affingere? at ubi hæc profitetur? Ubinam convenit et commiscetur voluptas laboribus, fortitudo deliciis? Academia lupanaribus, philosophia potationibus, temperantium vita cum impudicis adolescentibus? Et quid prædixit, qui ausus est? Bellum et arma universæ naturæ legibus indicit, contra omnem ætatem dementiam effundit, et de impiis sectatoribus eos plurimum colit, qui voluptatem ante alios demirantur.

Prius vero defensionem ejus consideremus : an doctrinæ ejus pœnam exigis? Minime, sed impietatis. Licet enim docere quodlibet, impio esse non licet. Si probare potes non esse eos impios in verbis, verba non damno : at si verbis inest impietas, non propter illa pœnam dabis, sed eo magis puniere, quia ad impietatem confirmandam his verbis usus es. Non enim pœnam in judicio dabit, si quis, etsi liceat uti ad ea quæ oportet, ad rem non convenientem verbis uti velit : **356***b* contra vero, si rem honestam inhonestis verbis inquinarit, ob verba pœnam luet. Vocamus huc in judicium oratores, et

A [1084 R.] Ἐξ αὐτῆς [59] τῆς μελέτης τὸ προοίμιον.

Νῦν μὲν, εἰ καὶ μὴ πρότερον, εἴσεται σαφῶς Ἐπίκουρος ὅτι πρόνοια διοικεῖ τὴν τῶν ὅλων φύσιν, οὐ δογματίζων, ἀλλὰ κρινόμενος· τὸ γὰρ τοὺς πονηροὺς κρίνεσθαι καὶ κολάζεσθαι καὶ διδόναι δίκην οὐκ εἰκῇ φερομένης καὶ μάτην φύσεως, ἀλλὰ θεσμοῦ καὶ νόμου καὶ [60] πολιτείας καὶ (τὸ μέγιστον), αὐτῆς τῆς προνοίας λαμπρὸν ὑπάρχει τεκμήριον. Ἤδη μὲν οὖν προὔργου τι τῆς γραφῆς, ἄνδρες Ἀθηναῖοι, γεγένηται. Στυγνάζων ἦκεν [61] ἐπὶ τὴν κρίσιν Ἐπίκουρος, καὶ τὸ τῆς ἡδονῆς δόγμα τῇ κατηφείᾳ διέφθαρκε. Δι' ἀμφότερα δὲ μισεῖσθαι δίκαιος, καὶ ὧν ἰδίᾳ παιδεύει καὶ ὧν δημοσίᾳ πλάττεται. Ἐκεῖ μὲν γὰρ τὴν ἡδονὴν θρύλει, ἵνα τὴν ὥραν τὴν τῶν χρωμένων καρπώσηται· ἐνταῦθα δὲ τὴν σεμνότητα καθυποκρίνεται, ἵν' ὑφαρπάσῃ τὸ δικαστήριον. Ἡ [62] μὲν κρίσις παράδοξος· ἀνὴρ πρὸς τὴν φύσιν τῶν ὄντων [63] κρίνεται, καὶ πονηρὸς σοφιστὴς πρὸς τὴν πρόνοιαν δικάζεται. Οἴχεται μὲν ἀρετὴ πᾶσα τοῖς Ἐπικούρου λόγοις καὶ δόγμασιν, οἴχεται δὲ δικαστήρια [579 H.] καὶ κρίσεις, καὶ τῶν μὲν ἀγαθῶν αἱ τιμαὶ, τῶν δὲ ἐναντίων τὸ τίμημα. Ἀναβαίνει δὲ καὶ εἰς οὐρανὸν ἄνω τοῖς ἀδικήμασι, καὶ τόπος οὐδεὶς τῆς θρασύτητος Ἐπικούρου καὶ τῶν τολμημάτων ἐξαίρετος. Τὸ δ' αἴτιον, ἠσχύνθη τοῖς ἀρχαίοις ἐμμεῖναι φιλοσοφίας ὅροις Ἐπίκουρος, καὶ τὴν αὐτὴν ὁδὸν ἐλθεῖν τοῖς πρότερον φιλοσοφήσασιν ὤκνησε. Μᾶλλον δὲ μικροψυχίαν καταγνοὺς τῶν ὅσοι παρ' ἡμῖν ἐπὶ πονηροῖς δόγμασι πλημμελοῦντες ἐκολάσθησαν, ἔγνω πάντας ἀθρόως ὑπερβαλέσθαι τοῖς ἀδικήμασιν. Ἢ πῶς οὐκ ἄξιος μέμψεως, τοσαύτης καὶ τηλικαύτης ἐπωνυμίας ἐπιχειρῶν καταψεύδεσθαι; Ποῦ γὰρ ὁμολογεῖται [65] ταῦτα; ποῦ δὲ συμβαίνει καὶ μίγνυται ἡδονὴ πόνοις, καρτερία τρυφῇ; Ἀκαδημία καὶ πόρναι, φιλοσοφία καὶ πότος, σωφρονούντων βίος καὶ ἀκόλαστα μειράκια; Ὁ δὲ τί προήρηται [66] καὶ τί τετόλμηκε; πόλεμον ἀπειλεῖ καὶ μάχην τοῖς νόμοις ὅλης [67] τῆς φύσεως· Ἐμάνη μανίαν καθ' ἡλικίας ἁπάσης Ἐπίκουρος, καὶ δυσσεβεῖς ἔρωτας ἠράσθη πάντων ὅσοι τὴν ὥραν ὑπὲρ τοὺς ἄλλους θαυμάζονται.

Πρότερον δὲ αὐτοῦ τὴν ἀπολογίαν σκεψώμεθα. Δόγματος οὖν ἀπαιτεῖς [68] δίκας; Οὔκ, ἀλλ' ἀσεβείας· δογματίζειν μὲν γὰρ ἐξὸν, ἀσεβεῖν δὲ οὐκ ἐπιτέτραπται. Εἰ μὲν οὖν ἔχεις εἰπεῖν ὡς οὐκ ἀσεβεῖς οἷς εἴρηκας, οὐ κρίνω τοὺς λόγους· εἰ δ' ἀσέβειά τοῖς λόγοις πρόσεστιν, οὐ διὰ τοὺς λόγους κερδανεῖς τὴν δίκην, ἀλλὰ [69] κολασθήσῃ πλέον οἷς ἐπὶ τὸ ἀδικεῖν τοῖς λόγοις κέχρησαι. Οὐ γὰρ εἴ τις, ἐξὸν χρῆσθαι πρὸς ἃ δεῖ, κἂν πρὸς ἃ μὴ δεῖ θέλῃ, δίκην οὐ δώσει κρινόμενος· τοὐναντίον δὲ [70] ὑφέξει λόγον, ὅτι καλὸν πρᾶγμα πονηρᾷ γνώμῃ διάφθειρεν. Καλοῦμεν ἐπὶ τὸ βῆμα τοὺς ῥήτορας· κἂν ὀκνῇ τις, πολλάκις

VARIÆ LECTIONES.

[59] τῆς add. A. [60] καὶ post νόμου om. B. [61] malim ἥκει. [62] τὴν ante τῶν om. B. [63] κρίσις A : φύσις ς. [64] ὅλων A. [65] ὁμολογεῖ A. [66] προῃρηκε ς. [67] ὅλοις A. [68] fortasse legendum ἀπαιτῇ, passive. [69] ἀλλὰ om. A. [70] δὲ add. A.

NOTÆ.

(35) Sic Lucretius et ipse Epicureus : *Avia Pieridum peragro loca, nullius ante Trita solo.*

ἡ κοινὴ φωνὴ τῆς πόλεως ἐπὶ τὸ λέγειν ἐγείρει καὶ τὸν οὐ λέγειν βουλόμενον. Παρέρχεταί τις εἰς τὸ σεμνὸν Ἐπικούρου φροντιστήριον νέος ἢ νέα· εἰς γὰρ ταύτην τὴν ἡλικίαν τὸ λαμπρὸν τοῦτο συνέδριον. Ὑπὲρ τὸν Ἰξίονα τὸ θράσος ἄνθρωπος, ὑπὲρ τὸν Σαλμωνέα τὴν ὕβριν, τὴν τόλμαν ὑπὲρ τὸν Τάνταλον. Ἀλλ' ἐκεῖνα μὲν μῦθοι, καὶ τῇ σκηνῇ μόλις τά γε τοιαῦτα πιστεύομεν· [1085 R.] Ἐπίκουρος δὲ οὐκ ἐν μύθοις, ἀλλ' ἐν δόγμασι καὶ πράξεσι νικῶν ἐκείνους εὑρίσκεται. Κἀκεῖνοι μὲν ἑτέρωθί που ταῦτα τολμῆσαι λέγονται, οἱ μὲν ἐν ὄρεσιν, οἱ δὲ ἐν νάπαις, οἱ δὲ ἐν βαρβάροις τισὶ καὶ ἀπερρίμμένοις χωρίοις· δίδωσι δέ πως [71] συγγνώμην καὶ τόπου φύσις ἐγκλήμασιν· Ἐπίκουρος δὲ Ἀθήνῃσι ταῦτα φιλοσοφεῖ. Ἀθήνῃσι δὲ ὅταν εἴπω, τὸ μέγιστον εἶπον τῆς εὐσεβείας κεφάλαιον. Οὐδὲν ὁ Σωκράτης σοι δοκεῖ πρὸς μίμησιν; Καὶ τί, φησὶ, τῶν ὑπευθύνων ἠσέβησα; Αὐτό μοι λέγεις, Ἐπίκουρε, τὸ μεῖζον ἔγκλημα, ὅτι μὴ δυσσεβεῖς μόνον, ἀλλ' ὅτι [72] καὶ καινά· ὅθεν διχόθεν ὑπεύθυνος [73]. Βωμοὺς οὐκ ἀνέτρεψας, ἀλλὰ μάτην ἑστῶτας ἔδειξας, [580 H.] Πρόνοιαν ἀνελὼν, δι' ἣν βωμοὺς ἱδρυσάμεθα· θυσίαν καινὴν οὐκ ἔθυσας, ἀλλὰ πάσας ἀθρόως [74] ἀνῄρηκας. Μὴ ῥυέσθω [75] τῆς τιμωρίας Ἐπίκουρος, ὅτι μὴ κατὰ τοὺς πρότερον κατὰ θεῶν ἐθρασύνατο. Πάντας μὲν γὰρ ἀσεβῆσαι τρόπους ἑνὶ τῶν κατὰ τὴν πόλιν ἀδύνατον· εἰ δὲ ἕκαστος, ἀνθ' ὧν ἔδρασε προβαλλόμενος ἃ μὴ πεποίηκε, τὴν τιμωρίαν ἐκφεύξεται [76], τίς ὑφέξει τῶν ἀσεβῶν δίκην [77], οὐ πάντας ἀσεβεῖν ἐγχωροῦντος [78] ἑκάστῳ καὶ τοῖς κρινομένοις ἐξὸν ἀντὶ τῶν πεπραγμένων τὰ μὴ πεπραγμένα προτείνεσθαι; οὐ δὴ [79] ταῦτά [80] γε νοῦν ἐχόντων τὰς διαδύσεις προσίεσθαι [81]. Οὐ γὰρ ὑπὲρ ὧν τις οὐκ εὐθύνεται, τὴν ἀπολογίαν προσῆκε ποιεῖσθαι, ἀλλ' ἐφ' οἷς οἵ τε κρίνοντες κατηγοροῦσιν, οἵ τε δικάζοντες κάθηνται. Οἱ δὲ ἀφέντες τὸ δικαιότατον ἐπὶ τὸ ῥᾷστον βαδίζουσι· τὸ μὲν γὰρ δικαιότατον λύειν τὸ ἔγκλημα δι' ὃ κρίνεται, τὸ ῥᾷστον δὲ ἀπολογεῖσθαι περὶ τούτων ἐφ' οἷς οὐ φεύγει τις δίκας. Εἴ περ οὖν ὅτι μή πω δέδωκας δίκην, οὐκ εἶναι νομίζεις πρόνοιαν, ὀρθῶς βεβούλευσαι· εἰ δὲ διὰ τὴν φύσιν τῶν ὅλων, ὁ λόγος μάταιος. Ἀλλὰ πόθεν, πρὸς τῶν ἀτόμων καὶ τοῦ κενοῦ [84] τοῦ πολυθρυλήτου, ταύτην τὴν δόξαν ἐξεύρηκας; ἄτακτός τις ἐνοχλεῖ τὴν τῶν ὅλων φύσιν φορὰ [85] καὶ κίνησις· ἀλλ' ἀρχαῖον τὸ χάος καὶ τῶν σῶν λόγων πρεσβύτερον. Ἀλλ οὐδὲ πείθεται τοῖς ὡρισμένοις νόμοις τῆς φύσεως· καὶ μὴν ἅπαντα καὶ τάξει χωρεῖ, καὶ τῆς Προνοίας ταύτης μέγιστον οἶμαι τεκμήριον τὸ πάντα σώζεσθαι· ἀταξία μὲν γὰρ φθορὰν, τάξις δὲ σωτηρίαν ἐργάζεται.

Τί συλᾷς ἐκ Δελφῶν, ὡς ἐξ οὐρανοῦ, τὴν πρόνοιαν; ἀλλ' ὅμως ἐκινεῖτο μὲν Παρνασὸς καὶ κατὰ Περσῶν ἐκραδαίνετο, κορυφαὶ δὲ [86] ὀρῶν ἀντὶ βελῶν ἐτοξεύοντο, Πέρσαι δὲ ἔπιπτον τάφοις ταῖς πέτραις χρησάμενοι. Ἐπικούρου δὲ ταῦτα λέγειν κατὰ τοῦ [87]

A si quis lentus accesserit, frequenter communi civitatis suffragio vel invitus ab dicendum cogitur. Venit aliquis juvenis vel juvencula (nam ob hanc ætatem præclarus ille conventus ordinatus est) in venerandam Epicuri scholam, audacia superat ille Ixionem, ferocia Salmonem, temeritate Tantalum : sed hæc in fabulis, et per umbram vix credimus. Sed non in fabulis Epicurus, verum in doctrinis actionibusque hos superare convincitur. Quibus in locis hæc illi ausi sunt? Alius in montibus, alter in saltibus, ille in barbaris quibusdam et abjectis regionibus, ut etiam locus veniam peccatis dare videatur. Verum Epicurus hæc docet Athenis. Athenas cum dico, pietatis caput intelligo. Num tibi videtur Socrates, quem imiteris dignus? Et quid dignum, inquit, cur B reus sim commisi? Hoccine mihi ais, Epicure? majus jam crimen est, non impietatis modo, sed quia nunc etiam novum adjungis. Unde jam duplici de causa reus factus es. Aras non evertisti? at eas frustra esse ostendisti, cum Providentiam e rerum natura tollis, ob quam aras exstruximus. Sacrificia nova non introduxisti? at omnia sustulisti. Non absolvatur Epicurus, quia non eadem quæ priores de diis sensit. Fieri enim non potest, ut unus in urbe civis omnibus modis sit impius : si vero unusquisque pro his quæ fecit adducens ea quæ non fecit, supplicium evadet, quis impietatis pœnas dabit? cum nulli sint omnino impii, et liceat reis pro malefactis benefacta proferre. Non sunt a sapientibus hæ frustrationes admittendæ. Non enim C adhibenda defensio est eorum, de quibus quis non accusatur, verum de quibus coram judicibus accusatur, et ob quæ disceptatores sedent. Illi vero, æquissimis omissis, ad facillima dilabuntur. Æquissimum enim est objectum diluere : facillimum ea defendere, de quibus non accusatur. Si igitur quia pœnas nondum dedisti, ideo Providentiam negas, recte judicasti; sin propter naturam universi, **357***a* stulte. Sed unde hanc de atomis et chao adeo trito opinionem invenisti? inordinata quædam volutio, et motus hoc universum turbat, et antiquum chaos est, et tuis verbis antiquius, neque definitis naturæ legibus obtemperat. Porro autem omnia ordine procedunt, quod maximum Providentiæ argumentum D puto, omnia scilicet conservari; nam inordinatio corruptionem, ordo vero conservationem inducit.

Quid adimis Delphis, sicut e cœlo, providentiam? verumtamen movebatur Parnassus, et contra persas jaciebatur : montium vero vertices pro telis torquebantur. Cecidere autem Persæ, in petris sepulti. Verum cum Epicurus hæc in deos dicere audeat,

VARIÆ LECTIONES.

[71] πως A : ποτε ς. [72] καὶ om. A. [73] ante ὑπεύθυνος excidisse opmor verbum εἶ. [74] ἀθρόως add. A. [75] μὴ ῥ. B : μηδὲ ῥ. ς. [76] ante ἐκφεύξ. cum ABC omisi οὐκ. [77] δίκην om. A, πάντα Scaliger. [78] ἐγχωροῦντος ἑκάστῳ ἀσεβεῖν ς. [79] δὴ A : δεῖ ς'. [80] ταύτας Scaliger. [81] προΐεσθαι ς. [82] δι' ὅ A : διότι ς. [83] εἴπερ A : εἰ μὲν ς. [84] καινοῦ ς. [85] ψορέ τε καὶ B. [86] δὲ om. B. [87] τοῦ] τῆς A.

montes non concutiuntur, non Hymettus evibratur? non fulmina, non tonitrua hunc una cum Academia hominum oculis eripiunt. Callidum deorum inventum intelligo, hunc vestris judiciis reservarunt, ut Atheniensis senatus eadem quæ Pythius vates Apollo decernat. Si vel tantummodo scribere ausus fuisset, quantum satis esset ad tollenda Providentiæ signa, puniendus fuisset ut impius. Si autem in eam ipsam Providentiam impius sit, cujus simulacra sunt cœlum, terra, elementorumque naturæ : an parcemus tanquam modicum facinus patrarit? Bene enim est, inquit, improbis ; at quænam tamen major improbitate infelicitas? Male vero est sapientibus. An aliam felicitatem putas virtute meliorem? ita ; non una est cujusque hominis vitæ ratio a natura et voluntate, sed dividuntur quidem hominum intentiones : tribuunt vero unicuique proprium sibi finem. Nullus imperium omnium ambit sapiens, cujus possessores plurimi beatos prædicant, nec, si minus consequatur, damnum putat. Quid ergo spectat, quid intendit, cur laborat, cur noctu vigilat, et interdiu studet? Ut virtutem consequatur. Hanc quomodo obtinebit? et qua ratione divinæ illius prædæ compos fiet? Opibus et divitiis non acquiritur virtus, neque corporis robore. Omnem enim oleagineam coronam excedit. Virtute bellica? Et quænam tropæa chariora quam de vitio statuuntur? Non igitur sapienti pauperi paupertatem objicias : non enim spectat divitias. **357** *b* Neque ægrotanti invaletudinem exprobres, siquidem melior pars illius salva sit, neque improbres, si a civitali imperantibus vincatur, quandoquidem etiam fortioribus superior est. Tantum enim abest ut vir sapiens horum possessionem sectetur, vel se infelicem, si careat, existimet, ut etiam aliqui, maxime eorum qui sapientia et virtute claruerunt, iis se sponte privarint, quo liberi ab omni externo impedimento, immortalis virtutis divitias emerent. Anaxagoras omnia patriæ pascua dimisit, reipsa declarans quænam agricultura sapientibus conveniat (36). Ultro Democritus morbum concivit, ut pars melior sana esset.

Quid ergo Providentiam incusas, tanquam non recte quid sit justum distribuentem? Si enim omnia externa bona despiciunt, quomodo non habentes moleste ferant, vel ut assequantur laborent? Quis enim dives non existimet opes maximo impedimento esse? Divinarum autem et humanarum rerum cognitio, et talis ac tantæ sapientiæ magnitudo, tibine videatur supervacaneum quid mercaturam facienti, et sarcinam sollicite gerenti, et onus ei, qui honores ac magistratus in civitate sectatur?

A θεοῦ τολμήσαντος οὐκ ὄρη σείεται, οὐχ Ὑμηττὸς συγκραδαίνεται, οὐ πρηστῆρες οὐδὲ σκηπτοὶ αὐτὴ τοῦτον Ἀκαδημίᾳ συναφανίζουσι. Συνίημι τὸ στρατήγημα τῶν θεῶν · ὑμετέραις ψήφοις τοῦτον ἐτήρησαν, ἵνα Ἀττικὸν δικαστήριον ἴσα Πυθίῳ βουλεύσηται. Εἰ μὲν οὖν γράψαι τοσοῦτον μόνον ἐτόλμησεν ὅσον καθαιρεῖν τὰ τῆς προνοίας ἀγάλματα, ἔδει διδόναι δίκην ὡς ἀσεβήσαντα · εἰ δὲ εἰς αὐτὴν ἐκείνην ἀσεβεῖ, ἧς οὐρανὸς καὶ γῆ καὶ στοιχείων φύσεις ἀγάλματα, ὡς μέτριόν τι δρᾶσαι διανοηθέντος φεισόμεθα ; Εὐτυχοῦσι γάρ, φησίν, οἱ κακοί. Καὶ [88] τί κακίας μεῖζον δυστύχημα ; δυστυχοῦσι γὰρ οἱ σοφοί. [1088 R.] Εἶτα εὐτυχίαν ἄλλην ἀρετῆς ἡγῇ βελτίονα [89] ; Οὐκ εἷς βίος ἀνθρώπου γνώμης ὑπάρχει καὶ φύσεως, ἀλλὰ σχίζονται μὲν οἱ τῶν βιούντων σκοποί, συμμερίζονται δὲ πέρας ἑκάστῳ τὸ πρόσφορον. Οὐκ ἐρᾷ σοφὸς τὴν ἀρχὴν οὐδενὸς τῶν πάντων, ἐφ' οἷς οἱ πλεῖστοι τοὺς κεκτημένους εὐδαιμονίζουσιν · οὔκουν οὐδὲ ζημίαν τὸ μὴ τυγχάνειν [581 H.] ὑπείληφε. Τί οὖν ἐκείνῳ τέλος, καὶ πρὸς τί βλέπων καὶ πόνους πονεῖ καὶ νύκτωρ ἀγρυπνεῖ καὶ μεθ' ἡμέραν [90] ἐσπούδακεν ; Ἀρετῆς κτῆσις, ὦ τάν. Ταύτην δὲ πῶς αἱρεῖ, κἀκ τίνος τρόπου τῆς θείας ἐκείνης θήρας ἐγκρατὴς γίνεται ; πλούτῳ καὶ χρήμασιν οὐκ ἔστιν αἱρετή [91]. Ῥώμῃ τοῦ [92] σώματος [93] ; Ὑπὲρ ἅπαντα κότινον ὁ ταύτης στέφανος. Δυνάμει τῇ κατὰ τὸν [94] πόλεμον ; Καὶ τίνα τρόπαια τῶν ἀπὸ [95] κακίας μείζονα ; μήτ' οὖν πενομένῳ τῷ σοφῷ πενίαν πρόφερε (οὐ γὰρ ἦν σκοπὸς τὰ χρήματα), μήτε νοσοῦντι τὴν ἀῤῥωστίαν ὀνείδιζε, εἴπερ ὑγιαίνει τὰ κρείττονα, μήτε [96] ἡττωμένῳ τῶν δυναστευόντων ἐν πόλεσιν, εἴπερ κρατεῖ τοῖς ἀμείνοσι. Τοσοῦτον [97] γὰρ ἂν δέοι σπουδαῖος ἀνὴρ μεταδιώκειν τὴν τῶν τοιούτων κτῆσιν ἢ δυστυχεῖν ὑπολαμβάνειν τῷ [98] στέρεσθαι, ὥστε ἤδη τινὲς καὶ μάλα τῶν ὀνομαστῶν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ [οἳ] τούτων ἑκόντες ἀπέστησαν, ἵνα πάσης ἑαυτοὺς τῆς ἔξωθεν ἀσχολίας ἐλευθερώσαντες τὸν ἀθάνατον τῆς ἀρετῆς πλοῦτον ἀλλάξωνται. Ἀναξαγόρας γῆν ἀνῆκε τὴν ἑαυτοῦ πᾶσαν μηλόβοτον, ἔργῳ νομοθετῶν τίς γεωργία τοῖς σοφωτέροις ἁρμόττουσα [99]. Ἑκὼν δὲ ἐνόσει τὸ [1] σῶμα Δημόκριτος, ἵνα ὑγιαίνῃ τὰ κρείττονα.

Τί οὖν ἐγκαλεῖς Προνοίᾳ ὡς μὴ μεριζούσῃ κατ' ἀξίαν τὸ δίκαιον ; Εἰ γὰρ καὶ περιόντων ὑπερορῶσι τῶν ἐκτὸς ἁπάντων, πῶς ἢ ἄχθονται μὴ παρόντων, ἢ ὅπως ὑπάρχῃ σπουδάζουσι ; Τίς γὰρ πλουτῶν οὐκ ἀσχολίαν ἄγει μεγίστην αὐτὰ τὰ χρήματα ; θείων δὲ γνῶσις καὶ ἀνθρωπίνων πραγμάτων, κἀὶ τοσαύτης καὶ τηλικαύτης σοφίας μέγεθος, ἆρά σοι δοκεῖ πάρεργον [2] μὲν εἶναι τοῦ χρηματιστοῦ, τοῦ δὲ παρεργοῦντος ἐφόλκιον, τοῦ δὲ τὰς ἐν πόλει τιμὰς διώκοντος ἐπακολούθημα ; Μὴ τοίνυν κακοδαίμονας κά-

VARIÆ LECTIONES.

[88] καὶ om. A. [89] βελτίονα A : βελτίω ; ναί ς. [90] ἡμέρας ς. [91] αἱρετή] ἀρετή AC. [92] τοῦ A, τε ς : om. B, [93] post σώματος cum A omisi αἱρετή, delebat etiam Leichius, p. XXV. [94] τὸν om. B. [95] ἀπὸ] ὑπὸ A. [96] μήτε τῷ ἡττ. ς. [97] τοσοῦτο ς. [98] τῷ B : τὸ ς. [99] ἁρμόζουσα B. [1] τὸ libri om. [2] παρεργοῦντος] περιεργοῦντος Scaliger, πανουργοῦντος Reiskius, non pejus fuerit γεωργοῦντος.

NOTÆ.

(36) Orig. lib. II *Contra Celsum ;* Lactant. lib. 3 *De falsa sap.* cap. 23 ; Plut. in *Vita Periclis.*

λει τοὺς τὴν μεγίστην εὐδαιμονίαν εὐδαιμονήσαντας, μηδὲ δυστυχεῖς τοὺς ὁμοιουμένους τοῖς κρείττοσι, μηδὲ πένητας, ὧν θησαυρὸς ἀθάνατος [3], μηδὲ ἀτίμους, οὓς ἴσα θεοῖς θαυμάζομεν. Πολλοὶ γὰρ πολλάκις κακοὶ μὲν γνώμην τυγχάνουσιν, ἐπαινοῦνται δὲ πολλάκις παρ' ἐνίων, τῆς χρείας ποιούσης ἀντὶ τῆς ἀληθείας τὸν ἔπαινον.

Καίτοι γε ἡδέως ἂν ἐροίμην τοὺς ὀνειδίζειν τοῖς σοφοῖς τὴν δυστυχίαν ἐθέλοντας, πότερον ἦσαν τοιοῦτοι πρὶν γενέσθαι σοφοί, ἢ μετὰ ταῦτα τῶν λεγομένων εὐτυχημάτων ἀφήρηνται; Εἰ μὲν πρότερον, οὐ τῆς ἀρετῆς τὸ ἔγκλημα· εἰ δὲ ἐξ οὗ ταύτην εἰλήφασιν, οὐχ ὧν ἐπόθουν ἀλλ' ὧν οὐκ ἐπόθουν ἐστέρηνται. Ὁ δὲ καὶ κατειρωνεύεται τῆς συμφορᾶς [4], καὶ παραγράφεται τὸν τρόπον ἤδη τῆς κρίσεως. Οἷς γὰρ οὐδ' ὁτιοῦν, οἶμαι, τῶν εἰωθότων ἠδίκηκε, τούτοις ὅτι μηδὲ τὴν ἀρχὴν ἠδίκηκε δείξειν ὑπείληφεν, ὥσπερ οὐ διὰ τοῦτο μείζονος ὀργῆς καὶ κατηγορίας ὑπάρχων ἄξιος, ὅτι τοιαῦτα καὶ τηλικαῦτα πεποίηκεν ὧν οὐκ ἔστιν [382 H.] εὑρεῖν παραδείγματα. [1089 H.] Εἰ δ' οἱ τὰ μείζω τολμήσαντες, ὅτι τὰ μείζω δεδράκασι, τὴν τιμωρίαν οὐ δώσουσι, τίς ἔτι λόγος κολάζειν ἐθέλει [5] τοὺς τὰ μικρότερα; Τί δέ; εἰ τοὺς μὴ τὰ συνήθη παρανομοῦντας ἀφήσομεν, πῶς οὐκ ἐξουσία πᾶσα γενήσεται τοῖς ἐθέλουσι [6] πλημμελεῖν ἃ μὴ συνείθισται [6a], ὅταν οἱ πρῶτοι ταῦτα τολμήσαντες ὡς οὐκ ἀδικοῦντες ἐκφύγοιεν; Χρὴ δὲ οὐκ ἀφέσεις τῶν κρίσεων τὰς ὑπερβολὰς τῶν ἀδικημάτων μᾶλλον ἢ τούναντίον αἰτίας γίνεσθαι, ὅσῳ μετὰ τῶν ἔργων καὶ τὸ τῆς γνώμης μεμίσηται. Τὸ γὰρ οἷς ἀδικεῖ τις καὶ φύσιν ἀδικημάτων καινὴν προσάγειν βούλεσθαι διχόθεν ἂν εἴη τὴν μοχθηρίαν ἐλέγχοντος, καὶ τῷ πλημμελεῖν ἃ μὴ δεῖ, καὶ τῷ ποιεῖν ἐθέλειν ἃ μή τις πρότερον [7] ὁράσειεν. Οὐδέν σοι, φῂς, τῶν εἰωθότων τετόλμηται. Αὐτήν μοι λέγεις τὴν ὑπερβολὴν ὧν ἠτυχήκαμεν. Οἱ μὲν γὰρ ἠδικημένοι ταῦθ' ἅπερ καὶ ἑτέρους ἠδικημένους ἐπίστανται, φέρουσι ῥᾷον τὰς συμφορὰς, παραμυθίαν ὧν πεπόνθασι τὴν τῶν [8] πέλας δυστυχίαν [9] νομίζοντες· οἱ δὲ νεωτέρων ἀδικημάτων οὐκ ἔχοντες μὴ ἰῶν ὁμοίων εὐπορεῖν ἔχειν ἐφ' οἷς ἠτύχησαν.

A Non ergo eos infelices appellato, qui omnium sunt felicissimi, neque infortunatos, qui ditissimi sunt, neque pauperes quorum thesaurus immortalis est : neque ignobiles et abjectos, quos pro diis habemus. Sæpe enim multi improbi sunt voluntate, ab aliquibus tamen utilitati potius quam veritati servientibus laudantur.

Libenter sane eos interrogarem, qui sapientibus infelicitatem exprobrare student, an tales fuerint antequam sapientes fierent, an vero postea felicitatem amiserint. Si prius non est, non est virtutis culpa : sin vero ex quo sapientiam acquisierint, non ea quæ desiderabant, sed ea quæ non desiderabant, amiserunt. Hic vero calamitatem illam deridet, et in judicio hanc consuetudinem exsibilat. B Nam quibus nihil eorum, ut puto, quæ antea solitus erat, objecit, his quia neque imperium objecerat, speraral fore, ut idcirco non majori pœna et supplicio dignus exsisteret, quoniam tanta, et talia fecisset, quorum exempla non possunt reperiri. Sin hi qui majora ausi sunt, quia majora commiserunt, pœnam non luent, quænam ratio est eum puniri qui minora commisit? Quid autem? Si eos dimittamus, **358** *a* qui præter solitum nihil fecerunt, nonne fiet omnibus potestas volentibus committere quæ non consueverunt, quandoquidem et primo eadem ausis impune cessit? Non enim oportet magis criminum exsuperantias judicia tollere, quin potius eorum causas exsistere æquum est, quod opera simul et voluntas odio habeantur. Velle enim novum C flagitii genus addere iis quæ commisit duplici nomine reprehendendus sit, cum quod nefas patrasset, tum quod ea committere quæ antea nemo ausus sit ; at nihil te eorum quæ antea commiseris, fecisse inquies. Ipsum (37) acceptorum infortuniorum excessum narras. Qui vero in recentioribus malis non habent quos imitentur, intolerabilem miseriam suam existimant, eo quod sociis iis in rebus, quæ illis adversæ fuerunt, prospere cesserit.

παραδείγματα ἀφόρητον ἡγοῦνται τὴν συμφορὰν τῷ

Ex Declamatione, in causa patris percussoris filii.

Ἠδίκηταί τις εις παῖδα; Οὐχὶ καὶ γυνὴ προσηδίκηται. Δι' ἀμφοῖν ἡ βλάβη κεχώρηκεν; Οὐ πρόσκειται [10] φόνος τοῖς ἀδικήμασι. Σφαγῆς τις αἴτιος γέγονε; Τὸ [11] λαθεῖν θεραπεύει τὴν συμφοράν. Μοιχείαν τολμᾷ, καὶ λαθραίοις μηγανήμασιν οἶκον διαλύει σώφρονα; Οὐ μὴν τοσοῦτον κακὸν κακῷ μείζονι κατασκευάζει δεινότερον, παῖδα ἐπιβαλὼν [12] μητρὶ, καὶ τοῖς τῶν μοιχευόντων σώμασι κοῦφον ποιῶν καὶ αὐτὸ τὸ τῆς μοιχείας δοκοῦν ἀδίκημα εἶναι. Ἀδιάφθορον [13] τὴν ψυχὴν [14] ἔσχηκεν, ἀλλ' οὐχὶ καὶ τὴν

D Aliquisne injuriam a filio accepit? Non et mulier violata est? An ab utroque damnum illatum est? Nunquid et stupri causa cædes facta? Quis necis auctor exstitit? Mitigatur dolor quia ignoro. Audet adulterium committere, et occultis dolis honestam familiam evertit. Non tamen tantum malum majori quodam malo gravius reddit, filium adjiciens matri, et illis mœchantium corporibus leve reddens adulterii crimen. Fortunæ bona sortitus est? At non et intactam ejus domum relinquemus. Non ego

VARIÆ LECTIONES.

[3] ἀθάνατος A : ὁ θάνατος ς. [4] τὰς συμφορὰς ς. [5] ἐθέλειν B. [6] ἐθέλουσι ς. [6a] συνήθισται ς. [7] πρότερος AC. [8] τῶν A : τοῦ ς. [9] δυστυχίαν] τυχεῖν C et pr. A. [10] πρόκειται ς. [11] τὸ] τῷ corr. B. [12] malim ἐπιβάλλων. [13] ἀδιάφορον A. [14] τύχην B.

NOTÆ.

(37) Al. *Adversam mihi fortunam objicis.*

frustra minatus sum, o cives. Capti, prostrati sumus,obmutescimus, et respublica memoria excidit. Cædibus nobis vocem eripuisti, et tragicis illis actionibus facundum hoc os obturasti. Vix quæ dicenda sunt profero : in posterum non amplius civitatis orator futurus, sed meæ solius calamitatis. Cujus sunt hæc facinora? Nonne omnia tua? Nonne mea illa quidem dextera, sed tuo consilio omnes perierunt? Nondum id, quod caput est malorum, commemoravi : spectacula, inquam, claræ illæ tuæ scenæ, quæ suo tempore acta sunt. Quam lætum finem tragicis addis infortuniis,et iis calamitatem auges, quibus in comœdiis luctus leniri solet. Sic igitur omnia quæ contra nos adornavit undique colligens proferens **358** *b* profert. Quid de paupertate diceres? An, quod nullus prohibet, lex accuset, ac condemnet? Dein me interrogat, num liceat puerum necare, num liceat proli, quam suscepisti,injuriam facere? Si autem utrumque lex permittat, et quod licitum est, assumpsisti, et quod non licet conjunxisti,non per utrumque absolveris potius, quam pœnam subibis eorum, quæ huic adjungis, et quæ non licent. Licet mihi, inquit. Divitis hæc verba, et tyrannicæ superbiæ responsum. Ego vero tibi benigne atque humaniter respondeo.Dabis enim pœnas dum hi judices sedebunt.Nosti quid hominem absolvat? facere licuisse. At si licentia abusus es, hanc punio, quod hac occasione omnem licentiæ naturam exuerit. Pulchrum est commisceri, sed tum demum, cum id suspicione vacat. Sin autem domum quis perfodiat, insidietur uxori, cognationem violet, familiam corrumpat, fictam humanitatem simulet omni odio plenam, quæ adjunctam interim justitiam non habentia, permissu quodam fiunt. Hæc quod eam assumpserint quo videntur minus reprehendenda, eo sunt injustiora. Sed adoptandi forte gratia quærebas filium, cur non ante partum voluntatem tuam indicasti? aut cur adhuc puerum post partum non postulasti? An fortasse neutrum horum volebas? Sed defectu hæredis apprehensum non indicasti? Nonne secundum leges adoptionem fecisti? Hæc nobis quis respondebit,contra leges factam non esse? Impudens meretrix per fraudem ausa est, et infelix puer in miseram matrem exsecrabili amoris scypho misere inebriatus est,et patris dextra malis artibus in charissimorum suorum cædem conversa est. Lugeo igitur eos quos non ut hostes necavi, et lacrymans victimis assideo, quas legitime factas putabam, quemque ante cædem adulterum existimavi,hunc post cædem filium agnovi. Nunc omnino vulneratus es, nunc et fascias sepulcrales accipis, fili. Extremum te invocabo non nominibus, quæ per adulterum sortitus es, sed quæ per generatio-

A ἑστίαν ἕξει δι' ἡμᾶς ἀδιάφθορον. Οὐκ ἐψεύσω τοῖς ἔργοις τὰς ἀπειλὰς, ὦ πλούσιε· ἐκλώκαμεν, νενικήμεθα, σιωπῶμεν, τῆς πολιτείας ἐπελαθόμεθα. Ἀπέτεμες ἡμῶν τὴν φωνὴν τοῖς φόνοις, καὶ τὸ στόμα τὸ λάλον ἀπέφραξας τοῖς τραγικοῖς τούτοις γνωρίσμασι. Μόλις τἀναγκαῖα λέγω καὶ φθέγγομαι· ῥήτωρ εἰμὶ λοιπὸν οὐκέτι τῆς πόλεως, ἀλλ' ἤδη μόνης τῆς συμφορᾶς. Τίνος τὰ τηλικαῦτα μιάσματα; οὐ σὰ πάντα; οὐ τῇ μὲν δεξιᾷ τῇ ἐμῇ, τῇ σῇ δὲ γνώμῃ πάντες ἀνάλωνται; Οὔπω τὸ κεφάλαιον τῶν ἀδικημάτων εἶπον, τῆς λαμπρᾶς σου σκηνῆς τὰ κατὰ καιρὸν ἀναφανέντα γνωρίσματα. Ὦ κωμικὸν πέρας τραγικαῖς τύχαις ἐπαγαγὼν [15], καὶ τούτοις αὐξήσας τὴν συμφορὰν, οἷς [16] ἐν κωμῳδίαις πάθη λύεται. Οὕτω τοίνυν πάντα τὰ καθ' ἡμῶν διαπεπραγμένος περιὼν [17] λέγει· Τί δ' ἂν εἴποις περὶ [18] τοῦ πένητος; Ὅσα μηδεὶς κωλύει νόμος, κατηγορεῖν ἐθέλει καὶ γράφεσθαι. Εἶτά με ἐρωτᾷ· Οὐκ ἔξεστιν οὖν [19] ἀνελέσθαι παιδίον; οὐκ ἔξεστιν οὖν μηδὲν ἀδικεῖν ἀναλαμβάνοντα; Εἰ δ' ἑκάτερον τοῦ νόμου διδόντος καὶ τὸ ἐξὸν εἵλω [20] καὶ τὸ μὴ ἐξὸν προσέθηκας, οὐ διὰ [583 H.] θάτερον ἀφεθήσῃ μᾶλλον ἢ δίκην ὑφέξεις οἷς [21] τούτῳ προσάγεις καὶ ἃ μὴ ἔξεστιν. Ἔξεστί μοι, φησί. Πλουσίου λόγος, τυραννικῆς ὑπερηφανίας ἀπόκρισις. Ἐγὼ δέ σοι πράως οὕτω καὶ δημοτικῶς ἀποκρίνομαι· δώσεις γὰρ δίκας τέως ἂν οὗτοι δικάζωσιν [22]. Ἔγνωκάς τι ποιεῖν [23] ἀνεύθυνον; ἔχεις [24] τὴν ἐξουσίαν. Εἰ δὲ τὴν ἐξουσίαν εἰς παρανομίαν μετήνεγκας, κολάζω ταύτην, [1092 R.] ὅτι τῇ προφάσει τὴν φύσιν τοῦ μηκέτι ἐξεῖναι μετεῖληφε. Τὸ κοινωνεῖν καλὸν, ἀλλ' ὅταν ἡ χάρις ἀνύποπτος. Ἂν δὲ διορύττῃ μὲν οἰκίας τις, ἐπιβουλεύῃ δὲ γάμοις, λυμαίνηται δὲ γένη, διαφθείρῃ δὲ ἑστίας, ὑποκρίνηται δὲ φιλανθρωπίαν ἀπανθρωπίας ἁπάσης γέμουσαν, ἃ τὴν προσθήκην οὐκ ἔχοντα τέως τὴν ἄδικον [25] μετ' ἐξουσίας ἐπράττετο, ταῦτα ὅτι ταύτην προσείληφε τῷ δοκεῖν ἀνεύθυνα φαίνεσθαι, προσθήκη τῶν ἀδικημάτων γίνεται. Ἀλλ' εἰς θέσιν ἴσως ἐζήτεις παιδίον. Τί δὲ οὐ πρὸ τοῦ τόκου τὴν γνώμην σου κατεμήνυες, ἢ τὸ παιδίον μετὰ τὰς ὠδῖνας οὐκ ἤτησας; Ἢ τυχὸν οὐδέτερον τούτων ἤθελες· ἀλλ' οὖν ἐκ τῆς ἐρημίας ἀνελὼν εὐθὺς οὐκ ἐκοινολογήσω περὶ τοῦ πράγματος, οὐ κατὰ νόμους τὴν θέσιν ἔπραττες. Ταῦτα ἀφαιρήσεταί τις ἡμᾶς [26], ὡς παρὰ τοὺς νόμους οὐ πέπρακται; Ἐναγὴς [27] μοιχεία διὰ σοφισμάτων τετόλμηται, καὶ παῖς δυστυχὴς κατὰ μητρὸς ἀθλίας [28] ἐξ ἐναγοῦς [29] κρατῆρος ἐμεθύσθη κακῶς, καὶ δεξιὰ πατρὸς ἐπὶ φόνους τῶν φιλτάτων ὑπὸ κακοήθους τέχνης ἐξώπλισται. Θρηνῶ νῦν οὓς ὡς πολεμίους ἐφόνευσα, καὶ σφαγαῖς παρακάθημαι δακρύων, ἃς ὤμην μετὰ τῶν νόμων ἐργάζεσθαι· καὶ ὃν πρὸ τῶν φόνων μιαιχὸν ἐνόμιζον, τοῦτον παῖδα μετὰ τὴν σφαγὴν ἐγνώρισα. Νῦν ὄντως τιτρώσκῃ, νῦν τὴν καιρίαν λαμβάνεις, παιδίον. Καλέσω γάρ σε

VARIÆ LECTIONES.

[15] ἐπαναγαγὼν ς. [16] οἷς] ὡς A. [17] περιὼν A. [18] περὶ] κατὰ B. [19] οὐκ ἔστιν οὖν μηδὲν B, ἔξεστι μὲν οὖν ἀλλ' ἐπὶ τῷ μηδὲν Reischius. [20] pro εἵλω lacuna est in B. [21] οἷς] imo ὧν. [22] δικάζουσιν ς. [23] ποιεῖν C : ποιεῖ ς. [24] ἔχεις AC : ἔχειν ς. [25] ἀδικίαν A. [26] ὑμᾶς A. [27] ἐναγὴς μοιχεία] ἐνάγεις μοι χεῖρα B. [28] ἀλθίας] ἀθρόως B. [29] ἐξ ἐναγοῦς Scaliger. libri ξεναγοῦς.

λοιπὸν οὐ τοῖς τῶν ἀδικημάτων ἀλλὰ τοῖς τοῦ γένους ὀνόμασιν· οὐ γὰρ σύ μοι τῶν ἀτυχημάτων ἀλλ' ἕτερος αἴτιος. Ἡδέως δ' ἂν ἐροίμην ἐκεῖνο δή του πρῶτον τὸν πλούσιον. Χρηστὸς αὐτῷ τὸν τρόπον ὁ νεανίσκος ἐφαίνετο, ἢ τοὐναντίον παράνομος; Εἰ μὲν γὰρ χρηστὸς, τίνος αἱ πράξεις, οὐκ ἄδηλον· εἰ δὲ πονηρὸς, ἐχρῆν ἀποδιδόναι τῷ φύσαντι. Πρὸς δὲ τούτοις πότερον ἐλολήθει σε ταῦτα ποιῶν, ἢ προειδὼς οὐκ ἐκώλυες; Εἰ μὲν γὰρ ἠγνόεις, πατρός γε ὄντως φυλακὴν λέγεις· εἰ δ' οὐκ ἠγνόεις, ὥσπερ εἰκὸς, μέλλοντα κωλύειν, οὐ πεποιηκότα ἐχρῆν. Τὸ μὲν γὰρ προνοίας, τὸ δὲ ἀδικίας τεκμήριον· καὶ τὸ μὲν τὸν εὔνουν, τὸ δὲ τὸν προσποιούμενον δείκνυσιν. Ὁ νεανίσκος ἁπάντων [30] αἴτιος. Εἰ γὰρ οἷός τε ἦν ἀφεῖναι φωνὴν, εἰ γὰρ τις αὐτὸν θεῶν, οἷα πολλὰ πολλάκις παρὰ τῶν ποιητῶν ἀκούομεν, πρὸς [31] μικρὸν ἀνῆκεν, ὅσον παραγενέσθαι τῇ κρίσει, οὐκ ἂν ἐκ μέσων τῶν πληγῶν καὶ τῶν τραυμάτων ἀνέκραγεν, Ἔγωγε μοιχός; ἐγω παράνομος; ἐχθρὲ καὶ πλούσιε· ὀψὲ γάρ με [584 H.] τὰς σεαυτῷ πρεπούσας ἐπωνυμίας ἐδίδαξας. Ἀλλ' οἰκτείρας, φησὶ, τὸ πάθος ἐπέδειξα [32] τὰ γνωρίσματα, τάφων πατρῴων ἀξιωθῆναι παρὰ σοῦ τὸν νεκρίσκον βουλόμενος. Εἰς καιρόν γε (οὐ γάρ;) τὰς διαλλαγὰς ἐτήρησας, καὶ τότε ἀνεμνήσθης συνάψαι τὸ γένος, ὅτε τὸν πόλεμον ἄσπονδον ἐν ξίφει καὶ μοιχείᾳ πεποίηκας.

Εἰ λέγει καὶ γράφει καὶ τὴν πατρικὴν τοῦ βίου τάξιν εὑρίσκεται, οὐ δεήσομαι γνωρισμάτων πλειόνων, γνωριῶ τὴν φύσιν ἀπὸ τοῦ βήματος. Δός μοι νόσῳ καὶ λοιμῷ δαπανηθέντα κομίσασθαι. Θρηνήσω μὲν καὶ τότε τὴν συντυχίαν τῆς γνώσεως, ὅτι μου τὴν ἐπωνυμίαν τὴν τοῦ πατρὸς μόνῳ τῷ τάφῳ τετήρηκας· παραμυθήσεται δέ με τὸ πέμψαι τὸν παῖδα τοῖς κάτω θεοῖς νόσῳ λυθέντα, μὴ δράμασι. Νυνὶ δὲ (ὦ τῆς τραγικῆς ὄντως, ὦ τῆς ἀώρου καὶ ἀπηνοῦς τῶν γνωρισμάτων καταμηνύσεως!). [1093 R.] νῦν ἠνάγκασμαι γνωρίζειν τὸν παῖδα, ὅτε ἀγνοεῖν συνέφερε, καὶ τότε πατὴρ ἀναγορεύομαι [33], ὅτε καὶ παιδοκτόνος εὑρίσκομαι. Ἔα με μόνην τὴν μοιχείαν θρηνεῖν, ἑνί μου [34] παραχώρησον τὰ δυστυχήματα δράματι. Τί δέ με μερίζεις τοῖς ποιηταῖς; τί δὲ καθ' ἕκαστον τῶν ἐμῶν ἀτυχημάτων σκηνὴν ἐγείρεις καὶ θέατρα; Νυνὶ δὲ παρηκολούθηκας ἀριθμῶν μου τὰ δυστυχήματα. Καὶ τότε μου πλῆρῶσαι τὸν τάφον θέλεις, ὅτε τὸν οἶκον ἐκένωσας. Θάψαι με [35] βούλει τὸν παῖδα: καλῆς γε (οὐ γάρ;) μοι φιλοτιμίας [36] παρεχώρησας. Ἐμὲ δὲ ἄφες στένειν τὰς συμφοράς· σὺ καὶ θάψον, εἰ θέλεις, τὸν ἀνηρημένον, καὶ δὸς αὐτῷ φέρειν ἀντὶ τῶν ἐνταφίων τὰ σπάργανα. Αἱ σαὶ χεῖρές εἰσι τοιαύτης ταφῆς ἐπάξιαι. Πόθεν δὲ καὶ τὴν ἐκφορὰν ποιήσομαι; ἀπὸ τῆς ἑστίας; καὶ ποῖον ὄρυγμα τῆς δυστυχοῦς ἐκείνης στυγνότερον; περὶ [37-38] αὐτὴν δυστυχῆ σώματα, καὶ φοβερὸν αἷμα κατὰ πᾶν μέρος ἐκκέχυται, καὶ πολὺς φόνος ἐν μέσῳ, λοιπὸν οὐ τοῖς τῶν ἀδικημάτων ἀλλὰ τοῖς τοῦ γένους ὀνόμασιν· οὐ γὰρ σύ μοι τῶν ἀτυχημάτων ἀλλ' ἕτερος αἴτιος. Ἡδέως δ' ἂν ἐροίμην ἐκεῖνο δή του πρῶτον τὸν πλούσιον. Χρηστὸς αὐτῷ τὸν τρόπον ὁ νεανίσκος ἐφαίνετο, ἢ τοὐναντίον παράνομος; Εἰ μὲν γὰρ χρηστὸς, τίνος αἱ πράξεις, οὐκ ἄδηλον· εἰ δὲ πονηρὸς, ἐχρῆν ἀποδιδόναι τῷ φύσαντι. Πρὸς δὲ τούτοις πότερον ἐλολήθει σε ταῦτα ποιῶν, ἢ προειδὼς οὐκ ἐκώλυες; Εἰ μὲν γὰρ ἠγνόεις, πατρός γε ὄντως φυλακὴν λέγεις· εἰ δ' οὐκ ἠγνόεις, ὥσπερ εἰκὸς, μέλλοντα κωλύειν, οὐ πεποιηκότα ἐχρῆν. Τὸ μὲν γὰρ προνοίας, τὸ δὲ ἀδικίας τεκμήριον· καὶ τὸ μὲν τὸν εὔνουν, τὸ δὲ τὸν προσποιούμενον δείκνυσιν. Ὁ νεανίσκος ἁπάντων [30] αἴτιος. Εἰ γὰρ οἷός τε ἦν ἀφεῖναι φωνὴν, εἰ γὰρ τις αὐτὸν θεῶν, οἷα πολλὰ πολλάκις παρὰ τῶν ποιητῶν ἀκούομεν, πρὸς [31] μικρὸν ἀνῆκεν, ὅσον παραγενέσθαι τῇ κρίσει, οὐκ ἂν ἐκ μέσων τῶν πληγῶν καὶ τῶν τραυμάτων ἀνέκραγεν, Ἔγωγε μοιχός; ἐγω παράνομος; ἐχθρὲ καὶ πλούσιε· ὀψὲ γάρ με [584 H.] τὰς σεαυτῷ πρεπούσας ἐπωνυμίας ἐδίδαξας. Ἀλλ' οἰκτείρας, φησὶ, τὸ πάθος ἐπέδειξα [32] τὰ γνωρίσματα, τάφων πατρῴων ἀξιωθῆναι παρὰ σοῦ τὸν νεκρίσκον βουλόμενος. Εἰς καιρόν γε (οὐ γάρ;) τὰς διαλλαγὰς ἐτήρησας, καὶ τότε ἀνεμνήσθης συνάψαι τὸ γένος, ὅτε τὸν πόλεμον ἄσπονδον ἐν ξίφει καὶ μοιχείᾳ πεποίηκας.

Εἰ λέγει καὶ γράφει καὶ τὴν πατρικὴν τοῦ βίου τάξιν εὑρίσκεται, οὐ δεήσομαι γνωρισμάτων πλειόνων, γνωριῶ τὴν φύσιν ἀπὸ τοῦ βήματος. Δός μοι νόσῳ καὶ λοιμῷ δαπανηθέντα κομίσασθαι. Θρηνήσω μὲν καὶ τότε τὴν συντυχίαν τῆς γνώσεως, ὅτι μου τὴν ἐπωνυμίαν τὴν τοῦ πατρὸς μόνῳ τῷ τάφῳ τετήρηκας· παραμυθήσεται δέ με τὸ πέμψαι τὸν παῖδα τοῖς κάτω θεοῖς νόσῳ λυθέντα, μὴ δράμασι. Νυνὶ δὲ (ὦ τῆς τραγικῆς ὄντως, ὦ τῆς ἀώρου καὶ ἀπηνοῦς τῶν γνωρισμάτων καταμηνύσεως!). [1093 R.] νῦν ἠνάγκασμαι γνωρίζειν τὸν παῖδα, ὅτε ἀγνοεῖν συνέφερε, καὶ τότε πατὴρ ἀναγορεύομαι [33], ὅτε καὶ παιδοκτόνος εὑρίσκομαι. Ἔα με μόνην τὴν μοιχείαν θρηνεῖν, ἑνί μου [34] παραχώρησον τὰ δυστυχήματα δράματι. Τί δέ με μερίζεις τοῖς ποιηταῖς; τί δὲ καθ' ἕκαστον τῶν ἐμῶν ἀτυχημάτων σκηνὴν ἐγείρεις καὶ θέατρα; Νυνὶ δὲ παρηκολούθηκας ἀριθμῶν μου τὰ δυστυχήματα. Καὶ τότε μου πλῆρῶσαι τὸν τάφον θέλεις, ὅτε τὸν οἶκον ἐκένωσας. Θάψαι με [35] βούλει τὸν παῖδα: καλῆς γε (οὐ γάρ;) μοι φιλοτιμίας [36] παρεχώρησας. Ἐμὲ δὲ ἄφες στένειν τὰς συμφοράς· σὺ καὶ θάψον, εἰ θέλεις, τὸν ἀνηρημένον, καὶ δὸς αὐτῷ φέρειν ἀντὶ τῶν ἐνταφίων τὰ σπάργανα. Αἱ σαὶ χεῖρές εἰσι τοιαύτης ταφῆς ἐπάξιαι. Πόθεν δὲ καὶ τὴν ἐκφορὰν ποιήσομαι; ἀπὸ τῆς ἑστίας; καὶ ποῖον ὄρυγμα τῆς δυστυχοῦς ἐκείνης στυγνότερον; περὶ [37-38] αὐτὴν δυστυχῆ σώματα, καὶ φοβερὸν αἷμα κατὰ πᾶν μέρος ἐκκέχυται, καὶ πολὺς φόνος ἐν μέσῳ,

A nem nostram. Non enim tu meorum calamitatum causa, sed alius. Libenter autem hoc primum quæsierim a divite, bonisque moribus, an contra **359** *a* improbus juvenis fuisse ei videatur? Si enim bonus, non obscurum est, cujus hæ sint factiones; sin improbus erat, patri reddi oportebat. Deinde non scivisti hæc eum patrare solitum? An sciens prudens non prohibuisti? Si enim ignorabas, ad patrem custodiam pertinere dicis? Si vero sciebas, ut verisimile est, futura adhuc nec facta prohibere debebas. Hoc enim curæ, illud nequitiæ indicium est; hoc benevolentiam, illud simulationem declarat. Adolescens est, omnem culpam sustinet. Si enim emittere vocem voluisset, si aliquis deus (qualia multa apud poetas audimus) illum tam diu reliquisset, dum judicio sisteretur, nonne in mediis vulneribus et plagis B clamaret: Ego adulter, ego prævaricator improbe dives. Sero enim me appellationes eas, quæ tibi conveniant, docuisti, sed misertum, inquit, te cladis satis indicasti, cupiens a te adolescentem paternis sepulturis dignum reddi, opportune sane. Non enim fœdus servasti, et tunc in mentem tibi venit conjungere cognatos, quando implacabile bellum in gladio et adulterio collocasti.

Sic dicat, et scribat, et vitæ paternæ seriem inveniat, plura signa non petam e vestigiis totam naturam deprehensam. Fac morbo et peste exstinctum efferri, plorabo vel tunc agnitum, cum mihi nomen C patris solo sepulcro servaveris. Erit mihi solatio filium morbo exstinctum non in tragœdia ad Manes mittere. Nunc vero, o tragicam, o immaturam et crudelem signorum declamationem! Jam agnoscere filium coactus sum, quando ignorare præstitisset: et tum demum patris nomen ascisco, cum filii percussor deprehendar. Sine me solum adulterium deplorare, des in uno dramate infortuniis meis locum. Quid autem me diversis poetis tradis? Quid ad singulas meas calamitates scenam, et spectacula adornas? Nunc vero numerum calamitatis meæ vidisti, et tum adimplere sepulcrum meum cupis, cum familiam exhauseris. Sepelire meum vis filium? Honeste quidem: non enim mihi contentione cessisti. Permitte me fortunam meam deplorare: at D tu interfectum si libet terræ manda, atque illi pro sepultura da **359** *b* fascias. Tuæ enim manus hoc sepulcro dignæ sunt. Unde autem funus efferam? E domo? Et quodnam sepulcrum hac infelici domo dirius? Hic infelicia corpora, et sacer sanguinis ab omni parte effusus est, multaque cædes (triste spectaculum!) in medio jacet: hanc domum dirarum, dæmonum, ac furiarum ambit cohors. Nunc vero (proh malorum ingentem cumulum!) in filium arma-

VARIÆ LECTIONES.

[30] ἁπάντων A : ὁ πάντων ς. [31] πρὸς B : ὡς ς. [32] ἐπέδειξα A et corr. B. : ἐπέδειξας ς. [33] ἀναγορεύωμαι A. [34] μοι AB. [35] με Reischius : libri μου. [36] φιλοτησίας A. [37-38] περὶ — δυστυχῆ ABC : ὑπὲρ — δύστυχες ς.

tus est pater, mater in nefario cum filio congressu per vim occisa.

Nunc autem (o hostem, bello, peste, tyrannide graviorem, et magis patriæ, quam familiæ nostræ proditorem, quam pro quibus meritis civitati gratiam refers? pro imperio, pro honoribus, pro his quibus te talibus ac tantis indignum sapissime dignum existimavit, illam in theatrum produxisti, et civitatem fecisti tanquam tragœdorum argumentum. Calamitas quidem mea vitæ meæ terminis definietur; at tua flagitia tuique mores cum civitatis vita interibunt.

Tu vero dic, et scribe, decerne, et constitue: et hanc primo, si libet, legem ferto: *In posterum in judicio pauper non loquatur, loquenti pœna irrogetur, inter plebeios referatur.* A te vero (quid enim tibi amplius verbis et syllabis opus est?) manifestior ob eam calamitatem lex scripta est, splendide tibi exstructus est suggestus, hoc exemplo omnis pauperibus præcisa est lingua. Tu dic solus, impera solus, nemo contradicet, forsitan neque humilia deinceps tractabis, neque uno tribunali tum potentiam definies. Sed statim sublimiore quam his tibi opus fuerit scena, et dramatibus infandam tragœdiam repræsentantibus. Ut vero magis omnes terreas finge et pinge injuriam meam, et imagine meam calamitatem exhibe. Difficile est artem, quæ rei naturam adeo atrocem effingat, reperire: nihil tamen horum malorum non audet dives. Adeste quidem ex prato aliquo pestilentium Furiarum pigmenta atque colores; supponatur autem tabula dira et nefanda composita materia, serviat picturæ ignis, qualem ultores hujusmodi cædium dæmones solent excitare: quære pictorem tragicum quidem arte et manu, animo vero magis **360** *a* tragicum. Jube vero seriem fortunarum mearum in tabula depingat, nihil ante narrationem pingat, neque dicentem, neque concionantem, neque coronatum, nec quidquam eorum quæ fortunatis solent accidere. Plena sit tota meis calamitatibus tabula. Primo pingatur infelix pater, suis manibus infantem in solitudinem ferens, deplorans, lugens infortunium, exiens, rediens, deponens, attollens, cedens naturæ, et rursum necessitate victus; imitetur pictor, quoad ejus fieri potest, sermonem gemebundo vultu, ut omnes per picturam verba intelligant. Dein pinge insignes illos amores: potissimum vero nihil in depingendo filio temere fingas, fac illum tardum, mox rem aggredientem, respuentem, animo perturbatum, metu autem coactum, refugientem adulterium, nondum intelligentem, quia a matre cogitur. Stet et alibi infelix anus, et eam, si libet, amore correptam describe jam rugosam, et crinibus canam, ut rei novitatem

κατηφὲς θέαμα πρόκειται· περικάθηται ταύτην ποινῶν καὶ δαιμόνων καὶ ἀλαστόρων στρατόπεδον. Νυνὶ δὲ (ὦ τῆς ὑπερβολῆς! ὦ τῆς ὑπερηφανίας τῶν κακῶν!) πατὴρ ὡπλίσθη κατὰ παιδὸς, μήτηρ εἰς μίξιν ἀθέμιτον παιδὸς βεβίασται.

Ἀλλ' ὦ πολέμου καὶ λοιμοῦ καὶ τυραννίδος ἐχθρὲ βαρύτερε· ἀλλ' ὦ τῆς πατρίδος πλέον ἢ τῆς πολιτείας τῆς ἡμετέρας πολέμιε, οἵας ἀνθ' οἵων ἐκτίνεις τῇ πόλει ταύτας τὰς χάριτας! ἀντὶ προεδρίας, ἀντὶ τιμῶν, ἀνθ' ὧν ἀνάξιον ὄντα σε τοσούτων πολλάκις καὶ τηλικούτων ἠξίωσεν, ἐκδέδωκας αὐτὴν τῇ σχηνῇ, καὶ τῶν τραγῳδῶν πεποίηκας τὴν πόλιν ἡμῶν ἀγώνισμα, καὶ ἡ μὲν ἐμὴ [39] συμφορὰ τῷ βίῳ τῷ ἐμῷ περιγραφήσεται, τὸ μιασμα δὲ καὶ ὁ σὸς τρόπος τῷ τῆς πόλεως βίῳ συνεκταθήσεται.

Σὺ δὲ καὶ [40] λέγε καὶ γράφε καὶ νομοθέτει καὶ πρόσθευε. Καὶ πρῶτον, εἰ θέλεις, τοῦτον τὸν νόμον εἰσένεγκε· Μὴ λέγειν ἔτι τοῦ λοιποῦ πένητά· τολμήσαντι δὲ τίμημα ἐπικεῖσθαι τοῦ γένους [585 R.] γίνεσθαι δήμιον. Μᾶλλον δὲ (τί γάρ σοι δεῖ ῥημάτων ἔτι καὶ συλλαβῶν;) ἐναργέστερός σοι διὰ τῆς ἐμῆς συμφορᾶς ὁ νόμος γέγραπται· ἀποτετείχισταί σοι λαμπρῶς τὸ βῆμα, καὶ πᾶσα πένητος ἐκκέκοπται γλῶττα [41] τῷ παραδείγματι. Λέγε μόνος, πολιτεύου μόνος· ἀντερεῖ δ' οὐδείς. Τυχὸν δὲ ἴσως οὐδὲ μικρολογήσεις λοιπόν, οὐδὲ ὁριεῖς τὴν δυναστείαν ἄχρι τοῦ βήματος. Σκηνῆς ὑψηλοτέρας τῶν ἐνταῦθα τάχα [42] δεήσει σοι, καὶ δραμάτων οὐκ ἐχόντων τὴν τραγῳδίαν ἀπόῤῥητον. Ἵνα δὲ πλέον φοβήσῃς ἅπαντας, μίμησαι καὶ γραφῇ [43] τὸ πάθος, καὶ δὸς ἐν εἰκόνι τὴν συμφοράν. Χαλεπὸν εὑρεῖν τέχνην οἵαν τε οὖσαν ὑποκρίνασθαι πράγματος φύσιν οὕτως ἀλλόκοτον. Πλὴν ἀλλὰ τῷ πλούσιῳ [44] τῶν πάντων οὐδὲν ἀτόλμητον. Ἔστω μὲν ἔκ τινος Ποινῶν λειμῶνος [45] καὶ Ἐριννύων τὰ φάρμακα· ὑποκείσθω δὲ ὁ πίναξ τῇ γραφῇ ἐξ ἐπαράτου ποθὲν καὶ ἐναγοῦς ὕλης γενόμενος· πῦρ δὲ ὑπηρετείσθω τῇ γραφῇ, οἷον ἀνάπτειν πεφύκασι τιμωροὶ τοιούτων θανάτων δαίμονες. Ζήτησον δὲ καὶ ζωγράφον τραγικὸν μὲν τὴν χεῖρα [46] τὴν δὲ ψυχὴν τραγικώτερον. Κέλευε δὲ αὐτῷ τὴν τάξιν τῶν ἐμῶν ἀτυχημάτων τάξιν ποιεῖσθαι καὶ τῆς γραφῆς, μηδὲν δὲ γράφειν πρὸ τῆς ἐκθέσεως, μὴ λέγοντα, μὴ δημηγοροῦντα, [1096 R.] μὴ στεφανούμενον, μή τι τῶν εὐτυχεστέρων ἕτερον· ὅλη γενέσθω μεστὴ τῆς σκυθρωποτέρας τύχης ἡ γραφή. Ὁ δυστυχὴς πρῶτος ἔστω πατὴρ, φέρων εἰς τὴν ἐρημίαν ταῖς ἑαυτοῦ χερσὶ τὸ βρέφος, ὀδυρόμενος τὴν τύχην, θρηνῶν τὴν συμφοράν, ἐξιών, ἀναστρέφων, τιθεὶς, ἀναιρούμενος, εἴκων τῇ φύσει, τῆς ἀνάγκης πάλιν ἡττώμενος. Μιμησάσθω καὶ λόγους, εἰ δυνατὸν, ἡ γραφὴ διὰ προσώπου στυγνάζοντος, καὶ πᾶς τις τῶν ῥημάτων ἀκουσάτω διὰ τοῦ σχήματος· Γράφε μετὰ τοῦτο τοὺς καλοὺς ἔρωτας, μᾶλλον δὲ μὴ καταψεύσῃ μου κἂν τῇ γραφῇ τοῦ παιδός· ποίησον ὀκνοῦντα, μέλλοντα, χωροῦντα πρὸς τὴν πρᾶξιν, ἀναδυόμενον, ἱλιγγιῶντα μὲν τῇ ψυχῇ, τῷ

VARIÆ LECTIONES.

[39] ἐμὴ add. A. [40] καὶ ante λέγε om. A. [41] γλῶσσα ς. [42] τάχα post σοι ponit ς, om. B. [43] γραφῇ] libri γράφε. [44] πλουσίῳ A : πλησίον ς. [45] libri ποινῆς λειμώνων. [46] χεῖρα A : χρείαν ς.

φόβῳ δὲ βιαζόμενον, δεδιότα μὲν τὴν μοιχείαν, οὔπω δὲ συνιέντα ὅτι καὶ κατὰ μητρὸς ἀναγκάζεται. Ἔστω που καὶ δυστυχὴς πρεσβῦτις, εἰ θέλεις· γράψον αὐτὴν ἐρῶσαν, ἀλλὰ μετὰ τῆς ῥυτίδος, ἀλλὰ μετὰ τῆς κόμης τῆς πολιᾶς, ἵνα μᾶλλον ἐκπλήξῃς τῷ παραλόγῳ τοῦ δράματος. Ἐλθὲ λοιπὸν ἐπὶ τὸ κεφάλαιον τῆς γραφῆς· ὅπλισον τὸν δυστυχῆ πένητα κατὰ τῶν φιλτάτων, καὶ τοσαῦτα μίμησαι πράγματα, ὁπόσα ἐμπλήσει τὴν σὴν ἀπανθρωπίαν πλαττόμενα. Πρόσθες ἤδη λοιπὸν τὸν κολοφῶνα τοῦ δράματος, σαυτὸν τοῖς φόνοις μετὰ τῶν γνωρισμάτων ἐπιφαινόμενον, μειδιῶντα, φαιδρόν, τοῖς κατωρθωμένοις γανύμενον [47]. Τήρησον πρὸς Θεῶν κἀμοί τι μέρος τοῦ πίνακος, ἵνα μή τις ἐπιζητήσῃ. Ποῦ δὲ ὁ δυστυχὴς πένης; πῶς ἔξη; πῶς ἐθέλω μετὰ τοιαύτας [48] συμφοράς; [586 H.] Ἀλλ' οὐ πάντα χαρήσῃ [49], πλούσιε. Δεῖ γενέσθαι καὶ σὲ μέρος τοῦ δράματος. Οὐδεὶς οἶδεν ὑψηλὴν τραγῳδίαν, ὅπου μὴ πίπτουσι τύραννοι.

A magis obstupescas. Venias demum ad picturæ caput, arma infelicem pauperem in charissimos, et talia excogita, quæ licet ficta, crudelitatem tuam valeant explere. Impone denique dramati finem, teipsum scilicet in cæde signis quibusdam eminentem, ridentem, hilarem, et quasi re bene gesta exsultantem. Serva et mihi per deos aliquam partem tabulæ, ne quis quæsierit : *Ubi infelix pauper? Quomodo vixit? Qua ratione post tot casus vitam egerit?* Verum non hæc tibi perpetua fuerit felicitas, o dives, et te oportet dramatis partem esse. Nemo unquam insignem aliquam spectavit tragœdiam, in qua tyranni non e pristina fortuna exciderunt (38).

B

Ἐκ τῆς ἐπιγραφομένης μελέτης μετὰ τὰ Μηδικὰ ἐψηφίσαντο Ἀθηναῖοι πρὸς τοὺς βαρβάρους πόλεμον. Πυθόμενος ὁ βασιλεὺς ὑπέσχετο τὰ λελυμασμένα [50] ἐπανορθώσασθαι, εἰ τὸν πόλεμον καταλύσειαν. « Βουλομένων αὐτῶν Θεμιστοκλῆς ἀντιλέγει. » — Αὐτὸ τὸ Προοίμιον.

Ex Declamatione cujus hæc inscriptio : Athenienses post Medicum bellum, contra Barbaros bellum decrevere. Quo cognito, rex accepta damna, si bello abstineant, resarturum sese promisit. « Assentientibus Atheniensibus contradicit Themistocles. » — *Proœmium.*

Οὔπω τῆς πείρας, ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, τῆς καθ' ἡμῶν βασιλεὺς παύεται, κἂν ἀεὶ κρείττω τῆς ἑαυτοῦ τέχνης τὸν τρόπον εὑρίσκῃ τῆς πόλεως. Ἐγὼ δὲ οὐδὲν βασιλέα τοῖς αὐτοῖς [51] αὖθις ἐπιχειρεῖν θαυμαστὸν οἶμαι· τοὺς γὰρ ἐν ἀπορίᾳ καθεστηκότας καὶ φόβοις οὐδὲν θαυμαστὸν μηδὲν ἀφ' ὧν διορθώσονται τὰς συμφορὰς, εὑρίσκειν δύνασθαι. Ὥστε τοῦτο μὲν οὐδαμῶς ἄτοπον· τοὺς δὲ [52] ῥήτορας ἂν τις δικαίως μᾶλλον τοὺς παρ' ἡμῖν θαυμάσειεν, εἰ καιρὸν αὐτοῖς ἔτε τῆς [παρ' ἡμῖν] προδοσίας νομίζουσιν, ὅτε [53] μηδὲ βασιλεὺς ἀρνεῖσθαι τὸ κρείττους εἶναι τῆς ἑαυτοῦ δυναστείας διέγνωκε. Προσήκει δὲ καὶ ὑμᾶς [54] μὴ χείρους ἐν κοινῷ τῆς ἑνὸς ἀνδρὸς γνώμης ἐλέγχεσθαι, ὡς ἔστιν ἄτοπον φιλοτιμεῖσθαι μὲν [55] ἐπὶ τῷ τοὺς βαρβάρους τοῖς ὅπλοις νικᾶν, ἁλίσκεσθαι δὲ ἐλάττους ἐν τῷ βουλεύεσθαι. Ἤδη δὲ καὶ τὰς αὐτὰς ἦφεν φωνὰς ὑπὲρ τῶν ὅλων τοῖς θεοῖς καὶ τὰ αὐτὰ τῷ Ηυθίῳ περὶ τῶν τριήρων ἐδόξαζεν. Τί πορθμοῖς ἐνοχλεῖς δι' ἐμέ; τί δὲ ὄρη τέμνεις εἰς θάλασσαν; τί καλύπτεις ἠπείρῳ τὸ ῥόθιον; Ἔασον ἑστάναι τὸν Ἄθω, καὶ μὴ πέμπε μοι [56] διὰ τῶν ὀρῶν ἀλλὰ διὰ τοῦ ῥοθίου τὸν στόλον. Ἀλλ' εἰ καὶ τούτων ὀλίγον τινὰ ἐποιήσω λόγον, τῶν οὐρανίων [57] ἀπέχου μοι, καὶ φεῖσαι τῆς ἄνω λήξεως. [1097 R.] Μή μοι νύκτα ποίει τὴν ἡμέραν τοῖς βέλεσι, μηδ' ὑποτρεχέτω τὸν ἥλιον νέφος ἐκ τῶν βελῶν τῆς σῆς [58] στρατιᾶς συγκείμενον. Ἀλλ' οὐδὲν ἐᾷς ἀκίνητον, ἵνα ἓν γένηται τῶν Μηδικῶν διηγημάτων ἡ πόλις ἡ Ἀθηναίων. Φοβερώτερος δὲ τῆς φήμης ἐπὶ τῆς πει-

Numquam adducar, ut credam, Athenienses, regem in nobis tentandis finem facturum, etsi invenerit cives nostros **360** *b* arte militari superiores. Equidem nihil admirandum puto, si rex eadem rursus attentet. Qui enim in timore ac paupertate versantur (39), quid mirum si ad artes confugiant, quo suæ medeantur calamitati? Quare non hoc omnino absurdum est. Justius vero quis oratores nostros admiretur, si nos prodendi occasionem sibi adhuc esse putarent, quando ne rex quidem ipse potentia sua nos fortiores esse negat. Decet autem nihilo nos inferiores existimare illius de nobis viri existimatione. Absurdum enim est nos Barbaros armis superare, consilio autem iisdem inferiores esse. Quin et has de nobis omnibus voces diis significavit, et Pythium Apollinem de triremibus consului. Quid freta propter me turbas? Quid montes secas, ut instar maris serviant? Quid terra tegis undas? sine stet Athos, nec montibus, sed mari innatet classis. Quod licet horum exiguam habuisti rationem, minimeque curasti, cœlestia vero et superna cave ne attingas. Non jaculis mihi pro die noctem inducas, neque e sagittis exercitus tui nubes densa solem cooperiat. Sed nihil intentatum relinquis, ut nimirum Athenarum civitas Medorum historiæ partem aliquam obtineat. Visus es fama ipsa terribilior, quod experientia didicimus, nunc in continentem terram miranda illa facinora, nunc in mare grandium rerum conatus tuos transferens, et nunc quidem in flumina

VARIÆ LECTIONES.

[47] γαννύμενον B, ς. [48] τοιαύτας A : τοσαύτας ς. [49] χαιρήσῃ A. [50] λελυμασμένα A, λελυμένα B : λελυσμένα ς. [51] τοῖς αὐτοῖς A, τοῖς ἑαυτοῦ B : τῷ ἑαυτοῦ ς. [52] δὲ om. A, post ῥήτορας ponit B. [53] ὅτι B. [54] ὑμᾶς ABC : ἡμᾶς ς. [55] μὲν om. A. [56] μὴ πέμπε μοι] πέμπε μὴ B. [57] οὐρανῶν B. [58] σῆς om. B.

NOTÆ.

(38) Juvenalis *Sat.* x, vers. 12 :
Ad generum Cereris sine cæde et vulnere pauci
Descendunt reges, et sicca morte tyranni.

(39) Persius :
Magister artis ingeniique largitor venter.

copias, nunc in solem jacula, in fluctus flagra mittis. Mons procellis agitatus navigatur, fretum integrum ponte commisso pedibus trajicitur. Per medium Athon navigant triremes, in fluctibus currentem Medorum vidit equitatum Hellespontus. Trecenti Spartani erant milites, auxiliares copiæ, reliqui vero diversarum erant gentium. Scivimus bellum periculosius priori te conflasse, non mille et trecentas ad urbem triremes adducis, nec fluctus terra tegis continente, neque terram militibus angustam tuis reddis, et elementa tuo usui loco moveri cogis. Novisti enim me his omnibus fortiorem exstitisse. Babylone copias adducens **361***a* urbem oppugnas, et per præcones nos machinis tuis adoriris, et gloriam, præcipuum reipublicæ nostræ ornamentum legationibus perfringis, non autem tropæis terra marique erectis, hæcque beneficii et gratiæ nomine appellas. Si illa scribenda existimetis, quæ manibus facienda sunt, at quæ scripta sunt non facienda, ut illustres vestris apparealis decretis, factis autem dissimiles. Bene habet. Hic consilio egregius, gestis non ita excellens, nunquam perfectam laudem reportavit, sed semper cum exceptione laudatus est. Nam finem omnes, ut consilium admirentur, exspectant. Hic autem a rebus experimentum capiens ob hæc utraque, quæ optime tenet, suspicitur : ob sententiam cum judicavit : dein ob factum cum decreta factis non coarguit.

Libenter autem eos qui contradicunt, interrogarim, utrum, cum bellum confirmaveramus, contradixerint, an quietem amantes consentire cum consultantibus dignati sint. Si non contradixerint, non modo nobis, verum etiam sibi ipsis repugnantia facere videntur, his eos accusare nitentes, quos in judicium vocare statuentes, dum res prosperæ essent, silentium induxerunt. Neque enim e pravo ingenio libentes se utilitatem occultasse dicent. Verum si contradicentes causa cecíderint, quomodo non ignaviæ rei, hæc iterum aggredientes dicere, quæ prius qui ausi sunt, minores esse contradicentibus convicti sunt? Si vero dissolvimus, quæ decrevimus, non erit utique obscurum, nos et nimiæ facilitatis simul et temeritatis crimen subituros : temeritatis quidem, quod initio cum oporteret investigare utile nunc non potuimus : nimiæ facilitatis cum ea quæ decrevimus statim, et ex tempore commutavimus. Nondum maximum crimen dico, quia videbimur necessitate victi nobis ipsis velle adversari, quod sane inexcusabiles nos reddit. Cum

A ρας φαινόμενος, νῦν μὲν ἐπὶ τῆς ἠπείρου τὰ θαύματα, νῦν δὲ μεταφέρων τὴν μεγαλουργίαν ἐπὶ τὴν θάλατταν, καὶ νῦν μὲν ἐπαφιεὶς τοῖς ποταμοῖς τὸ στράτευμα, νῦν δὲ ἡλίῳ τὰ βέλη, νῦν δὲ τῷ ῥοθίῳ τὰς μάστιγας. Ὄρος ἐπλεῖτο [59] χειμαζόμενον, καὶ πορθμὸς ὅλος γεφυρωθεὶς ἐπεζεύετο· Ἄθως διὰ μέσου τριήρεις ἔπεμπε, καὶ τὴν Ἵππον ὑπὲρ τοῦ ῥοθίου θέουσαν τὴν Μηδικὴν Ἑλλήσποντος. Εἰς τριακοσίους ἦν ὁπλίτας τὸ παρὰ Λακεδαιμονίοις ὄφελος, οἱ δὲ λοιποὶ τύχῃ τὸ γένος ἐμέριζον. Οὐ λέλῃθας ἡμᾶς ἄλλον δεινότερον [60] ἐπάγων τοῦ προτέρου πόλεμον. Οὐκέτι χιλίας καὶ διακοσίας [61] τριήρεις πληροῖς κατὰ τῆς πόλεως, οὐδὲ ἀποκρύπτεις ἠπείρῳ τὸ ῥόθιον, οὐδὲ στενοχωρεῖς στρατιώταις τὴν ἤπειρον, οὐδὲ τὰ στοιχεῖα πρὸς τὴν σαυτοῦ

B χρείαν καταναγκάζεις μετασκευάζεσθαι· οἶδας [62] γὰρ ὡς πάντων ἐκείνων [587 H] κρείττων ἐγενόμην μαχόμενος. Ἀπὸ Βαβυλῶνος προσβάλλεις [63] τῇ πόλει, καὶ διὰ τῶν κηρύκων ἡμῖν ἐφιστᾷς μηχανήματα καὶ ταῖς πρεσβείαις διορύττεις τὴν ἐπὶ τῶν καλλίστων φιλοτιμίαν τῆς πόλεως [64], καὶ ταῦτα δωρεὰς ὀνομάζεις καὶ χάριτας. Μὴ πρὸς τροπαίων διὰ γῆς καὶ θαλάττης [65] ἐγηγερμένων! Εἰ [66] μὲν οὖν οἴεσθε δεῖν γράφειν μὲν ἃ χρὴ ποιεῖν, ἃ δ' ἂν γράψητε [67] μὴ ποιεῖν, καὶ λαμπροὶ μὲν ἐπὶ τῶν ψηφισμάτων φαίνεσθαι [68], διὰ δὲ τῶν ἔργων οὐχ ὅμοιοι, καλῶς ἔχει. Ὁ μὲν γὰρ ἐν τῷ βουλεύεσθαί τι λαμπρὸς, τῷ μή πω δῆλος εἶναι [69] ὅτι καὶ πράξειεν [70], οὕπω καθαρῶς τὴν εὐ-

φημίαν κομίζεται, ἀλλ' ἔτι πρὸς τοὺς ἐπαίνους ἀμφίβολος· περιμένουσι γὰρ τὸ τέλος ἅπαντες, ἵνα τὴν γνώμην θαυμάσωσιν. Ὁ δ' οἷς ἔγνω καλῶς καὶ τὴν ἀπὸ τῶν ἔργων πεῖραν ἐλόμενος, ἐπ' ἀμφοτέροις θαυμάζεται, τὴν μὲν γνώμην, οἷς ἔκρινε, τὴν δὲ πρᾶξιν [71], οἷς οὐκ ἤλεγξε τὰ ψηφισθέντα τοῖς πράγμασιν.

C Ἡδέως δ' ἂν ἐροίμην τοὺς ἀντιλέγοντας, πότερον ἀντεῖπον ἡνίκα ἐκυροῦμεν τὸν πόλεμον, ἢ τὴν ἡσυχίαν ἄγοντες εἶχειν ἠξίουν τοῖς συμβουλεύουσιν; Εἰ μὲν γὰρ οὐκ ἀντεῖπον, οὐχ ἡμῖν μόνον ἀλλὰ καὶ σφίσιν αὐτοῖς τἀναντία πράττοντες [72] φαίνονται, τούτοις ἐγκαλεῖν σπουδάζοντες, οἷς ὡς κάλλιστα ἔχουσι σιωπὴν ἐπεφήμιζον. Οὐ γάρ που δυσνοίᾳ [73] γε φήσουσι τὸ συμφέρον ἑκόντες ἀποκρύψασθαι. Ἀλλὰ μήν εἶγε ἀντειπόντες ἡττήθησαν, πῶς οὐκ ἀναιδείας [74] ὑπεύθυνοι τὰ αὐτὰ λέγειν ἐπιχειροῦντες δεύτερον, ἃ πρότθεν εἰπεῖν τολμήσαντες ἥττους εἶναι τῶν ἀντιλεγόντων ἠλέγχθησαν; καὶ μήν εἶγε λύσομεν ἃ κεκυρώκαμεν, οὐκ ἄδηλον δήπουθεν ὡς εὐχερείας τε ὁμοῦ καὶ ἀβουλίας ὄνειδος ἕξομεν, ἀβουλίας μὲν ὡς

D ἐν ἀρχῇ δέον εὑρεῖν τὸ συμφέρον ἀδυνατήσαντες, εὐχερείας δὲ ὡς ἀφ' ὧν ἐκρίναμεν ταχέως αὖθις μεταβαλλόμενοι. Καὶ οὔπω λέγω τὸ μεῖζον ἔγκλημα ὅτι καὶ χρείας ἡττημένοι δόξομεν ἐθέλειν ἡμῶν αὐτῶν καταψηφίζεσθαι· ὅπερ, οἶμαι, καὶ ἀπαραίτητον ποιεῖ τὸ ἔγκλημα. Ἄ γὰρ καὶ χωρὶς τοιαύτης αἰτίας οὐκ ἀνεκτὸν ἡμαρτηκότας ἐλέγχεσθαι, πῶς οὐχ ἅπαξ

VARIÆ LECTIONES.

[59] ἐπλεῖτο] ἔπειτα A. [60] δεινότερον post προτέρου ponit B. [61] τριακοσίας ς. [62] εἶδες B. [63] προσβάλλει A, qui et mox ἐφίστησι — διορύττει — ὀνομάζει. [64] τῇ πόλει ς. [65] θαλάσσης A. [66] εἰ A : ἐπεὶ ς. [67] γράψητε A, γράφητε B : γράφηται ς. [68] φαίνεσθαι ABC : φαίνεσθε ς. [69] εἶναι add. Stephanus. [70] πράξειν C. [71] πρᾶξιν A : τάξιν ς. [72] διαπράττοντες libri. [73] δυσνοίᾳ B : δυσνοίας ς. [74] ἀναιδείας Reiskius : libri ἄν δειλίας.

ἀσύγγνωστον, ὅταν καὶ λήμματος [1100 R.] ἀλάττεσθαι τὴν ἀδοξίαν φαινώμεθα; Εἰ δέ τις τῶν συμμάχων τῆς πόλεως δωρεὰν παρὰ βασιλέως δεξάμενος λύειν ἐπεχείρει τὸ δόγμα τῆς πόλεως ἢ καταλύειν τὴν συμμαχίαν ἐτόλμησεν, ἆρ' οὐκ ἄν ὠργίσθητε καὶ δίκην ἀπητήσατε παρὰ τῶν ἀναιρεῖν ἐπιχειρούντων ἃ κεκυρώκατε; ἐγὼ μὲν ἀκριβῶς οἶμαι [75]. Εἶθ' ἑτέροις ἄν τι λῦσαι τῶν ὑμετέρων οὐ συγχωρήσαντες, αὐτοὶ τοῦτο ποιοῦντες ὀφθήσεσθε; καὶ ἐφ' οἷς ἄλλου πράξαντος οὐκ ἂν ἠνέσχεσθε [76] τὸ μὴ καὶ δίκας εἰσπράξασθαι, ταῦτα ἑκόντες αὐτοὶ πλημμελεῖν δόξετε; καὶ μὴν ἅπαντα μὲν εὐλαβητέον ἐργάζεσθαι· τὰ καὶ ὄντα πονηρὰ καὶ νομιζόμενα, ἐκεῖνα δὲ πλεῖον, ὧν αὐτός τις φθάσας κατέγνωκεν. Ἐφ' οἷς γάρ τις ἀγανακτῶν ὡς φαύλοις ἐπιδείκνυται, [583 H.] εἰ τὰ αὐτὰ πράττων ἁλίσκοιτο, φιλαπεχθήμων ὁμοῦ [77] καὶ πονηρὸς, πονηρὸς μὲν, οἷς ἃ μὴ χρὴ πράττων ἐλέγχεται, φιλαπεχθήμων [78] δὲ, ὅτι [79] τούτων τοὺς πλησίον εἴργειν ζητεῖ, ἃ τῷ λόγῳ μισεῖν προσποιούμενος ἔργοις μεταδιώκων ἁλίσκεται.

Λέγε μοι τὰ τῶν νομοθετῶν, εἰ βούλει, ῥήματα· ἀρίθμει μοι μετὰ τούτων, εἰ θέλεις, καὶ τὰ τῆς πόλεως τρόπαια [80]· νόμους γὰρ ἐγὼ πολεμικοὺς ὀνομάζω τὰ τῆς πόλεως [81] κατορθώματα. Τί νῦν ἐν ἅπασι τούτοις διεσπούδασται; μὴ σπένδεσθαι βαρβάροις, μισεῖν τὸ γένος ὡς ἀλιτήριον, ἀδιάλλακτον ἡγεῖσθαι τὸν πρὸς ἀλλήλους πόλεμον. Καὶ μάλ' εἰκότως· οὓς γὰρ τῇ φύσει πολεμίους ἐνόμιζον, παρὰ τούτων ἀεί τι κακὸν προσδοκήσαντες νόμῳ τὸ μὴ παθεῖν ἐφυλάξαντο, μέγιστον εἶναι τῆς πόλεως φυλακτήριον τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ἡγησάμενοι. Εἰώθασι γὰρ οἱ πονηροὶ τῶν ἀνθρώπων καὶ πρὸς πλεονεξίαν τὰ πάντα βλέποντες πλείονα κερδαίνειν ἐπὶ φιλίας προσχήματι τῶν ὅτε φανερῶς ὡμολόγουν τὸν πόλεμον. Ψηφίσματα γὰρ Ἀθηναίων ἐγὼ καλῶ τὰ τοῦ θείου Πυθίου μαντεύματα. Πολέμιος ὁ Πέρσης οὐ καθ' ἕνα καιρὸν οὐδὲ χρόνον, οὐδὲ παρ' αὐτὴν μόνην τὴν τοῦ πολέμου καταβολήν, ἀλλ' εἰς πάντα τὸν βίον τῆς πόλεως. Οὐ γὰρ Πλαταιὰς μόνας κατέσκαψε, καὶ δῆμον εἰς τοὺς ὑπὲρ τῆς ἐλευθερίας πολέμους αὐτόκλητον ἐποίησεν ἄπολιν. Οὐ γὰρ ἃ πέπονθε βασιλεὺς, ταῦτα διαλογιζομένους ἐκεῖνον ἀπαλλάττειν τῆς μέμψεως δεῖ [82], ἀλλ' ἅπερ ἂν κρατήσας ἔδρασεν, ἐν νῷ λαβόντας, πᾶσαν ἴσως [83] νομίζειν δίκην τῆς ἀξίας κομίζεσθαι. Οὐδὲ δίκαιον τὰ αὐτὰ μὴ δρᾶσαι κρατήσαντας, ἅπερ ἡττηθέντες ὑπὸ τῶν κεκρατηκότων ἂν ἐπάθομεν. Ὁ γὰρ, πρὶν ἀνενεγκεῖν αὖθις τοὺς ἐναντίους ἀφ' ὧν ἐσφάλησαν, ἐπεξιὼν καὶ τιμωρούμενος οὐδὲ ἐκείνοις καιρὸν ἐπὶ [84] τῆς ἀπύνης ἐνδίδωσι, καὶ πᾶσαν ἑαυτῷ προξενεῖ τοῦ μήτι παθεῖν ἀσφάλειαν, οἷς κατὰ καιρὸν ἐπέξεισι, τούτοις περιγράφων ἅπασαν τὴν ἐν ὑστέρῳ παρὰ τῶν πεπονθότων ἐπίδοσιν. Καί φασι· Δωρεὰς τῷ δήμῳ βασιλεὺς πέπομφε. Κυρσίλου μοι λέγεις

A igitur non sit ferendum eis qui peccarunt, etiam sublato tali crimine, quomodo non simul venia indigni videamur, turpitudinem mutare lucro. Si quis vero commilitonum hujus urbis donis a rege acceptis, civitatis decretum solvere aggrederetur, vel societatem frangere auderet, nunquid irasceremini, et pœnam a solvere volentibus quæ decrevistis sumeretis? **361***b* Equidem omnino sentio. An vero cum aliis vestra decreta frangere non permisistis, hoc vos fecisse videbimini? Et in quibus alio faciente supplicium non omitteretis, in iis vos ultro delinquere cognoscemini? Porro autem cavendum est, ne omnia, et revera mala, et quæ mala putantur agamus, ea autem cavenda sunt magis de quibus alium antea accusavit. Nam de quibus quis semel ut malis conquestus fuisse deprehenditur, et iterum eadem facere convincitur, et inimicus, et sceleratus est: sceleratus quidem ea faciendo, quæ facere non oportebat: inimicus vero, cum iis illos prohibere nititur, quæ, licet verbo odisse appareat, operibus tamen diligere videatur.

Dic, si libet, legislatorum verba, numera deinde, si cupias, civitatis trophæa. Nam omnia civitatis facinora bene gesta militares leges appello. Quid jam omnibus his effectum est? non pacisci scilicet cum Barbaris, gentem alienam exsecrari, implacabile bellum cum hostibus existimare: et sane merito. Quos enim naturales hostes arbitrabantur, ab his aliquid detrimenti semper exspectantes, lege cohibuerunt, ne quid mali paterentur, maximum urbis præsidium eorum infidelitatem existimantes. Solent enim scelerati homines, et lucro dediti specie amicitiæ lucrari plura, quam tunc cum aperte bellum denuntiant. Atheniensium statuta Pythia oracula nuncupo. Persa non uno tempore aut uno momento, neque hoc modo belli tempore hostis noster, sed omni urbis nostræ vita, non Plataeas modo diruit, et populum ultro ad bellum pro libertate susceptum exterminavit. Non enim hæc animo volventes, quæ rex adversa habuit, illum crimine liberare debemus, sed ea reputantes, quæ victor fecisset eamdem illi pœnam irrogare oportet. Neque justum est eadem nos victores perpeti, quæ ab iisdem victi subiissemus. Hic vero statim antequam hostes inducerent, a quibus circumventi erant, irrumpens, et vindictam exigens, neque tempus defendendi sui **362***a* illis dedit, et magnam sibi, ne quid pateretur, securitatem attulit, et quibus semel irrupit, his in posterum a victis omnem accessionem circumscripsit. Dona, inquiunt, populo misit rex. Cyrsili mihi verba dicis, et mali nuntii successores. Et hæc ausus es Athenis dicere, ubi et alterum id prius dicentem sepelivimus. Cum vero ignoremus quo modo navalis pugna judicanda sit, non sane honestum est, ob quæ studia laudati vide-

VARIÆ LECTIONES.

[75] οἶμαι] imo οἶδα. [76] ἂν ἠνέσχεσθε A: ἀνείχεσθε ς. [77] ὁμοῦ. [78] φιλαπεχθήμων om. A. [79] ὅτι] ὃς B. [80] τρόπαια. [81] πόλεως om. A. [82] δεῖ ABC: χρὴ ς. [83] ἴσως] malim ἧττω. [84] οὐδὲ — ἐπὶ] rectius scripseris οὔτε — ἔτι.

mur, et in quibus nati sumus, jam ea hoc consilio oblitterare. Nam quibus initio exigua virtutis cura est, non magna his pereuntibus jactura fit : quibus vero virtutis tanta ac talia statuta sunt exempla, si priorem gloriam posterioribus actionibus repudiasse arguantur. Omnes enim mihi Xerxi propinquiores ob munera et beneficia. Atque etiam si gratis donum dedisset, esset forsitan justa quædam causa iis qui regi patrocinantur, quanquam hoc neque Atheniensibus dignum sit. Si remunerationem ab urbe petat, manifestum sane est nihil utique gratis dedisse,quando pro iis rependi sibi mutuum cupiat. Si vero ab eo simpliciter donante non est æquum accipere,quanto minus par est, quando non gratuito donat, sed remunerationis ejusmodi gratia, qua satis testatur, suum velle pensari beneficium. Agedum promissa hæc videamus. Ea, inquit, reponam, quæ bello dejeci. Hunccine mihi bellandi prætextum dicis, et pugnæ potius quam fœderis tesseram profers, nec vides iis verbis, quibus regi urbem conciliare niteris, nos ad bellum magis excitari? O quam diversa sunt hæc verba! Perditorem eumdem vocas et amicum, interfectorem et sociuu ; eamdem legis epistolam plenam injuriis et donis, permiscens mere mala et dona, beneficia, et damna, Barbaros, et Græcos. Hoc studes urbis commodum videri quærere, sed verius illud,cum urbis nostræ ruinam regi honoris initium facias.Quid ergo ad triremes non vadimus, sed sustinemus regem patriæ ruinam afferentem? Sed et historiam nostram curiose Xerxes quæsivit, quasi et cum urbis præconiis bellum suscepturus. **362** *b* Quare si ab altero injuriam, ab altero beneficium accepimus, illum quidem ut hostem tractare, hunc vero ut beneficium remunerari oportuit. Quod si utrumque idem præstitit, utrum decet beneficium attendere pro iis quæ promittit, vel exigere, cujus accusatur injuriæ? Quænam sunt, quæ ille læsa dicit? per has litteras beneficium dicis gratia pollicetur, Athenas omnino restauraturum se significat; hoc scilicet obscure dicitur, licet aperte verbo nominare non audeat : *Athenas*, inquit, *restaurabo*. Tu urbem Palladis? Tu civitatem Thesei, et Cecropis? Deinde Erichthonii et Cecropes, et Thesei, et Codri obscurabuntur? Hæc omnia civitati Xerxis debebunt? Conditor,dux laudum,præconiorum materia? Hei mihi his malis! Victus a me Xerxes capit urbem.Quid vero et nosmet contra Græcos jubet pugnare? Non enim æquum nos illi,qui circum hanc urbem mira edit facinora, non venire auxilio; et merito; non enim tum aciem dignam erectis tropæis instruemus. Xerxe duce vicinis nostris bellum inferentes, propter quos visus est Persis non victor, sed tanquam exsul et fugitivus, his urbem condere, et his benefacere cupiet? Quod si putaret

ῥήματα, καὶ πονηρᾶς εἰ δημηγορίας διάδοχος, καὶ ταῦτα λέγειν ἐν Ἀθήναις ἐπικεχείρηκας, ἐφ' οἷς τῷ προειπόντι τάφον ἐποιήσαμεν τὸν τόπον ἐφ' οὗπερ εἱστήκει φθεγγόμενος. Ἀδήλου δὲ ὄντος τίνα τρόπον ἡ ναυμαχία κριθήσεται, οὐ δὴ καλόν, ἀφ' ὧν εὐδοκιμοῦντες φαινόμεθα καὶ μεθ' ὧν ἐπιτηδευμάτων διαγεγόναμεν, ἄκυρα ποιεῖν ἐπὶ τοῦ παρόντος βουλεύεσθαι. Οἷς μὲν γὰρ ἐξ ἀρχῆς ὀλίγος τῆς ἀρετῆς ὁ [85] λόγος, οὐ μέγας τούτοις οὐδὲ σφαλεῖσιν ὁ κίνδυνος· οἷς δὲ τοσαῦτα καὶ τηλικαῦτα παραδείγματα τῆς ἀρετῆς ἕστηκε, τίς συγγνώμη παρὰ τοῖς ἔξωθεν, ἐν τοῖς τελευταίοις ἀφανίζοντες τὴν ἔμπροσθεν δόξαν ἐλέγχοιντο ; [1101 R.] Πᾶς γὰρ ἐμοὶ Ξέρξου πρὸς δωρεὰν καὶ χάριν ἐγγύτερος. Ἔτι τοίνυν, εἰ μὲν προῖκα παρεῖχε τὴν δωρεὰν [86], ἦν ἄν τις λόγος ἴσως τοῖς βασιλεῖ [589 H.] συναγορεύουσι [87]· καίτοι γε οὐδὲ τοῦτο τῶν Ἀθηναίων ἄξιον. Εἰ δ' ἀνταιτεῖ χάριν παρὰ τῆς πόλεως, εὔδηλον δήπουθεν ὡς οἷς παρ' ἡμῶν ἀντ' ἐκείνων τυχεῖν ἐσπούδασε, τούτοις ἐπιδείκνυσι μηδὲν αὐτὸς χαριζόμενος. Εἰ δὲ ἁπλῶς δ:δόντος λαβεῖν οὐκ εὔλογον, πῶς οὐ πλέον, ὅτε μηδὲ προῖκα τὴν δωρεὰν ἀλλ' ἐπ' ἀντιδόσει τοσαύτῃ, ᾗ καὶ αὐτὸς δῆλός ἐστιν ἃ δίδωσιν ὁμολογῶν ἀνταλλάξασθαι ; Φέρε δὴ καὶ αὐτὰς τὰς ὑποσχέσεις σκεψώμεθα. Ἀντικαταστήσω, φησίν, οἷς ἐλυμηνάμην κατὰ τὸν πόλεμον. Αὐτήν μοι λέγεις τοῦ πολέμου τὴν πρόφασιν, καὶ μάχης μᾶλλον ἢ διαλλαγῆς μοι [88] ἀναγινώσκεις συνθήματα, καὶ λαιθάνεις οἷς διαλλάξαι βασιλεῖ τὴν πόλιν ἐσπούδακας, τούτοις ἡμᾶς ἐγείρων πλέον ἐπὶ τὸν πόλεμον. Ὦ τῶν ἀνομοίων ῥημάτων! λυμεῶνά μοι τὸν αὐτὸν προσαγορεύεις καὶ φίλον, αὐτόχειρα καὶ πάλιν ἔνσπονδον τὴν αὐτὴν ἀναγινώσκεις ἐπιστολὴν μεστὴν ἀδικημάτων καὶ δωρεῶν, μιγνὺς τὰ [89] ἄμικτα πάθη, [δωρεὰς,] χάριτας, συμφορὰς, βαρβάρους. Ἕλληνας· καὶ τῷ μὲν δοκεῖν σπουδάζεις ὑπὲρ τῆς πόλεως, τὸ δ' ἀληθὲς, βασιλεῖ ποιεῖς φιλοτιμίας ὑπόθεσιν τὸ πτῶμα τῆς πόλεως. Τί οὖν οὐκ ἐπὶ τὰς τριήρεις ἴμεν [90], ἀλλ' ἀνεχόμεθα προφέροντος ἡμῖν βασιλέως τὴν πόρθησιν ; ἐπολυπραγμόνησέ μου Ξέρξης τὰ διηγήματα, ὥσπερ καὶ τοῖς ἐγκωμίοις πολεμῆσαι θέλων τῆς πόλεως. Εἰ μὲν οὖν παρ' ἑτέρου μὲν ἦν [91] τὸ ἀδίκημα, παρ' ἑτέρου δὲ ἡ χάρις, τῷ μὲν ἐχρῆν ὡς πολεμίῳ χρῆσθαι, τὸν δ' ὡς εὐεργέτην ἀμείβεσθαι. Εἰ δὲ ὁ [92] αὐτὸς ἀμφότερα, τί μᾶλλον εἰδέναι χάριν ἀνθ' ὧν ὑπισχνεῖται προσῆκεν ἢ τιμωρίαν ἀπαιτεῖν ἐφ' οἷς ἀδικῶν ἐλέγχεται ; Τίνα δὲ καὶ τὰ λελυμασμένα καλεῖ ; ἀφοσιοῦται γὰρ καὶ διὰ τῶν γραμμάτων τὴν χάριν. Τὰς Ἀθήνας πάντως ἀνοικιεῖν ἐπαγγέλλεται· τοῦτο γὰρ ὑπαινίττεται δήπου, κἂν μὴ τολμᾷ φανερῶς ὀνομάζειν τῷ ῥήματι. Ἀθήνας ἀνοικιῶ, φησί. Σὺ τὴν τῆς Ἀθηνᾶς πόλιν ; Σὺ τὴν Θησέως καὶ Κέκροπος ; εἶτα σιωπηθήσονται Ἐριχθόνιοι καὶ Κέκροπες, ἔτι δὲ Θησεῖς καὶ Κόδροι ; πάντα δὲ ἔσται Ξέρξης τῇ πόλει, οἰκιστὴς, ἀρχηγέτης· τῶν ἐπαίνων, τῶν ἐγκωμίων ὑπόθεσις ; Οἴμοι

VARIÆ LECTIONES.

[85] ὁ om. A. [86] ante δωρεὰν cum ABC omisi ἔμπροσθεν. [87] προσαγορεύουσι C. [88] μοι add. A. [89] μιγνὺς καὶ τὰ ς. [90] ἴμεν] libri εἶμεν. [91] ἦν add. A. ὁ om. A. [92] δὲ post ἔτι om. B.

τῶν κακῶν ! ἡττημένος μου Ξέρξης λαμβάνει τὴν πόλιν. Τί δ' ἂν καὶ ἡμᾶς αὐτοὺς κατὰ τῶν Ἑλλήνων συστρατεύεσθαι [93] κελεύῃ ; οὐ γὰρ εἶναι δίκαιον τῷ τοσαύτην ἐνδεικνυμένῳ περὶ τὴν πόλιν μεγαλοψυχίαν [94] μὴ πάντα τρόπον συναγωνίζεσθαι. Καλάς [95] γε (οὐ γάρ ;) τότε καὶ τῶν τροπαίων ἀξίας τῶν ἐγηγερμένων τὰς παρατάξεις παραταξόμεθα, ὑπὸ Ξέρξῃ στρατηγῷ τοὺς κατὰ τῶν ὁμοφύλων πολέμους ἐκφέροντες. Δι' οὓς ὤφθη Πέρσαις ἀντὶ νικηφόρου σχῆμα ὁραπέτου καὶ φυγάδος περικείμενος, τούτοις [96] πόλιν οἰκίζειν, τούτους [97] εὐεργετεῖν ἀνέξεται ; Εἰ μὲν γὰρ εὐθὺς ἀναμάχεσθαι τοῖς ὅπλοις τὴν ἧτταν ἐπίστευεν, ἐστράτευσεν ἄν, οὐκ ἐπρεσβεύετο· ἐπεὶ δὲ ἀπογινώσκει τῶν δυνάμεων, τὴν ἀπάτην τέως [590 H.] ἀντὶ τῶν ὅπλων προβέβληται. Ἔτι τοίνυν καὶ διαβάλλειν Ἕλληνας πρὸς τὴν πόλιν ἐσπούδασεν, ἵνα ἐρήμους τῆς παρ' ἐκείνων συμμαχίας ἐργασάμενος πρὸς μόνους ἡμᾶς ὕστερον ἐξενέγκῃ τὸν πόλεμον. Καὶ μὴν ἐξ αὐτῶν [98] ῥημάνων δῆλός ἐστι πρὸς τὴν δωρεὰν ἀφοσιούμενος. [1104 R.] Τοῦ μὲν γὰρ ἀνοικίσαι τὴν πόλιν τὴν ἡμετέραν θέλοντος ἔργον ἦν αὐτὸ τοῦτο ραφῶς ἐγγράψαι τοῖς γράμμασιν· ὁ δὲ τοῦτο μὲν οὐκ εἰπών, ἁπλῶς δὲ ἀντικαταστῆσαι φήσας οἷς ἐλυμήνατο κατὰ τὸν πόλεμον, τῇ τοῦ προσρήματος ἀμφιβολίᾳ κακῶς [99] ὃ [1] κακουργεῖ διὰ τῶν γραμμάτων δεδήλωκεν. Τί δὲ ἦν τῆς πόλεως τῆς ἡμετέρας τὸ ἐπίσημον ; σεμνότης οἰκοδομημάτων, πανταχοῦ τῆς ἀρχαίας ἀρετῆς ὑπομνήματα, ὁ παρὰ τῆς φύσεως κόσμος μεῖζον τοῦ παρὰ τῆς τέχνης προστιθεὶς τῇ πόλει τὸ κάλλος. Οἷα μὲν ἰδεῖν ἀκρόπολις, οἷον ἄλλο θεῶν μετ' οὐρανὸν ἐνδιαίτημα ! οἷος δὲ ὁ τῆς Πολιάδος νεὼς, καὶ τὸ Ποσειδῶνος [2] τέμενος ! συνήψαμεν γὰρ διὰ τῶν ἀνακτόρων τοὺς θεοὺς ἀλλήλοις μετὰ τὴν ἅμιλλαν. Οὐ λαμβάνω παρὰ ἀνδρὸς τὸν τελετῆς τόπον [3], ὃν εἴργει τῆς τελετῆς τῆς ἡμετέρας τὸ κήρυγμα. Τίς ἀναστήσει τοὺς ἄνδρας, οὓς ἀπολώλεκε ; τίς τὰ σώματα τῶν πεσόντων, οἷς οὗτος κατὰ τοὺς πολέμους λελύμανται ; Ἄνδρες γὰρ, φησὶν [4], αἱ πόλεις, οὐκ οἰκοδομήματα. Εἰ δὲ τὰ λελυμασμένα ἡμῖν ἀποδώσειν ἐπαγγέλλεται, τούτων δὲ τὰ μὲν οὐδ' ὅλως ἐγχωρεῖ λαβεῖν, τὰ δὲ τοῖς διεφθαρμένοις οὐχ ὅμοια, πῶς οὐκ ἀδύνατος ἐλέγχεταί τοῖς πᾶσιν ἡ περὶ τούτων ὑπόσχεσις ; Οὐκ ἦνεγκαν οὐδὲ τριακοσίους ἐκεῖνοι Λακεδαιμονίους ἐν Ηὐλαις, ἀλλ' ἐν ὀφθαλμοῖς βασιλέως ἔπιπτον αἱ τοσαῦται μυριάδες πρὸς ἕνα λόχον ὑπὸ μαστίγων παραταττόμεναι [5]. Αὐτὸς ἡμᾶς ἐπὶ τὴν Ἀσίαν καλεῖ βασιλεὺς οἷς παραιτεῖται τὰς μάχας, τούτοις ἀκίνδυνον εἶναι τὸν πρὸς αὐτὸν δεικνύων πόλεμον. Λόχος εἷς πρὸς ὅλην τὴν Ἀσίαν παραταττόμενος, καὶ τριακόσιοι Σπαρτιᾶται κλείοντες πρότερον μὲν τοῖς ὅπλοις ὕστερου δὲ τῷ θανάτῳ τὰς Ηύλας. Σεμνότερον ἠγείρατε τροπαίου τὸ πολυάνδριον. Ἐγὼ καὶ ὑπὲρ Θη-

A acceptam cladem armis instaurare posse, exercitum adduceret, non autem legatos mitteret. At cum viribus diffidat suis, fraudem pro armis adhibet. Cum autem copias recensuisset, tum demum fraudem armorum loco produxit. Quinetiam urbem hanc apud cæteros Græcos infamem reddere contendit, ut nos eorum auxilio desertos redderet, et nobis solis bellum postea inferret. Et ex his verbis patet donum dicis gratia offerre. Illius erat manifeste litteris inscribere hanc velle se urbem instaurare. Hoc autem non declarans, simpliciter se damna bello illata resarturum dicit, adverbii amphibolia, quæ mala cogitavit, epistola significavit. Quod autem erat urbis nostræ insigne ? Magnificentia ædificiorum, antiquæ ubicunque virtutis testimonia,
B naturæ ornatus, qui majus urbi addit ornamentum quam artificium. Qualis cernitur hic arx (40), ubi tale, cœlo excepto, **363** *a* hospitium est deorum ? Quale templum Poliadis Minervæ ? et huic vicinum delubrum Neptuni. Conjunximus enim post contentionem deos per reges in templis cum aliis. Non recipio formulam sacrorum ab homine, qualem per præconem arcere solemus. Quis reparabit homines quos bello perdidit ? Quis reddet mortuorum corpora, quæ bello abstulit ? Viri enim, ut aiunt, urbes sunt, non domus ipsæ ; si damna se instauraturum pollicetur, ex his quædam non integre restituere potest, quædam non paria prioribus reddere potest. Quomodo illius in his promissio ut impossibilis non redarguatur ab omnibus ? Illi Lacedæmonios trecen-
C tos ad Pylas non sustinuerunt, sed in oculis regis tot myriades ceciderunt adversus unum agmen, quasi flagris ordinatæ. Ipse rex in Asiam nos vocat, ostendens demptis pugnis tutum secum bellum fore. Una acies contra totam Asiam instructa et trecenti Spartani prius armis Thermopylas, deinde morte occludentes, honorabilius sepulcrum, quam sint tropæa excitarunt. Ego quoque de Thebanis supplicium sumendum putavi. Accusati sunt Græcia Persis proditionis gentis suæ, et urbs mea Persicum contra Græcos assumpsit exercitum. Cum Persæ victi sunt, non modo Athenienses, sed et omnes Græci lucrum reportarunt. Utinam etiam ad Pylas occurrissemus, Lacedæmonii pro sepultura tropæum
D ostendant. In Xerxem hæc dico, in Xerxem, inquam, o Apollo, qui usque ad aras tuas bellum gessit, et ignem sacro tripodi tuo subjicere conatus est, per quem edis oracula. Volo regionibus de meis recte factis nomen imponi, et maria, ac flumina potius a meis tropæis, quam antiquis nominibus denominari. Objiciet aliquis, quando urbem, vel unde reficiemus ? Quam amplius urbem quæris, cum habeas triremes pro nova urbe, et ductorem Apollinem. Objicit au-

VARIÆ LECTIONES.

[93] στρατεύεσθαι A. [94] μεγαλ. καὶ μὴ ς. [95] καλάς A : καλῶς ς. [96] τούτους ς. [97] τούτοις ς. [98] τῶν libris deest. [99] καλῶς C. [1] ὃ] malim ὅτι. [2] τὸ ποσειδῶνος C : τοῦ Ποσειδῶνος ς. [3] τόπον pr. C : τύπον ς. [4] φασὶν Scaliger. [5] παραττόμενοι C.

NOTÆ.

(40) *Pallas quas condidit arces Ipsa colat.* (VIRG.)

tem pro mœnibus mare, et pro turribus insulas,et pro ornatu tropæa. Si et terminos studes cognoscere, obivit fama totum terrarum orbem, **363** *b* terram qua itur, mare qua navigatur. Hos Athenienses duce Themistocle consecuti sunt terminos. Postulabo a Xerxe non oleaginum ramum Palladis, sed platanum : ut duo Palladis tropæa juxta arcem videantur, contra Neptunum olea, contra Barbaros platanus.

A δαίων ἀπαιτῆσαι δίκας ἐσπούδακα. Δῆμος Ἕλλην διὰ Πέρσας τοῦ κοινοῦ γένους προδοσίαν κατέγνωσται, καὶ πόλις ἐμὴ [6] Περσικὸν ἐδέξατο κατὰ τῶν Ἑλλήνων στρατόπεδον. Κέρδος οὐκ Ἀθηναίων μόνον, ἀλλὰ καὶ κοινὸν τῶν Ἑλλήνων ἁπάντων, Πέρσαι νικώμενοι. Εἴθε καὶ εἰς Πύλας ἀπηντήσαμεν! τρόπαιον ἂν ἐδείκνυσαν νῦν ἀντὶ τοῦ τάφου Λακεδαιμόνιοι. Ἐπὶ Ξέρξην καλῶ, ἐπὶ Ξέρξην, Ἄπολλον, τὸν μέχρι τῶν ἀδύτων στρατεύσαντα, τὸν τοῖς ἱεροῖς σου τρίποσι τὸ πῦρ προσάγειν φιλονεικήσαντα, δι' ὃν ἐκίνησας φάσματα. Δοῦναι θέλω καὶ τοῖς χωρίοις ἀπὸ τῶν ἐμῶν κατορθωμάτων ὀνόματα, καὶ τὰ πελάγη καὶ τοὺς ποταμοὺς ἀπὸ τῶν ἐμῶν τροπαίων [591 H.] μᾶλλον ἢ τῶν ἀρχαίων ὀνομάτων προσαγορεύεσθαι. Πότε οὖν ἢ πόθεν ἀνοικιοῦμεν τὴν πόλιν; ὑπέκρουσέ τις. Ποίαν γὰρ ἐπιζητεῖς ἔτι πόλιν, τὰς τριήρεις ἔχων, τῆς νέας πόλεως οἰκιστὴν ἔχων τὸν Πύθιον; Προβάλλεται δὲ αὐτῆς ἀντὶ μὲν τειχῶν τὴν θάλασσαν, ἀντὶ δὲ πύργων, τὰς νήσους, ἀντὶ δὲ κόσμου τὰ τρόπαια. Εἰ δὲ καὶ τοὺς ὅρους αὐτῆς ἐπιζητεῖς μαθεῖν, περίελθε κύκλῳ τῷ λογισμῷ τὴν οἰκουμένην ἅπασαν, καὶ γῆν ὅση βατή, καὶ θάλατταν ὁπόση πλόϊμος [7]. οὗτοι τῶν Ἀθηνῶν τῶν ἐπὶ Θεμιστοκλέους οἱ ὅροι. Ἀπαιτήσω Ξέρξην ἀντὶ τοῦ θαλλοῦ τῆς Ἀθηνᾶς τὴν πλάτανον, ἵνα δύο βλέπηται τῆς θεοῦ κατὰ τὴν ἀκρόπολιν τρόπαια, κατὰ μὲν Ποσειδῶνος ὁ θαλλὸς, κατὰ δὲ τῶν βαρβάρων ἡ πλάτανος.

Ex Oratione militari. — Proœmium.

Non astipulor iis, qui eorum, qui memoriter solent dicere, legem reprehendunt, verum laudatoribus assentiar. Absurdum enim est cum a memoria dicendi subsidium petant oratores, contra eamdem dicere. Legislator enim metum mortis orationis dignitate eximens, audaciam strenuam in periculis, omnibus injecit. Laudis causam,mea quidem sententia, omnes communem habent : at horum virorum præ cæteris eximia est. Quidam enim dum alios laudare conantur, ut genus ac stirpem prædicent,ad majorum encomia orationem convertunt, aut patriam unde majores exstiterunt. Omnes enim qui laudantur, exteri fere fuerunt. Sed adversus hos hæc lex non vicit,sed simul Athenienses nominaverat,et hac appellatione ostendis indigenas esse. Vivebant sine armis,tela non producebant,equis uti non didicerant.Usui tamen esse docuit equos in certaminibus ac præliis. In certaminibus ramo et germine oleagino victoriam denuntiabant. Cum ramo oleæ dico, deam indico.Hoc enim Palladis insigne existimo.Nec vero id quod hujusmodi quis dixerit,difficile est ad inveniendum : saltem ut hæc non imitans procul ab iis rebus sit, quas quidem partim pro civitate majores illic jacentium, partim vero pro universa Græcia filii parentes suos imitati, per omnem ætatem et successionem gentis fortitudinem proferentes susceperunt. Heraclidarum vero potentiam admittentes, alterius quidem injurias compescuerunt, sibi vero fortunam mutantes, totius Peloponnesi reges pro exsulibus fecerunt. Invidia autem tunc temporis in hanc urbem tria bella Doricum simul, et Bœoticum et insuper Chalcidense concitarunt. **364** *a* Qua igitur ratione his omnibus urbs restitit? Ceciderunt Bœoti,Dores servati quieverunt; Chalcidenses omnes abducti sunt. Tria vero tunc fixit tropæa, sed illustrior est quam

B [1105 R.] Ἐκ τοῦ πολεμαρχικοῦ. — Τὸ προοίμιον.

Οὐ τοῖς ψέγουσι τὸν νόμον τῶν ἐπὶ τοῦ μνήματος εἰωθότων λέγειν, ἀλλὰ τοῖς ἐπαινοῦσι συνθήσομαι. Καὶ γὰρ ἄτοπον τὴν τοῦ λέγειν ἐξουσίαν παρ' αὐτοῦ λαβόντας, κατ' αὐτοῦ [8] τῇ [παρὰ] τοῦ λέγειν ἐξουσίᾳ χρῆσθαι. Τὸν γὰρ ἐκ τοῦ θανάτου φόβον ὁ νομοθέτης τῇ παρὰ τοῦ λόγου τιμῇ παραμυθούμενος, ἄοκνον πᾶσι τὴν τόλμαν τὴν ὑπὲρ τῶν κινδύνων καθίστησιν. Ἡ δὲ τῶν ἐγκωμίων ἀρχὴ τῷ μὲν [9] δοκεῖν κοινὴ πρὸς ἅπαντας [10], τὸ δ' ἀληθὲς τῶν ἀνδρῶν τούτων ἐξαίρετος. Οἱ μὲν γὰρ τοὺς ἄλλους ἐπαινεῖν σπουδάζοντες, ἵνα τὸ γένος ὑμνήσωσιν, εἰς προγόνων τινὰς εὐφημίας τὴν τοῦ λέγειν φύσιν ἀναβιβάζουσιν, ἢ τὴν γῆν ὅθεν οἱ πρόγονοι τῶν ἐπαινουμένων ἐγένοντο. Πάντες γὰρ ἐπιεικῶς οἱ πρόγονοι τῶν C πανταχοῦ θαυμαζομένων ἐπήλυδες. Οὐ μὴν καὶ κατὰ τούτων ὁ νόμος οὗτος νενίκηκεν, ἀλλ' ὁμοῦ τε Ἀθηναίους εἴρηκας, καὶ μετὰ τῆς ἐπωνυμίας δηλοῖς τοὺς αὐτόχθονας. Ἄοπλος ἦν ὁ βίος· ὅπλα τῶν κινδυνευόντων προὐβάλετο [11]. Ἵππων χρῆσιν οὐκ ἠπίστατο· μερίζει πρώτη πρὸς ἆθλους καὶ πολέμου χρείαν τὴν ἵππων γένεσιν. Κριθείσης δὲ τῆς ἁμίλλης θαλλῷ τε [12] καὶ κύματι, τῷ θαλλῷ τὴν ψῆφον τίθενται. Τῷ θαλλῷ δ' ὅταν εἴπω, τῇ θεῷ [13] λέγω· Ἀθηνᾶς γὰρ, οἶμαι, τὸ γνώρισμα. Ἀλλὰ γὰρ οὐχ ὅ τι τις τοιοῦτον εἴπῃ [14] χαλεπὸν εὑρεῖν, ἀλλ' [οὖν] [15] ὅπως μὴ τούτοις ἑπόμενος πόρρω τῶν πράξεων γένηται, ἃς τοῦτο μὲν ὑπὲρ τῆς πόλεως οἱ τῶν τῇδε κειμένων πρόγονοι, τοῦτο δὲ ὑπὲρ τῆς ὅλης [16] Ἑλλάδος ἤραντο, παῖδες πατέρας μιμούμενοι, καὶ διὰ πάσης D ἡλικίας τε ὁμοῦ καὶ διαδοχῆς τοῦ γένους τὴν εὐψυχίαν καταβιβάζοντες. Ἡρακλείδας δὲ ὑποδεξάμενοι τὸν μὲν ὑβρίζοντα τῆς παρανομίας ἔπαυσαν, αὐτοῖς δὲ τὴν τύχην ἀμείψαντες βασιλέας Πελοποννήσου πάσης ἀντὶ φυγάδων [17] εἰργάσαντο. Ἐκίνησε φθόνος [592 H.] ποτὲ κατὰ τῆς πόλεως Δωρικὸν ὁμοῦ καὶ Βοιώτιον καὶ προσέτι Χαλκιδέων τῶν ἀπ' Εὐβοίας

VARIÆ LECTIONES.

[6] ἐμὴ] Ἑλληνικὴ Wernsdorflus. [7] πλωΐμος ς. [8] καθ' ἑαυτοῦ C. [9] μὲν om. B. [10] ἅπαν B. [11] προὐβάλλετο ABC. [12] τε] τε ἐλαίας C. [13] τῇ θεῷ A : τὴν θεὸν ς. [14] εἴποι B. [15] οὖν om. C. [16] ὅλης om. C. [17] φυγάδος B.

ἐκ τρίτου πόλεμον. Πῶς οὖν ἅπασι τούτοις ἡ πόλις ἀντέστη; ἔπιπτον Βοιωτοὶ, Δωριεῖς ἠγάπων σωζόμενοι, Χαλκιδεῖς ἅπαντες ἥγοντο, τρία δὲ εἱστήκει τρόπαια. Τῶν δὲ τροπαίων τὸ τάχος ἐστὶ λαμπρότερον· τὸ γὰρ κατ' Εὐβοίας καὶ Βοιωτῶν μιᾶς ἦν ἡμέρας τὸ συναμφότερον. Ἀλλὰ γὰρ ἔοικα πᾶσι τὸ μέρος ἀποδιδόναι τῆς εὐφημίας βουλόμενος τοῖς [18] ἄνω χρόνοις ὑπὲρ τῆς πατρίδος καὶ παντὸς τοῦ γένους κατὰ τὰς μάχας πρωτεύσασιν [19], οὔτε τούτοις τὴν ἀξίαν τηρεῖν τῷ τὸ μέγεθος τῶν πράξεων ἐν τῷ τῶν λόγων τάχει συγκρύπτεσθαι, καὶ μήπω τούτων προσάπτεσθαι, ὧν ἡ τῶν ἀκροωμένων προσδοκία ζητοῦσα πάλαι τὸν ἔπαινον ἀσχάλλειν ἔοικεν ὅτι μήπω τῆς ἐπιθυμίας ἐμπίπλαται. Οὐκοῦν ἐπὶ ταῦτα ἤδη ἰτέον τῷ λόγῳ. Τὸ δὲ ἐξ ἀνάγκης ἀπολείπεσθαι μέλλειν τῶν πράξεων, ὅτι κοινὸν ἁπάντων, οὐδενὸς ἂν εἴη δίκαιον ἔγκλημα.

A victoria celeritas. Uno die Eubœis et Bœotis tropæa erecta sunt. Etenim cum cupiam omnibus gloriæ aliquam partem iis tribuere, qui superioribus illis temporibus pro patria, omnique populo, pugnando primas ferebant, visus sum ne his quidem satis dignam contulisse, rerum gestarum magnitudinem verborum exilitate deterendo, neque attingendo ea quorum laudem auditores pridem exspectantes indignari videntur, quod eorum fiat minime desiderio satis. Hæc igitur jam oratione tractanda. Necessitate vero parem dicendo non esse, non unis proprium crimen, sed commune omnium fuerit.

Πέρσαι κλῆρον ἕνα τὴν ὑφ' ἡλίῳ πᾶσαν δεῖξαι τοῖς ὅπλοις βουλόμενοι, μικρῷ μέρει τῷ πρὸς ἑσπέραν πληρῶσαι τὴν ἐπιθυμίαν ἀπείργοντο. Ὡς δ' ἀφεὶς ἀπ' [20] Ἰωνίας ὁ στόλος, καὶ πάλιν ἀποκρύψας πλήθει νεῶν τὸ φαινόμενον, περὶ τὰς νήσους τὰς κατ' Αἰγαῖον ἐσχίζετο, [1108 R.] τὴν μὲν Ναξίων πόλιν πρὸς τὴν θάλατταν εὐθὺς μερίζεται, τῇ μὲν ἀφεὶς [21] μετὰ τῆς ἐπωνυμίας τοὔδαφος, αὐτὸς δὲ τὸ γένος εἰς τὰς τριήρεις ἐνθέμενος· τὸν δὲ Ἐρετριέων δῆμον ὅπλων μὲν οὐκ ἠξίωσαν, ἐλάττονα Περσικοῦ πολέμου τὴν τύχην αὐτῶν νομίσαντες, χειρὶ δὲ χεῖρα πάντες ἀλλήλων συνέχοντες σαγηνείας εἰκόνα τὴν Ἐρετριέων ἔδειξαν πόρθησιν. Ἐπεὶ δὲ καὶ Μαραθῶνος ἥψαντο, τὰ μὲν τῶν ἐλπίδων ἠφάνιστο, ἐγνώρισαν δὲ καλῶς διὰ τῆς πείρας μαθόντες ὅσον τὸ μέσον Ἐρετριέων καὶ τῆς ἡμετέρας πόλεως. Τότε τις καὶ κατὰ τριήρους ὅλης ναυτικὸς στρατιώτης ἐτόλμησεν· ἐπιδραμὼν γὰρ τοῖς φεύγουσιν εἰς τὴν θάλασσαν Φοινίσσης νεὼς λαμβάνεται, κρείττονα δεξιὰν ἔχειν τριήρους ὅλης οἰόμενος. Δείσαντες δὲ ὑπὲρ τῆς τριήρους οἱ βάρβαροι, μὴ δεξιᾶς Ἀττικῆς γένηται λάφυρον, πελέκει τὴν χεῖρα μερίζουσιν. Ὁ δὲ πληγεὶς ἔκειτο τῆς μὲν χειρὸς ἀφαιρεθεὶς [22], τῆς δὲ τριήρους ἐχόμενος. Ὦ πρῶτοι τὴν Περσῶν τύχην ἐλέγξαντες! ὦ κρείττους τῆς ἀνθρωπίνης φύσεως νίκας νικήσαντες! ὦ μετὰ διηγημάτων πεσόντες, ἃ μήτε πρὸ ὑμῶν μήτε μεθ' ὑμᾶς ὁ χρόνος ἤνεγκεν! ὦ σεμνότερον τροπαίου τάφον κτησάμενοι! ὧν τὸ Μαραθῶνος ὄνομα τοῖς ἡλίου δρόμοις συναποτείνοντες! Μαραθὼν μὲν ἔχει τὰ σώματα, τὰς δὲ ψυχὰς οἱ συστρατιῶται θεοί, γῇ δὲ τὸ κλέος καὶ θάλαττα. Θυμουμένου δὲ τοῦ Ξέρξου κατὰ τῆς πόλεως οὐδὲν τῶν πάντων ἡσύχαζεν, ἀλλὰ πᾶν αὐτῷ συνεκινεῖτο καὶ συνεσείετο, καθάπερ Ποσειδῶνος αὐτοῦ τινάσσοντος [23] γῆν ὁμοῦ πᾶσαν καὶ θάλατταν [24]. Γῆ [593 H.] δὲ καὶ θάλαττα τὴν ἀλλήλων φύσιν ἠλλάττοντο. Τοῖς μὲν πορθμοῖς ἐπετίθει τὴν ἤπειρον, τὰς δὲ Φοινίσσας διὰ τῶν ἰσθμῶν ἔπεμπεν. Ὤφθη τότε πάσης ἐλπίδος κρείττονα θαύματα, ἵππος καθ' Ἑλλησπόντου [25] Μηδικὴ, καὶ δι' Ἄθω μέσου στόλος τριηρῶν πεμπόμενος. Ἀπείχετο δ' ὁ Ξέρξης οὐδὲ οὐρανοῦ τοῖς

B Persæ totum terrarum orbem uno regno volentes includere, spe sua frustrati sunt, cum una parte Occidentalis regni cupiditatem implere non potuerint. Classis enim ex Ionia solvens, iterumque multitudine navium æquor tegens, insulasque Ægæi maris, dissipata est. Naxiorum quidem civitatem ad mare statim invadit, ubi eam urbem funditus una cum nomine diruerunt, et gentem in triremes imposuerunt. Operæ pretium non duxerunt cum Eretriensibus armis decertare, quod eorum fortunam Persico bello inferiorem putarent. Inter se manibus consertis ita invaserunt Eretrienses, ac si in sagena concluderent. Cum Marathonem attigissent, spes labefactata est. Probe enim experimento docti didicerant, quantum inter nos et Eretrienses interesset. Tum navalis quidam miles adversus integram triremem ausus est depugnare. Urgens fugientes ad mare Phœniciæ, navi manus injecit, fortiorem existimans tota navi dextram. Veriti autem Barbari, ne navis eorum Atticæ dextræ in prædam cederet, securi manum amputant : ipse vero saucius sine manu jacebat, triremem tamen mordicus tenens. O vos primi, qui Persarum fortunam illusistis! O vos qui majora vincitis quam natura humana permittat! O qui occumbitis cum ea rerum gestarum historia, quam neque ante vos, nec post tempus tulit! O qui illustriorem **364***b* nacti estis tropæo sepulturam, qui nomen Marathonis solis cursibus extenditis! Marathon tenet vestra corpora, animas ipsi dii, qui vobiscum pugnarunt, gloriam terra continet ac mare. Xerxes autem huic urbi infestus nihil intactum reliquit, sed omnia movebat et concutiebat, quasi Neptunus terram et simul mare concuteret : terra et mare suam invicem naturam permutabant. Imposuit terram fretis, et Phœnicum naves per continentem misit. Tunc omni spe majora miracula vidimus, per Hellespontum equitatus Medorum, per Athonem triremium classis iter fecit. Quin et ad cœlum usque audaciam suam Xerxes extendit, et suis prodigiosis factis transilivit a mari in ter-

VARIÆ LECTIONES.

[18] τοῖς] malim τοῖς ἐν τοῖς. [19] πρωσεύσασα ς. [20] ἀπ' A : ἐπ' ς. [21] ἀφεὶς codices Himerii. Photiani ἀφεῖσα. [22] ἀφαιρεθείσης A. [23] τίνασσ. τὴν γῆν ς. [24] θάλασσαν B. [25] ἑλλήσποντον ς.

ram, a terra in cœlum, inde in solem. Nam jacu- A lans solis lumen obtexit, navigans maris naturam mutavit,iter faciens cum exercitu terræ angustiam incusavit. Prætereo maria triremibus cooperta; taceo exercitum naturæ numerum excedentem; omitto gentes alimentis præbendis impares, et regem ubique metum incutientem,ubinam vero esset propter copiam exercitus, ignoratum. Hujusmodi itaque tumultu, ac tanto terrore terra universa fremente, et omnibus Græciæ interitum auguran- tibus, hi quidem tantum commodi in calamitatibus sperabant, quantum ab ipsorum civitatibus Persæ abessent : civitas vero nostra regi omnia turbanti non cessit, nec metu rumoris,turpe quid antequam sentisceret decrevit, sed statim post primam lega- tionem rege superior fuit. Ipse quidem servitutis B poposcit conditiones : illi libertatis remiserunt.Capitale erat siquis legatis munera daret. Nihil vero omnino illo terrebat, nihil, cur virtutis oblivisce- rentur, efficiebat. Non Lacedæmonii jam victi, qui Græcis adeo profuerunt, ut fortiter dimicando occubuerint, non verberari fluctus, non puniti venti, et mollis contra naturam Barbarus, terrebant. O majora ausos Xerxe [contra naturam] ! O animos elementis fortiores ostendentes ! O Persarum telis animo concidentes ! O duobus tropæis classem decem annorum illudentes ! Vos eum qui per totum orbem et mare ivit, coegistis furtim et clementer salutem suam quærere : qui soli ostendistis **365***a* omnibus hominibus omnes copias virtute posse C coerceri.

Sed hæc etiam silentio prætereamus, et factæ cum rege pacis recordemur, quæ hanc urbem omni tropæo illustriorem reddit, et merito. Hoc sæpe fortuna fit, sed illud, regem libenter urbi cedere spatio itineris equi unius diei, superiori mari abstinere,intra Chelidoneas,et Cyaneas naves non mittere, quomodo non sinceram undecunque urbi gloriam parat ?

Etenim Atheniensium varia tropæa,et navales et pedestres pugnas,et qua ratione tyrannidi omnique potentiæ restiterint,alias diversis temporibus pro hac gente varia certamina recipientes, nec mihi facile est recensere, nec siquis id prius aggressus sit. Quare existimo unum et idem monumentum conjungi opor- D tere, quemadmodum qui renuntiant in stadio victores,sic et huic verbi secundum legem consecrandum esse.O qui omnem terram et mare qua iter est[victoria et] tropæis, et qua iter non est, gloria et splendore complevistis, qui soli maximis rebus gestis tempus et invidiam superastis, qui omnem terram

τολμήμασιν, ἀλλὰ μετήει καὶ μετεπήδα τοῖς θαύμασιν ἀπὸ θαλάσσης ἐπ' ἤπειρον, ἀπὸ γῆς ἐπ' οὐρανὸν ἐκεῖθεν καὶ ἥλιον· τοῦ μὲν γὰρ τοξεύων τὸ φῶς ἀπέκρυπτεν, τῆς δὲ πλέων τὴν φύσιν ἤμειβεν, τῆς δὲ πεζεύων τὴν χρείαν ἤλεγχεν. Καὶ σιωπῶ πελάγη μὲν ὑπὸ τριηρῶν κρυπτόμενα, στρατόπεδα τῆς ἀριθμοῦ φύσεως κρείττονα, ἔθνη δὲ δείπνων δαπάνης ἥττονα, βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ, οὗ δὲ γῆς εἴη [26], διὰ τὸ πλῆθος λανθάνοντα. Τοσούτου τοίνυν θορύβου γῆς ἁπάσης ἠχήσαντος, καὶ κρινομένων ἐπὶ τῆς Ἑλλάδος τῶν ὅλων, οἱ μὲν ἄλλοι σύμπαντες τοσοῦτον ἐν τοῖς δεινοῖς κερδαίνειν ᾤοντο ὅσον ἀπεῖναι Πέρσας τῶν πόλεων, οὐ μὴν καὶ ἡ πόλις εἶξε βασιλεῖ τὰ πάντα σείοντι, οὐδὲ φόβῳ τῆς φήμης αἰσχρόν τι καὶ πρὸ τῆς πείρας ἐβούλευσεν [27], ἀλλ' ἀπὸ [28] τῆς πρεσβείας πρώτης [29] κρειττων βασιλέως ἐγίγνετο. Ὁ μὲν τὰ τῆς δουλείας ἀπῄτει σύμβολα, οἱ δὲ τὰ τῆς ἐλευθερίας ἀντέπεμπον· ἦν γὰρ θάνατος ἡ τῆς πρεσβείας ἀντίδοσις. Ἔφόβει δὲ αὐτοὺς οὐδὲν [30] τῶν ἁπάντων, οὐδὲ ἐποίει τῆς ἀρετῆς ἐπιλανθάνεσθαι, οὐ Λακεδαιμόνιοι πίπτοντες καὶ τοσοῦτον συντελοῦντες τοῖς Ἕλλησιν ὅσον ἀνδρείως ὑπὲρ θανάτου βουλεύσασθαι, οὐ μάστιζόμενα κύματα καὶ κολαζόμενα πνεύματα καὶ τρυφῶν βάρβαρος κατὰ τῆς φύσεως. Ὦ μείζονα Ξέρξου τολμήσαντες [31] ! ὦ ψυχὰς στοιχείων βεβαιοτέρας ἐπιδειξάμενοι ! [1109 R.] ὦ τοῖς Περσῶν τοξεύμασιν οὐ καλυφθέντες [32] τὸ φρόνημα ! ὦ δύο τροπαίοις δεκαετῆ στόλον ἐλέγξαντες ! ὑμεῖς τὸν ἐπὶ πᾶσαν ἰόντα [33] γῆν καὶ θάλατταν ἀγαπητῶς κλέψαι τὴν σωτηρίαν κατηναγκάσατε. Ὦ μόνοι δείξαντες ἀνθρώποις [34] ἅπασιν ὅτι πᾶσα χεὶρ ὑπ' ἀρετῆς ἐλέγχεται.

Ἀλλὰ κἂν ταῦτα σιγῇ παρέλθωμεν, κἂν τῆς εἰρήνης πρὸς βασιλέα γεγενημένης μνημονεύσωμεν, ἢ παντὸς τροπαίου σεμνοτέραν ἔτι τὴν πόλιν ἐργάζεται. Καὶ μάλα εἰκότως. Ἃ [35] μὲν γὰρ καὶ τύχης ἔργον πολλάκις· τὸ δὲ ἑκόντα συγχωρῆσαι βασιλέα τῇ πόλει ἵππου μὲν δρόμον ἡμέρας θαλάττης ἀφέξειν ἄνω, εἴσω δὲ Χελιδονέων καὶ Κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν εὔκλειαν ;

Ἀλλὰ γὰρ Ἀθηναίων τὰ μυρία τρόπαια καὶ ναυμαχίας καὶ πεζομαχίας, καὶ ὡς πρὸς ἅπασαν μὲν τυραννίδα πρὸς ἅπασαν δὲ δυναστείαν ἀντέστησαν, ἄλλοτε κατ' ἄλλους χρόνους [36] ὑπὲρ τοῦ γένους μυρίους ἀγῶνας ἀναδεζάμενοι, οὔτε ἐμοὶ διεξελθεῖν ῥᾴδιον οὔτε εἴ τις πρότερον ἐπικεχείρηκε. [594 H.] Διόπερ οἶμαι δεῖν, ὡς οἱ τοὺς ἐν τοῖς σταδίοις νικηφόρους ἀνακηρύττοντες, ἕν καὶ ταυτὸν συνθεῖναι γνώρισμα, εἶθ' οὕτω ταύτῃ καὶ πρὸς τὸν νόμον ἀφοσιώσασθαι. Ὦ πᾶσαν γῆν καὶ θάλασσαν, ὅση μὲν βατή, νίκης [37] καὶ τροπαίων, ὅση δ' ἄβατος, δόξης καὶ κλέους πληρώσαντες ! Ὦ μόνοι ταῖς μεγάλαις

VARIÆ LECTIONES.

[26] εἴη mg., ἴη pr. C, ᾖ cæteri. [27] καὶ πρὸ τῆς πείρας ἐβούλευσεν] πεποίηκεν B et rc. A. pr. enim. om. [28] ἀπὸ] καὶπρὸ B et corr. A. [29] πρώτης] αὐτῆς B et corr. A. [30] οὐδὲν ς. [31] post τολμήσαντες cum ABC omisi κατὰ τῆς φύσεως. [32] καμφθέντες ς. [33] ἰόντα Scaliger : libri ἰδόντα. [34] ἀνθρώποις om. C. [35] libri σι. [36] κατ' ἄλλους χρόνους] fortasse legendum κατ' ἄλλων. [37] νίκης om. C. et pr. A.

πράξεσι χρόνον καὶ φθόνον νικήσαντες! Ὦ τὴν οἰκουμένην ἅπασαν οὐ στήλαις ἀλλὰ τροπαίοις μετρήσαντες! Εἴρηται κἀμοὶ τῆς μὲν ὑποθέσεως ἴσως ἔλαττον, τῶν δὲ πολλῶν οὐκ ἐλάττονα. Λείπεται δὲ εὐφήμῳ βοῇ προσηχήσαντας πανδημεὶ πάντας [38] τῷ μνήματι, οὕτω τῆς τιμῆς ἀπαλλάττεσθαι.

A non columnis, sed tropæis dimensi estis. Dixi forsitan minus quam causa exigebat, non tamen minus quam alii plurimi. Reliquum est, ut postquam omnes acclamarint memoriæ, sic omnes discedant.

Ἐκ τοῦ Ἀρεοπαγιτικοῦ ἢ ἐλευθερωτικοῦ τοῦ υἱοῦ αὐτοῦ τοῦ Ῥουφίνου [39]. — Τὸ Προοίμιον.

Ex Areopagetica, seu qua Rufinum filium suum liberali causa manu asserit. — Proœmium.

Ἄνδρες οἱ καὶ θεοῖς ὑπὲρ νίκης πάλαι καὶ νῦν Ἀθηναίοις ὑπὲρ ἐλευθερίας δικάζοντες. Οὐκοῦν τῷ νόμῳ πειθόμενος τὰ τῆς χρείας μόνης φθέγξομαι ῥήματα. Ἐγὼ καὶ σοφιστὴς ἐγενόμην παρ' ὑμῖν καὶ πατήρ. Εἰ σοφιστὴς δεξιὸς, ὑμεῖς ἐπίστασθε· λέγω γὰρ ἀεὶ, καὶ τὴν ἐμὴν πολιτείαν ἔχει τὰ θέατρα· εἰ πατὴρ Ἀττικὸς, ἡ παροῦσα δείκνυσι πρόφασις· οὐ γὰρ ἀνέχομαι τὸν Ἀθηναίων παῖδα μὴ προσαγορεύειν ἐλεύθερον. Πιστεύω καὶ πρὸ ἥβης τὴν ἐλευθερίαν τῷ παιδί. Ἐμός ἐστιν, Ἀθηναῖός ἐστι, πόλεως καὶ πλέον τιμώσης τὸ κοινὸν γῆρας ἢ τὸ τῶν πατέρων ἕτεροι. Οὗτός ἐστιν ἐκ Πλουτάρχου, δι' οὗ πάντας ὑμεῖς παιδεύετε· οὗτος ἐκ Μινουκιανοῦ τοῦ διὰ τῆς ἑαυτοῦ φωνῆς πολλοὺς πολλάκις ἐλευθερώσαντος. Τὸν ἐκ Νικαγόρου προσήγαγον ὑμῖν, τὸν ἐξ ἐμαυτοῦ. Σοφιστῶν ὑμῖν καὶ φιλοσόφων λέγω κατάλογον, Ἀττικὴν ὄντως εὐγένειαν. Ἀφῆκα πολλάκις τὰς τοῦ σοφιστοῦ φωνὰς, νῦν τὰς τοῦ πατρὸς ἀφίημι. Ἐδώκατέ μοι παῖδα δι' Ἀττικοῦ γένους· λάβετε τοῦτον καὶ διὰ τῆς ψήφου [40] τῆς ὑμετέρας ἐλεύθερον. Οὐκοῦν ἄφετέ μοι τῇ ψήφῳ τὸν παῖδα, καὶ φωνὴν ἐλευθέριον συνεπηχήσατε, ἵνα ὡς Ἀθηναῖος (ἴσον γὰρ εἰπεῖν ἐλεύθερος) καὶ λέγῃ καὶ γράφῃ παρ' ὑμῖν, κἂν οἱ θεοὶ βούλωνται, καὶ πολιτεύηται.

Viri qui olim de victoriis cum diis decertabatis, et nunc cum Atheniensibus de libertate. Igitur legibus obtemperans ea solum dico, quæ necessaria. Ego et pater apud vos sophistæ fuimus, et num argutus fuerim, vos novistis (hoc enim frequenter usurpo, et meam institutionem theatra loquuntur) num Atticus pater fuerit, hæc declarat oratio. Nolo enim Atheniensium sobolem liberam non B appellare. Libertatem etiam ante pubertatem filio committo. Meus est, Atheniensis est, donum est publicum civitati plus cæteris honoratæ. Hic enim est Plutarchi, quo vos omnes magistro utimini, hic Minuciani, qui sua voce **365***b* plurimos persæpe liberos fecit, hunc Nicagoræ filium vobis adduximus, et hanc meam prolem. Sophistarum vobis, philosophorumque recenseo seriem, decus sane Atticæ. Omisi sæpe sophistarum nomina, nunc patris omitto. Dedistis filium mihi, quoniam Atheniensis est, accipite jam eumdem vestra sententia liberum redditum. Quare dimittite mihi vestro decreto filium, et dein vocem illam liberalem, seu vindicias secundum libertatem acclamante, ut tanquam Atheniensis (quod est ac si dicerem C liber) apud vos et dicat, et scribat, et, si dii velint, etiam in Republica honores assequatur.

[1112 R.] Ἐκ τῆς μονῳδίας τῆς εἰς τὸν αὐτὸν υἱὸν [41] Ῥουφίνον. — Τὸ Προοίμιον.

E funebri laudatione, quam in filium eumdem Rufinum habuit. — Proœmium.

Ἀδικῶ μὲν ὅλως φθεγγόμενος Ῥουφίνου κειμένου, πλὴν εἰ [42] τῷ δαίμονι τετήρημαι πρὸς μόνην τὴν μονῳδίαν τοῦ δράματος. Φθέγξομαί γε ὅμως· οὐ γάρ μοι θέμις μὴ καὶ λόγῳ θρηνῆσαι τὸν αὐτῶν τῶν λόγων ἔκγονον. Ἠγνόουν δὲ ἄρα ὁ δείλαιος ἀντὶ μὲν λουτρῶν ἀνιστάς σοι τάφους, ἀντὶ δὲ οἰκιῶν τύμβους καὶ χώματα, ἀντὶ δὲ πλούτου καὶ χλιδῆς τραγικώτατα δῶρα τῶν ἐν ἀνθρώποις, ἐντάφια. Ἐδημαγώγεις ἄρτι τὰ [59ὃ H.] πρῶτα φθεγγόμενος, ἀνήρτησο πᾶσαν τὴν ὑφ' ἥλιον τοῖς ἀσήμοις ἔτι κνυζήμασιν. Ἔπειθε Περικλῆς, ἀλλὰ μετὰ Ἀναξαγόραν δημηγόρος· σὺ δὲ ἦσθα δημηγόρος ἐκ μέσων σπαργάνων. Εἷλεν Ἀλκιβιάδης ὅλον τὸ θέατρον, ἀλλ' ἀκμάζων ἤδη τὴν ὥραν καὶ τὴν ἡλικίαν μειρακιούμενος· σὺ δὲ ἔτι τῷ μαστῷ [43] καὶ τῷ γάλακτι προσκείμενος.

Quod jam mortuo Rufino verba facere incipiem facio inique, nisi a numine quodam ad monodiam dramatis servatus sim : loquar tamen. Non enim mihi fas est oratione illum non deplorare horum eloquentiæ studiorum alumnum. Nesciebam itaque infelix pro balneis me tibi sepulcrum, pro domibus bustum, et tumulum, pro divitiis et voluptate funeralia, quæ hominibus omnium tristissima sunt, erigere. Dixisti, primo nuper ad populum perorans : omnem quæ sub sole est terram indecoris meis verbis implebo. Persuasit aliquando Pericles, sed D postquam ab Anaxagora (41) factus esset orator, tu orator e cunabulis exstitisti. Alcibiades totum suggestum occupavit, sed in flore juventutis, et ætate adolescentiæ. [At tu etiamnum uberibus et lacte nutritus.]

Ὦ πάθος τῆς Αἰσχύλου μεγαλοφωνίας ἄξιον! Ἡρακλεῖ μὲν ἐδέησε πολλῆς περιόδου καὶ τῶν ἄθλων, οἶμαι, τῶν δώδεκα, ἵνα μάρτυρας τῆς ἀρετῆς τὴν ὑφ' ἥλιον πᾶσαν κτήσαιτο· σὺ δὲ εἴσω τοῦ κύκλου

O dolor Æschyli dignus cothurno! Herculem teras pervagari, oportuit et 12 adeo labores subire, ut terrarum orbem veluti virtutis suæ testem relinqueret. Tu vero intra tuos commoratus terminos,

VARIÆ LECTIONES.

[38] πάντας expungit A, om. C. [39] τοῦ Ῥουφίνου] ῥοφίνου B. [40] τῆς ψήφου add. A. [41] αὐτὸν υἱὸν] υἱὸν αὐτοῦ B. [42] εἰ] ἐν AC. [43] μαστῷ ς.

NOTÆ.

(41) Valer. Max. lib. v extr.

egregie factis Herculis columnas nobis superasti. Quod, quæso, numen auream cæsariem familiæ detondit meæ (42)? quis gloriæ meæ splendorem exstinxit? quænam furiam genarum ruborem, blandum jucundumque vultus tui risum eripuit? Qua ratione, heu me, passus es, o Liber, e delubris tuis sacrum diripi juvenem? Commune hoc adversum te meamque familiam Erinnyes tropæum fixerunt. Cur ei thalamum nuptialem inferiorem non apparavi, quandoquidem superiorem ei Parcæ inviderunt. Hem, quibus quam tristibus servatus sum luctuosis sermonibus! **366***a* Omnia cum orationum argumenta tractarim, unum luctus semper declinavi; nesciebam enim me meis lamentis servari. Jam pridem cogitabas tuum hinc discessum, jam pridem aliis, qui poterant, conjiciendum B reliquisti, quod hac sorte melior esses. O qui antea ætatis terminos virtutum dotibus transisti, jam vero morte commutasti! qui fraterno amore etiam Dioscuros superasti. Illi quidem pro Helena bellum gesserunt, raptum tamen prohibuerunt. Tu vero fratris tui germani custos omni muro eras fortior, tu omnibus morbis solo animi robore semper restitisti. Improbus fortasse dæmon, et crudelis ideo tecum contendit, et multis præliis superatus tandem aliquando clandestinis et fallacibus machinis te prostravit. Neque vero cessisti ad extrema usque dæmoni, ut possumus audire, sed corpore licet cesseris, animo non cessisti. Verum strangulavit ille, perque vim abstulit; tu vero in ipso laqueo C animam agebas, amabilem tibi nutricem voce inclamans, donec te omni ope destitutum, sic laqueo conclusit. Noverat enim quod sæpe victus, patre præsente et juvante, discesserat. Viceras et obstinatos immobilesque judicum animos: et tum primum serverum illum concessum risisse apparuit. Desiderio tui mentes illas flexisti, quas dii ipsi judicio disceptantes flectere nequierunt. Occlusisti jam mihi morte portas urbis, occlusisti Eleusina. Qua ratione Minervæ sacrificabo, quæ pro te Furiam contra dæmonem illum non excitavit? Quomodo deum patrium colam pater ob filium contristatus? O audaces sermones! Jacet Rufinus, et vos adhuc floretis? O infelix lingua, Musarum prius instrumentum, nunc vero turpis dæmonis! D O qui clarius Lucifero splenduisti! qui lætissimum mihi tum diem ostendisti, cum te primum sol conspexit! Jam vero rursum tristissimum, quo acerbum illum, et tragicum nuntium percepi! O qualem casum pro hac spe, o dæmon, mihi destinasti! Defleo jam quem Minuciano vehementiorem, Nicagora graviorem, Plutarcho eloquentiorem, Musonio sapientiorem, Sexto fortiorem, et omnibus denique

Λ μένων ὑπερέβης τὰς στήλας ἡμῖν τὰς Ἡρακλείους τοῖς θαύμασι. Τίς ἀπέκειρε δαίμων τῆς ἐμῆς ἑστίας τὸν χρυσοῦν βόστρυχον; τίς τὸν πυρσὸν τῆς ἐμῆς δόξης ἔσβεσε; τίς Ἐρινύων [44] τὸ παρειῶν ἔρευθος καὶ τὸ προσηνὲς καὶ ἡδὺ μειδίαμα τῶν σῶν προσώπων ἐσύλησεν; Οἴμοι, Διόνυσε! πῶς ἤνεγκας ἐκ τοῦ σοῦ τεμένους παῖδα τὸν ἱερὸν ἁρπαζόμενον; κοινὸν ἔστηκε κατὰ σοῦ καὶ τῆς ἐμῆς ἑστίας Ἐρινύσι τοῦτο τὸ [45] τρόπαιον. Τί δὲ οὐχ ἡτοίμαζον αὐτῷ τὸν κάτω θάλαμον, ἐπειδὴ τὰς ἄνω παστάδας Ἐρινύων φθόνος ἐξήρπασεν; οἵαις μονῳδίαις τετύτημαι; πάσας ὑποθέσεις τολμήσας λόγων μόνους τοὺς θρήνους ἐξέκλινον. Ἐλάνθανον δὲ ἄρα τοῖς ἐμαυτοῦ θρήνοις τηρούμενος. Ποῤῥωθεν ἄρα ἐμμελέτησας [46] τὴν ἐνθένδε ἀναχώρησιν, πόῤῥωθεν εἰδίδως [47] τοῖς δυναμένοις τεκμήρασθαι ὅτι κρείττων ἄρα ἦσθα τῆς τῆδε [48] λήξεως. Ὦ πρότερον τοὺς τῆς ἡλικίας ὅρους τῇ τῶν ἀρετῶν κτήσει, νυνὶ [49] δὲ τῷ θανάτῳ παραμειψάμενος! ὦ φιλαδελφίᾳ νικήσας τὰ Διοσκούρων ἐγκώμια! Οἱ μὲν γὰρ ὑπὲρ Ἑλένης ἐστράτευον, τὴν δὲ ἁρπαγὴν οὐκ ἐκώλυσαν· σὺ δὲ φύλαξ τῆς αὐταδέλφου ἦσθα παντὸς τείχους ὀχυρώτερος. Σὺ δὲ πρὸς πάσας νόσους ἕστηκας ἀεὶ μόνῳ τῷ τῆς ψυχῆς παραστήματι. Ἐφιλονείκησέ σοι διὰ τοῦτο ἴσως ὁ πονηρὸς δαίμων καὶ ἄγριος, καὶ πολλὰς ἡττηθεὶς μάχας ὄψέ ποτε λαθραίῳ κατέσεισε μηχανήματι. Εἶξας δὲ οὐδὲ ἄχρι τῶν ἐσχάτων, ὡς ἔστιν ἀκούειν, τῷ δαίμονι, ἀλλὰ παραχωρῶν τοῦ σώματος τοῦ φρονήματος οὐ παρεχώρησας. Ἀλλ' ὁ μὲν ἤγχε [50] καὶ ἐβιάζετο, σὺ δὲ ἐκ μέσου τοῦ βρόχου διετέλεις τὴν φίλην σοι τιθὴν [51] ἀναφθεγγόμενος, ἕως πάσης σε συμμαχίας ποιήσας ἔρημον, οὕτω προσῆγε τὸν βρόχον. Ἤδει γὰρ ὡς πολλάκις ἡττηθεὶς ἀπῆλθε τοῦ πατρὸς παρόντος καὶ συνασπίζοντος. Ἐνίκησας καὶ τοῦ δικαστηρίου τὸ στεγανόν τε καὶ ἄτρεπτον· ὤφθη τότε μειδιᾶσαν πρῶτον τὸ σύννουν ἀεὶ συνέδριον· εἰς πόθον ψυχὰς ἐκίνησας, [1113 R.] ἃς οὐκ ἐκίνησαν οὐδὲ θεοὶ δικαζόμενοι. Ἀπέκλεισάς μοι τῷ θανάτῳ τὰς τοῦ ἄστεως [52] πύλας, ἀπέκλεισάς μοι τὴν Ἐλευσῖνα Πῶς Ἀθηνᾷ θύσω, ἢ τὴν Γοργόνα κατὰ τοῦ δαίμονος ὑπὲρ σοῦ, παιδίον, οὐκ ἔστεισε; πῶς τῷ πατρῴῳ προσεύξομαι, πατὴρ ἐπὶ παιδίῳ λυπούμενος; Ὦ τολμηροὶ [596 H.] λόγοι! κεῖται Ῥουφῖνος, ὑμεῖς δὲ ἔτι νεανιεύεσθε. Ὦ [53] δυστυχὴς γλῶττα, ὦ πρότερον μὲν ὄργανον Μουσῶν, νυνὶ δὲ ἀμούσου δαίμονος! Ὦ λάμψας ἑωσφόρου ταχύτερον! ὦ πασῶν μὲν δείξας ἐμοὶ φαιδροτέραν ἡμέραν, ὅτε σε εἶδε πρῶτον ὁ ἥλιος, πασῶν δὲ ἀφεγγεστάτην αὖ πάλιν, ἀφ' ἧς τὴν δυστυχῆ καὶ τραγικὴν φήμην κεκόμισμαι! Οἵαν τύχην ἀνθ' οἵων ἐλπίδων ὁ δαίμων μου κατεψήφισται! Θρηνῶ νῦν ὃν δεινότερον ἤλπισα Μινουκιανοῦ φθέγξασθαι, σεμνότερον δὲ Νικαγόρου, Πλουτάρχου δὲ εὐγλωττότερον, Μουσωνίου δὲ φιλο-

VARIÆ LECTIONES.

[44] ἐριννύων ς. [45] τὸ om. A. [46] ἐμελέτησας C : ἐμμελετήσας ς. [47] ἐδίδους B. [48] τῇδε mg. : τοῦδε ς. [49] νῦν A. [50] ἦγχε B : εἶχε ς. [51] τηθην pr. A, τήθὴν C, νηθὺν B. [52] ἄστεος ς. [53] ὦ om. A.

NOTÆ.

(42) Virg. lib. IV, vers. 689 *Æneid.*, *Nondum isti Proserpina crinem*,... ex Euripidis *Alcestide*.

σοφώτερον, Σέξτου δὲ καρτερικώτερον, πάντων δ' ὁμοῦ τῶν προγόνων λαμπρότερόν τε καὶ κρείττονα [54]. Αὐτὸς μὲν γὰρ παρεχώρουν ἔτι κουρίζοντί σοι τὰ νικητήρια, καὶ τοὺς σοὺς λόγους τῶν ἐμάυτοῦ λόγων ἡγούμην κρείττονας. Προὔκρινον τῶν σπουδασμάτων τὰ σὰ ψελλίσματα. Ἀλλὰ ταῦτα πάντα ὁμοῦ συλήσας ὁ δαίμων οἴχεται, ἐμοὶ δὲ ἀφῆκεν ἀντὶ σοῦ θρήνους καὶ δάκρυα. Κοσμήσω σε καὶ ἐπιταφίοις ἀγῶσι, καὶ παραδώσω τῷ χρόνῳ τὸ σὸν ὄνομα, καὶ γενήσομαι τοῦ δαίμονος κατὰ τοῦτο γοῦν τὸ μέρος φιλονεικότερος ἵνα ἔχῃ μὲν ἐκεῖνος τὸ σῶμα, τὴν δὲ ψυχὴν ὁ οὐρανὸς, τὴν δὲ δόξαν ἅπαντες ἄνθρωποι.

Ἐκ τοῦ εἰς Σεβῆρον ἐπιθαλαμίου. — Ἐκ τῆς προθεωρίας.

Ἴσως μὲν ἄν τῳ περίεργον εἶναι δόξειε τὸ πρὸ τῶν ἐπιθαλαμίων τεχνολογεῖν· ὅπου γὰρ Ὑμέναιος καὶ χοροὶ καὶ ποιητικῆς αὐτονομίας ἄδεια, τις ἐνταῦθα τέχνης καιρός; Ἐπεὶ δὲ χρὴ τὸν ἐπιστήμονα καὶ ἐν τοῖς τοιούτοις μηδὲν ἄνευ τέχνης ποιεῖν, βραχέα καὶ περὶ τούτων εἰπεῖν ἄξιον. Ἔστω τοίνυν ὁ ἄριστος ἐπιθαλαμίων κανὼν τὸ τὴν μὲν λέξιν πρὸς τοὺς ποιητὰς ὁρᾶν, τὰ πράγματα δὲ πρὸς τὴν χρείαν, τὸ δὲ μέτρον πρὸς τὴν ὑπόθεσιν. Ὧν εἰ πάντων ὁ λόγος ἐστόχασται, σαφέστερον δείξει τὸ σύγγραμμα.

Τὸ Προοίμιον τοῦ ἐπιθαλαμίου.

Ἀπόλλωνά φασι μετὰ τὰς μεγάλας νίκας, ἃς πλήττων τὴν λύραν ἤρατο, καὶ κατὰ παστάδων ἠχῆσαι μέλος γαμήλιον. Ἄγει καὶ Ἀφροδίτην ἐφ' ἅρμα Χαρίτων, καὶ χορὸν Ἐρώτων συμπαίστορα. Καὶ τῆς μὲν ὑακίνθῳ τὰς κόμας σφίγξασα, πλὴν ὅσαι μετώπῳ [55] μερίζονται, τὰς λοιπὰς ταῖς αὔραις ἀφῆκεν ὑποκυμαίνειν, εἰ πλήττοιεν· τῶν δὲ τὰ πτερὰ καὶ τοὺς βοστρύχους χρυσῷ κοσμήσασα πρὸ τοῦ δίφρου σπεύδει [56] πολιτεύοντας καὶ [57] δᾷδα κινοῦντας [58] μετάρσιον. Ἐπεὶ δὲ Πέλοπα οἱ τῆς Ἱπποδαμείας πόθοι [597 R.] Ἔρωτι καὶ Ἀφροδίτῃ λατρεύειν ἔπεισαν, τότε καὶ ὁ Ἀπόλλων τὸν τῶν Νηρηίδων χορὸν ἀθροίσας ἵστησι μὲν αὐτῷ κατ' ἄκρας ἠόνος τὸν θάλαμον· κῦμα δὲ ἦν, οἶμαι, ὁ θάλαμος πορφῦρόν [59] τε καὶ μετάρσιον, ὑπὲρ τοῦ λέχους κυρτούμενον, ἵνα παστάδα μιμήσηται. Ἦν θεὸς καὶ φύσις· καὶ ὁ μὲν ἐδεῖτο γονῆς, ἡ δὲ τοῦ κυΐσκειν μέλλοντος. [1116 R.] Ἵνα δὴ ταῦτα ἄρξηται, θάλαμος τῷ παντὶ τὸ πᾶν ἐγίνετο. Ἐκ δὲ δὴ τῶν γάμων τούτων οὐρανὸς γεννᾶται καὶ ἥλιος, ἔτι δὲ ἄστρων χορὸς, σελήνης φέγγος, καὶ διπλοῖ πόλοι, περὶ οὓς ἡ πρώτη γένεσις τῶν πρώτων τοῦ θεοῦ γάμων ἑλίττεται. Δευτέρους δὴ μετὰ τούτους γάμους Ὠκεανοῦ καὶ Τηθύος ἡ φύσις ἔδειξεν [60], ἀφ' ὧν ἀνίσχουσι μὲν ποταμοὶ καὶ λίμναι, ἔτι δὲ κρῆναι καὶ πηγαὶ καὶ φρέατα καὶ ἡ πάντων μήτηρ ναμάτων θάλασσα, τίκτεται δὲ καὶ φυτὰ καὶ ζῶα, καὶ γῆ οἰκεῖται, καὶ τὸ νηχόμενον λαμβάνει

A superioribus illustriorem **366***b* melioremque speraveram oratorum. Ego ipse victoriam tibi adhuc juveni concedebam, tuamque orationem mea splendidiorem longe arbitrabar, et balbutiente te de studiorum ratione præjudicavi, sed hæc omnia tibi dæmon auferens effugit, et mihi dolorem lacrymasque pro te reliquit. Ornabo te ludis funebribus et posteritati nomen tradam tuum, et hac saltem parte dæmonem vincam, ut ille quidem corpus habeat, animam astra, omnes homines famam.

Ex Epithalamio ad Severum. — Ex præfatione.

Operæ prætium forsitan visum non fuerit, ante B epithalamia artificiosa dicere. Nam ubi Hymenæus, chori, poeticæque libertatis licentia est, quis ibi arti locus? Cum autem in his ipsis sine arte nihil peritum facere oporteat, breviter de his loqui visum. Sit igitur hæc optima epithalamiorum norma, considerare verba, ut in poeticis solet, rem ut in chria, modulum, pro argumenti ratione. Quibus omnibus si accesserit oratio, apertiorem contextum reddet.

Epithalamii Proœmium.

Ferunt Apollinem post clarissimas victorias, quas feriendo lyram adamavit, ad thalamos conjugale cecinisse melos. Venerem etiam in curru Gratiarum et Amorum chorum colludentem ducit, et crines flore hyacintho constringens (43), præter C eos qui fronte dividuntur, reliquos vento spargi permittit, forte in lyra illidantur. Horum vero alas et cæsariem auro vestiens, ante currum mittit ministrantes, et altas quatientes faces. Cum vero Pelopi persuasisset amor Hippodamiæ (44), ut Cupidini et Veneri serviret, tum etiam Apollo collecto Nereidum choro, in summo littore illi thalamum statuit, cujus vicem unda dense agitata, et sublimis in lecti morem flexa, ita ut thorum imitaretur implebat. Erant illic deus et natura : ille quidem fetu indigebat, hæc vero quæ pareret. Ut autem hæc inchoarentur, omnia omnibus pro thalamo erant. Ex his utique nuptiis cœlum (45) et sol generata sunt, astrorum cœtus, lunæ splendor, uterque polus, circum **367***a* quos primus primarum nuptiarum Dei ortus volvitur. Secundum D deinde connubium Oceani, et Tethyos natura [monstravit] a quibus nati fluvii et lacus, scaturigines, et fontes, putei, omniumque aquarum caput mare ; hic autem natæ plantæ, et animalia ; hinc terra incolitur ; hinc pisces assumit mare ; hinc alis penetrabilis aer. Postremo vero connubium ipsum

VARIÆ LECTIONES.

[54] κρεῖττον ς. [55] μετώπιων B. [56] σπένδει A. [57] καὶ om. A. [58] δᾷδα κινοῦντας] διακινοῦντας C. [59] πορφυροῦν ς. [60] ἔδειξεν om. pr. C.

NOTÆ.

(43) *Quam jocus circumvolet : et cupido.* (Horat. *Od.* II, et Lamb.)

(44) Pindarus *Od.* I, *Olymp.*

(45) Hesiod. in *Theogon.*

hominem contemplatorem divinarum, terrenarum vero opificem rerum produxit (hominem enim terræ esse filium, et Atticam partus dolore quasi disruptam tale germen produxisse, ludicra Atticæ venustatis fabula confinxit). Quinetiam Venerem ipsam in mari latitantem, fractis partu fluctibus. Soli splendentem cædem nuptiæ exhibuerunt. Si et fluviorum amores dicere inciperem, magnus se dicendi campus offerret.Nam diligere omnes ipsum mare videntur,ideoque in illud citato cursu et fontibus deferri [quasi inter se mutuo ut amicam conantur amplecti].

Hoc vero fervet,ac delectatur in morem lecti sinuatum ; quasi contra alios fluvios exsultans,quod solo Neptuni amore teneatur.Sic flumina æqualiter orientia et æqualiter a simili origine deducta, communionem dilexerunt. Fertur olim Olympias Alexandri partu felix, Cabiron mysteria in Samothracia, peragendo, vidisse rem divinam agens Philippum etiamnum juvenem, et videndo amore captam, et quasi nuptiarum vota in sacris fecisse. Sponsa autem generis stirpem referebat ad Thraciæ quidem indigenas, sed qui a regibus ortum trahebant. Florent perinde ut verni calices, ut uvæ ejusque agri, quæ uno tempore, et florent, et avelluntur, temperantes ambo, faciles moribus, solis operibus naturalibus a se invicem sejuncti. Hæc artem Minervæ lanificium, ille laboribus Mercurii venustatem consecutus est; hæc de radio, ille de sermone sollicitus. Ille quidem adhuc adolescens, primam ætatis lanuginem producit, hæc vero nubilis redditur. Cupidines e rosis **367***b* corollas nectentes, quas e Veneris decerpunt, cum libet, hortis, thalamo suspendunt. Suadæ, Desiderium, et Cupido, omnem tibi ornatum addiderunt. Cupido insidet oculis,inde mirabiliter resplendens. Desiderium genas rubicundiores reddit, quam rosarum calices natura,quando verno tempore sub initium apertæ summis foliis rubescunt. Suada in labiis tuis habitans, gratiam suam cum verbis instillat. In capite plurima elflorescit flava coma, et in fronte divisa. Etenim si ego natus poeta essem, ut libere de sponsa loquerer juxta thalamum consistens, Fortunæ et cupidinibus,et generalibus diis vota facerem, his ut ad extremum usque sagittas vibrarent, illi ut vitam daret ; tertiis denique, ut legitimæ prolis generationem largirentur, ut una cum scypho nuptiali et curam de natalitiis adhiberemus.

A θάλασσα [61], καὶ ἀὴρ ἐφάνη πτερῷ πορεύσιμος [62]. Τὸν δὲ θεωρὸν μὲν τῶν θείων, ἐργάτην δὲ τῶν ἐπὶ γῆς πραγμάτων ἄνθρωπον ὕστατον ὁ γάμος ἐγέννησε (τὸ γὰρ γῆς παῖδα γενέσθαι ἄνθρωπον, καὶ τὴν Ἀττικὴν ῥαγεῖσαν ὠδῖνα τοσοῦτον βλαστῆσαι βλάστημα, μῦθός ἐστιν Ἀττικῆς χάριτος παίγνιον). Οὗτος καὶ τὴν Ἀφροδίτην αὐτὴν κατὰ θάλασσαν λανθάνουσαν, ῥήξας τῷ τόκῳ τὰ κύματα. ἔδειξεν ἡλίῳ μαρμαίρουσαν. Τοὺς δὲ ποταμῶν ἔρωτας εἰ λέγειν ἐθέλοιμι [63], μυρίος ἂν ποταμῶν ἐπιῤῥέοι [64] ὄχλος τῷ λόγῳ. Πάντες γάρ μοι δοκοῦσι θαλάττης ἐρᾶν, καὶ διὰ τοῦτο ἐπ' αὐτὴν ἐκ πηγῶν πολλῷ τῷ τάχει κομίζεσθαι, ὥσπερ ἄλλος πρὸ ἄλλου [65] τὴν ἐρωμένην θέλων ἀσπάσασθαι.

B Ὁ δὲ κυμαίνει καὶ τέρπεται πορφύρων τε καὶ εἰς παστάδα κυρτούμενος, ὥσπερ, οἶμαι, φρονῶν κατὰ ποταμῶν τῶν ἄλλων, ὅτι δὴ μόνος τοὺς [66] Ποσειδῶνος πόθους πεπίστευται. Οὕτω λαὶ οὗτοι, φύντες ἴσως καὶ ἐκτραφέντες ὁμοίως, ἀπ' ἴσων ἁπάντων τῆς κοινωνίας ἠράσθησαν. Λέγεταί ποτε καὶ Ὀλυμπιάδα τὴν ἐπὶ τοῖς Ἀλεξάνδρου τόκοις εὐδαίμονα, ὀργιάζουσαν τὰ Καβείρων ἐν Σαμοθρᾴκῃ μυστήρια, ἰδεῖν κατὰ τὴν τελετὴν τὸν Φίλιππον (ἦν δὲ [67] ὑπηνήτης ἔτι), ἰδοῦσαν τε ἐρασθῆναι τοῦ νεανίσκου καὶ ὁμολογῆσαι τὸν γάμον, προτέλειά τε ποιησαμένην τοῦ γαμηλίου πυρὸς τὰ μυστήρια. Γένος δὲ τῇ νύμφῃ Θρᾳκῶν τὰ πρῶτα, αὐτόχθονες, οἶμαι, τινὲς [68] καὶ εἰς βασιλείους τύχας τὰς ἄνω ῥίζας ἀναβιβάζοντες. Ἀκμάζουσι μὲν γὰρ ἐπ' ἴσης ὥσπερ ἐαριναὶ κάλυκες ἀφ' ἑνὸς λειμῶνος ἢ [69] βότρυες, αἳ καθ' ἕνα καὶ σχίζονται. Σώφρονες ἄμφω, δεξιοὶ τὸν τρόπον, μόνοις τοῖς ἔργοις τοῖς κατὰ φύσιν σχιζόμενοι. Ἡ μὲν γὰρ ταλασίαν τὴν Ἀθηνᾶς τέχνην, ὁ δὲ τοῖς πόνοις τὴν Ἑρμοῦ χάριν κεκάρπωται· καὶ τῇ μὲν κερκὶς, τῷ δὲ λόγος μέλει. Ὁ μὲν ὑπηνήτης ἔτι, πρωίτερον τῆς ἡλικίας βλαστήσας ἴουλον· ἡ δὲ ἀκμάζει [598 H.] πρὸς γάμον. Ἔρωτες δὲ ῥόδων στεφάνους πλεξάμενοι, οὓς ἐξ Ἀφροδίτης κήπων, ὅταν θέλωσι, δρέπονται, τὴν παστάδα πᾶσαν ἀνάπτουσι. Πειθὼ δὲ καὶ Πόθοι καὶ Ἵμερος τὸ σὸν [70] κάλλος ἅπαν ἐνείμαντο, ὁ μὲν ἐφιζάνων τοῖς [71] ὄμμασι, κἀκεῖθεν ἐκπορσεύων ἀμήχανον· οἱ δὲ τὰς παρειὰς αἰδοῖ φοινίσσοντες πλέον ἢ τὰς τῶν ῥόδων ἡ φύσις κάλυκας, ὅταν ἠρινα ῖς ὥραις ὑπὸ τῆς ἀκμῆς σχιζόμεναι πετάλοις

D ἄκροις [72] ἐρεύθωνται. Πειθὼ δὲ [73] κατὰ τῶν χειλέων σκηνώσασα τὴν ἑαυτῆς χάριν συναποστάζει τοῖς ῥήμασιν. Ἐπανθεῖ δὲ τῇ κεφαλῇ πολὺς ὁ βοστρυχος, πορφύρων τε καὶ κατὰ μέτωπον σχιζόμενος. Ἀλλ' εἰ [74] γὰρ ἐγὼ ποιητικὸς τὴν φύσιν, ὥστε ἀφεῖναι κατὰ τῆς νύμφης γλῶτταν [75] αὐτόνομον. Ἐγὼ δὲ [76] στὰς παρ' αὐτὸν τὸν θάλαμον Τύχῃ καὶ Ἔρωσι γενεθλίοις προσεύξομαι, τοῖς μὲν τοξεύειν εἰς τέλος, τῇ δὲ διδόναι βίον, τοῖς δὲ παίδων γνησίων γένεσιν, ἵνα τῷ γαμηλίῳ κρατῆρι καὶ τὴν γενέθλιον σπονδὴν [77] συνάψωμεν.

VARIÆ LECTIONES.

[61] θάλαττα ζ. [62] πετρῷ πορεύσιμος C : πτεροπορεύσιμος ζ. [63] ἐθέλοιμι μυρίους μυρίος ζ. [64] ἐπιῤῥεύσοι A. [65] πρὸ ἄλλου] libri προς ἄλλον. [66] τοὺς — πόθους codices Himerii : Photiani τοῦ — πόθου. [67] δὲ add. A. [68] τινες om. A. [69] ἢ add. codices Himerii. [70] σὸν A : σοὶ ζ. [71] τοῖς A : σοῖς ζ. [72] ἄκραις ζ. [73] δὲ A: γε ζ. [74] εἰ] malim οὐ. [75] γλῶσσαν B. [76] δὲ om. A. [77] σπονδὴν Himerius. Photiani σπουδὴν.

[1117 R.] Ἐκ τοῦ ἐπιγραφομένου διαλόγου « Διογένης, » ἢ « Προπεμπτικός. » — Ἐκ τῆς προθεωρίας [78].

Τὰς κοινότητας τῶν ὑποθέσεων ἰδίας αἱ μεταχειρίσεις ἐργάζονται· διὸ καὶ τοὺς προπεμπτικοὺς λόγους, κἂν νέοι τῷ νόμῳ τυγχάνωσιν, ἀλλ' οὖν ἐξέσται τῇ τέχνῃ καὶ πρεσβυτέρους ἐργάσασθαι. Ὅπερ ἡμεῖς πεποιήκαμεν· τὴν γὰρ παροῦσαν ὑπόθεσιν εἰς σχῆμα διαλόγου μετασκευάσαντες οὔτε τὴν χρείαν διεφθείραμεν οὔθ' ὅσον σεμνὸν τοῖς διαλόγοις ὀφείλεται. Κατὰ Πλάτωνα δὲ [79] καὶ ἡμεῖς, ἠθικοῦ τοῦ λόγου τυγχάνοντος, ὅμως φυσικῆς τε καὶ θεολογικῆς θεωρίας, ἐγκαταμιγνύντες ταύτας τοῖς ἠθικοῖς, ἐφαπτόμεθα. Καὶ μύθῳ δὲ τοὺς θειοτέρους τῶν λόγων τοῦ Πλάτωνος ἐναποκρύπτοντος, χρὴ σκοπεῖν εἰ τὸν τοιοῦτον ζῆλον μετεδιώξαμεν. Τὰς δὲ ἄλλας ἀρετὰς τῶν διαλόγων, ἀναπαύλας λέγω καὶ διαθέσεις [80] καὶ ἐπεισόδια, ἔτι δὲ χάριτας καὶ τὸ δι' ὅλου δραματικόν, ἄμεινον, εἰ κατωρθώθη, δείξει τὸ σύγγραμμα. Τῶν δὲ διαλόγων ἀρχομένων ἀπὸ τῆς ἰσχνοτέρας ἰδέας, ἵνα τὴν ἀφέλειαν ὁ τύπος προσβάλλῃ [81] τῆς λέξεως, ἐν δὲ τοῖς ἐφεξῆς συνεξαιρομένων [82] ὁμοῦ τοῖς πράγμασιν, εἰ καὶ τοῦτο ἡμεῖς τετηρήκαμεν, πάρεστι κρίνειν οἷς τέχνη πρὸς ἀκρόασιν τὴν ἀκοὴν παρεσκεύασεν.

Αὐτοῦ τοῦ διαλόγου τὸ Προοίμιον.

Σιωπῆς μὲν καιρὸς, οὐ λόγων, ὅταν οἱ λόγοι στυγνάζωσι, τοὺς ἑαυτῶν τροφίμους ἀπὸ τῆς ἑαυτῶν ἀγέλης ἐκπέμποντες. Ὅμως δὲ (χρὴ γὰρ λέγειν ἐν πάσῃ τύχῃ τοὺς λόγους) φέρε καὶ αὐτὸς, ὃν ἡ φροντὶς ἡ προσπεσοῦσα [599 H.] λόγον ἐγέννησεν, εἰ φίλον ὑμῖν, καὶ πρὸς ὑμᾶς ἀφηγήσομαι. Ἑκάτερος τοσούτοις διαστήμασι τῆς ἀρετῆς ἀφεστηκότες ἀλλήλων, ὅσον Εὐρώπης τὰ μέσα πρὸς τοὺς ἄνω μυχοὺς Ἀσίας σχίζεται, εἰς τὸν τούτου πόθον συνέδραμον, ἑκάτερος προαρπάσαι τὰς πρώτας ὠδῖνας τῆς τούτου γλώττης βουλόμενος. Οὐ μιμησάμενος τὸν μυστικὸν νόμον, ὃς ἐπόπτῃ τε καὶ μύστῃ μερίζει τὸν χρόνον, ἀλλὰ τὸν αὐτὸν ἐν ταυτῷ μύστην τε ὁμοῦ καὶ προφήτην τῆς ἱερᾶς τελετῆς τῶν ἐν σοὶ λόγων δεξάμενος, ἔδωκας ἀπλήστως των ἐκεῖθεν ναμάτων ἐμπλήσασθαι. Ἢ οὐκ ἀκήκοας ὡς ὄντες ἄνθρωποι τὸ παλαιὸν οὗτοι οἱ τέττιγες, εἶτα ἔρωτι [83] Μουσῶν ἐκ τοῦ ᾄδειν ἀεὶ λυθέντες εἰς μέλος, ἐκ μὲν ἀνθρώπων εἰς ὄρνιθας, ἐκ δὲ ᾠδῆς εἰς ᾠδὴν ἄλλην μετέβαλον [84]; Ἄκουε δὴ τὸν μῦθον. Ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησε, τὰ μὲν ἄλλα πάντα εἶχον ὡς νῦν κεκόσμηνται, Ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο, ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον οὐρανῷ τε ἐνωμίλει καὶ εἰς θεοὺς μόνους ἐτόξευε. Δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, Ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. Ὁ δὲ ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβών, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι ἢ πᾶν ἐπ' ἴσης ἦθος νεοτελές τε καὶ βέβηλον

E dialogo inscripto « Diogenes, » vel « Propemptikon » — Ex præfatione.

Faciendum semel est initium in novo genere argumentorum, quod præmissæ orationes etsi novæ sint, non possint artificio vetustatem induere, ut nunc fecimus. Hoc enim argumentum more dialogi concinnantes, nec usum nec gravitatem dialogos decentem corrupimus. More Platonis nos id aggredimur, licet moralis sit oratio, tamen physica, ac theologica moralibus commiscentes, et videndum est utrum hoc genus dicendi Platonis qui fabulis res divinas involvit, assecuti simus, et cæteras dialogorum virtutes, inspirationes, inquam, ordines, et episodia; dein et lepores, et actio in genere meliorem ostendit compositionem, si recte successerit. Cum autem dialogi initio humiles sint, ut ipse dicendi character simplicitatem adjiciat, in sequentibus simul et rem auferant; an hoc præstiterimus, aliorum esto judicium, quibus hæc audire contigerit.

368*a Hujus dialogi Proœmium.*

Silentii jam tempus est, non loquendi, cum oratio proprios alumnos a grege suo demittens deploret. Verumtamen (nam in omni eventu dicendum est) age et ipse, sustine orationem, quam incidens sollicitudo conflavit, si vobis gratum est, etiam ad vos pronuntiabo. Uterque tantis intervallis a capite ab invicem distantes, quanto media Europæ ab extremis Asiæ locis separantur, in hujus amorem concurrerunt, uterque præripere primos partus hujus linguæ conatus, non imitatus sacram legem, qui inspectori, et sacris initiato tempus attribuit, sed eumdem, et sacerdotem simul, et inspectorem sacræ hostiæ in hac tua oratione esse declarans, dedisti his aquis sine satietate impleri. Annon audivisti quomodo homines illi ante cicadæ fuerint; deinde Musarum amore ob perpetuum cantum in melos soluti, ex hominibus in aves, ex una cantione in aliam transformati sint? Audi fabulam: Cum Jupiter homines condidisset, omnia alia eo ornamento fuerunt, quo nunc sunt (45*). Cupido autem nondum animis hominum insidebat, sed habens deus ille ingentes alas in cœlo habitabat, et in solos deos tela vibravit. Metuens autem ne pulcherrima omnium creatura pessumiret, Cupidinem ad homines custodiendos misit. Ille datam a Jove potestatem abripiens, omnibus scilicet mentibus insidere, vel in omnibus cœlestibus ac profanis, æque habitare loco templi voluit. Sed multas et gregales mentes amore vul-

VARIÆ LECTIONES.

[78] θεωρίας C. [79] δὲ A : γε ς. [80] διαθέσεις A : θέσεις ς. [81] προσβάλῃ BC. [82] συνεξαιρομένων Wernsdorfius : συνεξαιρουμένων ς. [83] ἔρωσι ς. [84] μετέβαλλον B : μετέβαλλον ς.

NOTÆ.

(45*) Confer quæ inf. in exord. orat. in adventum Cypriorum.

gari sponsarum occupari dedit. Ipse vero deorum cœlestiumque mentes incoluit, et illas in libidinosam amentiam furore incitans, infinitis bonis humanum genus affecit. Quando igitur videris tardam quamdam naturam, et ad amorem lentam, cogita nunc donis illius cupidinis indignum fuisse : cum vero incitatam et fervidam mentem, et flammæ instar ad amabilem amicitiam ducentem, puta illam a dono Cupidinis venire. Unum mihi, o amice Socrates, dicis, amatorum optime, partem virtutis Cliniæ, fortitudinem scilicet in periculis, quam exercitatione 368*b* sæpe exhibet, interpretem orationum non exspectans (46). Dat eidem hanc licentiam, quam primo Pericli cum pro urbe bellum gereret. Hæc est sincera ratio. Si vero hunc videas judiciaria sede expulsum, implora cum gemitu legem, quia auro victus est. Nam simul florens cum urbe regia, circum quam ingentia maria separantur, et idem cum ea gloriæ suæ fundamenta jaciens, quandiu in cunabulis adhuc corpus urbis fingebatur, alia imperia e regia potestate decrevit. Cum vero indigeret sedula opera tanquam statua perfecta, quam adumbratam prius viderant, eamdem potestatem assumpsit, ut idem initium et finem omni ornamento urbis fecerit. Urbes excitatas, populum crescentem, Tartessi vitam, cornu Amaltheæ, caput omnis felicitatis. Sed quæ est erga hunc juvenem studii causa? Tota mens nuper a supernis sedibus digrediens, infixam adhuc fert speciem simulacrorum illorum, quæ tum vidit, cum hilarem choream cum variis diis saltavit. Cum igitur viderit illic pulchritudinem, quam tunc vere descripsit, intra mentem divinam absconditam, desiderat et gaudet hoc spectaculo, et se ipsam splendore scientiaque elevans, cum hoc loco conjungere festinat. Tale quid mihi in adolescente accidit. Nam veluti in speculo hujus in animo speciem animi mei apparentem videns, ea sum delectatus, et ideo amavi, et quasi alterum me hujus animum quæsivi. Probe potest omnia memoria custodire, quæcunque sub duce gesserit animo philosophus, orationibus non his modo, sed et omnibus, quæ e Musarum, et Apollinis pratis pullulant. Unde omnis doctrinæ fructus discerpens tanquam veris corollam, his animum suum ornavit. Si dicere necesse fuerit, ne amplius quæras cujus sit filius, et ad quem pertineat : sic primam imaginem accuratius quam quivis pictor expressit. Bonus quidem socius, si cum duce pugnandum sit, bonus etiam sua sponte. Juste igitur poetæ (47), et cum iis pictores et fictores Cupidini senectutem demunt, juvenem hunc deum, et pubescentem

ἔχειν τέμενος οὐκ ἐδοκίμαζεν, ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς τοῖς πανδήμοις Ἔρωσι τοῖς τῶν Νυμφῶν παισὶ ποιμαίνειν ἀπένειμεν, αὐτὸς δὲ τὰς θείας καὶ οὐρανίας ψυχὰς ἐνῳκίσατο, καὶ ταύτας ἀναβακχεύων ἐπὶ μανίαν ἐρωτικὴν μυρία ἀγαθὰ τὸ τῶν ἀνθρώπων γένος εἰργάσατο. [1120 R.] Ὅταν μὲν οὖν ἴδῃς τινᾶ βραδύν τε τὴν φύσιν καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον ὅτι τῶν Ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς οὗτος ἠξίωται· ὅταν δὲ ὀξὺν καὶ θερμὸν τὴν γνώμην καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν ἄττοντα [85], νόησον τοῦτον εἶναι ἐκείνου ξένον [86] τοῦ Ἔρωτος. Ἓν γάρ μοι λέγεις, ὦν φίλε Σώκρατες, ἐραστῶν ἄριστε, ἀρετῆς Κλεινίου [87] μόριον, ἀνδρείαν ἐν φόβοις, ἣν καὶ μελέτη πολλάκις δίδωσιν, ἐξηγητὴν λόγον οὐκ [88] ἀναμείνασα. Δίδωσι δ' αὐτῷ τὴν παῤῥησίαν, ὅπερ καὶ Περικλεῖ πρότερον, ὅτ' ἐστρατήγει τῆς πόλεως. Τοῦτο δέ ἐστι τρόπος ἄδολος. Εἰ δὲ τοῦτον ἴδοις δικαστικῶν θρόνων εἰργόμενον, στέναξον τὸν νόμον, ὅτι χρυσίου νενίκηται. Συναρμάσας γὰρ τῇ βασιλέως πόλει, περὶ ἣν τὰ μεγάλα πελάγη σχίζεται, καὶ τὴν αὐτὴν ἐκείνῃ κρηπῖδα τῆς ἑαυτοῦ δόξης βαλόμενος [89], ἕως μὲν ἐν σπαργάνοις ἔτι τὸ σῶμα τῆς πόλεως ἐπλάττετο, ἑτέρας ἀρχὰς ἐκ βασιλέως κατηύθυνεν, ἐπεὶ δὲ ἔδει τῆς ἀκριβοῦς χειρὸς καθάπερ ἐν τύποις ἀγάλματος, ἐπ' αὐτὴν ἐπάνεισιν, ἵνα αὐτός τε ἀρχὴ καὶ τέλος γένοιτο τῷ παντὶ κόσμῳ τῆς πόλεως. Πόλεις ἐγειρομένας, δήμους ἀκμάζοντας, Ταρτησσοῦ [90] βίον, Ἀμαλθείας κέρας, πὰν ὅσον εὐδαιμονίας κεφάλαιον. Ἀλλὰ [600 II.] τίς τῆς περὶ τὸν νεανίσκον [91] σπουδῆς αἰτία; Ψυχὴ πᾶσα ἄρτι σχισθεῖσα τῆς ἄνω λήξεως, ἔναυλον ἔτι φέρει τὴν θέαν τῶν ἀγαλμάτων ἐκείνων, ἃ τότε εἶδεν, ὅτε εὐδαίμονα χορείαν σὺν θεῶν δίφροις [92] ἐχόρευεν. Ὅταν οὖν ἴδῃ καὶ τῇδε κάλλος, ὃ τότε πλάσματος ἄνευ ἱστόρησεν, εἴσω ψυχῆς θείας κρυπτόμενον, σπαργᾷ τε καὶ χαίρει τῇ θέᾳ, καί συμβιβάζειν ἑαυτὴν πρὸς τὸν ἐκεῖ τόπον ἐπείγεται, δόξῃ τε καὶ ἐπιστήμῃ κουφίσασα. Τοιοῦτόν τι πάθος καὶ αὐτὸς περὶ τὸν νέον ἔπαθον. Καθάπερ γὰρ ἔν κατόπτρῳ τῇ τοῦδε ψυχῇ εἴδωλόν τι τῆς ἐμαυτοῦ γνώμης ἰδὼν φαινόμενον ἥσθην τε αὐτῷ, καὶ διὰ τοῦτο ἐπόθησα, καὶ καθάπερ ἄλλον ἐμαυτὸν τὴν τοῦδε ψυχὴν [ἐξεζήτησα [98] ἢ] ἐξήσκησα. Δεινὸς μὲν οὖν καὶ μνήμῃ φυλάξαι πᾶν, ὅπερ ἂν ὑφ' ἡγεμόνι πονήσειε. Φιλόσοφος μὲν τὴν γνώμην, τοὺς δὲ λόγους οὐ τούτους μόνον, ἀλλὰ καὶ πᾶν ὅ τι βούλει τῶν ὅσα Μουσῶν τε καὶ Ἀπόλλωνος λειμῶνες βρύουσιν· ἀφ' ὧν δρεψάμενος ἁπάσης παιδείας λωτὸν, οἷόν τινα στέφανον ἡρινὸν τὴν ἑαυτοῦ ψυχὴν ἀπείργασται. Εἰ μὲν γὰρ λέγειν δεήσειεν, οὐκέτ' ἂν ζητήσαις ὅτῳ [94] παῖς εἴη καὶ ὅτῳ προσῆκεν· οὕτω πάσης Γραφῆς ἀκριβέστερον τὴν εἰκόνα τοῦ καθηγεμόνος μεμίμηται. Ἀγα-

VARIÆ LECTIONES.

[85] ἄγοντα A. [86] ξένον Reiskius : ξένιον ς. [87] Κλεινίου] malim τοῦ Κλεινίου. cf. p. R. 1137, 9. [88] οὐκ om. A. [89] βαλλόμενος AC. [90] ταρτησσοῦ BC. κέρας ἀμαλθείας B. [91] τῶν νεανίσκων C. [92] δίφροις] διαφόροις C. [93] ἐξήσκησα] ἐξεκάνισα C. [94] ζητῆσαι] ὅτου A.

NOTÆ.

(46) Plato in *Phædro*, vel *Sympos.* Alciat. *Emblem.*
(47) Philostratus et Gyraldus.

θὸς μὲν συμπαραστάτης, εἴ που δέοι τῷ καθηγεμόνι συναγωνίζεσθαι, ἀναθὸς δὲ καὶ αὐτοπροσώπως. Δικαίως ἄρα οἱ ποιηταὶ, καὶ μετ' αὐτῶν γραφεῖς τε καὶ πλάσται, Ἔρωτος γῆρας ἀποσυλήσαντες νέον ποιοῦσι τὸν Θεὸν τοῦτον καὶ ἔφηβον, τὰ τῆς ἀπιστίας αὐτοῦ τῷ νεαρῷ [95] τῆς ἡλικίας ἐμφαίνοντες [96]. Ὦ τοσοῦτον ἰσχύσας τοῖς λόγοις, ὅσον καὶ τὸν Θετταλὸν ἀκούω Κινέαν [97], ὃς σὺν βασιλεῖ Πύρρῳ γῆν ἐπιὼν πᾶσαν καὶ θάλασσαν πρὸ τῶν μηχανημάτων τοῖς λόγοις τὰς πόλεις ἔκλινεν. Οὐ γὰρ αὐτός γε τούτου διδάσκαλος, οὐ μὰ τοὺς ὑμετέρους, ὦ λόγοι, πόθους, δι' οὓς ἐγὼ πατρικὸν ὄλβον ῥίψας εὐδαίμονα παρ' Ἰλισσοῦ [98] μυστικαῖς ὄχθαις ἐσκήνημαι. Ἀλέξανδος ὁ τοῖς τροπαίοις ὅροις τῆς ὅλης [99] χρησάμενος. Τό τε γὰρ τῆς μεσημβρίας ὑπορρεῖ ζέον, αὔρα τε πραύνει τὸν ἥλιον, καὶ σχίσαι Σεφύρῳ πορφύροντα περὶ τὴν πρῴραν τὰ κύματα.

A fingunt, fraudem illius ætate juvenili **369***a* demonstrantes. O qui tantum lingua vales, quantum audio Cineam Thessalum (48), qui cum rege Pyrrho omnem terram et mare emeneus non machinis, sed oratione urbes evicit. Non enim ille hujus magister per vestros, o sermones, amores, propter quos ego beatas paternas abjiciens opes, juxta secretas Ilissi ripas habitavi. Alexander totius mundi partium tropæis potitus. Tum enim e meridie confluit æstas, aurora mitigat solem, et elatos in proram fluctus dividit Zephyro.

[1121 R.] Ἐκ τῆς πρὸς τοὺς ἑταίρους συνταB κτικῆς, ὅτε ἐξῄει ἐπὶ Κόρινθον. — Τὸ προοίμιον.

Ex oratione ad Socios dum iret Corinthum. — Proœmium.

Οἱ πάλαι τὴν λύραν κάμνοντες, εἴ ποτε γῆν ἐπ' ἄλλην ἔσπευδον, οὐκ ἄφθογγον τὴν ἀποδημίαν ἐποίουν, ἀλλ' ᾠδῇ καὶ μέλει τὸν χορὸν τὸν ἑαυτῶν ἀπησπάζοντο.

Veteres lyram fabricantes, si quando in aliam terram properarent, peregrinationem non vacantem Musica faciebant, seu cantu, et carmine chorum suum retinuerunt.

Ἐκ τῶν ὑπολοίπων, διαφόρων ὄντων καὶ διαφόρους ἐχόντων ὑποθέσεις.

Ex orationibus reliquis diversis diversorum argumentorum.

[604 H.] Τὰς βασιλέως αὐλὰς καὶ χρυσῆν τύχην ὑπόπτερον. Οὐ γὰρ ἀφῃρέθης τὴν ἀρχήν, ἀλλ' ἑκὼν ἐῤῥίψας, ὥσπερ τις ὑπερόπτης κατὰ παιδικῶν [1] τρυφῆσαι βουλόμενος τὴν χρυσῆν κόμην ῥόδων στεφάνῳ πορφύροντι! Ἀλλὰ τίς τούτων ἡ χάρις; Φυγὴ καὶ δρασμὸς καὶ τοσαύτης φιλίας ἄρνησις. Ἐνίκησα μὲν ὑπὸ σοὶ κριτῇ κατὰ τὴν θερινὴν ὥραν τὸν τέττιγα, C ἠπείλησα δὲ καὶ ταῖς ἀηδόσι ταῖς Ἀττικαῖς, εἴ ποτέ μοι καὶ Ἀττικὸν πήξαιο θέατρον, μῦθον ὄντως τὰς ἐκείνων γλώττας ταῖς ἐπὶ σοὶ φωναῖς ἀπεργάσασθαι. Ὦ καὶ τοῦ [2] σαυτοῦ γένους ὄμμα φανότατον, καὶ ταυτὸν τῷ γένει γενόμενος, ὅπερ καὶ σοὶ πολλάκις ὁ προπάτωρ ἥλιος. Τῆς γὰρ συνωρίδος ταύτης δὴ τῆς καλῆς ὁ μὲν καταυγάζοντι τοὺς μεγάλους θρόνους ὥς τις ἑωσφόρος συνανέσχεν ὄρθριος, ταῖς αὐτοῦ βολαῖς τὰς σὰς ἀκτῖνας μιμούμενος· ὁ δὲ τῆς τῶν νέων ἀγέλης ἐκλάμπων καθάπερ τις ταῦρος ἀγελάρχης ἀγέρωχος, ἐσκίρτησε μὲν κατὰ τοὺς Μουσῶν λειμῶνας ὥσπερ τις πῶλος δύσκνημος καὶ ἔνθεος, ἐμιμήσατο δὲ καὶ τὸν Ὁμηρικὸν νεανίσκον τὸν Θέτιδος, καὶ μύθων ῥητὴρ ἀγαθὸς καὶ πρηκτὴρ [3] ἔργων γενόμενος. Εἰ δέ μοι καὶ τῆς ποιητῶν ἐξουσίας μετῆν, ἔδειξα ἄν D σοι καὶ Ἰλισσὸν τοῦτον δακρύοντα, ἔγραψα δ' ἂν καὶ κατηφεῖ χρώματι τὰ καλὰ Καλλιῤῥόης νάματα. Πέμποι μέν σε Πὰν ἐνόδιος, πομπαῖον καὶ γλυκὺ προσηχῶν μέλος τῇ σύριγγι· Ἀφροδίτη δὲ καὶ οἱ ταύτης παῖδες Ἔρωτες, πόθου κρατῆρα κεράσαντες, σοῦ τῆς ὁδοῦ προπομπεύοιεν.

Veteres Iyram fabricantes, si quando in aliam terram properarent, peregrinationem non vacantem Musica faciebant, seu cantu, et carmine chorum suum retinuerunt.

Ex orationibus reliquis diversis diversorum argumentorum.

O aulam regiam, et fortunam auri alatam! Non vi e regno ejectus es, sed libenter excidisti, non secus quam si superbus quis in puerilibus voluptatem capere contenderet. Auream cæsariem permutasti rubente corona rosarum. Sed quænam horum gratia reponditur fuga et cursus, et tantæ amicitiæ renuntiatio. Vici, te judice, æstatis tempore cicadam, minatus etiam sum philomelis Atticis, si quando mihi etiam Atticum theatrum statueris, me omnino hac voce effecturum penes te, ut eorum linguæ instar fabulæ sint. O tui stemmatis lumen clarissimum, idque sæpe generi tuo exstitisti, quod sæpius avus tibi sol. Etenim ex hac pulchra conjunctione, hic quidem altiores sedes illustranti, quasi matutinus aliquis lucifer consurrexit, suis repercussionibus radios suos imitatus. Ille vero juvenum cœtum illustrans, ut taurus aliquis ductor, armenti petulcus, lasciviit in Musarum pratis, ut pullus lunaticus, et numine plenus, et Homericum juvenem Thetidis (Achilles.) filium, et hæc verba, *Bonus orator actorque rerum*, imitatus est. Si ad me poetarum licentia pertineret, D ostendissem tibi et Ilissum hunc lacrymantem, **369***b* depinxissem tristi colore pulchram Callirrhoes undam. Trivialis Pan te evocatorem animarum, dulce fistula carmen personans deduceret. Venus vero, et hujus filii Cupidines, desiderii tibi miscentes potum, viam tuam honorifice comitarentur.

Προπεμπτηρίου λόγου. — Τὸ Προοίμιον [4].

Ex oratione propemptica Proœmium.

Ὁ τοῦ Διὸς παῖς Ἀλέξανδρος (συνάπτει γὰρ αὐτὸν οὐρανῷ καὶ Διὶ τὸ πολὺ κλέος καθ' Ἕλληνας) ὅτι πλη-

Alexander filius Jovis (comparat enim illum cœlo et Jovi rerum gestarum contra Græcos gloria), cum

VARIÆ LECTIONES.

[95] τὰ νεαρὰ C. [96] φαίνοντες C. [97] libri κιννέαν. [98] ἰλισοῦ A. [99] τῆς ὅλης B, τοῖς ὅλων C : τοῖς ὅλης ς. [1] κατὰ τῶν π. ς. [2] τοῦ A : τὸ ς. [3] πρακτὴρ ς. [4] προοίμιον προπ. λόγου A.

NOTÆ.

(48) Cineas Thessalus, Demosthenis auditor. Plutarch. in *Pyrrho*.

Europam nominis sui fama implesset, in Asiam se convertit, continentem suis propriis adnitens gestis conjungere. Timothei provocans tibiam (nam adeo magnum et tali rege dignum canebat) ut illo canente solverit navium rudentes. Fer tabulam, et ego orationes pingam. Nam habet etiam oratio, ut puto, non ineptos ad imitandum colores. Erat in pictura navis, et mare, et ut existimo, Ægæum fuit. Multæ enim insulæ hinc, et illinc sparsæ in mari erant, ut Ægæum ante alia imprimis mare esse videretur, pictum erat non violentum, aut terribile, neque usque elevans fluctus, qualia contra naturas illic audet sæpius Ægæum, sed tranquille strati erant fluctus, omnis aqua in littoribus volvebatur, in luteum colorem parum mutata unda. Primi Phryges tibiam inflare invenerunt, et sacrificiis adhibere cymbala. Hoc vero contra utramque navis partem in proram jam attritum, tanquam auream materiam reddebat. Hic vero et artem admirari æquum est. Aqua enim marina divisa circa proram, auri repercussionibus splenduit, et in similem colorem mutasse mare videbatur. Proinde date mihi artificium Zeuxidis, et Parrhasii scientia. Delphi igitur urbs dicata Apollini, colit semper hunc deum, et tripudiant adhibito pæane circum tripodem (49). Quin etiam Elei lacrymantur, amnem [*Alphæum*] Pisæum ad Siculum usque fontem comitantes, quasi metuentes, ne amnis decessum meditans, aliis hominibus aquam largiatur. Celeriter et philomelæ et cygni, omnisque cantus simul volabunt. Nostræ enim Musæ jam naviculam audent compingere, et fugam minantur **370***a* et mare, licet fluctibus sæviat. Abjiciens e manibus lyram, silentium cantionum suadebit. Navis prætoria in portubus, velum supremum sublime, quale radiis claris et maritimis extendi solet. Parva in gratiam Hesperidum prata, parvæ ad magnitudinem pyramides Ægyptiæ, et si quid Persarum et Assyriorum manus construentes posteris spectandum tradiderunt. Sed ad amicas Athenas hæc classis, quæ suis adeo te amoribus incenderunt, ut amorem erga hanc linguam semper circumferas. Quid autem responsum communis omnium statuæ apud alias habitaturæ denegas? Fabula Cimmeriis populis occidentalibus solem eripuit, sed metuens, ne redargueretur, obscuris verbis tegere rumorem adnixa est. Nos vero nullus poeta mentiri putaverit, post tuam peregrinationem auferre solem cupiens, o amica patria. Nunc tibi injuriam intulisse me sentio, tuos amores descipiens, insido amatori omnia cupiens largiri. Sed parum horum legem secutus, ad inhonestatem orationem converti, licet mibi desiderium Dii impleverint. Iterum enim sceptra, iterum judicii sedes.

A ρώσας τῆς ἑαυτοῦ δόξης τὴν Εὐρώπην ἅπασαν ἐπὶ τὴν Ἀσίαν ἐστέλλετο, συνάψαι τὰς ἠπείρους τῷ καθ' ἑαυτὸν ἐθέλων θαύματι, τὸν Τιμοθέου παρακαλέσας αὐλὸν (οὗτος [5] γὰρ ἔχει μέγα καὶ τοσούτου βασιλέως ἄξιον) ὑπὸ τοῖς ἐκείνου μέλεσιν ἔλυε τοῦ στόλου τὰ πείσματα. Φέρε δὴ γράψω τῷ λόγῳ τὸν πίνακα· ἔχει [6] γὰρ, οἶμαι, πρὸς μίμησιν οἰκεῖα καὶ λόγος φάρμακα [7]. Ναῦς ἦν κατὰ τῆς γραφῆς καὶ θάλαττα. Ἡ δὲ θάλαττα [8], οἶμαι, Αἰγαῖος ἦν· αἱ γὰρ πολλαὶ νῆσοι αἱ κατ' ἄλλο καὶ ἄλλο μέρος τῆς θαλάσσης σχιζόμεναι, Αἰγαῖος ὑπ' [9] αὐτῶν ἐδείκνυτο εἶναι· ἡ θάλαττα [10]. Γέγραπτο δὲ οὐκ ἀπηνής τε καὶ ἄγριος, οὐδὲ εἰς αὐτὰς ἐγείρω νεφέλας τὰ κύματα, οἷα τὰ πολλὰ Αἰγαῖος κατὰ τῶν ἐκεῖ πλωτήρων θρασύνεται, ἀλλ' ἐστόρεστο μὲν εἰς γαλήνην τὰ κύματα, τὸ δὲ ὕδωρ
B ὅλον [11] ἐπόρφυρε πρὸς αὐταῖς ἠόσιν, εἰς γλαυκὸν ἄνθος ἠμέμα μεθισταμένου τοῦ κύματος. Πρῶτοι γὰρ Φρύγες αἰτίαν ἔχουσιν αὐλῷ τε ἐμπνεῦσαι καὶ ταῖς [602 H.] τελεταῖς ἀναμίξαι τὰ κύμβαλα [12]. [1124 R.] Τὸ δὲ ἐπὶ θάτερα [13] τῆς νεὼς μέρος εἰς πρῴραν ἤδη θλιβόμενον, χρυσοῦν τῆς ὕλης πεποίητο. Ἔνθα καὶ θαυμάσαι τὴν τέχνην ἄξιον· τὸ γὰρ περὶ τὴν πρῴραν τῆς θαλάσσης ὕδωρ σχιζόμενον, ταῖς τοῦ χρυσοῦ βολαῖς ἐπαυγάζον, εἰς ὅμοιον ἄνθος ἀμείβειν ἐδόκει τὴν θάλασσαν. Οὐκοῦν δότε μοι τὴν Ζεύξιδος τέχνην, τὰ Παρράσιου σοφίσματα. Δελφοὶ δὲ ἄρα, ἱερὰ πόλις Ἀπόλλωνος, λατρεύουσι μὲν ἀεὶ τῷ Θεῷ καὶ περιχορεύουσι μετὰ παιάνων τὸν τρίποδα. Καὶ μὴν καὶ Ἠλεῖοι δακρύουσι, τὸν ποταμὸν τὸν Πισαῖον [14] ἐπὶ τὴν Σικελικὴν κρήνην προπέμποντες, ὥσπερ, οἶμαι, τοῦτο φοβούμενοι, μὴ μελετῶν τὴν ἀποδημίαν ὁ ποC ταμὸς ἄλλοις ἀνθρώποις χαρίσηται τὰ νάματα. Τάχα δέ σοι καὶ ἀηδόνες καὶ κύκνοι καὶ πάντα τὰ μέλη συναποπτήσεται [15]. Αἱ μὲν γὰρ ἡμέτεραι Μοῦσαι [16] καὶ σκάφη [17] ἤδη τολμῶσι πήγνυσθαι, καὶ ἀπειλοῦσι φυγὴν καὶ θάλατταν, κἂν [18] ἀγριαίνῃ [19] τοῖς κύμασι. Ῥίψας ἐκ τῶν χειρῶν τὴν λύρὰν, σιωπὴν τῶν μελῶν καταψηφίζεται. Ναῦς ἔν ὅρμοις στρατηγὶς, ἱστίον ὑψηλὸν μετάρσιον, οἷον καὶ λαμπραῖς αὔραις [20] καὶ πελαγίοις πετάννυσθαι. Μικροὶ γὲν εἰς χάριν Ἑσπερίδων λειμῶνες, μικραὶ δὲ εἰς μέγεθος πυραμίδες Αἰγύπτιαι, καὶ εἴ τι Περσῶν καὶ Ἀσσυρίων χεῖρες πονήσασαι θαῦμα ἀφῆκαν τοῖς ὕστερον. Ἀλλ' ἐπὶ τὰς φίλας Ἀθήνας ὁ στόλος, αἵ σε τοῖς πόθοις οὕτως ἐξD έκαυσαν ὡς καὶ ἐπ' αὐτῆς περιφέρειν γλώττης τὸν ἔρωτα. Τί δὲ ὀκνεῖς τὴν ἀπόκρισιν τοῦ κοινοῦ πάντων ἀγάλματος μετασκηνοῦν παρ' ἑτέροις μέλλοντος; Κιμμερίους μὲν δὴ, δῆμον ἑσπέριον, ἀφείλετο μῦθος τὸν ἥλιον, εἶτα φοβηθεὶς τὸν ἔλεγχον ἀμφιβόλοις ῥήμασι κρύψαι τὴν φήμην ἐσπούδασεν· ἡμᾶς δὲ οὐδεὶς ποιητὴς ψεύδεσθαι δόξειε μετὰ τὴν σὴν ἀποδημίαν ἀφελέσθαι θέλων τὸν ἥλιον. Ὦ φίλη πατρὶς, νῦν σε

VARIÆ LECTIONES.

[5] οὗτος Reiskius : libri οὕτω. [6] ἔχει. [7] φάρμακα om. AB. [8] ἡ δὲ θάλαττα om. A. [9] ὑπ' Wernsdorfius : libri ὑπὲρ. [10] θάλασσα B. libri γέγραπται. [11] ὅλον] οἷον Reiskius. [12] κύμβαλα] κυκλώματα A. [13] θάτερον B. [14] πισσαῖον B. [15] συναποπτήσσεται A. [16] μοῦσαι φυγὴν καὶ ς. [17] σκάφος. [18] κἂν om. A. [19] ἀγριαίνῃ C : ἀγριαίνειν ς. [20] αὔραις A : αὐγαῖς ς.

NOTÆ.

(49) Proclus sup. in *Chrestomathia*.

ὄντως ἀδικήσας αἰσθάνομαι, τοὺς σοὺς ὑπεριδὼν ἔρωτας, ἐραστῇ θέλων ἀπίστῳ πάντα χαρίσασθαι. Ἀλλὰ μικροῦ τῷ νόμῳ τῷ περὶ τούτων ἑπόμενος, εἰς ἀκοσμίαν τὸν λόγον ἔτρεψα, καίτοι μοι τῶν θεῶν πληρούντων τὸν πόθον· πάλιν γὰρ σκῆπτρα, πάλιν τῆς δίκης οἱ θρόνοι. Τοῦτον Ἐφύρα μὲν ἤνεγκε, πόλις οὐ μόνον καλλωπιζομένη μύθοις πρὸς τὸ θαυμάζεσθαι, οἷα τῶν Ἑλληνίδων αἱ πλείονες, ἀλλ' ὀφθαλμῷ κρίτῃ τὴν εὐδαιμονίαν προβάλλουσα [21]. Οὕτω καὶ τὸ τούτου γένος μυρίοις μὲν λόγοις, μυρίοις δὲ ἔργοις καὶ παραπλησίοις ἀγάλλεται. Μνηστέον ἤδη καὶ αὐτοῦ τοῦ γένους, οὔτι παντός· κἀμοὶ γὰρ ἂν, οἶμαι, καὶ ἱστορία τοσοῦτον πλῆθος [22] φροντίζουσα. Οἱ ἀπ' ἐκείνων τῶν γάμων ἀποβλαστήσαντες, εἰκώ τινα τῆς ἐκείνου σοφίας τοῖς τῆς ψυχῆς φέρον [23] ἀγάλμασι. Προσκλύζων κόλπος Ἰόνιος λεαίνει τὴν θῖνα τῷ κύματι. Κατὰ δὴ ταύτης τῆς ἠόνος χορὸς Νηρηίδων ἐχόρευε, λευκαὶ πᾶσαι, γάλα αὐτό, οἷον ἂν ἐκεῖνο γένοιτο τέχναις ποιμένων [603 H.] ἱστάμενον, γλαυκαὶ τὸ ὄμμα, κομῶσαι τῷ βρύῳ, ἔτι λευκὸν ἐκ τῆς [24] θαλάττης ἀφρὸν ἐξ ἄκρων πλοκάμων στάζουσαι [25]. Ἡ δὲ ἀντερᾷ τοῦ νυμφίου, καὶ δώρῳ πιστοῦται τὸν γάμον· ἀναδίδωσι γὰρ ἐκ μέσης θαλάττης πηγήν. Ἡ δὲ, ὥσπερ ἐπισταμένη τοῦ χάριν ὑπὸ τῆς νύμφης ἐγένετο, κλέπτει μὲν τοῖς ἄλλοις πλωτῆρσι τὰ νάματα, μόνοις δὲ τηρεῖ τοῖς ἐκ τῆς νύμφης τὴν πότιμον φιλοτησίαν ἀρύσασθαι. Ὅπερ καὶ κατὰ τῆς ἀρετῆς ἀνύμνηται. Εὐμαθής ἐστι ψυχή, ταχεῖα σύνεσιν, μνήμη συμφυής, ἕτοιμος πρὸς λόγους, [1125 R.] δεινὴ μὲν κρύπτειν, κρείττων λανθάνειν (σοφώτερον δὲ τοῦτο καὶ ἅμα θεοῖς προσφιλέστερον), δεινοτέρα δὲ φωρᾶσαι τὸν ἐντυχόντα· κρείττων ἡδονῆς, ἥττων φιλίας. Ἄκρος [26] σοφίαν, δεινὸς εἰπεῖν, ἀνάλωτος φιλίᾳ, γενναῖος ἐν φόβοις, ὑψηλὸς ἰδιώτης, ἄρχων ἐπιεικής, τὸν μὲν ἰδιώτην ἀποσεμνύνων φρονήματι, λόγῳ δὲ πραΰνων τὸ τῆς ἐξουσίας αὐθέκαστον. Ἀλλὰ μὴν καὶ τὴν τύχην ἰδοις ἂν ὥσπερ ἐξ οὐρίας τὸν τοῦδε βίον συμπαραπέμπουσαν. Πρεσβύτης τις ἦν σεμνὸς ἰδεῖν, ἀρχαῖος τὸν βίον, τὸν λόγον ὅμοιος. Σοφὸς εἰπεῖν, ἀμείνων ἀκοῦσαι, τὰ πάντα γενναῖος. Πλήρης δὲ ὢν ἤδη τοῦ κλέους, καὶ πᾶσαν εἰς ἑαυτὸν ἐπιστρέφων τὴν Ἑλλάδα, διαβαίνει καί εἰς βασιλέα τῷ θαύματι, πρὶν ὑπηνήτης γενέσθαι, πρὶν καθερπύσαι τὸν πρῶτον [27] ἴουλον. Ποιητοῦ [28] δὲ ἄρα ἦν ἐνταῦθα τοῦ λόγου ῥόδοις μὲν ἀναπλέξαι τὸν στέφανον, ἄγειν δὲ ἐξ Ἑλικῶνος τὰς Μούσας. Περὶ τὴν πόλιν ἐκείνην, ἣν ἀπὸ Γαδείρων Εὐρώπη λήγουσα ποθμῷ θαλάσσης πρὸς τὴν Ἀσίαν μερίζεται. Ἤλασεν οὗτος καὶ κατ' Ἴστρου, καὶ ποταμὸν οὐκ ἔδεισε βάρβαρον κρυστάλλῳ πεδία μιμούμενον. Ἐπεὶ δὲ θεὸς πρὸς πᾶσαν αὐτὸν ἀρετὴν ἀκριβῶσαι βουλόμενος, καὶ ἀπ' ἐναντίας ποτὲ τὸ πνεῦμα τῆς τύχης ἔστησεν, ἵν' οἷος ἦν [29], τοιοῦτος τὴν γνώμην καὶ ἐν τρικυμίαις πραγμάτων καὶ χειμῶνι βίου δειχθείη τοῖς πᾶσι καὶ κατ' αὐτὸ τὸ μέρος

A Hoc Ephyra attulit, urbs non solum ad admirationem fabulis illustrata, ut pleræque omnes Græciæ, sed etiam judicanti oculo felicitatem afferens. Sic hujus gens infinitis orationibus, operibus et similibus exsultat. Recordandum est hujus jam gentis non tamen totius (non omnia narrare, magno mihi oneri essel): unum ex iis qui ab illis nuptiis progeniti sunt, assimilabo sapientiam animæ statuis. Sinus Ionicus alluens mitigat littus fluctu, juxta hanc oram tripudiat Nereidum chorus [z], omnes albæ, lac quale fieret arte pastorum, oculis glaucis, ornatæ musco, præterea albam spumam e mari summis stillantes crinibus. Illa vicissim sponsum amabat, et arrhabone nuptias confirmat. Producit enim medio mari fontem. Hæc vero sciens hoc beneficium a sponsa protectum esse, aliis nautis

B undam eripit, solis vero his reservat amabilem potum ut hauriant qui e sponsa sunt, quod **370***b* etiam contra virtutem factum est. Promptus ad discendum illi est animus, celer ad intelligendum, memoria innata, prompta est ad dicendum, ad tegendum idonea, ad latendum paratior. Hoc sapientius, simulque diis gratius: aptior vero ad obvium deprehendendum, voluptate fortior, amicitia inferior, per sapientiam summa, apta ad dicendum, inexpugnabilis amicitia, strenuus in timore, cum privatus est summus, cum in magistratu æquus. Privatum honestans consilio, eloquentia imperii severitatem mitigans. Quinetiam fortunam videas, quasi hujus vitæ rationem propter felicitatem aversantem. Legatus fuit in animad-

C vertendo serius, vita, ut etiam in oratione, grandis: ad dicendum sapiens, ad audiendum instructior, in omnibus egregius. Plenus laude jam, et omnem in se Græciam convertens, suis facinoribus ad regiam dignitatem ascendit, priusquam pullularet barba, primaque lanugo tonderetur. Hæc poetarum instar fecit oratio, rosis nectere coronam, ducere circum urbem hanc ex Helicone Musas, quam Europa extrema exiguo freto a Gadibus usque Asiam extendit. Ad Istrum se convertit, nec veritus est flumen Barbarum glacie in morem campi constratum. Cum vero deus omnem illam virtutem explorare voluisset, et adversæ aliquando fortunæ ventum constituit, ut qualis esset, talis opinione, et in rerum fluctibus vitæque tempestate omnibus videretur, et in hac etiam parte celebraretur. Quis

D poeta, vel orandi peritus voce digna explicet ea, quæ ille fecit? Nec Siciliæ aliquam Scyllam et Charybdin stravit, sed virorum etiam Cyclone illo pastore Siculo crudeliorum, mille contra se motas acies, non consertis manibus, nec telis, aut hastis, sed prudentia et oratione ubique terrarum subegit. Hic vero Telchinum dux, et Coryphæus nuncupatus, lethali accepto vulnere, bellum gemens deplorat. Universa Asia non quam sic nunc appellamus,

[z] Horat. *Odæ*.

VARIÆ LECTIONES.

[21] προβάλλουσαι A. [22] πλήθους B. [23] φέρων C, ἔφερον Scaliger. [24] λ. τὸν ἐκ B. [25] στάζουσαι C : βαστάζουσαι ς. θαλάσσης ς. [26] ἄκρα ς. [27] πρῶτον om. B. [28] ποιητὰς C. [29] ἦν] libri ἦ.

attribuentes huic soli parti totius continentis nomen, incipit ab Indis superioribus, ad orientem vero et septentrionem, Rubro mari et Phaside, ad meridiem et occasum Ægypto et mari Ionio, ad alias **371***a* terras divisa et terminata; extenditur vero deducto latere a Propontide in Pamphyliam, quam Ægæum ex uno initio etiam hoc latere oriens, totam alluit. At homines urbes incolentes non cicada aut tunica majores suos unde eos olim genitos puto, sed virtute et sapientia manifeste ostendunt. Meles enim iste (non enim par est hujus linguæ auctorem silentio præterire) ortus est in suburbiis Smyrnæis, produxerunt eumdem varii fontes, non procul a se invicem scaturientes, unde statim flumen profluens exæstuat, et e fontibus onerariis remisque enavigabile redditur. Pertransiens vero utrasque ripas, cypresso, et arundinibus vernans, et juxta mare fluctus communicat. Si fluxus illos fas est nominare. Non enim sonantem audieris, neque aquam ferri putaris. Verum ut Amasius quispiam cupiens amatæ concubitum occultare, furtim mari miscetur, fluctum fluxu mitigans. Nunc etenim more poetarum ventum cupiens dicere, deinde verbum poeticum proferre nequiens, e propria arte appellare volo ventum. Factus vero ob fluctus mollior, dividens aquas circum proram assurgit. Non enim diros optans amores, tuum pernavigare mare nititur, sed cupit omnes Iones venerandis temperantiæ mysteriis initiare. Sermo est apud Rhodios aurum pluisse, Jove aperiente illis auream nubem : fortunam vero vestram, quam per illum consequemini, non narrat ambigua quædam fabula, sed ad oculum res gestæ patebunt. Reducet nobis pulchrum ver, non luscinias, non cygnos, vel cicadas, sed solem eumdem aureis radiis Ioniam illustraturum. Ante alios autem omnes, pullorum nostrorum sacer ille et insolens pullus equinus dux est : quales Deo soli Nisæi donant. Hunc ego pullum frenis Musarum adornans, et totum Charitum mitris revinciens, quasi deo cuidam gregis meæ primitias ferens dicavi. Cæruleæ stellæ oriuntur jucunda claritate resplendentes. Hæc oratio mea parum curat futura antevertere, **371***b* cantuique sensim procedenti concionem festinantem conjungere studet. Tum quidam puto, intelligent revertentem aspicientes, iterum Musarum carminibus illi applaudent.

A εὐδοκιμήσῃ, τίς ἐνταῦθα ποιητὴς ἢ λόγων συνθέτης φωνὴν ἀξίαν τοῖς ὑπὸ τούτου κατειργασμένοις συμβάλοιτο ; Οὐδὲ Σικελικήν τινα Σκύλλαν καὶ Χάρυβδιν, ἀνδρῶν δὲ ἀτασθάλων ὑπὲρ τὸν ἄγριον ἐκεῖνον τὸν Σικελικὸν, τὸν ποιμένα, τὸν Κύκλωπα, μυρίας ἐπ' αὐτὸν κινηθείσας φάλαγγας οὐκ ἀγχεμάχοις ὅπλοις οὐδὲ ξυστοῖς τε καὶ δόρασιν, ἀλλὰ φρονήσει καὶ λόγῳ κατὰ γῆς ἁπάσης ἐστόρεσεν. Ὁ δὲ δὴ τῶν Τελχίνων τε ἡγεμὼν καὶ κορυφαῖος καλούμενος, πληγὴν καιρίαν δεξάμενος, στένει δακρύων τὸν πόλεμον. Ἀσία πᾶσα [30], οὐχ ἥν νῦν οὕτω προσαγορεύομεν τὴν τῆς ὅλης ἐπωνυμίαν ἠπείρου τῷ μέρει μόνῳ τιθέμενοι, ἄρχεται μὲν ἀπ' Ἰνδῶν ἄνω, πρὸς μὲν ἕω καὶ ἄρκτον Ἐρυθρῷ κόλπῳ καὶ Φάσιδι, πρὸς δὲ μεσημβρίαν καὶ ἀπιόντα ἥλιον Αἰγύπτῳ τε καὶ τῷ Ἰονίῳ πελάγει πρὸς τὰς ἄλλας ἠπείρους ἀποσχιζομένη καὶ λήγουσα, παρατείνει δὲ αὐτὴν ἐκ Προποντίδος εἰς Παμφυλίαν πλευρὰ παρήκουσά [31], [604 H.] ἣν Αἰγαῖος προσκλύζει σύμπασαν, ἐκ μιᾶς καὶ αὐτὸς ἀρχῆς τῇ πλευρᾷ ταύτῃ τικτόμενος. Οἵ τε ἐνοικοῦντες τὰς πόλεις ἄνθρωποι οὐ τῷ τέττιγι καὶ τῷ χιτῶνι τοὺς προπάτορας, ἀλλ' ἀρετῇ καὶ σοφίᾳ καθαρῶς δή που δεικνύουσιν, ὅθεν, οἶμαι, καὶ τὸ ἀρχαῖον ἐγένοντο. Ὁ γὰρ δὴ Μέλης οὗτος (οὐ γὰρ δὴ θέμις σιωπῇ παρελθεῖν γλῶσσαν τοσαύτην γεννήσαντα), ἀνίσχει μὲν ἐκ προαστείων τῆς Σμύρνης, τίκτουσι δ' αὐτὸν μυρίαι πηγαὶ καὶ πλησίον ἀλλήλων βλαστάνουσαι, ἀφ' ὧν πλημμύρων ὁ ποταμὸς πελαγίζει τε εὐθὺς, καὶ [32] ἐκ πηγῶν ἔκπλωτος καὶ ὁλκάσι καὶ κώπῃ γίνεται. Παραμειψας δὲ τὰς ἑκατέρωθεν ὄχθας κυπαρίττῳ κομώσας καὶ δόναξι, τῇ πλησίον θαλάττῃ κοινοῦται τὸ ῥεῦμα, εἰ ῥεῦμα θέμις ἐκεῖνο καλεῖν · οὐ γὰρ ἠχοῦντος ἀκούσῃ, οὐδὲ δόξειεν ἄν σοι τὸ ὕδωρ φέρεσθαι, ἀλλ' ὥσπερ τις ἐραστὴς παιδικῶν συνουσίαν κλέψαι βουλόμενος λάθρα τῇ θαλάττῃ κιρνᾶται, λεαίνων τὸ κῦμα τῷ ῥεύματι. [1128 R.] Νῦν γὰρ ποιητικῶς ἐθέλων [33] καλέσαι τὸν ἄνεμον, εἶτα οὐκ ἔχων ποιητικὴν ἀφεῖναι φωνὴν, ἐκ τῆς οἰκείας Μούσης προσεἰπεῖν ἐθέλω τὸν ἄνεμον. Ἁπαλὸς δ' ὑπὲρ κυμάτων χεόμενος [34] πορφυρᾷ σχίζει περὶ τὴν πρῴραν τὰ κύματα. Οὐ γὰρ ἀτασθάλους μαστεύων [35] ἔρωτας τὴν σὴν πλεῦσαι σπουδάζει θάλασσαν [36], ἀλλὰ τελέσαι θέλων πάντας τοὺς Ἴωνας τὰ σεμνὰ σωφροσύνης μυστήρια. Ῥοδίους μὲν δὴ λόγος ὑσθῆναι [37] χρυσῷ, χρυσῆν ἐπ' αὐτοὺς τοῦ Διὸς νεφέλην ῥήξαντος · τὴν δ' ὑμετέραν τύχην, ἣν διὰ τοῦδε καρπώσεσθε [38], οὐ μῦθος ἐρεῖ τις ἀμφίβολος, ἀλλ' ἐν ὀφθαλμοῖς ἔσται [39] τὰ θαύματα. Ἤμελλεν ἄρα τὸ καλὸν ἔαρ οὐκ ἀηδόνας ἄξειν ἡμῖν οὐδέ τινας κύκνους ἢ τέττιγας, ἀλλ' αὐτὸν τὸν ταῖς χρυσαῖς ἀκτῖσι καταυγάζειν μέλλοντα τὴν Ἰωνίαν ἥλιον. Πρό δὲ τῶν ἄλλων ἁπάντων ὁ τῶν ἐμῶν πώλων ἔξαρχος πῶλος ἱερὸς καὶ ἀγέρωχος, οἵους Ἡλίῳ θεῷ Νισαῖοι [40] πώλους πωλεύουσι, τοῦτον ἐγὼ τὸν πῶλον ψαλίοις κοσμήσας Μουσῶν, καὶ ταῖς Χαρίτων μίτραις ὅλον ποιήσας ἀνάδετον, ὥσπερ τινὶ θεῷ τῆς ἐμῆς ἀγέλης ἀπαρχὰς φέρων, ἀνέθηκα. Γλαυκοὶ δὲ ἀστέρες ἀνίσχοιεν φαιδρῷ φωτὶ τὴν ἀναγωγὴν καταυγάζοντες. Οἱ δέ μου λόγοι καὶ προλαβεῖν μικροῦ τὸ μέλλον ὠδίνουσι, καὶ τοῖς ἐκβατηρίοις [41] μέλεσι τὴν ᾠδὴν τὴν ἐπιβατήριον συνάψαι σπεύδουσιν, ἐν νῷ λαμβάνοντες τίνες, οἶμαι, τότε γενήσονται, ὅταν ἐπανελθόντα προσβλέψαντες αὐτῷ πάλιν τὰ Μουσῶν χορεύειν μέλλωσιν.

VARIÆ LECTIONES.

[30] ἀσίαν πᾶσαν C. [31] παρήκουσα Wernsdorfius : libri παρείκουσα. [32] καὶ om. C. [33] ἐθέλων] γὰρ θέλων C. [34] χεόμενος AC : γενόμενος ς. [35] μαντεύων C. [36] θάλατταν C. [37] ὑσθῆναι AC : ῥυσθῆναι ς. [38] καρπώσασθαι C. [39] ἔσται om. A. [40] νησαῖοι AC. [41] ἐμβατηρίοις C.

Ἑτέρου προτρεπτικοῦ λόγου Προοίμιον.

Δεινὸς δὲ ἦν ἄρα οὐ χεῖρα μόνον ἀλλὰ καὶ γνώμην ὁ Λύσιππος. Οἷα [605 H.] γοῦν ἐκεῖνος διὰ τῆς ἑαυτοῦ γνώμης τετόλμηκεν ! ἐγγράφει τοῖς θεοῖς τὸν καιρὸν, καὶ μορφώσας ἀγάλματι τὴν φύσιν αὐτοῦ διὰ τῆς εἰκόνος ἐξηγήσατο. Ἔχει δὲ ὧδέ πως, ὡς ἐμὲ μνημονεύειν, τὸ δαίδαλμα· Ποιεῖ παῖδα τὸ εἶδος ἀβρὸν, τὴν ἀκμὴν ἔφηβον, κομῶντα μὲν τὸ ἐκ κροτάφων εἰς μέτωπον, γυμνὸν δὲ τὸ ὅσον ἐκεῖθεν ἐπὶ τὰ νῶτα μερίζεται, σιδήρῳ τὴν δεξιὰν ὡπλισμένον, ζυγῷ τὴν λαιὰν ἐπέχοντα, πτερωτὸν τὰ σφυρὰ, οὐχ ὡς μετάρσιον ὑπὲρ γῆς ἄνω κουφίξεσθαι, ἀλλ' ἵνα δοκῶν ἐπιψαύειν τῆς γῆς λανθάνῃ κλέπτων τὸ μὴ κατὰ γῆς ἐπερείδεσθαι. Ὁ δὲ Γλαῦκος, ὥσπερ, οἶμαι, λοχῶν αὐτὸ τῆς ἀγωνίας τὸ καίριον ; ἦκέ τε ἐπὶ τὸν στεφανίτην μόνος, καὶ πρῶτος εἶχε [42] τὸν στέφανον. Πάντα γὰρ καλὰ ἐν καιρῷ, καὶ τοξότης ἐπίσκοπος, ὅστις οἶδε καίρια βάλλειν τοξεύματα. Καὶ δὴ εἰς οὐρανὸν ἀηδόνες ἀπὸ γῆς ἵπτανται· τολμᾷ γὰρ ἀνάγειν ὑπὲρ ᾠδῆς εἰς αὐτὸν [τὸν [43]] οὐρανὸν ὁ μῦθος ὄρνιθας. Ἦκον οὖν παρὰ τὸν κύκνον. Ὁ δ' ἔτυχεν ἐπὶ τινος λειμῶνος ἠρινοῦ ἄρτι Ζεφύρῳ πρὸς ᾠδὴν ἐκδιδόναι μέλλων τὰς πτέρυγας.

Ex alia suasoria. — Proœmium.

Ἀλεξάνδρου γὰρ τοῦ βασιλέως βραχὺ πρὸ τῶν ἐνεστώτων χρόνων χρηστηριαζομένου κατὰ τὴν Κιλικίαν ἔνθα φασὶν Ἀπόλλωνος Σαρπηδονίου ἱερὸν εἶναι, ἀνελεῖν αὐτῷ λέγεται τὸν θεὸν φυλάξασθαι τὸν τόπον τὸν ἐνεγκόντα τὸν δίμορφον [49]. Καὶ τότε μὲν αἰνιγματώδη τὸν χρησμὸν εἶναι δόξαι, ὕστερον μέντοι μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ἐπιγνωσθῆναι τὸ λόγιον διὰ τοιαύτας τινὰς αἰτίας· Τῆς Ἀραβίας ἐν ταῖς καλουμέναις Ἄβαις ᾤκει τις Διόφαντος ὄνομα, τὸ δὲ γένος Μακεδών. Οὗτος ἐγχώριον Ἀραβίαν γυναῖκα γήμας ἐγέννησε υἱὸν μὲν ὁμώνυμον ἑαυτῷ, [616 H.] θυγατέρα δὲ τὴν προσαγορευθεῖσαν Ἡραΐδα. Τὸν μὲν οὖν υἱὸν [50] πρὸ τῆς ἀκμῆς ἐπεῖδε τελευτήσαντα, τὴν δὲ θυγατέρα γάμου ἔχουσαν ὥραν προικίσας συγκατῴκισέ τινι ὄνομα Σαμιάδῃ [51]. Οὗτος μὲν οὖν συμβιώσας τῇ γαμηθείσῃ χρόνον ἐνιαύσιον ἀπεδήμησε μακρὰν ἀποδημίαν. Τὴν δ' Ἡραΐδα φασὶ ἀῤῥωστίᾳ περιπεσεῖν παραδόξῳ καὶ παντελῶς ἀπιστουμένῃ· φλεγμονὴν γὰρ ἰσχυρὰν γενέσθαι περὶ τὸ ἦτρον αὐτῆς. Ἐπὶ πλέον δὲ οἰδήσαντος τοῦ τόπου, ἔπειτα τῶν πυρετῶν [52] μεγάλων συνεπιγινομένων [53], καταδοξάσαι τοὺς ἰατροὺς ἕλκωσιν γεγονέναι περὶ τὸν τράχηλον τῆς μήτρας. Χρωμένων δὲ αὐτῶν θεραπείαις αἷς ὑπελάμβανον καταστέλλειν τὰς φλεγμονάς, ἑβδομαίας δ' [54] οὔσης, ῥῆξιν ἐπιγενέσθαι τῆς ἐπιφανείας, καὶ προπεσεῖν [55] ἐκ τῶν τῆς Ἡραΐδος γυναικείων αἰδοῖαν ἀνδρεῖον, ἔχον διδύμους προσκειμένους. Τὴν δὲ ῥῆξιν τούτων καὶ τὸ πάθος γενέσθαι μήτε ἰατροῦ μήτ' ἄλλων τῶν ἔξωθεν [56] παρόντων, πλὴν μητρὸς καὶ δύο θεραπαινίδων. Τότε μὲν οὖν [57] ἀχανεῖς γενομένας [58] διὰ τὸ παράδοξον, τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιήσασθαι τῆς Ἡραΐδος, καὶ κατασιωπῆσαι τὸ γεγονός.

VARIÆ LECTIONES.

[41] καὶ δ' om. A. [42] λξ' A. [43] λη'] ὁ λη' A. [44] ἱστορεῖ — κοίλης] καὶ τῶν B et rc. A : pr. enim om. [45] βασιλευσάντων B. [46] δὲ ante ὁ om. B. [47] ἦν om. B. [48] πρὸ A, πρὸς ζ. [49] τὸν δίμορφον pr. A, θέαν δίμορφον B : τὸν θεὸν δίμορφον ζ. cf. pr. 378 *a* 40. [50] μὲν υἱόν ζ. [51] σαμία A. [52] τῷ πυρετῷ ζ. [53] συνεπιγενομένων ζ. [54] δ' om. B. [55] προπεσεῖν ζ. [56] ἄλλου τῶν ἔξω ζ. [57] οὖν add. B. [58] γενομένας B : γινομένας ζ.

Τὴν δὲ ἀπολυθεῖσαν τῆς νόσου τὴν ἐσθῆτα φορεῖν γυναικείαν, καὶ τὴν ἄλλην ἀγωγὴν οἴκουρον καὶ ὕπανδρον διαφυλάττειν [59]· καταδοξάζεσθαι [60] δὲ ὑπὸ τῶν συνειδότων τὴν περιπέτειαν ἑρμαφρόδιτον εἶναι, καὶ κατὰ τὴν γεγενημένην μετ' ἀνδρὸς συμβίωσιν, τῆς κατὰ φύσιν ἐπιπλοκῆς ἀντιπραττούσης, δοκεῖν αὐτὴν ταῖς ἀρρενικαῖς συμπεριφοραῖς καθωμιλῆσθαι. Λανθανούσης δὲ τοὺς ἐκτὸς τῆς διαθέσεως ταύτης ἐπανελθεῖν τὸν Σαμιάδην καὶ (καθάπερ ἦν ἐπιβάλλον) τὴν γαμηθεῖσαν ἐπιζητεῖν, οὐ τολμώσης δ' ἐκείνης εἰς ὄψιν ἐλθεῖν διὰ τὴν αἰσχύνην, τὸν Σαμιάδην φασὶ [61] βαρέως ἐνεγκεῖν. Ἐπικειμένου δὲ συνεχέστερον καὶ ἀπαιτοῦντος τὴν σύμβιον, καὶ τοῦ πατρὸς μὴ συγχωροῦντος μὲν, αἰσχυνομένου δὲ τὴν αἰτίαν εἰπεῖν, εἰς μέγα ηὔξετο ἡ διαφορά. Ἐπενεγκεῖν τε διὰ τοῦτο δίκην τῷ πατρὶ περὶ τῆς ἰδίας γυναικὸς, τῆς τύχης ὥσπερ ἐν δράμασι [62] τὸ παράδοξον τῆς περιπετείας ἀγούσης εἰς ἔγκλημα. Συνεδρευσάντων δὲ τῶν κριτῶν καὶ λόγων ῥηθέντων συμπαρεῖναι μὲν τῇ κρίσει τὸ ἀμφισβητούμενον σῶμα, διαπορεῖν δὲ τοὺς δικαστὰς πότερον προσήκει τὸν ἄνδρα τῆς γυναικὸς ἢ τὸν πατέρα τῆς θυγατρὸς κυριεύειν. Πέρας τῶν κριτῶν οἰομένων δεῖν ἀκολουθεῖν τἀνδρὶ τὴν γαμηθεῖσαν, τὴν ἀλήθειαν διασαφῆσαι τὸ τῆς φύσεως ἄῤῥεν, καὶ θυμῷ τετολμηκότι τὴν καθυποκρινομένην ἐσθῆτα λύσασαν δεῖξαι πᾶσι, ῥῆξαί τε φωνὴν δεινοπαθοῦσαν, εἴ τινες ἀναγκάζουσι συνοικεῖν ἀνδρὶ τὸν ἄνδρα. [1148 R.] Πάντων δὲ καταπλαγέντων καὶ φωνῇ θαυμαζούσῃ τὸ παράδοξον ἐπισημαινομένων, τὴν μὲν Ἡραΐδα φασὶν ἀποκαλυφθείσης τῆς αἰσχύνης μεταμφιάσασθαι τὸν γυναικεῖον κόσμον εἰς νεανίσκου διάθεσιν, τοὺς δὲ ἰατροὺς ἐπιδειχθέντων [617 H.] αὐτοῖς τῶν φανέντων γνῶναι ὅτι κατεκέκρυπτο [63] φύσις ἄῤῥενος ἐν ᾠειδεῖ [64] τόπῳ φύσεως θηλείας, καὶ δέρματος περιειλημένου παρὰ τὸ σύνηθες τὴν φύσιν σύντρησις ἐγεγέννητο [65], δι' ὧν ἐξωδεύοντο τὰ περιττώματα· διόπερ τὸν προσεσυριγγωμένον τόπον ἑλκώσαντας δεῖν κατουλῶσαι, τὴν δὲ ἀνδρὸς φύσιν εὔκοσμον ποιήσαντας σὺν ἐνδεχομένῃ δόξαι κεχρῆσθαι [66] θεραπείᾳ. Τὴν δ' Ἡραΐδα μετονομασθεῖσαν Διόφαντον εἰς τοὺς ἱππεῖς καταλεχθῆναι, καὶ σὺν τῷ βασιλεῖ παραταξάμενον εἰς τὰς Ἄβας συναναχωρῆσαι. Διὸ καὶ τὸν πρότερον ἀγνοούμενον χρησμὸν τότε γνωσθῆναι φανέντος τοῦ βασιλέως ἐν ταῖς Ἄβαις, καθ' ὃν τόπον ὁ δίμορφος ἐγεγέννητο [67]. Τὸν δὲ Σαμιάδην λέγουσιν, ἔρωτι καὶ τῇ προγεγενημένῃ συνηθείᾳ δεδουλωμένον, αἰσχύνῃ τε τοῦ παρὰ φύσιν γάμου συνεχόμενον, τῆς μὲν οὐσίας τὸν Διόφαντον ἀναδεῖξαι διαθήκῃ κληρονόμον, ἑαυτὸν δὲ τοῦ ζῆν μεταστῆσαι, ὥστε τὴν μὲν γυναῖκα γεγενημένην ἀνδρὸς ἀναλαβεῖν δόξαν καὶ τόλμαν [68], τὸν δ' ἄνδρα γυναικείας ψυχῆς ἀσθενέστερον γενέσθαι.

A par est, super uxore rogitat, quæ præ pudore non fuit ausa comparere. Quod acerbe ferens Samiades, instituit amplius, et consortium cum uxore sua postulavit: patre vero renuente, et causam dicere erubescente, magna orta est contentio. Itaque pro uxore sua socero diem dicit, et ut fit in dramatis, prodigium fortuna in crimen convertit. Cum jam judices consedissent, et causæ essent allatæ, adesse jubetur persona de qua contendatur. Jam vero dubitant judices, utrum viro conjugem, aut filiam patri adjudicent; censent tandem id veritatem indicare, uxorem viro esse adjungendam. Ipsa mox audacter vestem fictam solvens, ostendit palam virum sese esse, lamentabilem tollens vocem, ad quid cogerent virum cohabitare viro? Obstupescere B omnes, et admirabili voce se perculsos testari. Tunc Herais fremoto pudore, virilem habitum rejecto femineo memoratur assumpsisse. Medici autem his visis sic dixerunt: Eodem loco et femineum et virilem sexum tegi, et pelliculam quæ testes tegeret, novo more perviam factam esse, quo retrimenta naturæ transirent; quare patentem illum locum obducere, et claudere, virilemque naturam promptam reddere coacti sunt, omnibus adhibitis medicamentis. Herais vero induto nomine Diophanti conscripta est inter equites, et militaris una cum rege Abas secessit. Tunc vero oraculum quod antea occultum fuit, verum fuisse apparuit. Nam Abas cum rex confugisset, ibidem etiam biformis Diophantus fuit. At Samiades quod amori primoque C matrimonio serviisset, pudore, et contra naturam **378***b* nuptiis initis afflictatus, Diophantum hæredem bonorum suorum scripsit, et sibi ipsi vitam eripuit. Vide quomodo femina virilem animum et audaciam assumat, et vir femina fiat imbecillior.

Παραπλησία δὲ ταύτῃ τῇ διαθέσει συνετελέσθη περιπέτεια τριάκοντα ἔτεσιν ὕστερον ἐν τῇ πόλει τῶν Ἐπιδαυρίων. Ἦν γάρ τις Ἐπιδαυρία, κόρη μὲν εἶναι δοκοῦσα, γονέων δὲ ὀρφανὴ, Καλλὼ [69] δ' ὄνομα. Αὕτη τὸν ἐπὶ τῆς φύσεως ἀποδεδειγμένον ταῖς γυναιξὶ πόρον ἄτρητον εἶχεν, παρὰ [70] δὲ τὸν καλούμενον [71] συριγγωθέντος [72] ἐκ γενετῆς τὰς περιττώσεις τῶν ὑγρῶν ἐξέκρινεν. Εἰς δὲ τὴν ἀκμὴν τῆς ἡλικίας παραγενομένη συνῳκίσθη τινὶ τῶν πολιτῶν. Διετῆ μὲν οὖν χρόνον συνεβίωσε τἀνδρὶ, τὴν μὲν γυναικείαν ἐπιπλο-

D Simile priori triginta post annos in Epidauro prodigium contigit. Kallo quædam fuit Epidauria parentibus orbata, quæ puella esse videbatur. Habebat enim ea quæ feminis natura concessit, verum non pervia juxta hunc locum, alia via a nativitate excrementa naturæ transmittebant. Ad ætatem nubilem ubi pervenisset, nupsit cuidam civi, duosque annos in matrimonio cum viro exegit. Sed conjunctionem feminis usitatam non admittens, inversam, et contra naturam sustinere debuit. Post autem

VARIÆ LECTIONES.

[59] ὑπ' ἄνδρα φυλάττειν A. [60] καταδεδοξάσθαι B, κατεδόξατο corr. A, κατεδοξάσθαι ς. [61] φησὶ B. [62] δράματι B. [63] κατακέκρυπτο B. [64] ᾠειδεῖ] ὁμοειδεῖ A, fortasse ὠειδεῖ. [65] σύντρησίς τις γεγένητο B. [66] χρῆσθαι δόξαι ς. [67] ἐγεγέννητο B. [68] τόλμαν καὶ δόξαν B. [69] καλὼ B. [70] παρὰ δὲ AB: παρ' αὐτὸν δὲ ς. [71] καλούμενον A, καλούμενον κτένα Stephanus, καλούμενον τόπον ς. [72] συριγγωθέντα B.

multis doloribus circa uterum ingens oritur tuber, A quod e multis medicis, qui eo confluxerant, nemo sanare potuit. Pharmacopola vero quidam se curaturum promisit. Hic tumentem ilium locum aperiens, virilia membra et testes, et virgulam non perviam inde eduxit. Rei novitate omnes obstupescunt. Pharmacopola tum reliquis partibus læsis medicatus est. Primo quidem summitatem pudendorum parum secans, perduxit usque ad initium vesicæ, et fistulam inseruit argenteam, qua excrementa pertransirent, locum vero ante patentem sanavit, et clausit; quare hoc loco sanato, duplicem mercedem poposcit, primo quia mulierem liberasset a morbo, et virum ex ea perfectum perfecisset. Kallo vero virili veste sumpta, et viri moribus rejectis radio textorio, et mulierum opificio, una littera nomini adjuncta; scilicet *n*, Kallon vocitata est. Narrant quidam illam antequam in virilem formam mutaretur, Cereris sacra viris ipsis non adeunda, vidisse, et ideo impietatis accusatam fuisse.

κὴν οὐκ ἐπιδεχομένη, τὴν δὲ παρὰ φύσιν ὁμιλίαν ὑπομένειν ἀναγκαζομένη. Μετὰ δὲ ταῦτα φλεγμονῆς αὐτῇ συμβάσης περὶ τὸν κτένα καὶ δεινῶν ἀλγηδόνων ἐπιγενομένων συνεκλήθη πλῆθος ἰατρῶν. Καὶ τῶν μὲν ἄλλων οὐδεὶς ὑπισχνεῖτο θεραπεύειν, φαρμακοπώλης δέ τις ἐπαγγελλόμενος ὑγιάσειν ἕτεμε τὸν ἐπηρμένον τόπον, ἐξ οὗπερ ἐξέπεσεν ἀνδρὸς αἰδοῖα, δίδυμοι καὶ καυλὸς ἄτρητος. Πάντων δὲ τὸ παράδοξον καταπλαγέντων, ὁ φαρμακοπώλης ἐβοήθει τοῖς λειπομένοις μέρεσι τῆς πηρώσεως. Τὸ μὲν οὖν πρῶτον τὸ αἰδοῖον ἄκρον ἐπιτεμὼν συνέτρησεν εἰς τὸν οὐρητῆρα, καὶ καθεὶς ἀργυροῦν καυλίσκον ταύτῃ τὰ περιττώματα τῶν ὑγρῶν ἐξεκόμιζε, τὸν δὲ σεσυριγγωμένον τόπον ἑλκώσας ἐνέφυσε. Καὶ τοῦτον τὸν τρόπον ὑγιοποιήσας διπλοῦν ἀπῄτει τὸν μισθόν· ἔφη γὰρ αὐτὸν παρειληφέναι γυναῖκα νοσοῦσαν, καθεστακέναι δὲ νεανίσκον ὑγιαίνοντα. Ἡ δὲ Καλλὼ τὰς μὲν ἐκ τῶν ἱστῶν κερκίδας καὶ τὴν ἄλλην τῶν γυναικῶν ταλασιουργίαν ἀπέθετο, μεταλαβοῦσα δὲ ἀνδρὸς ἐσθῆτα καὶ τὴν ἄλλην διάθεσιν μετωνομάσθη Κάλλων, ἑνὸς

B

στοιχείου ἐπὶ τῷ τέλει τοῦ προστεθέντος. Λέγεται δ' ὑπό τινων ὅτι πρὸ τοῦ μεταλαβεῖν [618 H.] τὴν εἰς ἄνδρα μορφὴν ἱέρεια τῆς Δήμητρος ἐγεγένητο, καὶ τὰ τοῖς ἄρρεσιν ἀόρατα ἰδοῦσα κρίσιν ἔσχεν ἀσεβείας.

Similia Neapoli, et aliis in locis plurima facta dicuntur prodigia, non quod masculinus et femininus sexus **379***a* in geminum locum collocatus sit, quod fieri non potest, verum quia natura aliqua membra corporis, in hominum stuporem, et fraudem falso describat. Quare nos hæc digna censuimus quæ litteris non oblectationis causa legentium, sed utilitatis mandarentur. Multi enim superstitiose putant hæc prodigia esse, nec solum rudes, sed C etiam integræ gentes et urbes. Fama est initio belli Marsici, juxta Romam Italum quemdam Androgynum uxore ducta prioribus non absimilem, reum factum apud senatum fuisse, qui superstitiosus nimium, et a Thyrrhenis aruspicibus persuasus, hominem vivum jussit exuri Verum senatus ignorans morbum, injuste hunc similis participantem quidem naturæ, non revera autem monstrum, damnavit. Non multo post Athenienses eadem de causa morbum ignorantes, quemdam vivum ait exussisse. Nuganturetiam quidam hyænas utriusque naturæ esse (56), et intra annum sibi invicem coire: sed res tota falsa. Nam utramque naturam simplicem, et non permistam habent, et male tradiderunt ii, qui temere observarunt. Muliebri sexui adjacet quiddam simile secundum naturam parti virili, et virili contrario modo quod referat speciem muliebris. Hæc quidem de omnibus animalibus non crescentibus, et ad perfectum incrementum pertingere non valentibus, quamvis multa et varia revera accidant prodigia, dicta sunt ad superstitionem tollendam.

Ὁμοίως δ' ἐν τῇ Νεαπόλει καὶ κατ' ἄλλους τόπους πλείονας [73] ἱστοροῦνται γεγονέναι τοιαῦται περιπέτειαι, οὐκ ἄῤῥενος καὶ θηλείας φύσεως εἰς δίμορφον τύπον [74] δημιουργηθείσης (ἀδύνατον γὰρ τοῦτο), ἀλλὰ τῆς φύσεως διὰ τῶν τοῦ σώματος μερῶν [1149 R.] ψευδογραφούσης εἰς ἔκπληξιν καὶ ἀπάτην τῶν ἀνθρώπων. Διόπερ καὶ [75] ἡμεῖς τὰς περιπετείας ταύτας ἀναγραφῆς ἠξιώσαμεν, οὐ ψυχαγωγίας ἀλλ' ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. Ὅλλοι γὰρ τέρατα τὰ τοιαῦτα νομίζοντες εἶναι δεισιδαιμονοῦσιν, οὐκ ἰδιῶται μόνον ἀλλὰ καὶ ἔθνη καὶ πόλεις. Κατ' ἀρχὰς γοῦν τοῦ Μαρσικοῦ πολέμου πλησίον τῆς Ῥώμης οἰκοῦντά φασιν Ἰταλικὸν, γεγαμηκότα παραπλήσιον τοῖς εἰρημένοις ἀνδρόγυνον, προσαγγεῖλαι τῇ συγκλήτῳ, τὴν δὲ δεισιδαιμονήσασαν καὶ τοῖς ἀπὸ Τυῤῥηνίας ἱεροσκόποις πεισθεῖσαν ζῶντα προστάξαι καῦσαι. Τοῦτον μὲν οὖν ὁμοίας κεκοινωνηκότα φύσεως, ἀλλ' οὐ πρὸς ἀλήθειαν τέρας γεγενημένον, φασὶν ἀγνοίᾳ τῆς νόσου παρὰ τὸ προσῆκον ἀπολωλέναι. Μετ' ὀλίγον δὲ καὶ παρ' Ἀθηναίοις τοῦ τοιούτου γενομένου διὰ τὴν ἄγνοιαν τοῦ πάθους ζῶντά φασι [76] κατακαῆναι. Καὶ γὰρ τὰς [77] λεγομένας δαίνας τινὲς μυθολογοῦσιν ἄῤῥενας ἅμα καὶ θηλείας ὑπάρχειν, καὶ παρ' ἐνιαυτὸν ἀλλήλας ὀχεύειν, τῆς ἀληθείας οὐχ οὕτως ἐχούσης. Ἑκατέρου γὰρ τοῦ γένους ἁπλῆν ἔχοντος καὶ ἀνεπίμικτον τὴν φύσιν, προσώρισται τὸ ψευγογραφοῦν καὶ παρακρουόμενον τοὺς εἰκῇ θεωροῦντας· τῇ μὲν γὰρ [78] θηλείᾳ πρόσκειταί τι κατὰ τὴν φύσιν παρεμφερὲς ἄῤῥενι μορίῳ, τῷ δὲ ἄῤῥενι κατὰ τὸ ἐναντίον ἔμφασις [79] θηλείας

C

D

φύσεως. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ παντων τῶν ζώων, γενομένων [80] μὲν πρὸς ἀλήθειαν πολλῶν καὶ

VARIÆ LECTIONES.

[73] πλείονες B. [74] τύπον B : τόπον ς. [75] καὶ add. B. [76] φησι ς. [77] καὶ γὰρ καὶ τ. ς. [78] γὰρ add. B. [79] ἔμφασις B et corr. A : ἐμφάσεις ς. [80] malim γινομένων.

NOTÆ.

(56) Palladius de hyænis in Vita Macarii, et fortasse Busbequius in *Legatione Byzantina*.

παντοδαπῶν τεράτων, μὴ, τρεφομένων δέ καὶ εἰς τελείαν αὔξησιν ἐλθεῖν οὐ δυναμένων. Ταῦτα μὲν εἰρήσθω πρὸς διόρθωσιν δεισιδαιμονίας.

Ὁ μὲν οὖν Διόδωρος πρὸς τῷ τέλει τοῦ λβ' λόγου τῆς Ἱστορικῆς αὐτοῦ πραγματείας τοσαῦτα διέξεισι· καὶ ἄλλοι δὲ πλεῖστοι τοιαύτας περιπετείας ἱστορήκασιν.

A Hæc Diodorus circa finem libri tricesimi secundi *Historiarum* prosequitur, licet etiam alii, et plurimi de prodigiis scripserint (57).

Ἐκ τοῦ λδ'.

Ὡς Ἀντίοχος ὁ βασιλεύς, φησίν [81], ἐπολιόρκει τὰ Ἱεροσόλυμα, οἱ δὲ Ἰουδαῖοι μέχρι μέν τινος ἀντέσχον, ἐξαναλωθέντων δὲ τῶν ἐπιτηδείων ἁπάντων ἠναγκάσθησαν περὶ διαλύσεως διαπρεσβεύσασθαι. Οἱ δὲ πλείους αὐτῷ τῶν φίλων συνεβούλευον κατὰ κράτος αἱρήσειν τὴν πόλιν καὶ τὸ γένος ἄρδην ἀνελεῖν τῶν Ἰουδαίων· μόνους γὰρ ἁπάντων ἐθνῶν ἀκοινωνήτους εἶναι τῆς πρὸς ἄλλο ἔθνος ἐπιμιξίας καὶ πολεμίους ὑπολαμβάνειν πάντας. Ἀπεδείκνυον δὲ καὶ τοὺς προγόνους αὐτῶν ὡς ἀσεβεῖς καὶ μισουμένους ὑπὸ τῶν [82] θεῶν ἐξ ἁπάσης τῆς Αἰγύπτου πεφυγαδευμένους. Τοὺς γὰρ ἀλφοὺς ἢ λέπρας ἔχοντας ἐν τοῖς σώμασι, καθαρμοῦ χάριν ὡς ἐναγεῖς συναθροισθέντας, [619 H.] ὑπερορίους ἐκβεβλῆσθαι· τοὺς δὲ ἐξορισθέντας καταλαβέσθαι μὲν τοὺς περὶ τὰ Ἱεροσόλυμα τόπους, συστησαμένους δὲ τὸ τῶν Ἰουδαίων ἔθνος παραδόσιμον ποιῆσαι τὸ μῖσος τὸ πρὸς τοὺς ἀνθρώπους [83]. διὰ τοῦτο δὲ [84] καὶ νόμιμα παντελῶς ἐξηλλαγμένα καταδεῖξαι, τὸ μηδενὶ ἄλλῳ ἔθνει τραπέζης κοινωνεῖν μηδ' εὐνοεῖν τὸ παράπαν [85]. Ὑπέμνησαν δὲ αὐτὸν καὶ περὶ τοῦ προγενομένου [86] μίσους τοῖς προγόνοις πρὸς τοῦτο τὸ ἔθνος. Ἀντίοχος γὰρ ὁ προσαγορευθεὶς Ἐπιφανὴς, καταπολεμήσας τοὺς Ἰουδαίους, εἰσῆλθεν εἰς τὸν ἄδυτον τοῦ θεοῦ σηκὸν, οὗ [1150 R.] νόμιμον εἰσιέναι μόνον τὸν ἱερέα· εὑρὼν δὲ ἐν αὐτῷ λίθινον ἄγαλμα ἀνδρὸς βαθυπώγωνος, καθήμενον ἐπ' ὄνου, μετὰ χεῖρας ἔχων βιβλίον, τοῦτο μὲν ὑπέλαβε Μωϋσέως [88] εἶναι τοῦ κτίσαντος τὰ Ἱεροσόλυμα καὶ συστησαμένου τὸ ἔθνος, πρὸς δὲ τούτοις νομοθετήσαντος τὰ μισανθρωπα καὶ [89] παράνομα ἔθη τοῖς Ἰουδαίοις, αὐτὸς δὲ στυγήσας [90] τὴν μισανθρωπίαν πάντων ἐθνῶν ἐφιλοτιμήθη καταλῦσαι τὰ νόμιμα· διὸ τῷ ἀγάλματι τοῦ κτίστου καὶ τῷ ὑπαίθρῳ βωμῷ τοῦ Θεοῦ μεγάλην ὗν θύσας τό τε αἷμα προσέχεεν αὐτοῖς, καὶ τὰ κρέα σκευάσας προσέταξε τῷ [μὲν] ἀπὸ τούτων ζωμῷ τὰς ἱερὰς αὐτῶν [91] βίβλους καὶ περιεχούσας τὰ μισόξενα νόμιμα καταῤῥᾶναι, τὸν δὲ ἀθάνατον λεγόμενον παρ' αὐτοῖς λύχνον καὶ καιόμενον [92] ἀδιαλείπτως ἐν τῷ ναῷ κατασβέσαι· τῶν τε κρεῶν ἀναγκάσας [93] προσενέγκασθαι τὸν ἀρχιερέα καὶ τοὺς ἄλλους Ἰουδαίους. Ταῦτα δὴ διεξιόντες οἱ φίλοι τὸν Ἀντίοχον παρεκάλουν μάλιστα μὲν ἄρδην ἀνελεῖν τὸ ἔθνος, εἰ δὲ μή, καταλῦσαι τὰ νόμιμα καὶ συναναγκάσαι τὰς ἀγωγὰς μεταθέσθαι. Ὁ δὲ βασιλεὺς μεγαλόψυχος ὢν καὶ τὸ ἦθος ἥμερος, λαβὼν ὁμήρους ἀπέλυσε τῶν ἐγκλημάτων τοὺς Ἰουδαίους, φόρους τε τοὺς ὀφειλομένους πραξάμενος, καὶ τὰ τείχη περιελὼν τῶν Ἱεροσολύμων.

Ex libro tricesimo quarto.

Obsidenti, inquit, Antiocho regi Hierosolyma, eo usque Judæi restiterunt, donec necessaria omnia defecissent. Tunc de componenda re legatos miserunt, et eos plerosque regios amicos. Itaque suasere regi, ut violenter urbem dirueret, et gentem Judæorum funditus everteret. Solos enim eos esse qui **379***b* cum aliis gentibus nihil habeant commune, et omnes in hostium numero ponant, et clarum esse quomodo majores eorum, ut impii et exsecrabiles a diis ex omni Ægypto expulsi, et quomodo leprosi B confertim loco mundationis velut detestandi profugi ejecti sint, et mox Hierosolymis loca contermina abripientes hanc gentem ordinaverint, et odium erga omnes homines induxerint. Quare et aliam omnino vitæ institutionem complecti, nec cum alia gente omnino velle comedere, nec etiam velle benefacere. Ad hæc ei majorum odium suorum erga hunc populum in memoriam revocarunt. Antiochus enim dictus Epiphanes devictis Judæis intravit Sancta sanctorum, adiit solis sacerdotibus adeunda, et invenit ibidem lapideam statuam viri barba promissa, tenentis manibus librum insidentisque asino, quam putabat Mosis esse, qui urbem et condiderit, et gentem fundarit, et odiosas illas omnibus gentibus leges tulerit. Ipse vero cupiens obducere odium omC nium gentium, leges dissolvere conatus est. Quare statuæ conditoris, et altari Dei subdiali porcam ingentem sacrificavit, et sanguine illos perfudit, et carnem coquens, jussit sacros eorum libros, qui leges continerent, jure illo corrumpi, et oblitterari: ignem nunquam deficientem, et semper, ut aiunt, ardentem, in templo exstingui, et carnem suillam summum sacerdotem, aliosque Judæos comedere coegit. Hæc narrantes illi amici, Antiochum vehementer ad totam gentem perdendam, aut saltem ad everlendas leges, et vitæ institutionem mutare cogendum incitarunt. Verum rex magnanimus, moribusque mansuetus, impositisque tolerandis tributis, et muro privans civitatem Hierosolymorum, acceptis D obsidibus, Judæos crimine liberavit.

Ταῦτα Διόδωρος περὶ τῶν Μωσαϊκῶν ἐθῶν καὶ

Hæc Diodorus de Mosaicis intitutis et legibus,

VARIÆ LECTIONES.

[81] φησίν om. B. [82] ὑπὸ τῶν A : παρὰ ς. [83] τὸ πρὸς τοὺς ἀνθρώπους μῖσος B. [84] δὲ om. B. [85] τὸ παράπαν μηδ' εὐνοεῖν ς. [86] προγενομένου A : γενομένου ς. [87] οὗ] ᾗ A malim οἳ. [88] μωϋσέως A, μωϋσέος B : Μωσέως ς. [89] καὶ add. A. [90] στυγήσας] libri συστήσας. [91] αὐτοῦ A. [93] καόμενον B. [93] ἀναγκάσαι B.

NOTÆ.

(57) Julius Obsequens, T. Livius, Plutarchus, Dion et alii.

de conditore Hierosolymorum, de exitu ex Ægypto mentitur. Et in reprehensione Judæorum **380***a* in mendacio perseverans, ne sibi ipsi contradicere videatur, tanquam alios narrantes inducit, quibus Antiochi amicitiam adjungit. Hæc quoque de Judæis libro XL *Bibliothecæ* habet.

Ex quadragesimo circa medium.

Scripturus bellum contra Judæos par esse existimavi principium prius et ortum hujus gentis et instituta recensere. Multi apud Ægyptios olim perniciosæ hujus calamitatis causam ad Deum referunt. Cum multi et varii peregrini Ægyptum incolerent, diversis sacrificandi utentes ritibus, factum est ut patrii erga deos cultus deficerent, quod incolæ, nisi alienigenas dimitterent, malorum indicium fore suspicati sunt. Statim itaque ex ejectis profugis præstantissimi efficacissimique (ut quidam nugantur) in Græciam, locaque vicina illapsi sunt, præstantes habentes ductores, quorum principes Danaus et Cadmus exstiterunt. Reliqua vero turba eam regionem, quæ nunc Judæa dicitur, non procul ab Ægypto distantem, et in illa usque tempora penitus desertam occupavit. Hanc porro coloniam Moses prudentia et robore cæteros excellens deduxit (58), qui hanc regionem invadens, multas urbes condidit, et unam, quæ nunc celeberrima est, appellatam Hierosolyma; maxime autem religionem et cultum eis colendum dedit, venerationes et sacrificia edocuit, et de eis qua ad rempublicam pertinent leges tulit et decreta. In duodecim tribus populum divisit, existimans hunc numerum esse perfectissimum, et anno duodecim mensibus completo persimilem. Imagines deorum omnino non sculpsit, quod putaret humana Deum non videri forma, sed cœlum terram ambiens esse Deum, et omnia suo imperio gubernare. Sacrificia vitæque **380***b* rationes diversas prorsus ab aliis gentibus ordinavit. Nam quia externos urbe sua interdicerent, odiosam sane vitam, et aliis invisam induxit. Jussit insuper ut qui genti præessent, grati essent populo, et maxime auctoritate potentiores, quos sacerdotes esse voluit, et eos præcepit circa altaria Deique cultum et sacrificia exerceri, et ex his optimos judicio viros judices constituit, quibus et legum institutique custodiam attribuit. Non ordinavit Judæis regem, sed imperium populi ei censuit committendum, qui prudentia et virtute inter sacerdotes aliis præstare videretur; hunc summum pontificem appellant, quem velut nuntium sibi divinorum præceptorum esse ducunt, hunc edicta in populi congregationibus et conciliis, ait proferre, cui Judæi ita obtemperant, ut statim

A νομίμων, ἀλλὰ καὶ τοῦ τῶν Ἱεροσολύμων κτίστου καταψευσάμενος καὶ αὐτῆς τῆς ἐξ Αἰγύπτου τῶν Ἰουδαίων ἐξόδου, καὶ πρὸς τὸν ἔλεγχον τοῦ ψεύδους ὥσπερ ἑαυτῷ τὸ μὴ αὐτὸς ἁλῶναι διοικονομούμενος, ἑτέροις περιτίθησι προσώποις τὴν περὶ τῶν διεψευσμένων ἀφήγησιν, τὴν Ἀντιόχου φιλίαν τούτοις προσεπισυνάπτων. Γράφει δὲ καὶ ἐν [94] τῷ μ΄ λόγῳ τῆς αὐτῆς Βιβλιοθήκης περὶ Ἰουδαίων ταῦτα.

Ἐκ τοῦ μ΄ λόγου, περὶ τὸ μέσον.

Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς Ἰουδαίους πόλεμον, οἰκεῖον εἶναι διαλαμβάνομεν προδιελθεῖν ἐν κεφαλαίοις τήν τε [95] τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν καὶ τὰ παρ' αὐτοῖς νόμιμα. Κατὰ τὴν Αἴγυπτον τὸ παλαιὸν [620 H.] λοιμικῆς περιστάσεως γενομένης ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κα-

B κῶν ἐπὶ τὸ δαιμόνιον, πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων, καὶ διηλλαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας, καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν τιμάς. Ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς [96] ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. Εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξερρίφησαν (ὥς τινές φασιν) εἰς τὴν Ἑλλάδα καὶ τινας ἑτέρους τόπους, ἔχοντες [97] ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι. Ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόρρω μὲν κειμένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους· Ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ

C προσαγορευόμενος Μωσῆς, φρονήσει τε [98] καὶ ἀνδρείᾳ πολὺ [99] διαφέρων. Οὗτος δὲ καταλαβόμενος τὴν χώραν ἄλλας τε πόλεις ἔκτισε καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην [1], ὀνομαζομένην Ἱεροσόλυμα. Ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν, καὶ τὰς τιμὰς καὶ ἁγιστείας [2] τοῦ θείου κατέδειξε, καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. Διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλάς, διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελειότατον [3] νομίζεσθαι καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. Ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε, διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν Θεὸν, ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν καὶ τῶν ὅλων κύριον. Τὰς δὲ θυσίας

D ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἐθνεσι, καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς· [1153 R.] διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. Ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ σύμπαντος [4] ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ διατριβὴν [5] ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν καὶ τὰς τοῦ Θεοῦ τιμάς τε καὶ θυσίας. Τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων

VARIÆ LECTIONES.

[94] ἐν add. A. [95] τε add. A. [96] εὐγενεῖς A. [97] ἔχοντας ς. [98] τε mg. libri δὲ quod adhebatur πολλῇ, omisi cum A. [99] πολὺ A : πλεῖστον ς. [1] οὖσαν ἐπιφανεστάτην om. B. [2] ἁγιαστείας ς. [3] τελεώτατον ς. [4] συμπαντος B : συμπαρόντος ς. [5] διατριβὴν A : τριβὴν ς.

NOTÆ.

(58) Vide Strab. et Justin.

κρίσεων, καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθων φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. Τοῦτον δὲ [6] προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ Θεοῦ προσταγμάτων. Τοῦτον δὲ κατὰ τὰς Ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα· καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπιθεῖς [7] γίνεσθαι τοὺς Ἰουδαίους ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. Προσγέγραπται [621 H.] δὲ καὶ τοῖς νόμοις ἐπὶ τῆς [8] τελευτῆς ὅτι Μωσῆς ἀκούσας τοῦ Θεοῦ τάδε λέγει τοῖς Ἰουδαίοις. Ἐποιήσατο δ' ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν, καὶ τοὺς νέους ἠνάγκαζεν ἀσκεῖν ἀνδρείαν τε καὶ καρτερίαν [9] καὶ τὸ σύνολον ὑπομονὴν πάσης κακοπαθείας. Ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν, καὶ πολλὴν κατακτησάμενος χώραν κατεκληρούχησε, τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δὲ ἱερεῦσι μείζονας, ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους ἀπερίσπαστοι συνεχῶς προσεδρεύωσι [10] ταῖς τοῦ Θεοῦ τιμαῖς. Οὐκ ἐξῆν δὲ [11] τοῖς ἰδιώταις τοὺς ἰδίους κλήρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους ἐκθλίβωσι τοὺς ἀπορωτέρους καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. Τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι' ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. Καὶ τὰ περὶ τοὺς γάμους δὲ καὶ τὰς τῶν τελευτώντων ταφὰς πολὺ τὸ παρηλλαγμένον ἔχειν [12] ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. Κατὰ δὲ τὰς ὕστερον γενομένας [13] ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας, ἐπὶ τετάρτης [14] τῶν Περσῶν ἡγεμονίας καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη.

Οὕτω μὲν κἀνταῦθά φησι περὶ τῶν παρὰ Ἰουδαίοις ἐθῶν [15] τε καὶ νομίμων, καὶ αὐτῶν [16] ἐκείνων τῆς ἐξ Αἰγύπτου ἀπαλλαγῆς, καὶ τοῦ θείου Μωυσέως, ψευδολογῶν τὰ πλεῖστα, καὶ διερχόμενος πρὸς τοὺς ἐλέγχους πάλιν ὧν κατεψεύσατο τῆς ἀληθείας, ἀναχώρησιν ἑαυτῷ μεθοδευσάμενος, εἰς ἕτερον καὶ νῦν ἀναφέρει τῶν εἰρημένων τὴν παριστορίαν· ἐπάγει γὰρ· Περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱστόρηκεν.

Ἐκ τοῦ μη' [17].

Ὅτι ὃ λέγεται συνενεχθῆναι αἴτιον θανάτου παρά τινων Ἰοβιανῷ τῷ βασιλεῖ, τὸ κατακοιμηθῆναι ἐν οἴκῳ νεωστὶ κεκονιαμένῳ, πυρὶ δὲ διὰ τὴν ψύξιν ὑποθερμαινομένῳ καὶ ἀτμοὺς ἀφιέντι τοὺς ἐκ τῆς νενοτισμένης κονίας, τοῦτο ἑκόντα ὑπελθεῖν ἱστορεῖ Διόδωρος Κάτλον [18] κατὰ τοὺς πολλῷ παλαιοτέρους χρόνους. Φησὶ γὰρ ἐν μη' λόγῳ πρὸς τῇ ἀρχῇ ὅτι οἱ περὶ τὸν Κίνναν καὶ Μάριον συνεδρεύσαντες μετὰ τῶν ἐπιφανεστάτων ἡγεμόνων ἐβουλεύοντο ὅπως βεβαίως καταστήσωσι τὴν εἰρήνην· τέλος ἔδοξεν αὐτοῖς τοὺς ἐπιφανεστάτους τῶν ἐχθρῶν καὶ δυνα-

A pontifice loquente cadentes in terram adorent. Additum est in fine legis : *Hæc Moses loquitur Judæis obediens Deo*. Magnam etiam bellicarum institutionum curam adhibuit, juvenesque ad tolerantiam et fortitudinem, et ad omnem malorum patientiam exerceri voluit. Multa quoque contra varios populos bella gessit, magnamque subigens sorte eam divisit ; æquales populo portiones, sacerdotibus majores assignavit : ut latiores terminos possidentes, continenter sine ulla molestia Dei sacrificiis occuparentur. Nec etiam licitum erat pauperibus portiones proprias divendere, ne aliqui per avaritiam coementes inopes excludant, et in causa sint ut populus minuatur. In regione pueros ali voluit, qui exiguo sumptu alebantur, et ideo copiosa et fecunda semper Judæorum natio exstitit. Diversi quoque ab aliis in nuptiis et sepulturis fuerunt. Sed propter accessiones quæ postea e multis victoriis acciderunt, monarchia quarta scilicet Persarum, et deinde Macedonum, multa patriis Judæorum institutis decesserunt.

E libro quadragesimo octavo.

Quæ Joviano imperatori ab aliquibus mortis causa fuisse traditur, ut scilicet dormiens in domo recens inalbata, et igne propter humorem excitato, vaporibus e madida calce prodeuntibus exstinctus sit (60), hanc sponte Catulum subiisse longo ante tempore narrat Diodorus ; nam in libro quadragesimo octavo, initio, hæc habet. Cinnani et Mariani consilium inierunt cum præstantissimis ducibus, ut firma in pace viverent, et tandem ita concluserunt, ut inimicorum clarissimos quosque, et de imperio contendere valentes interficerent, ut scilicet pura

VARIÆ LECTIONES

[6] δὲ add. A. [7] εὐπείθεῖς ς. [8] τῆς om. A. [9] καρτερίαν τε καὶ ἀνδρείαν ἀσκεῖν ς. πάσης ὑπομονὴν ς. [10] προσεδρεύωσι B : προσεδρεύσωσι ς. [11] δὲ om. pr. A. [12] ἔχειν om. B. [13] γενομένας] ἐγνωσμένας B. [14] τετάρτης] malim τε τῆς. [15] παρὰ Ἰουδαίοις ἐθῶν B et corr. A, qui pr. παρὰ ἐθῶν : παρεθῶν ς. [16] αὐτῶν] an. αὐτῆς ? [17] μη'] λη' Wesselingius post Rhodomannum. [18] Κάτλον post χρόνους ponit ς.

NOTÆ.

(59) Vide Josephum lib. *Adversus Appionem*.

(60) In *Epitoma* Sexti Aurelii Victoris. « Hic dum a Perside hieme aspera mediaque Constantinopolim accelerat, cruditate stomachi tectorio novi operis gravatus esset, repente interiit. »

B

C **381***a* Ita hic de moribus et legibus majorum, et discessu eorum ex Ægypto, deque sacro Mose, in multis mentitur, plurima etiam non attingens. In accusationibus quas contra veritatem profert, deflectit, ad alium dictorum narrationem referens. Subdit enim statim : *Hæc de Judæis Hecatæus Milesius tradidit* (59).

D

factione eorum reddita, reliquo tempore, ut vellent, sine timore cum amicis suis rempublicam administrarent. Quare statim pactas conditiones et fidem neglexerunt, et cædes condemnatorum impune et ubique factæ sunt. Quintus vero Lutatius Catulus, qui clarissimum de Cimbris triumphum egerat, populo prius charissimus a quodam tribuno plebis apud populum reus mortis factus est : quare metuens periculum ex accusatione, speransque auxilium aliquod ad Marium se contulit: ipse autem antea amicus ejus, tunc elatus superbia, secius erga eum affectus est, nullumque aliud responsum dedit nisi, *Moriendum est.* Catulus vero desperata salute properans sine injuria vitam terminare, seipsum vita privavit, idque novo et inusitato more, nam includens seipsum in domo recens dealbata, et vaporem e calce igne et fumo excitans, respirandi facultate impeditus exstinctus est.

A μένους ἀμφισβητῆσαι πραγμάτων [19] πάντας ἀποκτεῖναι, [1156 R.] ὅπως καθαρᾶς γενομένης τῆς ἰδίας αἱρέσεως καὶ μερίδος ἀδεῶς τὸ λοιπὸν, καὶ ὡς ἂν βούλωνται, μετὰ τῶν φίλων διοικῶσι [20] τὰ κατὰ τὴν ἡγεμονίαν. Εὐθὺς οὖν τῶν μὲν γεγενημένων συνθέσεων καὶ πίστεων ἠμέλησαν, σφαγαὶ δὲ τῶν καταψηφισθέντων αὐτοῖς ἀκριτοι καὶ πανταχοῦ ἐγίνοντο. Κόϊντος [622 H.] δὲ Λουτάτιος ὁ Κάτλος, τεθριαμβευκὼς μὲν ἐπισήμως ἀπὸ Κίμβρων, ἀγαπώμενος δὲ ὑπὸ τῶν πολιτῶν περιττότερον, ὑπό τινος δημάρχου κατηγορίας ἐτύγχανεν ἐν τῷ δήμῳ θανάτου. Φοβούμενος δὲ τὸν ἐκ τῆς συκοφαντίας κίνδυνον ἦκεν εἰς τὸν Μάριον, δεόμενος τυχεῖν βοηθείας. Ὁ δὲ τὸ μὲν ἔμπροσθεν ἐγεγόνει φίλος, τότε δ' ἔκ τινος ὑποψίας ἀλλοτρίως ἔχων πρὸς αὐτὸν τοῦτο μόνον ἀπεκρίθη, θανεῖν δεῖ. Καὶ ὁ Κάτλος ἀπογνοὺς μὲν τὰς τῆς [21] σωτηρίας ἐλπίδας, σπεύδων δὲ χωρὶς ὕβρεως καταστρέψαι τὸν βίον, ἑαυτὸν τοῦ ζῆν μετέστησεν ἰδίῳ τινὶ καὶ παρηλλαγμένῳ τρόπῳ. Συγκείσας ἑαυτὸν εἰς οἶκόν νεόχριστον, καὶ τὴν ἐκ τῆς κονίας ἀναφορὰν πυρὶ καὶ καπνῷ συναυξήσας, τῇ τῆς ἀναπνοῆς φθορᾷ περιπνιγὴς [22] γενόμενος ἀπήλλαξεν.

B

Ex tricesimo primo.

Hæc dum geruntur, Romam **381***b* venere legati Rhodiorum, ad diluenda quibus impediti fuerant crimina. Videbantur enim in bello, quod adversus Perseum gestum est, animis ad regem inclinasse, et quam cum Romanis habebant amicitiam, prodiisse. Cumque nihil legatione sua proficerent, desponsabant animos, et cum lacrymis colloquia habebant. Cum autem eos in senatum introduxisset unus tribunorum, nomine Antonius, primus orationem de legatione habuit Philophron, et secundum posteum, Astymedes. Hi cum multa suppliciter et deprecatorie dixissent, et ad extremum (ut est in proverbio) cygneam cantionem cecinissent, ægre responsa acceperunt, per quæ ab extremo quidem metu liberati sunt sed de criminibus acerbe objurgati.

Ἐκ του λα'.

Ἅμα δὲ τούτοις πραττομένοις εἰς Ῥώμην παρεγένοντο πρεσβευταὶ Ῥοδίων, τὰς γεγευημένας διαβολὰς κατ' αὐτῶν ἀπολύσασθαι· ἐδόκουν γὰρ ἐν τῷ πρὸς Περσέα πολέμῳ ταῖς εὐνοίαις ἀποκεκλικέναι πρὸς τὸν βασιλέα καὶ προδεδωκέναι τὴν πρὸς Ῥωμαίους φιλίαν. Μηδὲν δὲ ἀνύοντες ὧν ἐπρέσβευον εἰς ἀθυμίαν ἐνέπιπτον, καὶ μετὰ δακρύων ἐποιοῦντο τὰς ἐντεύξεις. Εἰσαγαγόντος δὲ αὐτοὺς εἰς τὴν σύγκλητον ἑνὸς τῶν δημάρχων Ἀντωνίου πρῶτος μὲν ἐποιεῖτο τὸν ὑπὲρ τῆς πρεσβείας λόγον Φιλόφρων, μετὰ δὲ τοῦτον Ἀστυμήδης. Πολλὰ δὲ πρὸς δέησιν καὶ παραίτησιν εἰπόντες, καὶ τὸ τελευταῖον κατὰ τὴν παροιμίαν τὸ κύκνειον ᾄσαντες, μόλις ἔλαβον ἀποκρίσεις, δι' ὧν τοῦ μὲν ὁλοσχεροῦς φόβου παρελύθησαν, περὶ δὲ τῶν ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

C

Quare licet apud Romanos videre præstantissimos quosque de gloria centendentes, per quos omnia pene maxima a populo perficiuntur. Sed in aliis urbibus sibi ipsis omnes invident, Romani vero invicem laudant, unde evenit optime et fortissime rem ut gerant, rempublicam amplificare studentes et alii injuste sentientes, et seipsos circumvenientes patriam perdant.

Διόπερ ἰδεῖν ἔστι παρὰ Ῥωμαίοις τοὺς ἐπιφανεστάτους ἄνδρας ὑπὲρ δόξης ἁμιλλωμένους, δι' ὧν ἅπαντα σχεδὸν τὰ μέγιστα τῷ δήμῳ κατορθοῦνται. Ἐν μὲν γὰρ τοῖς ἄλλοις πολιτεύμασι ζηλοτυποῦσιν ἀλλήλους, Ῥωμαῖοι δὲ ἐπαινοῦσιν. Ἐξ οὗν συμβαίνει μάλιστα τοὺς μὲν πράσσειν τὰ κάλλιστα τῶν ἔργων, ἁμιλλωμένους αὔξειν τὸ κοινῇ [23] συμφέρον, τοὺς δ' ἄλλους ἀδικοδοξοῦντας καὶ τὰς ἀλλήλων [24] ἐπιβολὰς [25] λυμαινομένους βλάπτειν τὴν πατρίδα.

D

Perseum ultimum regem Macedoniæ, postquam is sæpe cum Romanis amicitiam iniit, sæpe item non contemnendo exercitu bellum gessit, tandem Æmilius debellatum cepit, et præclarum ob eam victoriam triumphum egit. Perseus vero tantis agitatus calamitatibus ut similes esse videantur ejus casus fabulis rerum nunquam gestarum, ne discedere quidem e vita volebat. Priusquam enim senatus de eo pronuntiasset, quid faciendum esset urbano

Ὅτι Περσέα τὸ τελευταῖον Μακεδονίας βασιλέα, πολλάκις Ῥωμαίοις διὰ φιλίας ἰόντα, πολλάκις δὲ καὶ στρατιᾷ οὐκ ἀναξιολόγῳ πολεμήσαντα τέλος Αἰμίλιος καταπολεμήσας εἷλε, καὶ λαμπρὸν θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγε. Περσεὺς δὲ τηλικαύταις περιπεσὼν συμφοραῖς ὥστε δοκεῖν ὅμοια μύθοις ἀγενήτοις εἶναι τὰ πάθη τὰ περὶ αὐτὸν, οὐδ' ἀπολυθῆναι τοῦ ζῆν ἤθελε. Πρὶν γὰρ ἢ τὴν σύγκλητον ὑπὲρ αὐτοῦ διαλαβεῖν ὃ χρὴ παθεῖν, τῶν κατὰ πόλιν στρατηγῶν [26] εἷς ἐνέβαλεν [27]

VARIÆ LECTIONES.

[19] ἀμφ. περιπραγμάτων B ς. [20] δοικοῦσι ς. [21] τῆς add. A. [22] περιπνιγὴς B et corr. H : περιπνιγεὶς ς. [23] κοινῇ B : κοινὸν ς. [24] ἀλλήλων B et corr. A. ἀλλήλους ς. [25] ἐπιβουλὰς — βλάπτει ς. [26] τὸν — στρατηγὸν B. [27] εἰσέβαλον B, ἐνέβαλλεν ς.

αὐτὸν εἰς τὸν ἐν Ἄλβαις κάρκαρον [623 H.] μετὰ τῶν τέκνων. Ἔστι δὲ ὁ κάρκαρος ὄρυγμα κατάγειον βαθὺ, τὸ μὲν μέγεθος ἔχον [28] οἴκου μάλιστά πως ἐννεακλίνου [29], σκότου [30] δὲ πλῆρες [33] καὶ δυσοσμίας διὰ τὸ πλῆθος τῶν παραδεδομένων εἰς τοῦτον τὸν τόπον ἀνδρῶν, τῶν ἐπὶ θανατικοῖς ἐγκλήμασι καταδικαζομένων [1157 R.] ὧν ἐν ἐκείνοις τοῖς χρόνοις οἱ πλείους ἐνταῦθα καθείργνυντο· ἐν οὕτω γὰρ στενωπῷ συγκεκλεισμένων πολλῶν ἀνδρῶν ἀπεθηριοῦτο τὰ τῶν ἀτυχῶν σώματα, τῶν τε πρὸς τροφὴν καὶ τὴν ἄλλην πᾶσαν χρείαν ἀνηκόντων πάντων ἐν ταὐτῷ πεφυρμένων τοσαύτην προσπίπτειν δυσωδίαν συνέβαινεν, ὥστε μηδένα τῶν προσιόντων ῥᾳδίως δύνασθαι καρτερῆραι. Ἐφ' ἡμέρας μὲν οὖν ἑπτὰ διετέλεσεν ἐνταῦθα κακουχούμενος, ὥστε καὶ παρὰ τῶν ἐσχάτων καὶ τακτὰ [32] σιτουμένων ἐπικουρίας δεηθῆναι· συμπαθεῖς γὰρ οὗτοι γινόμενοι [33] διὰ τὸ μέγεθος τῶν ἀκληρωμάτων, ὧν μεταλάμβανον [34], φιλανθρώπως τούτων ἐκείνῳ μετεδίδοσαν δακρύοντες. Ἐρρίπτο [35] δ' αὐτῷ καὶ ξίφος πρὸς ἀναίρεσιν καὶ κάλως πρὸς ἀγχόνην, ἐξουσίας διδομένης ὡς βούλοιτο [36] χρήσασθαι. Ἀλλ' οὐδὲν οὕτω γλυκὺ φαίνεται τοῖς ἠτυχηκόσιν ὡς τὸ ζῆν, καίπερ αὐτῶν [37] ἄξια θανάτου πασχόντων. Καὶ πέρας ἐν ταύταις ἂν ταῖς ἀνάγκαις κατέστρεψε τὸν βίον, εἰ μὴ Μάρκος Αἰμίλιος προκαθήμενος τοῦ βουλευτηρίου, τηρῶν τό τε περὶ αὐτὸν ἀξίωμα καὶ τὸ τῆς πατρίδος ἐπιεικὲς, παρήνεσε τῇ συγκλήτῳ σχετλιάζων, εἰ μὴ τὸν ἀνθρώπινον φόβον εὐλαβοῦνται, τήν γε τοὺς ὑπερηφάνως ταῖς ἐξουσίαις χρωμένους μετερχομένην νέμεσιν αἰδεῖσθαι. Διόπερ εἰς ἐπιεικεστέραν δοθεὶς φυλακὴν, καὶ κεναῖς [38] ἐλπίσι προσανέχων, ὁμοίαν τοῖς προητυχημένοις ἔσχε τοῦ βίου τὴν καταστροφήν. Διετῆ γὰρ χρόνον φιλοψυχήσας, καὶ προσκόψας τοῖς φυλάττουσι [39] βαρβάροις, κωλυόμενος ὑπ' ἐκείνων ὕπνου τυχεῖν ἐτελεύτησεν.

Ὅτι λέγουσιν [40] ἑαυτοὺς οἱ τῆς Καππαδοκίας βασιλεῖς εἰς Κῦρον ἀναφέρειν τὸ γένος τὸν ἐν Πέρσαις, διαβεβαιοῦνται δὲ καὶ τῶν ἑπτὰ Περσῶν τῶν τὸν μάγον ἐπανελομένων ἑνὸς ὑπάρχειν ἀπόγονοι. Καὶ τὴν μὲν ἀπὸ Κύρου συγγένειαν οὕτω καταριθμοῦνται. Καμβύσου τοῦ Κύρου πατρὸς ἀδελφὴν ὑπάρξαι γνησίαν [41] Ἄτοσσαν [42]· ταύτης δὲ καὶ Φαρνάκου τοῦ Καππαδοκίας βασιλέως γενέσθαι παῖδα Γάλλον, καὶ τούτου γενέσθαι Σμέρδιν [43]. οὗ Ἀρτάμην· τοῦ δὲ Ἀναφᾶν, ὃν καὶ διενεγκεῖν μὲν ἀνδρείᾳ καὶ τόλμῃ, γενέσθαι δ' ἕνα τῶν ἑπτὰ Περσῶν. Τὴν μὲν οὖν εἰς Κῦρον [44] συγγένειαν οὕτω γενεαλογοῦσι καὶ τὴν εἰς Ἀναφᾶν, ὃν φασι δι' ἀνδρείαν συγχωρηθῆναι τὴν Καππαδοκίας δυναστείαν ὥστε μὴ τελεῖν φόρους Πέρσαις. Οὗ τελευτήσαντος ὁμώνυμος υἱὸς ἄρχει.

A prætori, conjecit eum in carcerem, qui est Albæ, cum natis. Est autem carcer ille, antrum subterraneum profundum, magnitudine maxime, quantum est cœnaculum novem lectorum. Estque tenebrarum plenum ac fetoris, propter multitudinem hominum rei capitalis damnatorum, qui in eum locum traduntur, quorum maxima pars illis temporibus hic claudebatur. Conclusis enim in tam augusto loco tot hominibus, efferebantur miserorum corpora, et confusis inter sese omnibus, quæ vel ad victum, vel ad alios usus pertinent **382***a*, tantus fetor exsistebat, ut nullus accedentium facile durare posset. Igitur ille per dies septem loco hoc miseriam pertulit, ut etiam extremæ conditionis hominum et statuum cibum accipientium ope indigeret. Hic enim ejus B vicem propter infortuniorum magnitudinem dolentes, quæ ipsi accipiebant, hæc ei benigne lacrymantes impertiebant. Igitur ei gladius ad occisionem, et restis ad strangulationem projectus est, data utriusvis optione. Verum nihil tam dulce miseris videtur quam vivere, etiamsi morte dignam miseriam patiantur. Ac tandem in his necessitatibus vitam finivisset, nisi Marcus Æmilius curiæ præsidens, et suam dignitatem et patriæ æquitatem retinens, senatum cum gravi reprehensione commonefecisset, ut si humano metu non terreretur, at Nemesim ultricem certe vererentur, quæ in eos animadvertere solet, qui potestatibus superbe utuntur. Itaque ille in mitiorem datus custodiam, et vanas C spes fovens, similem superioribus casibus exitum vitæ sortitus est. Postquam enim biennium vitæ cupidus duravit, cum custodes barbaros offendisset, prohibitus est ab illis somno frui, atque ita vitam finivit.

Dicunt sese (inquit) Cappadociæ reges ad Cyrum Persam referre genus suum, contenduntque prognatos esse se uno septem Persarum, qui magum occiderunt, et ductam quidem a Cyro cognationem sic enumerant. Cambyse Cyri patris sororem fuisse germanam Atossam. Ex hac et Pharnace Cappadociæ rege natum fuisse Pedagamum (61), et hujus filium fuisse Smerdim : cujus porro Artamnam, et D hujus Anaphan, qui fortitudine et audacia excelluerit, et unus septem Persarum fuerit. Igitur suam ad Cyrum cognationem sic enumerant, et ad Anaphan, cui perhibent propter virtutem sic concessum fuisse Cappadociæ principatum, ut Persis tributa non penderet. Eo vita defuncto imperavit ejusdem nominis filius. Post cujus obitum superstitibus duobus

VARIÆ LECTIONES.

[28] ἔχον B et corr. A. [29] ἐννεακλίνου corr. A : ἐνεακλιτίου ς. [30] σκότους B. [31] πλῆρες B et corr. A : πλήρης ς. [32] τακτὰ] τὰ κατὰ A, τὰ ἔγκανα B. [33] γινόμενοι. [34] μετελάμβανον add. A. [35] ἐῤῥίπτο AB : ἐῤῥίπτουν ς. [36] ὡς ἂν βούλοιτο ς. [37] καίπερ αὐτῶν] καὶ παρ' αὐτῶν A, καὶ παρὰ τῶν B. [38] καίναῖς ς. [39] φυλάσσουσι B. [40] λέγουσίν (φησιν) ἑαυτοὺς ς. [41] ὑπάρξαι γὰρ γνησίαν ς. [42] Ἄτοσσαν AB : Ἀττόσαν ς. [43] σμέρδην B. [44] κῦρον A : Κύρου ς.

NOTÆ.

(61) Al. παῖδα Γάλλον, *filium Gallum*.

filiis, Datama **382***b* et Arimnæo, successisse imperio Datamam, virum et bello et aliis regni partibus laudatum, qui cum Persis prælio congressus et strenue prœliatus, in eo occubuerit. Regnum accepit filius Ariamnes, cujus fuere fili Ariarathes et Olophernes. Is Ariamnes cum annos quinquaginta imperasset, nec ullum opus dignum memoria fecisset, obiit. Ejus in imperium successit natu grandior filius Ariarathes, qui supra modum amasse fratrem dicitur, et ad clarissimos ordines evexisse, utque idem cum Persis adversus Ægyptios missus, belli socius fuisse, et cum magnis honoribus revenisse, quos Persarum rex Ochus propter virtutem in cum conferebat, vitamque in patria reliquisse, superstitibus filiis Ariaratha et Arysa ; frater autem et Cappadociæ imperium habens (nec enim germanam proB lem habebat), grandiorem fratris filium Ariarathem adoptavit. Per ea tempora Alexander Macedo Persas debellavit, deinde obiit. At Perdiccas omnium tunc rerum gubernator, Eumenem misit ducem Cappadociæ, ac debellato Ariaratha et in pugna interfecto, tam ipsa Cappadocia quam finitimæ regiones, in Macedonum potestatem venerunt. Ariarathes vero postremi regis filius in præsentia desperans, concessit cum paucis in Armeniam. Haud multo post tempore, Eumene et Perdicca mortuis, et Antigono ac Seleuco subsecutis, ille acceptis ab Armeniorum rege Ardoata copiis, et Macedonum ducem Amyntam interfecit, et Macedones celeriter e finibus ejecit, domesticumque imperium recuperavit. C Habuit hic tres filios, quorum natu maximus Ariamnes regnum accepit, qui affinitatem contraxit cum Antiocho cognomine Deo, ejus filiam Stratonicam Ariarathæ filiorum suorum natu maximo collocavit. Cumque esset filiorum supra modum amans, puero diadema imposuit, eum totius in regno imperii atque juris ex æquo secum socium fecit. Mortuo patre Ariarathes solus regnavit, et e vita discedens regnum filio suo admodum puero reliquit. Hic duxit in uxorum filiam Antiochi Magni, nomine Antiochidem, versutam admodum, **383***a* Hanc, cum liberos non gigneret, supposuisse ferunt sibi duos filios ignorante viro, videlicet Ariarathem et Olophernem. Aliquanto post tempore cum semen suscepisset, ipsam præter spem peperisse duas filias, D et unum filium, nomine Mithridatem. At tunc virum de subditis consuluisse, et fecisse ut grandior cum mediocribus facultatibus Romam mitteretur, et junior in Ioniam, ne de regno cum germano filio contenderent. Hunc adultum Ariarathem aiunt cognominatum, et litteris Græcis imbutum, atque ob cæteras virtutes laudatum fuisse. Et pater quidem filio patris amanti studebat se vicissim amantem filii exhibere : atque eousque processit eorum mutua benevolentia, ut pater toto imperio cedere filio

A Μετὰ δὲ τὴν τούτου τελευτὴν ἀπολειφθέντων δυσὶν υἱοῖν, Δατάμου καὶ Ἀριμναίου, διαδέξασθαι τὴν ἀρχὴν Δατάμην, ἄνδρα καὶ [45] κατὰ πόλεμον καὶ κατ' ἄλλα μέρη τῆς βασιλείας [624 H.] ἐπαινούμενον, ὃς Πέρσαις διὰ μάχης ἐλθὼν καὶ λαμπρῶς κατὰ τὴν μάχην ἀγωνισάμενος ἐν αὐτῇ τελευτᾷ. Διεδέξατο δὲ τὴν βασιλείαν ὁ υἱὸς Ἀριάμνης, οὗ γίνονται παῖδες Ἀριαράθης καὶ Ὀλοφέρνης· οὗτος δὲ ἔτη πεντήκοντα δυναστεύσας καὶ μηδὲν ἔργον ἄξιον μνήμης πράξας τελευτᾷ. Τὴν δὲ ἀρχὴν διεδέξατο ὁ πρεσβύτερος τῶν υἱῶν Ἀριαράθης, ὃς φιλοστοργῆσαι διαφερόντως λέγεται τὸν ἀδελφὸν, καὶ προάγειν αὐτὸν εἰς τὰς ἐπιφανεστάτας τάξεις· ὅν καὶ Πέρσαις κατ' Αἰγυπτίων ἀποσταλέντα συμμαχῆσαι μετὰ [46] μεγάλων τιμῶν ἐπανελθεῖν, ἃς Ὦχος ὁ Περσῶν βαB σιλεὺς ὑπὲρ ἀνδρείας ἐδίδου, καὶ τὸν βίον ἐν τῇ πατρίδι λιπεῖν, υἱοὺς ἐγκαταλιπόντα Ἀριαράθην καὶ Ἀρύσην. Ὁ δὲ ἀδελφὸς καὶ τῆς Καππαδοκίας ἔχων τὴν ἀρχὴν (οὐ γὰρ ἦν αὐτῷ γυνὴ [47] γνησία) [1160 R.] τὸν πρεσβύτερον τῶν παίδων τἀδελφοῦ Ἀριαράθην υἱοποιεῖται. Κατὰ δὲ τούτους τοὺς χρόνους Ἀλέξανδρος ὁ Μακεδὼν καταπολεμεῖ μὲν Πέρσας, εἶτα καὶ τελευτᾷ, καὶ Περδίκκας [48] ὁ τῶν ὅλων τότε ἡγούμενος Εὐμένη πέμπει Καππαδοκίας στρατηγόν. Καὶ καταπολεμηθέντος Ἀριαράθου, πεσόντος τε [49] ἐν τῇ μάχῃ, αὐτή τε ἡ Καππαδοκία καὶ τὰ πλησιόχωρα αὐτῆς ἔπεσεν ὑπὸ Μακεδόνας. Ἀριαράθης δὲ ὁ τοῦ προβεβασιλευκότος υἱὸς, ἀπελπίσας κατὰ τὸ παρὸν, ἀποχωρεῖ μετ' ὀλίγων πρὸς τὴν Ἀρμενίαν. Μετ' οὐ πολὺν δὲ χρόνον τῶν περὶ τὸν Εὐμένη καὶ Περδίκκαν τελευτησάντων. Ἀντιγόνου δὲ καὶ Σελεύκου περισπωμένων, λαβὼν δύναμιν παρὰ τοῦ βασιλέως τῶν Ἀρμενίων Ἀρδοάτου τὸν μὲν τῶν Μακεδόνων στρατηγὸν Ἀμύνταν ἀπέκτεινεν, ἐξέβαλε δὲ καὶ Μακεδόνας [50] ταχέως τῆς χώρας, καὶ τὴν οἰκείαν ἀρχὴν ἀνεκτήσατο. Τούτῳ [51] δὲ τριῶν παίδων γενομένων παρέλαβε τὴν βασιλείαν ὁ πρεσβύτατος Ἀριάμνης· ὃς ἐπιγαμίαν πρὸς Ἀντίοχον ποιησάμενος τὸν ἐπονομασθέντα Θεὸν, τὴν τούτου θυγατέρα Στρατονίκην συνῴκισε τῷ πρεσβυτέρῳ τῶν υἱῶν Ἀριαράθῃ. Ὑπάρχων δὲ φιλότεκνος διαφερόντως περιέθετο τῷ παιδὶ διάδημα, καὶ συνάρχειν πάντων τῶν τῆς [52] βασιλείας [53] προτερημάτων ἐπ' ἴσης μεταδίδωσι. Τοῦ δὲ πατρὸς τελευτήσαντος Ἀριαράθης βασιλεύει καθ' ἑαυτὸν καὶ μεταλλάσσων τὸν βίον κατέλιπε [54] τὴν βαD σιλείαν Ἀριαράθῃ τῷ υἱῷ, νηπίῳ παντελῶς ὄντι τὴν ἡλικίαν. Οὗτος δὲ ἔγημε θυγατέρα τοῦ μεγάλου κληθέντος Ἀντιόχου, ὀνομαζομένην Ἀντιοχίδα, πανοῦργον μάλιστα. Ταύτην δὲ μὴ γιγνομένων [55] τέκνων ὑποβαλέσθαι [56] δύο παῖδας ἀγνοοῦντος τοῦ ἀνδρὸς, Ἀριαράθην καὶ Ὀλοφέρνην. Μετὰ δὲ τινα χρόνον τῆς φύσεως ἐπιδεξαμένης ἀνελπίστως τεκεῖν αὐτὴν δύο μὲν θυγατέρας, υἱὸν δὲ ἕνα τὸν ὀνομασθέντα Μιθριδάτην [57]. Ἐξ οὗ τοὺς ὑποβολιμαίους ἀναδιδαξαμένην τἀνδρὶ τὸν μὲν πρεσβύτερον μετὰ

VARIÆ LECTIONES.

[45] καὶ post ἄνδρα add. A. [46] μετὰ] καὶ μετὰ B. [47] γυνὴ B. [48] περδίκας B. [49] πεσόντος τε] καὶ πεσόντος B. [50] μακεδόνα ς. [51] τούτου B. [52] τῆς om. A. [53] βασιλέως B. [54] κατέλειπε A. [55] γενομένων ς. [56] libri ὑποβάλλεσθαι. [57] Μιθριδάτης ς.

συμμέτρου χρειας εἰς Ῥώμην ἀποσταλῆναι παρασκευάσαι, τὸν δὲ νεώτερον εἰς τὴν Ἰωνίαν χάριν τοῦ μὴ διαμφισβητεῖν ὑπὲρ τῆς βασιλείας τῷ γνησίῳ. Τοῦτον δὲ ἀνδρωθέντα καὶ Ἀριαράθην φασὶν μετονομασθῆναι, παιδείας τε Ἑλληνικῆς [625 H.] μετασχεῖν, καὶ κατὰ τὴν ἄλλην ἐπαινεῖσθαι ἀρετήν. Καὶ ὁ μὲν πατὴρ φιλοπάτορι ὄντι τῷ υἱῷ ἔσπευδεν ἀποδοῦναι τὴν τοῦ φιλοτέκνου σπουδήν, καὶ ἐπὶ τοσοῦτον αὐτοῖς προέβη τὰ τῆς πρὸς ἀλλήλους εὐνοίας, ὥστε ὁ μὲν πατὴρ ἐξίστασθαι τῆς ὅλης ἀρχῆς ἠγωνίζετο τῷ παιδί, ὁ δὲ ἀδύνατον ἐδείκνυ [58] δέξασθαι αὐτὸν παρὰ γονέων ἔτι ζώντων τοιαύτην χάριτα. Οὗτος τὸν πατέρα τοῦ πεπρωμένου καταλαβόντος διεδέξατο τὴν βασιλείαν, τήν τε ἄλλην ἀγωγὴν τοῦ βίου ἀξιολογωτάτην ἐνδεικνύμενος καὶ φιλοσοφίᾳ προσανέχων, ἐξ οὗ καὶ ἡ παρὰ τοῖς Ἕλλησιν ἀγνοουμένη πάλαι Καππαδοκία τότε τοῖς πεπαιδευμένοις ἐμβιώτερον [59] ὑπῆρχεν. Ἀνενεώσατο δ' οὗτος καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τε καὶ συμμαχίαν. Ἀλλὰ τὰ μὲν περὶ τῆς εἰς Κῦρον ἀναφορᾶς τῶν μέχρι τοῦδε τῆς Καππαδοκίας βασιλευσάντων ἐν τούτοις.

A certaret, ille contra demonstraret fieri non posse, ut a parentibus adhuc viventibus ejusmodi beneficium admitteret. Hic, postquam parentem fata vocarunt, regnum accepit, tum in reliquis vitæ moribus eximium se præbens, tum philosophiæ operam navans. Quod factum est ut Cappadocia olim Græcis ignota, tunc eruditis fuerit receptaculum. Idem cum Romanis amicitiam societatemque renovavit. Aliaque plurima de relatione regum Cappadociæ præsentium usque ad Cyrum (62).

Ἐκ τοῦ αὐτοῦ.

Ex eodem.

B

Ὅτι περὶ Λευκίου Αἰμιλίου, τοῦ Περσέα καταπολεμήσαντος, τῆς ταφῆς διερχόμενος, καὶ λαμπρὰν αὐτὴν ἐς τὰ μάλιστα γενέσθαι λέγων, ἐπάγει· Τῶν γὰρ Ῥωμαίων οἱ ταῖς εὐγενείαις καὶ προγόνων δόξῃ διαφέροντες μετὰ τὴν τελευτὴν εἰδωλοποιοῦνται κατά τε τὴν τοῦ χαρακτῆρος ὁμοιότητα [1161 R.] καὶ κατὰ τὴν ὅλην τοῦ σώματος περιγραφήν, μιμητὰς ἔχοντες ἐκ παντὸς τοῦ βίου παρατετηρηκότας [60] τήν τε πορείαν καὶ τὰς κατὰ μέρος ἰδιότητας τῆς ἐμφάσεως. Παραπλησίως δὲ καὶ τῶν προγόνων ἕκαστος προηγεῖται τοιαύτην ἔχων διασκευὴν καὶ κόσμον, ὥστε τοὺς θεωμένους διὰ τῆς ἐκ τούτων ἐμφάσεως γινώσκειν ἐφ' ὅσον ἕκαστοι [61] τιμῆς προήχθησαν καὶ μετέσχον τῶν ἐν τῇ πολιτείᾳ καλῶν.

De Lucii Æmilii, qui Persem debellavit, sepultura hæc habet, quam propter ista maxime dicit illustrem. Solent enim Romani qui nobilitate et majorum suorum gloria præstarent, mortuorum imagines ad similitudinem vitæ, totiusque corporis delineationem effingere, ut vitæ seriem servantes, et juxta imaginis cujusque propriam virtutem haberent quos imitarentur (63). Eodem modo unusquisque e parentibus ejusmodi statuas, et ornamenta habuit et præcessit, ut ex eorum picturis quisque intelligat, quantas **383***b* in republica dignitates singuli et honores gesserint.

Ὅτι τοὺς Ἴβηρας καὶ Λυσιτανούς ὀνομάζει. Φησὶ γὰρ ὡς Μέμμιος ἐξαπέλεκυς [62] στρατηγὸς εἰς τὴν Ἰβηρίαν ἐξαπέσταλτο μετὰ δυνάμεως, οἱ δὲ Λυσιτανοὶ συστραφέντες πρὸς αὐτὸν, καὶ λαβόντες ἀπαράσκευον [63] ἐκ κατάπλου, μάχῃ τε ἐνίκησαν καὶ τὸ πλεῖστον τοῦ στρατοῦ διέφθειραν. Περιβοήτου δὲ γενομένης τῆς τῶν Ἰβήρων εὐημερίας οἱ μὲν Ἀρουακοὶ, νομίσαντες πολὺ κρείττους εἶναι τῶν Ἰβήρων, κατεφρόνησαν τῶν πολεμίων, καὶ τὸ πλῆθος τὸ κατὰ τὴν ἐκκλησίαν διὰ ταύτην μάλιστα ταύτην μάλιστα τὴν αἰτίαν εἵλετο τὸν πρὸς Ῥωμαίους πόλεμον.

C

Nominat Hispanos et Lusitanos. Addit enim quomodo Memmius prætor ad urbem in bello in Hispaniam cum copiis sit missus, et ut Lusitani cum eo congredientes, exscendentem imparatum occupant, pugnaque eum superant, magnamque exercitus partem cædunt, facta autem Hispanorum victoria jam celebri, Arevaci existimantes se Iberis fortiores adhuc esse, hostem contempserunt, et in concione populus, hac præsertim de causa, contra Romanos bellum movit (64).

Ἐκ τοῦ λβ'.

Ex tricesimo secundo.

Ὅτι τὸ τεῖχος τῶν Καρχηδονίων τῆς πόλεως φησιν ὕψος μὲν εἶναι πηχῶν τεσσαράκοντα, πλάτος δὲ εἰκοσιδύο· ὅμως καὶ [64] τοιούτων ὄντων αἱ Ῥωμαίων μηχαναὶ καὶ τὰ κατὰ πόλεμον ἀνδραγαθήματα κρείττους ὤφθησαν τῆς ἐκείνων ἀσφαλείας, καὶ ἑάλω ἡ πόλις καὶ κατερειπώθη [65].

D

Licet Carthaginensum mœnia quadraginta cubitos altitudine, et latitudine viginti duos excederent, Romanorum tamen machinæ, et virtus fortior quam murus fuit, sic ut urbem ceperint, et solo æquaverint (65).

Ὅτι Μασανάσσης [66] ὁ Λιβύων βεβασιλευκὼς καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τετηρηκὼς ἐνενήκοντα [67]

Masinissa rex Africanorum, qui amicitiam cum Romanis tenuit, annos nonaginta in vigore vixit.

VARIÆ LECTIONES.

[58] ἐδείκνυε B. [59] ἔμβιωτήριον Stephanus. [60] βίου τοὺς παρατετηρ. B. [61] ἕκαστοι A : ἕκαστος ζ. [62] ἐξαπέλεκυς] ἐξ οὗ πέλεκυς A. [63] ἀπαράσκευον Rhodomannus, ἐκ παρασκευῶν A, ἐκπαράσκευον ζ. [64] καὶ] καίτοι A. [65] κατεριπώθη A. [66] μανασῆς A, μανασσῆς B. [67] ἐννενήκοντα ζ.

NOTÆ.

(62) Vide Ciceronis Epistolas.
(63) Vide Tacitum et Juvenalem.
(64) Eutropius, lib. IV.
(65) Vide Ortelii *Theatrum* in *Parergo*.

filios decem moriens reliquit, quos Romanis in tutelam commisit. Erat et corporis firmitate præstans, et duritiei ac laboribus a pueritia assuetus. Etenim stans in vestigiis totum diem manebat immotus, et sedens non surgebat usque ad noctem, toto die labores meditans, et in equo continenter toto die et nocte sedens, et equitationibus utens non defatigabatur. Est ejus valetudinis vigorisque signum hoc maximum, quod fere jam monagenarius, filium haberet quadrimulum, corporis robore præstantem. In agrorum cultura usque adeo excelluit, ut singulis filiis reliquerit agrum decem millium jugerum omni instrumento ornatum. Regnavit præclare annos sexaginta.

A μὲν ἑβίω ἔτη ἐν δυνάμει, παῖδας δέκα ἐν τῷ ἀπαλλάττεσθαι καταλιπών, οὓς καὶ Ῥωμαίοις ἐπιτροπεύεσθαι παρεκατέθετο [68] [626 H.], ἦν δὲ καὶ κατὰ τὴν τοῦ σώματος εὐτονίαν διαφέρων καὶ καρτερίᾳ καὶ πόνοις συνήθης ἐκ παιδός· ὅς γε στὰς ἐν τοῖς ἴχνεσιν ὅλην τὴν ἡμέραν ἀκίνητος ἔμενε, καθεζόμενος δὲ οὐκ ἠγείρετο μέχρι νυκτὸς ἐνημερεύων ταῖς τῶν πόνων μελέταις, ἐπὶ δὲ τὸν ἵππον ἐπιβαίνων [69] συνεχῶς ἡμέραν καὶ νύκτα καὶ ταῖς ἱππασίαις χρώμενος οὐκ ἐξελύετο [70]. Σημεῖον δὲ τῆς περὶ αὐτὸν εὐεξίας τε καὶ δυνάμεως μέγιστον· ἐνενήκοντα γὰρ σχεδὸν ἔχων ἔτη υἱὸν εἶχε τετραετῆ, διαφέροντα τῇ τοῦ σώματος ῥώμῃ. Ἐν δὲ ταῖς τῶν ἀγρῶν ἐπιμελείαις τοσοῦτον διήνεγκεν, ὡς ἑκάστῳ τῶν υἱῶν ἀπολιπεῖν ἀγρὸν μυριόπλεθρον, κεκοσμημένον πάσαις ταῖς κατασκευαῖς. Ἐβασίλευσε δ' ἐπιφανῶς ἔτη ἑξήκοντα.

Nicomedes patrem Prusiam persequens, ad aram Jovis confugientem interfecit, et nefanda cæde imperium invadens, Bithyniæ regnum adeptus est.

B Ὅτι Νικομήδης Προυσίαν τὸν ἑαυτοῦ πατέρα καταπολεμήσας, καὶ καταφυγόντα εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνελών, παρέλαβε τὴν βασιλείαν τῆς Βιθυνίας, ἀσεβεστάτῳ φόνῳ κτησάμενος τὴν ἀρχήν.

Lusitani primo parem ducem non habentes, facile superabantur, bellum cum Romanis gerentes. Postea Viriathum adepti multum Romanis incommodarunt. Erat is ea gente **384***a* Lusitanorum, qui Oceanum accolunt. Pastor fuit a teneris montanæ vitæ assuetus, adjuvante etiam corporis natura. Nam et robore et celeritate reliquarumque partium agilitate Hispanos longe antecellebat, cum cibo exiguo, et multis exercitationibus uti consuefecisset, et somno duntaxat quantum esset necesse. In summa ferrum continenter gestans, et cum belluis et latronibus manus conferens, vulgo celebris evasit, et ab illis dux electus, brevi latronum catervam se circum congregavit. Atque in bellis proficiens, non solum admirationi fuit propter robur corporis, verum etiam dux excellens visus est. Erat autem in dispertienda præda justus, et eos qui egregie pugnaverant, pro dignitate donis extollebat (66-67). Tandem cum jam non latronem sed principem sese exhibuisset, bellum gessit cum Romanis, multisque præliis superior evasit, adeo ut etiam ducem Romanorum Vitellium cum ipso exercitu profligaverit, captivumque ceperit, et gladio necaverit, et alia multa in bello feliciter gesserit, donec Fabius belli adversus illum dux creatus est. Inde non paulo inferior esse cœpit. Deinde creatus, et Fabio superior factus, eum in pacta descendere indigna Romanis coegit. Verum Scipio adversus Viriathum dux electus, quæ acta fecit irrita, et superatum sæpe Viriathum, ad extremam deinde cladem compulsum, adeo ut pacem spectaret, per domesticos dolo interfecit, et ejus imperii successorem Tautamum ejusque socios perculit, et ut pax arbi-

C

D

Ὅτι Λυσιτανοί, φησί, τὸ μὲν πρῶτον οὐκ ἔχοντες ἀξιόχρεων ἡγεμόνα εὐάλωτοι [71] καθίσταντο Ῥωμαίοις πολεμοῦντες, ὕστερον δὲ Ὑριάθου κυρήσαντες μεγάλα Ῥωμαίους ἔβλαψαν. Ἦν μὲν οὖν οὗτος τῶν παρὰ τὸν ὠκεανὸν οἰκούντων Λυσιτανῶν, ποιμαίνων ἐκ παιδὸς, ὀρείῳ βίῳ [κατέστη] [72] συνήθης, συνεργὸν ἔχων [73] καὶ τὴν τοῦ σώματος φύσιν· καὶ γὰρ ῥώμῃ καὶ τάχει καὶ τῇ τῶν λοιπῶν μερῶν εὐκινησίᾳ πολὺ διήνεγκε τῶν Ἰβήρων. Συνεθίσας [74] δὲ [75] αὐτὸν [76] τροφῇ μὲν ὀλίγῃ, γυμνασίοις δὲ πολλοῖς χρῆσθαι, καὶ ὕπνῳ [77] μέχρι μόνου τοῦ ἀναγκαίου, καθόλου δὲ σιδηροφορῶν συνεχῶς καὶ θηρίοις καὶ λῃσταῖς εἰς ἀγῶνας καθιστάμενος, περιβόητος ἐγένετο [78] παρὰ τοῖς πλήθεσι, καὶ ἡγεμὼν αὐτοῖς ἡρέθη, καὶ ταχὺ σύστημα περὶ ἑαυτὸν λῃστῶν ἤθροισε. [1464 H.] Καὶ προκόπτων ἐν τοῖς πολέμοις οὐ μόνον ἐθαυμαστώθη δι' ἀλκήν, ἀλλὰ καὶ στρατηγεῖν ἔδοξε διαφερόντως. Ἦν δὲ καὶ δίκαιος ἐν ταῖς διανομαῖς τῶν λαφύρων, καὶ κατ' ἀξίαν τοὺς ἀνδραγαθήσαντας ἐξῆρε τοῖς δώροις. Προϊὼν δὲ οὐκέτι λῃστὴν ἀλλὰ δυνάστην αὐτὸν [79] ἀναδείξας ἐπολέμησε Ῥωμαίοις, καὶ πολλαῖς ἐκράτησε μάχαις, ὡς καὶ στρατηγὸν Ῥωμαίων Οὐϊτέλλιον [80] αὐτῷ καταπολεμῆσαι στρατῷ καὶ αἰχμάλωτον λαβεῖν καὶ ξίφει ἀνελεῖν, καὶ πολλὰ ἕτερα εὐημερῆσαι κατὰ πόλεμον, ἕως Φάβιος στρατηγὸς τοῦ πρὸς αὐτὸν πολέμου κεχειροτόνητο. Ἐκεῖθεν δ' ἐλαττοῦσθαι ἤρξατο ἐπ' οὐκ ὀλίγον. Εἶτα ἀναλαβὼν καὶ κατευδοκιμήσας Φαβίου εἰς συνθήκας αὐτὸν ἐλθεῖν ἀναξίους Ῥωμαίων ἠνάγκασεν. Ἀλλ' ὅ γε Σκηπίων στρατηγεῖν καθ' Ὑριάθου [81] αἱρεθεὶς τάς τε συνθήκας ἠκύρωσε, καὶ πολλάκις Ὑριάθον ἐλαττώσας, εἶτα εἰς ἔσχατον ἥττης συνελάσας ὥστε καὶ πρὸς σπονδὰς ὁρᾶν, διὰ τῶν οἰκείων ἐδολοφόνησε·

VARIÆ LECTIONES.

[68] παρακατέθετο ς. [69] τὸν ἵππον ἐπιβαίνων B et corr. A : τῶν ἵππων ἐπιμένων ς. [70] ἐξελυτο corr. A. [71] εὐάλωτον ς. [72] κατέστη om. B. [73] ἔχων om. pr. A. [74] συνειθίσας B, συνήθης A : συνείθισε ς. [75] δὲ om. A. [76] ἑαυτὸν B. [77] ὕπνου A. [78] ἐγένετο add. A. [79] ἑαυτὸν B. [80] Οὐϊτέλιον ς. [81] κατ' Οὐριάθρου ς.

NOTÆ.

(66-67) Cicer. lib. 1 *De officiis.*

Καὶ τὸν διαδεξάμενον αὐτοῦ τῆν στρατηγίαν Γαύταμον καὶ τοὺς μετ' αὐτοῦ καταπληξάμενος, καὶ σπονδὰς [627 H.] οἵας ἐβούλετο θέσθαι παρασκευασάμενος, ἔδωκε χώραν καὶ πόλιν εἰς κατοίκησιν [82].

A trio suo fieret, effecit, atque illis agrum et urbem dedit ad habitandum.

Ἐκ τοῦ λδ'.

Ὅτι μετὰ τὴν Καρχηδονίων κατάλυσιν ἐπὶ ξ' ἔτεσι τῶν Σικελῶν εὐροούντων [83] ἐν πᾶσιν, ὁ δουλικὸς αὐτοῖς ἐπανέστη πόλεμος ἐξ αἰτίας τοιαύτης. Ἐπὶ πολὺ τοῖς βίοις ἀναδραμόντες καὶ μεγάλους περιποιησάμενοι πλούτους ουνηγόραζον οἰκετῶν πλῆθος· οἷς ἐκ τῶν σωματοτροφείων ἀγεληδὸν ἀπαχθεῖσιν εὐθὺς χαρακτῆρα ἐπέβαλλον καὶ στιγμὰς τοῖς σώμασιν. Ἐχρῶντο δὲ αὐτῶν τοῖς μὲν νέοις νομεῦσι, τοῖς δ' ἄλλοις, ὡς πη ἑκάστῳ ἡ χρεία ἐπέβαλλε. Βαρέως δ' αὐτοῖς κατά τε νὰς ὑπηρεσίας ἐχρώντο, καὶ ἐπιμελείας παντελῶς ὀλίγης ἠξίουν, ὅσα τε ἐντρέφεσθαι καὶ ὅσα ἐνδύσασθαι. Ἐξ ὧν οἱ πλείους ἀπὸ λῃστείας τὸ ζῆν ἐπορίζοντο, καὶ μεστὰ [84] φόνων ἦν ἅπαντα, καθάπερ στρατευμάτων διεσπαρμένων τῶν λῃστῶν. Οἱ δὲ στρατηγοὶ κωλύειν μὲν ἐπεχείρουν, κολάζειν δὲ οὐ τολμῶντες διὰ τὴν ἰσχὺν καὶ τὸ βάρος τῶν κυρίων, οἳ ἐδέσποζον τῶν [85] λῃστῶν, ἠναγκάζοντο περιορᾶν λῃστευομένην τὴν ἐπαρχίαν· οἱ πλεῖστοι γὰρ τῶν κτητόρων ἱππεῖς ὄντες τῶν Ῥωμαίων, καὶ κριταὶ τοῖς ἀπὸ τῶν ἐπαρχιῶν κατηγορουμένοις στρατηγοῖς [86] γινόμενοι, φοβεροὶ τοῖς ἄρχουσιν ὑπῆρχον. Πιεζόμενοι δὲ οἱ δοῦλοι ταῖς ταλαιπωρίαις, καὶ πληγαῖς τὰ πολλὰ παραλόγως [87] ὑβριζόμενοι, οὐχ ὑπέμενον. Συνιόντες οὖν ἀλλήλοις κατὰ τὰς εὐκαιρίας συνελάλουν περὶ ἀποστάσεως, ἕως εἰς ἔργον τὴν βουλὴν ἤγαγον. Ἦν δέ τις οἰκέτης Σύρος Ἀντιγένους Ἐνναίου τὸ γένος, ἐκ τῆς Ἀπαμείας, ἄνθρωπος μάγος καὶ τερατουργὸς τὸν τρόπον. Οὗτος [88] προσεποιεῖτο θεῶν ἐπιτάγμασι καθ' ὕπνον προλέγειν τὰ μέλλοντα, καὶ πολλοὺς διὰ τὴν εἰς τοῦτο τὸ μέρος [89] εὐφυΐαν ἐξηπάτα. Ἐντεῦθεν προϊὼν οὐ μόνον ἐξ ὀνείρων ἐμαντεύετο [1165 R.], ἀλλὰ καὶ ἐγρηγορότως θεοὺς ὁρᾷν ὑπεκρίνετο καὶ ἐξ αὐτῶν ἀκούειν τὰ μέλλοντα. Πολλῶν δ' ὑπ' αὐτοῦ σχεδιαζομένων, ἀπὸ τύχης ἔνια πρὸς ἀλήθειαν ἐξέβαινε· καὶ τῶν μὲν μὴ γινομένων ὑπ' οὐδενὸς ἐλεγχομένων, τῶν δὲ συντελουμένων ἐπισημασίας τυγχανόντων, προκοπὴν ἐλάμβανεν ἡ περὶ αὐτὸν [90] δόξα. Τελευταῖον διά τινος μηχανῆς πῦρ μετά τινος ἐνθουσιασμοῦ καὶ φλόγα διὰ τοῦ στόματος ἠφίει, καὶ οὕτω τὰ μέλλοντα ἀπεφοίβαζεν. Εἰς γὰρ κάρυον [91] ἤ τι τοιοῦτο τετρημένον ἐξ ἑκατέρου μέρους ἐνετίθει καὶ τὴν συνέχειν αὐτὸ δυναμένην ὕλην· εἶτα ἐντιθεὶς τῷ στόματι καὶ προσπνέων ποτὲ μὲν σπινθῆρας ποτὲ δὲ φλόγα ἐξέκαεν. Οὗτος πρὸ τῆς ἀποστάσεως ἔλεγε τὴν Συρίαν θεὸν ἐπιφαινομένην αὐτῷ λέγειν ὅτι βασιλεύσει· καὶ τοῦτο οὐ πρὸς ἄλλους μόνον ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν κύριον αὐτοῦ διετέλει λέγων, Εἰς δὲ γέλωτα τρεπομένου τοῦ πράγματος, ὁ μὲν [92] Ἀντιγένης ψυχαγωλούμενος ἐπὶ τῇ τερατείᾳ [628 H.]

Ex libro tricesimo quarto.

Cum post deletos Carthaginenses, Siculorum res annis sexaginta in florentissima fortuna permansissent, tandem servile bellum apud eos hac de causa exortum est. Vitæ commoditatibus magnopere aucti, ac divitias ingentes adepti, magnam servorum multitudinem emere soliti erant : quorum veluti greges quosdam, simulatque e locis in quibus nutriebanbur eduxerant, certis illos notis compungebant : et eos quidem qui juniores erant, pastores constituebant : aliorum autem opera ad alia ministeria proul cujusque usus postulabat, utebantur. Verum præterquam quod erga eos asperos ac rigidos in imperandis ministeriis exhibebant, **384***b* etiam eorum victus ac vestitus vix ullam gerere curam dignabantur. Unde fiebat, ut eorum bona pars vitam rapto sustentaret, omniaque sanguine redundarent : utpote prædonibus, tanquam militum exercitibus, longe lateque grassantibus. Provinciarum autem præfecti prohibere quidem conabantur, sed cum supplicium de iis sumere non auderent propter magnam dominorum potentiam atque auctoritatem, suam quisque provinciam sinere impune diripi cogebatur. Nam cum plerique e dominis equites Romani essent, et judices constituerentur accusationum quæ adversus præfectos e provinciis afferebantur, formidolosi ipsis præfectis erant. Jam vero cum ærumnis premerentur servi, et cum aliis modis pessime acciperentur, tum vero plagis subinde præter rationem et injuriose contunderentur, patientiam abrumpere cœperunt. Itaque opportunum tempus nacti, in unum convenientes, de defectione sermones inter se conferre solebant, donec tandem verba ad rem contulerunt. Erat enim servus quidam Syrus urbe Apamea natus (cujus dominus Antigenes vocabatur, eratque Enna ortus) vir magicis incantationibus et circulatoriis captionibus ac præstigiis deditus. Hinc se futura prædicere instinctu afflatuque divino ipsi in somnis apparentium simulabat : multisque per eam qua utebatur hac in parte solertiam ad dexteritatem imponebat. Ab his autem primordiis longius progressus, non solum ex somniorum visis futura pronuntiabat, sed et vigil cernere se deos, et ex iis res futuras audire fingebat. Cum autem in multis vaticinationibus mendax comperiretur, interim tamen casu eventus quarumdam rerum vere prædictionibus ejus responderent, et falsa quidem ejus vaticinia nemo coargueret, vera autem cum applausu diligenter notarentur, hominum opinio de eo in dies

VARIÆ LECTIONES.

[82] κατοίκισιν B. [83] εὐρροούντων B. [84] μεστὰ B : μετὰ ζ. [85] τῶν add. A. [86] στρατηγοῖς B : στρατηγοὶ ζ. [87] παραλόγως A : παρὰ λόγου ζ. [88] οὗτος B : αὐτὸς ζ. [89] μέρος A : γένος ζ. [90] αὐτῶν A. [91] κάρυον] κάρανον B. [92] μὲν A : μὲν οὖν ζ.

augebatur. Postremo artificium excogitavit, quo flammam ex ore cum quodam fanatico furore emittebat, et cum flamma simul vaticina verba Phœbadum in morem fundebat. Ignem enim in nucem aut aliquid hujusmodi utrinque perforatum (68), simulque materiam quæ illum alere posset, imponebat, deinde ori indens et afflans, modo scintillas, modo flammam accendebat. Hic ante defectionem jactare consueverat, apparentem sibi in somnis Syriam deam dignitatem regiam polliceri (69). Et hoc non aliis solum, sed et suo ipsius domino assidue dictitabat. Cum autem risu res hæc exciperetur, Antigenes ex hisce prodigiosis mendaciis voluptatem capiens, in conviviis ad quæ invitatus erat, Eunum (ita enim hic præstigiator vocabatur) asseclam habebat, eumque super regno interrogabat, et quomodo erga unumquemque eorum, qui in cœtu illo erant, gerere se decrevisset. Cum autem ille ita iis responderet, ut in suis sermonibus minime vacillaret, pollicereturque fore, ut dominos suos leniter clementerque acciperet, mera denique monstra illis super aliis variis rebus narrare pergere **385***a* omnibus convivis risum movebat. Ex quibus nonnulli ferculorum non pœnitendas portiones ablatas e mensa ei porrigebant, atque inter porrigendum hortabantur, ut regnum adeptus accepti ab ipsis beneficii memor esset. Sed enim quæ prodigiosa esse videbatur vaniloquentia, minime vanum nacta est tandem exitum, regni adoptionem.

A παρῆγε τὸν Εὔνουν εἰς τὰ σύνδειπνα (τοῦτο γὰρ ὄνομα τῷ τερατίᾳ) καὶ διηρώτα περὶ τῆς βασιλείας, καὶ πῶς ἑκάστῳ χρήσεται τῶν παρόντων· τοῦ δὲ ἀτρέπτως πάντα [93] διηγουμένου, καὶ ὡς μετρίως χρήσεται τοῖς κυρίοις, καὶ τὸ σύνολον ποικίλως τερατευομένου, γέλωτες ἐγίνοντο τοῖς παρακεκλημένοις, καί τινες αὐτῶν ἀπὸ τῆς τραπέζης ἀξιολόγους μερίδας αἴροντες ἐδωροῦντο, ἐπιλέγοντες ὅπως, ὅταν γένηται βασιλεὺς, τῆς χάριτος μνημονεύοι. Οὐ μὴν ἀλλ' ἡ τερατεία προῆλθεν εἰς ἀληθινὸν ἀποτέλεσμα βασιλείας, καὶ τὴν ἀνταπόδοσιν τοῖς παρὰ [94] τὰ δεῖπνα δεξιωσαμένοις ἐν γέλωτι οὐ χωρὶς σπουδῆς ἐποιήσατο τῆς χάριτος.

Principium autem totius defectionis fuit hujusmodi. Ennensis quidam nomine Damophilus, vir elato ingenio prædituς, indignis modis supra quam credi possit servos suos acceperat : ejusque uxore Megallide certatim eos suppliciis variis afficiente, et omnem erga eos sensum humanitatis exuente, exactionem et dominorum cædem inter se conjurant, Eunumque adeuntes interrogant, an suum ipsorum conceptum a diis concederetur. Hic autem illis assentiens a diis concedi respondet, verba cum solitis præstigiis fundens : simulque illis, ut primo quoque tempore illud aggrediantur, persuadet. Statim igitur coacta quadringentorum conservorum manu, et in eum quem pro tempore poterant armati modum, in urbem Ennam irrumpunt, ducem habentes Eunum, suis in emittenda ex ore flamma præstigiis utentem. Domos autem ingressi, stragem magnam edunt, ne lactentibus quidem infantibus parcentes : sed eos ab ubere matris raptos solo affligentes. In mulieres autem quæ contumeliæ et petulantiæ genera exercuerint (idque in ipsorum maritorum conspectu), verbis exprimi nullis pro dignitate potest. Illis enim se magna servorum urbis multitudo adjunxerat. Cæterum cum in dominos omnia exempla cruciatusque edidissent, ad cædem aliorum se converterunt. Eunus autem cum Damophilum in suburbanis hortis una cum uxore rusticari audisset, illuc quosdam e suis misit, qui ambos inde in urbem vinctos protraxerunt, variis in via contumeliis affectos. Soli autem ejus filiæ servi prorsus pepercerunt et ne minima quidem eam

B Ἀρχὴ δὲ τῆς ὅλης ἀποστάσεως ἐγένετο τοιαύτη. Δαμόφιλός τις ἦν Ἐνναῖος, τὴν δ' οὐσίαν μεγαλόψυχος [95], ὑπερήφανος δὲ τὸν τρόπον. Οὗτος κακῶς εἰς ὑπερβολὴν ἐκέχρητο τοῖς δούλοις, καὶ ἡ γυνὴ δὲ Μεγαλλὶς ἀντεφιλονείκει τάνδρὶ πρὸς τὴν τιμωρίαν καὶ τὴν ἄλλην ἀπανθρωπίαν τὴν περὶ τοὺς δούλους. Ἐξ ὧν ἀποθηριωθέντες οἱ προπηλακιζόμενοι συνέθεντο πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως καὶ φόνου τῶν κυρίων. Καὶ πρὸς τὸν Εὔνουν ἐλθόντες ἠρώτων [96] εἰ συγχωρεῖταί παρὰ τῶν θεῶν αὐτοῖς τὸ βεβουλευμένον. Ὁ δὲ μετὰ τερατείας, ὡς εἰώθει, σὺνθέμενος ὅτι συγχωροῦσι, παραχρῆμα πείθει ἔχεσθαι τῆς ἐγχειρήσεως. Εὐθὺς οὖν τετρακοσίους τῶν ὁμοδούλων συνήθροισαν, καὶ ὡς ἂν ὁ καιρὸς ἐδίδου, καθοπλισθέντες εἰς τὴν Ἔνναν τὴν πόλιν εἰσπίπτουσιν, ἀφηγουμένου αὐτῶν καὶ τοῦ πυρὸς τὰς φλόγας τερατευομένου τούτοις τοῦ Εὔνου. Ταῖς δ' οἰκίαις ἐπεισελθόντες [97] πλεῖστον φόνον εἰργάζοντο, μηδ' αὐτῶν τῶν ὑπομαζίων φειδόμενοι. Ἀλλὰ ταῦτα μὲν τῆς θηλῆς ἀποσπῶντες προσήρασσον τῇ γῇ· εἰς δὲ τὰς γυναῖκας οὐδ' ἔστιν εἰπεῖν (καὶ τότε [98] βλεπόντων τῶν ἀνδρῶν) ὅσα ἐνύβριζόν τε καὶ ἐνησέλγαινον, πολλοῦ αὐτοῖς πλήθους τῶν ἀπὸ τῆς πόλεως δούλων προστεθέντος [99], οἵ καὶ κατὰ τῶν κυρίων πρότερον τὰ ἔσχατα ἐνδεικνύμενοι οὕτω πρὸς τὸν τῶν ἄλλων φόνον ἐτρέποντο. Οἱ δὲ περὶ τὸν Εὔνουν πυθόμενοι τὸν Δαμόφιλον ὅτι κατὰ τὸν πλησίον τῆς πόλεως περίκηπον διατρίβει μετὰ τῆς γυναικὸς, [1168 R.] εἶλκον ἐκεῖθεν διά τινων ἐξ αὐτῶν σταλέντων αὐτόν τε καὶ τὴν γυναῖκα δεδεμένους ἐξαγκωνίσαντες, πολλὰς κατὰ τὴν ὁδὸν ὕβρεις ὑποσχόντας. Μόνης δὲ τῆς θυγατρὸς αὐτῶν

C

D

VARIÆ LECTIONES.

[93] ἅπαντα ς. [94] παρὰ A : περὶ ς. [95] μεγαλόψυχος] aptius, quod est p. 386 *b* 37, et 387 *b* 29, et 389 *a* 7, μεγαλόπλουτος. [96] ἠρώτων post βεβουλευμένον ponit B. [97] ὑπεισελθόντες ς. [98] καὶ τότε A : καίτοι ς. [99] προστεθέντων B.

NOTÆ.

(68) Vide Flori *Epitomen*.

(69) Vide Lucianum et Athenagorum in *Apologia*.

οἱ δοῦλοι ὤφθησαν εἰς παντα φεισάμενοι, διὰ τὸ φιλάνθρωπον αὐτῆς ἦθος καὶ περὶ τοὺς δούλους συμπαθὲς καὶ βοηθητικὸν κατὰ δύναμιν. Ἐξ ὧν ἐδείκνυτο τῶν δούλων οὐχὶ [1] ὠμότης εἶναι φύσεως τὰ γινόμενα εἰς τοὺς ἄλλους, ἀλλὰ τῶν προϋπηργμένων εἰς αὐτοὺς ἀδικημάτων ἀνταπόδοσις. Τὸν δὲ Δαμόφιλον καὶ τὴν Μεγαλλίδα εἰς τὴν πόλιν οἱ ἀπεσταλμένοι ἑλκύσαντες, ὥσπερ ἔφημεν, εἰς τὸ θέατρον εἰσήγαγον, συνεληλυθότος [2] ἐνταῦθα τοῦ πλήθους τῶν ἀποστατῶν. Καὶ τοῦ Δαμοφίλου τεχνάσασθαι [629 H.] τι πρὸς τὴν σωτηρίαν ἐγχειρήσαντος, καὶ πολλοὺς τοῦ πλήθους τοῖς λόγοις ἐπαγομένου, Ἑρμείας καὶ Ζεῦξις πικρῶς πρὸς αὐτὸν [3] διακείμενοι πλάνον τε ἀπεκάλουν, καὶ οὐκ ἀναμείναντες τὴν ἀκριβῆ τοῦ δήμου κρίσιν ὁ μὲν διὰ τῶν πλευρῶν τὸ ξίφος ὠθεῖ, ὁ δὲ πελέκει τὸν τράχηλον ἔκοψεν. Ἐκεῖθεν αἱρεῖται βασιλεὺς ὁ Εὔνους, οὔτε δι' ἀνδρείαν οὔτε διὰ στρατηγίαν, διὰ δὲ μόνην τερατείαν καὶ τὸ τῆς ἀποστάσεως ἄρξαι, ἅμα δὲ καὶ τῆς [4] προσηγορίας οἱονεί τινα καλὸν οἰωνὸν ἐχούσης πρὸς τὴν τῶν ὑποταττομένων εὔνοιαν. Τῶν ὅλων δὲ τοῖς ἀποστάταις καταστὰς Κύριος, καὶ συναγαγὼν ἐκκλησίαν, ἀνεῖλε μὲν [5] τοὺς ἐζωγρημένους τῶν Ἐννησίων, ὅσοις οὐκ ἦν ἡ τέχνη ὅπλα ἐργάζεσθαι, ἐκείνους δὲ [6] δεδεμένους τοῖς ἔργοις ὑπέβαλεν [7]. Ἔδωκε δὲ καὶ ταῖς Θεραπαίναις τὴν Μεγαλλίδα χρήσασθαι ὡς ἂν βούλοιντο· καὶ αὗται κατεκρήμνισαν αἰκισάμεναι. Καὶ αὐτὸς δὲ τοὺς ἰδίους ἀνεῖλε κυρίους Ἀντιγένη καὶ Πύθωνα. Περιθέμενος δὲ διάδημα καὶ πάντα τὰ ἄλλα τὰ περὶ αὐτὸν βασιλικῶς διακοσμήσας, τήν τε συμβιοῦσαν αὐτῷ, Σύραν καὶ συμπολῖτιν οὖσαν, βασίλισσαν ἀποδείξας, συνέδρους τε τοὺς συνέδοκοῦντας διαφέρειν ποιησάμενος, ὧν ἦν Ἀχαιὸς [8] καὶ τοὔνομα καὶ τὸ γένος, ἀνὴρ καὶ βουλῇ καὶ χειρὶ διαφέρων, καὶ ἐν τρισὶν ἡμέραις πλείους τῶν ἑξακισχιλίων τόν δυνατὸν καθοπλίσας τρόπον, καὶ ἑτέρους συνεπαγόμενος ἀξίναις καὶ πελέκεσι χρωμένους ἢ σφενδόναις ἢ δρεπάνοις ἢ ξύλοις πεπυρακτωμένοις ἢ καὶ μαγείρων ὀβελοῖς, ἐπῄει πᾶσαν λεηλατῶν τὴν χώραν, καὶ πλῆθος ἄπειρον οἰκετῶν προσλαμβάνων ἐθάρρησε καὶ στρατηγοῖς Ῥωμαίων πολεμῆσαι, καὶ συμπλακεὶς τῷ πλήθει πολλάκις ἐκράτησεν, ἔχων ἤδη στρατιώτας ὑπὲρ τοὺς μυρίους.

A injuria vel contumelia affecerunt, ob humanos ejus mores, et animum ad commiserationem erga servos propensum, atque adeo iis auxiliandi cupidum. Quod quidem argumento erat servos non crudelitate naturæ talia perpetrare in alios, sed illatas sibi injurias ulciscentes. **285***b* Cæterum Damophilum cum sua Megallide cum in urbem protraxissent ii, quibus datum erat negotium, ut diximus, in theatrum eos produxerunt, ubi defectorum universa congregata erat multitudo. Cumque Damophilus arte aliqua saluti suæ consulere conans, multorum ex illis voluntates ad se oratione sua inclinaret, Hermeas et Zeuxis acerbo eum odio prosequentes, impostorem vocitabant: minimeque exspectantes dum populus certum de eo judicium pronuntiasset, B alter ensem per latera ejus adigit, alter securi cervicem ejus abscindit. Hic vero Eunus rex creatur: non quod vir fortis esset ille quidem, vel bonus imperator, sed ob suam præstigiatoriam artem, quodque defectionis auctor fuisset. Quin etiam nominis ejus fuit habita, aliqua ratio, utpote quod velut augurium esset futuræ illius erga subditos benevolentiæ. Itaque defectores cum rerum summam ad eum detulissent, advocata concione, ex Ennensibus qui vivi capti erant, omnes eos interfecit, qui fabricationis armorum imperiti erant: peritos autem vinctos operi faciendo addixit. Megallidem præterea in servarum potestatem tradidit, ut pro suo arbitrio in eam animadverterent. Illæ autem eam primum cruciatibus affecerunt, deinde C præcipitem dederunt. Ipse quoque proprios occidit dominos, Antigenem et Pythonem. Tandem vero imposito capiti diademate, rebusque suis omnibus regali splendore adornatis, sua item uxore (quæ et ipsa Syra erat ejusque civis) declarata regina, ex eorum numero qui prudentia cæteris antecellere videbantur, aliquot sibi consiliarios delegit. Ex quibus erat Achæus, non tantum nomine, sed et natione Achæus, vir et consilio præstans et manu mirum in modum promptus. Hic trium dierum spatio cum sex hominum armasset millia, ut tempus dabat, cum his vero et alios haberet asciis et securibus, aut fundis, aut falcibus, aut sudibus præustis, aut coquorum verubus instructos, tota regione prædas agens peragrabat. Simul vero multitudinem infinitam servorum asciscens Romanos etiam imperatores bello ausus est lacessere, consertisque manibus cum eis, militum numero potentior, victoria sæpe potitus est, utpote plusquam decem hominum millia ducens.

Ἐν τούτῳ δὲ Κλέων τις Κίλιξ ἄλλων δούλων ἀποστάσεως ἦρξε. Καὶ πάντων ταῖς ἐλπίσι μετεωρισθέντων, ὡς ἀντιπολεμήσει τὰ στασιάσαντα πρὸς ἀλλήλους καὶ αὐτοὶ ἑαυτοὺς οἱ ἀποστάται διαφθεῖροντες ἐλευθερώσουσι τὴν Σικελίαν τῆς στάσεως [9], παρά δόξαν ἀλλήλοις συνέβησαν, τοῦ Κλέωνος ὑποταγέντος ψιλῷ τοῦ Εὔνου προστάγματι καὶ τὴν τοῦ στρατηγοῦ (οἷα δὴ [10] βασιλεῖ) χρείαν ἀποπληροῦντος, ἔχοντος οἰκεῖον πλῆθος στρατιωτῶν πεντακισχιλίων· D Dum hæc aguntur, Cilix quidam cui Cleon nomen erat, auctor defectionis aliorum servorum fuit, et cum ad eam spem erecti omnium animi essent, fore ut orta seditione hi adversus illos arma caperent, atque ita sibi mutuum exitium afferentes, Siciliam tumultu liberarent, præter omnium exspectationem coitionem inter se fecerunt; quippe cum Cleon nudo Euni mandato se submitteret, ut sub illo, ut rege, imperatoris munia **386***a* obiret,

VARIÆ LECTIONES.

[1] οὐκ B. [2] συνεληλυθότων B. [3] αὐτὸν] αὐτόν αὐτοὶ B. [4] τῆς] τὸ τῆς A. [5] μὲν add. A. [6] δὲ add. B. [7] libri ὑπέβαλλεν. [8] Ἀχαιὸς] ἀρχαῖος B. [9] στάσεως A : ἀποστάσεως ς. [10] δὴ A : δεῖ ς.

militum propiorum quinque millia habens. Hoc autem fuit triginta fere a defectione diebus. Non multo post commissa pugna cum imperatore L. Hyposæo Roma veniente cum octo millibus Siculorum militum, victoria potiti sunt, utpote qui viginti millia essent. Aliquando post autem eorum numerus usque ad centum milia crevit. Cumque adversus Romanos prælia subinde gererent, sæpe ex iis gloriam reportabant, raro autem clade accepta redibant. Cujus rei cum dissipatus esset rumor, jam servi centum quinquaginta Romæ conspiratione inter se facta ad defectionem incensi erant, in Attica autem plusquam mille ; itidem vero Deli, multisque aliis in locis. Sed unoquoque in loco ii quorum curæ negotia publica demandata erant, subito rebus in discrimen adductis opitulati, cum gravia de illis supplicia sumpsissent, cæteros quibus jam et ipsis spes accensa defectionis erat, metu repressérunt, et ad saniorem mentem revocarunt. At vero in Sicilia malum in dies ingravescebat, cum et urbes una cum ipsis civibus caperentur, et multi exercitus a defectoribus desererentur. Sed tandem Rutilius romanus imperator Tauromenium ipsis recuperavit, postquam vehementissime illud oppugnasset, et defectores qui in eo erant ad summas angustias redegisset, atque ad tam acrem famem compulisset, ut cum primo liberorum suorum corporibus vesci cœpissent, mox, ad uxorum corpora se convertissent, postremo ne sibi quidem invicem parcerent, sed alii alios vorarent. Eodem tempore Comanum Cleonis fratrem ex urbe dum obsideretur, fugientem cepit, et ad extremum arce a Sarapione Syro prodita, quotquot in urbe fugitivi erant, in potestatem imperatoris venerunt, quos etiam cruciatibus affectos præcipitavit. Inde Ennam profectus similem ejus obsidionem aggreditur, defectores ad summam desperationem adigens. Cumque Cleonem imperatorem urbe egressum, ac heroica quadam fortitudine prælatum vulneribus mox confodisset, hanc quoque urbem cepit, idque proditione. Ita enim eam situs ipse munitam reddebat, ut vi expugnari nullo modo posset. Eunus autem assumptis sexcentis, ad loca quædam prærupta, ut erat ignavus, fuga se recepit. Sed qui cum eo erant, exitium sibi inevitabile impendere scientes (jam enim Rutilius imperator ad eos cursu contendebat), ut manus hostium prævenirent, sibi mutuo cervices abscindebant. At Eunus, præstigiator pariter et rex, cum præ timiditate in quasdam speluncas confugisset, una cum quatuor ex suis inde extractus est, coquo, pistore, **386***b* et eo cujus manu in balneo fricabatur, quarto autem eo, qui inter epulas oblectamenta ei afferebat. Is extractus inde, et in carcerem conjectus, in magnam pediculorum vim resoluto corpore, apud Morgantinam dignum suis

A ἡμέραι δ' ἐγγὺς ἦσαν ἀπὸ τῆς ἀποστάσεως τριάκοντα. [1169 R.] Καὶ μετὰ βραχὺ ἐκ Ῥώμης ἥκοντι στρατηγῷ Λευκίῳ Ὑψαίῳ, ἔχοντι στρατιώτας ἐκ Σικελίας ὀκτακισχιλίους, εἰς πόλεμον καταστάντες οἱ ἀποστάται ἐνίκησαν, πλῆθος ὄντες δισμύριοι. Μετ' οὐ πολὺ δὲ ἀθροίζεται τὸ σύστημα αὐτῶν εἰς μυριάδας εἴκοσι, καὶ πολλοῖς τοῖς πρὸς Ῥωμαίους πολέμοις ἐνευδοκιμήσαντος ἔλαττον αὐτοὶ ἔπταιον. Οὗ διαβοηθέντος κατά τε Ῥώμην δούλων ἀπόστασις ἑκατὸν πεντήκοντα συνομοσάντων ἀνήπτετο, καὶ κατὰ τὴν Ἀττικὴν ὑπὲρ χιλίων, ἔν τε [11] Δήλῳ καὶ κατ' ἄλλους πολλοὺς τόπους · οὓς τάχει τε τῆς βοηθείας καὶ [630 H.] τῇ σφοδρᾷ κολάσει τῆς τιμωρίας οἱ καθ' ἕκαστον ἐπιμεληταὶ τῶν κοινῶν θᾶττον ἠφάνισαν, σωφρονίσαντες καὶ τὸ ἄλλο, ὅσον ἦν ἐπὶ ἀποστάσει μετέωρον. Κατὰ δὲ Σικελίαν ηὔξετο τὸ κακὸν, καὶ πόλεις ἡλίσκοντο αὐτανδροι, καὶ πολλὰ στρατόπεδα ὑπὸ τῶν ἀποστατῶν κατεκόπησαν, ἕως Ῥουτίλιος [12] ὁ [13] Ῥωμαίων στρατηγὸς τὸ Ταυρομένιον ἀνεσώσατο Ῥωμαίοις [14], καρτερῶς μὲν αὐτὸ πολιορκήσας, καὶ εἰς ἄφατον ἀνάγκην καὶ λιμὸν τοὺς ἀποστάτας συγκλείσας, ὥστε ἀρξαμένους ἐκ παίδων βορᾶς καὶ διελθόντας διὰ γυναικῶν μηδὲ τῆς αὐτῶν ἀλληλοφαγίας μηδ' ὅλως φείσασθαι · ὅτε [15] καὶ Κομανὸν [16] τὸν ἀδελφὸν Κλέωνος φεύγοντα τῆς πολιορκουμένης πόλεως εἷλε. Καὶ τὸ τελευταῖον, Σαραπίωνος Σύρου τὴν ἄκραν προδόντος, συμπάντων τῶν ἐν τῇ πόλει δραπετῶν ὁ στρατηγὸς ἐκυρίευσεν · οὓς καὶ αἰκισάμενος κατεκρήμνισεν. Ἐκεῖθεν ἐπὶ τὴν Ἔνναν ἐλθὼν παραπλησίως ἐπολιόρκει, εἰς ἐσχάτην ἀνάγκην συγκλείων τὰς τῶν ἀποστατῶν ἐλπίδας. Καὶ Κλέωνα τὸν στρατηγὸν, ἐξελθόντα τῆς πόλεως καὶ ἡρωϊκῶς ἀγωνισάμενον μετ' ὀλίγων [17] ὑπὸ τῶν τραυμάτων δείξας νεκρὸν, εἷλε καὶ ταύτην προδοσίᾳ τὴν πόλιν, ἐπεὶ οὐδ' [18] ἦν ἁλώσιμος διὰ τὴν ὀχυρότητα βίᾳ χειρός. Ὁ δὲ [19] Εὔνους ἀναλαβὼν τοὺς σωματοφύλακας, ὄντας χιλίους [20], ἔφυγεν [21] ἀνάνδρως εἴς τινας παρακρήμνους τόπους. Ἀλλ' οἱ μὲν σὺν αὐτῷ ἄφυκτον τὸ περὶ αὐτοὺς δεινὸν ἐπιστάμενοι (ἤδη γὰρ καὶ ὁ στρατηγὸς Ῥουτίλιος ἐπ' αὐτοὺς ἤλαυνεν), ἀλλήλους τοῖς ξίφεσιν ἔσφαζον [22] ἀπαυχενίσαντας [23] · ὁ δὲ τεραρχίας Εὔνους καὶ βασιλεὺς, καταφυγὼν διὰ δειλίαν ἔν τισι κοιλάσιν, ἐξειλκύσθη ἅμα τεττάρων, μαγείρου καὶ ἀρτοποιοῦ καὶ τοῦ τρίβοντος αὐτὸν ἐν τῷ λουτρῷ [24] καὶ τετάρτου τοῦ παρὰ τοὺς πότους εἰωθότος ψυχαγωγεῖν αὐτόν. Καὶ παραδοθεὶς εἰς φυλακὴν, καὶ τοῦ σώματος αὐτοῦ διαλυθέντος εἰς φθειρῶν πλῆθος, οἰκείως τῆς περὶ αὐτὸν ῥᾳδιουργίας κατέστρεψε τὸν βίον ἐν τῇ Μοργαντίνῃ. Ἐντεῦθεν Ῥουτίλιος ἐπιτρέχων ὅλην τὴν Σικελίαν ἅμα λογάσι ὀλίγοις, θᾶττον ἢ περ τις ἤλπισε παντὸς αὐτὴν ἠλευθέρωσε ληστηρίου. Ὅτι ὁ τῶν ἀποστατῶν βασιλεὺς Εὔνους ἑαυτὸν μὲν Ἀντιόχον, Σύρους δὲ τῶν ἀποστατῶν τὸ πλῆθος ἐπωνόμασεν.

VARIÆ LECTIONES.

[11] τε add. A. [12] ῥοτίλιος A, Rhodomannus Ῥουπίλιος. [13] ὁ om. A. [14] ῥωμαίοις ἀνεσώσατο B. [15] ὅτε Amstel : ὅτι ς. [16] κωμανὸν A. [17] ὀλίγων A : ὀλίγον ς. [18] οὐδ'] μηδ' A. [19] δὲ add. A. [20] χιλίους AB : ἑξακοσίους ς. [21] ἔφευγεν A. [22] ἔσφαζον] ἔφθαζον γρ. B. [23] malim ἀπαυχενίσαντες. [24] λοετρῷ B.

temerariis ausis nactus est vitæ exitum. Postea vero Rutilius, tota Sicilia cum parva eaque selecta manu celerius omnium spe peragrata, a prædonibus eam omnino liberavit.

Ἐκ τοῦ λζ'.

Ὅτι ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐν Ῥώμῃ, καθ' οὓς Μάριος μὲν τοὺς κατὰ Λιβύην βασιλεῖς Βόκχον καὶ Ἰουγούρθαν κατεπολέμησε μεγάλῃ παρατάξει, καὶ πολλὰς μὲν τῶν Λιβύων μυριάδας ἀνεῖλεν, ὕστερον δὲ αὐτὸν Ἰογούρθαν [25] συλληφθέντα [1172 R.] ὑπὸ Βόκχου, ὥστε τυχεῖν συγγνώμης παρὰ Ῥωμαίων ὑπὲρ ὧν αὐτοῖς κατέστη πρὸς πόλεμον, λαβὼν ἐκεῖθεν αἰχμάλωτον εἶχε, μεγίστοις δὲ πταίσμασι τοῖς κατὰ Γαλατίαν τῶν Κίμβρων πολεμούντων Ῥωμαῖοι [631 H.] περιπεσόντες ἠθύμουν, κατὰ τοὺς αὐτοὺς χρόνους ἦκόν τινες ἀπὸ Σικελίας ἀπόστασιν ἀγγέλλοντες οἰκετῶν εἰς πολλὰς ἀριθμουμένων μυριάδας. Οὗ προσαγγελθέντος ἐν πολλῇ περιστάσει τὸ Ῥωμαϊκὸν ἅπαν συνεχόμενον διετέλει, ὡς ἂν στρατιωτῶν ἐπιλέκτων σχεδὸν ἑξακισμυρίων ἐν τῷ πρὸς Κίμβρους κατὰ Γαλατίαν πολέμῳ διολωλότων, καὶ ἀπόρων ὄντων εἰς ἀποστολὴν στρατιωτῶν λογάδων.

Πρὸ δὲ τῆς κατὰ τὴν [26] Σικελίαν τῶν δούλων ἐπαναστάσεως ἐγένοντο κατὰ τὴν Ἰταλίαν πλείους ἀποστάσεις ὀλιγοχρόνιοι καὶ μικραί, καθάπερ τοῦ δαιμονίου προσημαίνοντος τὸ μέγεθος τῆς ἐσομένης [27] κατὰ τὴν Σικελίαν ἐπαναστάσεως, πρώτη μὲν ἡ περὶ Νουκερίαν, τριάκοντα οἰκετῶν συνωμοσίαν ποιησαμένων καὶ ταχὺ κολασθέντων, δευτέρα ἡ περὶ τὴν Καπύην, διακοσίων οἰκετῶν ἐπαναστάντων καὶ ταχὺ καταλυθέντων. Τρίτη δὲ παράδοξος γέγονέ τις. Ἦν Τίτος Μενούτιος, ἱππεὺς μὲν Ῥωμαίων, μεγαλοπλούτου δὲ πατρὸς παῖς. Οὗτος ἠράσθη θεραπαινίδος ἀλλοτρίας, κάλλει διαφερούσης. Συμπλακεὶς δ' αὐτῇ καὶ [28] εἰς ἔρωτα παράδοξον αὐτῆς ἐμπεσὼν ἐξηγόρασεν αὐτήν, οὕτω τοῦ [29] τε μανιώδους ἔρωτος βιαζομένου καὶ τοῦ κυρίου τῆς κόρης τὴν πρᾶσιν μόλις κατανεύσαντος, ταλάντων Ἀττικῶν ἑπτὰ, καὶ χρόνον ὥρισε καθ' ὃν ἀποτίσει τὸ χρέος· ἐπιστεύετο δὲ διὰ τὴν πατρῴαν περιουσίαν. Ἐνστάντος δὲ τοῦ ὁρισθέντος, καὶ μὴ ἔχων ἀποδοῦναι, πάλιν ἔταξε λ' ἡμερῶν προθεσμίαν. Ὡς δὲ καὶ ταύτης ἐπιστάσης οἱ μὲν ἀπῄτουν, ὁ δὲ οὐδὲν πλέον εἶχεν ἀνύειν, ὁ δ' ἔρως ἤκμαζεν, ἐπεχείρησε πράξει παραλογωτάτῃ. Ἐπιβουλεύει μὲν γὰρ τοὺς ἀπαιτοῦντας, ἑαυτῷ δὲ μοναρχικὴν ἐξουσίαν περιέθηκε. Συναγοράσας γὰρ πεντακοσίας πανοπλίας, καὶ χρόνον τῆς τιμῆς συντάξας, καὶ πιστευθεὶς, λάθρα πρὸς ἀγρόν τινα παρακομίσας τοὺς ἰδίους ἀνέσεισε [30] πρὸς ἀπόστασιν οἰκέτας, τετρακοσίους ὄντας. Εἶτα ἀναλαβὼν διάδημα καὶ περιβόλαιον πορφυροῦν καὶ ῥαβδούχους καὶ τὰ ἄλλα εὔσημα [31] τῆς ἀρχῆς, καὶ βασιλέα ἑαυτὸν [32] συνεργείᾳ τῶν δούλων ἀναδείξας, τοὺς μὲν ἀπαιτοῦντας τὴν τιμὴν τῆς κόρης ῥαβδίσας ἐπελέκισεν, ἐξοπλίσας δὲ τοὺς οἰκέτας ἐπήει τὰς σύνεγγυς ἐπαύλεις, καὶ τοὺς μὲν προθύμως συναφισταμένους καθώπλιζε, τοὺς δ' ἀντιπράττοντας ἀνῄρει. Ταχὺ

Ex libro XXXVII.

Eodem tempore quo Marius Africæ reges Bocchum et Jugurtham magno prælio debellaverat, et Afrorum infinita prope millia occiderat, ipsum deinde Jugurtham (a Boccho comprehensum, sibi susceptum adversus bellum condonari cupiente) captivum abduxerat, quo item Romani graves apud Galliam in Cimbrico bello clades non sine magno dolore acceperant: eodem, inquam, tempore Romam advenerunt quidam e Sicilia, plurima servorum millia defecisse nuntiantes. Quo accepto nuntio, summis in angustiis totus populus Romanus versari cœpit, utpote cui militum delectorum 60,000 in bello adversus Cimbros apud Galliam occubuissent, nec de integro parem exercitum in expeditionem educere posset.

Cæterum ante hunc in Sicilia rebellantium servorum tumultum tales et in Italia excitati fuerant, sed parvi ac minime diuturni: velut numine, quam atrox futura esset in Sicilia rebellio, præsignificante. Primus autem apud Nuceriam exstiterat, cum triginta servi conjurationem fecissent, et quam primum pœnas dedissent. Secundus Capuæ, cum ducenti servi rebellassent, ac sine mora deleti fuissent. Tertius autem miro quodam exortus est modo. Erat quidam Titus Minutius eques Romanus, et prædivite natus patre, qui alienæ famulæ formosissimæ amore captus, ut in ejus amplexum veniret effecit. Tandem vero ita eam deperire cœpit, ut a domino illius septem talentis Atticis emeret, cum ad hanc emptionem cum amoris insania compelleret, quam ægre alioqui a domino **387***a* illius impetrabat. Sed illa ubi advenit, isque solvendo non esset, ut sibi dies triginta prorogarentur obtinuit. Rursum et hoc spatio exacto, cum ille pactum pretium exigeret, hic nullam solvendi nominis rationem inire posset, interea vero amor invalesceret, novum et inauditum facinus aggressus est. Iis enim qui debitum exigebant, insidias struere, et monarchicam quamdam potentiam sibi assumere instituit. Nam coemptis quingentis panopliis, tempus pretii persolutioni præfixit fideque impetrata, eos clanculum in agrum quemdam deferendas curavit. Deinde cum suos servos ad defectionem sollicitasset, numero quadringentos, sibique diadema imposuisset, purpuram quoque cum aliis insignibus regis assumpsisset, tandemque servorum auxilio regem se constituisset, primum quidem eos qui pactum pretium exigebant, virgis cæsos securi percussit: postea vero cum sua illa servitia armasset, vicinas villas peragrare placuit, in quibus

VARIÆ LECTIONES.

[25] Ἰουγούρθαν] ἰουργὰν A. [26] τὴν add. A. [27] ἑπομένης B. [28] καὶ et [29] τοῦ add. A. [30] ἀνέσεισε A; ἀνέστησε ς. [31] τὰ ἄλλα τὰ εὔσ. A. [32] αὐτὸν B.

eos qui se prompto et alacri animo socios defectionis adjungebant, armabat: quotquot autem repugnabant, eos interficiebat. Cum igitur plures septingentis milites coegisset, eosque in centurias distribuisset, ac locum in quo erat vallo circumjecto clausisset, ad se eos qui deficiebant, recipiebat. Qua defectione Romam nuntiata, senatus de ea consilium prudens iniit, felicemque ejus exitum habuit. Siquidem ex iis qui in Urbe erant imperatoribus uni L. Lucullo subigendorum fugitivorum negotium dedit. Hic autem eo ipso die cum Romæ sexcentos milites lectos conscripsisset, Capuam contendit, peditum millia quatuor, equites quadringentos collecturus. Minutius ubi Lucullum concitato cursu adventare intellexit, collem natura loci munitum occupavit cum universis suis copiis, quæ tria hominum millia et quingentos efficiebant, atque amplius. Et primo quidem conflictu stetit a fugitivis victoria quippe qui e superiore loco prælium inirent; postea cum Apollonium imperatorem exercitus Vettii [Minutii] Lucullus largitionibus corrupisset, fidemque publicam dedisset pœnam illi remissum iri, eum ad prodendos socios impulit. Quare illo Romanis operam suam navante, atque adeo ipsi Vettio [Minutio] manus inferente, hic supplicium sibi capto impendens veritus, mortem sibi conscivit. Simul vero defectionis participes cæsi fuerunt, præter eum qui illos prodiderat Apollonium. Et hæc quidem anteverterunt maximam qui in Sicilia contigit defectionem **387***b* quasi quæ ejus quoddam præludium essent. Ea autem hinc orta est.

A δὲ συναγαγὼν στρατιώτας πλείους τῶν ἑπτακοσίων, καὶ τούτους εἰς ἑκατονταρχίας καταλέξας ἐνεβάλετο [33] χάρακα καὶ τοὺς ἀφισταμένους ὑπεδέχετο. Τῆς δ' ἀποστάσεως εἰς Ῥώμην ἀπαγγελθείσης, ἡ σύγκλητος ἐμφρόνως περὶ αὐτῆς ἐβουλεύσατο καὶ κατώρθωσε. Τῶν γὰρ κατὰ πόλιν στρατηγῶν ἀπέδειξεν ἕνα πρὸς τὴν τῶν δραπετῶν σύλληψιν, Λεύκιον Λούκουλλον. Οὗτος δὲ αὐθημερὸν ἐκ τῆς Ῥώμης ἐπιλέξας στρατιώτας ἑξακοσίους, εἰς τὴν Καπύην ἦλθε συναθροίσας πεζοὺς μὲν τετρακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους. Ὁ δὲ Οὐέττιος τὴν ὁρμὴν [632 H.] τοῦ Λουκούλλου πυθόμενος κατελάβετο λόφον καρτερὸν, ἔχων τοὺς πάντας πλέον τῶν γ', καὶ φ'. [1173 R.] Καὶ τὸ μὲν πρῶτον συμβολῆς [34] γενομένης ἐπλεονέκτησαν οἱ δραπέται, ἐκ τόπων ὑπερδεξίων μαχόμενοι· μετὰ δὲ ταῦτα τὸν μὲν στρατηγὸν τοῦ Οὐεττίου Ἀπολλώνιον διαφθείρας ὁ Λούκουλλος, καὶ τῇ δημοσίᾳ πίστει τὴν ἄφεσιν τῆς τιμωρίας βεβαιώσας, ἔπεισεν αὐτὸν προδότην γενέσθαι τῶν συναποστατῶν. Διὸ καὶ τούτου συνεργοῦντος τοῖς Ῥωμαίοις καὶ τὰς χεῖρας προσφέροντος τῷ Οὐεττίῳ, φοβηθεὶς τὴν ἐκ τῆς ἁλώσεως τιμωρίαν ἑαυτὸν ἀπέσφαξεν, αὐτίκα συναπολωλότων καὶ τῶν τῆς ἀποστάσεως κεκοινωνηκότων, πλὴν τοῦ προδόντος Ἀπολλωνίου. Καὶ ταῦτα μὲν πρὸ τῆς κατὰ Σικελίαν, ὥσπερ προοιμιαζόμενα ταύτῃ [35], μεγίστης ἀποστάσεως· ἥτις ἀρχὴν ἔλαβε τοιαύτην.

In Marii adversus Cimbros expeditione senatus auxilia ex transmarinis nationibus accersendi potestatem Mario dederat. Marius igitur ad Nicomedem Bithyniæ regem de mittendis ad se auxiliaribus copiis scribit. Is responsum dat, bonam Bithynorum partem a vectigalium publicorum redemptoribus direptam servire servitutem per provincias. Cum autem senatus consultum esset, ne quis ex populi Romani sociis, qui quidem liber esset, in provincia ulla serviret, et ut imperatores curam eorum manumittendorum gererent, accidit ut imperator Licinius Nerva, qui tum forte in Sicilia erat, decretum senatus observans, multos ex servis judiciis constitutis manumitteret, adeo ut intra paucos dies plures octingentis in libertatem assererentur. Jamque erant animi omnium illius insulae servorum in spem libertatis erecti, cum graves auctoritate viri ipsum imperatorem conveniunt, eumque uno omnes ore, ut ab incepto desistat, rogant. Atque hic sive pecuniis expugnatus, sive gratiam aucupatus, judicium hac de re accuratius exercere desiit: et ad se venientibus ut libertate donarentur, ut ad suum quisque dominum reverterentur, imperare cœpit. Tum vero servi coitione tacta Syracusas relinquere, et ad Palicorum delubrum confugere, ibique inter se de defectione sermones conferre. Fama autem hu-

Κατὰ τὴν ἐπὶ τοὺς Κίμβρους τοῦ Μαρίου στρατείαν ἔδωκεν ἡ σύγκλητος ἐξουσίαν τῷ Μαρίῳ ἐκ τῶν πέραν θαλάττης [36] ἐθνῶν μεταπέμπεσθαι συμμαχίαν, ὁ μὲν οὖν [37] Μάριος ἐξέπεμψε πρὸς Νικομήδην τὸν τῆς Βιθυνίας βασιλέα περὶ βοηθείας· ὁ δὲ ἀπόκρισιν ἔδωκε τοὺς πλείους τῶν Βιθυνῶν ὑπὸ τῶν δημοσιωνῶν [38] διαρπαγέντας δουλεύειν ἐν ταῖς ἐπαρχίαις, τῆς δὲ συγκλήτου ψηφισαμένης ὅπως μηδεὶς σύμμαχος ἐλεύτερος ἐν ἐπαρχίᾳ δουλεύῃ [39] καὶ τῆς τούτων ἐλευθερώσεως οἱ στρατηγοὶ πρόνοιαν ποιῶνται, τότε κατὰ τὴν Σικελίαν ὢν στρατηγὸς Λικίνιος Νερούας ἀκολούθως τῷ δόγματι συχνοὺς τῶν δούλων ἠλευθέρωσε, κρίσεις προθεὶς, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους τῶν ὀκτακοσίων τυχεῖν τῆς ἐλευθερίας. Καὶ ἦσαν πάντες οἱ κατὰ τὴν νῆσον δουλεύοντες μετέωροι πρὸς τὴν ἐλευθερίαν. Οἱ δ' ἐν ἀξιώμασι [40] συνδραμόντες παρεκάλουν τὸν στρατηγὸν ἀποστῆναι ταύτης τῆς ἐπιβολῆς. Ὁ δ' εἴτε χρήμασι πεισθεὶς εἴτε χάρισι δουλεύσας τῆς μὲν τῶν κριτηρίων τούτων σπουδῆς ἀπέστη, καὶ τοὺς προσιόντας ἐπὶ τῷ [41] τυχεῖν τῆς ἐλευθερίας ἐπιπλήττων εἰς τοὺς ἰδίους κυρίους προσέταττεν ἐπαναστρέφειν. Οἱ δὲ δοῦλοι συστραφέντες, καὶ τῶν Συρακουσῶν ἀπαλλαγέντες, καὶ καταφυγόντες εἰς τὸ τῶν Παλίκων τέμενος, διελάλουν πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως. Ἐκεῖθεν ἐν πολλοῖς τόποις τῆς τῶν οἰκετῶν τόλμης ἐκδήλου γινομένης [42]

VARIÆ LECTIONES.

[33] ἐνεβάλετο B : ἐνεβάλλετο ς. Scaliger ἐβάλλετο. [34] συμβουλῆς ς. [35] ταύτῃ mg. ταυτὶ corr. A : ταύτην ς. [36] θαλάττης Scaliger : libri θαλαττῶν. [37] ὁ μὲν οὖν B, ὁ μὲν A : ὅθεν ς. [38] δημοσιωνῶν A : δημοσίων ς. [39] δουλεύοι A. [40] ἐν ἀξιώμασι A : ἀξιώματι ς. [41] τῷ B : τὸ ς. [42] γενομένης ς.

πρῶτοι τῆς ἐλεύθερίας ἀντεποιήσαντο κατὰ τὴν Ἀγκυλίων χώραν ἀδελφῶν δυεῖν μεγαλοπλούτων οἰκέται τριάκοντα, ὧν ἦγεῖτο Ὀάριος ὄνομα· οἳ πρῶτον μὲν νυκτὸς κοιμωμένους τοὺς ἰδίους δεσπότας ἀπέσφαξαν, εἶτα ἐπὶ τὰς γειτνιώσας ἐπαύλεις παρελθόντες παρεκάλουν ἐπὶ τὴν ἐλευθερίαν τοὺς δούλους· καὶ ἐν αὐτῇ τῇ νυκτὶ συνέδραμον πλείους τῶν ρκ'. Καὶ καταλαβόμενοι χωρίον φύσει ὀχυρὸν, τοῦτο μᾶλλον ἐπωχύρωσαν, προσδεξάμενοι καὶ ἑτέρους δούλους ὡπλισμένους π'. Ὁ δὲ στρατηγὸς τῆς ἐπαρχίας Λικίνιος [43] Νερούας κατὰ τάχος αὐτοῖς ἐπελθὼν καὶ πολιορκῶν ἄπρακτον ἔσχε τὴν σπουδήν. Ἐπεὶ δὲ βίᾳ ἀνάλωτον τὸ [44] φρούριον ἑώρα, ἐπὶ τὴν προδοσίαν ὁρᾷ, καὶ σωτηρίας ὑποσχέσεσι Γάϊον Τιτίνιον [633 H.] ἐπικαλούμενον Γαδαῖον [45] ἀναπείσας (ἦν δ' οὗτος πρὸ δυεῖν ἐτῶν καταδικασθεὶς μὲν θανάτῳ, τὴν τιμωρίαν δ' ἐκφυγὼν καὶ πολλοὺς τῶν κατὰ τὴν χώραν ἐλευθέρων κατὰ λῃστείαν ἀναιρῶν, οὐδένα δὲ τῶν οἰκετῶν παραλυπῶν), εἶχεν ὑπηρέτην τοῦ σκοποῦ. [1176 R.] Οὗτος ἔχων αὐτῷ [46] πιστοὺς οἰκέτας ἱκανοὺς, πρόσεισι τῷ φρουρίῳ τῶν [47] ἀποστατῶν, ὡς δὴ [48] συμμεθέξων τοῦ κατὰ Ῥωμαίων πολέμου· εὐμενῶς δὲ καὶ φιλοφρόνως προσδεχθεὶς ἡρέθη διὰ τὴν ἀνδρείαν καὶ στρατηγὸς, καὶ προὔδωκε τὸ φρούριον. Τῶν δ' ἀποστατῶν [49] οἱ μὲν μαχόμενοι [50] κατεκόπησαν, οἱ δὲ τὴν ἀπὸ τῆς ἁλώσεως δεδιότες τιμωρίαν ἑαυτοὺς κατεκρήμνισαν. Ἡ μὲν οὖν πρώτη τῶν δραπετῶν στάσις κατελύθη τὸν εἰρημένον τρόπον.

A jusce tam audacis servorum facinoris per Ancyliorum loca jam vulgata, primi se in libertatem vindicarunt triginta duorum ditissimorum fratrum servi: quorum dux erat quidam nomine Oarius. Hi primum suos heros noctu dormientes jugularunt, deinde ad vicinas etiam progressi villas servorum animos ad libertatis studium accenderunt, adeo ut illa ipsa nocte concursus ad eos factus sit aliorum centum et viginti atque amplius. Hi occupato loco natura munito, arte haud paulo munitiorem reddiderunt, assumptis et aliis octoginta servis, qui armati essent. Provinciæ autem imperator Licinius Nerva, cum repente superveniens eos obsidere cœpisset, nihil ullis conatibus promovere poterat. Quamobrem nullis viribus expugnabile præsidium B illud esse cernens, ad proditionem animum convertit. Ejus autem ministrum habuit quemdam Titinium cognomento Gadæum, spe salutis adductum: fuerat enim hic Titinius ante duos annos [Romæ] capitis condemnatus, sed pœnam effugerat, multosque ex hominibus **388***a* liberis ejus regionis prædabundus interficere solebat, servis contra ne minimum quidem negotii facessens. Unde cum multos ibi servos sibi fidos haberet, ad castellum, tanquam et ipse pro virili parte adversus Romanos præliaturus, accedit. Benevole autem comiterque receptus, etiam imperator fortitudinis ergo creatus fuit. Quam dignitatem adeptus, castellum prodidit. Tum vero ex defectoribus alii quidem in prælio concisi fuerunt, alii vero pœnæ metu, quam se captos manere sciebant, se præcipites dederunt. Prima igitur fugitivorum seditio repressa hoc modo fuit.

Τῶν δὲ στρατιωτῶν πρὸς τὰ οἰκεῖα ἤθη ἀπολυθέντων, ἦκόν τινες ἀπαγγέλλοντες ὅτι Πόπλιον Κλόνιον, γενόμενον ἱππέα Ῥωμαίων, ἐπαναστάντες οἱ δοῦλοι κατέσφαξαν ὀγδοήκοντα ὄντες, καὶ ὅτι πλῆθος ἀγείρουσι. Καὶ ὁ μὲν στρατηγὸς ἑτέρων βουλαῖς παρακρουσθεὶς, ἤδη καὶ τῶν πλείστων στρατιωτῶν ἀπολελυμένων [51], καιρὸν παρεῖχε διὰ τῆς ἀναβολῆς τοῖς ἀποστάταις βέλτιον αὐτοὺς ἀσφαλίσασθαι. Προῆγε δὲ μετὰ τῶν ἐνόντων στρατιωτῶν, καὶ διαβὰς τὸν Ἄλβαν ποταμὸν, παρῆλθε τοὺς ἀποστάτας διατρίβοντας ἐν ὄρει καλουμένῳ Καπριανῷ, καὶ κατήντησεν εἰς πόλιν Ἡράκλειαν. Ἐκ γὰρ [52] τοῦ μὴ προσβαλεῖν αὐτοῖς τὸν στρατηγὸν ἀτολμίαν αὐτοῦ διαφημίσαντες, συχνοὺς ἀνέσειον τῶν οἰκετῶν. Καὶ πολλῶν συῤῥεόντων καὶ τὸν δυνατὸν τρόπον εἰς μάχην παρασκευαζομένων, ἐν ἑπτά ταῖς πρώταις ἡμέραις καθωπλίσθησαν πλείους τῶν ὀκτακοσίων, ἐφεξῆς δ' ἐγένοντο τῶν δισχιλίων οὐκ ἐλάττους. Πυθόμενος δ' ἐν Ἡρακλείᾳ τὴν αὔξησιν αὐτῶν ὁ στρατηγὸς ἡγεμόνα προεχειρίσατο Μάρκον Τιτίνιον, δοὺς αὐτῷ στρατιώτας τοὺς ἐκ τῆς Ἔννης φρουροὺς ἑξακοσίους. Οὗτος δὲ μάχῃ προσβαλὼν τοῖς ἀποστάταις, ἐπεὶ καὶ τῷ πλήθει καὶ ταῖς δυσχωρίαις [53] ἐπλεονέκτουν ἐκεῖνοι, ἐτράπη σὺν τοῖς περὶ αὐτὸν, πολλῶν μὲν

C Verumenimvero militibus ad sedes suas dimissis, affertur a quibusdam nuntius, servos 80 conjuratione facta P. Clonium qui equestris ordinis fuit, interfecisse, magnamque sibi manum adjungere. Quinetiam ipse imperator consiliis aliorum deceptus, jam bona suorum militum parte dimissa, defectoribus ad se melius muniendos tempus dabat. Tandem tamen cum qualicunque potuit manu ad eos contendit, trajectoque fluvio Alba, defectores in monte Capriano stationem agentes prætergressus est, et ad urbem Heracleam perrexit. Cum igitur de ignavia imperatoris rumorem sparsissent, utpote illos prælio lacessere non ausi, multos ex servis ad defectionem animabant, adeo multis undique circumfluentibus, seque iis, quorum facultatem tempus D locusque dabant, armis instruentibus, ut intra primos septem dies octingentis plures armati fuerint, postea vero usque ad duorum millium numerum creverint. Postquam autem imperator apud Heracleam de auctis eorum viribus certior factus fuit, ducem adversus eos Marcum Titinium creavit, eumque cum sexcentis ex Enna præsidiariis militibus misit. Hic vero defectores adortus prælio (cum illi et numero superiores essent, et in eo quoque

VARIÆ LECTIONES.

[43] Λικκίνιος A. [44] τὸ om. A. [45] Γαδδαῖον B. [46] αὐτοῦ B. [47] τῶν] καὶ τῶν B. [48] ὡς δὴ — [49] ἀποστατῶν om. B. et pr. A. [50] μαχούμενοι ς. [51] στρατιωτῶν ἀπολελυμένων om. A. [52] γὰρ] γοῦν A, præstiterit δ' οὖν. [53] δυσχερείαις ς.

meliori conditione forent, quod locis difficilem aditum præbentibus defenderentur), una cum iis qui illi astabant terga dedit, multisque interfectis, reliqui abjectis armis vix sibi fuga salutem quæsiverunt. Defectores igitur tot armaturis, simul etiam victoria subito potiti, in suo incepto audacius pergebant, et omnium servorum animi ad spem libertatis erigebantur. Cumque multi in dies deficerent, brevi tempore supra quam credi possit auctus eorum numerus fuit. Siquidem intra paucos dies plures sex millibus numerati fuerunt. Tum vero coacto concilio, et deliberatione de summa rerum proposita, ante omnia crearunt regem Salvium quemdam, **388***b* qui aruspicinæ peritus habebatur, et in mulierem corona cantu tibiarum, ad insaniam usque perstrepere solitus erat. Hic regnum adeptus, cum urbes desidia mollitiem fovere existimaret, eas sibi vitandas judicavit. Quare defectoribus tres in partes divisis, totidemque ducibus unicuique parti attributis effusis populationibus peragrare regionem totam, omnesque certum ad locum, certoque tempore remeare imperavit. Illi cum aliorum animalium, tum vero equorum copiam suis excursionibus adepti, brevi peditum viginti millia, equitum duo effecerunt : idque hominum qui jam tirocinium non sine summa laude posuerant. Repente igitur ad urbem munitam Morgantinam magno impetu contendunt : eamque tum validis, tum assiduis impressionibus oppugnare occipiunt. Imperator autem cum eodem nocturnis itineribus pervenisset, tanquam ad ferendas urbi suppetias, ducens militum circiter decem millia, partim Italicorum, partim ex Sicilia, defectores circa obsidionem occupatos invenit. Cum ergo in eorum castra irruptionem fecisset, et exiguum illic præsidium reperisset, magnam autem captivarum multitudinem, magnam item alius prædæ omnis generis, nullo negotio castra illorum submovit, iisque direptis ad urbem Morgantinam iter convertit. At defectores repente in illum irruentes vicissim, cum e loco superiore pugnarent, violenta irruptione facta, secundam fortunam experiri, Romani imperatoris copiæ terga vertere cœperunt. Cæterum quia rex defectorum imperaverat edicto, ut omnibus arma abjicientibus parceretur, bona pars iis abjectis in fugam se dabat. Quo quidem stratagemate Salvius adversus hostes usus, castra sua recupaverit, victoriaque simul et magna multitudine armorum potitus est. Cæsi autem in hoc prælio fuerunt ex Italis et Siculis non plures sexcentis, propter edicti illius clementiam, sed capta fuerunt circiter quatuor millia. Porro cum ad Salvium, rebus ab illo bene gestis, multi confluerent, duplicato exercitu, atque aperto potius campo, Morgantinæ obsidionem redin-

ἀναιρεθέντων, τῶν δὲ λοιπῶν ῥιψάντων τὰ ὅπλα καὶ φυγῇ μόλις διασωθέντων. Καὶ οἱ ἀποστάται ὅπλων τε εὐπορήσαντες τοσούτων ἀθρόον καὶ νίκης, θρασύτερον εἶχοντο τῶν ἔργων, καὶ πάντες τῶν δούλων ἐμετεωρίζοντο πρὸς ἀπόστασιν. Καὶ πολλῶν καθ' ἡμέραν ἀφισταμένων σύντομον καὶ παράδοξον ἐλάμβανον αὔξησιν, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους γενέσθαι τῶν ἑξακισχιλίων, ὅτε δὴ καὶ εἰς ἐκκλησίαν συνελθόντες καὶ βουλῆς προτεθείσης πρῶτον μὲν εἵλαντο [54] βασιλέα τὸν ὀνομαζόμενον Σαλούϊον, δοκοῦντα τῆς ἱεροσκοπίας ἔμπειρον εἶναι καὶ ταῖς [55] γυναικείαις θείαις αὐλομανοῦντα. Οὗτος βασιλεύσας τὰς μὲν πόλεις ἀργίας καὶ τρυφῆς νομίζων ἐξέκλινεν, εἰς τρία δὲ μερίσας τοὺς ἀποστάτας, καὶ ἴσους ἡγεμόνας ἐγκαταστήσας ταῖς μερίσι, προσέταξεν ἐπιέναι τὴν χώραν καὶ πρὸς ἕνα τόπον καὶ καιρὸν ἅπαντας ἁπανταχῆ. Διὸ πολλῶν ἐκ τῆς ἐπελασίας ἄλλων τε ζώων καὶ ἵππων εὐπορήσαντες, ἐν ὀλίγῳ χρόνῳ κατεσκευάσθησαν ἱππεῖς μὲν [634 H.] πλείους τῶν δισχιλίων, πεζοὶ δὲ οὐκ ἐλάττους τῶν δισμυρίων, ἤδη καὶ γυμνασίαις πολεμικαῖς ἐνδιατρέποντες. Προσπεσόντες οὖν ἄφνω πόλει ὀχυρᾷ Μοργαντίνῃ, προσβολὰς ἐνεργεῖς καὶ συνεχεῖς ἐποιοῦντο. Ὁ δὲ στρατηγὸς ὡς βοηθήσων [56] τῇ πόλει ἐπελθών, νυκτοπορίᾳ [57] χρησάμενος, ἔχων μεθ' ἑαυτοῦ [1177 R.] Ἰταλιώτας τε καὶ ἐκ Σικελίας σχεδὸν στρατιώτας μυρίους, κατέλαβε [58] τοὺς ἀποστάτας ἀσχολουμένους περὶ τὴν πολιορκίαν [59], καὶ ἐπιθέμενος αὐτῶν τῇ παρεμβολῇ, καὶ εὑρὼν ὀλίγους μὲν τοὺς φυλάττοντας, πλῆθος δὲ γυναικῶν αἰχμαλώτων καὶ λείας ἄλλης παντοδαποῦς [60], ῥᾳδίως ἐξεῖλε τὴν στρατοπεδείαν. Καὶ ταύτην μὲν διήρπασεν, ἐπὶ δὲ τὴν Μοργαντίνην ἦγεν. Οἱ δ' ἀποστάται ἐξαίφνης ἀντεπιθέμενοι, καὶ ὑπερδέξιον τὴν τάξιν [61] ἔχοντες, βιαίως τε ἐπιῤῥάξαντες [62], εὐθὺς ἐπὶ [63] προτερήματος ἦσαν. Οἱ δὲ τοῦ στρατηγοῦ ἐτράπησαν πρὸς φυγήν. Τοῦ δὲ βασιλέως τῶν ἀποστατῶν κήρυγμα ποιησαμένου μηδένα κτείνειν τῶν τὰ ὅπλα ῥιπτούντων, οἱ πλεῖστοι ῥιπτοῦντες [64] ἔφευγον. Καὶ τούτῳ τῷ τρόπῳ καταστρατηγήσας τοὺς πολεμίους ὁ Σαλούϊος τήν τε παρεμβολὴν ἀνεκτήσατο, καὶ περιβόητον νίκην ἀπενεγκάμενος πολλῶν ὅπλων ἐκυρίευσεν. Ἀπέθανον δὲ ἐν τῇ μάχῃ τῶν Ἰταλιωτῶν τε καὶ Σικελῶν οὐ πλείους ἑξακοσίων διὰ τὴν τοῦ κηρύγματος φιλανθρωπίαν, ἑάλωσαν δὲ περὶ τετρακισχιλίους. Ὁ δὲ Σαλούϊος, πολλῶν πρὸς αὐτὸν ἀπὸ τοῦ κατορθώματος [65] συῤῥεόντων, διπλασιάσας τὴν ἰδίαν δύναμιν, ἐκράτει τῶν ὑπαίθρων, καὶ πολιορκεῖν πάλιν ἐπεχείρει τὴν Μοργαντῖναν, κήρυγμα δοὺς τοῖς ἐν αὐτῇ δούλοις τὴν ἐλευθερίαν. Τῶν δὲ κυρίων ἀντιπροτεινόντων [66] αὐτοῖς ταύτην, εἰ σφίσι συναγωνίσαιντο, εἵλοντο μᾶλλον τὴν ἀπὸ τῶν κυρίων, καὶ προθύμως ἐγωνισάμενοι ἀπετρίψαντο τὴν πολιορκίαν. Ὁ δὲ στρατηγὸς μετὰ ταῦτα

VARIÆ LECTIONES.

[54] εἵλοντο ς. [55] ταῖς et 3 τὰς μὲν add. A. [56] βοηθῶν ς. [57] νυκτοπορείᾳ A. [58] κατέλαβε om. A. [59] πολιορκίαν] πολιορκίαν καταλαβὼν B. [60] παντοδαπῆς ς. [61] τάξιν] στάσιν A. [62] ἐπαῤῥάξαντες B. [63] ἐπὶ Scaliger : libri ὑπό. [64] ῥίπτοντες A. [65] τῶν καθορθωμάτων B. [66] ἀντιπαρατεινόντων B.

τὴν ἐλευθερίαν ἀνατρέψας, αὐτομολῆσαι τοὺς πλείστους παρεσκεύασε τοῖς ἀποστάταις.

A tegravit, jussitque proclamari se iis libertatem, qui ibi essent, servis donaturum. Sed enim eorum dominis vicissim eam illis proponentibus, dummodo secum adversus hostes dimicarent, eam ab ipsis accipere maluerunt, tantaque animi pugnaverunt alacritate, ut obsidionem submoverent. Verumenim vero imperator postea **389***a* denegans promissam illis libertatem, in causa fuit cur ad defectores plurimi transfugerent (70).

Περὶ δὲ τὴν Αἰγεσταίων καὶ Αιλυβαίτῶν χώραν, ἔτι δὲ τῶν ἄλλων τῶν πλησιοχώρων, ἐνόσει πρὸς ἀπόστασιν τὰ πλήθη τῶν οἰκετῶν. Γίνεται δὲ τούτων ἀρχηγὸς Ἀθηνίων ὄνομα, ἀνὴρ ἀνδρείᾳ διαφέρων. Κίλιξ τὸ γένος. Οὗτος οἰκονόμος ὢν δυοῖν [67] ἀδελφῶν μεγαλοπλούτων, καὶ τῆς ἀστρομαντικῆς πολλὴν ἔχων ἐμπειρίαν, ἔπεισε τῶν οἰκετῶν πρῶτον μὲν τοὺς ὑφ' ἑαυτὸν τεταγμένους, περὶ [68] διακοσίους ὄντας, ἔπειτα τοὺς γειτνιῶντας, ὥστε ἐν πέντε ἡμέραις συναχθῆναι πλείους τῶν χιλίων. Ὑπὸ δὲ τούτων αἱρεθεὶς βασιλεὺς καὶ διάδημα περιθέμενος, ἐναντίαν τοῖς ἄλλοις ἅπασιν ἀποστάταις τὴν διάθεσιν ἐποιεῖτο. Οὐ γὰρ προσεδέχετο πάντας τοὺς ἀφισταμένους, ἀλλὰ τοὺς ἀρίστους ποιούμενος στρατιώτας, τοὺς ἄλλους ἠνάγκαζε μένοντας ἐπὶ τῶν προγεγενημένων ἐργασιῶν ἐπιμελεῖσθαι τῆς ἰδίας ἕκαστον οἰκονομίας καὶ τάξεως, ἐξ ὧν καὶ τροφὰς ἀφθόνους τῶν στρατιωτῶν ἐχορηγεῖτο. Προσεποιεῖτο δὲ τοὺς θεοὺς αὐτῷ διὰ τῶν ἄστρων προσημαίνειν ὡς ἔσοιτο τῆς [635 H.] Σικελίας [69] συμπάσης βασιλεύς· διὸ δεῖν αὐτῆς τε τῆς χώρας καὶ τῶν ἐν αὐτῇ ζώων τε καὶ καρπῶν ὡς ἰδίων φείδεσθαι. Τέλος ἀθροίσας ὑπὲρ τοὺς μυρίους ἐτόλμησε πόλιν ἀπόρθητον τὸ Λιλυβαῖον πολιορκεῖν. Μηδὲν δὲ ἀνύων μετανίστατο [70] αὐτῆς, εἰπὼν αὐτῷ τοὺς θεοὺς τοῦτο ἐπιτάττειν· ἐπιμένοντας γὰρ τῇ πολιορκίᾳ δυστυχήματος πειραθῆναι. Παρασκευαζομένου [71] δὲ αὐτοῦ τὴν ἀπὸ τῆς πόλεως ἀναχώρησιν, κατέπλευσάν τινες ἐν ταῖς ναυσὶ κομίζοντες ἐπιλέκτους Μαυρουσίους, οἳ ἐπὶ βοήθειαν ἦσαν ἀπεσταλμένοι [1180 R.] τοῖς Αιλυβαίταις, ἔχοντες ἡγούμενον ὃς ὠνομάζετο Γόμων. Οὗτος σὺν τοῖς ἅμ' αὐτῷ κατὰ νύκτα καὶ ἀνελπίστως ἐπιθέμενος τοὺς περὶ Ἀθηνίωνα ὁδοιποροῦντας, πολλοὺς καταβαλόντες, οὐκ ὀλίγους [72] δὲ τραυματίσαντες, εἰς τὴν πόλιν ἐπανῆλθον. Διόπερ οἱ ἀποστάται τὴν ἐκ [73] τῆς ἀστρομαντείας πρόῤῥησιν ἐθαύμαζον.

Jam vero et apud Ægestæos, pariterque Lilibæenses, ac finitimos illis populos, eadem defectionis cupiditas, ceu morbus quidam per servorum greges serpebat. Eorum autem dux constituitur Athenio quidam vir fortitudine præstans, ortus autem e Cilicia. Hic cum res domesticas duorum opulentissimorum fratrum dispensaret, et ejus quæ fit ex astris scientiæ peritissimus esset, servos in suam sententiam pertraxit: primum quidem eos, quos sub potestate habebat, numero circiter ducentos; postea vero et vicinos, adeo ut quinque dierum spatio mille et amplius congregarentur. Ab his autem rex creatus, impositoque capiti diademate, secus quam cæteri defectores suas rationes instituebat. Neque enim omnes quotquot deficiebant, recipiebat, sed ex iis strenuissimos quosque in suorum militum numerum allegens, reliquos cogebat, repetitis pristinis opificiis, unumquemque eumdem quem antea locum tenere, et quarum rerum dispensatio esset ejus officii, eam studiose suscipere. Qua ex re largum etiam comparabat suis commeatum. Porro fingebat deos per astra futurum se universæ Siciliæ regem præsignificare, ideoque oportere tam ipsi regioni, quam animalibus et fructibus, qui in ea essent tanquam propriis parcere. Tandem vero cum supra decem millia hominum coegisset, Lilybæum inexpugnabilem urbem obsidere est ausus; sed se operam perdere animadvertens, obsidionem tanquam deorum imperio solvit, utpote aliqua non mediocri impendente calamitate obsidione non abstinentibus. Cum igitur ab urbe recedere pararet, appulerunt naves, quædam delectam Maurorum advehentes manum, auxilio Lylibæensibus missam: cui præerat quidam nomine Gomon. Hic cum suis noctu et improviso Athenionem suas copias ducentem adortus, cum multos iter facientes prostrasset, non paucos autem vulnerassel, ad urbem pedem retulit. Quare illa Athenionis ex castris vaticinatio in pretio et admiratione erat.

Εἶχε δὲ τὴν Σικελείαν πᾶσαν [74] σύγχυσις καὶ κακῶν Ἰλιάς. Οὐ γὰρ οἱ δοῦλοι μόνον, ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ ἄποροι πᾶσαν ἁρπαγὴν καὶ παρανομίαν ἐργαζόμενοι, καὶ τοὺς περιτυγχάνοντας δούλους τε καὶ ἐλευθέρους, ὅπως μηδεὶς ἀπαγγέλοι [75] τὴν περὶ αὐτοὺς ἀπόνοιαν, ἐφόνευον ἀναιδῶς. Διὸ καὶ πάντες οἱ κατὰ τὰς πόλεις ὑπελάμβανον τὰ μὲν ἐντὸς τειχῶν μόλις εἶναι ἴδια, τὰ δ' ἐκτὸς ἀλλότρια καὶ δοῦλα τῆς

Inter ea autem valde confusus perturbatusque erat rerum Siciliæ status, vereque malorum Ilias eam occupaverat. Neque enim servi duntaxat, sed etiam ex liberis hominibus ii qui egestate premebantur, omne latrocinii flagitiique genus exercebant. At ne quis hanc perditam nequitiam nuntiare posset, obvium quemlibet, servum pariter et ingenuos trucidabant. Unde fiebat, ut qui in oppidis

VARIÆ LECTIONES

[67] δυεῖν B. [68] περὶ om. B. [69] σικελίας B et corr. A : βασιλείας ς. [70] ἀνίστατο B. [71] σκευαζομένου ς. [72] ὀλίγας ς. [73] ἐκ A : ἀπὸ ς. [74] πᾶσαν mg. : libri πᾶσα. [75] ἀπαγγέλλοι A.

NOTÆ.

(70) Cicero *In Verrem.*

389*b* erant, ea quæ intra muros essent, vix propria existimarent: quæ autem extra, aliena et domino exlegi violentæque potentiæ subdita. Multa denique alia contra fas et æquum perpetrare audebant in Sicilia.

A παρανόμου χειροκρασίας. Καὶ ἄλλα δὲ πολλὰ πολλοῖς ἄτοπα κατὰ τὴν Σικελίαν ἐτολμᾶτο.

Salvius autem qui Morgantinam obsidebat, factis in totam illam regionem incursionibus, ad Leontinum usque campum, totum exercitum ibi recollegit in quo numerabant triginta millia, et quidem selectorum. Tum vero Italis heroibus sacra fecit, unamque e purpureis vestibus dicavit, gratus ac memor beneficii, in quo illum victoriam dantes affecerant. Tandem vero cum regis nomen sibi ascivisset, pro Salvio Tryphon a defectoribus appellari cœpit. Habens autem in animo Triocala occupare, ibique regiam suam statuere, evocat etiam Athenionem, et quidem eum ut rex imperatorem accersens. Hic vero cum omnes arbitrarentur fore ut Athenio primum et altissimum dignitatis gradum obtinere vellet, atque hinc orto inter defectorum principes dissidio, facile huic bello finem impositum iri, fortuna tanquam de industria copias fugitivorum augens, duces eorum in concordiam adduxit. Trypho enim magnis itineribus ad urbem Triocala cum universo suo exercitu pervenit. Eodem et Athenio magna celeritate contendit, ex suis tria duntaxat adducens millia, et Tryphoni ut imperator regi dicto audiens. Reliquum autem exercitum ad depopulandos longe lateque agros, servitiaque ad defectionem sollicitanda miserat. Verum postea Trypho suspicatus fore ut Athenio prima quoque occasione, adversus ipsum arma caperet, eum in carcerem conjecit. Cæterum præsidium illud alioqui munitissimum in dies magis ac magis muniebat, et magnifici structuris adornabat. Aiunt autem Triocala fuisse nominatam quod τρία καλὰ (id est tria pulchra) ei inessent. Primum quod scaturigines plurimæ aquarum in ea exstarent, quæ dulcedine magnopere commendarentur. Deinde quod ajacentes agri vineta simul et oliveta haberent, essent vero et culturæ mirum in modum idonei. Postremo, quod natura locus ita munitus foret, ut nihil supra posset, quippe qui magnam quamdam et inexpugnabilem haberet rupem: quam urbis ambitu, qui mille passus amplectitur, cum cinxisset, fossaque in summam altitudinem producta circumdedisset, pro regia sua habuit, omnium quæ humanæ vitæ usus postulat abundantia refertum. Coustruit insuper basilicam: forum item numerosæ hominum turbæ capax. Præterea ex prædictis insigni prudentia viris delegit quot satis erant, eosque sibi consiliarios statuit, atque assessores in juris disceptationibus habere instituit. Jam vero et toga prætexta tunicaque lati clavis amictus jus reddebat, **390***a* lictoresque illi cum securibus præibant: quæ denique regiam dignitatem efficiunt, et quæ ornant, ea omnia consectantur.

Ὁ δὲ τὴν Μαργαντίνην πολιορκήσας Σαλούϊος, ἐπιδραμὼν τὴν χώραν μέχρι τοῦ Λεοντίνου πεδίου, ἤθροισεν αὐτοῦ τὸ σύμπαν στράτευμα, ἐπιλέκτους ἄνδρας οὐκ ἐλάττους τῶν τρισμυρίων, καὶ θύσας τοῖς Ἰταλικοῖς [76] ἥρωσι τούτοις μὲν ἀνέθηκε μίαν τῶν ἁλουργῶν περιπορφύρων στολὴν χαριστήρια τῆς νίκης, αὐτὸς δ' ἀναγορεύσας ἑαυτὸν βασιλέα Τρύφων [77] μὲν ὑπὸ τῶν ἀποστατῶν προπηγορεύετο. Διανοούμενος δὲ τὰ Τριόκαλα [78] καταλαβέσθαι καὶ κατασκευάσαι βασίλεια πέμπει καὶ πρὸς Ἀθηνίωνα, μεταπεμπόμενος αὐτὸν ὡς στρατηγὸν βασιλεύς. Πάντες μὲν οὖν ὑπελάμβανον τὸν Ἀθηνίωνα τῶν πρωτείων ἀντιποιήσεσθαι [79], καὶ διὰ τὴν στάσιν τῶν ἀποστατῶν ῥᾳδίως καταλυθήσεσθαι τὸν πόλεμον· ἡ δὲ τύχη καθάπερ ἐπίτηδες αὔξουσα τὰς τῶν δραπετῶν δυνάμεις, ὁμονοῆσαι τοὺς τούτων ἡγεμόνας ἐποίησεν. Ἦκε μὲν γὰρ συντόμως μετὰ τῆς δυνάμεως ἐπὶ τὰ Τριόκαλα ὁ Τρύφων, ἦκε δὲ καὶ Ἀθηνίων μετὰ τρισχιλίων, ὑπακούων ὡς στρατηγὸς βασιλεῖ τῷ Τρύφωνι, τὴν ἄλλην αὐτοῦ δύναμιν κατατρέχειν τὴν χώραν καὶ ἀνασείειν πρὸς ἀπόστασιν τοὺς οἰκέτας ἀπεσταλκώς. Μετὰ δὲ ταῦτα ὑπονοήσας ὁ Τρύφων τὸν Ἀθηνίωνα ἐπιθήσεσθαι ἐν καιρῷ παρέδωκεν εἰς φυλακήν. Τὸ δὲ φρούριον ὀχυρώτατον ὂν κατεσκεύαζε πολυτελέσι κατασκευαῖς καὶ ἐπὶ μᾶλλον ὠχύρου. Τριόκαλα δὲ αὐτό φασιν [80] ὀνομάσθαι διὰ τὸ τρία καλὰ ἔχειν, πρῶτον μὲν ναμαϊαίων ὑδάτων πλῆθος, διαφόρων τῇ γλυκύτητι, δεύτερον παρακειμένην χώραν ἀμπελόφυτόν [636 H·] τε καὶ ἐλαιόφυτον καὶ γεωργεῖσθαι δυναμένην θαυμαστῶς [81], τρίτον ὑπερβάλλουσαν ὀχυρότητα, ὡς ἂν οὔσης μεγάλης, πέτρας ἀναλώτου· ἣν καὶ περιβόλῳ πόλεως σταδίων ὀκτὼ προσπεριβαλών, καὶ ταφρεύσας βαθείᾳ τάφρῳ, βασιλείοις ἐχρῆτο, πάσῃ ἀφθονίᾳ τῶν κατὰ τὸν βίον ἁπάντων [82] πεπληρωμένην. Κατεσκεύασε δὲ καὶ βασιλικὴν οἰκίαν καὶ ἀγορὰν δυναμένην δέξασθαι [83] πλῆθος ἀνθρώπων. Ἐξελέξατο δὲ καὶ τῶν φρονήσει διαφερόντων ἀνδρῶν τοὺς ἱκανούς, οὓς ἀποδείξας συμβούλους ἐχρῆτο συνέδροις αὐτοῖς· τήβεννάν τε περιπόρφυρον περιεβάλλετο [84], καὶ πλατύσημον ἔδυ χιτῶνα κατὰ τοὺς χρηματισμούς, καὶ [1181 R.] ῥαβδούχους εἶχε μετὰ πελέκεων τοὺς προηγουμένους, καὶ τἄλλα πάντα ὅσα ποιοῦσί τε [85] καὶ ἐπικοσμοῦσιν ἐπετήδευε βασιλείαν.

Cæterum imperatorem adversus defectores senatus Romanus delegit L. Licinium Lucullum, habentem Romanorum quidem et Italorum militum quatuordecim millia, Bithynos autem, Thessalos Acarnanes 800,

Προχειρίζεται δὲ κατὰ τῶν ἀποστατῶν ἡ σύγκλητος τῶν Ῥωμαίων Λεύκιον Λικίνιον Λούκουλλον [86], ἔχοντα στρατιώτας μυρίους μὲν καὶ τετρακισχιλίους Ῥωμαίους καὶ Ἰταλούς, Βιθυνοὺς δὲ καὶ Θετταλοὺς

VARIÆ LECTIONES.

[76] Παλικοῖς Wesselingius. [77] Τρύφων — ὑπὸ — προσηγορεύετο] τρόφωνα — μετὰ — προηγάγετο A et (qui τρύφωνα habet) B. [78] Τριόκελα A. [79] ἀντιποιήσασθαι A. [80] φησὶν B. [81] θαυμαστῶς om. B. [82] ἅπαντα ς. [83] δέχεσθαι ς. [84] περιεβάλετο B. [85] τε A: γε ς. [86] Λεύκουλλον ς.

καὶ Ἀκαρνᾶνας [87] ὀκτακοσίους, ἐκ δὲ τῆς Λευκανίας ἑξακοσίους, ὧν ἡγεῖτο Κλέπτιος, ἀνὴρ στρατηγικὸς καὶ ἐπ' ἀνδρείᾳ περιβόητος, ἔτι δὲ καὶ ἑτέρους ἑξακοσίους, ὡς γενέσθαι σύμπαντας ἑπτακισχιλίους καὶ μυρίους, οὓς ἔχων κατέλαβε τὴν Σικελίαν. Ὁ δὲ Τρύφων ἀπολύσας Ἀθηνίωνα τῆς αἰτίας ἐβουλεύετο περὶ τοῦ πρὸς Ῥωμαίους πολέμου. Καὶ τῷ μὲν ἤρεσκεν ἐν τοῖς Τριοκάλοις ἀγωνίζεσθαι, Ἀθηνίων δὲ συνεβούλευε μὴ συγκλείειν ἑαυτοὺς εἰς πολιορκίαν, ἀλλ' ἐν ὑπαίθρῳ διαγωνίζεσθαι. Κρατησάσης δὲ ταύτης [88] τῆς βουλῆς κατεστρατοπέδευσαν πλησίον Σκιρθαίας [89], ὄντες οὐκ ἐλάττους τῶν τετρακισμυρίων· ἀπεῖχε δ' αὐτῶν ἡ Ῥωμαίων παρεμβολὴ στάδια δυοκαίδεκα. Τὸ μὲν οὖν πρῶτον ἐγίνοντο συνεχεῖς ἀκροβολισμοί· εἶτα παραταξαμένων ἑκατέρων, καὶ τῆς μάχης ὧδε κἀκεῖσε ῥεπούσης, καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, ὁ μὲν Ἀθηνίων ἔχων [90] συναγωνιζομένους διακοσίους ἱππεῖς ἐπιλεκτων, πάντα τὸν περὶ αὐτὸν τόπον νεκρῶν ἐπλήρωσε, τρωθεὶς δ' εἰς ἀμφότερα τὰ γόνατα καὶ τρίτην λαβὼν, ἄχρηστος ἐγένετο πρὸς τὴν μάχην, ἐξ οὗ οἱ δραπέται ταῖς ψυχαῖς πεσόντες πρὸς φυγὴν ἐτράπησαν. Ὁ δὲ Ἀθηνίων ὡς νεκρὸς ὢν ἔλαθε, καὶ προσποιηθεὶς τετελευτηκέναι τῆς νυκτὸς ἐπιλαβούσης διεσώθη. Ἐπεκράτησαν δὲ λαμπρῶς οἱ Ῥωμαῖοι, φυγόντων καὶ τῶν μετὰ Τρύφωνος καὶ αὐτοῦ ἐκείνου· καὶ πολλῶν κατὰ τὴν φυγὴν κοπέντων τέλος οὐκ ἐλάττους τῶν δισμυρίων ἀνηρέθησαν. Οἱ δὲ λοιποὶ τῆς νυκτὸς συνεργούσης διέφυγον εἰς τὰ Τριόκαλα· καίτοι ῥᾴον [92] ἦν ἐπιδιώξαντι τῷ στρατηγῷ καὶ τούτους ἀνελεῖν. Ἐπὶ τόσοῦτον δέ τεταπείνωτο τὸ οἰκετικὸν, ὥστε καὶ ἐβουλεύσαντο ἐπὶ τοὺς κυρίους ἐπαναδραμεῖν καὶ σφᾶς αὐτοῖς ἐγχειρίσαι· πλὴν ἐπεκράτησεν ἡ γνώμη τῶν μέχρι τελευτῆς ὑποθεμένων ἀγωνίσασθαι καὶ μὴ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπροδοῦναι. Μετὰ δ' ἐνάτην [93] ἡμέραν ὁ στρατηγὸς ἦκε πολιορκήσων τὰ [637 H.] Τριόκαλα. Καὶ τὰ μὲν ἀναιρῶν, τὰ δὲ [94] ἀναιρούμενος, ἔλαττον ἔχων ἀπηλλάγη, καὶ οἱ ἀποστάται αὖθις ἐφρονηματίζοντο. Ἦνυε δὲ τῶν δεόντων ὁ στρατηγὸς, εἴτε διὰ ῥᾳστώνην εἴτε διὰ δωροδοκίαν, οὐδέν· ἀνθ' ὧν καὶ δίκην ὕστερον κριθεὶς Ῥωμαίοις ἔδωκε.

A ex Lucania vero 600, quibus præerat Cleptius imperator, rei militaris scientia et fortitudine celeberrimus. Alios præterea 600, adeo ut universi numerum septemdecim millium efficerent. Cum his copiis Siciliam occupat. Tryphon igitur culpam Athenioni condonans, ad deliberationem de bello in Romanos gerendo eum adhibuit. Et Tryphonis quidem consilium erat, ut Triocalis manentes, inde pugnam committerent: Athenio autem auctor erat, ne seipsos obsidione intercludi paterentur, sed potius in aperto campo dimicarent. Cum igitur potior visa esset hæc sententia, juxta Scirthæam castrametati sunt, quadraginta millibus non pauciores. Aberant vero ab iis Romanorum castra passibus 1250. Primo igitur velitares pugnæ subinde committe-
B bantur: sed cum tandem utrinque aciem instruxissent, diuque ancipiti Marte pugnatum esset, ac multi ab utraque parte cecidissent, Athenio stipatus 200 selectis equitibus, strage omnia circumquaque implevit: verum genu utroque vulneratus, postea et tertio vulnere in alia corporis parte accepto, pugnæ utilis esse desiit. Quamobrem fugitivi animum despondentes, fugæ se dederunt. Athenio autem cum mortuus crederetur, latitavit, et simulata aliquantisper morte, cum primum nox advenit, fuga sibi salutem peperit. Præclaram vero adepti sunt Romani victoriam, Tryphonis comitibus et illo ipso in fugam conversis, multisque in fuga cæsis, tan-
C dem viginti millia cæsorum compererunt esse. At reliqui commoditate noctis usi, ad Triocala confugerant, quanquam et hos interficere facile erat imperatori, si perseculus eos fuisset. Adeo autem abjecerant animos servi, ut etiam de redeundo ad dominos, seque eorum potestati committendo, deliberatio ab iis proposita fuerit. Eorum tamen vicit sententia, qui auctores erant ut ad extremum usque spiritum dimicarent, nec ipsi seipsos prodentes in manus hostium se traderent. Sexto post die imperator ad obsidenda Triocala venit, qui cum hostes cæderet, vicissimque ab illis cæderetur, tandem inferior discessit. Qua ex re mullum fiduciæ ac spiritus defectoribus rediit. **390***b* Nec vero ipse imperator ulla in parte (sive præ desidia, sive quod muneribus corruptus esset) officio suo satisfaciebat. Unde etiam postea in judicium a Romanis vocatus, multatusque fuit.

Γάϊος δὲ Σερουίλιος καταπεμφθεὶς στρατηγὸς διάδοχος Λουκούλλου, οὐδ' αὐτός τι ἄξιον μνήμης ἔπραξε· διὸ καὶ ὁμοίως Λουκούλλῳ ὕστερον φυγῇ κατεδικάσθη. Τελευτήσαντος δὲ Τρύφωνος διάδοχος τῆς ἀρχῆς ὁ Ἀθηνίων καθίσταται, καὶ τοῦτο μὲν πόλεις ἐπολιόρκει, τοῦτο δὲ πᾶσαν τὴν χώραν ἀδεῶς κατέτρεχε, καὶ πολλῶν ἐκυρίευσε, τοῦ Σερουϊλίου μηδὲν, [95] ἀντιπράττοντος.

Τοῦ δ' ἐνιαυσίου χρόνου διελθόντος ὕπατος ἐν Ῥώμῃ Γάϊος Μάριος ἡρέθη τὸ πέμπτον καὶ Γάϊος Ἀκύλλιος· ὧν ὁ Ἀκύλλιος στρατηγὸς κατὰ τῶν ἀποστα-

D At Caius Servilius missus imperatori Lucullo successor, ipse quoque nihil quidquam memorabile gessit: quare eodem quo Lucullus modo multatus exsilio fuit. Dum hæc geruntur, moritur rex Trypho. Regno succedit Athenio. Hic urbes obsidendo, totamque regionem incursionibus pro libidine infestando, præda ingenti, non obsistente Servilio potitus est.

Porro exacto annuo spatio Romæ quintum consul cum Caio Acilio [*al.* Aquileo] creatus fuit Caius Marius. Missus autem Acilius adversus defectores

VARIÆ LECTIONES.

[87] καρνᾶνας A. [88] ταύτης] αὐτῆς A. [89] Σκριθαίας A. [90] ἔχων om. A. [91] ἐπιλέκτων] ἐπικρατῶν B et corr. A. [92] ῥᾷον] imo ῥᾴδιον. [93] ἐνάτην] ἕκτην B. [94] δὲ] δὲ καί B. [95] μηδὲν A : δὲ μηδέν.

imperator, ita se fortiter gessit, ut defectores illustri prælio superaverit. Quinetiam cum ipsorum rege Athenione conserta manu heroicum prælium commisit; tandemque eum interfecit, acceptosolovulnere in capite, ex quo sanatus aliquanto post fuit. Moxque defectorum reliquias bello persecutus est decem millia hominum. Verum hi cum impetum ejus non sustinuissent, sed ad loca munita confugissent; non tamen Acylius omnia tentare prius desiit, quam eos expugnatos in potestatem redegit. Cum autem superessent adhuc mille, quorum dux erat Satyrus, primum quidem conatus est armis eos subigere, postea vero cum legatis missis se dedissent, in præsens quidem pœnam remisit, sed Romam abductos cum bestiis commisit, ubi proditum est a quibusdam, eos maxima cum laude vitam finivisse. Nam certamen cum bestiis detrectasse, et ad publicas aras mutuis vulneribus occubuisse, cumque ultimum ex iis ipse Satyrus interfecisset, eum post reliquos omnes, cum magno ac plane heroico animi robore, sibi manus intulisse. Bellum igitur servile in Sicilia, cum annos durasset propemodum quatuor, hunc fere tragicum exitum habuit.

A τῶν σταλεὶς [1184 R.] διὰ τῆς ἰδίας ἀνδρείας ἐπιφανεῖ μάχῃ τοὺς ἀποστάτας ἐνίκησε. Καὶ πρὸς αὐτὸν δὲ τὸν βασιλέα τῶν ἀποστατῶν Ἀθηνίωνα συμβαλὼν ἡρωϊκὸν ἀγῶνα συνεστήσατο. Καὶ τοῦτον μὲν ἀνεῖλεν, αὐτὸς δ' εἰς τὴν κεφαλὴν τρωθεὶς ἐθεραπεύθη. Καὶ στρατεύει ἐπὶ τοὺς ὑπολειπομένους τῶν ἀποστατῶν, ὄντας μυρίους. Οὐκ ὑπομεινάντων δὲ τὴν ἔφοδον, ἀλλ' εἰς τὰ ὀχυρώματα καταφυγόντων, ὅμως Ἀκύλλιος οὐκ ἐνεδίδου πάντα πράττων, ἕως αὐτοὺς ἐκπολιορκήσας [96] ἐχειρώσατο. Ἔτι δ' ὑπολειπομένων χιλίων, καὶ στρατηγὸν ἐχόντων τὸν Σάτυρον, τὸ μὲν πρῶτον ἐπεβάλετο [97] διὰ τῶν ὅπλων αὐτοὺς χοιρώσασθαι, μετὰ δὲ ταῦτα διαπρεσβευόντων καὶ παραδόντων ἑαυτοὺς τῆς μὲν παραυτίκα τιμωρίας ἀπέλυσεν, ἀπαγαγὼν δὲ εἰς τὴν Ῥώμην θηριομάχας [98] αὐτοὺς ἐποίησε. Τοὺς δέ φασί τινες ἐπιφανεστάτην ποιήσασθαι τοῦ βίου καταστροφήν· τῆς μὲν [99] γὰρ πρὸς τὰ θηρία μάχης ἀποστῆναι, ἀλλήλους δὲ ἐπὶ τῶν δημοσίων βωμῶν κατασφάξαι, καὶ τὸν τελευταῖον αὐτὸν Σάτυρον ἀνελόντα, τοῦτον δ' ἐπὶ πᾶσιν αὐτοχειρίᾳ ἡρωϊκῶς καταστρέψαι. Ὁ μὲν οὖν κατὰ Σικελίαν τῶν οἰκετῶν πόλεμος, διαμείνας ἔτη σχεδόν που τέτταρα, τραγικὴν ἔσχε τὴν καταστροφήν.

B

Venit, inquit, e Pessinunte Phrygiæ sacerdos quidam magnæ deorum matris nomine Battaces, qui se jussu deæ asserens adesse, in senatu coram magistratibus dixit sacra deæ polluta esse, atque ideo Romæ publice expiari debere. Ferebat ad id vestem, aliaque corporis ornamenta **391***a* nova et nunquam Romanis visa, coronamque auream magnitudine inusitata, et stolam floribus intextis et inauratam, regio sane splendore. Itaque e rostris ad populum verba faciens, ad superstitiosum cultum eos incitavit, et hospitiis publicis et diversoriis exceptus a tribuno plebis A. Pompeio coronam ferre prohibitus est. Ab altero autem tribuno deductus in rostra, et de templi expiatione interrogatus superstitiosum sane responsum reddidit. Itaque a Pompeio seditiose tractatus, et cum injuria ad hospitium deductus, non amplius prodiit, non se modo, verum etiam deam injuriose habitam esse dicens. Pompeius vero ex tempore febri vehementi corripi cœpit, unde paulo post mutus factus est, anginæque doloribus supra modum vexatus post diem tertium exspiravit, multique eo quod sacerdotem, ipsamque deam offendisset, divina quadam providentia extinctum suspicabantur. Superstitionibus enim mirum in modum dediti Romani sunt. Quare Battaces sacræ stolæ indutus ornamento, amplioribus a viris multis et feminis hospitiis exceptus, Romaque discedens cum pompa dimissus est. Solent Romani milites ducem, quando adversus hostes cum illis pugna contendens, supra sex mille he-

Ὅτι Βαττάκης τις ὄνομα ἦκε, φησίν, ἐκ Πισσινοῦντος [1] τῆς Φρυγίας, ἱερεὺς ὑπάρχων τῆς μεγάλης τῶν θεῶν μητρός. Οὗτος κατὰ πρόσταγμα τῆς θεοῦ παρεῖναι φήσας, τοῖς ἄρχουσιν ἐνέτυχε καὶ τῇ συγκλήτῳ, λέγων τὸ ἱερὸν τῆς θεοῦ μεμιάνθαι, καὶ δεῖν αὐτοὺς [2] δημοσίᾳ καθαρμοὺς ἐπὶ τῆς Ῥώμης συντελεσθῆναι. Ἐφόρει δὲ ἐσθῆτα καὶ τὴν περὶ τὸ σῶμα ἄλλην κατασκευὴν ἐξηλλαγμένην καὶ ὑπὸ τῶν Ῥωμαίων ἐθῶν [3] οὐκ ἐπιχωρουμένην [4] χρυσοῦν τε γὰρ στέφανον εἶχεν ὑπερμεγέθη καὶ στολὴν ἀνθίνην διάχρυσον, βασιλικὴν ἀξίαν ἐπιφαίνουσαν. Ποιησάμενος δὲ λόγους ἐπὶ τῶν ἐμβόλων ἐν τῷ δήμῳ, καὶ τὸ πλῆθος εἰς δεισιδαιμονίαν ἐμβαλών, καταλύματος μὲν δημοσίου καὶ ξενίων ἠξιώθη· τὸν δὲ στέφανον ἐκωλύθη φορεῖν ὑφ' ἑνὸς τῶν δημάρχων Αὔλου Πομπηίου. Διά τινος δ' ἑτέρου δημάρχου προαχθεὶς ἐπὶ [638 H.] τὰ ἔμβολα, καὶ περὶ τῆς εἰς [5] τὸ ἱερὸν ἁγνείας ἐπερωτώμενος, ἀποκρίσεις ἐποιεῖτο δεισιδαιμονίαν περιεχούσας. Καταστασιασθεὶς δὲ ὑπὸ τοῦ [6] Πομπηίου, καὶ μεθ' ὕβρεως ἀπαλλαγεὶς ἐπὶ τὴν κατάλυσιν, οὐκέτι προεπορεύετο, λέγων μὴ μόνον ἑαυτὸν ἀσεβῶς προπεπηλακίσθαι, ἀλλὰ καὶ τὴν θεόν. Ὁ δὲ Πομπήϊος παραχρῆμα μὲν λάῤῥῳ [7] πυρετῷ συνεσχέθη, μετὰ δὲ ταῦτα ἄφωνος γενόμενος καὶ καταληφθεὶς κυναγχικῷ πάθει τριταῖος κατέστρεψε τὸν βίον, παρὰ τοῖς πολλοῖς ὑπολῃφθεὶς θείᾳ τινὶ προνοίᾳ, ἀνθ' ὧν εἰς τὸν ἱερέα καὶ τὴν θεὸν ἐπλημμέλησεν, τοῦ ζῆν ἐστερῆσθαι· σφόδρα γὰρ Ῥωμαῖοι δεισιδαιμονοῦσι. Διόπερ ὁ Βαττάκης λαβὼν τὴν συγχώρησιν τῆς κατὰ τὴν ἱερὰν στολὴν κατασκευῆς, καὶ τιμηθεὶς ἀξιολό-

C

D

VARIÆ LECTIONES.

[96] ἐκπολιορκήσας] A : ἐκπολεμήσας ς. [97] ἐπεβάλλετο ς. [98] θηριομάχους B. [99] μὲν add. B. [1] Πισσινοῦντο B. [2] αὐτοὺς] αὐτῇ Wesselingius. [3] ἐθῶν Scaliger : libri ἐθτῶν. [4] ἐπιχωρουμένην] libri ἐπιχωρημένην. [5] εἰς om A. [6] τοῦ add. A. [7] λαύρῳ ς.

γοις ξενίοις, ὑπὸ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν προεπέμφθη τὴν ἐκ τῆς Ῥώμης ἐπάνοδον ποιούμενος.

Ὅτι ἔθος ἦν τοῖς Ῥωμαίων στρατιώταις, ἡνίκα ὁ στρατηγὸς αὐτῶν, σὺν αὐτοῖς μάχῃ πρός τινας τῶν πολεμίων συμπλακείς, ὑπὲρ τοὺς ἑξαχισκιλίους [156 R.] τῶν ἐχθρῶν ἐφαίνετο ἀνελών, ἰγπεράτορα [8] αὐτὸν ἀναγορεύειν καὶ ἀποκαλεῖν, ὅ ἐστι βασιλέα.

Ἐκ τοῦ λζ' καὶ η' καὶ τῶν ἐφεξῆς.

Ὅτι τὸν Μαρσικὸν ὀνομασθέντα πόλεμον ἐπὶ τῆς αὐτοῦ [10] ἡλικίας Διόδωρος μείζονα πάντων [11] τῶν προγεγονότων ἀποφαίνεται. Ὠνομάσθαι δέ φησι [12] Μαρσικὸν ἐκ τῶν ἀρξάντων τῆς ἀποστάσεως, ἐπεὶ σύμπαντές γε Ἰταλοὶ κατὰ Ῥωμαίων τοῦτον ἐξήνεγκαν τὸν πόλεμον. Αἰτίαν δὲ πρώτην γενέσθαι τοῦ πολέμου τὸ μεταπεσεῖν τοὺς Ῥωμαίους ἀπὸ τῆς εὐτάκτου καὶ λιτῆς ἀγωγῆς καὶ ἐγκρατοῦς, δι' ἧς ἐπὶ [13] τοσοῦτον ηὐξήθησαν, εἰς ὀλέθριον ζῆλον τρυφῆς καὶ ἀκολασίας. Ἐκ γὰρ τῆς διαφθορᾶς [14] ταύτης στασιάσαντος τοῦ δημοτικοῦ πρὸς τὴν σύγκλητον, εἶτα ἐκείνης ἐπικαλεσαμένης τοὺς ἐκ τῆς Ἰταλίας ἐπικουρῆσαι, καὶ ὑποσχομένης τῆς πολυεράστου Ῥωμαϊκῆς πολιτείας μεταδοῦναι καὶ νόμῳ κυρῶσαι, ἐπεὶ οὐδὲν τῶν ὑπεσχημένων τοῖς Ἰταλιώταις ἐγένετο, ὁ ἐξ αὐτῶν πόλεμος πρὸς Ῥωμαίους ἐξεκαύθη, ὑπατευόντων ἐν τῇ Ῥώμῃ Λευκίου Μάρκου [15] Φιλίππου καὶ Σέξτου [16] Ἰουλίου Ὀλυμπιὰς δ' ἤχθη [17] πρὸς ταῖς ἑκατὸν ἑβδομήκοντα. Ἐν τούτῳ τῷ πολέμῳ ποικίλα καὶ πολύτροπα πάθη καὶ πόλεων ἁλώσεις ἑκατέρῳ μέρει τῶν διαπολεμησάντων συνέβη, ταλαντευομένης ὥσπερ ἐπίτηδες παρὰ μέρος τῆς νίκης καὶ μηδετέροις ἐν βεβαίῳ διαμενούσης· ὅμως ἀπείρου πλήθους ἑκατέρωθεν πεσόντος, ὀψὲ καὶ μόλις Ῥωμαίοις ἐξενίκησε βεβαιωθῆναι τὸ κράτος. Ἐπολέμουν δὲ Ῥωμαίοις Σαυνῖται, Ἀσκολανοὶ [18], Λευκανοί, Πικεντηνοὶ [19], Νωλανοὶ καὶ ἕτεραι πόλεις καὶ ἔθνη· ἐν οἷς ἐπισημοτάτη καὶ μεγίστη καὶ κοινὴ πόλις ἄρτι συντετελεσμένη τοῖς Ἰταλιώταις τὸ Κορφίνιον ἦν, ἐν ᾗ τά τε ἄλλα, ὅσα μεγάλην πόλιν καὶ ἀρχὴν κρατύνουσι, συνεστήσαντο καὶ ἀγορὰν εὐμεγέθη καὶ [639 H.] βουλευτήριον, καὶ τὰ ἄλλα τὰ πρὸς πόλεμον ἀφθόνως ἅπαντα, καὶ χρημάτων πλῆθος, καὶ τροφῆς δαψιλῆ χορηγίαν.

Συνεστήσαντο δὲ καὶ σύγκλητον κοινὴν [20] πεντακοσίων ἀνδρῶν, ἐξ ὧν οἵ τε τῆς πατρίδος ἄρχειν ἄξιοι προαχθήσεσθαι ἔμελλον καὶ οἱ προβουλεύεσθαι [21] δυνάμενοι περὶ τῆς κοινῆς σωτηρίας. Καὶ τούτοις ἐπέτρεψαν [22] τὰ κατὰ τὸν πόλεμον διοικεῖν, αὐτοκράτορας ποιήσαντες τοὺς συνέδρους. Οὗτοι δ' ἐνομοθέτησάν δύο μὲν ὑπάτους κατ' ἐνιαυτὸν αἱρεῖσθαι, δώδεκα δὲ στρατηγούς. Καὶ κατεστάθησαν ὕπατοι μὲν Κόϊντος Πομπαίδιος Σίλων, Μάρσος μὲν τὸ γένος, πρωτεύων δὲ τῶν ὁμοεθνῶν, καὶ δεύτερος ἐκ τοῦ Σαυνιτῶν γένους Γάϊος Ἀπώνιος Μότυλος, καὶ αὐτὸς δόξῃ καὶ πράξεσι τοῦ ἔθνους προέχων. Τὴν δ' ὅλην Ἰταλίαν εἰς

A stium profligasset, imperatorem, hoc est regem renuntiare (71).

Ex libro XXXVII *et* VIII *et aliis sequentibus.*

Ait Diodorus bellum quod dicitur Marsicum, sua ætate cæteris antecedentibus majus esse: et ideo ab auctoribus rebellionis Marsicum denominatum esse. Siquidem Itali omnes Romanis bellum hoc intulerunt. Belli causa prima fuit, quia Romani compositis sobriisque et continentibus moribus, per quos tantopere creverant, ad perniciosum deli-

B ciarum et intemperantiæ studium desciverunt. Nam ob hanc corruptelam orta plebis adversus senatum seditione, cum deinde senatus Italorum opem implorasset, et eis optatum illud Romanæ **391***b* civitatis jus pollicitus fuisset, idque se lege sancturum promisisset, cum promissorum nihil Italis præstaretur, exarsit ex illis bellum adversos Romanos, Romæ consulatum gerentibus Lucio Marcio Philippo, et Sexto Julio, Olympiade supra centesimam septuagesima secunda. In hoc bello diversi variique casus et urbium expugnationes utrique bellantium parti contigerunt, nutante quasi data opera in utramque partem victoria, et neutris stabili permanente. Tamen postquam utrinque cecidit immensa hominum multitudo, sero et ægre Ro-

C mani victoriam adepti, firmas vires obtinuerunt. Oppugnabant autem Romanos Samnites, Asculani, Lucani, Picentini, Nolani, et aliæ urbes atque gentes, in quibus erat illustrissima et maxima et communis urbs nuper ab Italis perfecta Corfinium, in qua cum cætera quæ magnam urbem et imperium confirmant, constituerunt, tum forum permagnum, et curiam, et cætera omnia ad bellum necessaria copiose, et pecuniæ multitudinem, et cibariorum largum commeatum.

Constituerunt et senatum novum quingentorum virorum, ex quibus qui patriæ imperio digni essent, producerentur, et qui de communi salute consul-

D tare possent, iisque belli curam mandarunt, summa potestate concessoribus permissa. Hi leges tulerunt ut duo consules quotannis crearentur, et duodecim duces. Consules creati sunt Quintus Pompædius Silo, natione Marsus, et suæ gentis primarius. Alter ex Samnitum genere Caius Aponius Motulus, ipse quoque gloria rebusque gestis suæ gentis clarissimus. Et tota Italia in partes duas divisa, eas consulares præfecturas atque partes constituerunt. Et

VARIÆ LECTIONES.

[8] ἰνπεράτορα ς. [9] βασιλέα om. pr. A : in quo post eam vocem vacui sunt versus 3 1/2. [10] αὐτῆς Al. [11] πάντων B : ἁπάντων ς. [12] φασι ς. [13] ἧς μὲν ἐπί ς. [14] διαφορᾶς ς. [15] Μάρκου] Μαρτίου Scaliger. [16] Σέξστου ς. [17] ἤχθη] ἤχθη ἡ β' Scaliger. [18] Ἀσκαλανοί A. [19] Πικεντηνοί B : Πικεντινοί ς. [20] libri καινήν. [21] παραβουλεύεσθαι B. [22] ἐπέτρεψαν] ἐπιτρέψαντες A.

NOTÆ.

(71) Vide P. Valtrinum, initio lib. ult. *De militia Romanorum.*

Pompædio quidem regionem assignarunt ab eo loco qui Cercola appellatur, usque ad Adriaticum mare, eos tractus qui ad occasum et septentriones vergunt, et duces ei sex attribuerunt. Reliquum Italiæ, videlicet eam partem, quæ spectat ad orientem et meridiem, assignarunt Caio Motulo, adjunctis ei itidem sex ducibus. Itaque postquam suum imperium et omnia scite, et, ut summatim dicam, ad imitationem Romani et antiqui ordinis composuerunt, deinceps vehementius futuro bello incumbebant, cum quidem Italiam communem urbem **392***a* nuncupassent, et ita bellum gessere cum Romanis, ut maxima ex parte fuerint superiores, donec Cneius Pompeius consul et belli dux electus, et Sulla dux sub altero consule Catone, nobilissimis prœliis Italos non semel, sed sæpius vincendo, illorum res eo redegerunt, ut profligatæ fuerint. Igitur non amplius bellarunt, sed Caio Coscinio in Iapygiam duce misso, sæpe victi sunt, atque ita superati, et ex multis pauci relicti, communi sententia novam deserunt urbem Corfinium, quoniam Marsi et omnes finitimæ gentes desciverant ad Romanos. Consederunt autem in Æsernia Samnitum, creatis sibi quinque ducibus, quorum uni maxime Quinto Pompædio Siloni omnium imperium crediderunt, propter ejus imperandi virtutem atque gloriam. Is de communi ducum sententia magnum exercitum comparavit, adeo ut universum, cum iis qui jam erant, fuerit circiter triginta millia. Præter hos congregavit etiam servos, a se libertate donatos, et ut tempus ferebat armatos non multo pauciores decem millibus, et equites mille. Ac prælio cum Romanis congressus, quorum dux erat Mamercus, Romanos paucos interficit, et suorum supra sex millia amittit. Per idem tempus Metellus in Apulia Venusiam, urbem satis magnam, et milites multos habentem, expugnavit, et plusquam tria millia captivorum cepit. Jamque superantibus in dies magis magisque Romanis, mittunt Itali ad Mithridatem regem Ponti, pollentem tunc bellica manu atque apparatu, petentes ut in Italiam adversus Romanos adduceret copias, ita enim facile conjunctis copiis posse Romanorum vires deturbari. Mithridates responsum dat, ducturum se copias in Italiam, postquam Asiam subegerit, id enim agebat. Hanc ob rem prorsus rejecti rebellatores despondebant animos. Erant enim reliqui Samnitum pauci, et Sabelli Nolæ degentes, et præter hos Lamponius et Cleptius, habentes Lucanorum reliquias. Itaque Marsico bello jam fere exolescente, **392***b* superioris temporis seditiones civiles Romæ novos motus faciebant, multis illustribus viris belli imperium adversus Mithridatem ambientibus, propter præmiorum magnitudinem. Nam et Caius Julius, et Caius Marius, is qui sexies consulatum gesserat, in-

A δύο μέρη διελόντες ὑπατικὰς ἐπαρχίας ταύτας καὶ μερίδας ἀπέδειξαν, καὶ τῷ μὲν Πομπαιδίῳ προσώρισαν χώραν ἀπὸ τῶν Κερκώλων καλουμένων μέχρι τῆς Ἀδριατικῆς θαλάσσης, τὰ πρὸς δυσμὰς καὶ τὴν ἄρκτον νεύοντα μέρη, καὶ στρατηγοὺς ἔταξαν αὐτῷ ἕξ· τὸ δὲ λοιπὸν τῆς Ἰταλίας, τὴν πρὸς ἕω καὶ μεσημβρίαν νεύουσαν, προσώρισαν Γαΐῳ Μοτύλῳ, στρατηγοὺς ὁμοίως συζεύξαντες ἕξ. Οὕτω πάντα δεξιῶς καὶ κατὰ μίμησιν, τὸ σύνολον φάναι, τῆς Ῥωμαϊκῆς καὶ ἐκ παλαιοῦ τάξεως τὴν ἑαυτῶν ἀρχὴν διαθέμενοι, κατὰ τὸ σφοδρότερον λοιπὸν εἴχοντο καὶ τοῦ ἐφεξῆς πολέμου, τὴν κοινὴν πόλιν Ἰταλίαν ἐπονομάσαντες [23]. Καὶ διεπολέμησαν Ῥωμαίοις τὰ πλεῖστα κατὰ τὸ ἐπικρατέστερον, ἕως Γναῖος Πομπήϊος ὕπατος αἱρεθεὶς καὶ στρατηγὸς τοῦ πολέμου, καὶ Σύλλας [24] στρατηγὸς ὑπὸ τῷ ἑτέρῳ ὑπάτῳ Κάτωνι, ἐπιφανεστάταις [25] μάχαις τοὺς Ἰταλιώτας οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις νικήσαντες, [1188 R.] τὰ πράγματα αὐτῶν εἰς τὸ συντρίβεσθαι περιέστησαν. Ἐπολέμησαν δ' οὖν καὶ [26] ἔτι· ἀλλὰ Γαΐου Κοσκονίου [27] σταλέντος εἰς Ἰαπυγίαν στρατηγοῦ πολλάκις ἡττήθησαν. Εἶτα ἐλαττωθέντες καὶ [28] ἐκ πολλῶν ὀλίγοι καταλειφθέντες, κοινῇ γνώμῃ τὴν κοινὴν [29] ἐκλείπουσι πόλιν, τὸ Κορφίνιον, διὰ τὸ τοὺς Μάρσους καὶ πάντα τὰ γειτνιῶντα τῶν ἐθνῶν προσκεχωρηκέναι τοῖς Ῥωμαίοις. Εἰς δὲ τὴν ἐν Σαυνίταις Αἰσερνίαν καθιδρύθησαν [30], πέντε στρατηγοὺς αὐτοῖς ἐπιστήσαντες, ὧν ἐνὶ μάλιστα Κοΐντῳ Πομπαιδίῳ Σίλωνι τὴν πάντων ἡγεμονίαν ἐπίστευσαν διὰ τὴν περὶ αὐτὸν ἐν τῷ στρατηγεῖν ἀρετήν τε καὶ δόξαν. Οὗτος δὲ μετὰ τῆς κοινῆς τῶν στρατηγῶν γνώμης κατεσκεύασε μεγάλην δύναμιν, ὡς τοὺς σύμπαντας μετὰ τῶν προϋπαρχόντων περὶ τρισμυρίους γενέσθαι. Χωρὶς δὲ τούτων τοὺς δούλους ἐλευθερώσας καὶ (ὡς ὁ καιρὸς ἐδίδου) καθοπλίσας συνῆγεν οὐ πολὺ λείποντας τῶν δισμυρίων [22], ἱππεῖς δὲ χιλίους. Συμβαλὼν δὲ Ῥωμαίοις Μαμέρκου στρατηγοῦντος αὐτῶν, Ῥωμαίους μὲν ἀναιρεῖ ὀλίγους, τῶν δ' οἰκείων ὑπὲρ ἑξακισχιλίους ἀποβάλλει. Καὶ Μέτελλος κατὰ τὴν Ἀπουλίαν [640 H.] τὴν Οὐενουσίαν πόλιν ἀξιόλογον οὖσαν [33] καὶ στρατιώτας πολλοὺς ἔχουσαν [34] ἐξεπολιόρκησε κατὰ καιρὸν τὸν αὐτόν, καὶ πλείους τῶν τρισχιλίων αἰχμαλώτους εἷλεν [35]. Ἐπικρατούντων δ' ἐπὶ μᾶλλον καὶ μᾶλλον τῶν Ῥωμαίων πέμπουσιν οἱ Ἰταλοὶ πρὸς Μιθριδάτην τὸν βασιλέα Πόντου, ἀκμάζοντα τότε πολεμικῇ χειρὶ καὶ παρασκευῇ, ἀξιοῦντες ἐπὶ τὴν Ἰταλίαν κατὰ Ῥωμαίων ἄγειν τὰς δυνάμεις· οὕτω γὰρ ῥᾳδίως [36] ἂν συναφθέντων τὸ Ῥωμαϊκὸν καταβληθήσεσθαι κράτος. Ὁ δὲ Μιθριδάτης ἀπόκρισιν δίδωσιν ἄξειν [37] τὰς δυνάμεις εἰς τὴν Ἰταλίαν, ἐπειδὰν αὐτῷ καταστήσῃ τὴν Ἀσίαν· τοῦτο γὰρ καὶ ἔπραττε. Διὸ παντελῶς οἱ ἀποστάται τεταπεινωμένοι ἀπεγίνωσκον· λοιποὶ γὰρ ὑπῆρχον Σαυνιτῶν ὀλίγοι καὶ Σάβελλοι διατρίβοντες ἐν τῇ Νώλῃ καὶ πρός γε τούτοις οἱ περὶ Λαμπώνιον καὶ Κλεπίτιον, ἔχοντες λείψανα τῶν Λευκανῶν. Διὸ καὶ [38] τοῦ Μαρσικοῦ πο-

B

C

D

VARIÆ LECTIONES.

[23] ὀνομάσαντες ς. [24] Σύλας A. [25] ἐπιφ. ταῖς μάχαις ς. [26] καὶ] ουκ A. [27] κοσκινίου ς. [28] ἐλαττ. εἰ καί ς. [29] καινήν ς. [30] καθιδρύθησαν B : καθίδρυσαν ς. [31] ὑπαρχόντων ς. [32] μυρίων A. [33] οὖσαν om. A. [34] ἔχουσαν A : ἀνέχουσαν ς. [35] εἷλον ς. [36] ῥᾴδιον ς. [37] ἄξειν A : ἕξειν ς. [38] καὶ add. A.

λέμου σχεδὸν ἤδη διαλυομένου πάλιν αἱ προγεγενημέναι στάσεις ἐμφύλιοι κατὰ τὴν Ῥώμην κινήσεις ἐλάμβανον, ἀντιποιουμένων πολλῶν ἐνδόξων τὸ τυχεῖν τῆς κατὰ Μιθριδάτου στρατηγίας διὰ τὸ μέγεθος τῶν ἐπάθλων· Γάϊός τε γὰρ Ἰούλιος καὶ Γάϊος Μάριος ὁ ἑξάκις ὑπατεύσας ἀντεφιλοκείνουν, καὶ τὸ πλῆθος ἦν ἑκατέροις συμμεριζόμενον ταῖς γνώμαις. Συνέβησαν δὲ καὶ ἕτεραι ταραχαί. Ὁ μέντοι Σύλλας ὕπατος ὢν, χωρισθεὶς τῆς Ῥώμης, πρὸς τὰς περὶ Νῶλαν ἠθροισμένας παρεγένετο δυνάμεις, καὶ πολλοὺς τῶν πλησιοχώρων [39] καταπληξάμενος ἠνάγκασε παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰς πόλεις. Τοῦ δὲ Σύλλα στρατεύσαντος μὲν ἐπὶ τὴν Ἀσίαν κατὰ Μιθριδάτου, τῆς δὲ Ῥώμης μεγάλαις ταραχαῖς καὶ φόνοις ἐμφυλίοις περισπωμένης, Μάρκος Ἀπώνιος καὶ Τιβέριος Κλεπίτιος [40], ἔτι δὲ Πομπήϊος [41], οἱ τῶν ὑπολοίπων Ἰταλιωτῶν στρατηγοί, διατρίβοντες ἐν τῇ Βρεττίᾳ, Ἰσίας [42] μὲν πόλιν ὀχυρὰν ἐπὶ πολὺν χρόνον πολιορκήσαντες, οὐκ [43] ἴσχυσαν ἑλεῖν, μέρος δ' ἐπὶ τῆς πολιορκίας τοῦ στρατεύματος καταλιπόντες [44] τῇ λοιπῇ τὸ Ῥήγιον ἰσχυρῶς ἐπολιόρκουν, ἐπλίζοντες, εἰ ταύτης κρατήσαιεν, ῥᾳδίως εἰς τὴν Σικελίαν διαβιβάσειν τὰς δυνάμεις καὶ κρατήσειν τῆς εὐδαιμονεστάτης τῶν ὑπὸ τὸν ἥλιον νήσων. Ἀλλ' ὁ ταύτης στρατηγὸς Γάϊος Ὀρβανὸς, πολλῇ δυνάμει καὶ παρασκευῇ καὶ προθυμίᾳ χρησάμενος, [1189 R.] καὶ καταπληξάμενος τοὺς Ἰταλιώτας τῷ μεγέθει τῆς παρασκευῆς, ἐξήρπασε τοὺς Ῥηγίνους [45]. Εἶτα τῆς περὶ Σύλλαν καὶ Μάριον ἐμφυλίου στάσεως ἀναῤῥιπισθείσης Ῥωμαίοις οἱ μὲν Σύλλᾳ, οἱ δὲ Μαρίῳ συνεμάχησαν. Καὶ τὸ μὲν πλέον αὐτῶν ἔπεσε τοῖς πολέμοις, τὸ δ' ὑπόλοιπον ἐπικρατήσαντι Σύλλᾳ προσεχώρησε. Καὶ οὕτω τέλεον τῇ ἐμφυλίῳ συναπέσβη στάσει μέγιστος γεγονὼς καὶ ὁ Μαρσικὸς ἐπικληθεὶς πόλεμος.

Ὅτι μεγάλη στάσις ἐμφύλιος ἤδη διαλυομένου τοῦ Μαρσικοῦ γέγονε πολέμου, ἧς ἡγοῦντο Σύλλας καὶ Γάϊος Μάριος, νέος ὤν, ὁ Μαρίου τοῦ πολλάκις ὑπατευκότος (ἑπτάκις γὰρ ὑπάτευσε) παῖς. Ἐν δὲ τῇ στασει [641 H.] πολλαὶ μυριάδες ἀνθρώπων ἀνῃρέθησαν. Ἐκράτησε δ' ὁ Σύλλας, καὶ δικτάτωρ γεγονὼς, Ἐπαφρόδιτόν τε ὀνομάσας ἑαυτὸν, οὐκ ἐψεύσθη τῆς ἀλαζονείας· κρατῶν γὰρ τοῖς πολέμοις ἰδίῳ ἀπεβίω θανάτῳ. Ὁ δὲ Μάριος μάχῃ τῇ πρὸς Σύλλαν γενναίως ἀγωνισάμενος, ὅμως ἡττηθεὶς κατέφυγεν εἰς Πραίνεστον ἅμα μυρίοις πεντακισχιλίοις. Συγκλεισθεὶς δ' ἐν αὐτῇ καὶ χρόνον οὐκ ὀλίγον πολιορκηθεὶς ἠναγκάσθη, πάντων αὐτὸν ἐγκαταλιπόντων [46], καὶ μηδεμίαν σωτηρίας ὁδὸν καθορῶν, τὴν ἑνὸς οἰκέτου τῶν πιστῶν χεῖρα εἰς λύσιν τῶν δεινῶν παρακαλέσαι. Καὶ ὅ γε πεισθεὶς, καὶ μιᾷ πληγῇ τοῦ βίου τὸν δεσπότην ἀπαλλάξας, ἑαυτὸν ἐπικατέσφαξε. Καὶ παύεται μὲν αὕτη ἡ στάσις, λείψανα μέντοι τοῦ πολέμου ὑπολειφθέντα τῆς Μαρίου μοίρας ἐπὶ χρόνον Σύλλᾳ διεμαχέσαντο, ἕως καὶ αὐτὰ συνδιέφθορε τοῖς ἄλλοις. Μετὰ μέντοι τὴν τούτων ἀπαλλαγὴν Πομπηίῳ τῷ ἐπικληθέντι Μάγνῳ διὰ τὰς πράξεις ἃς κατώρθωσε Σύλλᾳ τε πράττων καὶ καθ' ἑαυτὸν Ῥωμαίοις, τούτῳ δὴ καὶ Ἰουλίῳ Καίσαρι ἔρις ἐκκαεῖσα εἰς ἐμφυλίους σφαγὰς τοὺς Ῥωμαίους πάλιν ἠνάγκασε συστραφῆναι. Πομ-

A ter se contendebant et plebis pars altera alteri suffragabatur. Exstiterunt et aliæ turbæ. Jam Sylla consul Roma profectus, ad congregatas apud Nolam copias venit, et multos finitimorum perterritos coegit, et seipsos et urbes dedere. Cum autem Sylla in Asiam adversus Mithriditatem profectus fuisset, et Roma magnis tumultibus et civilibus cædibus destinaretur, Marcus Aponius et Tiberius Cleptius, præterea Pompeius, reliquorum Italorum duces in Bretia [Brutia] degentes, Asiæ urbem validam cum diu obsedissent, non potuerunt capere, sed relicta in obsidione parte exercitus, reliqua parte Rhegium acriter obsidentes, sperantes, si hac potiti fuerint, facile in Siciliam transportaturos copias, et insula potituros omnium quæ sub sole essent beatissima.

B Verum ejus dux Caius Orbanus magno exercitu et apparatu et alacritate usus, percutit Italos apparatus magnitudine, atque Rhegienses ex periculo eripuit. Deinde cum exarsisset apud Romanos Syllæ et Marii civilis seditio, alii Syllæ, alii Marii partes secuti sunt, et eorum pars major bellis cecidit, reliqua ad victorem Syllam descivit : atque ita tandem una cum seditione civili exstinctum est bellum illud Marsicum appellatum, cum fuisset maximum.

C Exstitit autem, exolescentes jam bello Marsico, ingens seditio civilis, cujus duces erant Sylla et Caius Marius, juvenis adhuc Caii Marii filius, ejus qui toties (septies enim) consulatum gessit. In ea seditione interfecta sunt hominum multa millia, ac superior factus Sylla, et dictator creatus Felicem seipsum nominavit, quæ eum arrogantia non fefellit. Armis enim superior propria morte occubuit. Marius vero prœlio cum Sylla congressus, quamvis generose prœliatus, **393***a* tamen victus Præneste confugit, una cum mille quingentis militibus, et in ea urbe conclusus, nec parum diu obsessus, coactus est (ab omnibus derelictus, nec ullam salutis viam videns) unius fidelis famuli manum finiendis miseriis invocare. Et ille obsecutus,

D uno ictu herum vita privavit, et seipsum insuper jugulavit. Et sedata est quidem seditio, verum reliquæ belli reliquiæ factionis Marianæ Syllæ aliquandiu repugnarunt, donec ipsæ quoque cum aliis profligatæ sunt. Verumtamen post horum finem, inter Pompeium (cui propter rerum gestarum magnitudinem, quas Romanis partim Syllam juvando, partim ipse suo Marte gessit, Magno cognomen fuit), inter hunc, inquam, et Julium Cæsarem accensa discordia ad civiles cædes Romanos iterum

VARIÆ LECTIONES.

[39] πλησιοχώρων] πλησίον χώρων A. [40] Κλέπτιος B. [41] Πομπήϊος] Πόντιος Wesselingius. [42] Ἰσίας A, Ἀσίας ς. Τισίας Wesselingius. [43] οὐκ — [44] καταλιπόντες om. ς. [45] Ῥηγίους ς. [46] ἐγκαταλειπόντων A.

sese convertere coegit. Pompeio deinde egregie omni ex parte superato, et ad Alexandriam interfecto, imminuta est consulum potestas, et sub unius Julii Cæsaris dominatum redacta, tandemque seditio sedata. Illo deinde interfecto, adversus Brutum et Cassium ejus interfectores civile bellum motum est, auctoribus Lepido et Antonio et Octaviano Augusto, consulatum gerentibus. Quod bellum cum finem armis non tarde accepisset, et Cassius atque Brutus victi occisique fuissent, non multo post erupit in apertum occulta Antonii et Augusti de primatu contentio, ac post fusum utrinque multum cognati sanguinis, stabilitæ sunt vires Augusti, et ei summa potestas per omnem vitam permansit, postquam consulare imperium, ordinem, potentiamque suam in posterum amisit.

Illustrium ait dignitatem tertium a patriciis ordinem sustinere.

Ante Augusti monarchiam, hæc magistratuum nomina habebant Romani : Patricios, qui *consilium* et *senatus* vocabantur ; tribunos plebis, qui populo præsunt ; censores, consules, quorum potestas omnes excedebat ; dictatorem, qui et potestatem,**393***b* sed majorem, quæque rationem reddere non cogeretur, habebat (75) ; duces, tribunos, imperatores militares, proconsules, aliaque similia. Proconsulis [*forte* consulis] quidem insignia hæc sunt, secures duodecim, toga prætexta. Dictatoris quidem secures, et cætera.

CCXLV.

Et Plutarchi Parallelis excerpta.

Legimus e Plutarchi *Parallelis* diversos libros, quorum compendiosa descriptio hæc selecta magnam utilitatem discentibus continet.

E Dionis Vita.

Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, ignosci iis poterat, quod iræ impotentis essent. Eos autem qui posteriores tempore historias scripserunt, nihil ejus factis læsos, oratione autem etiam adjutos, commune hominum judicium dehortari debuit, ne contumeliose aut scurriliter calamitates eis exprobrarentur, quibus quominus injuria fortunæ etiam optimus quisque feriatur, nihil obstat. Neque vero sanus Ephorus, qui Philistum prædicans, quamvis fuerat callidissimus,

πηίου δὲ λαμπρῶς τοῖς ὅλοις ἡττηθέντος καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ἀναιρεθέντος. συστέλλεται μὲν ἡ τῶν ὑπάτων ἀρχὴ εἰς μοναρχίαν Καίσαρι τῷ Ἰουλίῳ, παύει [47] δὲ τέλεον καὶ ἡ στάσις. Ἐκείνου δὲ ἀνηρημένου, κατὰ Βρούτου καὶ Κασσίου τῶν ἀνελόντων πόλεμος ἐμφύλιος κινεῖται, χειριζομένων [48] Λεπίδου τε καὶ Ἀντωνίου [49] καὶ Ὀκταβιανοῦ τοῦ Αὐγούστου τὴν ὕπατον ἀρχὴν ἐχόντων. Οὐ βραδέως δὲ τοῦ πολέμου κρίσιν τοῖς ὅπλοις λαβόντος, καὶ νικηθέντων καὶ ἀναιρεθέντων τῶν περὶ Κάσσιον καὶ Βροῦτον, μετ' οὐ πολὺ ῥήγνυται εἰς τὸ φανερὸν ἡ ἐνδομυχοῦσα Αὐγούστου καὶ Ἀντωνίου ὑπὲρ τῆς φιλοπρωτίας ἅμιλλα. Καὶ πολλῶν συγγενῶν αἱμάτων ἑκατέρωθεν ῥυέντων τὸ κράτος Αὐγούστῳ βεβαιοῦται, καὶ τῶν ὅλων ἡ ἐξουσία αὐτῷ παραμένει διὰ βίου, τῆς τῶν ὑπάτων λοιπὸν ἀρχῆς τὴν ἰδίαν τάξιν καὶ δυναστείαν ἀποβεβληκυίας.

Ὅτι τὸ τῶν ἰλλουστρίων [50] ἀξίωμα τρίτην ἀπὸ τῶν πατρικίων τάξιν ἐπέχειν [51] οὗτός φησιν.

Ὅτι πρὸ τῆς τοῦ [52] Αὐγούστου μοναρχίας ταῦτα ἐγίνωσκον Ῥωμαῖοι ἀρχικοῦ κράτους ὀνόματα, πατρικίους, οἳ καὶ βουλὴ καὶ σύγκλητος ἐκαλοῦντο, δημάρχους τοὺς προεστῶτας τοῦ δήμου, ἀγορανόμους, ὑπάτους τοὺς ἔχοντας ὑπεύθυνον [53] τὸ κατὰ πάντων κράτος, δικτάτορα ἔχοντα καὶ αὐτὸν, ἀλλ' ἀνυπεύθυνον καὶ μεῖζον τὸ κατὰ πάντων κράτος, στρατηγοὺς, ὑπάρχους, αὐτοκράτορας στρατηγοὺς, ἀνθυπάτους, καὶ ἕτερα τοιαῦτα. [1192 R.] Σύμβολα μὲν οὖν τῆς τοῦ ἀνθυπάτου ἀρχῆς πελέκεις δώδεκα καὶ τήβεννα περιπόρφυρος, τοῦ δὲ δικτάτωρος πελέκεις μὲν [54]....

ΣΜΕ'.

Τῶν Πλουτάρχου Παραλλήλων διάφοροι λόγοι.

[642 H.] Ἀνεγνώσθησαν ἐκ τῶν Πλουτάρχου Παραλλήλων διάφοροι λόγοι, ὧν ἡ ἔκδοσις κατὰ σύνοψιν ἐκλέγεται διάφορον χρηστομαθίαν [55].

Ἐκ τοῦ Δίωνος [56].

Ἀλλὰ [57] Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν, ἐμπίπλαται τῶν [58] κατ' αὐτοῦ βλασφημιῶν. Ὃ τοὺς μὲν ἀδικηθέντας σύγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον [59] ὀργῆς χαλεποὺς γενέσθαι· τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα, καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἐπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων· ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβάλλειν καὶ

VARIÆ LECTIONES.

[47] παύει παύεται apographum Stephani. [48] χειριζομένων B, χείριζομένου A, χειμαζομένου ς. [49] Ἀντωνίνου A. [50] ὅτι τὸ τῶν ἰλλουστρίων] Illustrissimi dignitas vel illustrissimatus est posteriorum temporum, itaque ridiculum putare hoc a Diodoro unquam proditum fuisse ; itaque sine dubio hæc et quæ sequuntur sunt sequioris et posterioris scriptoris. SCALIGER. [51] ἐπέχει A. [52] τοῦ om. B. [53] ἀνυπεύθυνον A, οὐκ ἀνυπεύθυνον B. [54] post μὲν versus vacui in B 11 1/2, in C 6 1/2. [55] διαφόρω χρηστομαθία A. [56] Δίωνος rc. A (pr. enim titulum om.) : βίου Δίωνος ς. [57] ἀλλά] cap. 36. [58] ἐμπίμπλαται τῶν A : ἐμπίμπλαται ς. ὅ A : ᾧ ς. [59] ἀναισθήτου ς.

NOTÆ.

(73) Hæc quoniam posterioris sunt ætatis, *Illustres* dicti Diodori esse non videntur.

λόγους ἔχοντας κόσμον [60] ἐξευρεῖν, αὐτὸς ἑαυτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλοῦτον [61] καὶ γάμους τοὺς τῶν τυράννων. Ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν μήτε τὰς τύχας ὀνειδίζων ἐμμελέστατος.

A malos mores et injusta facta honestis in speciem præscriptionibus tegere, atque excusare crederetur, id tamen omni conatu atque opera crimen diluere non potuit, hominem fuisse eum tyrannorum studiosissimum, et qui maxime omnium luxum, potentiam, divitias nuptiasque tyrannorum suspiceret atque admiraretur. Tutissimum est neque laudare Philisti facta, neque fortunas exprobrare.

Ἐκ τοῦ Βρούτου.

Ἐκ μὲν [62] οὖν ταῖς πρώταις ἐπιστολαῖς τοιοῦτος ὁ Βροῦτος· ἤδη δὲ τῶν μὲν ὡς Καίσαρα τῶν δὲ ὡς Ἀντώνιον διισταμένων, ὠνίων [63] δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλεῖον διδόντι, παντάπασιν ἀπογνοὺς τῶν πραγμάτων ἔγνω καταλιπεῖν Ἰταλίαν, καὶ πεζῇ διὰ Λευκανίας εἰς Ἐλαίαν ἐπὶ θάλασσαν ἦκεν [64]. Ὅθεν ἡ Πορκία [65] μέλλουσα πάλιν εἰς Ῥώμην ἀποτρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο περιπαθῶς ἔχουσα, γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἄλλα γενναίαν οὖσαν. Ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διάθεσις Ἕκτωρ [66] ὑπὸ Ἀνδρομάχης προπεμπόμενος, κομιζομένης [67] παρ' αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλεπούσης. Τχῦτα θεωμένην τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα, καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας ἔκλαιεν.

B

394a *Ex Bruto.*

Hujusmodi in primis epistolis fuit Brutus. Jam vero aliis ad Cæsarem, aliis ad Antonium discedentibus, et exercitibus velut sub præcone prostantibus, atque ei qui plus dedisset se adjungentibus, desperatis plane rebus Italia excedere statuit, pedestrique itinere per Lucaniam ad mare Eleam venit. Inde Romam Porcia (74) reversura, cum conaretur occultare dolorem quem animo ob digressum mariti summum capiebat, victa est contemplatione picturæ cujusdam, generosa alias fortisque mulier. Erat autem picturæ Græcum argumentum, Andromacha Hectorem comitans, puerum ab eo redditum accipiens, inque maritum respiciens. Hanc picturam intuenti Porciæ, affectuum suorum objecta effigies lacrymas excussit, interdiuque sæpe eo accedens ploravit.

Ἐκ τοῦ Αἰμιλίου [68].

Ἐν ᾧ [69] παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων ἐπρώτευεν [70] ἡ φιλαργυρία. (Περὶ δὲ [71] τοῦ Περσέως τῶν Μακεδόνων βασιλέως [72] ὁ Πλούταρχος λέγει.)

C

Ex Paulo Æmilio.

In quo passionum variarum morborumque internorum principatum duxit avaritia. De Perseo Macedonum rege ait Plutarchus.

Ἐκ τοῦ Δημοσθένους.

Ὅτι [73] τῶν πρέσβεων ἐξ Ἀθηνῶν πρὸς Φίλιππον παραγεγονότων ἤκουσε μὲν [74] ἁπάντων ὁ Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν Δημοσθένους λόγον. Οὐ μὴν ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ καὶ προσήγετο τοὺς περὶ [643 H.] Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. [1193 R.], Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον ὡς λέγειν δυνατώτατον καὶ κάλλιστον ὀφθῆναι καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως [75] δὲ οὐδὲν ἐγκώμιον.

Ex Demosthenis Vita.

Omnibus auditis legatis Atheniensium qui ad se venerant, Philippus accuratissime Demostheni respondit. Honore autem et humanitate eum, qua cæteros, non eadem est prosecutus, Æschinem et Philocratem magis amplexus. Quamobrem iis Philippum laudantibus, quod et facundissimus esset et formosissimus, et optimus potator, invidiæ succumbens ad irridendas eas laudes se contulit, nullam regiam laudem hic esse dicens, sed primum rhetori, alterum mulieri, tertium spongiæ convenire.

Ὅτι [76] τῆς θυγατρὸς τοῦ [77] Δημοσθένους ἀποθανούσης, γνοὺς αὐτὸς κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν, προῆλθε [78] φαιδρὸς εἰς τὴν βουλὴν, ἐπιθαῤῥύνων τοὺς Ἀθηναίους πρὸς τὰ μέλλοντα, καὶ ὄναρ ἑωρακέναι ἔλεγεν ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις [79] ἀγαθόν. Καὶ μετ' οὐ πολὺ παρῆσαν [80] οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες, καὶ παρῆθεν [81] ὁ Δημοσθένης ἐστεφανωμένος, ἔχων καὶ λαμπρὸν

D

Mortua filia Demosthenes, cum de obitu occulte Philippi cognovisset, ut animos Atheniensium bona futurorum spe injecta præoccuparet, læto vultu in senatum prodiit, somnium se vidisse ferens, quod magnam aliquam populo felicitatem protenderet. Paulo post adfuere, qui Philippum vita excessisse enuntiarent. Progressus est etiam in publicum Demosthenes splendide vestitus ac coronatus, septimo

VARIÆ LECTIONES.

[60] κόσμου ς. [61] πλούτους ς. [62] ἐν μέν] c. 23. [63] ἑνίων ς. [64] ἦκεν A : ἐπανῆκεν ς. [65] Πορκία A : πολιορκία ς. [66] Ἕκτωρ] ἐκ τῶν B. [67] κομιζομένη B. [68] Αἰμιλίου] Βρούτου A : B enim titulum om. [69] ἐν ᾧ] c. 8. [70] ἐπρώτευσεν ς. [71] δὲ om. A. [72] βασιλέως add. B. [73] ὅτι] c. 16. [74] μὲν add. A. [75] βασιλέως δέ A : δὲ βασιλέως ς. [76] ὅτι] c. 22. [77] τοῦ om. B. [78] προσῆλθε pr. A. [79] Ἀθηναίους D. [80] παρῆσαν post ἀπαγγέλλοντες ponit A. [81] προσῆλθεν ς.

NOTÆ.

(74) Sic emendandum. Male enim hic πολιορκίαν legitur, pro Πορκίαν. *Porcia*, Bruti uxor.

a morte filiæ suæ die, quod Æschines exprobrandi causa refert, inhumanitatem ei erga liberos objiciens : mollis ipse et degeneris animi, si luctum et ejulatum mansueti animi et suorum amantis signa censuit, sine doloris autem sensu et molliter casus hujusmodi ferre, in vitio posuit. Equidem Atheniensibus decorum fuisse, ob mortem regis, qui tam clementem victis se eis præbuerat coronas ferre, atque etiam sacrificare, nequaquam affirmo : nam præterquam quod invidiosum hoc est, indignum etiam ingenuis hominibus erat, quem viventem honoribus affecissent, ac civitate donassent, **394***b* ob ejus mortem exsultare gaudio, defunctoque insultare. Quod autem domesticam calamitatem deflendam mulieribus reliquit Demosthenes, ipse ea, quæ e republica esse crederet agenda suscipiens, id laudo, profectumque a forti animo civilique judico, cujus officium est semper reipublicæ intentum esse, eique res casusque domesticos postponere, semperque dignitatem suam tueri, multo magis quam in scenis histriones faciunt regis aut tyranni personam agentes : quos ipsos videmus non ut ipsis libitum est vel ridere vel plorare, sed ut ratio propositi ap agendum argumenti requirit. Jam si contra officium est, ictum aliquem infortunio negligere, patique ut is omnis expers consolationis mœrore se suo conficiat, sed et levandus verbis ejus dolor est, et abducendus ad rerum lætiorum cogitationem animus, quomodo ex oculis laborantes a contuitu rerum splendidarum suoque fulgore eos ferientium, deflectere aspectum in virides et molles colores jubemus, quod tandem patriæ lugenti melius consolandi genus adhibeat aliquis, quam si domesticas calamitates cum publicis temperarit, melioribus deteriora obscuret?

Victus munere, inquit, Harpali Demosthenes, perculsusque perinde ac si præsidium sibi esset impositum, ejus partibus se adjunxit. Et convocata multitudine, quæ de Harpali rebus animadversura, contradixerat enim iis qui servare cuperent et eum suscipere, antequam auro manum implesset: recte et bene collo lana et fasciis accurate involuto in concionem prodiit, jussusque ad dicendum surgere, vocem sibi intercidisse innuit. Urbaniores autem homines cavillabantur, non angina, sed argentangina nocte correptum oratorem dicentes.

Postquam in exsilium propter accepta ab Harpalo (75) munera pulsus esset Demosthenes, adolescentes qui ad se conveniebant, et consuetudine ipsius utebantur, a republica dehortabatur dicens,

ἱμάτιον, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ λοιδορῶν αὐτὸν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὸ ταπεινὸν καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ποιεῖται σημεῖα, τὸ δὲ ἀλύπως καὶ πράως ταῦτα φέρειν ἀπεδοκίμαζεν. Ἐγὼ δὲ ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως [82] οὕτω καὶ φιλανθρώπως, ἐν οἷς ηὐτύχησε [83], χρησαμένου πταίσασιν [84] αὐτοῖς στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δὲ ὑφ' ἑτέρου μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ. Ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν [85] ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτα ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἐντεταμένον καὶ τὰ οἰκεῖα πράγματα καὶ πάθη τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν [86] προσώπων, οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. Χωρὶς δὲ τούτων ἔδει τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάσχειν κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι καὶ πρὸς ἡδίω πράγματα τρέπειν [87] τὴν διάνοιαν, ὥσπερ τοὺς ὀφθαλμιῶντας [88] ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ μαλακὰ καὶ χλωρὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες. Πόθεν ἄν [89] τις ἐπάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος, [καὶ] τοῖς βελτίοσιν ἐναφανίζουσαν [90] τὰ χείρω ;

Ὅτι [91] Δημοσθένης, φησὶ, πληγεὶς ὑπὸ τῆς δωροδοκίας Ἁρπάλου [92], ὥσπερ [93] δεδεγμένος [94] φρουράν, προσεκεχωρήκει [95] αὐτῷ. Καὶ ἀθροισθείσης ἐκκλησίας ἧ ἔμελλε τὰ περὶ Ἅρπαλον ἐπισκέψασθαι (ἀντέλεγε [96] [644 H.] γὰρ τοῖς βουλομένοις σώζειν αὐτὸν καὶ δέχεσθαι πρὸ τοῦ τὴν χεῖρα τῷ χρυσίῳ ὑποσχεῖν), εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου κατελιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε, καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. Οἱ δὲ εὐφυεῖς χλευάζοντες οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν.

[1196 H.] Ὅτι [97] μετὰ τὸ φυγαδευθῆναι διὰ [98] τὰ Ἁρπάλεια χρήματα Δημοσθένης [99] τοὺς προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων ὡς εἰ δυεῖν [1] αὐτῷ προκειμένων

VARIÆ LECTIONES.

[82] ἡμέρου A. [83] εὐτύχησε B. [84] πταίσμασιν ς. [85] ἀπολιπών A : ἀποβαλών ς. [86] τυραννικῶν καὶ βασιλικων B. [87] ἡδίω πράγματα τρέπειν] ἴδιον πρᾶγμα μετατρέπειν A, ἴδιον pr., reliqua corr. [88] ὀφθαλμιοῦντας ς. [89] ἄν] οὖν ἄν B. [90] ἐναφανίζουσαν A : ἐμφανιζούσας ς. [91] ὅτι] c. 25. [92] Ἁρπάλου] Ἅρπαλος A, ὁ γὰρ Ἅρπαλος B. [93] ὥσπερ om. B. [94] δεδεγμένος A : δεδεμένος ς. [95] προσκεχωνήκει B. [96] ἀντέλεγε B : ἀντέλεγον ς. [97] ὅτι] c. 26. [98] διὰ add. A : Δημοσθένην διὰ B. [99] Δημοσθένην A, om. B. [1] δυοῖν ς.

NOTÆ.

(75) Vide an hæc non confundat Plutarch. Aliter enim Agellius lib. II, cap. 9, de Malesiorum legatis, non de Harpalo.

ἀπ' ἀρχῆς ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δὲ ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανεν εἰδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους καὶ φθόνους καὶ διαβολὰς καὶ ἀγωνίας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

A se, si ab initio duæ propositæ fuissent viæ, altera ad suggestum et concionem, altera ad certum exitium ducens, ac si præscivisset mala quæ in republica versantibus incumbunt, terrores, invidias, calumnias, contentiones, utique eam ingressurum fuisse qua recta ad interitum isset.

Ἐκ τοῦ Κικέρωνος.

Ὅτι [2] οὐ μικρὰ, φησὶν, ἐκ τοῦ ὑποκρίνεσθαι [3] ῥοπὴ προσῆν εἰς τὸ πείθειν τῷ Κικέρωνι· καὶ τοὺς τῷ μεγάλα βοᾷν χρωμένους ῥήτορας ἐπισκώπτων ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν [4] ὥσπερ τοὺς χωλοὺς ἐφ' ἵππον [5] πηδᾷν. Ὅτι [6] τὸ μὲν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι· τὸ δὲ οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου πολὺ συνήγαγε μῖσος τῷ Κικέρωνι, καὶ ἐκ τούτου πολλοῖς γέγονεν ἐπαχθὴς, καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ὅτι [7] τὸ λεπτότατον τοῦ χαλκοῦ νόμισμα κουαδράντην Ῥωμαῖοι καλοῦσιν. Ὅτι [8] λέγεται, φησὶ, τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ καὶ προέσθαι τὸν φίλον. Τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν· ἔδει Κικέρωνος μὲν ἐκστῆναι Καίσαρα, Παύλου δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. Οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν [9] ἀνθρωπίνων λογισμῶν, μᾶλλον δὲ ἀπέδειξαν ὡς οὐδὲν θηρίον ἀνθρώπου ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος [10].

E Cicerone.

Sane actio, inquit, Ciceroni haud leve momentum ad persuadendum contulit: idemque magna vociferatione utentes oratores irridens, ob imbecillitatem ad clamorem, veluti claudos ad equos confugere dicebat. Conviciis acerbioribus inimicos vel adversarios dicteriis insectari videtur oratorium, proximum vero risus captandi causa offendens multorum in se odia concitavit. Et ex hac dicacitate multos paravit inimicos, Clodiusque cum aliis hanc occasionem nactus conspiravit. Omnium minimum apud Romanos numisma æreum est quadrans. Fertur, inquit, Cæsar cum primis diebus pro Ciceronis salute certasset, tertia die concessisse, ut amicus proscriberetur. Fuit autem permutatio ita instituta, ut Cæsar Ciceronem, Lepidus Paulum fratrem, Lucium Cæsarem avunculum Antonius proscribi permitterent. Adeo ira eis et rabies omnes humanas cogitationes excusserant: imo autem illi demonstrarunt, nullam esse belluam homine, potestate ad exsequendum, quod perturbato animo decrevit, armato, ferociorem.

Ἐκ τοῦ Φωκίωνος.

Ὅτι [11], φησὶν, ὁ Φωκίων τραχὺς ἦν καὶ κατηφής· διὸ καὶ Ἀριστογείτονος τοῦ συκοφάντου πολεμικοῦ ὄντος ἐν ταῖς ἐκκλησίαις καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τῷ σκέλη [12] καταδεδεμένῳ, πόρρῳθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων ἀνέκραγε· Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. Ὥστε θαυμάζειν ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. Ἔστι δὲ, οἶμαι, χαλεπὸν, οὐ μὴν ἀδύνατον, [645 H.] ὥσπερ οἶνον, καὶ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι, καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. Καί τοί φασιν Ὑπερίδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον· Ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον εἰ πικρός εἰμι, ἀλλ' εἰ προῖκά εἰμι πικρός. Φωκίων τοίνυν ἔχθρᾳ μὲν τῶν πολιτῶν κακῶς οὐδένα ἐποίησεν, οὐδὲ ἐνόμιζεν ἐχθρόν· ἄλλ' ὅσον ἔδει μόνῳ τῷ ἐνισταμένῳ οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι, τραχύς τε [13] ὢν καὶ δυσέκβιαστος καὶ ἀπαραίτητος, εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν καὶ κινδυνεύουσι συνεξετάζεσται [14] τοῖς διαφόροις.

Ex Phocione.

Fuit Phocion severus et tetricus. Cum exercitus conscribendi causa pro tribunali sedens Aristogitonem sycophantam, qui in concionibus ad bellum excitare populum solitus fuerat, procul cum baculo et crure obligato adire videret, exclamavit: *Scribe Aristogitonem etiam claudum et nequam.* Ac mirari quidem possit non nemo, quomodo ita severus et durus nomen Boni invenerit. Sed arbitror ut difficile esse, ita tamen fieri posse, uti idem homo, sicut et vinum, dulcis simul et austerus sit: quemadmodum contra nonnulli cum suaves videantur, acerbissimi sunt utentibus et plurimum nocent. Ferunt sane Hyperidem etiam aliquando ad populum ita locutum: *Cogitate, Athenienses, non modo an sim acerbus, sed etiam annon offensus talis sim.* Equidem Phocion inimicitiæ causæ nemini civium malefecit, ac ne inimicum quidem ullum putavit: quantum res ipsa postulabat, ut adversariis suorum, quæ ob utilitatem patriæ iniisset, consiliorum resisteret, asperum se pervicacemque præbuit. **395***b* Privatim communem omnibusque benignum et mitem sese exhibuit, ita ut inimicis quoque infortunium passis auxilium tulerit, et in judicio periclitantium salutem defenderit.

Ὅτι [15] Ἀντίπατρον τὸν Μακεδονίας στρατηγὸν λέγεται εἰπεῖν ὡς δυοῖν αὐτῷ φίλων Ἀθήνησιν ὄν-

Ipsum Antipatrum Macedonum ducem dixisse perhibent, se de duobus amicis, quos Athenis ha-

VARIÆ LECTIONES.

[2] ὅτι] c. 5. [3] ἀποκρίνεσθαι ς. [4] ἐπὶ τὴν κραυγὴν δι' ἀσθένειαν ς. [5] ἵππον B : ἵππων ς. [6] ὅτι] c. 27. [7] ὅτι] c. 29. [8] ὅτι] c. 46. [9] τῶν add. A. [10] προσλαβόντες ς. [11] ὅτι] c. 10. [12] σκέλει A. [13] τε om. A. [14] συνετάζεσθαι A. [15] ὅτι] c. 30.

beret, Phocione et Demade, alteri ut acciperet persuadere, alterum dando saturare nequivisse.

E Catone.

Cum se ad discendum Cato contulisset, tardus fuit ad percipiendum ; quæ autem percepisset, ea firmiter memoria retinebat. Quomodo videmus qui bono sunt ingenio præditi, cito eos memoriæ mandare : qui autem nonnisi cum magno labore discunt, eos memoriter quæ apprehenderunt tenere, eo quod singula quæ didicerunt, quasi inuruntur eorum animis.

Ex Alexandro.

Album ait Alexandrum fuisse, ruboremque in pectore præsertim et facie albedini admistum habuisse. Suavissimum odorem ab ore et universa ejus carne exhalasse, ita ut et tunicæ fragrantia repletæ inde sint, ut multi tradiderunt. Causa fortasse fuit calidum et igneum corporis temperamentum. Bonus enim odor, Theophrasto si credimus, exsistit cum humores a calore coquuntur : itaque siccæ et toridæ orbis terrarum partes plurima et optima gignunt aromata, quod sol humorem, qui in summis corporibus veluti materia putredinis innatat, attollit. Et consentaneum est Alexandrum ob calorem corporis bibacem iracundumque fuisse.

Cum Bucephalum tredecim talentis venalem, adductum a Philonico Tessalo Philippus dimitteret, quod neque sessorem admitteret, neque vocem ullius eorum qui cum Philippo erant auscultaret, id ægre ferens Alexander, petiit a patre ut equum acciperet, et accipiens ab omnibus pro effero et indomito judicatum, freno correptum adversus solem obvertit, nimirum animadvertens equum umbræ, quæ agitata et tremens ei appropinquaret alias, conspectu perturbari ; deinde cum paululum palpasset, manuque leviter ducta demulsisset, ut ira repletum vidit, sensim abjecta chlamyde sese in eum extulit, **396***a* tutoque consedit, et violenter equum impulit, et aliqui ex iis qui aderant, anxie taciteque spectabant, ne quod incommodum adolescenti accideret, aliqui manibus plaudentes jucunde, omnes vero similiter stupescebant, postquam exsultans gaudio salvus retro acto equo rediit, omnium acclamatione sublata : Philippus præ lætitia etiam illacrymasse commemoratur, caputque filii, cum ab equo descendisset, osculatus dixisse : *O nate, regnum tibi par quære, Macedonia enim te non capit.* Alexander, inquit, seipsum vincere quam hostes magis regium existimans esse, nec ullam filiarum Darii alioqui pulcherrimarum, neque ullam aliam ante nuptias attigit mulierem, Barsina excepta, quæ vidua fuit. Cum autem ovis agnum peperisset, qui in capite figuram et colorem tiaræ, et ex utraque ejus parte

A των, Φωκίωνος, καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικε, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκεν.

[1197 R.] Ἐκ τοῦ Κάτωνος.

Ὡς [16] οὖν εἰς τὸ μανθάνειν ἦκεν ὁ Κάτων, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδὺς, ἀναλαβὼν δὲ κάτοχος καὶ μνημονικός. Ὃ δὴ καὶ πέφυκεν ἄλλως τοὺς μὲν εὐφυεστάτους ἀναμνηστικοὺς μᾶλλον εἶναι, μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους · γίνεται γὰρ οἷον ἔκκαυμα τῆς [17] ψυχῆς τῶν παθημάτων ἕκαστον.

Ἐκ τοῦ Ἀλεξάνδρου.

Ὅτι [18], φησὶ, λευκὸς ἦν ὁ Ἀλέξανδρος, ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ μάλιστα περὶ [19] τὸ στῆθος καὶ τὸ πρόσωπον. Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι [20] τοὺς χιτωνίσκους, πολλοὶ γεγράφασιν. Αἰτία δὲ ἴσως ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης · ἡ γὰρ εὐωδία γίνεται πέψει [21] τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. Ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν · ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώπασιν. Ἀλέξανδρον δὲ, ὡς ἔοικεν, ἡ θερμότης [22] καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν.

Ὅτι [23] τὸν Βουκέφαλον προσαχθέντα ὠνιον ταλάντων δέκα καὶ τριῶν παρὰ Φιλονίκου τοῦ Θετταλοῦ [24] ὁ μὲν Φίλιππος ἀπεπέμπετο ὡς [25] τὸν ἀναβάτην οὐ δεχόμενον οὐδὲ φωνήν τινος τῶν περὶ τὸν Φίλιππον ὑπομένοντα · ὁ δὲ Ἀλέξανδρος μεμψάμενος τὴν ἀποπομπὴν τοῦ ἵππου ἠτήσατο παρὰ τοῦ πατρὸς λαβεῖν αὐτὸν, καὶ λαβὼν τὸν δοκοῦντα ἵππον ἄγριον εἶναι πρὸς πάντας, οἳ προσήεσαν αὐτῷ, καὶ ἀκόλαστον, προσδραμὼν τῷ ἵππῳ καὶ παραλαβὼν τὴν ἡνίαν ὁ Ἀλέξανδρος ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ [26] αὐτοῦ [646 H.] διαταράττοιτο. Μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας ὡς ἐώρα θυμοῦ πληρούμενον ὁμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα καὶ μετεωρίσας ἑαυτὸν ἀσφαλῶς περιέβη, καὶ ἤλαυνεν ἀνὰ κράτος τὸν ἵππον. Καὶ τοῖς μὲν δέος καὶ ἀγὼν ἐνέπιπτε, μή τι τὸ μειράκιον πάθῃ, τοῖς δὲ κρότος ἦν χειρῶν καὶ τερπνὸν θέαμα · πάντας δ' ὁμοίως εἶχεν ἔκπληξις. Ὡς δὲ κάμψας ὑπέστρεψεν ὀρθῶς σοβαρὸς [27-29] καὶ γεγηθὼς, ἅπαντες μὲν χαίροντες ἀνηλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαι λέγεται πρὸς τὴν χαρὰν, καταβάντος δὲ αὐτοῦ τὴν κεφαλὴν φιλήσας, Ὦ παῖ, φάναι, ζήτει σεαυτῷ βασιλείαν ἴσην · Μακεδονία γάρ σε οὐ χωρεῖ. Ὅτι [30] Ἀλέξανδρος, φησὶ, τοῦ νικᾷν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τινὸς τῶν Δαρείου θυγατέρων, κάλλει διαπρεπεστάτων οὐσῶν, οὐδεμιᾶς ἔθιγεν, οὔτε ἄλλην

VARIÆ LECTIONES.

[16] ὡς] Cat. Min. c. 1. [17] τῆς om. A. [18] ὅτι] c. 4. [19] περὶ A : περ ς. [20] καὶ τὴν — ὥστε πληροῦσθαι] ὡς καὶ τὴν — πληροῦσθαι καί A. [21] πέψει] καὶ πέψει A. [22] post θερμότης cum A omisi τοῦ σώματος. [23] ὅτι] c. 6. [24] Φιλονείκου τοῦ Θεσσαλοῦ ς. [25] ὡς mg., πρός ς : B om. [26] πρὸ] πρός A. [27-29] σοβαρὸς B et corr. A, σοβαρῶς ς. [30] ὅτι] c. 21.

ἔγνω γυναῖκα πρὸ γάμου πλὴν Βαρσίνης, ἀνδρὸς οὔσης κεχηρωμένης [31]. Ὅτι [32] προβάτου, φησὶ, τεκόντος ἄρνα περὶ τὴν κεφαλὴν σχῆμα καὶ χρῶμα ἔχοντα τιάρας καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ὁ Ἀλέξανδρος, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα, διειλέχθη δὲ πρὸς τοὺς φίλους ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον ἐκλιπόντος αὐτοῦ περιστήσῃ [33] τὸ δαιμόνιον. Οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν [34]. [1200 R.] Ὁ γὰρ [35] ἐπὶ τῶν σωμάτων τεταγμένος ὄνομα Πρόξενος, χώραν ὀρύττων τῇ βασιλικῇ σκηνῇ [36] παρὰ τὸν Ὄξον ποταμὸν, ἀπεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους. Ἀπαντλουμένου [37] δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου [38] διαφέρειν, στιλβότητι [39] δὲ καὶ λιπαρότητι παντάπασιν ἀπαράλλακτον, καὶ ταῦτα τῆς χώρας μηδὲ ἐλαίας φερούσης. Λέγεται μὲν οὖν καὶ τὸν Ὄξον αὐτὸν μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοὺς λουομένους ἐπιλιπαίνειν. Οὐ μὴν ἀλλὰ καὶ θαυμαστῶς [40] Ἀλέξανδρος τῷ σημείῳ ἥσθη. Ὅτι [41] Ἀριδαῖος μὲν γέγονε τῷ Φιλίππῳ ἐξ ἀδόξου γυναικὸς καὶ κοινῆς, Φιλίννης, ἀτελὴς δὲ τῷ σωφρονεῖν [42] διὰ σώματος ἐγεγόνει νόσον, οὐ μὴν φύσει, ἀλλὰ καὶ πάνυ φασὶν αὐτοῦ παιδὸς ὄντος διαφαίνεσθαι χαρίεν ἦθος καὶ οὐκ ἀγεννὲς, εἶτα μέντοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

testiculos haberet, abominatus id prodigium, a Babyloniis, quos ejus rei causa ex more quodam secum ducebat, expiatus, ad amicos etiam dixit, se non sui, verum ipsorum causa perturbatum esse, ne ipso defuncto summam rerum ad ignobilem et imbellem aliquem hominem fatum devolveret. Sed hunc ejus mœrorem aliud lætius ostentum sustulit. Etenim Proxenus stratoribus regiis præfectus, cum tentorio regis locum foderet juxta Oxum fluvium, fontem liquoris pinguis aperuit, cujus cum summum esset haustum, purum deinde et perlucidum oleum scaturiit, neque odore quidquam, neque gustu ab oleo, neque nitore etiam et pinguedine differens, et vero nullæ sunt in ista regione oleæ. Oxum autem mollissimam habet aquam, adeo ut lavantibus cutim pinguedine quadam inungat. Mirifice eo prodigio Alexander delectatus est. Fuit et Philippo filius Aridæus, ex ignobili scorto Philina prognatus, mentis non plane compos, quod corporis morbo ei eveniebat. Verum is morbus non naturæ vitio, quinimo in puero eo satis bona atque ingenua indoles apparuisse dicitur, sed postmodum venenis ab Olympiade corruptus, sanæ mentis jacturam fecisse.

Ἐκ τοῦ Καίσαρος.

Ὅτι [43] Καῖσαρ λέγεται, τῇ προτέρᾳ νυκτὶ τῆς ἐπ' Ἀρίμινον [44] διαβάσεως (πόλις δέ ἐστιν αὕτη τῆς Κελτικῆς [45] μεγάλη, ἣν καὶ ἀθρόον ἀπελθὼν ἔσχεν), ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν.

Ex Cæsaris Vita.

Ferunt proxima, quam **396***b* Ariminum pervenisset (urbs ea est magna in Celtica, quam subito impetu invadens occupavit) nocte obscenum Cæsari insomnium visum, nempe se cum matre sua corpus miscere.

[647 H.] Ἐκ τοῦ Εὐμένους.

Τὸ μὲν [46] εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. Ὁ δέ γε ἀληθῶς μεγαλόφρων καὶ βέβαιος ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων γίνεται κατάδηλος, ὥσπερ ὁ Εὐμένης κακοπραγήσας. Μᾶλλον γὰρ αὐτοῦ τῆς ψυχῆς τὸ γενναῖον [47] διεφάνη καὶ ἐξέλαμψε καὶ τὸ ἀπτόητον τοῦ φρονήματος καὶ ταῖς συμφοραῖς ἀταπείνωτον. Ὅτι [48] αἰσθόμενος, φησὶ, τοὺς ὑπ' αὐτὸν ἀλλήλων μὲν [49] καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους, καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρὸς, ἐσκήψατο χρημάτων δεῖσθαι, καὶ συνεδανείσατο τάλαντα πολλὰ [50] παρὰ τῶν μάλιστα μισούντων, ἵνα καὶ πιστεύωσι [51] καὶ ἀπέχωνται περὶ τὸ δάνειον ἀγωνιῶντες. Ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων μόνον ἐκ [52] τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν. Ὅτι φιλοπόλεμος μὲν ἐστι, φησὶν,

Ex Eumenis Vita.

Enimvero secundæ res etiam ingenio modico et submisso præditos attollunt, ut magni sibi videantur, cristasque erigant, cum excelso loco collocatos se vident. Vera animi magnitudo et constantia rebus adversis ferendis emendandisque casibus elucescit: cujus rei exemplum Eumenes præbuit. Magis enim illius nobilitas animæ apparuit et patuit, et alacritas ingenii omnibus calamitatibus longe superioris. Eapropter sentiens eos sese mutuo contemnere, ipsum metuere, et in hoc esse, ut capta occasione occidant, pecunia sibi opus esse simulavit, eoque sub prætextu, ab iis quibus maxime odio erat, multa talenta mutuo accepit, ut ii fidem ipsi haberent, et metu admittendi crediti ab insidiis desisterent. Ita evenit, ut alienam ille pecuniam corporis sui custodem habuerit, et aliis salutem suam data pecunia redimentibus, solus ipse accipiendo tutum se præstitit. Philopolemus [id est, *militiæ amans*] est, qui utilitatem securitati præfert;

VARIÆ LECTIONES.

[31] κεχειρωμένης B. [32] ὅτι] c. 57. [33] περιστήσει ς. [34] ἔλυσεν A : διέλυσεν ς. [35] ὁ γάρ A : ὅπερ ς. [36] σκηνῇ add. A. [37] ἀπαντλουμένου B : ἀπαντλωμένου ς. [38] ἐλαίου γεύσει ς. [39] στιλβότητα — λιπαρότητα A. [40] θαυμαστόν A. [41] ὅτι] c. 77. [42] τῷ σωφρονεῖν] τὸ φρονεῖν B. [43] ὅτι] c. 32. [44] Ἀριμίνου ς. [45] τῆς Κελτικῆς om. B. [46] τὸ μέν] c. 9. [47] τὸ γενναῖον τῆς ψυχῆς ς. [48] ὅτι] c. 13. [49] μέν add. A. [50] τάλαντα τὰ πολλά ς. [51] πιστεύσωσι ς. [52] μόνον εὐμενῆ ἐκ B. [53] ὅτι] comparat. c. 2.

polemicus [id est *militaris*] bello possidens securitatem.

E Sertorii Vita.

Agenti Sertorio in Hispania nautæ quidam ei occurrunt, qui nuper ex Atlanticis insulis redierant. Duæ sunt insulæ stricto admodum freto distinctæ, decem stadiorum millibus ab Africa remotæ: eædemque insulæ Beatorum Fortunatæ, dicuntur. Imbribus modicis idque raro rigantur, plerumque lenibus ac roscidis ventis perflatæ, non arationibus modo et plantationi fertilem terram præbent, sed et ultro fruges effundunt, quæ sua et copia et dulcedine sufficiant ad alendum otiosum, et nullis negotiis deditum populum. Aer innoxius est, annique tempestates mediocri mutatione iis in insulis variantur. Etenim qui versus eas partes a terra feruntur boreæ et subsolani, cum in vastum ob longitudinem distantiæ incidunt locum, dissipantur, et antequam eo perferantur, concidunt; Cauri autem et Zephyri qui ab alto circumflant **397***a*, pluvias a mari modicas rarasque infundunt, plerumque humectis serenitatibus refringerant, incolasque placide alunt. Ita usque ad barbaros etiam constans et probata percrebuit opinio, esse illis in insulis Elysios istos campos, et beatorum, quam descripsit Homerus, habitationem. His de rebus ut auditu percepit Sertorius, mirabilis eum invasit amor eas insulas incolendi, tyrannideque et bellis evitatis in pace et quiete vivendi. Verum turbavit et dissipavit hunc amorem Cilicum adventus, et novorum bellorum administratio.

Sertorium memoriæ proditum est, neque voluptati, neque metui obnoxio ingenio fuisse: natura et imperterritum rebus adversis, et qui res secundas moderate ferret; neminem eo tempore ducem magis aperta prælia vitasse, callidissimum vero furtivis belli operibus, in occupandis locis natura munitis, et fluminibus trajiciendis, aliisque id genus rebus quæ celeritate, astutia, et mendacio conficiuntur, perliberalem in præmiis virtutum conferendis, in suppliciis moderatum. Quanquam extremo vitæ cursu videtur id quod in obsides statuit, ostendisse animum ejus non vere mausuetum fuisse, sed crudelitatem ejus arte quadam necessitatis causa fuisse celatam. Mihi autem ut veram virtutem rationeque recta stabilitam, nunquam videtur fortunæ vis in contrarium posse convertere, ita consilia tamen alias recta bonasque naturas indigne gravibus calamitatibus afflictas, non absurdum puto credere una cum fortuna mutari. Id quod ego tum Sertorio accidisse puto, jam fortuna eum destituente, rebusque ipsis exasperatum injurias malorum atrocius ultum arbitror.

ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν, πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν.

Ἐκ τοῦ Σερτωρίου.

Ὅτι [54] διατρίβοντι, φησί, Σερτωρίῳ περὶ Ἰβηρίαν ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες, αἱ δύο μέν εἰσι λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δὲ ἀπέχουσι Λιβύης σταδίους, καὶ ὀνομάζονται Μακάρων. Ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις καταπνεόμεναι [55], οὐ μόνον ἀροῦν καὶ [56] φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. Ἀὴρ δὲ ἄλυπος ὡρῶν τε κράσει [57] καὶ μεταβολῆς μετριότητι [58] κατέχει τὰς νήσους. [1201 R.] Οἱ γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω Βορέαι καὶ Ἀπηλιῶται διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι· πελάγιοι δὲ περιῤῥέοντες Ἀργέσται καὶ Ζέφυροι βληχροὺς μὲν [59] ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἴθριαις ἐπιψύχοντες, ἡσυχῇ τρέφουσιν. Ὥστε μέχρι τῶν βαρβάρων διῆχθαι πίστιν ἰσχυρὰν αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε. Ταῦτα ὁ Σερτώριος ἀκούσας ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους καὶ ξῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπαύστων· Ἀλλὰ διεμάραναν αὐτοῦ καὶ περιέσπασαν τὸν ἔρωτα ἥ τε κίνησις τῶν μετ' αὐτοῦ Κιλίκων ἐκταραχθεῖσα καὶ νεωτέρων φροντὶς πολεμίων.

Ὅτι [60] λέγεται (φησὶν) [61] ὁ Σερτώριος οὔτε ὑφ' ἡδονῆς οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι, φύσει δὲ [62] ἀνέκπληκτος παρὰ [63] τὰ δεινὰ καὶ [638 H.] μέτριος [64] ἐνεγκεῖν εὐτυχίαν· οὐδενὸς μέντοι οὐδὲ πρὸς εὐθυμαχίαν ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων, ὅσα δὲ κλοπείας [65] ἐν πολέμοις ἔργα καὶ πλεονεξίας περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι, σοφιστὴς δεινότατος. Ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων· καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητός τε [66] καὶ βαρύτητος τὸ περὶ τοὺς ὁμήρους προαχθὲν [67] ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἀπεχομένην [68] λογισμῷ διὰ τὴν ἀνάγκην. Ἐμοὶ δ' ἀρετὴν μὲν εἰλικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος· ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης [69] ἐκταραχυνόμενον ὑπὸ τῶν πραγμάτων καὶ γινόμενον πονηρὸν [70] πρὸς τοὺς ἀδικοῦντας.

VARIÆ LECTIONES.

[54] ὅτι] c. 8. [55] καταπνεόμεναι add. B. [56] ἀροῦν ἀλλὰ καί ζ. [57] κρᾶσις [58] μετριότης B. [59] καὶ βληχρούς ζ. [60] ὅτι A : ὅτε ζ. [61] φησίν] c. 10. [62] δέ A : τε ζ. [63] παρά A : περί ζ· [64] καὶ μέτριος Λ : μετρίως ζ. [65] κλοπίας ζ. [66] τε add. A. [67] πραχθέν ζ. [68] ἐπεχομένην B. [69] ἐπιλιπούσης A. [70] γινόμενον πονηρὸν B : γινομένου πονηροῦ ζ.

Ἐκ τοῦ Δημητρίου.

Ὅτι [71] Δημήτριος, φησὶ, μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας, ἰδέᾳ δὲ [72] καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. Τὸ γὰρ αὐτὸ χάριν καὶ βάρος καὶ φόβον καὶ ὥραν εἶχε, καὶ [73] συγκέκρατο [74] τῷ νεαρῷ καὶ ἰταμῷ ὀυσμίμητος ἡρωϊκή τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. Οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν.

Ὅτι [75] τὸ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοκλέους φησίν· οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων. Ἔγραψεν ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ [76] πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ καὶ Ὀλυμπίαζε τὰς πατρίους θυσίας ἀπάγοντες ἐν ταῖς Ἑλληνικαῖς ἑορταῖς. Οὕτω δὲ καταμωκώμενοι τοῦ Δημητρίου προσδιέφθειραν αὐτὸν οὐδὲ [77] ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν. Ὅτι [78] Ἀθηναῖοι, πολιορκοῦντος αὐτοὺς Φιλίππου, γραμματοφόρους ἑλόντες τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολὰς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ' ὥσπερ ἦν κατασεσημασμένη [79], πρὸς ἐκεῖνον ἀπέλυσαν. [1204 R.] Ὅτι [80] οὐδέν φησιν οὕτω βασιλεῖ προσήκειν ὡς τὸ τῆς δίκης ἔργον Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστιν. Ὅτι [81] μέχρι Δημητρίου τοῦ Ἀντιγόνου παιδὸς, ὃς καὶ [82] Πολιορκητὴς ἐπωνομάζετο [83], οὐδεὶς εἶδεν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν [84] πρότερον οὔτε ἑκκαιδεκήρη [85]· ὕστερον δὲ καὶ [86] τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος [649 H.] διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα, δυεῖν δεόντων, ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις, χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας. Ἀλλὰ (ναῦται υ', ἐρέται ,δ, ὁπλῖται παρὰ μικρὸν ,γ, ὁμοῦ ,ζυ) θέαν μόνην ἐκείνη παρέσχε, καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων [87] οἰκοδομημάτων φανῆναι ποὸς ἐπίδειξιν, οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη.

Ἐκ τοῦ Ἀντωνίου.

Ὅθτι [88] Ἀντώνιος, φησὶν [89], ἠγνόει πολλὰ τῶν ὑπ' αὐτῷ [90] γινομένων, οὐχ οὕτω ῥᾴθυμος ὢν ὡς δι' ἁπλότητα πιστεύων τοῖς περὶ αὐτόν· ἐνῆν γὰρ ἁπλότης τῷ ἤθει, καὶ βραδεῖα μὲν [91] αἴσθησις, αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας, μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς καὶ περὶ τὰς τιμωρίας· μᾶλλόν γε μὴν ἐδόκει χαριζόμενος ἢ κολάζων ὑπερβάλλειν τὸ μέτριον. Ἡ δὲ περὶ τὰς παιδιὰς καὶ τὰς σκώψεις ὕβρις ἐν αὐτῇ [92] τὸ φάρμακον εἶχεν·

Ex Demetrii Vita.

Demetrius statura patre fuit inferior, tametsi magnus; figura autem et pulchritudine facici ita insigni et eximia, ut eam fingendo pingendoque assequi nemo potuerit. Nam una cum venustate et elegantia gravitas terrorque in vultu inerat, et heroica quædam ac regia majestas juvenili alacritati admista. Sic ingenium quoque erat, et ab perterrendos homines, et ad conciliandam sibi eorum gratiam aptum.

Insolentissimum fuit Stratoclis **397***b* (is enim scitarum istarum fuit et subtilium auctor blanditiarum) commentum, qui legem promulgavit, ut si qui publico edicto ad Antigonum vel Demetrium mitterentur, ii non legati, sed theori, id est consultores nominarentur: quod nomen eorum est, qui Pythiæ aut Olympiæ a majoribus tradita sacrificia pro civitatibus in solemni Græcorum conventu peragebant. His illi adulationibus Demetrium alioqui sana mente præditum demulcentes corruperunt. Athenienses obsessi a Philippo tabellarios intercipientes, lectis reliquis epistolis, missam ab Olympiade non aperuerunt, sed obsignatam adhuc Philippo miserunt. Neque vero ulla regi convenientior actio est quam justitiæ exsecutio. Mars enim, ut Timotheus ait, tyrannus est, legem vero omnium regem Pindarus appellat (76). Usque ad Demetrium Antigoni, qui Poliorcetes appellabatur, nemo hominum viderat ante quindeciremem aut sedeciremem. Postea quidem temporis Ptolemæus Philopator quadragintaremem construxit, longam 280, altam ab imo fundo usque ad summum puppis 48 cubitos, remigibus quater mille, et nautis præterea quadringentis instruebatur, recipiebatque classiariorum in foris et tabulato prope tria millia (sed nautæ 400, remiges 4000, et milites 3000; erant in summa 7400). Verum hæc navis spectaculo magis et ostentationi quam usui fuit, quod difficulter neque sine periculo commoveri posset, parumque ab ædificiis fixis differret.

Ex Antonii Vita.

Multa Antonius ignoravit, non tam ob socordiam, quam simplicitatem, qua ductus facile suis credebat. Erat enim simplici ingenio, et tarde sentiebat; cum autem sensisset se peccasse, gravi movebatur pœnitentia, et apud eos ipsos quos offendisset, confitebatur. Magna et supplicia et præmia irrogabat, modi tamen in gratificando, quam puniendo erat negligentior. Jocis autem ejus nimiæque dicacitati hoc aderat remedium, quod se vicissim morderi patiebatur, neque minori cum voluptate ridebatur, quam

VARIÆ LECTIONES.

[71] ὅτι] c. II. [72] δὲ om. B. [73] εἶχε] ἔχει A. [74] συνεκέκρατο A. [75] ὅτι] c. XI. [76] δημόσιον A. [77] οὐδέν ς. [78] ὅτι] c. XXII. [79] κατασεσημασμένην A. [80] ὅτι] c. XLII. [81] ὅτι] c. XLIII. [82] καὶ add. A. [83] ἐπωνομάζετο B : ὠνομάζετο ς. [84] ναῦν [85] ἑκκαιδεκήρη om. A. [86] καὶ om. A. [87] μονίμων A : νομίμων ς. [88] ὅτι] c. XXIX. [89] φησίν add. A. [90] αὐτοῦ B. [91] μέν A, τις B : δέ ς. [92] ἑαυτῇ ς.

NOTÆ.

(76) Herodot. *Thalia*, et Orig. lib. *Contra Celsum*, *p.* 262, *edit. August. Vind.*

ridebat, quæ res illi maximo fuit malo. Qui enim libere secum jocarentur, **398***a* ab eis serio loquentibus nequaquam putabat sibi adulari: itaque laudando facile decipiebatur. Non enim intelligebat esse, qui adulationi libertatem veluti sub austerum condimentum admiscerent, quo protervæ inter pocula loquacitati lædium et satietatem dimoveant, idque consequantur, ut assentantes et concedentes, quoties de re gravi sermo incideret, non gratiam captare, sed prudentia inferiores videantur.

A ἀντισκῶψαι γὰρ ἐξῆν [93] καὶ ἀνθυβρίσαι, καὶ γελώμενος ἢ γελῶν ἔχαιρε. Καὶ τοῦτο διελυμήνατο τὰ πολλὰ τῶν πραγμάτων· τοὺς γὰρ ἐν τῷ παίζειν παῤῥησιαζομένους οὐκ ἂν οἰηθεὶς σπουδάζοντας [94] κολακεύειν αὐτὸν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων, ἀγνοῶν ὅτι τὴν παῤῥησίαν τινὲς ὡς ὑποστύφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες ἀφῄρουν τὸ πλήσμιον, τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ διαμηχανώμενοι τὴν τῶν πραγμάτων ὕφεσιν καὶ συγκατάθεσιν, ὡς μὴ πρὸς χάριν ὁμιλεῖν, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

Ex Pyrrhi Vita.

Fuit Pyrrhus vultu regio quidem, sed terribiliore quam venerabiliore. Non habuit multos dentes, sed supra erat unum os continuum, in quo dentium intervalla tenuibus veluti sulcis detinebantur. E liene B laborantibus salutem afferre credebatur, si gallum album mactans, supinatis illis dextro pede leviter viscera premeret, neque fuit quisquam ita vel pauper vel vilis, cui rogatus eam medicinam facere dedignaretur; gallum ipse Pyrrhus accipiebat atque immolabat, iisque ei erat honor gratissimus. Et ferunt pedis ejus pollicem vim divinam habuisse, atque etiam cremato post mortem corpore, hunc illæsum intactumque ab igne fuisse repertum.

Ἐκ τοῦ Πύῤῥου.

Ὅτι [95] Πύῤῥος, φησὶ, τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον [96] ἦν ἔχων [97] ἡσεμνότερον καὶ βασιλικώτερον, [98] πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστοῦν συνεχὲς ἦν, ἄνωθεν οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον [99] τῶν ὀδόντων. Τοῖς δὲ σπληνιῶσιν ἐδόκει βυηθεῖν ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. Οὐδεὶς δ' ἦν πένης οὕτε ἄδοξος οὕτως ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. Ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. Λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν [1] ἰδίαν, ὥστε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος κατακαέντος ἀπαθῆ καὶ ἄθικτον [2] ὑπὸ του πυρὸς εὑρεθῆναι.

Ex Marii Vita.

Mario et temperantiæ ac tolerantiæ testimonia perhibentur; et hujus quidem indicium exstat. Varicibus enim magnis cum utrumque ejus crus laboraret, deformitatem ægre ferens, medicum accersivit, eique non ligatus crus alterum præbuit, ac nihil ipse motus, nullo edito gemitu, constanti vultu tacitus incredibiles secturæ dolores pertulit; ad alterum transeunte medico, non sustinuit, remedium hoc non dignum esse inquiens, cujus causa tanti cruciatus tolerarentur.

Ἐκ τοῦ Μαρίου.

C Ὅτι [3] τῷ Μαρίῳ (φησὶ) καὶ σωφροσύνην καὶ καρτερίαν μαρτυροῦσιν, ἧς δεῖγμα [650 H.] καὶ τὸ περὶ τὴν [1205 R.] χειρουργίαν ἐστίν. Ἰξῶν γὰρ ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς καὶ τὴν ἀμορφίαν δυσχεραίνων ἔγνω παρασχεῖν ἑαυτόν. Καὶ παρέσχεν ἄδετος θάτερον σκέλος οὐδὲ κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς [4] τινας ἀλγηδόνων ἐπὶ ταῖς τομαῖς ἀνασχόμενος. Τοῦ δὲ ἰατροῦ μετιόντος ἐπὶ θάτερον οὐκέτι παρέσχε, φήσας, ὁρᾶν τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον.

Marius ex Africa cum exercitu transvectus et consulatum accepit, et triumphum duxit, Jugurtham captivum incredibile Romanis spectaculum exhibens, quo vivo victoriam de hostibus nemo ne sperasset quidem: adeo ad omnem fortunam se accommodare callidus, astutiæ magnæ admistam ferociam habebat. In triumpho præterea illata narrant auri ter mille ac septem pondo, argenti non signati quinquies millia 775, signati 287 millia denarium.

Ὅτι [5] Μάριος ἐκ Λιβύης μετὰ τοῦ [6] στρατεύματος ἀνακομισθεὶς τήν τε ὑπατείαν ἀνέλαβε καὶ τὸν θρίαμβον εἰσήλασεν, ἄπιστον ἐπιδεικνύμενος θέαμα Ῥωμαίοις, Ἰουγούρθαν αἰχμάλωτον, οὗ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν· οὕτως [7] ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. Ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσίου [8] μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου ἑψοὶ, νομίσματος δὲ δραχμὰς [9] ζ, ἐπὶ μυριάσιν ἡ καὶ κ'.

Solent milites laboriosos, quique taciti prompte **398***b* imperata faciunt, *mulos Marianos* appellare (erat enim Marius indefatigabilis), quod sua ipsi faccrent, et eum hac in re imitarentur. Quidam quia Marius olim sub Scipione militans curiose

D Ὅτι [10] τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα πράττοντας (ἄτρυτος γὰρ ἦν ὁ Μάριος καὶ αὐτουργεῖν τὰ πολλὰ, καὶ μιμεῖσθαι διδάσκειν αὐτὸν καὶ ἐξομοιοῦσθαι τοὺς στρατιώτας) ἡμιόνους Μαριανοὺς ὠνόμαζον. Οἱ δὲ, ὅτι [11] Μάριος

VARIÆ LECTIONES.

[93] ἐξῆν A : ἐχρῆν ς. [94] σχολάζοντας B. [95] ὅτι] c. III. [96] φοβερώτερος A. [97] ἦ] ἦθος AB. [98] βασιλικόν B. [99] ὑπογεγραμμένων ς. [1] δύναμιν ἔχειν ς. [2] ἄθικτον A : ἄλυπον ς. [3] ὅτι] c. VI. [4] ὑπερβολάς τινας A : τινὸς ὑπερβολὰς καὶ ς. [5] ὅτι] c. XII. [6] τοῦ om. B. [7] οὕτος A. [8] χρυσίον A. [9] ὁραχρὰς A. διὸραχμὰς ς. [10] ὅτι [c. XIII. [11] ὅτι] c. XXI.

φησὶν, ὑπὸ Σκηπίωνι [12] πάλαι στρατευόμενος, καὶ πολυπραγμονοῦντι περί τε τῶν ὅπλων καὶ τῶν ὑποζυγίων τὸν στρατιώτην προσήγαγεν ἵππον τε κάλλιστα τεθραμμένον καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. Ἡσθέντος δὲ τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον Μαριανὸν ἡμίονον προσαγορεύειν.

Ὅτι Τεύτονας Μαρίου καταπολεμήσαντος, μυριάδας δέκα, Μασσαλιῶται [13] τοῖς ὀστέοις λέγονται περιθριγκῶσαι [14] τοὺς ἀμπελῶνας· τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι καὶ γενέσθαι διὰ βάθους ἀνάπλεω [15] τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου [16] τὰς ἀρούρας. Ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τοῖς καθαροῖς καὶ διιπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἢ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾳδίως μεταβάλλειν ἐπὶ πλεῖστον ἀπὸ ὁμικροτάτης ἀρχῆς. Ὅτι [17] ἄξιον θαυμάσαι τοὺς Κουρνούτου θεράποντας. Πολλῶν γὰρ ἐν στασιαζούσῃ τῇ πόλει θανάτῳ καὶ τῶν ἀναιτίων καταψηφισαμένων, καὶ μυρίων σφαγῶν καὶ ποικίλων προελθόντων, οὗτοι τὸν δεσπότην ἀποκρύψαντες, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντε : ἐκ τοῦ τραχήλου καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον ἐπεδείκνυον [651 H.] τοῖς Μαρίου δορυφόροις, καὶ κοσμήσαντες ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. Ὑπενόησε δὲ οὐδείς, ἀλλ' οὕτω λαθὼν ὁ Κουρνοῦτος ὑπὸ τῶν εἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

Ἐκ τοῦ Ἀράτου.

Ὅτι [18] ὁ Ἄρατος, φησὶ, λαμπρῶς [19] κατὰ Ἀριστίππου τοῦ τυράννου καὶ κατὰ τῶν σὺν αὐτῷ ἀριστεύσας, πεσόντος καὶ αὐτοῦ τοῦ τυράννου ὑπὸ Κρητός τινος Τραγίσκου [20] τοὔνομα, καὶ τοῦ πλήθους [1208 R.] τῶν ἄλλων ὄντων ἀφ' τῶν ἀναιρεθέντων, καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλὼν, ὅμως οὐκ ἔλαβε τὸ Ἄργος οὐδὲ ἠλευθέρωσε τοὺς ἐν αὐτῷ τῶν περὶ Ἄγιν καὶ τὸν νεώτερον Ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων καὶ κατασχόντων τὰ πράγματα. Τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς καὶ λόγους καὶ σκώμματα καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους, καὶ διεξιόντων, ἐκείνοις χαριζομένων, ὡς τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκταράττοιτο μὲν ἡ κοιλία παρὰ τὰς [21] μάχας, κάρος δὲ καὶ ἴλιγγος προσπίπτοι [22] ἅμα τῷ παραστῆναι τὸν σαλπιγκτὴν [23], ἐκτάξας δὲ τὴν δύναμιν καὶ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρατηγῶν μή τις αὐτοῦ χρεία παρόντος, βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους, ἀπέρχοιτο, καραδοκήσων

A arma et carros inspicienti, adduxit bellicosum equum optime enutritum, et multum cæteris habiliorem et cicuritate et robore præstantem multo ; cumque imperator Marii jumentis oblectaretur, et sæpe eorum recordaretur, inde ortum ut qui per cavillum ob laborum assiduitatem et tolerantiam laudaretur, *Marianus mulus* appellaretur.

Devictis centum millibus Teutonum a Mario, Massilienses ferunt ossibus vineas sepiisse : tellurem vero consumptis in ea cadaveribus, ac per hiemem imbribus delapsis, ita pinguem redditam, putredine in profundum penetrante repletam, ut legitimo tempore abunde fructuum protulerit, et B quod Archilochus dixit, hoc modo agros pinguescere, id tum fuisse confirmatum. Neque abs re est, quod post magna prœlia immodicæ pluviæ decidant : sive deus aliquis terram puris et cœlestibus aquis lustrat atque proluit, sive cadaveribus et pinguedine humidam gravemque emittentibus exhalationem, ita aer coit, alioquin facile etiam levissimis de causis mutationi obnoxius. Digni itaque admiratione Cornuti servi : multis enim bello civili morte sine causa condemnatis, variisque cædibus perpetratis, cum herum suum occultassent, aliud quoddam cadaver de mortuorum acervo arreptum collo trahentes, aureum annulum digito accommodantes, Marianis ita satellitibus ostenderunt, et ornato funere, quasi herile esset sepeliverunt : neque id C quisquam sensit, eoque modo Cornutus clam opera servorum in Galliam evasit.

Ex Arati Vita.

Arato cum Aristippo et militibus acri pugna congrediente, et tyranno a Crete quodam nomine Tragisco necato, et **399***a* amissis ipsorum plusquam 1500 viris, et nemine suorum amisso, Argos tamen neque cepit neque liberavit. Agis enim et Aristomachus minor cum exercitu regio irruperant eo, et rerum potestatem occupaverant. Magnam quidem partem cavillorum, dicteriorumque et scurrilium insectationem, quibus eum adulatores tyrannorum tra- D ducebant, refutavit ; qui in gratiam dominorum dictitare solebant, duci Achæorum tempore prœlii alvum conturbari, vertiginem et gravem soporem oboriri simul atque tubæ sonitum exaudivisset. Itaque ut primum aciem instruxisset, et tesseram dedisset, percontari solitum centuriones, et quid sua præsentia opus foret, jacta jam alea ; atque ita digredientem quam longissime, eventum pugnæ exspectare. Hæc quidem ita obtinuit opinio, ut philosophi etiam in scholis disputent, tremorne cordis

VARIÆ LECTIONES.

[12] σκιπίωνι A. [13] Μασσαλιῶται B, Μασκλαῖται A, Μασαλιῆται ς. [14] περιθριγκῶσαι A : περιτροχῶσαι ς. [15] ἀνάπλεων B. [16] τοῦ τοιούτου B et corr. A : τὸ τοιοῦτο ς. [17] ὅτι] c. XII. [18] ὅτι] c. XXIX. [19] λαμπρῶς καὶ κατά ς. [20] Τραγίσκον ς. [21] τὰς add. A. [22] προσπίπτοι B : προσπίπτει ς. [23] σαλπικτήν ς.

et mutatio coloris, et alvi solutio præsente periculo timidorum sit, an cujusque intemperiei in corpore et frigiditatis; Aratum enim bonum semper ducem habitum, cui tamen ea semper in obeundis periculis acciderint. Quia antiqua lex erat, ne quis intra muros sepeliretur, eamque legem magna comitabatur superstitio, Delphos miserunt ea de re sciscitatum Pythiam, quæ permisit. Et tum cæteri Achæi, tum vero Sicyonii gavisi sunt, mutatoque in festivitatem luctu, coronati albisque induti vestibus corpus ejus statim in urbem deportarunt, pæanes choreis accinentes: ac loco delecto qui omnium conspectui pateret, tanquam conditorem servatoremque urbis sepeliverunt. Loco eliamnum est nomen Arateum. Mortuus est specie familiaritatis veneno et dolis, cæde a Taurione perpetrata, Philippo Peloponnesio tyranno edicente, ut impune illi quæ fecisset cederent.

A πόῤῥωθεν τὸ συμβησόμενον. Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητεῖν [24] εἰ, τὸ πάλλεσθαι τὴν καρδίαν καὶ τὸ χρῶμα τρέπεσθαι [25] καὶ τὴν κοιλίαν ἐξυγραίνεσθαι παρὰ τὰ φαινόμενα δεινὰ δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος· τὸν γὰρ Ἄρατον ἀεὶ μὲν ἀγαθὸν ἡγεῖσθαι στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας. Ὅτι [26] νόμου (φησὶν) ὄντος ἀρχαίου μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυράς τε [27] τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν [28] εἰς Δελφοὺς ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν· ἡ δὲ ἐπέτρεπε. Καὶ οἵ τε Ἀχαιοὶ ἅπαντες ἥσθησαν, καὶ διαφερόντως οἱ Σικυώνιοι, μεταβαλόντες [29] εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν [30] νεκρὸν Ἀράτου ἐστεφανωμένοι καὶ λευχειμονοῦντες B ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον [31], καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν· καὶ καλεῖται μέχρι νῦν Ἀράτειον. Ἡ δὲ τελευτὴ αὐτῷ ἐν φιλοφροσύνης σχήματι φαρμάκῳ καὶ δόλῳ γέγονε, Ταυρίωνος μὲν τοῦ στρατηγοῦ ὑπηρετησαμένου τῷ φόνῳ, Φιλίππου δὲ τοῦ Πελοποννησίου τυράννου, ὡς ἄδειαν ἔχοι πράττειν ἃ βούλοιτο τῶν ἐκθέσμων, προστάξαντος.

Ex Artaxerxis.

Mater Artaxerxis fuit Parysatis, solers sane femina, et taxillos jacere non indocta. Metus tyranno stimulus ad cædem acerrimus.

Ἐκ τοῦ Ἀρτοξέρξου [32].

Ὅτι [33] ἡ τοῦ Ἀρτοξέρξου μήτηρ Παρύσατις θυμόσοφος ἦν γυνὴ, καὶ δεινὴ (φησὶ) κυβεύειν. Ὅτι [34] ἡ δειλία (φησὶ [35]) φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν.

399*b* *Ex Agide* (76) [*Ex Cleomene*].

Antigonus Macedoniæ rex vocatus ad auxilium ab Achæis contra Cleomenem, pugna superavit et fugavit Cleomenem, et cum esset Lacedæmone potitus, humaniter cives tractavit, dignitatemque C Spartæ nullo modo conculcavit, aut ludibrio habuit, sed leges remque publicam Spartanis reddidit, et in Macedoniam tertio die discessit, quod eam bello ardere atque a barbaris vastari inaudivisset. Jam et morbus ipsum occupaverat, in phthisim vehementem vergens, defluxumque ex capite continentem. Non tamen ei succubuit, sed ita in certamine pro regno suo perduravit, ut maxima parta victoria, ingentique barbarorum cæde peracta, majori cum gloria mortem obiret. Philarchus scribit eum in ipso prælio vociferatione corpus rupisse; quod vero non est dissimile. In confabulationibus hominum ferebatur, cum post prælium clamantem præ gaudio, *O pulchrum diem*, multum sanguinis exspuisse, D acutaque febri decessisse.

Cum Cleomenes ab Antigono superatus in Ægyptum profugisset, initio a rege magno honore affectus est. Deinde haud longo post tempore sine injuria, propter iniquam suspectionem et malevolentiam accusatorum, deficiente erga eum affectu, conjectus est a rege in carcerem, ad mortem quæsitus. Ille vero cum aliis sexdecim sociis cum gladiis domo

Ἐκ τοῦ Ἄγιδος.

Ὅτι [36] Ἀντίγονος (φησὶν) ὁ Μακεδονίας βασιλεὺς, ἐπικαλεσαμένων [652 H.] αὐτὸν ἐπὶ βοήθειαν κατὰ Κλεομένους Ἀχαιῶν, μάχῃ ἐνίκησε, καὶ ἐξ ἐφόδου φυγόντος Κλεομένους τὴν πόλιν παραλαβὼν, καὶ τοῖς Λακεδαιμονίοις φιλανθρώπως χρησάμενος, καὶ τὸ ἀξίωμα τῆς Σπάρτης οὐ προπηλακίσας οὐδ' ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς, ἀνεχώρησεν εἰς Μακεδονίαν ἡμέρᾳ τριτῃ, πολέμων αὐτῷ φυέντων ἐκεῖσε καὶ παρεῖναι βιαζομένων. Ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν ἐκβεβηκὸς [37] ἰσχυρὰν καὶ κατάῤῥουν συντεῖνον. Οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερος ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστι καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς· Ὦ καλῆς ἡμέρας, πλῆθος αἵματος ἀνήγαγε, καὶ πυρέξας [38] συντόνως ἐτελεύτησεν.

[1209 R.] Ὅτι [39] Κλεομένους Αἰγύπτῳ προσπεφευγότος μετὰ τὴν ὑπ' Ἀντιγόνου ἧτταν, τὰ μὲν πρῶτα ὁ βασιλεὺς Αἰγύπτου ἐν τιμῇ καὶ δεξιώσεσι περιεῖπε τὸν ἄνδρα, μετ' οὐ πολὺ δὲ μηδὲν ἀδικοῦντα, ἐξ ὑποψιῶν ἀλόγων καὶ συκοφάντιῶν [40] κακούργων ὑποῤῥυϊσκόμενος τῆς περὶ αὐτὸν διαθέσεως, ἐν φρουρᾷ κατεῖχεν ἀδέσμῳ, μελετῶν κατ' αὐτοῦ

VARIÆ LECTIONES.

[24] ζητεῖν A : ζητοῦντας ς. [25] τρέπεσθαι A : φαίνεσθαι ἠλλοιωμένον ς. [26] ὅτι] c. LIII. [27] τε om. A. [28] ἔπεμψεν ς. [29] μεταβαλόντες B : μεταβάλλοντες ς. [30] τόν A : τό ς. [31] ἀνῆγον A : ἀνῆρον ς. [32] Ἀρταξέρξου ς. [33] ὅτι] c. XVII. [34] ὅτι] c. XXV. [35] φησὶ om. A. [36] ὅτι] Cleomen c. XXX. [37] ἐκβεβηκὸς A : ἐμβεβληκὸς ς. [38] πυρέξας] πῦρ ἐξάψας A. [39] ὅτι] c. XXXII. [40] συκοφαντῶν ς.

NOTÆ.

(76) Ex Agide Plutarchi nihil excerpsit Photius. (*Edit Rothomag.*)

θάνατον. Ὁ δὲ μετά τινων ἐξκαίδεκα τῶν αὐτοῦ ἑταίρων ἐκπηδήσας μετὰ ξιφῶν τοῦ οἰκήματος ἔθει μὲν διὰ τῆς ἀγορᾶς, καὶ τοὺς πολίτας καὶ τοὺς ἄλλους εἰς ἐλευθερίαν ἐκάλει· οἱ δὲ ἐπῄνουν μὲν τὴν γνώμην καὶ ἐθαύμαζον τὸ γενναῖον, οὐδεὶς μέντοι διὰ τὸν ἐκ τῆς τυραννίδος φόβον ἐτόλμα συνεπιλαβέσθαι. Ἀνελόντες δ' οὖν τοὺς εἰς χεῖρας ἐλθόντας [41] καὶ δύο τῶν ἐχθίστων, πολλοῦ συῤῥέντος ἐπ' αὐτοὺς πλήθους, καὶ πολλοὺς ἀνελόντες, καὶ αὐτοὶ κατεκόπησαν, εἶτα ἀνεσταυρώθησαν [42]. Ὀλίγαις [43] δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. Ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος, ὡς ἀνδρὸς ἀνηρημένου θεοφιλοῦς καὶ κρείττονος τὴν φύσιν. Οἱ δὲ Ἀλεξανδρεῖς καὶ προσετέρποντο φοιτῶντες, ἥρωα τὸν Κλεομένην καὶ θεῶν παῖδα προσαγορεύοντες ἄχρις οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι, διδόντες λόγον ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι ἀποσαπέντες ἐξανθοῦσι, κάνθαροι δὲ τὸ αὐτὸ παθόντων ὄνων [44] ζωογονοῦνται, τὰ δὲ ἀνθρώπινα σώματα περὶ τὸν μυελὸν ἰχώρων συῤῥοήν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων ὄφεις ἀναδίδωσι. Καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

A exsiliens, per vicos currit, et ad libertatem populum vocat. Laudant miranturque cives Cleomenis audaciam et animum, sequi et opem ferre ausus est nemo metu tyranni. Illi autem obvios quosque trucidarunt, et inter eos duos inimicissimos, cumque magnam ad se confluentem hominum multitudinem interfecissent, tandem etiam interfecti sunt, et in crucem acti. Post dies haud multos, ii qui in crucem actum corpus Cleomenis custodiebant, justæ magnitudinis draconem viderunt caput ejus circumplicasse, faciemque operuisse, ita ut nulla carnivora avis advolaret. Id superstitionem regi injecit et metum, quod vir diis charus et **400***a* præstantioris humanæ naturæ interfectus videbatur. Alexandrini etiam frequentes ad eum locum commeantes, heroem B Cleomenem et deorum filium appellavere tantisper, dum eum errorem doctiores minuerunt, docentes putrefacto bovis cadavere apes, equi vespas, asini scarabeos generari : in humano autem corpore confluente sanie, quæ est circa medullam, et in unum coalescente angues nasci, id quod intelligentes antiqui, et omnibus animantibus draconem potissimum heroibus consecraverunt (77).

[633 H.] Ἐκ τοῦ Τίτου.

Ὅτι [45] Ἰσθμίων ἀγομένων πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο τὸν γυμνικὸν ἀγῶνα θεωμένων, ἅτε διὰ χρόνων πεπαυμένης [46] μὲν πολέμων τῆς Ἑλλάδος, ἐν [47] ἐλευθερίᾳ δὲ σαφεῖ καὶ εἰρήνῃ πανηγυριζούσης· τῇ σάλπιγγι δὲ σιωπῆς εἰς [48] ἅπαντας διαδοθείσης προελθὼν εἰς μέσον [49] ὁ κῆρυξ ἀνεῖπεν ὅτι Ῥωμαίων ἡ σύγκλητος καὶ Τίτος Κόϊντος στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους τοὺς Ἕλληνας, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκροὺς, Εὐβοέας, Φωκεῖς, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περῥαίβους. Τὸ μὲν οὖν πρῶτον οὐ πάντες οὐδὲ σαφῶς ἤκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων καὶ διαπυνθανομένων καὶ πάλιν ἀνειπεῖν κελευόντων. Ὡς δ' ἅπαξ ἡσυχίας γενομένης ἀναγαγὼν ὁ κῆρυξ τὴν φωνὴν προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάσσης [50], ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων, ἔσπευδον δὲ [51] πάντες ἀναπηδῆσαι καὶ δεξιώσασθαι καὶ προσειπεῖν [52] τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. Τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν καὶ μέγεθος τῆς φωνῆς ὤφθη τότε· [1212 R.] κόρακες γὰρ περιπετόμενοι κατὰ τύχην ἔπεσον εἰς τὸ στάδιον. Αἰτία δ' ἡ τοῦ

Ex Titi Flaminini.

Cum Isthmia celebrarentur, ac multitudo hominum in stadio consedisset spectandi gymnici certaminis causa, eo magis, quod illo tempore Græcia a bellis vacabat, spemque libertatis propositam C cernens, manifesta in pace diem festum agebat : postquam tuba silentium undique est factum, progressus in medium præco ita pronuntiavit : Senatus Romanus et Titus Quinctius imperator consul, devicto Philippo et Macedonibus, absque præsidiis esse liberos, et immunes, suis legibus vivere jubet, Corinthios, Locros, Phocenses, Eubœenses, Achæos, Phthiotas, Magnetas, Thessalos, Perrhæbos. Primum neque omnes plane, neque perfecte vocem præconis exaudierunt ; eratque promiscua et tumultuaria in stadio commotio admirantium, sciscitantium, repetique edictum poscentium. Ut vero iterum, facto silentio, altiori voce eadem præco proclamavit, exauditumque est ab omnibus edictum, tantus, quantum credibile vix sit, clamor prælætitia omnium D exortus, ad mare usque pervasit. Quotquot in theatro erant, assurrexere omnes, neque jam quisquam certantium spectaculo tenebatur, prosilire omnes, amplecti et alloqui Græciæ servatorem atque propugnatorem properabant. Atque eo tempore id re ipsa apparuit, quod de immenso immodicoque clamore dici solet. Corvi enim qui tum forte prætervolabant,

VARIÆ LECTIONES.

[41] χεῖρας καὶ ἑλόντας ς. [42] εἶτα ἀνεσταυρώθησαν om. A. [43] ολίγαις] c. 39. [44] ὄνων A : τῶν ὄνων ς. [45] ὅτι] c. 10. [46] πεπαυμένον pr. A. [47] ἐν add. A. [48] εἰς] πρός B. [49] ὁ κ. εἰς μ. ς. [50] θαλάττης B. [51] δὲ om. A. [52] καὶ προσειπεῖν om. A.

NOTÆ.

(77) Vide Harapolinem, lib. II, cap. 44, et Origenem Contra Celsum, lib. IV.

in stadium deciderunt. Cujus rei quidem causa est aeris perruptio. Nam vox cum magna atque multa effertur, ea divulsus aer, volantes non sustinet, facitque ut aves ita atque si in vacuo sint loco, delabantur, nisi potius ictu tum quodam aeris aves veluti sagitta transfixæ, deturbentur atque decidant. Potest et ad aeris vorticem seu procellam transferri: cum maris ille instar, **400***b* ob clamoris magnitudinem involvatur, rursumque cum impetu sese explicet. Cæterum Quinctius, nisi celerrime dimissis ludis impetum et concursum populi declinasset, haud profecto salvum potuisse evadere crediderunt, tam multis simul undique ei se circumfundentibus.

A ἀέρος ῥῆξις· ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ καθάπερ κενεμβατοῦσιν, εἰ μὴ νὴ Δία πληγῇ τινι [53] μᾶλλον ὡς ὑπὸ βέλους διελαυνόμενα πίπτει καὶ ἀποθνήσκει. Δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος οἷον ἐλιγμὸν ἐν πελάγει καὶ πάλιν ῥύμην διὰ μέγεθος λαβόντος. Ὁ δ' οὖν Τίτος εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης ὑπειδόμενος τὴν φορὰν [54] τοῦ πλήθους καὶ τὸν δρόμον ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων αὐτῷ περιχεομένων.

Plutarchus sicut in hac Quinctii, et in aliis vitis compositis ait, Neronis [Trajani] erat temporibus.

Ὅτι Πλούταρχος, ὡς αὐτὸς κἀν τῷ παρόντι παραλλήλῳ καὶ ἐν ἄλλοις φησίν, ἐπὶ [55] Νέρωνος ἦν.

B

CCXLVI.

Ex Aristidis Oratione Panathenaica, quæ est Athenarum laudatio.

Legi Aristidis *Panathenaicam Orationem*, verborum ac nominum explanationem comprehendentem et periodorum, etiam sensus potestate, et ornatu præparato. Terra quidem ad omne fetus genus fuit instructa. Hæc autem beneficia cum a diis accepissent, ita cœperunt eorum auctores imitari, ut aliis ipsi loco deorum fuerint, et hac primum ratione dignos se donis istis esse comprobaverint, quod iis recte fuerint usi. Nec enim vel sub terram existimaverunt defodienda, vel alios sibi æquales evasuros esse timuerunt: sed ita demum se, quantum reliquis præstarent, posse ostendere putarunt, si essent erga omnes benefici. Sed me oratio fluctus instar transversum rapuit, itaque ad id, unde digressus fueram, redeo. Divina igitur pompa commeatum in omnes regiones, tanquam pecuniam theatralem dimittunt. Maximum autem beneficium est illud, quod omnes undique afflictos susceperunt, ac foverunt. Nulla namque Græciæ gens est, ut ita dicam, quæ hac civitate non sit usa. Quorum omnium meminisse primo factu sit difficile, et pares memoriæ sermones accommodare, quæ prima sunt et antiquissima exponam. Cum Hercules e vivis excessisset, urbs ei primum templa et aras consecravit.

ΣΜΖ'.

Ἀριστείδου ὁ Παναθηναϊκός.

C Ἀνεγνώσθη Ἀριστείδου ὁ Παναθηναϊκὸς, ἐκλογὴν ὑπέχων ῥημάτων τε καὶ ὀνομάτων καὶ περιόδων, ἀλλὰ καὶ νοημάτων εἰς δεινότητα καὶ κάλλος διεσκευασμένων. Ἐρρώτο [56] μὲν ἡ γῆ πρὸς ἁπάσας γονάς. Λαβόντες [57] δὲ οὕτω τὰς παρὰ τῶν θεῶν δωρεὰς, οὕτως εὖ τοὺς δόντας ἐμιμήσαντο, ὥστε αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἀντὶ τῶν θεῶν κατέστησαν. Καὶ πεῖραν ταύτην πρώτην ἔδοσαν τοῦ κατ' ἀξίαν τυχεῖν, τὸ [58] χρήσασθαι τοῖς ὑπάρχουσιν ὡς προσῆκεν. Οὐ γὰρ [654 H.] ἠξίωσαν αὐτὸ δὴ τοῦτο γῇ κρύψαντες ἐξαρκεῖν· ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι μὴ ἄρα τοὺς ἄλλους ἐξ ἴσου σφίσι ποιήσωσιν, ὥστε οὐκ εἶναι κάλλιον ᾠήθησαν ὅσῳ τῶν ἄλλων προέχουσιν ἐνδείξασθαι, ἢ εἰ πάντας εὖ ποιοῦντες ὀφθήσονται. Ἀλλ' [59] ὁ λόγος γὰρ ὥσπερ ῥεῦμα φέρων ὑπήνεγκε βίᾳ· ἀναχωρεῖν οὖν ὅθεν ἐξέβην καιρός. Πέμπουσι δὴ θείᾳ πομπῇ γῆν ἐπὶ πᾶσαν ἀφορμὰς τοῦ βίου, καθάπερ θεωρικοῦ τινος διάδοσιν [60]. Εὖ γὰρ ποιοῦττες ἔῤῥωνον τὴν ἐπιθυμίαν τῶν εὖ παθεῖν δεομένων. Οὐ γὰρ [61] ἔστι γένος οὐδὲν τῆς Ἑλλάδος ὡς ἔπος εἰπεῖν, ὃ τῆσδε τῆς πόλεως ἀπείρατόν ἐστιν. Ὧν ἁπάντων μὲν ἀμήχανον καὶ μνημονεῦσαι πρῶτον καὶ τῆς μνήμης τοὺς λόγους συμμέτρους ἀποδοῦναι. Ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμότατα καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι· Ἡρακλέους ἐξ ἀνθρώπων ἀπελθόντος ἡ μὲν πόλις καὶ νεὼς καὶ βωμοὺς ἱδρύεται πρώτη.

D [Subjecta phrasis per eclipsim, aliquid blandi habens, qua sæpe utitur.]

Et nunc civitatis stant beneficio Messenii. Etenim sola cum omnium fortuna perpetuo contendit urbs, omniumque clades in melius conata est convertere, vetusque dictum immutavit. Ostendit enim se amicos infelices nequaquam fugere, cum permultos etiam, a quibus antea dissidebat, post acceptas clades in amicitiam receperit. Nec quos felices

[Κατὰ ἔλλειψιν ἡ προκειμένη [62] φράσις, ἔχουσά τι ἐπαγωγόν· πολλαχοῦ δὲ αὐτῇ κέχρηται.]

Καὶ νῦν [63] εἰσὶ Μεσσήνιοι [64] διὰ τὴν πόλιν. Μόνη [65] γὰρ (ὡς εἰπεῖν) διαγέγονε πρὸς τὴν ἁπάντων τύχην διαμιλλωμένη [66], καὶ πειρωμένη περιτρέπειν πᾶσι τὰς συμφορὰς [67] ἐπὶ θάτερα. Καὶ τὴν παροιμίαν ἐνήλλαξεν· οὐ γὰρ ἐκποδὼν εἶναι κατέδειξε φίλου κακῶς πράσσοντος, ἀλλὰ πολλοὺς καὶ τῶν πρόσθεν διαφόρων ἐπὶ τοῖς ἀτυχήμασι φίλους πεποίηται.

VARIÆ LECTIONES.

[53] τινὶ add. A. [54] φθοράν ς. [55] ἐπί Λ, ἐκ τοῦ C : ἐπὶ τοῦ ς. [56] ἐῤῥωτο] p. Canter. 179. [57] λαβόντες] p. 180. [58] τὸ] τῷ B. [59] ἀλλ'] p. 181. [60] διάδοσιν] δίδωσιν A. [61] οὐ γάρ] p. 187. [62] προσκειμένη Λ. [63] καὶ νῦν] p. 191. [64] Μεσσήνιοι B : Μεσήνιοι ς. [65] μόνη] p. 192. [66] ἁμιλλωμένη B. [67] πᾶσι τὰς συμφορὰς περιτρέπειν ς.

Οὐδ' εὖ μὲν πράττουσι κέχρηται, κακῶς δ' ἀπαλλάξαντας ἠτίμακε, τῇ τύχῃ μετροῦσα τὴν φιλανθρωπίαν· ἀλλὰ τοὺς τοῦ δυστυχεῖν καιροὺς τοῦ πράττειν εὖ πεποιήκει, τοῖς πολλοῖς τὰ παρ' αὐτῆς ἀγαθὰ προσθεῖσα, καὶ ποιησαμένη κοινωνοὺς ὧν ὅτε κάλλιστα [68] ἔπραττον οὐδὲ ἐλπὶς ἦν αὐτοῖς. Καὶ νῦν ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων [69] παίδων παῖδες οἰκοῦσιν, [1213 R.] οἱ μὲν ἄχρι Γαδείρων ἀπὸ Μασσαλίας προήκοντες [70], οἱ δὲ ἐπὶ τῷ Τανάϊδι καὶ τῇ λίμνῃ μεμερισμένοι. Ἐκδέχεται [71] δ' [72] ἡ πάλαι τοῦ λόγου προσδοκωμένη μοῖρα, ὡς ἐμοὶ δοκεῖ, καὶ ὑπὲρ πολλῶν [73], αἱ μετὰ τῶν κινδύνων πράξεις· ἃς ἐγὼ δέδοικα μὴ τῷ λέγοντι κίνδυνον ἔχωσιν εἰπεῖν μᾶλλον ἢ τῇ πόλει τῶν ἔργων ὅτε ἐπραγματεύετο. Οὐ μὴν ἀλλ' ἀναγκαῖον ἅψασθαι καὶ τούτων ἤδη. Καὶ μὴν [74] αὐτὸ τοῦτο πρῶτον, τὸ πάντας τοὺς ἐν χρείᾳ βοηθείας καταφεύγειν ἐπὶ τὴν πόλιν ὥσπερ [75] ἐκ δυοῖν ποδοῖν ὡς ἀληθῶς, καὶ [76] μηδεμίαν τῶν ἄλλων πόλεων ὁρᾶν, μέγα καὶ φανερὸν σύμβολόν ἐστι, καὶ στήλης ἄμεινον, τοῦ προέχειν εὐθὺς ἐξ ἀρχῆς οὐχ ὅσον λανθάνειν, καὶ μαρτύριόν γε [77] δυοῖν [78] τοῖν καλλίστοιν, ἀνδρείας καὶ φιλανθρωπίας· εἰ [79] δὲ βούλει, λέγω δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας [80]. Ὥσπερ γὰρ κήρυκες ἅπαντες οὗτοι περὶ αὐτῆς γεγόνασι, καὶ τὴν ἀνάῤῥησιν ἀπ' αὐτῶν τῶν ἔργων πεποίηνται μήτε μέλειν τισὶ τοῦ δικαίου μᾶλλον τῶν Ἀθηναίων, μήτε ἀμείνους εἶναι κωλύειν ὅσα ἂν ἔξω τοῦ καλοῦ γίγνηται [81], ἀλλ' εἶναι τὰς μὲν ἄλλας πόλεις [655 H.] τῶν Ἀθηναίων δεομένας, αὐτὰς δ' ἐφ' ἑαυτῶν ἀριθμὸν πληρούσας τῇ Ἑλλάδι, τὴν δὲ ὡς ἀληθῶς ὥσπερ πόλιν ἐν χωρίοις ἀνέχουσαν ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς, τῶν μὲν τὰ δίκαια τιμώντων ὀχυρωτέραν, τῶν δὲ τὰς δυνάμεις ἐχόντων ἐπιεκεστέραν, μᾶλλον δὲ τῶν μὲν τὰ δίκαια τιμώντων ἀκριβεστέραν εἰς αὐτὸν τὸν τοῦ δικαίου λόγον, τῶν δὲ ἐπὶ τοῦ βιάζεσθαι δυνατέραν εἰς τέλος, ὥστε ἄμφω τὼ γένη δι' ἀμφοῖν νικᾷν. Ταυτὶ [82] μὲν οὖν κοινὰ δείγματα.

[Τὸ [83] προκείμενον τοῦ λόγου σχῆμα διαφόροις ὀνόμασι κέκληται· καὶ γὰρ στρεπτόλυτον καλεῖται καὶ διάλληλον, ἐναγώνιον, διαγώνιον, χῖ χιαστὸν, πλεκτὸν καὶ λυτὸν, παρακειμένου κακοῦ ἀναίρεσις. στρεπτόλυτον μὲν παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν τὰ λεγόμενα, ἐναγώνιον δὲ διὰ τὸ δοκεῖν ἔχειν ἀγῶνα τῇ ἐπαγωγῇ τῶν νοημάτων, χῖ δὲ [84] χιαστὸν, διότι δύο προτάσεων οὐσῶν τοῦ δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ δοῦναι, τοῦτο ἀπένειμε τῷ δυνατῷ, ὃ δὲ ἔδει τῷ δυνατῷ, ἀνέθηκε τῷ δικαίῳ πάλιν, ἐναλλάξας τὰς ἐννοίας, παρακειμένου δὲ κακοῦ ἀναίρεσις λέγεται, ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν, ἀνεῖλε τὴν ἑκατέρου κακίαν, οἷον δικαία οὖσα καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα καὶ οὐκ ἀδικοῦσα [85]. Εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, ἀλλ' [86] οὐκ ἔστι τὸ σχῆμα συγκριτικὸν [87]. ἀλλ' ὡς εἴρηται παρακειμένου κακοῦ μεθοδεύει ἀναίρεσιν [88].]

Ἀμαζόσι [89] μὲν γὰρ, αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν, ἱππομαχίαν [90] συνάψαντες πανωλεθρίᾳ διέφθειραν, οὐδενὸς ἀνταίροντος τῶν [91] μέχρι τῆς Ἀττικῆς· ἀλλ' ἐξισώκεσαν ἤδη τὰς ἠπείρους [92], ὥσπερ ἀπὸ σημείου τοῦ Θερμώδοντος ὁρμώμεναι [93].]

admiserat, **401***a* infelices factos dimiserit, quasi fortunæ humanitatem accommodaret, sed infortuniis ad beneficiorum occasionem sit usa, de suo plerisque impertiens, quæ prius nunquam vel speraverant. Et jam ad utrumque terræ terminum vestri habitant liberi, partim ad Gades usque a Massilia pertinentes, partim per Tanaim, ac paludem diffusi. Sequitur ea nunc orationis pars, a multis, ut opinor, exspectata, quæ res belli summo discrimine gestas complectitur, quas equidem metuo majorem narrandi difficultatem dicenti, quam civitati olim gerendi, exhibituras esse : non tamen necesse eas jam est attingere. Atqui hoc ipsum primum, quod omnes, qui sunt in necessitate constituti, ad hanc urbem utroque, ut aiunt, pede confugiunt; nec ad aliud ullum oppidum respiciunt, id evidenter omnique columna clarius ostendit, eam ab initio statim Græciæ principem, non modo non ignobilem fuisse, ac de rebus duabus pulcherrimis, fortitudine et humanitate (aut potius justitia) testimonium illi perhibet. Etenim isti omnes instar præconum ipsius fuerunt, qui experientia docti prædicarent, Athenienses et justissimos esse, et injuriam optime coercere, aliasque civitates hujus indigas pro se singulas Græciæ numerum explere, hanc autem vere tanquam urbem inter pagos eminere, apparatu et prudentia æquali instructam, ut justis fortiorem, ita potentibus æquiorem, aut potius et justis exacte justiorem, et violentis potiorem, ita ut utrosque utroque superet. Atque hæc quidem communia sunt exempla.

[Hoc orationis schema variis nominibus appellatur. Etenim dicitur streptolytum, diallelon, enagonium, diagonium, chiastum, implicatum, solutum subjecti mali amolitio. Streptolytum quidem, quia ex æquivalentibus solvit dicta ; enagonium vero quia videtur habere **401***b* certamen in inductione sensuum; chiastum, quia duarum propositionum, justi scilicet et potentis, quod quidem oportebat dare justo, dat potenti, quodque potenti, iterum dat justo, sensum permutans. Dicitur autem subjecti mali amolitio, cum subjicit ut justis, facile pati injuriam, ut fortibus vero injuriam facere, sustulit utriusque malitiam. Quale est : *Justa est et non patiens ; et fortis et injuriam faciens haudquaquam.* Si enim in fine posuit nominis comparativum, sed non est schema comparativum, sed ut dictum est, subjecti mali machinatur amolitionem.]

Nam cum Amazonibus, quarum facta superarunt naturam, equestri prælio commisso, totam gentem deleverunt, cum eis nullus ad Atticam usque restitisset, verum omnia solo adæquassent, a Thermodonte quasi centro profectæ.

VARIÆ LECTIONES.

[68] κάλλιστον B. καὶ νῦν] p. 195. [69] υμετέρων B. [70] προήκοντες B : παρήκοντες ς. [71] ἐκδέχεται] p. 199. [72] δ' om. B. [73] καὶ ὑπὲρ πολλῶν om. A. [74] καὶ μέν] p. 202. [75] ὥσπερ [76] καὶ] ὡς A. [77] γε om. A. [78] δυεῖν A. [79] εἰ δέ [80] φιλανθρωπίας om. A. [81] γίγνοιτο ς. [82] ταυτὶ — ἀναίρεσιν om. B. [83] ἑρμηνεία. τὸ rc. A. [84] δὲ] δε καὶ A. [85] οὐκ ἀδικοῦσα A : ἀδικοῦσα οὐδ' ὅλως ς. [86] ἀλλ' — [87] συγκριτικόν om A. [88] ἀναίρεσιν om. B. [89] Ἀμαζ.] p. 203. [90] ἱππομαχίαν corr. B. ἱππομαχίᾳ A et pr. B : ἱππομαχίας ς. [91] τῶν om. A. [92] τὰς ἠπείρους] ταύτας A et fortasse pr. B. [93] ὁρμώμεναι om. A, a correctore habet B.

Unde tunc omnia quasi funeruplo retrocesserunt, A dissoluto Amazonum et imperio, et excursu, et urbe, sic communi subvenit naturæ, effecitque, ut jam dubium sit, an unquam exstiterint. At nunc cum par labor in quæstione omittendorum, et digna eorum, quæ clariesima videantur, explicatione sit ponendus, nec quisquam adhuc vel nuda narratione sit omnia complexus, quamvis alioqui plurima singuli, de hac una civitate, atque adeo plura quam de reliquis omnibus, dixerint, non licet nobis accuratius tractare singula, et plurima sunt omittenda, ut maxima quæ sunt referamus, quandoquidem certe nemo sit, quin libenter ista in medium proferat. Nam cum Græci de summa rerum cum barbaris decertarent, parva terræ parte cum ingenti commissa, et pro virtute ac salute certamen esset, B tum civitas utramque gentem præter omnem spem vicit, et alteram esse parvam sibi appendicem, alteram tanto deteriorem, quanto videbatur major, declaravit. Tum vero facta sunt a verbis, aliena videlicet a nostris, superata, cum plebiscitum omni tropæo præclarius, verbis pariter et re vicit, quandoquidem manibus statim fuit comprobatum, non modo sublatis, ut fieri solet, sed etiam præcones perdentibus. **402***a* De eo autem, qui litterarum fuerat interpres, populum quidem in suffragium miserunt, ut judicii formam, quoniam Græcus erat, præter cæteros haberet : nihilominus tamen et ipsum interemerunt, quasi ne voce quidem sola barbaris esset inserviendum. Itaque id quo ille maxime nitebatur, eum fefellit, cum illi censerent C hominem municipalem interpretis officio contra urbem, et Græcos pro hostibus fungi non debere. Tum in barathrum projecti sunt, sic ut alii responsa regi intulerint.

[Sublatus interpres Samius erat genere, nomine vero Mys.]

Civitas autem pompam potius ducere, quam ad certamen se comparare videbatur. Templa namque omnia aperuerat, sacerdotibus convocatis, ac diis antiquo more supplicationes faciebat. Ac primum quidem cursus eos omnes, qui ob coronæ præmium suscipi solent, longe superabant, æqualem præmiorum excellentiæ præstantes alacritatem ; in fine vero sese ipsi vincebant. Tanta vero fuit hujus D apparatus et facti superbia, ut existimarent barbari se, si modo visi essent, tantum effecturos, ut omnes velut in ludis mox cederent, utroque se dederent. Atque hæc prima inter homines publica virtutis cum divitiis, et prudentiæ Græcæ cum turba et apparatu barbarico exstitit controversia, quæ non sermonis eloquentia, sed factorum demonstratione temporisque opportunitate fuit dirempta. Nec enim

Ἐντεῦθεν [94] δὲ, ὥσπερ κάλω [95] ῥαγέντος, ἐχώρησεν ὀπίσω· καὶ διελέλυτο Ἀμαζόσιν ἥ τε ἀρχὴ καὶ ὁ δρόμος, καὶ ἡ πόλις [96] κἀνταῦθα ἐβοήθησε τῇ κοινῇ φύσει, καὶ νῦν εἰς ἄπιστον περιέστηκεν εἴ ποτε ἐγένοντο. Νῦν [97] δ' ἐξ ἴσου καθεστῶτος τοῦ τε [98] εὑρεῖν ἃ χρὴ παραλιπεῖν καὶ τοῦ πρὸς [99] ἀξίαν εἰπεῖν τὰ νικήσαντα, καὶ οὐδενὸς μὲν οὐδ' ἐν ἁπλῇ διηγήσει πάντα [1] πω διεξελθόντος [2], πλεῖστα δὲ ὑπὲρ μιᾶς πόλεως ταύτης ἁπάντων εἰρηκότων, μᾶλλον δὲ ὑπὲρ μόνης πλείω σχεδὸν ἢ τῶν ἄλλων ἁπασῶν, [1216 R.] οὐκ ἐνδέχεται διεξιέναι καθ' ἕκαστον ἀκριβῶς, ἀλλ' ἀνάγκη τὰ πλεῖστα παραλιπεῖν, ἵνα δὴ τοῖς μεγίστοις χρησώμεθα. Ἐπεὶ τίς οὐκ ἄν ἄσμενος καὶ ταῦτα εἰς μέσον ἤνεγκεν; Ὅτε γὰρ [3] τοῖς Ἕλλησι καὶ βαρβάροις τὰ πράγματα ἐκρίνετο, καὶ μικρὸν πρὸς πολὺ μέρος τῆς γῆς ἠγωνίζετο, ὁ δὲ ἀγὼν ἦν ὑπὲρ σωτηρίας ἅμα καὶ ἀρετῆς, τότε ἐνίκησεν ἡ πόλις ἄμφω τὼ γένη κάλλιον εὐχῆς, ὡς τὸ μὲν προσθήκην αὐτῆς μικρὰν [4] ἀποφανθῆναι, τὸ δὲ πλεῖον [5] χεῖρον ἢ ὅσῳ πλεῖον [6] ἐδόκει. Ἐν [7] ἐκείνοις μέντοι τοῖς καιροῖς ἔργα λόγων ἡττήθη, λέγω δὲ τὰ τῶν ἄλλων ἔργα λόγων τῶν παρ' ἡμῖν· καὶ ψηφισμα τροπαίου κρεῖττον εἰς μνήμην ἐνίκησεν, ἅμα λόγῳ καὶ ἔργῳ νικῆσαν. Εὐθὺς γὰρ [656 H.] ἐν χειροῖν κύριον ἦν, οὐ τῇ χειροτονίᾳ μόνον ὡς νόμος, ἀλλὰ καὶ τῷ διαφθεῖραι τοὺς ἀγγέλους. Τῷ δὲ ἑρμηνεύσαντι τὰ γράμματα διαχειροτονίαν μὲν ἀπέδοσαν, ἵνα ἐπειδήπερ Ἕλλην ἦν, ἔχοι πλέον τὴν τῆς κρίσεως εἰκόνα, ἀπέκτειναν δὲ καὶ τοῦτον ὡς οὐδ' ἄχρι φωνῆς διακονῆσαι προσῆκον τοῖς βαρβάροις, καὶ τὸ ἰσχυρὸν περιῆλθεν αὐτῷ. Τὸν γὰρ τῆς πόλεως ἄποικον οὐκ ἠξίουν κατὰ τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἑρμηνέα τῷ φύσει πολεμίῳ γίνεσθαι. Καὶ οὕτω δὴ ῥίπτουσιν εἰς τὸ βάραθρον, ὥστε ἄλλους ἀναγγεῖλαι τῷ βασιλεῖ τὰς ἀποκρίσεις.

[Ὁ ἑρμηνεὺς ὁ ἀναιρεθεὶς Σάμιος ἦν τὸ [8] γένος, τοὔνομα δὲ Μῦς.]

Ἡ δὲ [9] πόλις πομπὴν ἀγούσῃ προσεῴκει μᾶλλον ἢ πρὸς ἀγῶνα κοσμουμένῃ· ἱερά τε γὰρ πάντα ἀνέῳγε, καὶ τὰ τῶν ἱερέων γένη συνῆγε, καὶ διεπρεσβεύετο πρὸς τοὺς θεοὺς τὸν ἀρχαῖον τρόπον. Καὶ πρῶτον [10] μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν, ὅσῳ περὶ καλλιόνων τῶν [11] ἄθλων ἠγωνίζοντο, τοσούτῳ [12] θαυμαστοτέραν τὴν προθυμίαν ἐπιδειξάμενοι. Τοσαύτη δ' ἦν ὑπερηφανία [13] τῆς παρασκευῆς καὶ τῶν ποιουμένων, ὥστε ἐξαρκεῖν ἐδόκει τοῖς βαρβάροις ὀφθῆναι μόνον· ὤροντο γὰρ ὥσπερ ἐν ἄθλοις ἅπαντας εὐθὺς ἀπογνώσεσθαι καὶ δώσειν ἑαυτοὺς ἀκονιτί. Αὕτη πρώτη δημοτελὴς κρίσις ἐν τῷ μέσῳ κατ' ἀνθρώπους ἐγένετο ἀρετῆς πρὸς πλοῦτον καὶ φρονήματος Ἑλληνικοῦ πρὸς βαρβάρων [14] πλῆθος καὶ παρασκευήν, οὐ λόγων εὐφημίᾳ κριθεῖσα, ἀλλ' ἔργων ἀποδείξει καὶ τῷ καλοῦντι τοῦ

VARIÆ LECTIONES.

[94] ἐντεῦθεν] p. 204. [95] κάλου AB. [96] καὶ ἡ πόλις om. AB : sed B post φύσει addit ἡ πόλις. [97] νῦν] p. 207. [98] τε om. A. [99] πρὸς] ὡς A. [1] πάντα] πάντων A et pr. B. [2] διελθόντος A. [3] γὰρ om. B. [4] αὐτῆς μικράν A : μικρὰν αὐτοῖς ς. [5] πλεῖον A : πλέον ς. malim πλείονι. [6] πλεῖον] πλειόνων A. [7] ἐν] p. 211. [8] τὸ om. A. [9] ἡ δέ] p. 213. [10] καὶ πρῶτον] p. 214. [11] τῶν om. A. [12] τοσοῦτον θαυμαστότερον A. [13] ἦν ἡ ὑπ. ς. [14] βάρβαρον ς.

καιροῦ. Οὐ γὰρ εἰς φόβον τὴν θέαν ἔτρεψαν [15], οὐδ' ἐξεπλάγησαν τῶν ὁρωμένων τὴν ἀλήθειαν [16], ἀλλ' ἥσθησαν ὁρῶντες ὅσων κρείττους γενήσονται, καὶ νομίσαντες ὥσπερ ἀφορμὴν εἰληφέναι παρὰ τῆς τύχης ὑπερβαλέσθαι [17] πάντας ἀνθρώπους ἀνδραγαθίᾳ, καὶ τοῦτ' εἶναι πλέον τῆς τοσαύτης στρατιᾶς, ἔχειν ὥσπερ χρήμασιν ἀρθόνως χρήσασθαι, καὶ διανοηθέντες ὅτι νῦν ὥσπερ ἑστιάσονται λαμπρῶς ὑπὸ τῶν βαρβάρων καὶ τῆς ἀρετῆς ἀξίως τῆς ἑαυτῶν. Καὶ γὰρ ἵπποι καὶ βέλη καὶ νῆες καὶ ψέλλια καὶ στρεπτοὶ [18] καὶ κύνες καὶ πάντα χρήματα δῶρα τῆς τύχης ἐστὶ προκείμενα τοῖς κρείττοσι. Ταῦτα καὶ στρατηγοὶ πρὸς ἑαυτοὺς εἰπόντες, καὶ πρὸς αὐτοὺς ἕκαστοι διαλεχθέντες, ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος [19] ἐγχώρουν δρόμῳ, καθάπερ διὰ ψιλοῦ τοῦ πεδίου θέοντες, καὶ τοῖς βαρβάροις οὐκ ἔδωκαν ἰδεῖν ὅ τι ἔστι τὰ γιγνόμενα, ἀλλ' ἅμα τάξεις ἐρρώγεσαν, καὶ ἄνδρες ἐκτείνοντο, καὶ ἵπποι συνελαμβάνοντο, καὶ νῆες εἵλκοντο,[1217 R.] καὶ χρήματα ἤγετο, καὶ χορεία Πανὸς ἦν τὰ ποιούμενα. Ἤδη [20] δέ τις τελευτήσας εἱστήκει περιτοξευθεὶς ὑπὸ τῶν βαρβάρων, φοβῶν τοὺς λοιποὺς ὥσπερ ἀθάνατος ὤν [21]. Ἀλλὰ [22] τότε ὡς ἀληθῶς ὄχλος ὄντες [23] ἡσθάνοντο, καὶ μέγιστον ἐναντίωμα ἑαυτοῖς, καὶ τοῖς πλείοσιν [657 H.] ἥττους ἐγένοντο ἢ ὅσοις ἄν τις ἐξ ἀρχῆς ἐθάρρησεν ἀντιστῆναι. Ὥστ' [24] εἰκότως εἰπεῖν εἶναι τὴν μὲν πόλιν τὸν ἐλευθέριον Διά τιμᾷν ἐπὶ τοῖς πραχθεῖσι [25] προστήκειν, τοῖς δ' ἄλλοις Ἕλλησι τὴν πόλιν, καὶ νομίζειν τὸν Ἀθηναίων δῆμον ὥσπερ ἐλευθέριον [26] τοῖς Ἕλλησιν [27] εἶναι. Ὥστε [28] εἰ τὸ μὴ ἔχειν ἐξ ἴσου γενέσθαι τῶν ἡττόνων ἐστὶν, ἅπαντας ἀνθρώπους νενικήκασιν. Ὁ δὲ [29] πάντας βασιλέας παρενεγκὼν ταῖς ἐπινοίαις, καὶ μηδὲν καταλιπὼν ἄτοπον νομίσαι, Ξέρξης ὁ Δαρείου, καταγνοὺς μὲν τοῦ πατρὸς ὡς ἐνδεῶς ἐπιχειρήσαντος, ὑπεριδὼν δὲ τῆς πόλεως καὶ τῶν Ἑλλήνων ὡς οὐδαμοῦ φανησομένων, ἀγῶνα διπλοῦν ἀγωνίζεται, τὸν μὲν ὑπερβαλέσθαι [30], τὴν δὲ τιμωρήσασθαι μετὰ πολλοῦ τοῦ κρείττονος. Δοκεῖ δέ μοι καὶ πρὸς τὰς διοσημείας τότε Ξέρξης ἀμιλλήσασθαι, καὶ πρὸς ἅπασαν ὄψιν τε καὶ ἀκοὴ ἀνθρώποις ἀνέλπιστον, ὥσπερ ἐνδείξασθαι βουλόμενος ὅτι αὐτοῦ βεβαίως ἐστὶν ἡ γῆ.

A isto spectaculo in metum, sed alacritatem illi conversi sunt, nec insolentiam eorum, quæ cernebant, osbtupuerunt, sed cum viderent quot essent vincendi, lætati sunt, quoniam se istam occasionem a fortuna omnium fortiter superandorum nactos putabant, et hoc fore tanti exercitus commodum, quod abundantem sui usum esset præbiturus, ac se jamjam magnifico seque digno quasi convivio excipiendos putabant. Nam et equi, et tela, et naves, tum phaleræ, et torques, canes omnesque opes, fortunæ dona, proponuntur fortioribus, et hæc omnia largitur victoria. Quæ cum apud se duces, et inter se milites expendissent, tum a diis, et amico orsi Apolline, curriculo tanquam patente campo processerunt, **402***b* nec barbaris videndi quid ageretur, spatium dederunt. Verum pariter et acies rumpebantur, et homines occidebantur, et capiebantur equi, naves, opes, instar Panicæ ejusdem choreæ. Quid quod etiam mortuus quidam, cum barbarorum telis confossus esset, stetit erectus, ac tanquam immortalis esset, reliquos perterruit. Sed tum revera turbam se esset, maximeque seipsos impedire cognoverunt, cum essent majore numero, quam cui aliquis initio sustinuisset resistere. Ut jure dicendum sit cum Jovem liberatorem ob res gestas urbs colat, Græcos urbem ac populum Atheniensem liberatoris loco habere debere. Quocirca si inæqualitas inferiorum est, omnibus hi victoriam ademerunt. Filius Darii Xerxes, qui omnium regum cogitationes superavit, et nihil mirandum non tentavit, cum et patris conatus inopia fuisse impeditos crederet, civitatemque et Græcos nusquam comparituros contemneret, duplex instituit certamen, quo partim illi antecelleret, partim hanc egregie puniret. Quin etiam cum effectis cœlestibus, omnique tum visu, tum rumore insolito [non, cum patre duntaxat], videtur certasse, quasi qui suam esse terram voluisset ostendere.

["Οτι Ἰσοκράτης ἀνθηρότερον εἶπεν, οὕτω τὴν πρᾶξιν ἀπαγγείλας· « Καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανειμάμενος, καὶ τῷ μὲν Διὶ παραχωρήσας τοῦ οὐρανοῦ, ἑαυτῷ δὲ τὴν γῆν. »]

[Floridius hoc dixit Isocrates, sic rem enuntians, veluti cum Jove creata dividens, Jovi cœlum, sib vero terram distribuens.]

Ἢ ποίους [31-33] φόβους ἐγγείους ἢ θαλαττίους οὐχὶ συνέστειλε τοῖς παρ' αὐτοῦ; οὓς τὰς ἀπειλὰς πρῶτον οὐκ ἦν ἑστῶσι τοῖς ὠσὶν ἀκοῦσαι. Ἀλλ' ἀπῄγον εἰς ἔσχατα γῆς, καὶ προὔλεγεν ἃ μηδενὸς ἦν ἐνρεῖν πλὴν ἐκείνου [34]. Ἔτι δὲ Ἀτλαντικοῦ πελάγους κληρουχίας ἀτίμους ἠπείλει, καὶ γῆς ποίησιν ἔξω τῆς οἰκουμένης, ἣν ἀναγκάσειν ἠκρωτηριασμένους προσχοῦν εἰς τὸ πέλαγος, ὕδωρ [35] μὲν ἀντλοῦντας, πέτρας δὲ

Quos terrores terra marique suis non incussit? cujus minas primum nemo poterat attentis auribus audire, cum ad ultimas terræ fines progrederentur, ea prædicentes, quæ exipsius tantum ingenio poterant prodire. Atlantici denique maris colonias viles redditurum, et extra eam quæ habitatur terram, conditurum : jamque ipsos coacturum mutilatos in mare evaggerare, aqua exhausta, lapidibus

VARIÆ LECTIONES.

[15] ἔτρεψεν A. [16] ἀλήθειαν A : ἀλήθειαν ς. [17] ὑπερβαλέσθαι B : ὑπερβάλλεσθαι ς. [18] στρεπτά B. [19] παιτᾶνος B. [20] ἤδη. [21] ὢν om. A. [22] ἀλλά] p. 216. τότε add. A. [23] ὄντες ὄχλος B. [24] ὥστ'] p. 217. [25] προαχθεῖσι B : προαχθεῖσι ς. [26] ἐλευθέριον] ἔλευ pr. A, ἐλευσῖνα corr. [27] Ἕλλησιν] ἄλλοις A. [28] ὥστε] p. 218. [29] ὁ δέ] p. 220. [30] τὸν μὲν ὑπερβαλέσται om. A, a correctore habet B. ὑπερβαλέσθαι B : ὑπερβάλλεσθαι ς. [31-33] ἢ ποίους] p. 221. ἢ ante ποίους om. A, [34] ἐκείνου A : ἐκείνου μόνου ς. [35] ὕδωρ.

effossis, tantum habentes membrorum, quantum ad opus sufficeret. Nec vero cum ista tam insolita, omnique metu majora minatus esset, substitit, verum factis verba longe superavit, præterquam quod urbi nihil potuit nocere. Athos **403***a* ad rei memoriam relictus est. Cameli vero tam aurei quam argentei collucebant, longissimum occupantes spatium. Sin umbram desiderabat, præsto erat arbor aurea, quæ umbram faceret. Itaque et nocte auro atque argento diem, interdiu, cum suos jaculari juberet, noctem inducebat. Sed et Græcos ad commune certamen convocabat, quod erubesceret, ut arbitror, sola se barbaris Græca opponere, ut apud Marathonem feceral. Nec enim in aliis ipsa spem salutis suæ ponebat, verum alii, qui salute simul et libertate indigerent, in ipsa spem suam collocarant. Quæ autem unquam vel alacritas præclarior, vel animi fortitudo evidentior in ullis hominibus exstitit? Cum hi terra cesserint, ne vel terra vel mari servirent, quod rerum suarum et conservationem in servitutis occasionem, et amissionem in novarum opum subsidium, vertendam existimarent, ita ut aliorum fortunas, suarum jactura tuerentur. Proinde, utrum malitis, eligite. Hæc ergo cum dixissent, num aliis verbis, quam quæ cum æquitate congruerent, nec essent in tali necessitate contemnenda, usi fuissent? Si tamen etiam communia fuissent omnia, nemine alterum superante, omnesque ex æquo contribuissent, ducibus insuper paribus, ut tanquam in collatione communi, pro rerum qualitate duces fuerint constituendi, nonne illi inter omnes ut sidera elucebant, omniumque consequebantur suffragia? idque non modo scientiæ jure, quod illi minus existimabant, quamquam tamen in talibus negotiis summum esse solet. Alii quidem nomine gaudebant, alii officio ducum fugebantur, eoque majorem obtinuerunt dignitatem, quod ipsis imperatoribus imperabant. Nihil etenim, quod uni cuidam Atheniensium improbaretur, rarum habebatur. Quapropter ut Lacedæmoniorum dux singularum navium imperabat ducibus, ita Atheniensis ducum duci. Et enimvero demonstrandi studium, sermoque alius ab alio tractus longius nos abduxit; quapropter quoniam de quibus volebam interim disserui, **403***b* ad rem ipsam redeo.

Quos ergo pulchriores his virtutis, vel cultores, vel demonstratores reperias? qui nec auro, nec argento, nec ferro, nec re denique ulla vinci potuerunt, sic ut hæc omnia non majorem regi usum afferrent, quam si etiam tum sub terra delituissent, cum illi paupertatem divitiis, securitati pericula, humanitati regis tantæ justitiam præponerent.

A ὀρυττοντας [36], τοσαῦτα ἔχοντας τοῦ σώματος, ὅσα τοῖς ἔργοις ἀρκέσει. Καὶ οὐκ ἠπείλει μὲν οὕτως ἀήθη καὶ ὑπερόρια καί φόβου μείζω [38], ἐτελεύτησε δ' ἐνταῦθα· ἀλλ' ἀπέκρυψε τοῖς ἔργοις τὰς ἀπειλάς, ἄνευ τοῦ τι δυνηθῆναι λέγω δὴ χρήσασθαι τῇ πόλει. Καὶ ὁ Ἄθως ἀντὶ στήλης τῷ ἔργῳ λέλειπται. Κάμηλοι δὲ χρυσοῦ καὶ ἀργύρου κατέλαμπον, ὅσον μήκιστον ἀνύσαι, τοσοῦτον ὑπέχουσαι. Εἰ δ' ἐπιθυμήσειε σκιᾶς, δένδρον ἦν αὐτῷ χρυσοῦν ἡ σκιά. Ὥστε νύκτωρ μὲν ἤστραπτεν ἀργύρῳ καὶ χρυσῷ [39], μεθ' ἡμέραν δὲ νύκτα ἐπῆγεν, ὁσαχοῦ τοξεῦσαι κελεύσειεν. Ἀλλὰ [40] τούς τε [41] Ἕλληνας συνεκάλει πρὸς τὸν ἀγῶνα [42] τὸν κοινόν, αἰσχυνομένη δοκεῖν μοι μόνη φανῆναι τῷ βαρβάρῳ καθάπερ πρότερον Μαραθῶνι. Οὐ γὰρ αὐτή γε ἐν ἄλλοις εἶχε τὰς ἐλπίδας τῆς σωτηρίας, ἀλλὰ πάντες εἶχον ἐν αὐτῇ τὰς ὑπὲρ αὐτῶν. Καίτοι [43] τίς προθυμία λαμπροτέρα, τίς εὐψυχία φανερωτέρα τίνων Ἑλλήνων ἢ καθάπαξ εἰπεῖν ἀνθρώπων ἐξετάζοντι [44] φανήσεται; Οἱ [45] τῆς γῆς ἐξέστησαν ὑπὲρ τοῦ μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ δουλεῦσαι, τὸ μὲν τηρεῖν τὰ ὑπάρχοντα δουλείας ἀρχὴν νομίσαντες εἶναι, τὴν δὲ τῶν ὄντων στέρησιν ἀφορμὴν τῶν μελλόντων ἀγαθῶν ποιησάμενοι, καὶ τοὺς ἔχοντας τὰ ἑαυτῶν ἐσωζον ἀφ' ὧν αὐτοὶ πρόοιντο [46] τὴν ἑαυτῶν. [Πρὸς [47] ταῦτα αἱρεῖσθε ὁπότερα [48]] ἆρ' ἢ τῷ δικαίῳ λόγους οὐχὶ [1220 R.] συμβαίνοντας, ἢ ταῖς [658 H.] παρούσαις ἀνάγκαις οἵους ἐγχωρεῖ παριδεῖν, εἶπον ἄν, εἰ τούτοις ἐχρῶντο; Ἀλλ' εἰ κοινὰ μὲν πάντα ἦν, μηδεὶς δὲ ὑπερεῖχε μηδενὸς, πάντες δ' ἐξ ἴσου συνετέλουν, οἱ δὲ [49] ναύαρχοι παραπλησίως εἶχον τὰς φύσεις ἀλλήλοις [50], ἔρανος δ' ἦν, ἔδει δ' ἐκ τῶν ὑπαρχόντων σκεψαμένους [51] τοὺς ἡγησομένους καταστῆσαι, πῶς οὐκ ἐκεῖνοι διὰ πάντων ἐξέλαμπον ὥσπερ ἀστέρες; Οὐ μὴν ὥσπερ [52] τοῖς ψηφίσμασιν καὶ τῷ κέρᾳ τῆς παρατάξεως, οὕτω κἀν ταῖς πράξεσι τὴν ἡγεμονίαν ἑτέροις παρεῖσαν [53] πόθεν; Ἀλλ' οἱ μὲν ὄνομα ἡγεμόνων, οἱ δὲ ἔργα παρείχοντο. Καὶ τοσούτῳ κάλλιον αὐτοῖς τὸ σχῆμα καθίστατο, οσῳ τῶν ἡγεμόνων αὐτῶν εἶχον τὴν ἡγεμονίαν. Ὅτι γὰρ Ἀθηναίων μὴ δόξειεν ἑνὶ, πάντ' ἦν [τῶν ἄλλων Ἑλλήνων] ἄκυρα, ὥσθ' ὁ μὲν Λακεδαιμονίων ναύαρχος τῶν ἀφ' ἑκάστων ἀρχόντων ἦρχεν, ὁ δὲ τῶν Ἀθηναίων ἄρχοντος ἀρχόντων. Ἀλλὰ [54] γὰρ ἡ περὶ τὰς ἀποδείξεις σπουδὴ καὶ λόγῳ λόγος παραδιδοὺς ἡμᾶς παρένεγκε περαιτέρω [55]. Εἶμι δὲ ἐπ' αὐτὰς πάλιν τὰς πράξεις, ἐπειδὴ περὶ ὧν ἐβουλόμην ἐν τῷ μέσῳ διέλαβον. Τίνες [56] οὖν ἀρετῆς ἀγωνισταὶ καλλίους; Ἢ τίνες τῶν πώποτε διαρκέστερον [57] τὴν ἐπίδειξιν αὐτῆς ἐποιήσαντο; Οἳ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ σιδήρῳ καὶ [58] τοῖς πᾶσιν ἀήττητοι διεγένοντο, καὶ πάντα ἀπέρησαν ομοίως ἄχρηστα τῷ βασιλεῖ, ὥσπερ ἂν εἰ ἐκρύπτετο ὑπὸ γῆς [59] ἔτι, πενίαν μὲν ἀντὶ πλούτου τιμήσαντες, κιν-

B

C

D

VARIÆ LECTIONES.

[36] ὀρύττοντας om. A. [37] μείζονα A. [38] καὶ ὁ] p. 223. [39] χρυσίῳ A. [40] ἀλλά] p. 225. [41] τε om. A. [42] τὸν ἀγῶνα om. AB. sed corr. B. ἀγῶνα post κοινὸν addit. δοκεῖ A. [43] καίτοι om. A. locus est p. 231. [44] ἐξεταζόντων B. [45] οἵ] οἷον A. [46] πρόοιντο] imo προεῖντο. [47] πρός] p. 235. πρὸς [48] ὁπότερα om. A. [49] δὲ om. A. [50] ἀλλήλοις om. A. [51] σκεψομένους ζ. [52] οὐ μὴν ὥσπερ A : ταῦτα δὲ ἐποιουν καί ζ. est p. 238. [53] παρῆσαν A, παρῆκαν B. ὅ τι B, οὕτω A : ὅτι οὕτω ζ. ὥσθ' ὁ — ἄρχοντος ἀρχόντων om. A. [54] ἀλλά] p. 239. [55] περαιτέρω A : ποῤῥωτέρω ζ. [56] τίνες] p. 251. [57] διαρκέστερον] διαρκεστέραν : τῶν Ἀθηναίων διαρκέστερον ζ. [58] καὶ ante τοῖς add. A. [59] γῆν A.

δύνους δὲ ἀντ' ἀσφαλείας ἑλόμενοι, δικαιοσύνην δὲ ἀντὶ τῆς βασιλέως τοσαύτης φιλανθρωπίας. Ἀλλ' [60] ἵνα μὴ πλέον [61] τῶν ἀναγκαίων παραιτούμενος αὐτῷ τούτῳ μηκύνω, πρὸς τοὺς ἑξῆς [62] τῶν λόγων καὶ συνεχεῖς καὶ δὴ τρέψομαι. Ἀλλὰ [63] γὰρ ἐνταῦθα μὲν ὥσπερ ἄκων ἐνέπεσον, καὶ καθ' ὁδὸν τοῦ λόγου μᾶλλον [64.65] ἢ προειδόμενος· οὐ [66] γὰρ εἰς τοῦτο [67] ὁρῶν ἠπειγόμην.

A Sed ne quid aliunde adducam, huic uni inhæream, ad cæteram ac continuam orationis partem me convertam. Sed in hunc sermonem pene invitus cecidi, narrationis serie magis quam voluntate ductus, cum nequaquam huc tenderem.

[Τὸ καθ' ὁδὸν ἢ κατ' ἀξίαν λέγει, ὥσπερ [68] ἐστὶν εὐθεῖα ἡ ὁδός, ἢ ὥσπερ συμβαίνει ἐν ὁδῷ γενέσθαι· πολλάκις γάρ τις ἀπερχόμενος τήνδε τὴν ὁδὸν, ἄλλην ἕλκοντος αὐτὸν βαδίζει φίλου.]

[Narrationis serie, vel pro dignitate dicit, quemadmodum recta est via, vel, ut contigit in via esse, sæpenumero enim a via aberrans, alio vadit ducente amico.]

Ὁμοῦ [69] δὲ πρὸς πᾶσαν τὴν τῶν Περσῶν ἀρχὴν διακινδυνεύοντες ἐν τῇ γῇ [70] ἀντ' ἀριθμοῦ σωμάτων ἐθνῶν ἀριθμοὺς διαφθείροντές τε καὶ λαμβάνοντες. Ἤδη δὲ καὶ δύο τρόπαια εἰς μίαν ἡμέραν ἦλθε, καὶ ναυμαχία πεζομαχίᾳ παρισώθη. Μόνοι [71] γὰρ ἀνθρώπων τῶν εἰς κοινὸν πολιτευσαμένων τὴν μὲν οἰκείαν ὥσπερ ἀλλοτρίαν ἐνόμισαν, τὴν δ' ἀλλοτρίαν [72] οὐχ αὐτῶν ἀλλοτρίαν ἀλλὰ τῶν σὺν κακίᾳ νεμομένων. Φυλάκων δ' ἐθίωσαν βίον, οὐδὲ τούτων ἱδρυμένων, οὐνέ γε ἑνὸς τόπου τινὸς περιπόλων. Ἀλλὰ τοῦ διὰ πάσης γῆς [73] Ἑλληνικοῦ περιπόλους ἐκείνους χρὴ καλεῖν. Ἕως ἔγνω βασιλεὺς ἀνταίρων τῇ πόλει παραπλήσιον ποιῶν, ὥσπερ ἂν εἰ πρὸς φλόγα πολλὴν ἐπιοῦσαν ὕλην ἐπηρμένος ἠγωνίζετο. [659 H.] Οὐδὲν γὰρ ἦν ὅ τι οὐκ ἔπασχεν, ἀλλ' ἀνηλίσκετο αὐτὸς ἐξ αὐτοῦ, καὶ τὴν χώραν ἐπιτείχισμα τῆς ἑαυτοῦ σωτηρίας ἔχων ἥσθετο.

B Contra totum imperium Persarum discrimen in terra subirent, ac pro singulis hominibus gentes integras tum occiderent, tum caperent. Quid quod eodem die duo parta sunt tropæa, cum navale prælium terrestri fuisset adæquatum. Soli enim ex iis qui communem instituerunt rempublicam et suam regionem pro aliena habuerunt, et aliena quæ esset, non sibi alienam, sed iis qui eam cum scelere incolerent, custodum denique more vixerunt, non ut qui in præsidiis collocati sunt, aut unum aliquem locum obeunt, sed ut Græcorum omnium per totam terram circitores nominare oportebat. Donec tandem cognovit rex, perinde se contra urbem bellum cepisse, ac si igni late grassanti oleum opposuisset. Nihil enim damni erat, quod non pateretur, sic ut ipse consumeretur a sese, ac regionis spatium salutis subsidium habere se intelligeret.

[Τὴν ἰδίαν χώραν καθ' ἑαυτῦ· ἐξ αὐτῆς γὰρ οἱ Ἀθηναῖοι, ἤτοι τῆς Ἀσίας, ὡς ἐξ ὁρμηδηρίου ἀφορμῶντες [74] ἔβλαπτον αὐτόν.]

[Propriam regionem contra seipsum. Ex hac enim Athenienses, scilicet Asia velut ex arce illum ejecerunt.]

Εἶχε [75] μέν γε [76] πρὸ τοῦ τὸν μέχρι Πηνειοῦ τόπον. Καίτοι τὸ θαυμαστὸν ἀφεῖλον, ὡς ἤδη τι [1221 R.] θαυμαστὸν λέγων. Εἶχε πάντα τὸν μέχρι τῆς Ἀττικῆς, ἕως ἐνέτυχε τοῖς ἐκ τῆς Ἀττικῆς ἐν τῇ θαλάττῃ· τοσοῦτον παρελήλυθε τὸν ὀμφαλὸν τῆς γῆς τε καὶ τῆς Ἑλλάδος τοὺς Δελφούς. Ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο [77] κατῆλθεν, ὥστε ὡμολόγησε δυοῖν [78] μὲν ὅροιν εἶσω μηκέτι πλευσεῖσθαι, πρὸς μεσημβρίαν μὲν Χελιδονέας [79], πρὸς δὲ ἄρκτον Κυανέας θέμενος, θαλάσσης δ' ἀφέξειν ἴσον πανταχῇ σταδίους πεντακοσίους· ὥστ' εἶναι τὸν κύκλον τοῦτον ἀντ' ἄλλου τινὸς στεφάνου τοῖς Ἕλλησιν ὑπὲρ κεφαλῆς, καὶ τὴν φρουρὰν ἐξ αὐτῆς τῆς χώρας τοῦ βασιλέως.

C Nam hactenus quidem usque ad Peneum imperabat, aut potius (magnam enim partem detraho, quanquam multum dicere videor) usque ad Atticam, **404***a* donec Atheniensibus in mari occurrit. Tanto jam spatio Delphos, terræ totius Græciæque umbilicum (78) transierat. Ac per urbis certamina, et marinas expeditiones usque eo redactus est, ut polliceretur se nec terminos duos, Chelidoneas ad meridiem, Cyaneas ad septentriones, navigio deinceps superaturum, et a mari ad quingenta undique stadia recessurum, adeo ut orbis ille pro corona capitis Græcis esset, et in ipso jam regio agro præsidia collocarent sua.

Καίτοι [80] τί κάλλιον εἴποι τις εἰρήνης ἢ πολέμου κεφάλαιον, ἢ πρὸς Ἕλλῆνας ἢ πρὸς βαρβάρους, ᾧ κατέκλεισε τότε τὰς πράξεις ἡ πόλις; καὶ ταῦτα μέντοι τοσαῦτα καὶ τοιαῦτα διῆλθε σὺν πολλοῖς ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων, καὶ πάντων ὥσπερ ἀνθελκόντων. Τὸ [81] γὰρ ἐν πολέμῳ καὶ φιλονεικίᾳ τῶν

D Quem autem pulchriorem vel pacis vel belli, tam contra Græcos quam contra Barbaros, exitum quis reperiat, quam quo res has urbs conclusit? Quanquam nec hæc ipsa, quæ tot tantaque sunt, sine multis Græcorum obstaculis peregit, omnibus eam quasi diripientibus. Etenim quod non Græci con-

VARIÆ LECTIONES.

[60] ἀλλ'] p. 257. [61] πλέον A : πλείω ς. [62] ἑξῆς A : ἐφεξῆς ς. [63] ἀλλὰ] p. 258 extr. [64] λόγου τοῦτο μᾶλλον ς. μᾶλλον om. A. [65.66] οὐ — ἠπειγόμην om. B. [67] τοῦτο A : ταῦτα ς. [68] ὥσπερ] ὅπερ. A. [69] ὁμοῦ] p. 263. [70] ἐν τῇ γῇ om. A. [71] μόνοι] p. 265. [72] ἀλλοτρίων ς. [73] πάσης τῆς γῆς ς. [74] ἀφορμῶντες A : ἀφορῶντες ς. [75] εἶχε] p. 266. [76] γε om. A. [77] εἰς τοῦτο] τοσοῦτον A. [78] δυεῖν ς. [79] Χελιδονέας B : Χελιδονίας ς. [80] καίτοι] p. 267. [81] τό] τῷ A. est p. 268.

NOTÆ

(78) **Pind.** Pyth. od. 8, et **11**, Eurip. ***Medea***; Plato, lib, 4, *De repub.* Clem. Alex. Protrept. et **alii.**

tentionem et bellum contra ipsam suscepissent, nihil tamen de Græcorum cura remisit: verum pro communi salute bellum cum rege terra marique gessit, quantæ est animi magnitudinis, præter quod in tot partes se divisit, atque omnia non secus atque singula curavit, et cum animi fortitudine, tum apparatus magnitudine admirandam se præbuit. Nam et contra Barbaros ita se gessit, quasi ab omnibus negotiis vacaret, nec interim Græcis, si qui erant infesti, occasionem gerendi, quæ vellent, præbuit: verum et his ita se obviam dedit, ut quinas vel etiam plures simul res ab ea gestas, velut ea quæ numerantur conjunctim, commemorare liceat. Vicerunt enim Peloponnesios navali prælio ad Cecryphaliam, et Æginetas ad Æginam, et rursum Peloponnesios. Deinde Megariensium mœnia ad mare usque protenderunt, libertatem eorum simul cum regione defendentes. Tum Corinthios ante Megarenses primum superarunt, et iterum urbem vicerunt post dies duodecim, cum injuste tropæum surripuissent. Quæ tametsi magni momenti non sunt, dicentur a me tamen, licet festinem, quandoquidem appendix rem totam absolvet. Cum enim abessent urbis copiæ, partim ad Ægyptiorum subsidium, naves plures, quam tunc erant in tota Græcia, partim in Æginæ obsidione, aggressi sunt hostes **404***b* Megara invadere, quod existimabant Atheniensium otium sibi in occasionem rei gerendæ cedere, aut saltem si urbs rursum vinceret, Æginæ obsidionem solutum iri: siquidem illi aliunde opem ferre non possent. Illi autem adeo hoc commentum riserunt, ut qui ad Æginam erant, non magis quam qui in Ægypto rem omnem ignorabant, loco se moverent.

Quinimo sola privato periculo communi utilitati studuit, et beneficiorum copia principatum sibi comparavit, more communi mutato. Non enim quod oppida subjugarat, sed quod libera fecerat, imperium est adepta: ita ut eodem tempore et Græcis libertas, et urbi fuerit imperium tributum. Huic enim soli ultro paruerunt reliqui, et hunc populum communi suffragio jusserunt imperare, adeo ut cum armis Barbaros coegisset, socios tamen nihil precatus fuerit, sed ipsorum precibus compulsus principatum acceperit, quo ad justitiæ, non injuriæ notam uteretur. Ut autem singulatim rem totam explicem, sola hæc civitas, Barbaris invitis, Græcis autem petentibus, imperium est adepta. Quis unquam digne vel expendat, vel admiretur? Ut autem insignis illa clades accepta fuit (cur enim hoc taceam, cum et ipsum ad urbis magnitudinem ostendendam pertineat?) quæ ita sit ad reliquas res progressa, quasi totam cepisset Siciliam, nec copias

Ἑλλήνων πρὸς αὐτὴν καθεστηκότων τῆς ὑπὲρ τῶν Ἑλλήνων προνοίας μηδὲν μᾶλλον ἀφεῖσθαι, ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων βασιλεῖ πολεμεῖν διὰ γῆς ἁπάσης καὶ θαλάττης, πόσῃ τινὶ χρὴ [82] τῇ μεγαλοψυχίᾳ προσθεῖναι; χωρὶς τοῦ πρὸς [83] τοσαῦτα μερισθῆναι, καὶ πάντων ὡς μόνων ἑκάστων ἐφικέσθαι [84], τῆς μὲν γνώμης τὴν ἀνδρείαν, τῆς δὲ παρασκευῆς τὴν ὑπερβολὴν παρέχειν θαυμάσαι. Τά τε γὰρ πρὸς τοὺς βαρβάρους ὡς πᾶσαν ἄγουσα [85] ἀπὸ πάντων σχολὴν, οὕτω διῳκήσατο, καὶ τοῖς ἐνοχλοῦσι τῶν Ἑλλήνων οὐδὲν μᾶλλον ὑπῆρχε χρήσασθαι τῷ καιρῷ, ἀλλὰ καὶ τούτοις οὕτως ἀπήντησεν, ὥστε σὺν πέντε καὶ σὺν πλείω ταῦτ' ἔχειν ἀριθμεῖν [87], ὥσπερ ἄλλα ἄττα συλλήβδην ἀριθμούμενα. Ἐνίκων μέν γε ναυμαχίᾳ Πελοποννησίους ἐπὶ Κεκρυφαλίᾳ, ἐνίκων δ' Αἰγινήτας πρὸς Αἰγίνῃ, καὶ Πελοποννησίους αὖθις. Μεγαρεῦσι δ' ἔστησαν τείχη [88] μέχρι θαλάσσης, καὶ τὴν ἐλευθερίαν ἅμα καὶ τὴν [89] χώραν διεφύλαξαν. Ἐνίκων δὲ Κορινθίους πρὸ Μεγαρέων· καὶ πρὶν δώδεκα ἐξῆκειν ἡμέρας ἐνίκων αὖθις ἑτέραν, οὐ καλῶς τὸ τρόπαιον ὑφαρπάζοντας [90]. Καὶ οὔπω ταῦτα μεγάλα· ἀλλ' εἰρήσεται γὰρ, κἂν ἐπείγωμαι· ἡ γὰρ προσθήκη δείξει τὸ πᾶν. Ἁπάσαν μὲν γὰρ αἱ δυνάμεις τῇ πόλει, ἡ μὲν κατὰ τὴν τῶν [92] Αἰγυπτίων χρείαν, νῆες [92] πλείους ἢ τότ' ἦσαν ἐν τοῖς Ἕλλησιν αἱ σύμπασαι σχεδὸν [93], ἡ δ' Αἰγίνῃ προσεκάθητο. Ὅπερ καὶ τοὺς ἐναντίους μᾶλλον ἐπῆρεν ὁρμῆσαι πρὸς τὰ Μέγαρα· ᾤοντο γὰρ εἶναι σχολὴν Ἀθηναίων εἰς τὸ ἔργον ἑαυτοῖς. Εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῴη, ἀλλ' ἑτέραν πολιορκίαν [660 H.] λύσειν τῆς Αἰγίνης· οὐ γὰρ ἄλλοθέν γε λοιπὸν ἥξειν αὐτούς. Οἱ δὲ τοσοῦτον κατεγέλασαν τοῦ σοφίσματος, ὥστε οὐδὲν μᾶλλον οἱ πρὸς Αἰγίνῃ τότε ἐκινήθησαν τῶν ἐν Αἰγύπτῳ καὶ μηδὲν πεπυσμένων.

Ἀλλὰ [94] μὴν μόνη μὲν ἁπασῶν πόλεων ἰδίοις κινδύνοις κοινὴν ἅπαντι τῷ γένει τὴν ὠφέλειαν ἐπορίσατο, μόνη δὲ ἐκ τῶν κοινῶν εὐεργεσιῶν τὴν ἡγεμονίαν ἐκτήσατο [95], καὶ μετέθηκε τὸν θεσμόν· οὐ γὰρ ἐξ ὧν κατεδουλώσατο τὰς πόλεις ἔσχε τὴν ἀρχὴν, ἀλλ' ἐξ ὧν ἐποίησεν ἐλευθέρας. Ὥστε συμβῆναι τοὺς αὐτοὺς χρόνους τοῖς μὲν Ἕλλησι τὸ τῆς ἐλευθερίας, τῇ δὲ πόλει τὸ τῆς ἀρχῆς κέρδος ἐνεγκεῖν. Μόνοι γὰρ ἑκόντων ἦρξαν, καὶ μόνος οὗτος δήμων ὥσπερ εἷς ἄρχων αἱρετὸς ἐξ ἁπάντων ἐνίκησε, τοὺς μὲν βαρβάρους τοῖς ὅπλοις βιασάμενος, [1224 R.] τοὺς δ' ὁμοφύλους οὐ πείσας, ἀλλ' ὑπ' αὐτῶν ἄρχειν πεισθεὶς, σύμβολον [96] δισκαιοσύνης ἔχων τὴν ἀρχὴν, ἀλλ' οὐκ ἀδικίας. Εἰ δὲ δεῖ διελόντα εἰπεῖν, μόνῃ πόλεων τῶν μὲν βαρβάρων ἀκόντων, τῶν δ' Ἑλλήνων δεηθέντων [97] ἔσχε τὴν ἀρχήν. Ποίᾳ [98] ταῦτ' ἔνεστι [99] ψυχῇ παραβαλεῖν ἀνθρωπίνῃ, καὶ τίνος οὐκ εὐτυχίας μᾶλλον θαυμάσαι; γενομένου δὲ τοῦ μεγάλου πάθους· οὐ γὰρ οὖν σιωπήσομαι, ἀλλὰ καὶ τοῦτο ἔτι

VARIÆ LECTIONES.

[82] χρὴ om. AB, ante προσθεῖναι ponit rc. B. [83] πρὸς om. [84] αφικέσθα. A. [85] ἄγουσαν A. [86] ὥστε σὺν om. A. [87] ἀπαριθμεῖν ς. [88] τεῖχος A. [89] τὴν om. A. [90] ὑφαρπάζοντες A. [91] τὴν τῶν om. A. [92] νῆες. [93] σχεδὸν om. A. [94] ἀλλὰ] p. 274. [95] μόνη δὲ — ἐκτήσατο om. A. [97] σύμβολον δὲ δικ. B. [97] δεηθέντων] ἑκόντων, idque rc., AB. [98] ποίᾳ] p. 279. [99] ἔστι A. παραβάλλειν A. περιλαβεῖν ς.

μείζω [1] μοι δοκεῖ [2] δεικνύναι τὴν πόλιν. Οὕτω γὰρ τοῖς ὑπολοίποις προσηνέχθη πράγμασιν, ὥσπερ ἂν εἰ πᾶσαν εἰλήφει τὴν Σικελίαν. Οὐ γὰρ ἐστερημένη δυνάμεως ἐῴκει, ἀλλ' ἄρτι προσκεκτημένη. Καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ σωφροσύνην καὶ τάξιν [3] διαίτης, ἣν ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν συγχωρῆσαι προείλοντο, οὐδ' ἂν εἷς ἀξίως εἴποι. Περιστάντων [4] δ' αὐτοὺς τῶν Ἑλλήνων ἁπάντων, καὶ τῶν μὲν ὑπαρχόντων πολεμίων τότε πρῶτον λαβόντων ἐλπίδας καὶ παροξυνθέντων ὑπὸ τῆς τύχης, ἐπελθόντων δὲ τῶν ἐκ Σικελίας, μεταστάσης δὲ τῆς συμμαχίας ὀλίγου δεῖν ἁπάσης, καὶ νήσων καὶ ἠπείρου καὶ πάντων ὡς εἰπεῖν πολεμίων καταστάντων, καὶ παντα-χόθεν κεκυκλωμένοι [5], ἔτι δ' ἀγνωμοσύνης ἀπροσδοκήτου συμβάσης ὥστε καὶ βασιλέα κληθῆναι κατὰ τῆς πόλεως ὑπὸ τῶν ἀπ' ἐκείνου σωθέντων ταῖς ἀπὸ τῆς πόλεως πράξεσι, προσγενομένου δὲ κἀκείνου [6] μάλα ἀσμένως [7], καὶ συμπολεμοῦντος καὶ σώμασι καὶ ναυσὶ καὶ Χρυσῷ, καὶ τίνα γῆς ἢ θαλάττης [8] [τόπον] [9] οὐ παρέχοντος ἀφορμὴν [10] τῷ πολέμῳ; ἦν μὲν οὖν οὐδεὶς ὅστις οὐκ ἂν ἤλπισεν, ἔξωθεν οὕτωσὶ σκοπῶν, ἀναρπασθήσεσθαι νῦν ἤδη τὴν πόλιν, οὕτω [11] κοινῷ πολέμῳ βαρβάρων τε καὶ Ἑλλήνων συνεχομένην [12]. οἱ δὲ οὕτω μετέστησαν τὰ πράγματα, ὥσπερ ἁπάντων τούτων ὑπὲρ αὐτῶν, ἀλλ' οὐ κατ' αὐτῶν [13] γινομένων, ἢ στρατηγούντων σφίσι τῶν πολεμίων. Διέλαβον [14] δὲ τροπαίοις τὸν Ἑλλήσποντον ἄλλους ἄλλοσε καταδιώκοντες, ὥσπερ μελέτας μᾶλλον ἐν σφίσιν αὐτοῖς ἢ ναυμαχίας πρὸς τοὺς ἐντυγχάνοντας ἀεὶ ποιούμενοι. Εἴρηταί τε, καὶ ἐνεθυμήθην ὡς ἑτέρῳ προείρηται: Τέλος δ' ἐπὶ Κυζίκῳ συμπεσόντες [661 H.] ὁμοῦ Λακεδαιμονίοις καὶ τοῖς ἀπὸ τῆς Ἑλλάδος καὶ τοῖς ἀπὸ τῆς Ἀσίας βαρβάροις καὶ Φαρναβάζῳ λαμβάνουσι τὰς ναῦς παρὰ τοσοῦτον οὐ πάσας, παρ' ὅσας διέφθειραν. Ὥστε [15] ἡ μὲν τοσοῦτον ὑπερβληθεῖσα ὑπὸ τῆς συστάσεως πόλις οὐδ' ὄνομα εἰρήνης ἐπ' ἐκείνων τῶν χρόνων ἐνενόησεν, οἱ δ' ἀπὸ τοσούτων καὶ τηλικούτων πλεονεκτημάτων ὁρμώμενοι πληγέντες κατέφευγον εὐθὺς ἐπὶ τὴν εἰρήνην.

Ἔτι [16] δὲ αὐτὴ μὲν πρὸς ἅπαντας ὁμοῦ πολεμεῖν ἠνάγκασται [17] τοὺς ἐπιόντας ἢ κινοῦντας, τῶν δ' ἐναντίων οἱ πλεῖστοι πρὸς μέρος αὐτῆς ἀντήρκασιν [18], ἀθρόας δὲ τῆς δυνάμεως ἢ τις ἢ οὐδεὶς ἐπειράθη. Ὥστε ἡ τῶν Ἀθηναίων πόλις νενίκηκε μὲν πολλὰ δὴ πολλάκις, αὐτὴ δ' ἴσα καὶ ἀήττητός ἐστι. Τὸ δὲ πάντων μέγιστον, ὅτι αὐτῆς μὲν οὐδεὶς ἐκράτησεν (οὐδεὶς γὰρ αὐτῆς τὴν γνώμην παρεστήσατο, ἀλλὰ στρατιᾶς γέγονε πάντα τὰ τοιαῦτα [19] ἀτυχήματα), αὐτὴ δὲ τὰς γνώμας τῶν ἐναντίων [20] ἅμα τοῖς ἔργοις δεδούλωται, Ξέρξην μὲν φεύγειν ἀπὸ τῶν πραγμάτων ποιήσασα ἐν εὐχῆς μέρει, Λακεδαιμονίους δὲ ἀνακλίνασα οὐχ ἧττον τοὺς ἀκούοντας ἢ τοὺς ἐν ταῖς μάχαις πεπρόντας καὶ πταίσαντας αὐτῶν.

[Εἰς τί ἀνέκλινεν; ἢ εἰς τὸ ἐπιθυμῆσαι εἰρήνης;]

Εἰρήνην [21] γὰρ Λακεδαιμόνιοι ἀπηξίωσαν ποιήσασθαι πρὸς Θηβαίους, μόνῃ τῇ τῶν Ἀθηναίων πόλει νομίζοντες εἶκειν εὐπρεπῆ συμφορὰν εἶναι.

A amisisse, sed novas comparasse videretur. Ac morum quidem facilitatem, temperantiam, vitæque rationem ad fugam turpitudinis susceptam, nemo facile pro dignitate dixerit. Verum cum Græci omnes illos circumsisterent, et antiqui hostes tum primum ex fortuna spem cepissent, novi autem e Sicilia accederent, omnibus vero sociis, omnium tam insularum quam regionum aliarum rebellione, in hostes mutatis, illud præterea flagitium præter opinionem commissum esset, ut regem contra urbem advocarent ii, quos ab eo urbs servaverat: ille vero libens advenisset, **405***a* ac tum militibus, tum navibus, tum etiam pecunia opem illis ferret, omnibus terræ marisque locis in belli subsidium præstitis: non erat quisquam, qui non crederet prima B fronte urbem jamjam direptum iri, quam Græci simul et barbari bello vexarent. At hi eam fecerunt rerum mutationem, quasi apparatus ille non damnum ipsis potius quam auxilium attulisset, ipsisque adeo hostes belli duces se præbuissent. Tropæis Hellespontum distinxerunt, aliis alio fugatis, ac velitationes potius quam prælia cum obviis committentes, quemadmodum tum a nobis, tum ab aliis antea dictum fuit. Denique ad Cyzicum simul cum Lacedæmoniis, Græcis, barbaris, et Pharnabazo congressi, naves omnes, præter eas quas depresserant, ceperunt. Itaque quæ tanta laborarat seditione civitas, hoc tempore ne mentionem quidem pacis fecit ullam, cum illi quibus tot initio suppeditarant C commoda, clade accepta, mox ad pacem confugerent.

Cumque ipsa simul contra omnium impetus opponere se coacta sit, hostes plerique partem ejus aliquam infestarunt, universas copias nunquam sunt aggressi. Quapropter et civitatem hanc et multos sæpe vicisse, et perpetuo invictam permanere merito dixerimus. Quia quod ipsa nemo unquam potitus est, nec ejus consilium mutavit, quandoquidem reliquæ clades ad exercitum referuntur, cum ipsa tam consilia hostium quam facta subjugarit, partim Xerxe ex voto egregie fugato, partim Lacedæmoniis, et absentibus, et præsentibus, atque victis repressis.

[Ad quid inclinavit, nisi ad cupiditatem pacis?]

Etenim Lacedæmonii cum nec pacem cum Thebanis facere dignarentur, solis Athenis honeste se cessuros rati, et cum aliis ex Peloponneso conjuncti

VARIÆ LECTIONES.

[1] μείζων A, μεῖζον B. [2] δοκεῖ om. A. [3] τάξιν καὶ σωφροσύνην ζ. [4] καταστάντων add. A. [5] κεκυκλωμένων ζ. [6] κἀκείνου om. A. [7] ἀσμένου ζ. [8] θαλάσσης ζ. [9] τόπον om. A. [10] ἀφορμὴν οὐ παρέχοντος ζ. [11] οὕτω. [12] συνεχομένην om. A. [13] ὑπὲρ αὐτῶν ἀλλ' οὐ κατ' αὐτῶν A : οὐ καὶ αὐτῶν ἀλλ' ὑπὲρ αὐτῶν ζ. [14] διέλαβον] p. 280. [15] ὥστε] p. 281. [16] ἔτι p. 285. [17] πολεμεῖν ὁμοῦ ἠνάγκαστο ζ. [18] ἀντήρκεσαν B et corr. A. [19] τοιαῦτα add. A. [20] τῶν ἐναντίων om. A, a correctore habet B. [21] εἰρήνην p. 286.

ejus salutem non tam afferre quam postulare possent, **405***b* erant vero paulo plures quam quinquaginta, primi hujus consilii auctores, pariter contra Lacedæmonios, mari terraque imperantes, et eos qui in urbe erant, periculose objecerunt : quod existimarent sibi vel liberis vivendum, vel ignavis oppetendum esse, ne solem conscium intuerentur. Ut enim juxta communem hominum naturam ægrotavit, ita juxta suam fuit sanata, laudemque ex eo majorem, quam cladem percepit. Quod cum fecissent, tum deinde hostibus fortitudine, et amicis æquitate superatis, partim bellicis viribus, partim maturo post res gestas consilio, patriam recuperarunt. Quapropter si quis omnia non studeat complecti, is acceptam in bello cladem potest dissimulare, quandoquidem sequentes res eodem, quo priores, consilio sunt et eventu peractæ.

[Qua exsuperantia hanc evehendam esse urbem existimandum.]

Jam illud nihilo secius quam superiora, tum narrare tum admirari debemus, quod cum Lacedæmonii ea quæ triginta viris contra populum mutuaverant, postquam inter eos convenit, populus ex parte persolvit, quo firmitas fœderibus major accederet. Populus enim ibi collectus, aliis in adversis bene sperandi exemplum præbebat, simulque in manus, ac prope in sermonem convenerat, quasi pro se invicem dimicaturi, ut dici non possit, utrum detestanda magis esset adversariorum seditio, quam vero civitati hoc modo liberatæ optanda. Et cum pacis mentionem feci, parum quiddam de ea repetam.

Quapropter et sola Barbaros et prima vicit, cum aliisque conjuncta, ipsa non minus socios atque hostes superavit. Quemadmodum qui venari nesciunt, si quid insperantes ceperint, non dimittunt, nec nisi charissime vendunt, imbecillitate sua rei pretium metientes. Hæc autem cum se toto genere præstare cognosceret, nunquam sordidius se gessit, quoniam de absentibus non levius quam de præsentibus sperabat, **406***a* ideoque citius omnia hostibus, quam illi sua peterent reddidit.

Comparationes istas ægre fero, quanquam et ipse quibusdam absurde facere videbor, qui in eum sermonem, quem vituperabam, inciderim, cumque ea de causa, propter quam fuerat omittendus, habuerim. Quinimo hinc vel maxime perspicitur, nec magnam illos ab urbe gratiam inire,

legibus quæ idem sentiunt, expelletur, ac tum rhetoricam emittemus ac traducemus, cum leges simul honeste poterunt emitti. O vir præclare et omnium inventor mirabilium rerum, si nullius est momenti injuriæ acceptio, quæque eam prohibet facultas, nullius est ponderis, nec quidquam boni efficit, sed adeo ignobilis est et illiberalis ut adulationis atque umbræ sit particula: cur, obsecro, tu librariam istam constituens urbem, talem ei tribuis rempublicam quæ nihil illi noceat, ac militarem tribum seorsum collocari jubes primo loco, ne quid patiatur, nec ab hostibus injuriam accipiat? Nam si hoc sufficiebat injuriam non facere, quid erat timendum postquam ad id eam præpararas? Quod si etiam nocet injuriam inferentibus, si pœnas non derint, ac debet quisque secundum tuam sententiam etiam seipsum cum injuriam fecit, accusare, et liberos et parentes ipsos, omissis inimicis: quin optas ut hostes **416***b* urbem aggressi capiant (83), ac viros quidem omnes ad aras trucident, mulieres autem cum liberis captivas ultra Gades, si videtur, divendant, templis vero spoliatis omnia diruant, nec vel sepulcra suæ petulantiæ relinquant expertia; ut postquam maximas fecerint injurias, in maximis sint malis, dum pœnas non luunt? Verumtamen tantum abest ut ista studeas, ut prohibeas, et impedias, vitamque militarem, ne quid fieret tale, instituueris: ac si quis exstiterit proditor, eum non jubes coronari nec prædicari, sed idem de ipso quod alii statuis. Dic, per Jovem prodigiosum, quid nobis de hisce est existimandum? Jam age, o bone vir, leges qua de causa tanto numero scorsim nobis fers? Etenim nisi magnum quiddam est pœnas sumere et injurias prohibere, cur ista narras, et ut nemo in urbe lædatur, caves?

Atqui, quæ nos dicimus, ea simul et aliis et Platoni videntur; quæ vero hic ait, non rebus tantum, sed et ipsius Platoni verbis et consiliis repugnant. Ac si illa quidem recte se habere concedantur, aliorum quoque sententia et suffragium accedet, sin his assentiamur, deest aliorum omnium calculus. Est autem fortius, quod et omnibus et Platoni videtur, quam quod nec cuiquam nec Platoni. Quapropter non tam hujus testimonium propter aliorum suffragium fugiemus, quam aliorum testimonio hujus adjiciemus suffragium. Atque hæc

VARIÆ LECTIONES.

[72] αὐτὸν] αὐτῶν A. [73.74] ἀλλ' (p. 107) — ἐξελαθήσεται om. A. [75] συνεκπέμψαι — ἔχῃ om. A. [76] ἐστι om. A. [77.78] μηδενὸς — σκιᾶς om. A. [79] μηδ' ὑπό τινων ἀδικηθῇ om. A. [80] ἐξαρκεῖ A. [81] εἰ — παρεσκεύασας om. A. [82] δὴ add. A. [83] χρὴ δὴ κατὰ] χρήματα A. [84] αὐτὸν ἑαυτοῦ] αὐτοῦ A. [85] παίδων A: παιδίων ς. [86.87] πέρα — πλεονεξίας] καὶ ἱερὰ πάντα καὶ τάφους συλῆσαι καὶ κατασκάψαι A. [88] τοῦ om. A. [89] μὴ τοιοῦτόν τι A. [90] οὐδὲ κηρύττειν om. A. [91] εἰπὲ] p. 109. [92.93] νομίζειν — ἐτίθης om. A. [94] ταῦτα πραγματεύῃ] νόμους εἰσφέρεις A. [95] που] σου A. [96] καὶ μὴν] p. 110. [97] τῶν om. A. [98] ὡς οὗτος.

NOTÆ.

(83) Direpta urbis facies. Propertius an Catulus?

Quid faciant hostes capta crudelius urbe?

quidem etiam facti testimonium continere credide- A rim. Nam qui verbis cum altero disceptans, verbis aliis adversarium sibi serio testimonium dare confirmat, is facti producit testimonium. Verumtamen etiam ulterius volo progredi, ut quoniam unius et ejusdem, cum quo disputatur suffragium probat, et verbis eum et factis mecum sentire ostendam. Tu quidem hospitis Syracusani communis patriæ hostis causa non semel, sed iterum ac ter **417***a* mare senex navigabas. Nec tyranni consuetudinem fugiebas, quasi moræ prætextus te consolaretur, quo videlicet Dio domi maneret, ac rebus suis frueretur. Si quis autem in sua patria ne cives sui, parentes, ac fratres patiantur injuriam, caveat, et sese atque illos servet, atque adeo tyrannum futurum et Dionysio similem possit reprimere, verbisque facta B coercere, et legibus partam securitatem apud omnes confirmare, nihil eum facere magni dicemus, nec laudabimus talem, sive sit, sive non sit, ars dicenda? An quia sola injuriæ factio magnum erat malum, nullum autem acceptio? Ego etenim nec ipse hoc Platoni crimini verto, si de causa quavis in Siciliam proficisci voluit, nec si quis id alius objecerit, sanum crediderim, nec omnino quidquam præter ea quæ ad rem pertinent curiose sector, quandoquidem nullum tanti sit victoriæ præmium. Sed ea quæ fecit ipse, et qua de causa fecerit clare dixit, pro rhetorica facere affirmo. Quinimo quan- C tum fortitudini prudentia, tantum rhetorica bellicæ præstat alacritati. Ut enim summatim dicamus, nihil est aliud rhetorica quam prudentia cum facultate dicendi conjuncta; ut non ipse tantum quis optima quæque facere, sed etiam aliis persuadere possit. Atque hæc quidem etiam satis arbitror esse confirmata, vel etiam nimis fortasse. Nunc autem ad ipsum colophonem, ut quis dixerit, verborum Platonis contendo. Nec enim solum ex iis per quæ refutatur, idem eum testari ostendam, sed et quasi coram voce sua testimonium daret. Quapropter cum vel lædere cogat, vel lædi permittat, et ut ex præcedentibus est effectum, nec lædere nec lædi quemquam permittat: siquidem eadem est etiam philosophiæ definitio, philosophiæ quoddam genus erit D rhetorica; sin philosophia sufficit ut neminem lædat, perfectior est rhetorica.

τυρίαν διὰ τὴν παρὰ τῶν ἄλλων φευξόμεθα, ἀλλὰ τῇ τῶν ἄλλων τὴν παρὰ τούτου προσθήσομαι [99]. Ἡγοῦμαι μὲν τοίνυν κἀν τούτοις τὴν ἔργῳ μαρτυρίαν παρέχεσθαι· τὸ γὰρ [1] δὴ λόγοις πρὸς λόγους ἀγωνιζόμενον λόγοις ἑτέροις σπουδαίοις μαρτυροῦντα ἀποφαίνειν τὸν ἀντίπαλον τὴν ἔργῳ παρέχεσθαι μαρτυρίαν ἐστίν. Οὐ μὴν ἀλλ' ἔτι καὶ προσωτέρω προελθεῖν βούλομαι, ἵνα, ἐπειδὴ τιμᾷ τὸ ἕνα ἐπιψηφίζειν καὶ αὐτὸν πρὸς ὃν ἂν οἱ λόγοι γίγνωνται, καὶ λόγῳ καὶ ἔργῳ σύμψηφον ὄντα αὐτόν μοι δείξω. Σὺ [2] μὲν ξένου χάριν Συρακουσίου, κοινοῦ τῆς πατρίδος ἐχθροῦ· ἔπλεις οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς, ἐν γήρᾳ, πέλαγος τοσοῦτον, καὶ τῷ τυράννῳ συνεῖναι [3] δοκεῖν οὐκ ἔφυγες, ὡς ἔχων παραμυθίαν τὸ σχῆμα τῆς διατριβῆς, ὃ Δίωνα [4] μένειν οἴκοι καὶ τῆς [5] οὐσίας κρατεῖν ἦν. Τὴν δ' αὐτοῦ τις οἰκῶν καὶ τοῖς αὐτοῦ πολίταις καὶ γονεῦσι καὶ ἀδελφοῖς εἰ τὴν ὅπως μὴ ἀδικήσονται φυλακὴν ἔχοι, καὶ σώζοι καὶ τούτους καὶ ἑαυτὸν, καὶ νὴ Δία γε εἰ τοῦτ' αὐτὸ τύραννον ἔσεσθαί τινα μέλλοντα καὶ Διονυσίῳ προσόμοιον οἷός τε εἴη κωλῦσαι, καὶ παρελέσθαι λόγῳ τὰς πράξεις, καὶ τὴν ἐκ τῶν νόμων ἄδειαν ἅπασι [6] βεβαιῶσαι, ἔπειτ' οὐδὲν σπουδαῖον τοῦτ' εἶναι φήσομεν, οὐδ' ἐπαινεῖν χρὴ τὴν τοιαύτην εἴτε τέχνην εἴτε μηδὲ τέχνην εἰπεῖν [7] δεῖ; Ὅτι νὴ Δία ἓν μέγα τοῦτ' ἦν [8] κακὸν, τὸ ἀδικεῖν τὸ δὲ ἀδικεῖσθαι πρᾶγμα οὐδέν. Ἐγὼ [9] γὰρ οὔτ' αὐτὸς ἐπέγκλημά δή που [10] τοῦτο ποιοῦμαι, εἴ ποι καὶ ὁπωσοῦν ᾠήθη δεῖν εἰς Σικελίαν Πλάτων ἐλθεῖν ἡστινοσοῦν ἕνεκα αἰτίας, οὔθ' ὅστις ἄλλος προφέρει τι τοιοῦτον εὖ φρονεῖν ἡγοῦμαι, οὔθ' ὅλως ἔξω τῶν εἰς τὸν λόγον ἠκόντων οὐδὲν περιεργάζομαι· μὴ τοσούτου [11] μηδὲν ἄξιον ἔστω [12] νικητήριον. Ἀλλ' ἃ αὐτὸς ἔπραξε καὶ ἃ τίνων ἔπραξε χάριν αὐτὸς καθαρῶς εἴρηκε, ταῦτα συμβαίνειν φημὶ τοῖς ὑπὲρ τῆς ῥητορικῆς λόγοις. Καὶ [13] μὴν ὅσῳ [14] κάλλιον [15] φρόνησις ἀνδρείας, τοσούτῳ [16] ῥητορικὴ τῆς κατὰ πόλεμον εὐψυχίας. Εἰ γὰρ δεῖ συνελόντα εἰπεῖν, οὐδέν ἐστιν ἄλλο ῥητορικὴ ἢ φρόνησις λόγων δύναμιν προσειληφυῖα, ὡς [17] μὴ μόνον [679 H.] αὐτὸς ἑρδειν τὰ βέλτιστα, ἀλλὰ καὶ ἑτέρους πείθειν ἔχοι [18]. Ἡγοῦμαι μὲν τοίνυν [19] καὶ ταῦτα πίστεις ἱκανὰς ἔχειν τῆς ἀληθείας, εἰ μὴ καὶ πλείους ἄρα τῶν ἱκανῶν· εἶμι δ' ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ [20] Πλάτωνος, ὡς ἄν τις εἴποι, ῥημάτων [21]. Οὐ γὰρ μόνον ἐξ ὧν ἐλέγχεται βούλομαι φανῆναι μαρτυροῦντα αὐτὸν, ἀλλὰ καὶ ὥσπερ ἂν εἰ καὶ παραστὰς αὐτὸς ἐμαρτύρει τῇ ἑαυτοῦ φωνῇ. Οὐκοῦν [22] ὅτ' [23] ἀδικεῖν μὲν οὐκ ἐπηνάγκαζεν, ἀδικεῖσθαι δ' οὐκ ἐᾷ, ὡς δ' ἐκ τοῦ λόγου συνέβαινεν, οὐδέτερον τούτων ἐᾷ, οὔτ' ἀδικεῖν οὔτ' ἀδικεῖσθαι [24], εἰ μὲν καὶ τῆς φιλοσοφίας ὁ αὐτός ἐστιν ὅρος, φιλοσοφία τις οὖσα ἡ ῥητορικὴ φαίνεται· εἰ δὲ ἐξαρκεῖ τῇ φιλοσοφίᾳ μηδ' [25] ἀδικεῖν, ἡ ῥητορικὴ τελεώτερον.

417*b* Quis enim nescit rhetoricam a tyrannide tantum distare quantum a vi persuasionem? at hæc nemo contraria dicere verebitur. Etenim qui fieri potest ut oratores pariter et adulentur, et inter

Τίς [26] γὰρ [27] οὐκ οἶδεν ὅτι ῥητορικὴ καὶ τυραννὶς τοσοῦτον ἀλλήλων κεχώρισται, ὅσον τοῦ πείθειν τὸ βιάζεσθαι; Ἀλλὰ [28] μὴν ταῦτά γε οὐδεὶς ἔστιν ὃς ἂν τὴν ἐναντίαν φύσιν εἰπὼν ἔχειν αἰσχυνθείη [29]. Πῶς

VARIÆ LECTIONES.

[99] προσθήσομαι om. A. [1] γὰρ om. A. [2] σὺ] p. 111. [3] συνεῖναι A : τὸ συνεῖναι ς. [4] Δίωνι ς. [5] τῆς om. A. [6] πᾶσι A. [7] εἰπεῖν om. A. [8] τοῦτ' ἦν om. A. [9] ἐγὼ] p. 118. [10] δήπου om. A. [11] τοσούτου] τοσοῦτον οὐ A. [12] ἔστω] ἐς τὸ A. [13] καὶ μὴν] p. 122. [14] ὅσῳ A : ὅσα ς. [15] καλλίων A. [16] τοσοῦτον A. [17-18] ὡς — ἔχοι om. A. [19] τοίνυν οὖν A. [20] τοῦ om. A. [21] ῥήματι A. [22] οὐκοῦν] p. 124. [23-24] ὅτ'— ἀδικεῖσθαι om. A. [25] μηδ' add. A. [26] τίς] p. 125. [27] γὰρ] δ' A. [28-29] ἀλλὰ — αἰσχυνθείη om. A.

γὰρ [30] ὁμοῦ μὲν [31] κολακεύουσιν οἱ ῥήτορες, ὁμοῦ δ' ἐν τοῖς δυνάσταις εἰσίν; Οἱ δ' αὖ τύραννοι ἀπέχουσι τοσοῦτον [32] τοῦ κολακεύειν ὥστε βίᾳ πάντας ὠθοῦσι, καὶ οὐδενὸς ἔστι παρ' αὐτῶν τυχεῖν οὐδὲ τῶν μετρίων, [1257 R.] μή τί γε δὴ τῆς ὑπὲρ τὸ προσῆκον θεραπείας· ὥσθ' [33] ὁ τύραννος μικροῦ δεῖν καὶ τὸ τοῦ δεσπότου μέτρον παρελήλυθε [34]. Καὶ κόλακος μὲν [γὰρ [35]] οὐδέν ἐστι δή που ταπεινότερον, οὐδ' ὅ τι μᾶλλον ἥρῆσθαι δουλεύειν [36], τυράννου δὲ οὐδὲν ἂν εἴποις ἀγριώτερον, οὐδ' ὅ τι μᾶλλον πρὸς τῷ δεσπόζειν ἐθέλειν ἐστίν. Ὥστε εἰ μὲν [37] κολακεία ἡ ῥητορική, τὰ τῶν τυράννων ἐγκλήματα οὐ πρὸς αὐτῆς [38] ἐστιν. Εἰ δ' ὁμοῦ τῇ τυραννίδι τὴν κολακείαν μεγάλοις τοῖς ὁρίοις παρελήλυθεν, οὐκοῦν τά γε ἕτερα πάντως [39] ἤδη ψευδῆ. Τοσοῦτον [40] γάρ [41] ἡ ῥητορικὴ κεχώρισται δυναστείας ὅσον, εἰ καὶ τοῦτ' εἰπεῖν δεῖ, Πλάτων Διονυσίου. Φανήσεται [42] γὰρ οὔθ' ὅπου ῥητορικὴ σώζεται [43] τύραννος ἐγγινόμενος [44], μέχρις [45] ἂν σώζεται λόγῳ [46], οὔτ' αὖ ἔνθα [47] τυραννὶς κρατεῖ ῥητορικὴ περιοῦσα· ἀλλ' ὅ τε ῥήτωρ πάντα πράττων ὅπως [48] μηδεὶς τύραννος ἐγγένηται, τό τε [49] αὐτοῦ καὶ τὸ κοινὸν ὁμοῦ προορῶν, ὅπως μηδεὶς αὐτὸν τῷ λόγῳ πείθειν παρελόμενος αὐτὸς ἄγῃ κατ' ἀρχὴν τὰ πράγματα [50], οἵ τε τύραννοι σκοποῦντες καὶ φοβούμενοι τῶν πάντων οὐδὲν μᾶλλον ἢ [51] μή τις ἐγγένηται λέγειν καὶ πείθειν δυνατὸς, ὅστις συναγαγὼν τὰ πλήθη καὶ σύμβουλος καὶ μηνυτὴς τοῦ προσήκοντος γινόμενος ὁμοῦ τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας ἀκύρους αὐτοὺς καταστήσῃ. Διόπερ τὴν ἔχθραν ἀναγκαίως ἀλλήλοις ἔχουσιν· ἡ γὰρ τῶν ἑτέρων σωτηρία καὶ δύναμις μὴ εἶναι τοὺς ἑτέρους ἐστὶ τὴν ἀρχήν. Πῶς [52] οὖν τἀναντία, φησὶν, ἀλλήλοις οἱ ῥήτορες λέγουσιν; Ἔστι μὲν οὐκέτι [53] τοῦτ' ἐν εἰρημένοις ὑπὸ Πλάτωνος· ὅμως δὲ ὑπὲρ τοῦ πανταχῇ διακαθᾶραι τὸν λόγον μηδὲ [54] τοῦθ' ἡμῖν ἀνεξέταστον ἀφεῖσθων. Καὶ τοῦτ' [55] οὖν ἰσχυρότατον πάντων ὂν σχεδὸν [56] ὡς ἐν ψεύδεσιν, ὧν ἐκεῖνος εἴρηκεν [57], ὅτι οἶμαι [58] καὶ ἡμῖν αὐτοῖς ἀπαντῶμεν [680 H.] ἐν τῷ λόγῳ, αὐτὸ τοῦτο κἀγὼ νῦν πεποίηκα [59]. Ἀλλ' οὐδὲν μᾶλλον δ' γε ἐξ ἀρχῆς λόγος διαφθείρεται, ἐπεὶ καὶ οἱ φιλοσοφεῖν οὕτω λεγόμενοι οὐ τοῖς αὐτοῖς λόγοις ἅπαντες δή που χρῶνται, ἀλλὰ καὶ τοῖς ἐναντιωτάτοις [60] ἀλλήλοις· ἀλλ' οὐδὲν κωλύει κατὰ τοὺς τυγχάνοντας τῆς ἀληθείας φιλοσοφίαν εἶναι καλόν. Οὐ δή που διπλοῦν ἐστιν οὐδ' ἐναντίον αὐτὸ [61] ἑαυτῷ. Πῶς οὖν, ἂν φαίη τις, ἢ φιλοσοφεῖν ἀμφοτέρους φήσομεν τἀναντία λέγοντας, ἢ τὸ φιλοσοφεῖν εἶναι καλόν; οὕτως [62] ὡς ἔφην. Ἴδοις δ' ἂν καὶ κυβερνήτας ἐναντία ἀλλήλοις [63] ναυμαχοῦντας· ἀλλ' ὅμως τῆς κυβερνητικῆς ἐστι σώζειν τὴν ναῦν. Οὕτω τοίνυν καὶ ὅταν οἱ ῥήτορες ἀλλήλοις ἐναντία, ὡς ἄν τις φαίη, λέγωσιν, οὐ κωλύεται τὸ ἐξ ἀρχῆς κεφάλαιον τῆς ῥητορικῆς, ἀλλὰ τὸ συμβαῖνον τῷ λόγῳ χρὴ σκοπεῖν, μεμνημένους ὧν ἕνεκα εὑρέθη. [Εὑρέθη δὲ τὸ λέγειν ὑπὲρ τῶν δικαίων·] Ὁ μὲν οὖν [64] ὑπὲρ ῥητορικῆς λόγος οὗτος.

satrapas sint? Tyranni uero tantum ab adulatione absunt, ut omnes vi cogant, nec ab iis vel æqui quidquam possit quisquam consequi, nedum præter officium cuiquam inserviant, adeo ut tyrannus heri quoque mensuram propemodum transeat. Nam adulatore quidem nihil est humilius, nec quod ad servitutem sit propensius: tyranno autem nihil est ferocius, nec quod imperium amet magis. Quare si adulatio fuerit rhetorica, nihil ad eam tyrannorum pertinent crimina: sin una cum tyrannide magis adulationem terminis superavit, manifestum est in alteris mendacium. Tantum enim a tyrannide distat rhetorica, quantum a Dionysio Plato, si et hoc dicendum est. Etenim neque ubi valebit rhetorica, tyrannis orietur, donec ea valebit: neque ubi regnabit tyrannis, valebit rhetorica: sed et orator nihil non agit ne quis oriatur tyrannus, tam sibi quam reipublicæ providendo, ne quis ipsi verborum persuasione intercepta res ipse administret: et tyranni nihil curant, nec metuunt magis, quam ne quis dicendi persuadendique peritus oriatur, qui collecta multitudine, eoque quod fieri debeat persuaso ac patefacto, imperio simul ipsos et potestate privet. Itaque necessaria inter utrosque constat inimicitia: cum alterorum salus ac potestas in eo consistat, ut alteri omnino non sint. Cur ergo sibi invicem contradicunt oratores? quanquam enim hoc a Platone dictum non est, tamen ut undique decidatur controversia, nec hoc non discussum relinquemus, cum præsertim sit omnium, **418***a* quæ ille protulit, ut in mendaciis firmissimum. Nempe quia nobis ipsi quoque in sermone contradicimus, ut ego jam nunc feci. Neque tamen ideo priora non manent. Nam et qui philosophari dicuntur, non iisdem omnes profecto utuntur rationibus, verum maxime contrariis. Nihil tamen vetat, quominus philosophia secundum eos qui veritatem assequuntur, præclara sit res, nec duplex, neque sibi ipsi contraria. Quid ergo dicemus? An utrosque philosophari cum dicunt contraria, aut philosophiam ita, ut dixi, esse præclaram? Quin etiam gubernatores videas contra se invicem ex navibus decertare, cum tamen ars gubernandi navem servet. Similiter et oratores cum sibi invicem contradicunt, ut aliquis dixerit, non tollitur ultimum rhetoricæ fundamentum, sed quid rationi sit consentaneum spectare debemus, cujusque rationi sit inventa meminisse (inventa est autem ars dicendi a justis). Quamobrem de rhetorica hæc sit oratio.

VARIÆ LECTIONES.

[30] γὰρ] δ' A. [31] μὲν add. A. [32] οἱ δ' αὖ τύρ. ἀπ. τοσ.] καίτοι τοσοῦτον ἀπέχουσιν οἱ τύραννοι A. [33] ὥσθ' [34] παρελήλυθε om. A. [35] γὰρ om. A. [36] οὐδ' — δουλεύειν om. A. [37] μὲν om. A. [38] αὐτῆς] αὐτὴν οὐδ' ὁμοῦ A. [39] πάντως ἤδη om. A. [40] τοσοῦτον] p. 127. [41] γὰρ] δ' A. [42] φανήσεται (p. 128) [43] σώζεται] φαίνεται δ' ὅπου ῥητορικὴ σώζεται οὐδαμῶς A. [44] ἐγγενόμενος A. [45] μέχρις. [46] λόγῳ om. A. [47] αὖ ἔνθα] ἂν ἐν οἷς A. [48] ὅπως] ὥστε A. [49] τό τε. [50] πράγματα om. A. [51] ἢ om. A. [52] πῶς] p. 129. [53] οὐκέτι. [54] μηδὲ addidi ex Aristide. [55] καὶ τοῦτ' om. A. [56] ὂν σχεδὸν om. A. [57] εἴρηκεν] εἴρηκεν ὁ πλάτων A. [58] ὅτι οἶμαι. [59] πεποίηκα om. A. [60] ἐναντίοις A. [61] αὐτὸ ἑαυτῷ] αὐτῷ ἐπ' αὐτῷ A. [62] οὕτως add. A. [63] ἀλλήλοις ἐναντίᾳ A. [64] ὁ μὲν οὖν.

[Prima hæc oratio solum de rhetorica, cætera de rhetorica et rhetoribus.]

Ex Aristidis contra Platonem pro rhetorica (84). — *Proœmium secundæ orationis.*

Quoniam vero Miliadem quoque ac Themistoclem, et Cimonem atque Periclem attigit, nec eos omnium optime rempublicam ait administrasse, nihil fortasse nunc de iis opus est contendere. Nam hi quidem, si vere eos accusavit Plato, merito mali censeantur, nec tamen rhetorica, etiamsi pessimi fuerint, in quoquam refutatur. Itaque quamvis hoc concedamus, nihil tamen injuriæ fiet rhetoricæ. Verumtamen si de his quoque non satis candide locutus fuisse convincatur, omnino contentiosus esse deprehendetur. Quamobrem de his quoque dicere sit operæ pretium.

Exemplum ipsi aliis patientiæ in periculis et necessitatibus exhibendæ nosmet præbendo, nostramque, si dicere permittis, virtutem demonstrando fuimus. Cur ergo nobis adulationem et ministerium objicis? Cur cum eos, qui privatim nutricatus præmia non solverent, improbos sis judicaturus, ipse non magnam nobis communis Græcorum salutis ac nutrimenti, quod opera nostra partim tu, partim alii in libertate estis consecuti, gratiam 1518*b* rependis? Hæc si dicerent illi quosnam evolvens sapientiæ labyrinthos, aut quid omnino dicens, respondere posset? Quinimo citius ad hæc quivis, quam Plato, responderet. Quid ita? Quoniam in iis ipsis, quæ ad Dionis amicos scripsit, et in quibus mortuus ab ipso Dio loquens, tanquam vivus introducitur, hæc continentur.

Est autem omnium absurdissimum, quod cum his utatur, quando rhetoricam docet esse adulationem, quasi hi fuerint oratores, rursum eos ipse adulatione liberat, quandoquidem hac eos usos non ait, cum de calamitatibus ipsorum loquitur. Quapropter et hic alterutro cernitur mendacium. Nam si adulatio est rhetorica, adulatores omnino hi fuerunt, quoniam oratores, ut ait; sin hi nihil habent adulationis, quomodo propter eos adulatio dicetur rhetorica, aut quid his erat opus exemplis. Jam nec non æquum videtur, omissis illorum consilliis, calamitates in quas inciderunt, prætexere. Nec enim, si res ipsis e sententia non successit, improbi exstiterunt, verum si non optimis sunt usi consiliis. Ut enim illud est fortunam accusare, ita hoc sententiam refutare.

Quomodo vero ferri hoc queat, cum Alcibiadem quidem et Critiam (85) Socratis sodales, qui tot ac tantis criminibus et apud populum et apud

[Ὁ μὲν α' λόγος ὑπὲρ ῥητορικῆς μόνον ἦν. οὗτος δὲ καὶ ὑπὲρ ῥητορικῆς καὶ ὑπὲρ ῥητόρων [65].]

Ἐκ τῶν Ἀριστείδου πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς. — Τὸ Προοίμιον τοῦ δευτέρου λόγου.

Ἐπεὶ δὲ καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους καθήψατο καὶ Κίμωνος καὶ Περικλέους, οὐ πρὸς τὸ βέλτιστον φάσκων προστῆναι τῆς πόλεως, ἔστι μὲν οὖν ἴσως οὐδὲν κατεπεῖγον περὶ τούτων νῦν διαφέρεσθαι. Οὗτοι μὲν γὰρ, εἰ δίκαια Πλάτων αὐτῶν κατηγόρηκε, δικαίως ἂν φαῦλοι νομίζοιντο [66]· ῥητορικὴ δὲ, εἰ καὶ πάντων [67] μοχθηροτάτους τούτους θείημεν, οὐδὲν μᾶλλον ἐλέγχεται. Συγχωρούντων μὲν οὖν ἡμῶν· [1260 R.] ὅ γε ὑπὲρ ῥητορικῆς οὐκ ἀπόλωλε λόγος. Εἰ δὲ δὴ καὶ περὶ τούτων ἐλέγχοιτο οὐ παντάπασιν εὐγνωμόνως τῷ λόγῳ κεχρημένος, πανταχῇ δειχθήσεται φιλονεικῶν. Τοῦτ' ἔστι προῦργου τὸ καὶ περὶ τούτων εἰπεῖν.

Αὐτοὶ [68] παράδειγμα τοῖς ἄλλοις γινόμενοι τοῦ πῶς δεῖ καρτερεῖν, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ ταῖς ἀκμαῖς τῶν κινδύνων τὴν ἡμετέραν αὐτῶν, εἰ συγχωρεῖς εἰπεῖν, ἀρετὴν ἐπιδεικνύμενοι. Τί οὖν ἡμῖν προφέρεις [69] κολακείαν καὶ διακονίαν, καὶ τοὺς ἰδίᾳ τροφεῖα μὴ ἐκτίνοντας φαύλους ἂν εἶναι συμφήσας αὐτὸς ἡμῖν οὐ καλὴν χάριν ἐκτίνεις τῆς κοινῆς τῶν Ἑλλήνων σωτηρίας καὶ τροφῆς, ἣν σύ τε καὶ οἱ ἄλλοι δι' ἡμᾶς ἐν ἐλευθερίᾳ τέτραφθε. Εἰ ταῦτα λέγοιεν οἱ ἄνδρες, ποίους λαβυρίνθους σοφίας ἀνελίττων ἢ τί λέγων τῶν πάντων οἷός τε γένοιτ' ἂν ἀντειπεῖν; Πᾶσι τοίνυν προτέροις ἐστὶ λόγος πρὸς ταῦτα [70] ἢ Πλάτωνι. Διὰ τί; ὅτι [71] ἐν αὐτοῖς τούτοις ἃ πρὸς τοὺς Λίωνος γέγραφεν ἑταίρους, καὶ ἐν οἷς ὁ Δίων αὐτῷ τετελευτηκὼς ὑπόκειται λέγων ὡς ἔμπνους, ἔνεστι ταυτί.

Τὸ δὲ [72] πάντων ἀτοπώτατον, ὅτι χρῆται μὲν τούτοις ἐν ἐλέγχῳ τοῦ κολακείαν εἶναι τὴν ῥητορικὴν, ὡς δὴ τούτους ὄντας ῥήτορας, πάλιν δ' αὐτὸς αὐτοὺς ἀφίησιν τῆς κολακείας, οὔκουν φησί γε αὐτοὺς ταύτῃ χρῆσθαι, ἐν [681 H.] οἷς περὶ ὧν ἔπαθον λέγει [73]. Κἂν τούτοις οὖν ἀνάγκη θάτερα ἐψεῦσθαι. Εἰ μὲν γὰρ ἡ ῥητορικὴ κολακεία, πάντως δεῖ κόλακας τούτους εἶναι, ῥήτοράς γε ὄντας, ὥς φησιν· εἰ δὲ οὐδὲν οὗτοι κολακείᾳ προσήκουσι [74], ποῦ ῥητορικὴ κολακείᾳ προσήκει [75] διὰ τούτους, ἢ τί τούτων ἔδει τῶν παραδειγμάτων; Ὅμην δὲ οὐδὲ τοῦτο τῶν δικαίων εἶναι, τὰς προαιρέσεις τὰς ἐκείνων ἐξετάζοντας [76] τὰς συμφορὰς αἷς ἐχρήσαντο ὑπολογίζεσθαι. Οὐ γὰρ εἰ μὴ κατὰ νοῦν ἀπήλλαξαν, φαῦλοι γεγόνασιν, ἀλλ' εἰ μὴ τὰ βέλτιστα ἐβουλεύοντο [77] τοῖς πράγμασιν. Ἐκεῖνο μὲν γάρ ἐστι τῆς τύχης κατηγορεῖν, τοῦτο δὲ τὴν γνώμην ἐλέγχειν.

Ἐνθυμοῦμαι [78] δὲ ἔγωγε πῶς ἀνέχεσθαι χρὴ, ὅταν Ἀλκιβιάδην μὲν καὶ Κριτίαν Σωκράτει συγγενομένους, οἳ τοσαύτας καὶ τηλικαύτας αἰτίας ἔσχήκασι καὶ ὑπὸ [79]

VARIÆ LECTIONES.

[65] ῥητόρων om. A. [66] νομίζωνται A. [67] πάντων μοχθηροτάτους A : πάνυ τῶν μοχθηροτάτων ⊆. [68] αὐτοὶ] p. 132. [69] προσφέρεις A. [70] πρὸς ταῦτα om. A. [71] ὅτι] διοτι A. [72] τὸ δὲ] p. 136. [73] λέγειν A. [74] προσήκουσι. [75] προσήκει om. A. [76] ἐξετάζοντα ⊆. [77] ἐβουλεύσαντο A. [78] ἐνθυμοῦμαι] p. 139. [79] καὶ ὑπὸ.

NOTÆ.

(84) Excerpta e secunda oratione Aristidis, Platonica pro rhetorica. Quanquam Photius duas hic orationes constituat, una tamen atque eadem est in Aristide.

(85) Critias unus erat e triginta tyrannis Atheniis.

τῶν πολλῶν καὶ ὑπὸ τῶν ἐπιεικῶν, ὥστε Κριτίου γε οὐδ' ἐπινοῆσαι ῥᾴδιον ἐξωλέστερον, ὃς ἐν τριάκοντα τοῖς πονηροτάτοις τῶν Ἑλλήνων πρῶτος [80] ἦν, τοὺς μὲν οὔ φασι δεῖν ἐν τεκμηρίῳ ποιεῖσθαι ὅτι Σωκράτης [81] τοὺς νέους διέφθειρεν, οὐδ' εἶναι τὰ ἐκείνων ἁμαρτήματα οὐδ' ὁτιοῦν πρὸς Σωκράτην τὸν οὐδὲ αὐτὸν ἔξαρνον ὄντα τὸ μὴ οὐ διαλέγεσθαι τοῖς νέοις· εἰ δ' Ἀθηναίων δῆμος ἐν πολλοῖς καὶ μεγάλοις οἷς καὶ [82] ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τῶν Ἑλλήνων διεχείρισεν, ἔσθ' ἃ μὲν ὀρθῶς καὶ προσηκόντως [83] ἐβουλεύσατο, ἔστι δὲ ἃ καὶ ἐξήμαρτεν εἰς τοὺς προεστηκάτας, ταῦτ' ἀξιοῦσιν αὐτοῖς τοῖς προστάταις λογίζεσθαι. Ὥσπερ [84] ἂν [85] εἴ τις καὶ τοῦ θείου [86] κατηγοροίη τοῖς αὐτοῖς λόγοις [87], ὅτι χρῆν αὐτοῦ [88] τὴν πρόνοιαν εἶναι τοιαύτην [89] ὥστ' ἀδικίαν καὶ ἀγνωμοσύνην ἀνελεῖν παντάπασιν ἐξ ἀνθρώπων καὶ [90] μηδὲν ἁμαρτάνειν μηδένας ἀνθρώπων μηδαμῇ. Νῦν δὲ πῶς, εἰ προνοεῖν αὐτοὺς χρὴ νομίζειν, ὅταν μὴ [91] [εἰ [92] δ' οὐ] παύωνται [93] πλημμελοῦντες ὧν [94] ἄρχουσι, μὴ δικαίως [95] ὑπ' ἐνίων ἀμελεῖσθαι; Καὶ ὁ μὲν [96] ἡνίοχος παραλαβὼν λακτίζοντας τοὺς ἵππους πραΰνει καὶ τιθασσεύει, καὶ τελευτῶν [97] ἐπ' αὐτῶν ἀσφαλῶς κατὰ πολλὴν ῥᾳστώνην εἶσιν ὅποι βούλεται [98]· οἱ θεοὶ δὲ οὔπω [99] καὶ νῦν ἐξηρήκασιν ἀδικίαν ἐξ ἀνθρώπων ἐκ τοσούτου, [1261 R.] καὶ ταῦτα ἐκ παντὸς τοῦ αἰῶνος [1] πολιτευόμενοι, καὶ προσέτι [2] εἰς ἑαυτοὺς ἁμαρτάνοντας ὁρῶντες ἔστιν οὓς αὐτῶν [3]. Ἀλλὰ μὴν ὅτε [4] ταῦτα οὐδ' ἂν εἷς ὑγιαίνων εἴποι σπουδῇ, πλὴν ὡς ἡμεῖς [5] νῦν εἰς ἔλεγχον λόγου, πῶς οὐ κομιδῇ Πλάτων συκοφαντοῖ; εἰ γὰρ ἃ μηδ' οἱ θεοὶ πώποτε πεποιήκασι, μηδὲ παρ' αὐτῆς τῆς Ἀθηνᾶς τῆς πολιάδος εἶχεν ἀπαιτῆσαι, ταῦτα παρὰ Θεμιστοκλέους καὶ Περικλέους [6] ἀπαιτεῖ, αὐτὸν ἐρωτῶν πῶς οὐ συκοφαντεῖ; ἀλλ' οἶμαι τὴν μὲν τοῦ δήμου φύσιν οὐκ ἠδυνήθησαν μεταποιῆσαι οὐδ' ἀφανίσαι [7]· ἔστι δ' αὕτη μηδέποτε γενέσθαι πάντα χρηστὸν μηδ' ἀναμάρτητον· ὅσα δὲ κινδυνεύοντας ἔδει προνοήσασθαι, ἐν οἷς ἅμα καὶ τῶν πολλῶν καὶ τῶν ἐπιεικῶν ἦν εὐεργέτας εἶναι, ἢ κατ' ἐξουσίαν πράττοντας ἀπάγειν ἀπὸ τῶν δυσχερεστάτων ἀεὶ καὶ εἰς [8] ἐλάχιστον τρέπειν τὰ τῆς φύσεως ἁμαρτήματα, ταῦτα οὐκ ἔστιν ὅπως οὐ παρὰ τούτοις [682 II.] ὄντα φανήσεται, καὶ ταῦτα πρὸς τῷ λόγῳ τῷ πάρ' ἡμῶν [9] καὶ ταῖς ἀποδείξεσι Πλάτων αὐτὸς ἐπισφραγίζεται, καὶ ἔστιν ἡμῖν κἀνταῦθα μάρτυς ὑπὸ τῆς αὐτῆς δεξιότητος, ἥσπερ [10] κἀν τοῖς ἄνω κατὰ τὴν χρείαν ἀεί. Καίτοι [11] πῶς οὐκ ἄτοπον ἦν [12] τὰ ἔργα κοσμεῖν τούτων, τὴν δὲ πολιτείαν φαυλίζειν [13]· καὶ ἃ τῆς τῶν πεισθέντων ἀρετῆς τίθεταί τις δείγματα, ταῦτα μὴ τῆς τῶν πεισάντων πρῶτον ὑπάρχειν [14] ἡγεῖσθαι; Ἔγκειται [15] μὲν γάρ που [16] ταῦτα μεταξὺ τοῦ μύθου [χωρίς τινος

A optimates obnoxii fuerunt, ut Critia quidem nihil potuerit vel fingi sceleratius, qui inter triginta Græcorum pessimos primus fuerit, cum hos, inquam, negant argumento esse, quod juventutem Socrates corrumperet, aut eorum peccata quidquam ad Socratem pertinere, qui nec ipse se cum juvenibus colloqui negaret: verum si populus Atheniensis, inter multas ac magnas res quas tum pro se tum pro Græcis gessit, quædam recte ac decenter decrevit nonnulla quoque in præfectos peccavit, ea censent præfectis ipsis esse imputanda? Atqui deos quoque eadem ratione liceret accusare, quorum tanta debeat esse providentia ut omnem injustitiam et ingratum animum **419***a* ex humanis tollerent, ne quid amplius homines usquam delinquerent. Nunc autem B quomodo vel providere nobis putentur, donec ii quibus imperant peccare non desinant, vel non merito a quibusdam contemni? Et auriga quidem si calcitrosos habet equos, cicures ac mansuetos reddit, et denique tuto et commode quocunque vult vehitur, dii vero nondum ex hominibus injustitiam sustulerunt, cum tamen ab omni ævo rerum administrationi præfuerint, atque etiam quosdam eorum in sese peccare cognoverint. Cum autem hæc nemo sanus serio dixerit, nisi ad refutandum, ut nos, liquido cernitur Platonis calumnia. Etenim si quæ nec dii unquam fecerunt, nec ab ipsa urbis præside Minerva juste posset petere, hæc a Themistocle et Pericle requiret, quomodo calumniæ crimen effugiat, quæro. Sed, ut arbitror, populi C quidem naturam nec mutare potuerunt, nec abolere, quæ quidem est ea, nunquam ut omnes probi et inculpati exsistant, cum autem vel providendum erat aliquid non sine periculo, qua quidem in re simul et vulgi, et optimatum gratiam merebantur, vel cum potestate populus a rebus gravissimis avertendus, ac naturæ peccata vel tantillum corrigenda, his profecto nunquam sibi nec populo defuerunt. Quibus rebus ultra nostram disputationem et confirmationem, Plato suffragatur ipse, atque hic etiam nobis testimonium perhibet eadem dexteritate qua et in superioribus, quotiescunque fuit opus. Absurdum est autem quorum facta prædicat eorum gubernationem suggillare, quæque eorum qui paruerunt virtutis ponit indicia, non iis D qui persuaserunt primum tribuere. Hæc enim intra fabulam sunt alicubi conjecta non oscitanter, ut opinor, nec temere, sed ut simul et laterent quam maxime, et si quis ea post invenisset, ne ab ipso quidem viderentur esse præterita. Ita mediam quamdam invenit viam, atque etiam ad finem totius

VARIÆ LECTIONES.

[80] πρῶτος ἦν om. A. [81] ὅτι ὁ Σωκράτης ζ. [82] καὶ post οἷς om. A. [83] καὶ προσηκόντως om. A. [84] ὥσπερ] p. 140. [85] ἂν om. A. [86] τοῦ θείου add. A. [87] τοῖς αὐτοῖς λόγοις om. A. [88] αὐτοῦ A : αὐτοῖς ζ. [89] εἶναι καὶ τοιαύτην ζ. [90] καὶ. [91] μὴ om. A. [92] εἰ] οἱ A. [93] παύονται A. [94] ὧν. [95] δικαίως] διὸ μηδ' ἀδίκως αὐτὸ A. [96] καὶ ὁ μὲν] p. 141. [97] καὶ τελευτῶν [98] βούλεται om. A. [99] οὔπω A : οὐδέπω ζ. [1] τοῦ αἰῶνος παντὸς A. [2] καὶ προσέτι. [3] αὐτῶν om. A. [4] ὅτε] εἰς A. ὡς ζ. [5] ἡμεῖς μὲν νῦν A. [6] καὶ Περικλέους om. A. [7] οὐδ' ἀφανίσαι om. A. [8] εἰς A : ὡς ζ. [9] ἡμῖν A. [10] οἵσπερ A. [11] καίτοι] p. 143. [12] ἦν om. A. [13] τὴν δὲ πολ. φαυλίζειν] ὧν τὴν πολ. φαυλίζειν ἐστὶ A. [14] ὑπάρχειν om. A. [15] ἔγκειται] p. 147. [16] γάρ που om. A.

sermonis rejecit, quæ si posuisset in initio, non potuisset, credo, reliqua deducere.

419*b* Nec enim id quærebatur, utrum facilius esset exsistere vel non exsistere verum oratorem. Nam hoc quidem et nos testamur, ac, si Stentoris haberemus vocem proclamaremus, et Nilus si ostiis septem loqui posset, ut apud Homerum Scamander. Sed utrum fieri per naturam posset, an minus, hoc erat in quæstione positum. Nec enim simpliciter modo, neque ut nunc ostendimus, ipsum sibi contradixisse, sed et dum illos reprehendit hunc Aristidem, quem laudavit, laudare non posse, aut si hunc recte laudat, illos eadem de causa reprehendere non posse declarabimus. Etenim hoc malæ ipsorum administrationis signum ponit, quod ab Atheniensibus male sint tractati, quasi qui fuerant ab ipsis optimi redditi, non debuissent in eos peccare, per quos etiam ab aliis lædendis abstinere didicerant. Quæ cum ita posuisset, et aurigas ac similia huc adduxisset, Aristidem tamen non modo non reprehendit, sed et inter cæteros eximium judicavit. Atqui si ab Atheniensibus male multari, malæ ipsorum gubernationis erat signum, ne Aristides quidem recte eos rexit, quandoquidem nec ipse impune evasit, quin excideret: idque non in curia, sicut Pericles et Miltiades, nec per eos quos populi causa offenderat, verum ab ipso testularum suffragio condemnatus (86). Sed gubernator omnia novit; et ipsum quidem plures ultra mille servare, oratorem vero non Ægyptiis navibus, nec etiam classe tota salutem definire, sed et portus ipsos et urbes, non tantum decem hominum millium capaces, pro navibus decem millium pondo, verum etiam non facile sub mensuram cadentes suo regere imperio. Ac gubernator quidem postquam appulit, arte non amplius utitur, oratori vero nullus est vacuus locus. Verum ne sermo sermoni succedat, cum sufficiant ea quæ sunt potiora, omittam in præsentia longiorem hac de re **420***a* disputationem. Rhetoricam per omnes virtutum partes penetrare, cum per prudentiam sit inventa pro justitia, temperantiaque et fortitudine conservetur. Item et in his licet animadvertere. Etenim cum sit hoc concionari, ea quibus opus est invenire ac disponere, ac decorum cum ornatu et potestate observare, inventio quidem prudentiæ debetur, cum nequeat is qui prudentia careat, utile quidquam invenire, temperantia vero administrationi præest, et imperan-

προφάσεως [17]] οὐκ ἀσκέπτως ἐμοὶ δοκεῖν οὐδὲ φαύλως [18], οὐδ' ὡς ἐξέπεσεν, ἀλλ' ὅπως συγκρυφθείη τε ὡς δυνατὸν μάλιστα, καὶ εἴ τις εὑρὼν χρῷτο, μηδ' αὐτὸς δοκῇ παρελθεῖν, ἀλλ' ἐνείη [19]· οὕτω μέσην τινα εὗρε τάξιν, καὶ ἅμα πρὸς τῇ τελευτῇ τοῦ λόγου τοῦ παντὸς, ἃ θεὶς ἐν ἀρχῇ τοῖς ἐφεξῆς οὐκ ἔμελλεν ἕξειν [20], οἶμαι, χρῆσθαι.

Οὐ γὰρ εἰ [21] ῥᾴδιον ἢ μὴ τῷ ὄντι γενέσθαι ῥήτορα προὔκειτό σκοπεῖν, ἐπεὶ τοῦτο γε καὶ ἡμεῖς, εἰ βούλει μαρτυροῦμεν, κἂν εἰ τὴν Στέντορος φωνὴν κτησαίμεθα, φθεγξαίμεθ' ἄν, ὡς οὐ ῥᾴδιον, κἂν ὁ Νεῖλος, ὦ μακάριε, τοῖς ἑπτὰ στόμασιν εἰ λάβοι φωνήν, ὥσπερ ὁ Σκάμανδρος καθ' Ομηρον. Ἀλλ' εἰ δυνατὸν ἢ μὴ, καὶ φύσιν ἔστ' ἔχον συμβῆναι, τοῦτ' ἦν ἐκ τοῦ λόγου. Φανήσεται [22] γὰρ [23] οὐκ ἁπλῶς, οὐδ' ὡς νῦν μόνον δείκνυμεν [24], εἰς τοὺς ἐναντίους ἐληλυθὼς αὐτὸς ἑαυτῷ, ἀλλὰ καὶ ἐξ ὧν ἐκείνους ᾐτίαται [τοῦτον [25]] Ἀριστείδην ὃν ἐπῄνεσεν ἐπαινεῖν οὐκ ἔχων, ἢ εἴπερ ὀρθῶς ἐπαινεῖ τοῦτον, διὰ τὸ αὐτὸ τοῦτο οὐδ' [26] ἐκείνους ἔχων αἰτιάσασθαι. Πῶς; ὅτι σύμβολον [27], οἶμαι, ποιεῖται τοῦ κακῶς Ἀθηναίων ἐκείνους προστῆναι τὸ παθεῖν αὐτοὺς ὑπ' Ἀθηναίων κακῶς, ὡς οὐκ ἂν τούς γε [28] βελτίους ὑπ' αὐτῶν γενομένους ἁμαρτόντας εἰς τούτους, ὑφ' ὧν μηδ' εἰς τοὺς ἄλλους ἁμαρτάνειν ἐπαιδεύθησαν. Ταῦτα δὲ οὕτω θεὶς, καὶ ἡνιόχους [29] καὶ τὰ τοιαῦτα ἐπεισαγαγὼν ἐνταυθοῖ, τόν γε [30] Ἀριστείδην οὐ μόνον οὐδὲν φαῦλον εἴρηκεν, ἀλλὰ καὶ σαφῶς ἑξαίτερον τῶν ἄλλων πεποίηται [31]. Καίτοι εἰ τὸ παθεῖν κακῶς ὑπ' Ἀθηναίων ἦν τι δεῖγμα τοῦ μὴ καλῶς Ἀθηναίων προστῆναι, οὐδ' Ἀριστείδης προὔστη καλῶς· οὐδὲ γὰρ οὗτος ἀθῶος δή που διέφυγεν, ἀλλ' ἐξέπεσε. Προσθήσω δὲ ὅτι οὗτός γε οὐδὲν δικαστηρίῳ δυστυχήσας ὥσπερ Μιλτιάδης καὶ Περικλῆς, οὐδ' ὑπὸ τούτων οἷς προσέκρουσεν ὑπὲρ τῶν πολλῶν, ἀλλ' ἐξοστρακισθεὶς ὑπ' αὐτοῦ τοῦ δήμου. Ἔστι [32] δὲ καὶ κυβερνήτῃ καὶ παντὶ συνιδεῖν ὅτι κυβερνήτης μὲν ὅστις πλείστους ἀθρόους [33] ἔσωσεν ὑπέρ [34] χιλίους, τὸ δὲ τοῦ ῥήτορος πλήρωμα ὃ σώζει οὐ κατὰ ναῦν ἐστιν Αἰγυπτίαν, οὐδέ γε [1264 R.] ὅλως μετρεῖται στόλῳ, ἀλλὰ καὶ λιμένες αὐτοὶ [35] καὶ πόλεις οὐ μυρίανδροι μόνον ἀντὶ τῶν μυριοφόρων, ἀλλὰ καὶ μετρῆσαι χαλεπαὶ, τῇ τῆς ῥητορικῆς ὑποπίπτουσι τύχῃ τε καὶ προστασίᾳ. Καὶ ὁ μέν γε [36] κυβερνήτης κατάρας οὐκέτι ἔχει τί χρήσεται τῇ τέχνῃ· τοῦ δὲ ῥήτορος οὐδέν ἐστι χωρίον ἐξαίρετον. Ἀλλ' ἵνα [37] μὴ λόγος ἡμεῖν λόγον ἐκδέξηται, ἀγαπητὸν ὂν εἰ καὶ τοῖς ἐπικαίροις ἐξαρκέσαιμεν, ἐῶ τὸ νῦν εἶναι τὴν ὑπὲρ τούτου διαφοράν. [683 H.] Ὅτι ἡ [38] ῥητορικὴ διὰ πάντων τῶν τῆς ἀρετῆς μορίων διήκει. φρονήσει μὲν εὑρεθεῖσα, εὑρεθεῖσα δὲ ὑπὲρ δικαιοσυνης, σωφροσύνῃ δὲ καὶ ἀνδρείᾳ φυλαττομένη [39]. Τοῦτο δὲ καὶ κατὰ τούτους τοὺς λόγους [οὓς μέλλω [40] εἰπεῖν αὐτῆς] ἰδεῖν ἔστιν.

VARIÆ LECTIONES.

[17] χωρίς τινος προφάσεως om. A. [18] οὐδὲ φαύλως om. A. [19] ἀλλ' ἐνείη om. A. [20] τοῖς — ἕξειν A : τῆς — ἕξει ς. [21] οὐ γὰρ εἰ (p. 14) ἡμῖν δ' οὐ A. [22] φανήσεται] p. 150. [23] γὰρ] δ' A. [24] δείκνυμεν om. A. [25] τοῦτον om. A. [26] οὐδ' A : οὐδὲν ς. [27] σύμβουλον — ποιεῖ A. [28] γε om. A. [29] καὶ ἡνιόχους om. A. [30] γε om. A. [31] πεποίηκε A. [32] ἔστι δὲ] p. 155. [33] ἀθρόως A. [34] ὑπὲρ om. A. [35] αὐτοὶ om. A. [36] γε om. A. [37] ἀλλ' ἵνα] p. 157. [38] ὅτι ἡ] p. 160. [39] φιλασσομένη ς. [40] οὓς μέλλω εἰπεῖν αὐτῆς om. A.

NOTÆ.

(86) Vide Plutarchum et Probum, seu Corn. Nepotem.

Ἔστι μὲν γὰρ δή που [41] ῥητορεύειν τὸ τὰ δέοντα A
ἐξευρεῖν [42] καὶ τάξαι καὶ τὰ πρέποντα ἀποδοῦναι
μετὰ κόσμου καὶ δυνάμεως. Φαίνεται δὲ ἡ μὲν εὕρε-
σις κατὰ τὴν φρόνησιν ἔχουσα, εἴπερ [43] ἀμήχανον
φρονήσεως ἀπολειπόμενον τῶν χρησίμων εὑρεῖν
ὁτιοῦν [44], ἡ δὲ σωφροσύνη κατὰ τὴν διαχείρισιν [45]
οὖσα καὶ τὴν τῶν ἡγουμένων τε καὶ εἰκότων συμ-
φωνίαν· ἀντὶ [46] δ' αὐτῆς [47] δικαιοσύνης τὸ πρέπον
τιθεῖ. Τοῦτο δέ ἐστιν ὁποῖα [48] ἅττα καὶ ὁπόσα προσ-
ήκει ἑκάστῳ σῶσαι τῷ πράγματι. Ἀλλὰ μὴν ἀνδρείας
ἐκ τοῦ εὐθέος οὐδὲ οὕτω [49.50] μετέχειν ὡς ὁ λόγος
βούλεται· τὸ γὰρ ταπεινὸν καὶ ἀγεννὲς οὐδὲν οὕτως,
ὡς ὁ λόγος, ἐξορίζει καὶ ὑπερφρονεῖ· εἶεν [51]. Οὗτος
ὁ νουθετῶν ἀνύτει. Οὑτος ὁ κατηγορῶν πιστεύεται [52].
Καὶ μὴν ὅστις [53] γε ἃ προσῆκε λέγειν οἶδεν, οἶδεν [54]
ἃ πράττειν προσήκει· οὐδεὶς γὰρ ἔστιν ὅστις, ἃ προσ- B
ήκει πράττειν εἰπεῖν εἰδὼς, ἃ προσήκει πράττειν
ἀγνοεῖ, οὐδ' ὅστις ἀγνοῶν ἃ προσήκει πράττειν,
εἰπεῖν ἔχει. Ὅσῳ [55] γὰρ [56] ἄρχειν βέλτιον ἢ διακο-
νεῖν, τοσούτῳ λέγειν τὰ δέοντα βέλτιον ἢ πράττειν.
Ὁ μὲν γὰρ, οἶμαι, πολλοῖς σύμβουλος γίνεται, ὁ
δὲ ἀνθ' ἑνὸς ἄλλου τινὸς γίνεται. Ὥσπερ οὖν τοὺς
ἀρχιτέκτονας τῶν τεκτόνων ἀνάγχη προέχειν, ὄν-
τας [57] ὅμως περὶ ταυτὰ ἃ καὶ [58] τῆς τῶν τεκτόνων
ἐστὶν ἐμπειρίας, οὕτω καὶ τοὺς ἐν ταῖς ἀγοραῖς
καὶ τοῖς λόγοις προέχοντας τῶν τούτοις ὑπηρετούν-
των βελτίους ὁ πειητὴς ἔθηκε καὶ προσεῖπεν ἀρι-
πρεπεῖς μάλα ὀρθῶς προσειπών. Εἰ δὲ [59] δεῖ καὶ
μῦθον λέγειν, δέδοικα μὲν ἐγὼ μὴ καὶ ταῖς γραυ-
σὶν ἡμᾶς ἐξούλης ὀφλεῖν ἐπισκώπτων φῇ τις ἀνὴρ
κωμικὸς, ἐρῶ δὲ οὖ μῦθον ἄλλως αὐτὸν εἰς ἑαυτὸν C
τελευτῶντα, ἀλλὰ καὶ ἐνταῦθα ἡ παρὰ τῶν πραγμά-
των πρυσέσται [60] πίστις. Ὁ μὲν [61] οὖν Προμηθεὺς
καθ' ἕκαστον ἐπ' ἴσης [62] ἅπασι τάς τε αἰσθήσεις καὶ
τὰ μέλη τοῦ σώματος συμπεπλακὼς [63] ἦν πρότερον [64]·
τὸν δὲ Ἑρμῆν οὐχ οὕτως ἐκέλευσεν ὁ Ζεὺς ὥσπερ
θεωρικοῦ διάδοσιν διελεῖν, ἵνα πάντες ῥητορικῆς
ἐφεξῆς μετέχοιεν ὥσπερ ὀφθαλμῶν καὶ χειρῶν καὶ
ποδῶν, ἀλλ' ἐπιλεξάμενον τοὺς ἀρίστους καὶ γενναιο-
τάτους καὶ τὰς φύσεις ἐρρωμενεστάτους, τούτοις
ἐγχειρίσαι τὸ δῶρον, ἵνα ὁμοῦ σφᾶς τε αὐτοὺς καὶ
τοὺς ἄλλους σώζειν ἔχοιεν. Ἀφικομένης δὲ ῥητορι-
κῆς ἐκ θεῶν οὕτως ἐς ἀνθρώπους, ἡδυνήθησαν μὲν [65]
ἄνθρωποι τὴν μετὰ τῶν θηρίων δίαιταν χαλεπὴν
ἐκφυγεῖν, ἐπαύσαντο δὲ ἐχθροὶ πάντες ὄντες ἀλλή-
λοις ἐν κύκλῳ, κοινωνίας δὲ εὗρον ἀρχήν. Καταβάντες
δὲ ἐκ τῶν ὀρῶν ἄλλοι κατ' ἄλλα μέρη τῆς οἰκουμένης
ἐπλησιάσαντό γε πρῶτον ὕπαιθροι, μετὰ δὲ τοῦτο
ἤδη λόγου νικήσαντος πόλιν τε κατεσκευάσαντο καὶ
διεκρίθησαν [66] οὐχ ὥσπερ πρότερον, ὡς ἔτυχεν [67],
[καὶ] εἰς τὸ νῦν σχῆμα καὶ ἀξίωμα χρόνῳ τε καὶ κατὰ

lium ac parentium concordiæ. Nam pro justitia decorum ponatur, quod in eo consistit, ut quanta et qualia singulis rebus conveniant, observetur. Fortitudinem autem nihil adeo requirit, ut oratio. Nihil enim exterminat longius ac despicit æque ignobilitatem quam oratio. Quæ cum ita se habeant, hæc admonendo proficit, et accusando fidem facit. Nam qui quid dicendum sit novit, quid faciendum sit non ignorat : et nemo potest agenda præcipere, qui quid agendum sit ignorat. Nam quanto melius est imperare quam ministrare, tanto præstat quæ oportet dicere quam facere. Ut enim ille multis consilium impertit, ita hic instar alterius est cujusvis. Quare sicut architecti fabris necessario præstant, quamvis in eodem versentur opera, sic
B eos qui in foro et dicendo præcellunt, horum ministris poeta meliores posuit, et illustres appellavit, idque admodum recte. Quod si fabula quoque narranda est, vereor equidem, ne quis aniculas nobiscum *unde vi* posse agere dicat per jocum comicus. Proferam tamen fabulam, non temere in seipsa desinentem, sed et cum rerum fide conjunctam. Et quoniam Prometheus (87) sigillatim omnibus, sensus et alia corporis membra formarat, non ita Mercurio præcepit Jupiter, quasi theatralem pecuniam
420*b* distribueret, ut omnes ex ordine rhetoricam, quasi oculos, manus, aut pedes consequerentur, sed optimos quosque et nobilissimos, ac natura validissima præditos seligeret, quibus hoc donum impertiret, quo sese pariter et alios servare
C possent. Jam cum ad homines a diis esset delata rhetorica, tum et belluarum terrorem potuerunt effugere, et inimicitias undique deposuerunt, ac societatis invenerunt initium. De montibus itaque descendentes, alii ad alia loca sibi invicem appropinquarunt, ac primum quidem sub dio, postea vero invalescente jam sermone, urbem construxerunt, ac divisionem sui instituerunt non fortuitam, ut olim, sed in formam dignitatemque collegiorum paulatim redactam. Atque hunc quidem habeat finem fabula, capite quoque, ni fallor, non inepto prædita. Verumtamen non esse fabulam hanc, nec rem fictam sed veram, atque ipsarum rerum rationem, ex ipsis patet. Quapropter si etiam propius
D sermonem deduxero, mirum nisi delicias in demonstrationibus facere videbimur, nec ullum poterit argumentum fortius, a quoquam vel sperari, nedum inveniri. Neque enim ipse tantum Plato, ut sæpe ante, sed et in his ipsis sermonibus, mirabili videlicet opere palam fatetur rhetoricam optima quæque agere. Hæc de oblectatione et utilitate, ut sæpius,

VARIÆ LECTIONES.

[41] δή που om. A. [42] εὑρεῖν A. [43] εἴπερ [44] ὁτιοῦν om. A. [45] διαχήρισιν A : διαχείρησιν ς. [46] ἀντὶ — τίθει om. A. [47] αὐτῆς] malim αὖ τῆς. [48] ὁποῖα — καὶ] ποῖα — ἢ A. [49.50] οὐδὲ οὕτω om. A. [51] εἶεν [52] πιστεύεται om. A. [53] οὗτος] p. 162. [54] οἶδεν ἃ — εἰδὼς add. A. [55] ὅσῳ] p. 163. [56] γὰρ] δ' .A [57] ὄντας] ὄντως A. [58] καὶ posl ἃ om. A. [59] εἰ δὲ] p. 167. [60] πρόσεστιν A. [61] ὁ μὲν] p. 168. [62] ἐπ' ἴσης om. A. [63] πεπλακὼς A. [64] πρότερον om. A. [65] μὲν om. A. [66] καὶ διεκρίθησαν, [67] ἔτυχεν om. A.

NOTÆ.

(87) Hesiod. I Ἔργων.

dicta sunt. Hæc duo vero maxime rhetoricam ditant, et cum utilitate, gratiam mirabilem habent, ut cum ad arma homines descendunt, utrinque missos legatos suscipiunt, animadvertentesque mittunt oratores, suscipientes orationis naturam, pudore affecti, quia non ab initio pro salute, utilitateque communi generis venerunt. Quod si quis objiciat Platonem non eam quam nos defendimus rhetoricam criminari, sed e duabus alteram primum non ideo minus ea quæ sunt a nobis dicta constant, **421***a* sed hac ipsa de causa recte omnia decenterque prolata vincitur. Nam quemadmodum ille malam recte suggillat, ita nos cum contrariam laudamus, recte, ni fallor, facimus. Deinde non tollit hæc excusatio nostram probationem potius, quam eum sic quoque sibi ipsi contradixisse declarat, qui cum B duplicem voluisset esse rhetoricam, deinde tanquam unius et simplicis accusationem instituit. Etenim si verum hoc est alteram reprehendere, alteram secorsim laudare conveniebat, sicut in sermonibus de amore habitis fecit, et honestum quidem majoribus laudibus quam alterum conviciis est prosecutus.

A μικρὸν ἀνήχθησαν. Καὶ ὁ [68] μῦθος μὲν ἡμῖν ταύτην ἐχέτω τὴν τελευτήν, οἶμαι κεφαλὴν οὐδὲν [69] ἄτιμον εἰληφώς. [1265 R.] Ὅτι δὲ οὐκ ἄλλως μῦθος [70] ταῦτα [684 H.] οὐδ' ὅναρ, ἀλλ' ὕπαρ καὶ ὁ τῶν πραγμάτων αὐτῶν ἐστι λόγος, δῆλον ἐξ αὐτῶν. Ἐὰν [71] τοίνυν ἔτι τούτων ἐγγυτέρω προσαγάγω τὸν λόγον, ἢ [72] που τρυφή τις ἂν εἴη τῆς [73] ἀποδείξεως, καὶ οὔτε ἔννοιαν οὔτε ἐλπίδ' ἐλέγχων ἰσχυροτέρων [74] οὐδ' εἰς ἔτι δή που λάβοι. Οὐ γὰρ μόνον αὐτὸς Πλάτων, ὡς πολλάκις ἐδείξαμεν πρότερον, ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις [75] τοῖς λόγοις τῷ παραδόξῳ δὴ συγγράμματι διαρρήδην ὁμολογεῖ τῇ ῥητορικῇ [76] τὰ [77] κάλλιστα εἶναι πράττειν. Τὰ μὲν [78] οὖν ἄλλα ἢ ψυχαγωγίαν ἢ χρείαν ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἔχει, μόνον δὲ τὸ τῆς ῥητορικῆς μάλιστά γε ἄμφω πληροῖ, καὶ μετὰ τῶν ὠφελειῶν τὴν χάριν θαυμαστὴν ἔχει, ὥστε καὶ ὅταν εἰς πολέμους ἀλλήλοις ἔλθωσιν ἄνθρωποι, τοὺς παρὰ τῶν αὐτοχείρων πρέσβεις ἀφικνουμένους δέχονται καὶ ἀποπέμπουσιν, ἐνθυμούμενοι τὸ τῶν ῥητόρων φῦλον ὑπεξαιρούμενοι τὴν τοῦ λόγου φύσιν, αἰδούμενοι ὅτι ἐξ ἀρχῆς ἐπὶ σωτηρίᾳ καὶ κοινῇ χρείᾳ τοῦ γένους εἰσῆλθεν. Εἰ δέ [79] τις ἡμῖν περὶ Πλάτωνος ὑπολάβοι ὅτι οὐ ταύτην κακως εἴρηκε τὴν ῥητορικὴν [80] ὑπὲρ ἧς νῦν ἡμεῖς τοὺς λόγους ποιούμεθα, ἀλλὰ δύο οὐσῶν τὴν ἑτέραν κακίζει, πρῶτον μὲν οὐδὲν μᾶλλον τά γε ἡμῖν εἰρημένα φαύλως ἔχοντα ἐλέγχονται, ἀλλὰ [81] κατ' αὐτὸ τοῦτο καλῶς καὶ προσηκόντως ἅπαντα ταῦτα ἠνύσθαι μαρτυρεῖ [82]· ὥσπερ γὰρ ἐκεῖνος τὴν φαύλην δικαίως ψέγει, τί κωλύει τήν γε ἐναντίαν ἡμᾶς ἐπαινοῦντας ὀρθῶς ποιεῖν; Ἔπειτα οὐκ ἀναιρεῖ τοὺς παρ' ἡμῶν ἐλέγχους ἡ παραίτησις αὕτη, ἀλλὰ καὶ οὕτως ἐναντία φαίνοιτ' ἂν εἰρηκὼς αὐτὸς ἑαυτῷ, εἰ διττὴν εἶναι τὴν ῥητορικὴν ἀξιῶν εἶθ' ὡς μιᾶς καὶ ἁπλῆς τινος οὔσης τὴν κατηγορίαν πεποίηται. Δῆλον γὰρ ὅτι εἰ τοῦτ' ἔστιν ἀληθὲς, τὴν μὲν φαυλίζειν τὴν δ' ἐπαινεῖν προσῆκεν αὐτῷ διελομένῳ, ὥσπερ ἐν τοῖς περὶ ἔρωτος λόγοις [83] φαίνεται πεποιηκὼς καὶ πολύ γε μειζόνων εὐφημιῶν τὸν χρηστὸν [84] ἠξιωκὼς ἢ οἷων τὸν ἕτερον βλασφημιῶν.

Idem porro de tota quoque philosophia dici poterit, ac de virtutis partibus, si quis eas dividens, primum duas ponat prudentias, alteram qua optima quæque intelligimus, alteram qua dolose agimus; deinde temperantiam duplicem, alteram expetendam et civilem, alteram supinorum et stupidorum, tum justitiam rectam et humilem alteram; denique fortitudinem duplicem, unam cum prudentia conjunctam, alteram insaniam et furorem. Verum hoc est, opinor, confundere nomina, ac separatæ sunt a se sapientia et astutia, temperantia et stupiditas, justitia et simplicitas, fortitudo et audacia. Neutrum vero vel honestum est, vel difficile, nec vitiis virtutis titulo blandiri, nec virtutes additis unicuique vitiis suis, calumniari, in tantum hæc inter se distinguuntur. Si enim prorsus sic existimat D Plato, ut quidem negare nolim, et veram excepit rhetoricam, æquum est cavere, ne decipiantur, et hoc ipsum ignorent plerique, ac citius, quam conducat de rebus tantis, quasi puro suffragio statuant.

C Ὁ δ' οὖν [85] αὐτὸς [86] λόγος καὶ περὶ πάσης φιλοσοφίας καὶ περί γε τῶν τῆς ἀρετῆς, εἴ τις βούλοιτο διαιρούμενος πρῶτον μὲν σοφίας δύο προσαγορεύειν [87], τὴν μὲν ᾗ τὰ βέλτιστα συνίεμεν, τὴν δ' ἑτέραν ᾗ κακουργοῦσιν, ἔπειτα σωφροσύνην διπλῆν, τὴν μὲν σπουδῆς ἀξίαν καὶ πολιτικήν, τὴν δὲ νωθράν [88] τε καὶ ὑπτίαν, ἔτι [89] δ' αὖ δικαιοσύνην ὀρθὴν [90] καὶ ἑτέραν ταπεινὴν, καὶ διπλῆν ἀνδρίαν [91]. Τὴν μὲν σὺν νῷ καὶ φρεσὶν, τὴν δὲ ἀπόνοιαν καὶ μανίαν οὖσαν. Ἀλλ' οἶμαι, πάντα ταῦτα [92] τῶν φυρόντων ἐστὶ τὰ ὀνόματα, καὶ διῄρηται [93] σοφία καὶ κακουργία, σωφροσύνη καὶ βλακεία. δικαιοσύνη τε καὶ εὐήθεια, ἀνδρεία καὶ θρασύτης· οὐδέτερον δέ γε οὔτε καλὸν χαλεπὸν οὔτε προσῆκον [94]. Πολλῷ γὰρ ταῦτα ἀπ' ἀλλήλων διῄρηται, καὶ οὐ δεῖ [95] τὰς κακίας ὑποκορίζεσθαι τῷ τῆς ἀρετῆς ὀνόματι [96], οὔτε [97] τὰς ἀρετὰς φαυλίζειν τὰ τῆς κακίας ἑκάστῃ παρατιθέντα [98]. Εἰ γὰρ [99] ὅτι μάλιστα οὕτω Πλάτων διενοεῖτο, ὥσπερ ἔγωγε οὐκ ἀντιλέγω, ἀλλ' ὑπεξῄρηται τὴν καθαρὰν καὶ τῷ ὄντι ῥητορικὴν, ἄξιον μὴ [1] παρακρουσθῆναι, μηδ' ἀγνοῆσαι

VARIÆ LECTIONES.

[68] καὶ ὁ] p. 170. [69] οὐδὲ A. [70] μῦθος ταῦτα] μῦθον A. [71] ἐὰν] p. 185. [72] ἢ A : εἴ ς. [73] τῆς A : τὸ ς. [74] ἐλέγχων ἰσχυροτέρων οὐδ' om. A. [75] τούτοις om. A. [76] τῇ ῥητορικῇ om. A. [77] τὰ add. A. [78] τὰ μὲν] p. 178. [79] εἰ δὲ] p. 186. [80] τὴν ῥητορικὴν om. A. [81] ἀλλὰ. [82] μαρτυρεῖ om. A. [83] λόγοις om. A. [84] τὸν χρ. A : τὸ χρ. ς. [85] ὁ δ' οὖν] p. 188. [86] αὐτὸς om. A, [87] libri προσαγορεύει. [88] νωθρῶν—ὑπτίων A. [89] ἔτι δ' αὖ] καὶ A. [90] ὀρθὴν — ταπεινὴν om. A. [91] καὶ διπλῆν ἀνδρίαν] διπλῆν καὶ ἀνδρίαν ὁμοίως A. [92] ταῦτα πάντα ς. [93] καὶ διῄρηται. [94] προσῆκον om. A. [95] δεῖ add. A. [96] τοῖς ὀνόμασιν A. [97] οὐδὲ A. [98] παρατιθέντας A. [99] εἰ γὰρ] p. 189. [1] μὴ] μὲν A.

τοῦτο αὐτὸ [2] τοὺς πολλοὺς [685 H.] μηδ' ὡς ψήφῳ καθαρᾷ προσέχοντας θᾶττον ἢ συμφέρει βουλεύσασθαι περὶ τῶν [3] τηλικούτων. Πανταχῇ [4] δὲ καὶ διὰ πάντων [5] ἐκπίπτουσιν ἡμῖν αἱ ψῆφοι. Πρῶτος δὲ Πλάτων αὐτὸς ψηφίζεται καὶ μέσος, φασὶ [6], καὶ τελευταῖος. Καὶ κινδυνεύω δοκῶν ἀντιλέγειν Πλάτωνι παντὸς μᾶλλον συναγορεύειν. Εἰ δὲ δεῖ τι καὶ παῖξαι, δοκῶ μοι [1268 R.] τοὺς κωμῳδοποιοὺς ὥσπερ ἀποδιδράσκοντα αὐτὸν ἕλξειν εἰς τοὺς ῥήτορας, ὅτι μαθὼν καλλωπίζεται [7].

A Omnino autem et ubique nobis excidunt calculi, primusque suffragium fert ipse Plato, et medius, ut aiunt, atque postremus. Ac videor, cum Platoni contradico, maxime cum ipso sentire, et, ut hoc joci causa addam, **421***b* eum secundum comicos ad oratores quasi aufugientem retracturus, qui postquam didicerit, se jactet.

Ἀριστείδου ἐκ τοῦ ἐπιγραφομένου λόγου Πλατωνικὸς τρίτος πρὸς Καπίτωνα. — Τὸ Προοίμιον.

Oratio tertia Aristidis inscripta Platonicæ ad Capitonem. — Proœmium.

Νῦν σε [8] καὶ μᾶλλον φιλοῦμεν, οὕτως ἐρωτικῶς τοῦ Πλάτωνος ἔχοντα, ὃν ἐγὼ φαίην ἂν τιμῶν [9] καθ' Ὅμηρον,

Ἶσον ἐμῇ κεφαλῇ.

Nunc te magis etiam amanus, cum Platonem tanto studio prosequeris, quem ego dixerim colere me, secundum Homerum :

Non secus atque meum caput (88).

B Εἰ γάρ τοι [10] καὶ πάντες φαῦλοι πρὸς ἐκεῖνον, ἀλλ' ἕκαστος τιμιώτατος αὐτὸς ἑαυτῷ, φασί. Καίτοι τί λέγω; Οὐκ οἶδα μὲν γὰρ εἰ πιστεύεις, ἀληθὲς δ' ἐρῶ. Εἰ δὲ μὴ ἐγγὺς ἐκεῖνον ἔφησας ἡμῶν εἶναι, οὐκ ἂν οὕτω με εὔφρανας [11], ὡς ὅτι προκατείληφαι δείξας· οὕτως ἐμοὶ φίλος ἀνὴρ καὶ φίλων ἐπέκεινα. Συνέβη [12] δέ μοι καὶ περὶ Δημοσθένην τοιοῦτον ἕτερον· φράσω δὲ καὶ πρὸς σέ [13]. Ἀνὴρ τῶν ἐκ τῆς γερουσίας τῆς Ῥωμαίων, Λίβυς τὰ ἀρχαῖα, Μάξιμος τοὔνομα, ἄξιος ὅτου βούλει (φασὶ [14] δὲ οἱ ταῦτα δεινοὶ καὶ ῥήτορα αὐτὸν ἐν πρώτοις εἶναι Ῥωμαίων), οὗτος [15] τοῖς τε Δημοσθένους λόγοις προσέκειτο ὑπερφυῶς, καὶ οὐκ οἶδ' ὁντινα τρόπον καὶ [16] τοῖς ἡμετέροις ἁλῶ τούτοις. Ἔτυχε γάρ μοι λόγος τις πεποιημένος ἐκ τριῶν πρὸς Λεπτίνην, ἐξ ἀρχῆς τοιᾶσδε [17]. Εἶχον μὲν [18] γὰρ ἐν χερσὶ τὸν λόγον τὸν τοῦ Δημοσθένους [19], καὶ ὡς ἐγενόμην ἐπὶ τῶν κεφαλαίων ἃ τοῦ Λεπτίνου μέλλοντος ἐρεῖν ὑποτέμνεται, ἀποστήσας ἐμαυτὸν τοῦ Δημοσθένους ὑπ' ἐμαυτοῦ τι συνεώρων. Ὡς δὲ εὗρον καὶ δύο καὶ τρία τῶν χρησίμων, ἐνταῦθα πάλιν αὖ ἐπ' ἄλλο τι ἐχώρουν. Καί μοι πειρωμένῳ τὸ αὐτὸ ἀεὶ συνέβαινε. Καὶ οὕτω δὴ ἀπὸ τοῦ κρασπέδου θοιμάτιον, εἰ δὲ βούλει, τὸν λέοντα ἀπὸ τοῦ ὄνυχος ἀπειργασάμην. Τοῦτον αὐτῷ τὸν λόγον δεῖξαι [20] ἐπεχείρησα· καὶ μέλλων δείξειν [21], προεῖπον ὅτι πρὸς Λεπτίνην ἐφευρημένος σὺν τῷ πρὸς Λεπτίνην ἐφευρήσει [22]. Ἆρα μὴ ἀδικῶ σε; ἔφην ἐγώ [23]. Καὶ ὃς μὰ Δία εὐγενῶς τε καὶ ὡς ἂν πᾶς ἡράσθη τε καὶ ἠγάσθη ὅστις φιλολόγος, Οἶσθα, ἔφη, ὅτι κάθημαι πρὸς τοῦ [24] Δημοσθένους; Κἀγώ, τὸν αὐνὸν ἄρα, ἔφην, ἐμοὶ [25] βουκολεῖς, ὥστε εἰ νικῴη μ' οὐκ ἐχθρὸς ὁ στεφανούμενος, ἀλλ' ᾧ σύ γε κἀγὼ συσπεύδομεν. Ὡς δὲ ἐκέλευε [26] τὰ βιβλία ἐν μέρει δεικνύναι καὶ τὸ πρᾶγμα [27] πανταχῇ σπουδὴ ἦν, Οὕτωσί τοι, ἔφην ἐγώ, σοὶ ταυτὰ γινώσκω περὶ Δημοσθένους, καὶ ἡγοῦμαι ταυτὸν

Nunc te magis etiam amanus, cum Platonem tanto studio prosequeris, quem ego dixerim colere me, secundum Homerum :

Non secus atque meum caput (88).

B Etenim quamvis omnes illius comparatione nihili sunt, sibi tamen quisque, ut aiunt, est charissimus. Sed quid aio? Equidem nescio an sis crediturus, dicam tamen quod est verum. Nam si eum nobiscum ne comparandum quidem esse dixisses, non ita lætatus essem, ac postquam te præoccupatum ostendisti. Adeo mihi amicus est vir, et amicis omnibus potior. Simile autem circa Demosthenem, quoque mihi quiddam contigit, quod jam narrabo. Senator quidam Romanus, ex Africa oriundus, Maximus nomine, vir gravis, et orator inter Romanos primus, ut aiunt quibus hæc sunt curæ, is Demosthenis orationibus mirifice erat addictus, et nostris quoque istis nescio quo pacto capiebatur.

C Tertiam ad Leptinem orationem forte conscripseram ex tali occasione. Cum in manibus haberem Demosthenis orationem, postquam ad capita veni, quæ a Lepline dicenda, ipse intercipiebat. Deposito libro mecum eorum quoddam consideravi. Postquam autem duo vel tria, quæ ad rem pertinebant, inveneram, ad alia deinde perrexi, atque ita tentanti semper idem contigit, donec a fimbria tunicam tandem, aut si mavis ab ungue leonem absolvi. Hanc igitur orationem cum ei vellem recitare, prædixi futurum, ut ad Leptinem adinventa, cum oratione ad Leptinem inveniret. Num, inquam injuriam, facio? Tum ille generose, et ut quivis se gessisset philologus : An ignoras, inquit, a Demosthene me stare? Et ego : Eumdem igitur, inquam, quem ego

D colis, ita ut, si me vicerit, non sit inimicus coronandus, sed is cui simul uterque libamus. Ut autem **422***a* libellos recitari jussit, et seria res agi cœpit, ita fere dixi : Equidem, ni fallor, idem de Demosthene quod tu existimo, difficulter eum superari posse. His auditis ille lætatus est, quemadmodum

VARIÆ LECTIONES.

[2] αὐτὸ om. A. [3] τῶν om. A. [4] παντᾳχῇ] p. 191. [5] δὲ καὶ διὰ πάντων] δὴ καὶ ἁπάντων A. [6] φασί om. A. [7] καλλωπίζεται A : καὶ καλλωπίζεται ς. [8] νῦν σε] p. 525. [9] ἂν τιμῶν om. A. [10] τοι om. A. [11] ᾔῦφρανας A. [12] συνέβη [13] πρὸς σέ om. A. [14] φασὶ — οὗτος om. A. [15] καὶ] add. A. [16] γὰρ] δὲ A. [17] ἐξ ἀρχης τοιᾶσδε om. A. [18] εἶχον μὲν] εἴχομεν A. [19] τὸν τοῦ δημοσθένους λόγον A. [20] δεῖξαι om. A. [21] μέλλων δείξειν om. A. ὅτι. [22] ἐφευρήσει om. A. [23] σε ἔφην ἐγώ] γε A. [24] τοῦ] τοὺς A. [25] ἔφη μοι A. [26] ἐκελευσεν A. [27] τὸ πρᾶγμα om. A.

NOTÆ

(88) Iliad. VI, 82.

ἄν εἴποιμι ὁμολογουμένως, ὅσῳ [95] Ξέρξης Δαρεῖον ταῖς παρασκευαῖς ἅπασι δῆλός ἐστιν ὑπερβαλλόμενος. Καὶ μὴν ὁ μὲν τοὺς ὑπάρχους τοῦ βασιλέως, ὁ δὲ αὐτὸν ἐνίκα βασιλέα. Καὶ μετὰ μέν γε [96] [695 H.] τὴν Μαραθῶνι μάχην αὖθις [97] ἐπεστράτευσε, μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν φεύγων ᾤχετο. Πρὸς μὲν γὰρ ἐκείνην τὴν ἧτταν [98] παρωξύνθη, πρὸς δὲ ταύτην ἀπεῖπεν, ὥσθ' [99] ἱκανὸν κέρδος ἡγεῖτο, ἂν σωθῇ· ἤδει γὰρ τότε μὲν πολλοστὸν μέρος τῆς πάσης ἐλθὸν δυνάμεως, νῦν δὲ σχεδὸν μετὰ πάντων ἀνθρώπων ἡττώμενος. Μιλτιάδῃ [1] μὲν οὖν εἰς ἓν κεφάλαιον ἡ τῆς ἀνδρείας ἀπόδειξις ἦκεν, εἰ καὶ τὰ μάλιστα ἐχρῆτο αὐτῇ παρὰ πᾶσαν τὴν πολιτείαν. Θεμιστοκλέα δὲ ἀεὶ τὰ δεύτερα τῶν προτέρων μείζονα ἐξεδέχετο, καὶ τὸ τῆς παροιμίας αὐτῷ περιειστήκει· τὸ μὲν γὰρ ἔλιπεν αὐτὸν κῦμα, τὸ δὲ ἐγκατελάμβανεν, ἕως διεξῆλθε διὰ τῶν τρικυμιῶν νικῶν. Τί οὖν [2] κωλύει δεῖξαι διὰ βραχέων ἐν ποίοις τισὶ πράγμασι ποῖός τις ἦν ὁ Θεμιστοκλῆς; Καίτοι τοῦτό [3] γε οὐδὲν ἴσως προὔργου. Ἃ γὰρ οὐκ ἔστιν ἐνδείξασθαι τῷ λόγῳ, πῶς ἄν τις ἐκ τούτων ἐκεῖνον θεωρήσειε; πλὴν εἰ τοῦτό γε αὐτὸ ἐνθυμηθείς, ὅτι ὑπὲρ ὧν οὐδ' εἰπεῖν ὡς βούλεταί τις ἐγχωρεῖ, ταῦτ' ἐκεῖνος μετεχείρισεν [4] ὡς ἐβούλετο. Δέκα [5] μὲν γὰρ ἐξῆς ἔτη ὤδινεν ἅπασα ἤπειρος, φιλονεικοῦντες ἅπαντες ἄνθρωποι δίκην τῆς Μαραθῶνι μάχης λαβεῖν· ἡτοιμάζετο δὲ ἐκ πάσης γῆς καὶ θαλάττης πάντα. Αἰγύπτου δὲ ἀποστάσης [6] ἐν τῷ διὰ μέσου βασιλεῖ οὐδὲν σπουδάσας αὖθις ἦν ἐν τοῖς αὐτοῖς· οὕτω ῥᾳδίως ἐκείνην παρεστήσατο. Δεκάτῳ δὲ ἔτει συνῆλθον ἑσχατιαὶ πᾶσαι καὶ γένη πάντα, [1285 R.] ὥσπερ μετανισταμένης ἐτέρωσε τῆς οἰκουμένης, καὶ βασιλεῖ ἀπῆει δεδοικὼς μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλλάς, ὥσπερ ἀρχὴ γῆς πάσης [7] τοῦ στρατοπέδου γιγνόμενος καθὸ βούλοιτο, ἀεί. Καὶ οὐ [8] τοσοῦτόν γ' ἄν [9] αὐτοὺς ἡ τοῦ ἡλίου συμβᾶσα ἔκλειψις ἐξέπληξεν, ὅσον ἡ τῆς γῆς καὶ θαλάττης ἔκλειψις γινομένη πρὸς τὴν τοῦ βασιλέως, ἐμοὶ δοκεῖν, ἐπιθυμίαν μᾶλλον ἢ χρείαν. Πρὸς δὲ [10] τούτοις τείχη μὲν ᾠκοδομεῖτο, ὅπως ἀριθμοίη κατὰ μυρίους, ὁ δὲ ἥλιος συνεκρύπτετο τοῖς τοξεύμασιν, ἦν δὲ πλήρης ἡ μὲν θάλαττα νεῶν, ἡ δὲ γῆ πεζῶν, ὁ δὲ ἀὴρ βελῶν. Παρεῖναι δὲ καὶ μέλλειν ἴσον ἦν, ὥστε ἔχεσθαι πάντας· πάντα δὲ ὥσπερ τοῦ Ποσειδῶνος κατιόντος ἐσείετο. Πάντα [11] δὲ τὰ ἐπιόντα Θεμιστοκλῆς εἰς ἑαυτὸν ἀναδεξάμενος, καὶ τὴν αὐτοῦ γνώμην ὑποθεὶς ἀντ' ἄλλου του φυλακτηρίου, καὶ μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι, καὶ [12] οὐκ ἀποστραφεὶς ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες, ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε, οὐκ ἂν εἴποιμι ὡς οὐκ ἔψευσε τῆς ἐλπίδος τοὺς Ἕλληνας, ἀλλὰ καὶ πολὺ τὴν προσδοκίαν ἐνήλλαξεν αὐτοῖς. Οὐδὲν γὰρ τῶν ἐσχάτων ὅ τι οὐ πείσεσθαι [13] τῶν πολλῶν νομιζόντων, καὶ βλεπόντων [14] εἰς αἰσχρὰς

A cisse apparatu creditur. Atque ille quidem regis præfectos, hic ipsum vicit regem, qui post Marathoniam pugnam alterum adduxit exercitum, post Salaminam in fugam se dedit. Nam ut illa clade excitatus, ita hac ad desperationem fuit redactus, sic ut salutem in lucro poneret. Sciebat enim tum quidem eximiam copiarum suarum advenisse partem : nunc autem se cum omnibus prope hominibus esse devictum. Ac Miltiadis quidem fortitudo in unum incidit negotium, licet ea in omni uteretur administratione; Themistoclem vero posteriora semper prioribus excipiebant majora, et, ut est in proverbio, alius **428***a* eum relinquebat fluctus, alius comprehendebat, donec per undas decumanas victor

B evasit. Quid ergo vetat quominus breviter ostendamus qualibus in rebus qualem se Themistocles exhibuerit? At hoc nihil ad rem fortassis faciet. Nam quæ nemo verbis posset complecti quomodo quis illum ex iis cernat? Nisi si hoc cogitabit quæ nemo posset pro arbitrio dicere, hæc eum pro arbitrio gessisse. Etenim decem annis tota parturiebat continens, cum singuli homines Marathoniam pugnam studerent ulcisci, omnisque apparatus ex omni terra marique cogebatur. Cum autem Ægyptius interea defecisset, rex ea facile ad deditionem coacta, rursus ad eadem redibat. Decimo demum anno regiones ac gentes omnes convenerunt, quasi in alium locum terra migraret, ac metuebat rex, ne non caperet omnes Græcia, et quamcunque volebat castrorum partem, quasi toti imperaret orbi, occupabat. Nec eos tantum solis perter

C ruit, quantum maris ac terræ defectus, ad cupiditatem potius, ut arbitror, quam usum regis procuratus. Deinde muri exstruebantur, ut simul decies mille numeraret viros ; sol autem telis obtegebatur, ac mare navibus, terra militibus, aer jaculis erat plenus. Præsentia quoque et futura eedem habebantur loco, sic ut omnes tenerentur, omniaque tanquam Neptuno descendente commoverentur. Themistocles cum in se suscepisset omnia, suumque consilium propugnaculi instar constituisset, et solus rectis oculis, tum præsentibus omnibus, tum futuris rebus obstitisset, nec ut ii qui solem aspiciunt, se avertisset, quod omnibus propemodum acciderat, non modo Græcorum spem non fefellit, sed et exspectationem magnopere mutavit. Nam cum plerique

D nihil non extremum se perpessuros crederent, et ad turpes rationes ac difficilia perfugia se conferrent, tantam fecit rerum mutationem, ut si quis eos discessum Barbarorum interrogasset, num nec illos bellum intulisse, nec se res eas gessisse, eaque discrimina **428***b* subiisse vellent, mortem sibi omnes potius, quam ut ista non peregissent, optaturi fuissent.

VARIÆ LECTIONES.

[95] ὅσῳ] ὡς ὁ A. [96] γε om. A. [97] αὖθις] οὐδεὶς A. [98] τὴν ἧτταν om. A. [99] ὥσθ'] ὡς A. [1] Μιλτιάδῃ] p. 294. [2] τί οὖν] p. 296. [3] τοῦτό om. A. [4] μετεχειρίζετο A. [5] δέκα — ἔτη] δεκάτῳ — ἔτει A. [6] ἀποστάσης] ἀπάσης A. [7] πάσης om. A. [8] καὶ οὐ] p. 297. [9] γ' ἂν om. A. [10] δὲ add. A. [11] πάντα δὲ] p. 299. [12] καὶ ante οὐκ om. A. [13] πείσεσθαι] πείσονται A. [14] καὶ βλεπόντων.

μηχανὰς καὶ ἀπόρους καταφυγὰς [15], τοσοῦτον μετέστησε τὰ πράγματα ὥστε, εἴ τις ὕστερον αὐτοὺς ἀπελθόντων τῶν βαρβάρων ἤρετο εἰ ἐβούλοντο [16] ἂν μήτ' ἐκείνους ἐπιστρατεῦσαι μήτε σφίσι ταῦτα πεπρᾶχθαι μήτε τοὺς κινδύνους σφίσι μηδὲ [17] τὰς πράξεις [696 H.] γεγενῆσθαι, τεθνάναι πάντας ἂν εἰπεῖν ἐθέλειν [18] μᾶλλον ἢ ταῦτα ἄπρακτα αὐτοῖς εἶναι.

[Parum abesse, fere, propemodum, propius factum est nihil, non procul erat, non procul dixero, ut ita dicam, ut dictum videatur, ut id dictum dicam, parum abesse, parum abest quin dicam, tantum non.]

Usque eo non spem tantum, etiam qui longissime speraverunt, sed et votum fere omnium superavit. Dic enim per deos (aut alius sermoni succedat!) quid facere tum Themistoclem oportuerit, in eo rerum statu? Utrum convocatis Atheniensibus, de ideis disserere, ac quid esset ipsum justum, et ipsum honestum docere, quidque semper esset, nec ullum haberet ortum? Ac cito eos et ortus, ac natura et omnia defecissent? An id unde primum fortitudo sit et ignavia dicta, quærere, et utrum fluerent an non omnia: an male res suas fluere comperissent? Verum quid omnino dicendum aut faciendum erat? Hæc enim tertia jam interrogatio, quasi tessera, profertur. Unde vero Themistoclem examinabimus, utrum revera consiliarius, præfectus ac dux fuerit, an aliud mereatur nomen? Atqui est alterutrum necesse, ut vel res ab eo gestas quis reprehendat, vel quid quod faciendum fuerat omiserit, prælata honestati voluptate ac facilitate, ostendat. Et quanquam prudentium res gestas subsequentem, et in otio factas reprehensiones, non esse magni momenti tradunt; tamen etiam hoc concedam, ac si quis vel factum melius, vel sermones præstantiores, vel consilium justius adhiberi potuisse ostenderit, vel omnibus utilius per quod ipse instituitur, ipse crimen in me suscipiam.

[Μικροῦ δεῖν, παρὰ ὀλίγον, σχεδὸν, ἐγγὺς ἦκεν, οὐ πορρώ ἦν, οὐ πόρρω εἰπεῖν, ὡς εἰπεῖν, ὡς ἔπος φάναι, ὡς τὸ ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δέω φάναι, μόνον οὐχί.]

Οὕτως οὐ μόνον τὰς ἐλπίδας, ὅσοι γε καὶ [19] τὰ μήκιστα ἤλπισάν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων ὑπερεβάλλετο. Εἰπὲ [20] γὰρ, Ὦ πρὸς τῶν θεῶν! Εἰ δὲ μή, ἄλλος τις κληρονομείτω τοῦ λόγου, λεγέτω, δεικνύτω, τί χρῆν πράττειν τὸν Θεμιστοκλέα τότε καὶ πῶς χρήσασθαι τοῖς παροῦσι; Πότερον εἰς τὴν Πνύκα συλλέξαντα Ἀθηναίους περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι, καὶ διδάσκειν τί αὐτοδίκαιον καὶ τί αὐτοκάλὸν, καὶ τί τὸν ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; ταχέως μέντ' ἂν αὐτοὺς καὶ γένεσις καὶ τὸ εἶναι καὶ πάντα ἐπέλιπεν. Ἀλλ' ὅθεν ἀνδρεία τὸ πρῶτον [21] ἐκλήθη καὶ ὅθεν δειλία, ζητεῖν, καὶ πότερον ῥεῖ τὰ πάντα ἢ οὔ; Ἔγνωσαν μέντ' ἂν κακῶς ῥέοντα τὰ πάντα αὐτοῖς. Ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν ἢ ποιεῖν; τρίτον γὰρ ἤδη αὐτὸ τὸ ἐρώτημα ὥσπερ σύνθημα περιήκει. Πόθεν ἐξετάσομεν τὸν Θεμιστοκλέα; πότε [22] σύμβουλος τῷ ὄντι καὶ προστάτης καὶ ἡγεμὼν ἦν, ἢ τί καὶ ἄλλο πρέπον ἀκοῦσαι [23]; καὶ μὴν δεῖ [24] γε δυεῖν [25] θάτερον, ἢ τὰ πραχθέντα ὑπ' αὐτοῦ μέμψασθαι τίνα ἔχει, ἢ δεῖξαι τί δέον πρᾶξαι παρέλιπε, τὸ ῥᾷον καὶ ἴδιον [26] ἀντὶ τοῦ καλοῦ προελόμενος. Καίτοι τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους οὐδὲν ἔχειν λαμπρὸν φασιν οὐδ' ὑπερήφανον. Ἐγὼ δ' οὖν καὶ τοῦτο συγχωρῶ, κἂν τις ἀμείνω τινὰ πρᾶξιν ἢ λόγους βελτίους ἢ προαίρεσιν δικαιοτέραν ἢ τοῖς πᾶσι βελτίω δείξῃ τότε ἐγχωροῦσαν, παρ' ἣν ἐκεῖνος ἐνεστήσατο, ἕτοιμος αὐτὸς τῆς αἰτίας κληρονομεῖν.

Ipse qui sciebat futurum, si summum jus quærerent, ut de principatu contenderent, ut pessum irent omnia, nec quid agerent scire possent: ipse, inquam, Atheniensibus persuaserit, ut sese submitterent, ac Lacedæmoniis in præsentia principatum concederent, eumdem seipsis a volentibus Græcis

[1288 R.] [Ἢ οὕτως ἐρεῖς· Οὐδὲν φασι λαμπρὸν οὐδ' ὑπερήφανον· πολλὰ γὰρ ἃ κατὰ μελέτην ἔδοξεν ἄριστα βεβουλεῦσθαι, ἐπὶ τῶν καιρῶν ἐδείχθη τῶν ἀτυχημάτων αἴτια φανέντα. Ἢ καὶ οὕτω. Πολλὰ γὰρ ἐν ταῖς βουλαῖς τὴν κρίσιν τοῦ νικᾶν λαβόντα, ἐπὶ τῆς χρείας τὴν αἰτίαν ἀπηνέγκατο τῆς ἀτυχίας· καὶ οὐκ ὀλίγα ἄλλα τοιαῦτα. Ἀλλὰ μή ποτε τὰ [27] τοιαῦτα καὶ τὰ περιφανῶς οὐκ εὖ πεπραγμένα οὐδὲ βεβουλευμένα τοῖς αἰτιωμένοις οὐ πολλὴν παρέχοι τὴν παῤῥησίαν. Ἢ οὕτω· Τοῖς αἰτιωμένοις δόξειεν ἂν εἰς οὐκ εὔλογον ποιεῖν ἀποβλέπειν αἰτιολογίαν· ἀλλὰ γὰρ πως ἅπαντήσει ταῦτα τοῖς μὴ ὀρθῶς προελθοῦσιν, ὥσπερ τοῖς οὐ φαύλως. Ἐν ἐκείνοις μὲν γὰρ ἐνῆν τὸ δέον, ἐξ οὗ προήγετο τὸ ἐνθύμημα· ἐν τούτοις δὲ τὸ μὴ δέον προφαινόμενον καὶ αὐτὴν ἐπέχει τὴν γένεσιν τοῦ ἐπιχειρήματος].

Vel sic dicas: Non esse magni momenti dicunt. Multa enim quæ studio ac meditatione bene consueta apparuerunt, suo tempore malorum causæ fuisse visæ sunt. Vel etiam sic: Multa enim in consiliis judicata recta esse, exsequendo damna attulerunt: similiaque non plura alia, sed talia nunquam, eaque manifeste malefacta, neque consueta accusatis, non magnam præbeant licentiam loquendi. Vel sic: Accusati non satis consuete facere videantur, si hic **429***a* pro se causam dicant. Etenim quomodo consentient cum gestis non recte præcedentibus tanquam bene. In his enim inerat necessitas unde processit enthymema, in illis vero necessitas nulla, et epicherematis substantiam constituit.]

Συνιδὼν [28] ἐκεῖνος ὁ πάντα ἄριστος ὡς εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι καὶ στάσις ἐγγένοιτο [29] ὑπὲρ τῆς ἡγεμονίας, ἅπαντα ἀπολεῖται κακῶς καὶ οὐχ ἕξουσιν ὅ τι χρήσονται, πείθει τοὺς Ἀθηναίους ὑφίεσθαι καὶ συγχωρῆσαι τοῖς Λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν [30], ὑποσχόμενος παρ' ἑκόντων

VARIÆ LECTIONES.

[15] καταφυγὰς om. A. [16] ἐβούλοντο βούλοιντ' A. [17] μηδὲ A: μήτε ς. [18] ἐθέλειν] ἂν A. [19] καὶ om. A. [20] εἰπὲ] p. 300. [21] τὸ πρῶτον om. A. [22] πότε. [23] ἀκοῦσαι om. A. [24] δεῖ om. A. [25] δυοῖν γε A. [26] καὶ ἴδιον] ἥδιον A. [27] τὰ add. A. [28] συνιδὼν] p. 310. [29] ἐγένηται A. [30] ἐν τῷ τότε τὴν ἡγεμονίαν om. A.

αὐτοῖς τῶν Ἑλλήνων αὐτὴν [31] ἀνακτήσασθαι· καὶ οὐκ ἐψεύσατο. Σχεδὸν [697 H.] δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι, ἐπεὶ τό γε ἀληθὲς εἰπεῖν, αὐτοῖς μὲν τὴν ἡγεμονίαν, ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἀνέθεσαν, καὶ περιεγένετο αὐτοῖς, ἄνευ τῆς σωτηρίας τῆς κοινῆς καὶ τοῦ [32] τῶν μὲν πολεμίων ἀνδρείᾳ τῶν δὲ συμμάχων πραότητι κρατῆσαι, καὶ τὸ σχῆμα τῷ παντὶ κάλλιον καὶ σεμνότερον· ἡγεμόνων γὰρ ἡγεμόνες κατέστησαν. Τοῦτο [33] τὸ ψήφισμα οὐ κόλαξ (ἐμοὶ δοκεῖν) ἄνθρωπος, οὐδὲ κάτω βλέπων, οὐδ' ὑποπεπτωκὼς τοῖς ἀκούουσιν, ἀλλὰ θεῶν τις διὰ τῆς Θεμιστοκλέους γλώσσης ἐφθέγξατο. Ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας, ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων, ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγκαίως, παραπλησίου δὲ μάλιστά πως ὄντος ὥσπερ ἂν εἰ ἐαλωκυίας τῆς πόλεως κατὰ κράτος, εἰκότως (τὸ μὲν γὰρ μέλλον ἦν ἅπασιν ἐν ἀφανεῖ, λεπτὴν καὶ ἄπιστον ἔχὸν τὴν ἐλπίδα, τὰ δὲ παρόντα στέρησις πόλεως καὶ κτημάτων καὶ διαίτης ἁπάσης τῆς πρότερον), παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας [34], ἀτρεμιζούσῃ τούτους ἐξῆγε τῇ ψυχῇ καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς.

Οὐκοῦν [35] δεινὸν, ὦ γῆ καὶ θεοὶ καὶ λόγων καὶ ἔργων ἡγεμόνες! (ἐξάγομαι γὰρ εἰπεῖν) Σωκράτη μὲν καὶ τῆς φυγῆς ἐπαινεῖν, καὶ φάσκειν ἐκεῖνον ἀναχωρεῖν κάλλιον Λάχητος, Θεμιστοκλέα δὲ, ὃς [36] διώκων, οὐ φεύγων τοὺς πολεμίους τὴν ἀνδρείαν ἐπεδείκνυτο, καὶ οὗ τῆς ἀρετῆς ἀπέλαυσεν [37] ἅπασα ἡ Ἑλλὰς, ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρίας ἐστὶν ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν; Ὃς καὶ ὅτ' ἀπ' Εὐβοίας ἀνεχώρει νενικηκὼς, τοιαῦτα τὰν [38] μέσῳ διεπράττετο, οἷα ἂν οὐδεὶς πω τῶν ἐπειγομένων ὁπωσοῦν [39] ἀπελθεῖν. Εἶτα λέγεις ὡς οὐ πολλοῦ τινος ἡ σωτηρία ἄξιον. Τί οὖν κωλύει καὶ τοῖς σωτῆρσι θεοῖς, οἳ καὶ καθ' ἕνα ἡμᾶς σώζουσι καὶ τότε ἐκεῖνα κατεργάσασθαι τοῖς Ἕλλησι παρέσχον. Ἀλλ' ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον· ὑπονοεῖν δὲ ἔστι τό γε ἐκ τοῦ λόγου συμβαῖνον. Ἤ που [40] σφόδρα ἄν τι δόξειε λέγειν.

[1289 R.] Ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἤ που· ἐνταῦθα δὲ ὁ Ἀρεστείδης ἀντὶ τοῦ πολλῷ πλέον ἔλαβεν. Εἰρωνικῶς δὲ τὸ πολλῷ πλέον εἶπεν, οἷον οὐδ' ὅλως. Καὶ πολλάκις οὕτω τῷ ἤ που ἀντὶ τοῦ πολλῷ πλέον χρῆται, μᾶλλον δὲ σχεδὸν ἀεί.

Καὶ μὴν [41] οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάσσῃ [42] περὶ τῶν ἐν τῷ πλοίῳ λέγειν καὶ τὴν εὐψυχίαν τὴν [43] αὐτοῦ δεικνύναι, καὶ καθήμενον ἔξω τῆς ξάλης ὑπὸ τῷ [44] τειχίῳ· ἃ [45] Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς ἐκὼν ὑπερβαίνει, καὶ κατηγορεῖ Θεμιστοκλέους ἐμβιβάσαντος Ἀθηναίους εἰς τὰς τριήρεις.

Παροιμία· τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. Παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας [46] τοὺς Ἕλληνας περὶ αὐτῶν διαλέγεσθαι [47].

A recuperaturum pollicitus. Nec vero fidem fefellit, ac nomen potius fere principatus, quam ipsum jussit imperium concedere. Nam si rem spectemus ipsam, sibi imperium, illis nomen detulerunt, ac præter communem salutem, et cum hostes fortitudine, tum socios mansuetudine superatos, dignitatem quoque præclarissimam sunt et augustissimam consecuti, quandoquidem ducum duces erant reddidi. Hoc edictum non adulator, quantum judico, nec qui oculos demitteret, aut auditoribus se submitteret, sed deorum aliquis per Themistoclis os protulit. Cum videret ipsos lacrymantes, audiret liberos ac mulieres quiritantes, aliquot necessario relinqueret, ac videretur urbs propemodum vi capta, merito (nam et futura erant omnibus incerta, parB vaque spe atque infida subnixa, et præsens rerum status, amissionem urbis, bonorum vitæque totius prioris continebat.) Eosque tanquam pueros firmo animo et cogitationibus, non oculis tantum stantibus deducebat.

Nonne ergo indignum est, o terra, ac dii, dictorum factorumque duces (nec enim cohibere me possum) Socratem fugientem laudare, eumque Lachete honestius discéssisse dicere; Themistoclem autem, qui fugandis hostibus, non fugiendis fortitudinem piam declarabat, ejusque virtutis fructum tota percepit Græcia ignaviæ ac mollitiei nomine C tam facile donare? Qui etiam ex Eubœa victor intercedebat, ea gessit interea, quæ nemo unquam aliorum ad fugam festinentium. Et ais non esse **429***b* magni admodum pretii salutem. Quin ergo diis etiam servatoribus, qui et singulatim nos conservant, et earum rerum ferendarum Græcis tunc auctores fuerunt. Verum omittam maledictionem: quid autem consequatur, difficilius est conjicere ex oratione, quam explicare.

[Ἤπου pro οὐδαμῶς capitur, hic autem Aristides pro πολλῇ πλέον accepit. Ironice vero dixit πολλῷ πλέον, velut non prorsus. Et sic sæpe ἤπον pro πολλῷ πλέον utitur, quin fere semper.]

D Jam aliud est in mari medio de re nautica disserere, suamque ostendere fortitudinem, aliud extra tempestatem ad parietem sedentem. Quæ cum Plato probe sciat, sponte negligit, et Themistoclem accusat, qui Athenienses in triremes compulerit.

[Proverbium: Dicitur in eos qui aliud pro alio faciunt aut permittunt. Ortum a Priamo et Helena, qui e muris Græcos de se disserentes videbant.]

VARIÆ LECTIONES.

[31] αὐτὴν] ταύτην. [32] καὶ τοῦ A : τὸ ς. [33] τοῦτο] p. 317. [34] καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας om. A. [35] οὐκοῦν] p. 324. [36] ὃς A : ὡς ς. [37] ἀπήλαυσεν ς. [38] τὰν A : ἐν ς. [39] ὁπωσοῦν ἀπελθεῖν om. A. [40] ἤ που] p. 326. [41] καὶ μὴν] p. 335. [42] θαλάττῃ A. [43] τὴν ante αὐτοῦ om. A. [44] τῷ om. A. [45] ἂν [46] libri θεωροῦντες. [47] διαλέγεσθαι om. A, proverbii explicatione infra post Ἑλένη v. 39 posita.

Ego vero, siquidem vincere quis posset, ut non se servaret prius, aliquid a te dici putarem; cum autem vel navali prælio vincendum, vel terrestri pereundum fuerit, quæ hæc fuisset philosophia, cum liceat magnificentissime servari, temere mori? Ac prorsus equidem non intelligo, cur terrestris victoria pulchra sit, turpis marina, vel cassis atque eorium magni sint pretii rudentes ac remi nullius.

A Ἐγὼ δ', εἰ μὲν ἦν ἕτερον τρόπον νικῆσαι ἢ καὶ σωθῆναι τὸ πρῶτον, τάχα ἄν τι [698 H.] τούτους ᾤμην τοὺς λόγους εἶναι. Ὅτε δ' ἦν αἵρεσις ἢ ναυμαχοῦντας κρατεῖν ἢ κατὰ γῆν ἀπολωλέναι, πῶς ἦν ἴσον ἢ τίς ἡ θαυμαστὴ φιλοσοφία τεθνάναι μάτην, ἐξὸν μετὰ τῆς μεγίστης εὐδοξίας σωθῆναι; ἀρχὴν δ' ἔγωγε οὐκ ἐπινοῶ ποῦ διακέκριται κατὰ γῆν μὲν νικῆσαι καλὸν εἶναι, ἐν θαλάττῃ δ' αἰσχρὸν, ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος ἀξίαν εἶναι, τὰ δὲ νήϊα καὶ τοὺς κωπέας τοῦ [48] μηδενός.

[Deest δεῖ νομίζειν. Κρανίαν, pro galea dicit; βύρσαν vero pro armis, quod corio tegerentur; νήϊα, funes, κώπεας vero, ligna necessaria ad remos.]

Λείπει τὸ δεῖ νομίζειν. Κρανίαν τὴν περικεφαλαίαν λέγει, βύρσαν δὲ τὸ ὅπλον παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτὸ, νήϊα δὲ τὰ σχοινία, κωπέας δὲ τὰ ξύλα τὰ πρὸς κώπας ἐπιτήδεια.

Sin tota erat occupata terra, exercitus instar maris inundabat, omnia diripiebantur, nec vel respicere licebat. Verum in angustia non Peloponesi modo, sed etiam spei sedebant, nec usque vel terrarum vel maris futuri credebantur, cur ita de Achivis ex turre judicamus.

B Εἰ δ' [49] ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέῤῥει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ἡ στρατιὰ, πάντα δὲ ἄρδην ἀνηρπάζετο, ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον, ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκαθηντο, ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ, τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν;

[Proverbium: ut Priamus et Helena ex muris.]

Παροιμία· ὥσπερ ὁ Πρίαμος ἐκ τοῦ τεῖχους καὶ Ἑλένη.

Solus porro vel inter paucos admodum videtur hoc dictum Themistocles comprobasse, **430***a* quod cum Alcæus poeta protulisset olim, multi postea usurparunt: non lapides, non ligna, nec fabrorum artem civitates efficere: sed ubi viri sunt, qui se ipsos servare norint, ibidem et urbes esse et mœnia. Ita si suo duntaxat consilio his in rebus usus esset Themistocles, cur quis diceret ab illo fuisse accusatum? Cum autem deus quoque idem jusserit, quid consequatur, ut equidem vereor dicere: ita quivis facile intelligit. Themistocles certe prorsus absolvitur. Hunc enim si solverint nodum, *Donec tribuant honores Apollini*, juxta Delphicum tripodem, quem de Barbaris dedicarunt Græci, stanto. Ac deus quidem divinam vocavit Salaminem, quippe ad quam majora quam pro viribus humanis erant facta peragenda. Plato autem horum auctorem, quique Salaminem illos deduxit, Græcis nocuisse dicit, nec iis qui voluptati plebis subservirent, meliorem prorsus exstitisse. Quare cum post navale prælium essent omnes in Isthmum collecti, et ex arca Neptuni de principatu sententiam ferrent, quamvis in ea liceat aliquam ingrati animi turpitudinem Græcorum accusare, possumus tamen de cætero gratum animum laudare, ac pro Themistocle suscipere. Cum enim seipsum quisque primo posuisset loco, secundum omnes pronuntiarunt Themistoclem. Ergo de principatu sententia, ex eo quod est omnibus in natura situm ut neminem quis magis quam se diligat, præveniebat, ideoque nec

Μόνος [50] δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε [51] ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν πάλαι μὲν Ἀλκαῖος [52] ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο, ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες αὐτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ [53] τείχη καὶ πόλεις. Εἰ μὲν [54] οὖν αὐτοῦ γνώμῃ μόνον [55] περὶ τούτων ἐκέχρητο Θεμιστοκλῆς, ἐκείνου τις ἂν εἶπεν αὐτὸν τὴν κατηγορίαν πεποιῆσθαι· ἐπεὶ δὲ καὶ θεὸς ταῦτα ἀνελὼν φαίνεται, ἐγώ μὲν ὀκνῶ λέγειν, πᾶς δ' ἄν τις συνίη [56] τὸ λοιπὸν· ὁ δ' οὖν Θεμιστοκλῆς λαμπρῶς ἀποφεύγει τὴν αἰτίαν. Τουτὶ [57] γὰρ ἕν μοι [58] τῆς ἀπορίας διαλύσαντες σταθήτωσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς. Ἕως [59] ἐχέτωσαν τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι. Ὃν οἱ Ἕλληνες ἀπὸ τῶν Βαρβάρων ἀνέστησαν. Ἕως [60] ἐκ τοῦ τοὺς Βαρβάρους καταπολεμῆσαι καὶ τὰ ἐκείνων λαβεῖν. Ὁ μὲν [61] τοίνυν θεὸς θείαν προσεῖπεν τὴν Σαλαμῖνα, ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ πάντα τἀνθρώπινα· Πλάτων δὲ τὸν ταῦτα κατειργασμένον καὶ τὸν κομίσαντα αὐτοὺς εἰς τὴν Σαλαμῖνα λυμήνασθαί φησι τοῖς πράγμασι καὶ τῶν πρὸς ἡδονὴν ὑπηρετούντων οὐδὲν γενέσθαι βελτίω [62]. Καὶ [63] γάρ τοι μετὰ τὴν ναυμαχίαν συλλεγέντων εἰς τὸν Ἰσθμὸν ἁπάντων, καὶ φερόντων τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ τοῦ Πωσειδῶνος περὶ τῶν ἀριστείων [64], [1292 R.] ἔξεστι μέν τι καὶ ἄγνωμον ἐνταῦθα [65] κατηγορῆσαι τῶν Ἑλλήνων, ἔξεστι δὲ [66] τὸ λοιπὸν τῆς εὐγνωμοσύνης ἐπαινέσαι καὶ λαβεῖν ὑπὲρ Θεμιστο-

VARIÆ LECTIONES.

[48] τὸ A. [49] εἰ δ'] p. 337. [50] μόνος] p. 339. [51] γε om. A. [52] vid. Kuster. ad Suid. v. Ἀρήϊος. [53] καὶ ante τείχη add. A. [54] εἰ μὲν] p. 345. [55] μόνον . om. A. [56] συνίει A. [57] τουτὶ] p. 348. [58] ἕν μοι] ἐμοὶ A. [59] ἕως — Ἀπόλλωνι om. A, post διαλύσαντες v. 10 ponit ς. ἕως autem esse videtur illud ἥως sic ἤγουν, de quo Bastius ap. Bredov. epp. Paris. [60] ἕως — λαβεῖν om. A, post Ἕλληνες v. 13 ponit ς. [61] ὁ μὲν] p. 350. [62] βελτίω] βελτίω. ῥίον τὸν πόρον Ἀριστείδης καλεῖ A. [63] καὶ] p. 358. [64] περὶ τῶν ἀριστείων om. A. [65] ἐνταῦθα om. A. [66] δὲ om. A.

κλέους. Ἕκαστος γὰρ ἑαυτὸν πρῶτον φέρων, δεύτερον συνεξέπιπτον ἅπαντες φέροντες Θεμιστοκλέα. Ἡ μὲν οὖν τοῦ πρωτείου ψῆφος, οἶμαι, τοῦ πᾶσι φύσει συμβεβηκότος ἀνθρώποις ἦν· τοῦτο δέ ἐστι μηδένα ἑαυτοῦ μᾶλλον φιλεῖν· ὥστε οὔτε ἰσχυρὸν εἶχεν [699 H.] οὐδὲν οὔτε συγγνώμης ἀπήλλακτο. Ἡ δὲ ὑπὲρ τῶν δευτέρων σαφῶς ἤδη σύμβολον ἦν τῆς ἀληθείας, καὶ ὅτι οὐκ εἶχον ἑτέρως θέσθαι. Ὥστε εἰ προσείρητο ἐξ ἀρχῆς μηδένα ἑαυτὸν φέρειν ἀλλ' ἕτερον, Θεμιστοκλέα πάντες οἴσειν ἔμελλον, ὃν γε καὶ παντὸς ἄλλου [67] πᾶς τις προὔκρινεν αὐτῶν, καὶ ὁμοίως ἂν [68] πρῶτος ἐγίγνετο ὥσπερ τότε δεύτερος. Οὕτω καὶ νῦν δεύτερον εἶναι ψηφισάμενοι προσόμοιον ἐποίουν, ὥσπερ ἂν εἰ πρῶτον ἐψηφίσαντο. Οὐ μὴν οὐδ' οὕτως ἔλαττον ἔχων ἀπῆλθεν, ἀλλ' ἀμφοτέροις ἐνίκησε. Τὰ μὲν γὰρ πρῶτα καὶ παρὰ τῆς ἀληθείας καὶ παρ' αὐτοῦ λαβὼν εἶχε (τὸ γὰρ αὐτὸ τοῖς ἄλλοις ἐποίησε μόνος τῶν ἄλλων δικαίως), τὰ δὲ δεύτερα ἤδη συνεκεχώρητο [69], ὥστε ἐξ ἁπάντων πρῶτος ἦν. Ἔχων [70] δὲ λέγειν πολλὰ καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν, καὶ ὅπως ἂν ἅπαν τὸ πρᾶγμα συνεσκευάσθη, καὶ ὁποῖόν τινα κἀν τούτοις παρέσχεν ἑαυτὸν, ἐβουλόμην ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον ὥστε καὶ περὶ τούτων ἐπείγειν εἶναι διελθεῖν· οἶμαι γὰρ οὐδὲ [71] φαυλότερα [72] οὐδ' ἐλάττω τῶν εἰρημένων ἤδη εἰπεῖν, ἂν περὶ αὐτοῦ. Ἐπεὶ δὲ ἅμα τε ἔξω τῆς ὑποθέσεώς ἐστι καὶ μῆκος ἐπεισέρχεται τοῖς λόγοις, παραλείψω ταῦτα, τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους, ὅτι ἐπειδὴ [73] ἔδει στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, προὔκρινε τελευτᾶν, ἔργῳ μὲν λύσας πᾶσαν αἰτίαν, δείξας δὲ ὁπόσου τιμᾶται τὰς πρότερον πράξεις καὶ τὰ πολιτεύματα, καὶ ὅτι οὐδέποτε ἐκὼν εἶναι τοῦ καλοῦ καὶ τοῦ προσήκοντος οὐδὲν πρότερον ποιήσεται, οὐ πλοῦτον [74], οὐ παῖδας, οὐκ ἐλπίδας, οὐ τὴν σωτηρίαν αὐτήν. Ἐγὼ [75] μὲν οἶμαι καὶ ἱερέας καὶ ἱερείας, καὶ ὅστις ἄλλος Ἀθήνησιν εὔχεται δημοσίᾳ, τοὐτ' ἂν εἰκότως καθ' ἕκαστον ἔτος [76] πρὸς ἅπασι τοῖς ἄλλοις προσεύχεσθαι, κατὰ γοῦν ἐκείνους τοὺς χρόνους, καὶ ἕως ἐξῆν, φῦναί τινα αὐτοῖς ἄνδρα ὅμοιον Θεμιστοκλεῖ, καὶ μετὰ τῆς ἄλλης καὶ τοῦτ' ἐνεγκεῖν τὴν γῆν τἀγαθόν. Οὔκουν [77] ἐλάττω γ' ἂν ὄνασθαί μοι δοκοῦσιν ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτῆς ἐξενεγκούσης [78]. Ἄλλως μὲν τοίνυν ἡσχυνόμην ἔγωγε ἐπὶ τοσούτοις καὶ τοιούτοις τοῖς εἰρημένοις μάρτυσι προσχρώμενος. Ἔστι δέ τι προὔργου μιᾶς μαρτυρίας, ἣν δεῖ παρασχέσθαι. Σκεψώμεθα δὴ [79] ποῖα ἄττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης [80] ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ συμφοιτητής. Ἐπειδὴ τοίνυν τοῦ Θεμιστοκλέους βίου ἐπιλαμβάνεσθαι ἐτόλμησας, σκέψαι οἷῳ ἀνδρὶ ἐπιτιμᾶν ἠξίωσας· ἐνθυμήθητι γὰρ [81] ὁπόθεν ὁ ἥλιος ἀνίσχει καὶ ὅπου δύεται [82]. Ἀλλ' οὐδέν, ἔφη, χαλεπὸν [83], ὦ Σώκρατες, τὰ τοιαῦτα εἰδέναι.

A momentum habebat ullum, nec erat venia indigna : verum quam de secundis ferebant partibus, ea veritatis erat illustre testimonium, nec eos aliter censere posse ostendebat. Quapropter si prædictum fuisset initio, ne quis sibi palmam tribueret, omnes erant Themistoclem pronuntiaturi, quem quidem omnibus aliis præferebant singuli : nec aliter primus, ac tum secundus fuisset. Similiter et nunc, postquam eum secundo posuerunt loco, perinde fecerunt, ac si primo posuissent. Verumtamen ne sic quidem inferiores tulit potius, quam **430***b* utroque vicit. Nam prima quidem erat a veritate, et a seipso consecutus, quandoquidem idem quod alii, solus juste fecerat ; secunda vero jam ei concessa fuerant sic ut omni ratione primus esset. Et quoniam posteriores quoque clades ejus recensere possem, ac quomodo totum negotium fuerit confectum, qualemque in his iste se præbuerit, declarare : vellem equidem eam nobis ab oratione afferri necessitatem, ut etiam de his esset dicendum. Nam ea nec leviora, ni fallor, vel minora forent iis quæ jam relata sunt. Verum quoniam et argumentum superant, et nimium crescit oratio, omittam ea, et hoc tantum hac etiam de re addam, eum postquam contra Græciam fuit militandum, mori maluisse, qua quidem re cum crimen omne dissolvit, tum ostendit manifeste quanti priores gestas res et reipublicæ administrationem faceret, nec unquam se scientem quidquam virtute et officio prius habiturum, non divitias, non liberos, non spem, non ipsam salutem. Atque existimo equidem et sacerdotes, et quisquis alius Athenis preces faciebat, merito tum quidem publice quotannis hoc fuisse inter alia oraturos, ut aliquis apud ipsos Themistocli similis nasceretur, et inter cæterum proventum hoc etiam bonum terra produceret. Nec enim minorem videntur mihi fructum fuisse percepturi, quam si omnia cum centesimo, vel etiam majore fenore regio protulisset. Ac puderet me propemodum, cum tot ac talia dixerim, testes insuper adhibere, nisi unius esset aliquod momentum testimonii, quod proferendum censeo. Videamus ergo quid Æschines Socratis sodalis, Platonis autem condiscipulus, dixerit : *Quoniam igitur Themistoclis ausus es vitam carpere, vide qualem adoriaris virum. Itaque cogita unde sol oriatur, atque ubi occidat. Non est, inquit, hoc difficile, Socrates, cognoscere.*

Καὶ μετὰ πολλὰ ἄλλα ἐγκώμια ἐπάγει καὶ ταῦτα. Postquam plurimas laudes hanc quoque adjungit :

VARIÆ LECTIONES.

[67] ἄλλου om. A. [68] ἂν] ἂν τότε A. [69] συνεχώρητο ς. [70] ἔχων] p. 361. [71] οὐδὲν A. [72] φαυλότερα οὐδ' om. A. [73] ἐπεὶ A. [74] οὐ πλοῦτον om. A. [75] ἐγὼ] p. 362. [76] καθ' ἕκαστον ἔτος post προσεύχεσθαι ponit A. [77] οὔκουν. [78] ἐξενεγκούσης om. A. [79] δὴ A : δὲ ς. [80] Αἰσχίνης om. A. [81] γὰρ] δὴ A. [82] καὶ ὅπου δύεται om. A. [83] χαλεπὸν om. A.

Tantum hic illi prudentia præstabat. Quare cum aliquando esset ex urbe expulsus, **431***a gratias ei ceu conservatori suo retulit, et cum alia multa dona, tum Magnesiæ totius imperium dedit, sic ut exsul esset meliore, quam Athenis cives plerique, qui probe videbantur conditione. Quis igitur illo tempore potentissimus fuisse dicatur alius quam Themistocles, qui regem ab ortu ad occasum solis imperantem, Græcorum dux devicerit. Hoc igitur, inquiebam, cogita, Alcibiade, illi, qui talis esset, scientiam talem non suffecisse, ne ejiceretur, et a suis ignominia notaretur.* Atque ut Æschinem cum Platone nolim comparare, nec ea de re contendere, verum hoc judicium sophistis ineptis malim relinquere, ita quo major est ac doctior Plato, hoc magis illa pro Themistocle credi, aio debere. Nam hic quidem quæ audivit, vel his certe proxima videtur tradere: illeautem ingenio utitur suo, quemadmodum et alia multa sub nomine Socratis tractat, de quibus nihil eum fatetur disputasse. Ac recte quidem et juste facit, dum præceptorum studet ornare, nisi quod nec alios, qui non merebantur, iusuper dedecorare velle debebat.

A Τοσοῦτον [84] αὐτοῦ ἐκεῖνος τῷ φρονεῖν περιεγένετο [85]. Τοιγάρτοι φυγάδι ποτὲ αὐτῷ τῆς πόλεως γενομένῳ ὡς σεσωσμένος [86] ὑπ' αὐτοῦ χάριν ἀπέδωκε, καὶ ἄλλα τε δῶρα πολλὰ ἐδωρήσατο καὶ Μαγνησίας ὅλης ἀρχὴν [87] ἔδωκεν, [1293 R.] ὥστε καὶ φεύγοντος αὐτοῦ τὰ πράγματα μείζω ἦν ἢ πολλῶν Ἀθηναίων, καὶ [700 H.] καλῶν καὶ ἀγαθῶν εἶναι δοκούντων, οἴκοι μενόντων. Τίς ἂν [88] οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ δικαίως ἂν αἰτίαν ἔχοι μέγιστον [89] δύνασθαι ἄλλος ἢ Θεμιστοκλῆς, ὃς τὸν τῶν [90] ἀφ' ἡλίου ἀνίσχοντος μέχρι [91] ἡλίου δυομένου βασιλεύοντα, στρατηγήσας τῶν Ἑλλήνων, κατεστρέψατο· ἐνθυμοῦ οὖν, ἔφην ἐγώ, ὦ Ἀλκιβιάδη, ὅτι ἐκείνῳ τοιούτῳ ὄντι οὐχ ἱκανὴ ἡ ἐπιστήμη τοσαύτη οὖσα ἐγένετο ὥστε φυλάξασθαι μὴ ἐκπεσεῖν μηδὲ ἀτίμῳ ὑπὸ τῆς πόλεως γενέσθαι, ἀλλ' ἐνεδέησεν. Καὶ μὴν [92] ἐξ ἴσου μὲν [93] ἔγωγε οὐδέ ποτ' ἂν θείην Αἰσχίνην Πλάτωνι, μή ποτε οὕτω φιλονεικήσαιμι, ἀλλ' ἀφείσθω τοῖς ἀτόποις [94] τῶν σοφιστῶν ἡ κρίσις αὕτη. Φημὶ δὲ ὅσῳ μείζων καὶ τελεώτερος Πλάτων εἰς λόγους, τοσούτῳ μᾶλλον ὑπέρ γε Θεμιστοκλέους ἐκεῖνα προσήκει δέχεσθαι. Τὸν μὲν γὰρ ἃ ἤκουσεν εἰκὸς λέγειν, ἢ ὅτι ἐγγυτάτω ἐκείνων· ὁ δὲ τῆς φύσεως οἶμαι κέχρηται τῇ περιουσίᾳ, ὥσπερ καὶ ἄλλα δή που μυρία διεξέρχεται ἐπὶ τῷ Σωκράτους ὀνόματι, περὶ ὧν ὁμολογεῖται μηδὲν ἐκεῖνον πραγματεύεσθαι [95] δίκαια μὲν οἶμαι, ποιῶν κατ' αὐτό γε τοῦτο, καὶ ἀνδρὸς ἀρίστου τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν πλήν γε ὅτι καὶ τὸ μηδ' ἄλλους τῶν οὐκ ἀξίων καταισχύνειν ἐθέλειν προσεῖναι προσήκει [96].

Ex communi defensione. — Exordium.

Atque hæc quidem fere sunt, quæ de viris erant dicenda, sic ut nec ea quæ dici oportebat, omittere-

Ἐκ τῆς [97] κοινῆς ἀπολογίας. — Τὸ Προοίμιον.

mus, nec omnia sigillatim putaremus esse referenda, ne cui ineptire videremur. Sed offensionibus populi nititur, quasi ipsi, quoniam nonnulli minus recte de illis statuerint, pejores habendi sint, aut cum alii quidam in eos peccaverint, nec nos a convitiis abstinere debeamus. Quinimo cum etiam ipsis qui peccaverunt merito venia tribuatur, mirum erit si illis qui eos ad optima quæque duxerant, et quibus, cum peccarent, non obtemperaverant, negabitur. Jam Plato **431***b* nihil eorum quæ ex illorum consilio recte gesserunt, considerari permittit : quæ autem in illos ipsos peccaverant, in iis tantum ab illorum voluntate recesserunt, ut ea culpentur, et fructus quidem eos, quos ex illorum institutione perceperant, transilit : quæ autem non tam ex institutione prodierant, quam ex humana natura superfuerant, hæc illis tribuit, qui ne quid hi peccarent, omnem lapidem moverant : velut si quis litteratores, qui pueros litteras docent, et quantum possunt scribere, in causa fuisse diceret, si quid minus recte postea per se scriberent. Quod si non cunctos do-

Ἃ μὲν [98] τοίνυν [99] περὶ τῶν ἀνδρῶν εἰπεῖν εἰκὸς ἦν [1] μήτε τῶν ἀναγκαίων εἰρῆσθαι μηδὲν παριέντας, μήτε πάντα ἐφεξῆς οἰομένους δεῖν λέγειν, ὡς ἂν μὴ τῷ [2] δοκοίημεν [3] ἀπειροκάλως ἔχειν, ταῦτά ἐστιν. Ἰσχυρίζεται δ' οἷς προσέπταισαν πρὸς τὸ δημόσιον, ὥσπερ εἴ τινες χεῖρον ἔγνωσαν περὶ αὐτῶν, αὐτοὺς [4] χείρους ἡγεῖσθαι προσῆκον, ἢ τῷ καὶ ἄλλους τινὰς εἰς αὐτοὺς ἐξαμαρτεῖν οὐδ' ἡμᾶς τοῦ προπηλακίζειν ἀπέχεσθαι δέον. Ἀλλὰ μὴν [5] ὅπου γε καὶ τοῖς ἁμαρτάνουσιν αὐτοῖς [6] εἰκὸς εἶναι συγγνώμην, ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ βέλτιστον [7], καὶ οἷς ὅθ' ἡμάρτανον οὐκ ἐπείθοντο, δεινὸν εἰ μὴ φήσομεν. Πλάτων τοίνυν ὡς μὲν ἐκείνοις χρώμενοι κατώρθουν, οὐδὲν [8] ἐᾷ σκοπεῖν· ἃ δ' εἰς αὐτοὺς ἐκείνους ἐξήμαρτον, τοσοῦτον ἀπεῖχον τοῦ δοκοῦντά γε ἐκείνοις ποιεῖν, ὡς ταῦτα κατηγορεῖν. Καὶ ἃ μὲν τῆς παιδείας αὐτῶν ἀπέλαυσαν [9] ὑπερβαίνει· ἃ δὲ οὐχ ὧν ἐπαιδεύθησαν ἦν, ἀλλὰ τῆς ἀνθρωπείας φύσεως ἐμμεμενηκότα, ταῦτ' ἐπ' ἐκείνους ἄγει τοὺς ὅπως μηδὲν ἁμαρτήσονται πᾶν ὅσον ἦν ἐν αὐτοῖς πράττοντας, ὥσπερ ἂν εἴ τις τοὺς γραμματιστὰς, τοὺς παραδείξαντας τοῖς παισὶ τὰ γράμματα καὶ δείξαντας γράφειν ἐκ τῶν δυνατῶν, αἰτίους εἶναι φάσκοι

VARIÆ LECTIONES.

[84] τοσοῦτον (p. 365). [85] περιεγένετο om. A. [86] σεσωμένος ς. [87] malim ἄρχειν. [88] ἂν et ἐν om. A. [89] μεγίστην ς. [90] τῶν om. A. [91] μέχρις ς. [92] καὶ μὴν] p. 367. [93] μὲν om. A. [94] ἀτόποις A : τόποις ς. [95] πραγματεύσασθαι A, δίκαια. [96] προσήκει om. A. [97] ἐκ τῆς — προοίμιον] CMZ Ἀνεγνώσθη τοῦ αὐτοῦ Ἀριστείδου ὑπὲρ τῆς κοινῆς ἀπολογίας τὸν ὅμοιον διὰ τῆς ἐκλογῆς περιηνθισμένος τρόπον. [98] ἃ μὲν] p, 368. [99] τοίνυν] οὖν A. [1] εἰκὸς ἦν εἰπεῖν A. [2] τῷ A : πω ς. [3] δοκοίην A. [4] αὐτοὺς om. A. [5] ἀλλὰ μὲν] p. 369. [6] αὐτοῖς om. A. [7] βέλτιον A. [8] οὐδὲν] οὐκ A. [9] ἀπήλαυσαν A.

των περὶ ταῦτα [10] ἁμαρτημάτων, εἴ τι μὴ καλῶς ὕστερον μηδὲ ὡς χρὴ γράφοιεν ἐφ' ἑαυτῶν [11]. Εἰ δὲ [12] μὴ πάντας ἐπαίδευσαν, μηδὲ ὡς οἷόν τε ἀκριβέστατα, [1296 R.] μηδ' ὡς μάλιστα ἐβουλήθησαν [13], τί τό γε ἐκπεφευγὸς τῆς ἐκείνων προστασίας ἄν τις τιθείη; οὐ γὰρ τῆς ἐκείνων ὁμιλίας τοῦτο ἀπώναντο, ἀλλ' οὐκ ἀπώναντο ἐκείνων ἔτι τι τοῦτό γε. Οὔκουν ἐξ ὧν προσεῖχον αὐτοῖς, ἐκ τούτων ἥμαρτον, ἀλλ' ἐξ ὧν οὐ προσεῖχον, ἐπλημμέλησαν. Οὕτως ἄ γε ἐπείθοντο σαφῶς ἄρ' οἱ πείθοντες ἔπειθον καλῶς. Τὴν δὲ [14] πολιτικὴν εἰ μὴ πάντας ἐπαίδευσαν Ἀθηναίους Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Μιλτιάδης καὶ Κίμων, μηδ' ἅπαντας ἐφεξῆς βελτίους ἐποίησαν κατὰ φυλὰς καὶ κατ' ἄνδρα ὥσπερ θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες, εἶθ' ὑπερφυές τι φήσομεν κατ' αὐτῶν εὑρηκέναι, ὡς οὐδ' αὐτοὶ βελτίους ἦσαν οὐδενὸς εἰς ταῦτα; [701 H.] καὶ οὐκ ἀγαπᾷς τὸ [15] τοῦ σοῦ Πρωταγόρου [16], εἰ καὶ [17] καθ' ὁσονοῦν προὐβίβασαν τοὺς πολλοὺς εἰς τὸ βέλτιον, ἀλλ' εἰ μὴ πάντα ὁ δῆμος ἀνεγκλήτως καὶ ὥσπερ εἷς ἀνὴρ μετεχείρισε, τοῦτ' ἤδη κατὰ τῶν προστατῶν ἐστί σοι. Τί οὖν [18] θαυμαστὸν, εἰ κἀκεῖνοι πολλὰ καὶ χρηστὰ συμβουλεύσαντες Ἀθηναίοις, καὶ πολλὰ τῶν δυσχερῶν κωλύσαντες, μὴ διὰ τέλους αὐτοὺς ἠδυνήθησαν κατασχεῖν μηδ' ἀθάνατα ἰάσαντο, ἀλλ' ἡττήθησαν τῆς δήμου φύσεως, εἴτε καὶ τῆς κοινῆς ἀνθρώπων [19] δεῖ λέγειν, καὶ μὴ ἐδυνήθησαν [20] καθάπαξ ἐκ τῆς πόλεως ἐξελεῖν ἀδικίαν, ὥσπερ γεωργοὶ τὰ λυμαινόμενα τῇ χώρᾳ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες, εἶτ' οὐκ ἐφικνούμενοι διὰ παντὸς τοῦ [λυμαινομένου τὴν χώραν [21]] σπέρματος. Εἰ τοῦτον τὸν τρόπον κἀκείνους ἐθέλοντας καθαίρειν [22] τὴν πόλιν ἐξέφυγε καὶ ἐνέμεινε σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης, καὶ οὐ πάντα [23] ὑπήκουσεν αὐτοῖς, ἀλλ' ἔστιν ἃ καὶ καθ' αὑτὸν ὁ δῆμος ἐβουλεύσατο, τίνα τοῦτο τοῖς ἀνδράσιν ἔχει φαυλότητα; ἢ τί δεῖ τὰ ἐκείνων ἑτέροις λογίζεσθαι, ὥσπερ ἂν [24] εἰ καὶ στάσεως οὔσης ἐν τῇ πόλει, καὶ τούτων τῆς ἑτέρας ἡγουμένων τῆς τῶν ἐπιεικῶν, εἶτα τὰ τῶν ἑτέρων ἁμαρτήματα καὶ τῶν εἰς τούτους πλημμελούντων αὐτοῖς τούτοις τις προσετίθη [25]. Καὶ τίνα ἔχει φύσιν [26] οἳ μήτε ἑδρῶν ταῦτα καὶ προσέτι κωλύειν ἠξίουν; Ἀλλὰ μὴν [27] εἴ γε μηδὲ κακῶς ἀκούσασι καλῶς ἔχειν οἰήσεταί τις ταῖς αὐταῖς χρήσασθαι λαβαῖς, καὶ ταύταις μὴ ἐπὶ [28] τῷ κακῶς ἀντειπεῖν, ἀλλ' ἐπὶ τῷ διὰ τῶν ἐκείνου τὰ ἑαυτῶν ἀπολύσασθαι, πῶς εἰρηκέναι γ' [29] αὐτὸν πρότερον κακῶς, ἃ μηδεὶς ἐπηνάγκαζε καὶ δι' ὧν χείρους ὤετο ἐκείνους ἀποφῆναι, δεξιόν τι νομίζειν κελεύσει [30]; Ἐλελήθεις [31] ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίθον ἕψων καὶ σπείρων τὰς πέτρας. Τί γὰρ τῶν σῶν νουθεσιῶν καὶ λόγων ἀπήλαυσαν ἐκεῖνοι; τί τῶν θείων ἢ τῶν ἀνθρωπίνων ἄμεινον μετεχειρίσαντο Διονύσιος ἢ Δίων μετ'

cuerunt, nec accuratissime, neque ut volebant maxime, cur id quod effugit, ad ipsorum quis magistros referat? Nec enim hunc fructum ex illorum consuetudine perceperant potius, quam non jam id illis poterant acceptum ferre. Quocirca non quia illos attendebant, peccabant, sed quia non attendebant, usque eo illa quæ persuadebantur recte illis suadebant. Civilem vero scientiam nisi Athenienses omnes docuerint, Themistocles, Pericles, Miltiades et Cimon, atque cunctos ex ordine tributim ac viritim meliores reddiderant, scientia quasi theatrali pecunia distributa, ne ipsos quidem ea in re excelluisse dicemus. Nec illud Protagoræ tui tibi sufficit, si vulgus vel ex parte aliqua ad virtutem perduxerunt; verum nisi omnia quam rectissime populus, et quasi vir unus administravit, id jam præfectis imputas. Num ergo mirum erit, si nec illi, cum multa bona docuissent Athenienses ac noxas multas impedivissent, semper eos cohibere potuerunt, neque morbos immortales curarunt, sed a populi natura, sive potius communi hominum sunt victi, nec iniquitatem prorsus e civitate potuerunt exstirpare: quemadmodum cum agricolæ quotannis agri detrimenta exscindunt, nec per totum semen penetrant. Hoc modo si et illos, cum civitatem purgare vellent, **432***a* necessarium injustitiæ atque ingrati animi semen effugit, et remansit, nec ipsis obtemperarunt omnia, quinetiam per se populus nonnulla statueret, cur hæc improbitatem viris afferant, aut ipsis imputentur aliena? Quasi quis exorta seditione, et his meliori parti præpositis, tum aliorum in hos peccata his ipsis tribueret. Quomodo autem sit æquum, qui nec ea fecerint, et insuper prohibere voluerint. Quod si nec eos quorum est fama læsa iisdem putabit ansis uti debere, idque non ad maledicendum vicissim sed ut se per alios absolvant, quomodo eum probabit qui prior nulla coactus necessitate maledixit, ut per quæ illos pejores videri curabat dextrum quid putare jusserit. Enimvero nesciebas te his proverbiis teneri. *ignem verberare, lapidem coquere, sexa seminare.* Quod enim illi ex admonitionibus tuis ac sermonibus lucrati sunt, quam rem vel divinam vel humanam post eum diem quo tibi aures præbuerat Dionysius, vel Dio, rectius administrarunt! Tanto nostros nos, o Plato, quam tu tuos, meliores efficimus. Quod si horum indolem dices meliorem fuisse, hac quoque in re nostram declaras prudentiam, qui spem in his aliquam posuerimus, cum tu toto erraveris cœlo, quando cum illis utiliter te disputaturum credidisti. Deinde sicut ea in quibus alios vicerunt indoli tribuis, sic etiam si quid tibi satis temere videntur egisse, hoc eidem indoli imputa; neque cum quæ

VARIÆ LECTIONES.

[10] ταῦτα] αὐτὰ A. [11] ἐφ' A : ἀφ' ς. [12] εἰ δὲ] p. 371. [13] ἠβουλήθησαν ς. [14] τὴν δὲ] p. 372. [15] τὸ add. A. [16] Πρωταγόρα A. [17] καὶ om. A. [18] τί οὖν] p. 373. [19] ἀνθρώπων] τῶν ἀνθρώπων A. [20] ἠδυνήθησαν ς. [21] λυμ. τὴν χώραν om. A. [22] καθαρεῖν A : καθαριεῖν ς. [23] πάντα A : πάντῃ ς. [24] ἂν om. A. [25] προστιθῇ A. [26] φύσιν] φύσιν ταῦτα A. [27] ἀλλά μήν]. [28] ἐπὶ om. A. [29] γ' om. A. [30] κελεύει A. [31] ἐλελήθεις] p. 377.

nobis imperantibus gesserunt ea nostro consilio detrahis, quæ per se in nos peccarunt ea nostræ iniquitati ascribe. Ut enim illarum rerum nos quoque auctores fuimus, ita horum nequaquam.

A ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σοὶ τὰ ὦτα ὑπέσχον; Τοσοῦτον [32] ἡμεῖς ἀμείνους τοὺς ἡμῖν χρωμένους, ὦ Πλάτων, ἀπεδείξαμεν ἢ σὺ τοὺς σοί. Εἰ δ' ἐρεῖς ὅτι βελτίους οὗτοι τὴν φύσιν, καὶ ταύτῃ φρονιμωτέρους ἡμᾶς ἀποδεικνύεις, εἴ τινας ἐν τούτοις [702 H.] ἔχομεν ἐλπίδας, οὐχ ὥσπερ σὺ τοῦ παντὸς διήμαρτες, ἐκείνοις διαλέγεσθαι προύργου τι δόξας εἶναι. Ἔπειτα ὥσπερ [33] ἐν οἷς βελτίους ἑτέρων γεγόνασι τὴν φύσιν αἰτιᾷ, οὕτως εἴ [34] τι καὶ προπετέστερον εἰργάσθαι σοι [35] δοκοῦσι, τῆς φύσεως αὐτὸν θὲς τῆς αὐτῆς [36]· καὶ μὴ λάμβανε ἐφ' ἡμᾶς, μήθ' ἃ μὲν ἡμῶν [37] ἡγουμένων κατέπραξαν, ἀποστέρει τοὺς συμβουλεύσαντας καὶ τοὺς συγκατεργασαμένους ἡμᾶς [38] τῷ δοκεῖν τὰ βέλτιστα παραινέσαι, ἃ δὲ ἐπὶ σφῶν αὐτῶν ἐξήμαρτον εἰς ἡμᾶς, ταῦτα ὡς ἡμεῖς ἀδικοῦμεν λέγε· ἐκείνων μὲν [39] γὰρ καὶ ἡμεῖς αἴτιοι τὸ μέρος, τούτων δὲ οὐδὲ μικρόν.

Et Pollis iterum Platonem reducebat, ac Dionysium vel absentem reverebatur, et ejus mandata in animo conservabat, te quem videbat et alloquebatur nihili faciebat : sic ut admirabilis tua persuadendi vis **432***b* imperio Dionysii cederet, et illi Pollis quamvis talia præceperat, operam suam navabat, tibi nullam, etsi Spartanus erat, et in ea nutritus republica cui tu secundas vel primas potius tribuis, itaque frustra videbaris urbem Spartanam tot illi laudibus exornasse. Quocirca Laconicæ quondam classis præfectus, tantum in dignitatem tuam peccavit, quantum nec Persarum quisquam, nec Scytharum, qui vocem tuam prorsus intelligere non poterant. Atqui siquidem volebas eum [navarchum Peloponnesiorum Pollin] melius aliquid in te, quam Dionysium, consulere, nec ille te attendebat, verum absentis, et qui turpissima præceperat, totus erat, multum a tyranno vincebaris, nec jure cuiquam potes objicere, si quid minus alicui persuadere potuit : sin tu quidem fortunam præsentem æquo ferebas animo, ille vero silentium tuum non reverebatur, nec sermone quovis potentius ad conveniens consilium de te capiendum judicabat, quomodo jus tuum consequebaris, aut ingenii tui, quem meritus eras, fructum capiebas ? At non ideo tu pejor, si Pollis ac Dionysius delirarunt : neque nos, bone vir, si quis erga nos, Atheniensis improbus exstitit. Et vendente Pollide Græcorum quidem nullus te sacrum caput redemit (usque eo cuncti tua tenebantur eloquentia), verum Afer quidam, Anniceris nomine, quem nemo nisi tua calamitate fuisset abusus. Nunc vero non Platonem, sed famam et celebritatem sibi comparavit. Ne forte putes nos rationes tuas ignorare, aut falsas credere, cum negas virum meliorem a pejore posse injuria affici vel lædi. Quæ cum sciamus, et vere dici testemur, ille tamen magnus amator tuus, nihil petulantiæ nec contumeliæ reliquum fecit, et quamvis tu nullam patereris injuriam, ille nihilominus ea potius quibus injuriam, quam in quibus honorem tibi deferre se putaret, faciebat. Quocirca noli, admirande Plato, utrumque transfi-

B Καὶ ὁ [40] Πόλλις αὖ πάλιν [41] παραλαβὼν Πλάτωνα, Διονύσιον μὲν καὶ ἀπόντα [42] ἠσχύνετο καὶ ὧν ἐπέσκηψεν ἐμέμνητο, σὲ δὲ ὁρῶν καὶ σιγὴν παρ' οὐδὲν ἐποιεῖτο, ἀλλ' ἡ [43] θαυμαστή σου [44] δύναμις καὶ πειθὼ κατὰ τοὺς λόγους ἥττατο τῶν ἐντολῶν τοῦ Διονυσίου· καὶ Πόλλις ἐκείνῳ μὲν συνεβάλλετο, καὶ ταῦτα τοιαῦτα ἐπιτάξαντι, σοὶ δὲ οὐδέν. Προσθῶμεν δὲ ὅτι καὶ Σπαρτιάτης ὢν, καὶ τεθραμμένος ἐν νόμοις καὶ πολιτείᾳ δεύτερα τῶν πασῶν [45] ἐχούσῃ [46] παρὰ σοὶ κριτῇ, μᾶλλον δὲ τὰ πρῶτα [47] τῶν οὐσῶν καί σοί μάτην, ὡς ἔοικε, τὰ πολλὰ ἐκεῖνα [48] εἰς τὴν τῶν Λακεδαιμονίων πόλιν ὕμνητο [49]. [1297 R.] Ὁ γοῦν τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος τοσοῦτον διήμαρτε τῆς σῆς ἀξίας, ὅσον οὐδ' ἂν εἷς Περσῶν ἢ Σκυθῶν, οἷς οὐκ ἦν συνεῖναι τῆς σῆς φωνῆς τὸ παράπαν [50]. Καίτοι λε εἰ μὲν ἠξίους αὐτὸν [51] [τὸν ναύαρχον τῶν Πελοποννησίων Πόλλιν] ἀμείνω [52] γενέσθαι Διονυσίου περὶ σὲ καὶ βουλεύσασθαί τι βέλτιον, ὁ δὲ οὐ προσεῖχε σοι τὸν νοῦν, ἀλλὰ μὴ τοῦ παρόντος ἦν καὶ τοῦ τὰ [53] αἴσχιστα ἐντειλαμένου, πῶς οὐχ ἧττω πάμπολυ τοῦ τυράννου; καὶ ποῦ δίκαιος εἴη προφέρειν, εἴ τινά τις πείθειν ἐπιχειρῶν ἀπέτυχεν [54]; εἰ δὲ σὺ μὲν στέργειν ἠξίους τοῖς παροῦσιν, ὁ δὲ οὐκ ἠδεῖτο σου τὴν σιωπὴν, οὐδ' ἁπάντων λόγων ἡγεῖτο ἱκανωτέραν εἶναι τοὺς προσήκοντας αὐτῷ λογισμοὺς περὶ σοῦ παραστῆσαι, πῶς τῶν εἰκότων ἐτύγχανες, ἢ πῶς τὰ πρέποντα ἀπέλαβες τῆς φύσεως τῆς σεαυτοῦ [55]; νὴ Αἴ' ἀλλ' οὐδὲν σὺ χείρων, εἰ παρέπαιε Πόλλις καὶ Διονύσιος. Οὐδέ γε ἡμεῖς, ὦ μακάριε, εἴ τις περὶ [56] ἡμᾶς Ἀθηναίων φαῦλος ἐγένετο. Καὶ πωλοῦντος [57] Πόλλιδος Ἑλλήνων μὲν οὐδεὶς ὠνεῖτο σε τὴν ἱερὰν κεφαλὴν (οὕτω πάντες κατείχοντο ὑπὸ τῶν σῶν λόγων), Λίβυς δὲ ἄνθρωπος Ἀννίκεριος ὄνομα, ὃν οὐδ' ἠπίστατο ἀνθρώπων οὐδεὶς, εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο. Νῦν δ' οὐ Πλάτωνα ἐπρίατο, ἀλλὰ δόξαν ἑαυτῷ καὶ τὸ γιγνώσκεσθαι. Μή [58] τοι [59] νομίσῃς ἡμᾶς ἀγνοεῖν τοὺς σοὺς λόγους ἢ μὴ συγχωρεῖν ἀληθεῖς [60] εἶναι, ὡς οὐ θέμις ἀνδρὶ βελτίονι ὑπὸ χείρονος οὔθ' ὑβρίζεσθαι οὔτε βλάπτεσθαι. Σύνισμεν ταῦτα, καὶ μαρτυροῦμεν ὡς ἀληθῇ λέγεις. Ὅμως δέ γε [61] ὁ θαυμαστὸς ἐκεῖνος ἐραστής σου οὐδ'

C

D

VARIÆ LECTIONES.

[32] τοσοῦτον] p. 380. [33] ὥσπερ om. A. [34] εἴ τε. ἔτι A. [35] σοι om. A. [36] αὐτῆς] ἑαυτῶν A. [37] ἡμῶν om. A. [38] ἡμᾶς om. A. [39] μὲν om. A. [40] καὶ ὁ] p. 382. [41] αὖ πάλιν om. A. [42] ἀπὼν A. [43] ἀλλ'] καὶ A : ἀλλ' ἡ ς. [44] σου om. A. [45] τῶν πασῶν om. A. [46] ἐχούσῃ] λαχούσῃ A. [47] τὰ πρῶτα] πρώτῃ A. [48] ἐκεῖνα om. A. [49] ὑμνηται A. [50] τὸ παράπαν om. A. [51] αὐτὸν om. A. [52] ἀμείνονα A. [53] τοῦ τὰ] ταῦτα A. [54] ἐπέτυχεν ς. [55] ἑαυτοῦ A. [56] περὶ] πρὸς A. [57] καὶ πωλοῦντος] p. 385. [58] μὴ p. 386. [59] τοι] τοίνυν A. [60] ἀληθὲς ς. [61] γε om. A.

ὀτιοῦν ὕβρεως καὶ ἀτελγείας ἀπέλιπε. Καὶ σὺ μὲν οὐδὲν ὑβρίσθης ἴσως· ὁ δὲ οἷς ἡγεῖτο ὑβρίζειν, πλείω ταῦτα ἔπραττεν ἢ [703 H.] δι' ὧν ἥδει τιμήσων. Ἀλλ', ὦ [62] πάντων [63] θαυμάσιε Πλάτων, μὴ δι' ἀμφοῖν ὥθει, καὶ ταῦτα οὐ διὰ τῶν φίλων ἑνὸς καὶ τῶν ἐχθρῶν [64], ἀλλὰ διὰ σαυτοῦ τε [65] καὶ τούτων, οὓς μᾶλλον φίλους ἦν εἰκὸς ἡγεῖσθαι. Εἰ δὲ μή, σκόπει μή ὅ τι ἐγκαλέσεις [66], ἀλλ' ὅ τι ἀπολογήσῃ πρότερον· τοσαῦτά ἐστι καὶ τὰ σά. Εἰ δ' [67] αὐτὴν ἐφ' ἑαυτῆς δεῖ τὴν προαίρεσιν ἐξετάζειν, ἀναίτιον μὲν τὸ σὸν εἰκότως, ἀναίτιον δὲ ἐκ τῶν αὐτῶν καὶ τὸ ἡμέτερον. Καὶ πρόσεστι καὶ τὸ κρατῆσαι τῶν πραγμάτων, καὶ τὸ μείζω ταῦτα εἶναι τῶν τε ὑπὸ σοῦ σπουδαζομένων ὧν τε αὐτοὶ προσεκρούσαμεν. Σὺ μὲν τοίνυν [68] ἐλέγχειεν ἡμᾶς ἀξιῶν καὶ κατὰ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ὑπὲρ ἡμῶν αὐτῶν λέγοντες καὶ [69] τὸ σὸν θεραπεύομεν. Μᾶλλον δὲ τῆς μὲν σῆς ἀπολογίας καὶ ἡμεῖς μετέσχομεν, σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει. Ὥστε εἰ μὲν ἡμῶν τις φείσεται, ἄδηλον εἰ καὶ σοῦ· εἰ δὲ σοῦ τις καταγνοίη, τάχα ἂν ἡμῖν γε συγγνοίη· εἰ δ' αὖ μηδ' [70] ἡμῶν φείσεται [71] σχολῇ γε [72] σοῦ. Οὕτω τὸ νικᾶν ἡμᾶς ὑπὲρ σοῦ γίνεται. Πρὸς ταῦτα σκόπει μὴ τοὐμὸν ἀλλὰ καὶ τὸ σὸν, Τεῦκρος ἔφη τινί·

Τῷ Ἀγαμέμνονι ὀνειδίσαντι τὸ γένος ὅτι νόθον,

καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, μηδὲ τριῶν ὄντων εἰς ἃ τις ἂν [73] βλέψειε, τῆς γνώμης, τῶν ἔργων, τῆς τύχης, ἀφεὶς τὼ δύω τοῦ τρίτου λαμβάνου θ' ταῦτα καὶ τοῦ τούτου πλείστου μέρους μεθ' ἡμῶν ὄντος. Εἰ γὰρ ἡμᾶς ἔδει ταῦτα προειδότας ἐξ ἀρχῆς ἐξεπίτηδες ὑπὲρ τῆς Ἑλλάδος ἡμᾶς αὐτοὺς ἐπιδοῦναι, οὐκ ἂν ὠκνήσαμεν, οὐδ' ἠττήθημεν τοῦ Κόδρου τοσοῦτον· καὶ σύ γ' ἂν οἶμαι ταῦτα συνεβούλευσας. [1300 R.] Ἐπεὶ, φέρε πρὸς φιλίου, πότερ' ἂν [74] μᾶλλον ἐβουλήθης, μήτε τὰ πραχθέντα δι' ἡμων πεπρᾶχθαι τῇ πόλει, μήτε εἰς ἡμᾶς μηδένα τῶν πολιτῶν ἐξαμαρτεῖν; οὐκοῦν ἕτεροι καὶ εἰς ἡμᾶς καὶ εἰς ἐκείνους ἔμελλον· ἢ ἐκείνων γε ἕνεκα ὥστε πραχθῆναι, καὶ ταῦτα εἰ δέοι συμβῆναι; Ἐγὼ μὲν οἶμαι ταῦτα. Οὐκοῦν ὅτ' ἄμφότερ' ἂν [75] φαίης ἐθέλειν μᾶλλον ἢ μηδέτερα, ὁμολογεῖς καὶ τοῖς πεπολιτευμένοις ἡμῖν ἅπαντα ἃ προσήκει προσεῖναι, καὶ μειζόνως τὰ πρὸς εὐδοξίαν [76] τῇ πόλει τῆς αἰτίας εἶναι. Πῶς οὖν οὐ δίκαιος ἦσθα μᾶλλον ἐπαινεῖν ἢ ψέγειν; Ὡς δ' ἁπλῶς εἰπεῖν [77], ποῦ δίκαιον μόνους ἀπαιτεῖν εὐθύνας τοὺς οὐ μόνους τῶν πραγμάτων αἰτίους; οὔκουν τούς γε ἡνιόχους αἰτιώμεθα τοὺς [78] ἐξ ἀρχῆς, ἂν ἕτερος τοὺς αὐτοὺς ἵππους παραλαβὼν κακίους ἀποδείξῃ· ἀλλὰ καὶ ἡνίοχοι καὶ πωλοδάμναι καὶ διδάσκαλοι μειζόνως εὐδοκιμοῦσιν, ὅταν τῶν αὐτῶν ἕτεροι κύριοι καθεστῶτες μὴ τῶν ἴσων ἄξιοι γένωνται, καὶ νὴ Δί' ἄν [79] γε καὶ κατὰ τοὺς αὐτοὺς χρόνους. Φέρε δὴ [80] καὶ περὶ τῶν συμβεβηκότων αὐτῶν τοῖς ἀνδράσι σκεψώμεθα καὶ

A gere, idque alterum amicum, **433***a* hostem alterum? Verum teipsum et hos pete, quos potius debebas pro amicis habere. Alioqui non tam quid accuses, quam quid prius excuses videndum tibi fuerit, siquidem tua quoque tanta sunt. Sin ipsum per se considerandum est consilium, nec tuum culpari jure potest, nec etiam eadem de causa nostrum, quo accedit ut voti compotes facti simus, et hæc tum tuis studiis, tum nostris offensis sunt majora. Quare cum tu nos redarguere studes, teipsum quoque refellis: nos, dum nobis suppetias ferimus, tuam quoque rem agimus. Quinimo tua defensio nobis quoque convenit, verum tibi non tot, quot nobis sunt adjumenta. Itaque ut nobis quis parcat, incertum sit an et tibi; sin te condemnet, nobis fortasse B veniam dabit. Quod si nec nobis parcat, nihil erit ibi sperandum: usque eo victoria nostra cedit in tuum commodum. *Quapropter etiam tua require, non mea.* Inquit ad quemdam Teucer (93-95).

Agamemnoni exprobranti genus tanquam spu-
[rium,

nec omnia conare studiose scrutari, neque cum tria sint consideranda, animus, facta, fortunæ, duobus omissis, arripe tertium, cujus item pars maxima nobiscum facit. Etenim si his initio relictis, pro Græcia nos devovere debuissemus, non eramus recusaturi, neque Codro tantum cessuri: atque ad id tu, credo, adhortatus esses. Age vero utrum hoc maluisses, ut nihil a nobis gestum unquam fuisset, C nec in nos civium quisquam peccasset (itaque tam in nos quam in illos, erant alii peccaturi) an ut hæc quoque, si fuerat opus, quo fierent illa, contigissent. Hæc, arbitror, malles. Ergo cum utrumque te quam neutrum malle dicis, cum omnia quæ requirebantur in administrationem nostram incidisse confiteris, tum plura urbi, de quibus glorietur, quam ob quæ reprehendatur, suppetere. Quin ergo laudas potius quam vituperas. Denique cur ab iis rationes repetimus solis, qui soli rerum auctores non fuerunt. Nam nec primos reprehendimus aurigas, si quis eosdem equos alius deteriores **433***b* reddiderit. Verum et aurigæ equorumque domitores, magistri fiunt pluris, cum alii eamdem potestatem nacti, non eodem modo se gerunt, idque eodem D tempore. Age vero, quæ viris his acciderint, etiam percurramus. Neque enim omnes eodem modo populus condemnavit, neque id illi communi decreto sunt passi, neque etiam prorsus omnes. Verum Themistocles quidem et Cimon ostracismo sunt

VARIÆ LECTIONES.

[62] ἀλλ' ὦ] p. 387. [63] πάντων om. A. [64] καὶ τῶν ἐχθρῶν om. A. [65] τε om. A. [66] ἐγκαλέσης A. [67] εἰ δ'] p. 389. [68] τοίνυν om. A. [69] καὶ om. A. ἡμῶν αὐτῶν] αὐτοῦ A. [70] αὖ γε μηδ' ς. [71] φείσεται om. A. [72] γε] γ' ἂν A, v. libri post τοίνυν v. 9 ponunt. [73] ἄν] καὶ A. [74] πότερον A. [75] ἂν add. A. [76] τὰ πρὸς εὐδοξίαν om. A. [77] ὡς δ' ἁπλῶς εἰπεῖν (p. 394) om. A. δίκαιον] δὲ δίκαιον καὶ A. [78] τοὺς Δ : οὓς ς. [79] ἂν om. A. [80] φέρε δὴ] p. 398.

NOTÆ.

(93-95) Quemdam, Agamemnonem *Ajace* Sophoclis.

expulsi. Id autem non erat odii, nec quia alienus erat ab illis plebis animus, sed legem hac de re conscriptam habebant, quæ ut olim se habuit (id enim omittam, nisi quis eam valde voluerit laudare), illorum tamen delictum non carebat excusatione, cum haberet aliquem decorem, quandoquidem ex lege proficiscebatur. Lex autem sic erat, ut eos *qui cæteris antecellerent in annos decem ablegarent.* Nec aliud deerat crimen, neque quasi convicta res esset ira. Indignum sit ergo, si eos, quos nec ipsi poterant qui ejecerunt reprehendere, nos istorum causa reprehendamus, ut qui certi nihil sciamus, sed rumorem quemdam, eumque obscurum accusemus. Sed ut huc redeam, quod ad gloriam comprimendam hoc exsilii genus introduxerunt, ea res, quantum ab adulatione fuerint hi remoti, indicat clarissime. Quocirca ne nimis elati fierent, hac sola de causa illos ablegarunt. Itaque non contra ipsos hoc dixisti, sed insciens pro ipsis. Egregie tu quidem potes, quæ dicuntur observare, et alios refellere. Nam cum calamitates eas, in quas tempore Pisistratidarum incurrerant, considerassent, videntur neminem voluisse cæteris præferri, sed omnes æqua vigere potestate. Rectene igitur Cimonem atque Themistoclem ejecerunt? Equidem non dico, non tamen prorsus impudenter, sed ut et ipsi defensionem haberent, et illi non inhonestam paterentur injuriam. Pericli vero, donec in pace vigebat civitas, nullum nec magnum nec parvum crimen est impositum, verum deorum instar colebatur, et quamvis prius etiam Athenienses non paucos contra **434***a* fœdifragos in prælium eduxerat, non tamen inculpatus modo, sed et facile primus fuerat. Postquam vero simul et agro carere cogebatur, et pestis cuncta vastans incumbebat; nec erat malorum ulla requies, tum demum calamitatibus succumbentes in illum sunt exacerbati. Atque hi mihi aurigarum exemplum recordare, nec enim pennis potius quam curribus tuis capietis. Sed non potuit Nestoris equus parere vulneratus, non illo tantum, sed et reliquis equis hoc casu turbatis. Quid? Quod nec frenum in hoc tumultu facile poterat demere, verum tanquam in æneo vehiculo stabat manens, nisi quod commovere se poterat. Domi male habebant [pro infeliciter.]

διέλθωμεν. Οὐ γὰρ ἁπάντων ὁ δῆμος οὕτωσὶ κατεψηφίσατο, οὐκ [81] ἀπὸ κοινοῦ δόγματος ταῦτα ἔπαθον, ἀρχὴν δὲ οὐδὲ ταῦτα πάντες· πόθεν; ἀλλὰ [82] Θεμιστοκλῆς μὲν καὶ Κίμων ἐξωστρακίσθησαν. [704 H.] τοῦτο δ' ἦν οὐ μῖσος οὔτ' ἀλλοτρίωσις [83] τοῦ δήμου πρὸς αὐτούς, ἀλλ' ἦν νόμος αὐτοῖς περὶ ταῦτα, ἔχων μὲν ὁπωσδήποτε (ἐῶ γάρ, εἰ μὴ σφόδρα ἄν τις ἐπαινέσαι τὸν νόμον) τὸ δ' οὖν ἁμάρτημα οὐκ ἀπαραίτητον αὐτῶν, ἀλλ' ἔχον ὡς ἐν τοιούτοις εὐπρέπειαν· νόμῳ γὰρ, ὥσπερ εἶπον, ἐγίνετο. Ἦν δὲ οὗτος ὁ νόμος· ἐκόλουον [84] τοὺς ὑπερέχοντας μεθιστάντες ἔτη δέκα, ἄλλο δὲ οὐδὲν ἔγκλημα προσῆν, οὐδ' [85] ὡς ἐπὶ ἐλέγχῳ πραγμάτων ὀργή [86]. Καίτοι πως οὐ δεινόν. εἰ οὓς οὐδ' αὐτοὶ οἱ μεθιστάντες εἶχον αἰτιάσασθαι, τούτους αἰτιασόμεθα ἡμεῖς διὰ τοὺς [87] μεταστήσαντας; ὥσπερ [88] οἱ βέβαιον μὲν οὐδ' ὁτιοῦν ἐπιστάμενοι, ἀκοὴν δέ τινα κατηγοροῦντες, καὶ ταῦτ' οὐδ' αὐτὴν σαφῆ τὴν ἀκοήν. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι [89] ὑπὲρ τοῦ [90] τὰ φρονήματα ἐπισχεῖν τοῦτο τὸ εἶδος τῆς φυγῆς ἐνόμισαν. Οὐκοῦν τούτῳ μεγίστῳ δῆλόν ἐστιν ὅσον κολακείας οἱ ἄνδρες ἀπεῖχον, οὓς γε ὅπως ὑφεῖντο τοῦ [91] φρονήματος διὰ τοῦτο μεθίστασαν, οὐδενὸς ἄλλου τῶν πάντων ἕνεκα. Ὥστε τοῦτό γε οὐ κατ' αὐτων, ἀλλ' ὑπὲρ αὐτων ἔλαθες εἰρηκὼς, ὡς δεινὸς σὺ τηρεῖν τὰ λεγόμενα καὶ τοὺς ἄλλους ἐλέγχειν. Δοκοῦσι γάρ μοι τὰς συμφορὰς ἐνθυμούμενοι [92] τὰς ἐπὶ τῶν Πεισιστρατιδῶν γενομένας ἑαυτοῖς [93] μηδένα βούλεσθαι μεῖζον ἐᾷν τῶν πολλῶν φρονεῖν, ἀλλ' ἐξ ἴσου εἰς δύναμιν εἶναι. Δίκαια ἄρα ἐποίουν ἐλαύνοντες Κίμωνα καὶ Θεμιστοκλέα; οὐ λέγω ταῦτα, ἀλλ' οὐδ' ἀναίσχυντά γε παντελῶς, ἀλλὰ καὶ αὐτοῖς ἔχοντα παραίτησιν κἀκείνοις οὐκ ἀσχήμονα τὴν συμφοράν. Περικλῆς [94] δὲ ἕως μὲν εἰρήνην ἡ πόλις ἦγεν, οὐδεμίαν οὔτε μείζω οὔτε ἐλάττω παρ' αὐτοῖς αἰτίαν ἔσχεν, ἀλλ' ἐξ ἴσου τοῖς θεοῖς ἐθαυμάζετο. Καὶ ἔτι [95] πρότερον στρατιὰς πολλὰς ἐξαγαγὼν Ἀθηναίων ἐπὶ τοὺς οὐκ ἐθέλοντας τοῖς δικαίοις ἐμμένειν, οὐκ ἄμεμπτος μόνον, ἀλλὰ καὶ πολλῷ τινι πρῶτος ἦν. Ἐπεὶ δ' ἅμα τῆς τε χώρας ἠναγκάζετο στέρεσθαι, καὶ ὁ λοιμὸς ἅπαντα φθείρων ἐπέκειτο, καὶ κακῶν ἀνάπαυσις οὐκ ἦν, οὕτω δὴ τῶν συμφορῶν ἡττηθέντες ἐτραχύνθησαν πρὸς αὐτόν. [1301 R.] Καί μοι τοῦ παραδείγματος ἐνταῦθ' ἀναμνήσθητι τοῦ τῶν ἡνιόχων· τάχα ἄν [96] γὰρ ἁλοίης τοῖς ἅρμασι τοῖς σαυτοῦ καὶ οὐ τοῖς πτεροῖς [97]. Ἀλλ' οὐδ' [98] εἶχεν (οὔθ' ὁ λαβόντι, ἀλλ' οὐδὲ τοῖς ἄλλοις ἵπποις τεταραγμένοις τῷ θορύβῳ ῥᾳδίως ἐδύνατο [99], ἀλλ' ὥσπερ ἐπὶ χαλκοῦ ζεύγους εἱστήκει μένων [1], ὅσα μὴ ἀπῆν τό γε ἁτρεμεῖν. Οἵκοι [2] πονηρῶς ἐπεπράγεσαν (ἀντὶ τοῦ ὀτυχῶς).

Nestor) ὅτι χρήσαιτο, μὴ ὅτι ἐκείνῳ τῷ τὴν πληγὴν ὑπὸ τοῦ πάθους. Ἀλλ' οὐδ' ἀπολῦσαι τὸν ῥυτῆρα ἐν

Aurigam excusserunt. Quemadmodum excusserant, ad eo tam probe fuerant olim gubernati, ut et factum suum cognoverint, et sententiam mutarint, eumque denuo se regere, et quocunque

Ἀπεσείσαντο μὲν τὸν ἡνίοχον, ἀποσεισάμενοι δὲ οὕτως εὖ καὶ καλῶς [705 H.] ἦχθησαν ὑπ' αὐτοῦ τὸν ἄνω χρόνον, ὥστε ἔγνωσάν τε ὃ ἔδρασαν, καὶ μετέγνωσαν, καὶ ὑποκύψαντες ἐξ ἀρχῆς παρεῖσαν

VARIÆ LECTIONES.

[81] οὐκ A : οὐδ' ς. [82] ἀλλὰ] ἀλλὰ καὶ A. [83] οὔτ' ἀλλοτρίωσις om. A. [84] ἐκώλυον A. [85] οὐδ'. [86] ὀργὴ om. A. [87] διὰ τοὺς] δι' αὐτοὺς A. [88] ὥσπερ. [89] ὅτι om. A. [90] τοῦ] δὲ A. [91] τοῦ A : ἄλλου τοῦ, ς. [92] ἐνθυμούμενοι post γενομένας ponit A. [93] ἑαυτοῖς om. A. [94] Περικλῆς] p. 402. [95] καὶ ἔτι — 434 a 2. πρῶτος ἦν om. A. [96] ἄν γὰρ A : γὰρ ἄν ς. [97] πτεροῖς] πτεροῖς. παρῴδησε τὴν παροιμίαν ἅρμα τιν εἰπὼν A. [98] ἀλλ' οὐδ'] p. 403 οὔδ' ὁ Νέστωρ om. A. [99] ἠδ. ς. [1] μένων om. A. [2] οἵκοι] p. 404.

ἄρχειν καὶ ἄγειν ὅποι βούλοιτο ἑαυτούς. Ἀλλὰ [3] μὴν ὅτε καὶ τὸν ἔμπροσθεν χρόνον εὐδοκίμει πολλὰ ἐξῆς ἔτη [4], καὶ μετὰ τὴν καταδίκην μέγιστος πάλιν ἦν τῶν πολιτῶν, πῶς οὐκ ἀμφοτέρων ἕνεκα ζηλωτός ἐστι, καὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους; Οὐ γὰρ τὸ προσκροῦσαι τοῖς ἔμπροσθεν ἐπεσκότησεν, ἀλλὰ τὸ τιμᾶσθαι μετὰ τοῦτο πᾶσαν παρεγράψατο τὴν συμφοράν. Οὐ γὰρ τὸ μέσον κύριόν ἐστιν ἑκατέρων τῶν καιρῶν, ἀλλὰ κρατεῖ τὸ συναμφότερον [5] τοῦ μέσου. Εἴτε γὰρ τοῖς πρώτοις δεῖ διδόναι τὴν ψῆφον, ἐτιμᾶτο ἀπ' [6] ἀρχῆς· εἴτε τοῖς ὕστερον, οὐκ ἐν οἷς κατέγνωσαν ἕστησαν, ἀλλὰ προσεῖχον πάλιν ὡς αὐτῶν βελτίοσι. Καὶ μὴν οὐκ ὅσον δύο ἀνθ' ἑνός ἐστιν, ἀλλ' ὅτι καὶ τὸ πλῆθος ἑκάστου χρόνου οὐκ ἴσον οὐδὲ ἐγγύς. Καὶ μὴν [7] οὐδὲ τοὺς λαχόντας ἅπαντας οἴεσθαι [8] χρὴ καταγνῶναι τὴν γραφὴν αὐτοῦ, ἀλλ' εἶναί τινας οἳ καὶ τῷ Περικλεῖ καλῶς ποιοῦντες ἔθεντο [9]. Οὐκοῦν τούτους γε [10] βελτίους τε καὶ βελτίστους ἦν πεποιηκώς. Καίτοι τί [11] φήσομεν, ὦ τῶν Ἑλλήνων ἄριστε, πότερον δικαίως εἰς σὲ τότ' ἐκείνους ταῦτα τολμᾷν, ἢ σὲ τῆς ἐκείνων μανίας ὑπεύθυνον εἶναι; ἐγὼ μὲν γὰρ οὐδέτερον ἂν φαίην. Καὶ μὴν ἔχοι γ' ἄν τις τοὺς σοὺς λόγους ἀμυνόμενος διπλᾶ στρέφειν κατὰ σοῦ καὶ κατὰ Σωκράτους, ὡς εἰ καὶ [12] τὰ μάλιστα ἀδίκως ὑμῖν ταῦτα συνέβαινε, τρόπον γέ τινα τὰ προσήκοντα ἐπάσχετε, εἴ πέρ γε τοιούτους ἀπεδείκνυτε οὓς ἐπαιδεύετε. Οὐκοῦν εἰ μὲν τὰ τῶν ὁμιλητῶν ἁμαρτήματα τῶν προσεστηκότων ἐστὶ κατηγορήματα, σαυτοῦ καὶ τοῦ ἑτέρου μᾶλλον κατηγόρηκας ἢ Περικλέους τε [13] καὶ ὧν οἶει. Καὶ τὴ Δί', εἰ βούλει, τὸ μᾶλλον ἀφίημί σοι [14]· ὅτι δὲ οὐχ ἧττον, ἀρκεῖ. Εἰ δ' ὑμεῖς [15] ἀθῷοι, κἀκείνους ἐκ τῶν αὐτῶν εἰκός ἐστιν εἶναι, εἴ πέρ γε [16] τοῦ ἴσου μέμνησαι καὶ μὴ ὑπερβαίνεις τὴν γεωμετρίαν ἐκών. Εἶθ' ὃν [17] αὐτὸς ἀφῆκας [18] ἂν [19] τῆς αἰτίας, τοῦτον διαβάλλεις ἐκ τῆς αὐτῆς ταύτης αἰτίας. Καὶ πῶς οὐκ ἄτοπον ἄλλῳ μὲν ἂν λέγοντι μὴ πιστεύειν, αὐτὸν δὲ κατηγορεῖν; Καὶ δι' ἃ τὸν λέγοντα ἡγοῦ χείρω, διὰ ταῦτα Περικλέα ἀξιοῦν φαῦλον νομίζεσθαι; Καὶ τοὺς καταψηφισαμένους αἰτιώμενον [20] ἡμᾶς πείθειν συγκαταγινώσκειν, ὥσπερ χρηστοῦ τινὸς πράγματος μεθέξειν μέλλοντας, ἀλλ' οὐχ ὃ μηδ' ἐκείνοις καλῶς εἶχε ποιῆσαι; κἀκεῖνοι μὲν αὐτοὶ τὴν ἑαυτῶν καταδίκην οὐχ ὑπελογίσαντο, ἀλλ' ἐτίμων πάλιν ὡς χρηστὸν καὶ δίκαιον· ἡμεῖς δὲ οὗ μηδὲν ἄλλο κατηγορεῖν ἔχομεν, τοῦτον ἀτιμάσομεν διὰ τὴν δίκην [21]; καὶ τῶν αὐτῶν ἀνδρῶν ὃ μὲν ἥμαρτον, ἰσχυρὸν, ποιησόμεθα, ἃ δὲ εὖ φρονοῦντες ἔπραττον, ἐν οὐδενὸς μοίρᾳ θήσομεν, καὶ ταῦτα ὁμολογοῦντες ὡς ἥμαρτον, [1304 R.] μᾶλλον δὲ κατηγοροῦντες [22]; καὶ τίνα ταῦτ' [23] εἶχε [24] λόγον; ἐγὼ μὲν οὐκ ἐπινοῶ. Πλάτων [25] δὲ τὴν συμφορὰν ὡς [706 H.] ἀδίκημα

A vellent ducere jusserint. Quin si et prioribus annis multis gratiosus fuit, et post condemnationem rursum maxime evasit, nimirum ex utroque, tam principio quam fine, admirandus exstitit. Nec enim offensa res priores obscuravit, verum honor post delatus omnem delevit calamitatem. Non enim medium tempus utique præstat, verum simul utrumque medio. Nam sive priora secteris, in honore primum fuit, sive posteriora, in condemnatione non perseverabant, sed rursum ut potiorem attendebant. Neque vero duo duntaxat uni opponuntur, verum ne singulorum quidem temporum spatium est ullo modo æquale. Quinimo nec omnes eum judices condemnasse censendi sunt, sed aliqui etiam Pericli recte suffragrati sunt. Nos igitur B meliores atque optimos reddiderat. Quid ad hæc, Græcorum optime, dicemus? Utrum recte illos hæc in te commisisse, an te illorum esse insaniæ reum? Equidem neutrum dixerim. Verumtamen posset aliquis tuis verbis respondens, bifariam contra te et Socratem hoc torquere, quasi recte quodammodo vobis, quamvis **434***b* injustissime hæc acciderint, quandoquidem tales discipulos protulistis. Quare si asseclarum peccata præsidum culpam continet, teipsum et sodalem potius, aut saltem non minus quam Periclem et quos volebas accusasti. Sin vos estis insontes, eodem quoque illi modo debent esse, siquidem æqualitatis memi- nisti, nec geometriam sponte transgrederis. Ergo C quem ipse a crimine absolvisses, eum criminis ejusdem accusas? Quid autem absurdius quam alteri dicenti non credere, ipsum accusare? propter quæ dicentem pejorem fores habiturus, propter ea Periclem velle improbum videri? Et cum eos qui illum condemnarunt improbes, nos ad similem condemnationem hortari, quasi rei alicujus præclaræ, et non ejus, quæ nec illos docuerit, participes futuri simus. Illi vero suam condemnationem ipsi non excusarunt, sed rursum tanquam probum et justum in oculis tulerunt: nos eum cui nullum possumus aliud crimen imponere, propter condemnationem contemnemus? Et eorum- D dem hominum peccatis nitemur, recte facta non attendemus? Cum præsertim illorum peccata fateamur, aut potius accusemus. Quam id, obsecro, rationis habet speciem? Equidem non intelligo. At Plato cladem pro injuria suggillat, cum fortunam decreti loca considerans, tum aliorum delicta his imponens. Si vero equis calcitrantibus eos qui condemnati sunt confert, aliquid se contra illos gravius arbitratur dicere. Quod si condemnantes cum diis duodecim conferre possent (96),

VARIÆ LECTIONES.

[3] ἀλλὰ μήν] p. 405. [4] ἔτη] ἔτι A. [5] συναμφότερον] συμφέρον A. [6] ἀπ' A : ἐξ ς. [7] καὶ μήν] p. 406. [8] οἴεσθαι χρὴ πάντας ς. [9] ἔθεντο] ἐψηφίσαντο A. [10] γε om. A. [11] καίτοι] p. 411. [12] εἰ καὶ A : καὶ εἰ ς. [13] τε om. A, [14] σοι om. A. [15] ἡμεῖς ς. [16] γε om. A. [17] εἶθ' ὃν] p. 413. [18] ἀφῆκες A. [19] ἂν om. A. [20] αἰτιώμενον] ἐώμενον corr. A : αἰτιώμενος ς. [21] δίκην A : καταδίκην ς. [22] κατηγόρουν A. [23] τοῦτ' A. [24] εἶχεν A : ἔχει ς. [25] Πλάτων] p. 415.

NOTÆ.

(96) Dii majores duodecim: quos apud Apuleium Ennius sic recenset: Juno, Vesta, Minerva, Ceres, Diana, Venus, Mars, Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo.

a vituperandis reis, credo, abstinuisset. Cæterum si viros utroque modo volet Plato reprehendere, quasi acutum quiddam arripuerit, quid vetat quominus aliquis par pari reddens, utroque rursum modo sic dissolvat? Si eos recte et juste condemnarunt Athenienses, non erant ab illis corrupti: nam cum recte agebant, non eos illi corruperant. Quare si merito sunt condemnati, non hic pejores erunt, **435***a* sin eos injuste condemnarunt, injuriam passi sunt viri, non intulerunt: tales autem adjuvandi sunt, non accusandi, aut si juvari nequeunt, saltem accusari non debent. Ego vero elegantioribus hæc relinquo. Ipse autem quid affirmo? aut quam rationem sequor? Non possunt utrique simul accusari, et vulgus et viri, nisi alteros manifeste calumniari volumus. Etenim si recte sint condemnati, ipsi quidem fuerint improbi; populus officio suo functus est. Itaque non debet ob hanc rem quidem culpari, an ergo cum eum cum ferocientibus bestiis comparamus, recte nos facere dicemus? Sin peccavit populus, una cum ipsius, peccato virorum probrum diluitur. In hoc enim ipso Athenienses deliquisse dicimus, quod illos exsilio, pecunia, vel alia re quacunque multarunt. Quid autem hæc affert ratio? nihil eos horum meritos esse. Atqui si male fecerant, meriti erant; quoniam autem meriti non erant, liquido colligitur male nihil fecisse. Jam qui probis maledicunt, et calumnias ingerunt, non utique probe faciunt. Nos igitur pro accusatione utrorumque justam utrorumque defensionem proferemus, ac nec populi totius hanc esse culpam, nec illos sicubi offenderunt, pejores haberi debere dicemus. Nec enim ut athletis solet, sic et poetis præstantioribus semper defertur victoria, verum et hic Pindaricum illud locum habet, verissime enim cecinit ille:

In circo autem fortuna, non robur, vincit.

Itaque conspicatus Eumelum Achilles, cadentem e curru misertus dixit:

Optimus extremo vir equos agit ordine fortes.

Atqui absurdum erat hæc ita deinceps conjungere, atque eumdem optimum et extremum dicere. Verumtamen ita res, inquit, humanæ ferunt. Hoc enim videntur mihi verba velle, eumdem esse et optimum et extremum, quod olim Orontem Persam de digito dixisse ferunt, eumdem situ alio nunc decem millia, nunc unum duntaxat ostendere. Quare ad Platonis exemplum mihi certe videtur **435***b* Eumelus in cæ-

A κατηγόρηκε, τὴν μὲν τύχην ἀντὶ γνώμης ἐξετάζων, τὴν δ' ἑτέρων ἁμαρτίαν ὡς ἐκείνων οὖσαν τιθείς. Εἰ δὲ τοὺς καταψηφιζομένους καὶ τοῖς ἵπποις ἀπεικάζων τοῖς λακτίζουσιν ἰσχυρόν τι λέγειν καθ' ὧν ἡ ψῆφος οἴεται, ταχύ γ' ἂν εἰ τοῖς δώδεκα θεοῖς ἔσχεν εἰκάσαι τοὺς καταγνόντας, ἀπέσχετ' ἂν τῶν ἁλόντων τὸ μὴ οὐ κακῶς εἰπεῖν. Εἰ δ' [26] ἐπ' ἀμφότερα Πλάτων αἰτιάσεται τοὺς ἄνδρας, ὥσπερ σοφοῦ τινὸς εἰλημμένος [27], τί κωλύει τινὰ τὰς ὁμοίας ἀνταποδιδόντα ἐπ' ἀμφότερα αὖ [28] φιλονείκως ὑπολαμβάνοντα, διαλύειν ὠδὶ τὸν λόγον, ὅτι εἰ καλῶς καὶ τὰ δίκαια αὐτῶν Ἀθη-
B ναῖοι κατέγνωσαν, οὐκ ἦσαν ὑπ' αὐτῶν διεφθαρμένοι· τὰ γὰρ δίκαια ἐποίουν. Οὐκοῦν οὐδ' ἐκεῖνοι διεφθάρκεσαν ὥστε εἰ δικαίως ἐάλωσαν, οὐδὲν ταύτῃ γε χείρους ἦσαν. Εἰ δὲ ἀδίκως αὐτῶν ἐκεῖνοι κατεψηφίσαντο, ἀδικεῖσθαι τοῖς ἀνδράσιν περίεστιν, ἀδικεῖν δὲ [29] οὐδαμῶς· τοῖς δ' ἀδικηθεῖσι βοηθεῖν, οὐκ ἐγκαλεῖν εἰκός ἐστιν. Εἰ δὲ τοι καὶ μὴ δυνατὸν βοηθεῖν, ἀλλ' οὐχὶ καὶ δίκαιον ἐγκαλεῖν. Ἐγὼ δὲ ταῦτα μὲν τοῖς κομψοτέροις παρίημι· αὐτὸς δὲ τί φημι καὶ πῶς δέχομαι τὸν λόγον; Οὐκ ἔστι δίκαιον ἅμα ἀμφοῖν κατηγορεῖν, καὶ τοῦ δήμου κἀκείνων· ἢ σαφῶς τοὺς ἑτέρους συκοφαντήσομεν. Εἰ μὲν γὰρ ὀρθῶς ἐκεῖνα κατεγνώσθη, ἠδίκουν μὲν (ὡς ἔοικεν) ἐκεῖνοι, τῷ δήμῳ δ' ἃ προσήκει πέπρακται, ὥστε οὐχὶ δή που ταῦτά γε δίκαιον κατηγορεῖν αὐτοῦ. Πῶς [30] οὖν
C τοῖς ἀγριαίνουσι τῶν ζώων αὐτὸν ἀπεικάζοντες ὀρθῶς φήσομεν ποιεῖν [31]; εἰ δ' ἥμαρτεν ὁ δῆμος, ἅμα τε ἐκείνῳ ἡμάρτηται καὶ τοῖς ἀνδράσι τοὔνειδος [32] λέλυται. Αὐτὸ [33] γὰρ τοῦτό φαμεν δήπουθεν ἁμαρτεῖν Ἀθηναίους, τιμήσαντας ἐκείνοις φυγῆς ἢ ὁτουδήποτε ἐτίμησαν ἑκάστῳ. Οὗτος δὲ ὁ λόγος τί λέγει; Μηδενὸς τούτων ἐκείνους ἀξίους εἶναι. Καὶ μὴν εἴ γε ἠδίκουν, ἄξιοι τούτων ἦσαν· ὅτε δὲ οὐ τούτων ἄξιοι, σαφῶς οὐκ ἠδίκουν. Τοὺς δ' οὐκ ἀδικοῦντας κακῶς λέγειν καὶ συκοφαντεῖν οὐχὶ δίκαια
D ποιεῖν [34] ἐστίν. Ἡμεῖς τοίνυν ἀντὶ τοῦ κατηγορεῖν ἀμφοτέρων ὑπὲρ ἀμφοτέρων τὰ πρέποντα ἀπολογούμεθα, οὔτε τοῦ δήμου τὴν αἰτίαν παντὸς [35] εἶναι φάσκοντες, οὔτε ἐκείνους προσήκειν, εἰ ὅτι προσέπταισαν, χείρους νομίζεσθαι. Καὶ οὐκ [36] ἐπὶ μὲν τῶν ἀθλητῶν οὕτω συμβαίνει, τὰ δὲ τῆς μουσικῆς ἐστηκυῖαν ἔχει τὴν νίκην τοῖς κρείττοσιν, ἀλλὰ κἀνταῦθα τὸ τοῦ Πινδάρου κρατεῖ· πάνυ γὰρ μετ' ἀληθείας τοῦτ' ἐκεῖνος ὕμνησεν.

Ἐν ἔργμασι νικᾷ τύχα [37], οὐ σθένος.

Ὥστε [38] ἰδὼν τὸν Εὔμηλον Ἀχιλλεὺς τοῦ ἅρματος ἐκπεσόντα ὤχτειρέ τε καὶ λέγει

Λοῖσθος ἀνὴρ ὥριστος ἐλαύνει μώνυχας ἵππους.

Ἆρ' οὖν οὐ παράδοξον ἐξῆς οὕτωσὶ θεῖναι παράληλα, καὶ τὸν αὐτὸν λοῖσθόν τε καὶ ἄριστον προσειπεῖν; Ἀλλ' ὅμως τοιαῦτα, φησί, τὰ ἀνθρώπεια (τοῦτο γάρ μοι δοκεῖ τῶν ῥημάτων τὸ βούλημα εἶναι)· ὁ αὐτὸς ἀνὴρ [707 H.] ἄριστός τε καὶ ἔσχαστος. Ὅπερ [39] περὶ τοῦ δακτύλου φασί ποτ' εἰπεῖν Ὀρόντην [40] τὸν Πέρσην. ὡς ὁ [41] αὐτὸς ὢν τῇ θέσει ποτὲ μὲν τὰ μυρία σημαίνει, ποτὲ δ' οὐ πλέον ἢ ἕν. Ὥστ'

VARIÆ LECTIONES.

[26] εἰ δ'] p. 416. [27] ἐπειλημμένος A. [28] αὖ om. A. [29] δὲ A : γε ς. [30] πῶς οὖν. [31] ποιεῖν om. A. [32] τοὔνειδος A : τὸ ὄνειδος ς. [33] αὐτό. [33] ποιεῖν ἐστι om. A. [35] πάντως A. [36] καὶ οὐκ] p. 422. [37] τύχα] τάχα A. [38] ὥστε] p. 423. [39] ὅπερ] ὥσπερ A. [40] Ὀρόντην] cf. Suidas v. Ἀρβαζάκιος. [41] ὁ om. A.

ἐμοὶ μὲν ἄντιαρυς εἰς τὸ [42] Πλάτωνος παράδειγμα ὁ Εὔμηλος τείνειν δοκεῖ, κατά τε ἄλλα, καὶ οὐχ ὅσον τῆς νίκης ἐστερήθη.

Ἀλλὰ καὶ ἀγκῶνάς τε περιεδρύφθη στόμα τε ῥῖνάς τε.]

ὑπὸ τῶν ἵππων τῶν ἀρίστων καὶ ὑφ' ὧν οὐδὲ πώποτε [43] ἐσφάλη.

[1305 R.] [Ὀρόντης ὁ Πέρσης ἐκπεσὼν τῆς ἀρχῆς Καὶ ὁ δάκτυλος, ἔφη, ποτὲ μὲν ἕν, ποτὲ δὲ μυρία σημαίνει.

Εἰ φίλοις [44] ἰσχύεις, εἰ χρήμασιν, εἰ δόξαν ἔχεις ἐν τῇ πόλει, μηδενὶ τούτων ἐπάρθῃς [45], μηδὲ μεῖζον φρονήσεις τῆς ἐξουσίας [46]. Εἰ πάντων κρατήσεις, ἡττήσῃ τῆς τύχης. Ταῦτ' ἐστὶν ὁ ἀγὼν οὗτος, ταῦθ' Ὅμηρος λέγει. Οὐδὲν τῶν ἀνθρωπείων [47] ἀσφαλὲς οὐδ' ὁμαλὸν οὐδ' αὔταρκες, ἀλλ' ἡττήσεται μὲν ὁ ἰσχυρὸς τοῦ ἀσθενοῦς, ὅταν καιρὸς [48] ᾖ τούτου, ἁλώσεται δὲ Βαβυλὼν αὐτοῖς τείχεσι, πάλιν δὲ τοὺς Πέρσας πορθήσουσιν ἕτεροι· πάντα ταῦτα ἐναλλὰξ περιέρχεται. Εἰ δὲ [49] ἔσωζον μὲν οἱ κυβερνῆται πάντες ἅπαντας τοὺς ἐμπλέοντας, ἔσωζον δ' οἱ ἰατροὶ πάντες [50] ἅπαντας τοὺς κάμνοντας, ἐνίκων δὲ οἱ κρείττονες, ἐνίκων δὲ οἱ μείζονες, τὸ δ' ἀεὶ τούτοις πᾶσι προσῆν, μηδεὶς δ' ἐσῴζετο τῶν ἀρξαμένων κατορθοῦν, εὐχὴ δὲ καὶ δύναμις μηδενὶ [51] διέφερεν, ἀθάνατα πάντ' ἦν τὰ [52] τῶν ἀνθρώπων πράγματα, καὶ οὐδὲν ἂν ἴσως εὐχῆς προσέδει, οὐδ' ἂν κατέκλυζεν ἡμᾶς τῶν πίθων ἄτερος ὥσπερ νῦν. Μὴ [53] τοίνυν θαυμάσῃς, εἰ Περικλῆς ἔχων ἐπιστήμην καὶ τέχνην τοῦ Θεοῦ καὶ τῆς τύχης ἡττᾶτο· μηδ' ἀμνημόνει τῶν καιρῶν, οὓς αὐτὸς φῂς οὐκ ὀλίγον δύνασθαι, οἷς οὐ πρωτάτοις ἐκεῖνοις τότε χρησάμενος φαίνεται. Πολλὰ καὶ παράδοξα κατ' ἀνθρώπους καὶ γέγονε καὶ γενήσεται· ὧν ἐστὶ καὶ τὰ τούτοις τοῖς ἀνδράσι συμβάντα. Τίς δ' οὐκ ἂν φαίη; Ἀλλ' οὔπω ταῦτα ἐστιν ἔλεγχος κατ' αὐτῶν ὡς οὔτε ἠπίσταντο χρηστὸν οὐδὲν, οὔτε ἐδύνατο βελτίους ποιεῖν [54]· ἀλλ' ἐξῆν αὐτοῖς τὴν γε τέχνην δήπουθεν ἔχειν καὶ τὸ χρηστοὺς εἶναι, εἰ καὶ τῶν μειζόνων ἐπικουριῶν ἔν γε τῷ τότε ἐστέρηντο. Ἡδέως [55] δ' ἂν ἐροίμην, ὅστις βούλεται [56] δέξασθαι τὸ ἐρώτημα ὑπὲρ Πλάτωνος, αὐτὸς δὲ [57] δὴ τί μαθὼν ἡμῖν ὁ Πλάτων οὐκ ἐπολιτεύσατο; ἆρ' [58] ἄλλο τι φήσειεν ἂν [59] ὁστισοῦν ἢ τὸ αὐτὸ τοῦτο, ὅπερ καὶ Σωκράτης λέγων ἐκείνῳ φαίνεται; τί μὴν ἕτερον; Εἶθ' ἃ φοβηθεὶς [60] μὴ πάθῃς οὐκ ἐδημηγόρεις, ταῦτ' εἴ τις ἐκείνων πέπονθεν, ὡς οὐ τὰ βέλτιστα συνεβούλευεν ἰσχυρίζῃ; καὶ μὴν εἰ μὲν οὐδεὶς ἐπῆν κίνδυνος, τοῦ χάριν οὐδὲν ὤνησας τὴν [61] πατρίδα; εἰ δ' ἕτοιμον ἦν ἀπολωλέναι, τί θαυμάζεις εἴ τις ἐκείνων ἐχρήσατο συμφορᾷ, καὶ τῷ τὰ βέλτιστα λέγειν τιθεὶς αὐτὸς ἕπεσθαι τὸ κινδυνεύειν, ἐκείνους ἐξ ὧν ἠτύχησαν ἀποστερεῖς τοῦ [62] λέγειν τὰ βέλτιστα; Οὐκοῦν ὅτ' ἐκεῖνοι φαίνονται μηδὲν τῶν

A teris spectare, cum non victoria tantum privatus est, sed

Et cubitos atque est nares laceratus et ora

equis optimis et a quibus nunquam fuerat dejectus.

[Orontes Persa excidens imperio : *Digitus*, inquit, *nunc unum, nunc millia ostendit.*]

B Quocirca sive amicis, sive opibus vales, sive gloriam inter cives es consecutus, noli te extollere, nec plus tibi quam liceat, tribuere. Ut omnia sibi suppetant, a fortuna vinceris. Hæc sibi vult certamen istud ; hæc Homerus dicit. Nihil est in rebus humanis securum, nihil æquabile, nihil sibi sufficiens ; verum, cum tempus feret, fortem vincet imbecillior, Babylon una cum mœnibus capietur, Persas rursum populabuntur alii. Hæc enim omnia in orbem feruntur. Quod si gubernatores omnes cunctos vectores salvos præstarent, ac medici omnes cunctos sanarent ægrotos, et majores ac potiores vincerent, atque hi omnes semper florerent, nec quisquam eorum qui recte cœpisset agere, erraret, neque votum a facultate quidquam differret, immortales forent res omnes humanæ, nec precibus fortassis opus esset, neque nos, ut nunc, dolium alterum perfudisset. Ne mireris igitur, si C Pericles, cum scientiam et artem habebat, a Deo et fortuna vincebatur, neque temporum obliviscere, quibus ipse non parum tribuis, et ille non optimis, ut apparet, tunc usus fuit. Multa inter homines facta sunt et fient miranda, inter quæ sunt etiam quæ his viris contigerunt, ut nemo negat. Verum ea nondum convincunt, illos nec boni quidquam scivisse, nec meliorem quemquam reddere potuisse, siquidem poterant et artem tenere et probi esse, quanquam eo quidem tempore majoribus carebant adjumentis. Libenter autem quæsierim si quis pro Platone velit respondere, cum ipse Plato rempublicam non administrarit, nunquid causæ dicet quisquam, præter id, quod apud ipsum dicit Socrates ? Quid enim aliud ? Ergo si in ea D quorum tu metu publica non curabas, illorum aliquis incidit, eum non optima quæque suasisse contendis ? Atqui si nihil **436***a* erat periculi, cur patriam nullam in re juvisti ? Sin erat paratus interitus, cur miraris illorum quemquam in cladem incidisse, et cum optima consilia ipse cum periculis conjungas, illos postquam offenderunt optimi fuisse consilii negas. Cum igitur illi nullam secuturam cladem justitiæ prætexuerunt, verum largiter ac simpliciter communi bono impenderunt ; Socratis

VARIÆ LECTIONES.

[42] εἰς τὸ Πλάτωνος παράδειγμα om. A. [43] πώποτε om. A. [44] εἰ φίλοις ἰσχύεις (p. 426) add. A. [45] τούτων μεῖζον ἐπαρθῇς A. [46] τῇ ἐξουσίᾳ A. [47] ἀνθρωπίνων A. [48] ὅταν ὁ καιρὸς ς. [49] εἰ δὲ] p. 427. [50] πάντες] ἅπαντες A. [51] μηδενὶ] οὐδὲν A. [52] πάντ' ἦν A : ἦν ἅπαντα ς. [53] μὴ] p. 431. [54] ποιεῖν om. A. [55] ἡδέως] p. 435. [56] βούλοιτο A. [57] δὲ om. A. [58] ἆρ'] ἆρ' οὖν A. [59] ἂν om. A. [60] φοβηθεὶς μὴ A : μὴ φοβηθεὶς ς. [61] ὤνησας καὶ τὴν ς. [62] τοῦ] τὸ A. οὐκοῦν] p. 436.

sermoni obtemperarunt. Itaque vel eos nec justis nec bonis rebus ostende studuisse, vel probos fuisse concede, quidquid consecutum sit, atque eo magis quo minus rei difficultatem reformidarunt: *Essent enim secundum rationem tuam temerarii* (97). Deinde tantum abfuit, ut illorum gloriam diminuere cogerentur, quo major ipse videretur, ut suam administrationem ad illos retulerit. Deinde nec hostes erant iidem, verum contra acres et accinctos viros Demosthenem opponere, eosque Atheniensibus vicinos et finitimos, et caduceo pariter ac ferro utentes, et pleraque furtim auferentes.

A μελλόντων αὐτοῖς ἔσεσθαι δυσχερῶν ὑπολογισάμενοι πρὸς τὸ δίκαιον, ἀλλ' ἀφειδῶς καὶ ἁπλῶς δόντες αὐτοὺς ὑπὲρ τοῦ κοινῇ [608 H.] βελτίστου, τῷ Σωκράτους κέχρηνται λόγῳ. Ὥστε [63] ἦ δεικτέον ἐστὶν ὡς οὔτε δίκαια οὔτε ἀγαθῶν ἀνδρῶν ἦν ἔργα ἃ προείλοντο καὶ οἷς ἐνεχείρησαν, ἢ συγχωρητέον χρηστοὺς εἶναι [64] τοὺς ἄνδρας, εἰ καὶ ὁτιοῦν ἀπήνθησε, καὶ τοσούτῳ [65] μᾶλλον καὶ μείζωνος, ὅσῳ [66] τὴν δυσκολίαν τοῦ πράγματος οὐκ ἔδεισαν· Φαῦλοι γὰρ ἂν τῷ γε Σωκράτους λόγῳ εἶεν· Ἔπειτα [67] τοσούτου ἐδέησε τῆς ὑπαρχούσης δόξης ἐκείνοις ἀφελεῖν ἐπιχειρεῖν, ἵνα δὴ μείζων αὐτὸς φανείη, ὥστε τὴν αὐτοῦ πολιτείαν εἰς τὴν ἐκείνων ἀνενήνοχεν. Ἔπειθ' [68] ὅτι οὐδὲ [69] τὰ τῶν ἀντιπάλων παραπλήσια, ἀλλὰ πρὸς ἄνδρας ὀξεῖς καὶ δεινοὺς ἦν τὸν Δημοσθένην παρατάττεσθαι, καὶ συγκεκροτημένους, καὶ τοῖς Ἀθηναίοις ὁμόρους καὶ προσοικοῦντας, καὶ ἅμα τῷ κηρυκείῳ καὶ τῷ σιδήρῳ χρωμένους, καὶ τὰ πλεῖστα τῶν πραγμάτων ἐξ ἀφανοῦς ἀφαιρουμένους.

[Philippus proditione multa valuit, velut bonum adventitium adducens, et de Pericle eos monuit et aliis.]

B [1308 R.] [Διὰ γὰρ τῶν προδοτῶν τὰ πολλὰ Φίλιππος ἴσχυεν. Ὥσπερ ἐπεισόδιον χρηστὸν ἐπεισήγαγε, καὶ τοῦ τε Περικλέους αὐτοὺς ὑπεμίμνησκε καὶ ἄλλων.]

Sed quod volebam dicere, uter erit humanior, et in dicendo dexterior hoc loco censendus, is qui nulla cogente necessitate male de viris loqui studuit, an qui nec alterius stimulis est excitatus, neque ut seipsum laudaret, alios vituperare voluit? Mane, obsecro, potestne quisquam sibi ipse magis contrarius deprehendi? qui tum quos adulatores esse contenderat, negat adulatoria usos fuisse, tum ea de quibus eos absolverat, reprehendit. Itaque quibus eos argumentis conabatur convincere, iisdem coactus est absolvere: quibus autem absolvit quos adulationis insimularat, iis rhetoricam vult adulationem esse convincere. Quinimo **436***b* ut ad firmissima veniamus, si eos adulatores quodammodo per crimina fuerat effecturus, atque ita sermonem absoluturus, quamvis etiam ficta protulisset crimina, aliquid tamen dixisse visus fuisset: cum autem omnibus quæcunque putaret contra eos dici posse prolatis, postea velut judex, qui alterum audivit loquentem, eos absolvit, quis est usus verborum, aut quomodo omnia sint pariter et frustra dicta? Hic autem quid ait? *Etenim præfectus urbis nunquam quisquam injuste pereat per eam rempublicam cui præfectus est.* Quomodo, per deos immortales, hæc ejusdem dicamus esse sententiæ, aut eadem spectare, ut simul et quia justitiam tueatur, necesse habeat per eam rempublicam cui præfectus est, perire; et si pereat, nunquam id injuste ab ea cui præest republica patiatur. Quæ est in his verbis similitudo? quæ consensio? Verum et illud considero, si rhetorica sit adulatio, omnes hanc adulationem exercuisse, quandoquidem oratores erant. Cur igitur hos absolvit, vel

C

D

Πότερος [70] καὶ [71] τὴν ὅλην γνώμην φιλανθρωπότερος, κνὶ περὶ αὐτοὺς τοὺς λόγους δεξιώτερος κατὰ τοῦτο τὸ μέρος; πότερ' ὅστις, αὐτῷ μηδεμιᾶς ἀνάγκης ὑπαρχούσης, κακῶς λέγειν εἵλετο τοὺς ἄνδρας, ἢ ὅστις, ὄντος μὲν τοῦ παροξύνοντος, οὐ προήχθη οὐδ' ἠξίωσεν ἑαυτὸν σεμνύνειν ἐν οἷς ἑτέρους ἔμελλε κακῶς ἐρεῖν; Ἔχε [72] δὴ πρὸς θεῶν. Πῶς ἄν τις μᾶλλον ἀλοίη τἀναντία λέγων αὐτὸς ἑαυτῷ; ὅστις λέγων μὲν ὡς ἦσαν κόλακες, καὶ τοῦτ' ἀγωνιζόμενος, εἶτ' αὐτὸς αὖ φησὶν ὡς οὐκ ἐχρῶντο τῇ κολακικῇ· πάλιν δὲ ὧν ἀφῆκεν αὐτούς, ταῦτα [73] κατηγορεῖ. Καὶ δι' ὧν μὲν ἐλέγχειν προύθυμεῖτο, διὰ τούτων ἀφεῖναι ἠναγκάσθη· διὰ δ' ὧν [74] ἀφῆκεν οὓς ἠτιάσατο τῆς κολακείας, διὰ τούτων ῥητορικὴν ὡς κολακείαν ἐλέγξειν ἀξιοῖ. Καὶ μὴν [75] εἰ μὲν ἔμελλε (τοῦτο γάρ ἐστιν ἥδη τὸ ἰσχυρότατον) κόλακας τρόπον τινὰ αὐτοὺς ἐκ τῶν αἰτιῶν δόξειν ἀποφαίνειν, κἀνταῦθα στήσεσθαι τοῦ λόγου, τάχ' ἄν, εἰ καὶ μὴ τὰ [76] ὄντα [μὴ ὄντα] κατηγόρησεν, ἀλλ' οὖν ἐδόκει γ' ἄν τι προὔργου τῶν λόγων εἶναι. Ὅτε δὲ εἰπὼν ἅπανθ' ὅσα ἔχειν ἡγεῖτο [77] κατ' αὐτῶν, εἶτα ὥσπερ δικαστὴς ἑτέρου λέγοντος ἀκηκοὼς ἀφῆκε τῆς αἰτίας αὐτούς, τίς ἔσθ' ἡ [78] χρεία τῶν λόγων; ἢ πῶς οὐχ ἅμα τε ψευδῆ καὶ μάτην ἅπαντα εἴρηται [79]; Φέρε [80] δὴ τί αὖ φησὶν ἐνταῦθα; Προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε [81] ἀδίκως ἀπόλοιτο [82] ὑπ' αὐτῆς τῆς πόλεως ἧς προστατεῖ. Ταῦτ' ὦ πρὸς Διός, πῶς τις εἶναι φῇ τῆς αὐτῆς γνώμης ἢ πρὸς τὸ αὐτὸ τελευτᾶν; ἅμα μὲν τὸν τῷ δικαίῳ βοηθοῦντα ἀναγκαίως ἔχειν ἀπολέσθαι ὑπὸ τῆς πόλεως ἧς προστατεῖ, ἅμα δ' ἂν ἀπόληται, οὐκ ἄν ποτε τοῦτ' ἀδίκως παθεῖν ὑπὸ τῆς πόλεως ἧς προστατεῖ. Ποῦ ταῦτ' ἐστὶν ἐοικότα, ἢ πῶς εἰς ταὐτὸν τελεῖ [83]; Σκοπῶ [84] δὲ κἀκεῖνο, ὡς εἰ

VARIÆ LECTIONES

[63] οὔτε] οὐ τὰ A. [64] εἶναι τοὺς om. A. [65] νοσοῦτον A. [66] ὅσον A. [67] ἔπειτα] p. 439. [68] ἔπειθ'] p. 440. [69] οὐδὲ om. A. [70] πότερος] p. 453. [71] καὶ om. A. [72] ἔχε] p. 446. [73] ταῦτα om. A. [74] διὰ δ' ὧν A : δι' ὧν τοῦ ἐκπεσεῖν δ' ς. [75] καὶ μὴν] p. 447. [76] μὴ τὰ] τὰ μὴ A. [77] ὅσα ἔχειν ἡγεῖτο] ὅσον εἶχεν A. [78] ἔστ' ἡ] ἔσεσθαι A. [79] εἴρηται] εἴρηται. προὔργου νῦν ἀντί τοῦ ὄφελος A. [80] φέρε] p. 448. [81] ποτὲ om. A. [82] ἀπόλλυτο A. [83] τελεῖ A : λήγει ς. [84] σκοπῶ] p. 451.

NOTÆ.

(97) Plato in *Apologia*.

μέν ἐστιν ἡ ῥητορικὴ κολακεία, καθάπαξ δεῖ [709 H.] τῇ κολακείᾳ χρωμένους αὐτοὺς φαίνεσθαι, ἐπειδή γε ἦσαν ῥήτορες. Ὥστε πῶς ἢ ἐκείνους ἀπολύει τῆς αἰτίας, ἢ ῥητορικὴν προσείρηκέ τινα ἀληθινήν; Εἰ δ' αὖ χρηστὸν ἢ σπουδαῖον ἡ ῥητορικὴ, δεῖ τοῦ βελτίστου δοκεῖν μέλειν [85] αὐτοῖς· ὥστε πῶς ἢ ἐκείνους μὴ πρὸς τὸ βέλτιστον λέγειν αἰτιᾶται, ἢ τὴν ῥητορικὴν κολακείαν καλεῖ; Εἰ δ' αὖ διπλοῦν τι [86] τὸ τῆς ῥητορικῆς ἐστι, καὶ τὸ μὲν αὐτοῦ κολακεία τε καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον προστασία τοῦ δικαίου, ἀναγκαῖον ἐκείνοις τοῦ γ' [87] ἑτέρου μετεῖναι σαφῶς γε οὕτωσί. Πῶς οὖν ἀμφοτέρων ἀποστερεῖς αὐτούς; καὶ μὴν εἴ γε καὶ δικαίως ἀποστερεῖς ἀμφοτέρων, τρίτη τις ἂν εἴη παρ' ἀμφοτέρας ταύτας ῥητορικὴ πάλιν. Ὥστε οὔτε διπλοῦν ἔτι τούτῳ τῷ λόγῳ τὸ τῆς ῥητορικῆς· οὐδὲ ἔδειξε δή που Πλάτων [88] ἥτις ἐστὶν ἡ τρίτη. Εἰ μὲν [89] γὰρ ἄλλως ταῦτ' ἐστὶ λόγου χάρις τε [90] καὶ ἡδονῆ, τί τῆς ῥητορικῆς ταῦτα κατηγορεῖ; καὶ τί τῶν κολάκων εἷς γίνεται, λέγων τὰ ἡδίω πρὸ τῶν ὄντων, καὶ ταῦτα μηδεμιᾶς ἀνάγκης ἐπούσης; εἰ δὲ ἐφ' ἅπασι δικαίοις καὶ μετὰ τῆς ἀληθείας [91] εἴρηται, τίνα χρὴ μείζονι λύσαι τὰ τῆς [92] βλασφημίας; ἢ τίνα καλλίω ποιήσασθαι μάρτυρα [93] αὐτοῦ Πλάτωνος, ὅταν ἐνταῦθα μὲν καὶ παραχρῆμα ἀφιεὶς φαίνηται τῆσ αἰτίας αὐτοὺς, ἑτέρωθι δὲ καὶ καθάπαξ ἐγκωμιάζων, καὶ τὸν Στησίχορον μιμούμενος τῇ παλινῳδίᾳ; Ἀλλὰ γὰρ [94] ὡς μὲν οὐκ ἄριστος τῶν Ἑλλήνων Πλάτων, κάκιστος ἂν [95] εἴη καὶ Ἑλλήνων καὶ Βαρβάρων ὅστις οὐκ ἐθέλει λέγειν. [1309 R.] Ἔοικε δέ τι καὶ τῆς φύσεως ἀπολαύειν, ὥσπερ οἱ βασιλεῖς τῆς ἐξουσίας, οἷον [96] καὶ περὶ αὐτὴν τὴν λέξιν ἔστιν οὗ φανήσεται ποιῶν, ἀδείᾳ λόγων πλείονι χρώμενος, καὶ περί γε αὐτὰς τὰς [97] ὑποθέσεις.

[Ὅτι ὀνοματοποιεῖ, καὶ ὅτι καὶ ἀποβεβιωκότας ὡς ἔτι παρόντας εἰσάγει τοῖς ἐπαΐουσι διαλεγομένους].

Οὐδέ [98] γε Εὐριπίδου φήσομεν τὸ ἰαμβεῖον εἶναι τὸ,

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

οὐδ' εἴ τι; οὕτω τῶν σοφῶν εἴρηκεν [99]· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. Ἀλλ' ἔστι ταῦτα ἀπὸ τῆς τῶν διαλόγων ἐξουσίας καὶ συνηθείας ὡρμημένα. Τῷ γὰρ ἅπαντας αὐτοὺς εἶναι ἐπεικῶς πλάσματα, καὶ πλέκειν ἐξεῖναι δι' ὧν ἄν τις βούληται, ἔνεστί τι κἂν τοῖς λόγοις αὐτοῖς οὐ σφόδρα τηροῦν τὴν ἀλήθειαν· καὶ ἅμα μοι [1] δοκεῖν ἐφέλκεταί τι [2] τῆς ἐλευθερίας καὶ τῆς μεγαλοπρεπείας, καὶ οὐ παντάπασιν ἀκριβολογεῖται, ἀλλ', ὥσπερ ἔφην, συγχωρεῖ τῇ φύσει. Ἔπειτα ταῦθ' ἡμεῖς ἁπλῶς οὕτω παραδεξόμεθα; Οὐκ ἄρα εἰδέναι τὰ ἐκείνου δόξομεν.

[Τὸ ἀμέλει Ἀριστείδης πολλάκις ὡς παρέλκον λαμβάνει.]

Οὗτοι [3] φιλαθηναίου [4] γέ ἐστι τὴν Ἀκαδημίαν μόνην θαυμάζειν τῆς Ἀττικῆς, τὴν δ' ἄλλην ἅπασαν ὥσπερ ἐχθρὰν κρίνειν καὶ πολεμίαν. Οὐδὲ γὰρ [710 H.] καταγελάστου, ἀποφήναντα τοὺς ἄλλους ἅπαντας, οὕτω καί ποτε χρὴ Πλάτωνα θαυμάζειν ἀναμεῖναι. Τοῦτο γὰρ οὐ Πλάτωνος ἂν [5] εἴη τιμή,

A quamdam dixit esse veram rhetoricam? Si bona res est, et expetenda rhetorica, nimirum hi optimarum rerum curam gesserunt. Cur igitur vel hos optime dixisse negat, vel rhetoricam vocat adulationem? Quod si duplex est rhetoricæ genus, quorum alterum sit adulatio, turpisque concio, alterum justitiæ cura, alterutrum in his manifeste cerni oportet. Cur igitur aufers utrumque? Sin utrumque recte aufers, tertia quædam præter utramque erit rhetoricæ species. Itaque non jam duplex erit rhetorica, neque tamen Plato quæ esset tertia ostendit. Quod si ad gratiam sunt et voluptatem omnino conficta, et ex adulatoribus unum se facit, dum jucunda pro veris refert, nulla præsertim necessitate impulsus, sin juste sunt et vere B dicta, quæ requiritur major criminum solutio, aut quis commodior ipso Platone testis, qui hic quidem eos continuo absolvat, alibi vero **437***a* prorsus laudet etiam, et Stesichori palinodiam imitetur. At qui eum neget esse Græcorum optimum, is quidem pessimus sit et Græcorum et Barbarorum. Verumtamen nonnihil etiam ingenio utitur, quemadmodum potestate reges, sicut et in ipsa dictione facit aliquando, dum libertatem usurpat loquendi, atque etiam in argumentis ipsis:

Fingit hic et inducit mortuos, quasi præsentes C ac disserentes.

Nec Euripidis iambicum illud esse dicemus:

Sapientium commercio princeps sapit,

quamvis id sapientum quidam dixerit, cum sit ex *Ajace* Sophoclis, qui *Locrus* inscribitur, sumptum. Sed hæc licentiæ dialogorum et consuetudini tribuuntur. Etenim cum sint omnes figmenta, et quocunque quis velit modo possit nectere, fit ut nec ipsa verba sint admodum veritati consona. Simul et libertatem videtur atque magnificentiam nonnihil sectari, nec ad exactam rationem referre cuncta; verum, quod jam dixi, ingenio concedit. Et hæc nos ita temere recipiemus? Non igitur eum cognoscere videbimur.

D

'Αμέλει sæpe ponit Aristides quasi redundans.

Nemo certe, qui solam admiretur Academiam reliquam Atticam hostilem et inimicam habeat, Athenienses amare dicatur: neque cum reliquos omnes ridendos proposuerimus, tum fore sperandum est, ut Platonem quisquam admiretur. Id enim non in honorem Platonis, sed aliorum potius omnium

VARIÆ LECTIONES.

[85] libri μέλλειν. [86] τι add. A. [87] γ' om. A. [88] εἰ τις A. [89] εἰ μὲν] p. 466. [90] τε om. A. [91] τῆς ἀληθείας] τῶν ἀληθῶν A. [92] τὰ τῆς om. A. [93] μαρτυρίαν A. [94] ἀλλὰ γὰρ] p. 474. [95] ἂν A : δ' ἂν ς. [96] οἷον] οἵ pr. A, ἡ corr. [97] τὰς add. A. [98] οὐδὲ] p. 477. [99] οὐδ' εἴρηκεν om. A. [1] ἐμοὶ A. [2] τι om. A. [3] οὗτοι] p. 485. [4] τοι φιλαθηναίου A ; τι φιλαθηναῖον ς. [5] ἂν om. A.

ignominiam, atque adeo Platonis ipsius cederet. Nam cum putamus eum non posse, si quis alius probus habeatur, pluris fieri, tale quiddam efficimus. Neque convenit contractum cum aliis odium, fidei apud alios occasionem fore credere. Nam si Platoni non malefaciendo debitam viris laudem tribuimus, nemini, credo, facimus injuriam. Hæc enim politica sunt, humana ac diis ab omni ævo placita. Verum si res est improba tragœdia, atque improborum hominum scriptum, quis te dicat esse tragicum? Quod enim **437***b* prorsus est turpe, id nullo modo potest honestum fieri. Deinde negas quemquam debere improbos imitari, vel ad exemplum deterius se componere: nec ipse hoc ubique præstas, verum imitaris Sophistas, sycophantas, Thrasymachum, quem plane impudentem fuisse aiunt, quia nunquam erubuit, janitores, pueros cunctos homines (98). Sed, ut arbitror, Græcum illum, facile, gratiosum, varium ac divinum, quod ad hæc omnia te ducit, ingenium, fateri te cogit, horum quoque singula suum habere usum cum tempore et gratia conjunctum. Atque hos omnes voluptati studere affirmas. Utrum te igitur minus, an plus, quam deceat, ponere dicemus? Etenim voluptati quoque poetas studere creditur. Quapropter cum id quod adjiciendum erat (99-1) aufers, minus quam decet, dicis. Cum autem ex eo adulationem illis imponebat, plus profecto quam requirebatur tua continebat oratio. Poteras enim, vir præclare, simul et juvenes ad justitiam confortari, et senioribus suum tribuere. Etenim ut laudari non potuissent, silentio tamen poterant præteriri, neque fueras ob eam rem rationem non relatarum accusandus. Sed non hoc aliquem ad indignationem commoveat maxime, quod Plato Græcorum facile princeps, et qui merito plurimum sibi tribuat, magnitudine quadam et ingenii libertate quosdam accusare voluit; sed et quod nonnulli nullius pretii homines, hac occasione sumpta, rem in consuetudinem trahunt, atque etiam de Demosthene, quem ego Mercurii (2-3) cujusdam eloquentis loco in terras arbitror descendisse, nihil non audent effutire. Quis vero vivos hos ferat, qui sæpius solœcismum committunt quam loquuntur, alios contemnunt, quantum erant ipsi contemnendi, in cæteros anquirunt, in se nunquam: virtutem extollunt, non exercent; vagi obambulant: *vita simulacra carentum* (4); Hesiodi fuci, Archilochi simiæ, duabus formis pro tribus vaccæ tragicæ præditi. Qui cum se Jovi negent cedere, pecunia tantopere vincuntur, et aliis convitiantur: non quod res

ἀλλ' ἀτιμία τῶν ἄλλων μᾶλλον, σχεδὸν δέ τι [6] καὶ αὐτοῦ Πλάτωνος. Τὸ γὰρ [7] ἡγεῖσθαι χρηστοῦ τινος ἄλλου κριθέντος μὴ εἶναι τούτῳ πλείονος ἀξίῳ δόξαι, πῶς οὐ τοιοῦτόν ἐστιν; Οὐ δεῖ [8] τὴν πρὸς τοὺς [9] ἑτέρους ἀπέχθειαν νομίζειν ἀφορμὴν τῆς πρὸς τοὺς ἑτέρους πίστεως εἶναι. Εἰ γὰρ τοῦ [10] Πλάτωνα κακόν τι λέγειν ἀφιέμενοι τοῖς ἀνδράσι τὰ πρέποντα ἀπεδώκαμεν, οὐκ ἀδικοῦμεν, οἶμαι· ταῦτα γὰρ καὶ πολιτικὰ [11] καὶ ἀνθρώπινα καὶ θεοῖς ἀρέσκοντα ἐκ τοῦ παντὸς χρόνου. Ἀλλ' [12] εἴ τοί γε φαῦλόν γε ἡ τραγῳδία καὶ φαύλων ἀνθρώπων, πῶς σε φῶμεν τραγῳδίαν ποιεῖν; οὐ γὰρ τό γε ὅλως αἰσχρὸν οὐδαμῶς ἔνι δή που ποιῆσαι καλῶς. Καὶ λέγεις μὲν ὡς οὐ χρὴ μιμεῖσθαι τοὺς φαύλους οὐδ' [13] ἁρμοιοῦν τοῖς χείροσιν [14], αὐτὸς δ' οὐ πάνυ χρῇ τούτῳ διὰ τέλους, ἀλλὰ μιμῇ σοφιστὰς, μιμῇ συκοφάντας, μιμῇ [ἀναίσχυντον [15] πάνυ τοῦτόν φασιν] Θρασύμαχον τὸν οὐδεπώποτε [16] ἐρυθριάσαντα, θυρωροὺς, παιδία, μυρίους [17]. Ἀλλ' οἶμαι τὸ τῆς φύσεως Ἑλληνικὸν καὶ εὔκολον καὶ εὔχαρι καὶ ποικίλον καὶ θεῖον, ἐφ' ἅπαντα ταῦτα ἄγον σε, ποιεῖ μαρτυρεῖν ὅτι καὶ τούτων ἑκάστου χρῆσίς ἐστι καιρὸν ἔχουσα καὶ χάριν ἐμμελῆ. Εἶτα [18] λέγεις ὅτι πάντες οὗτοι τοῦ [19] πρὸς ἡδονὴν ἐξήρτηνται. Πότερ [20] οὖν σε φῶμεν ἔλαττον τοῦ δέοντος λέγειν ἢ πλέον; ὅτι μὲν γὰρ καὶ τοῦ πρὸς ἡδονὴν φροντίζουσιν οἱ ποιηταὶ, ὁμολογεῖται· ὥσθ' ὅσον προσθεῖναι προσῆκεν [21], τοῦτ' ἀφελὼν ἔλαττον παρὰ τοῦτ' εἴρηκας. Ὅτι δὲ αὐτοῖς κολακείαν ἐπενηνόχεις ἐκ τούτον [22], πῶς οὐκ ἔξω τοῦ δέοντος εἴρηκας, ἢ πῶς οὐ ταύτῃ πλέον αὖ τοῦ δέοντός ἐστιν ἔχων ὁ λόγος; Ἐξῆν [23] γὰρ, ὦ γενναῖε, καὶ τοὺς νέους δικαίους εἶναι προτρέπειν καὶ τοῖς πρεσβυτέροις τὰ πρέποντα ἀποδοῦναι. Καὶ γὰρ εἰ μηδὲν εἴχομεν ἐπαινεῖν αὐτοὺς, ἀλλ' ἐξῆν γε δήπου σιωπῇ παρελθεῖν, καὶ οὐκ ἔμελλες ὀφλήσειν [1312 R.] ἀλογίου. Ἀλλὰ γὰρ οὐχ ὅτι [24] Πλάτων ὁ τῶν Ἑλλήνων τοσοῦτον ὑπερφέρων καὶ δικαίως μέγιστον ἐφ' ἑαυτῷ φρονῶν κατηγορῆσαί τινων ἠξίωσε μεγέθει τινὶ καὶ ἐξουσίᾳ φύσεως, τοῦτο καὶ μάλιστ' ἄν [25] τις ἀγανακτήσειεν, ἀλλ' ὅτι καὶ τῶν κωμιδῇ τινες οὐδενὸς ἀξίων [26] ἀφορμῇ ταύτῃ χρῶμενοι μελέτην ἤδη τὸ πρᾶγμα πεποίηνται, καὶ τολμῶσι καὶ περὶ Δημοσθένους (ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινὸς λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν) ὅ τι ἄν τύχωσι βλασφημεῖν. Καίτοι τίς ἂν εἰς ζῶντας τελῶν τούτων ἀνάσχοιτο; οἳ πλείω μὲν σολοικίζουσιν ἢ φθέγγονται, ὑπερορῶσι δὲ τῶν ἄλλων ὅσον αὐτοῖς ὑπερορᾶσθαι προσήκει. Καὶ τοὺς [27] μὲν ἄλλους ἐξετάζουσιν, αὐτοὺς δὲ οὐ πώποτε ἠξίωσαν [28]. Καὶ σεμνύνουσι μὲν τὴν ἀρετὴν, ἀσκοῦσι δ' οὔ, περιέρχονται δὲ ἄλλως

VARIÆ LECTIONES.

[6] δέ τι] δ' ἔτι ς. [7] γὰρ om. A. [8] οὐ δεῖ] p. 486. [9] τοὺς om. A. [10] τοῦ A : τὸν ς. [11] καὶ πολιτικὰ om. A. [12] ἀλλ'] p. 489. [13] οὐδ'. [14] χείροσιν om. A. [15] ἀναίσχ. π. τ. φασιν om. A. [16] οὐδέποτε A. [17] μυρίους, παιδία ς. [18] εἶτα] p. 491. [19] τοῦ om. A. [20] πότερον A. [21] προσῆκεν] πρὸς A. [22] τούτου τοῦ A. [23] ἐξῆν] p. 510. [24] οὐχ ὅτι] οὐχὶ A. [25] ἂν om. A. [26] ἀξίων οὐδενὸς ς. [27] καὶ τούς. [28] ἠξίωσαν om. A.

NOTÆ.

(98) Audaces ad ostia ponimus, ut fideles custodes.

(99 1) Oportebat enim adjicere *sectantibus*.

(2-3) Mercurius alter proverbii specie supr. Phot.

(4) Hom. Iliad. ψ.

βροτῶν εἴδωλα καμόντων, Ἡσιόδου κηφῆνες, Ἀρχιλόχου πίθηκοι, δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν τῆς τραγικῆς βοός. Οἱ τοῦ μὲν Διὸς [711 H.] οὐδὲν χείρους φασὶν εἶναι, τοῦ δὲ ὀβολοῦ τοσοῦτον ἡττῶνται· ὀνειδίζουσι δὲ τοῖς ἄλλοις [29], οὐ τῶν πραγμάτων κατεγνωκότες, ἀλλὰ φθονοῦντες ὅτι αὐτοὶ ταῦτα πράττειν [30] οὐ δύνανται. Εἴ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων ἀπαντικρὺ σταίη ἔχων ἔνθρυπτα καὶ στρεπτούς, ἐκβάλλουσι τὴν γλῶτταν ὥσπερ ὁ Μενέλεως τὸ ξίφος. Αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω! θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς Σατύρους τοῦ Σοφοκλέους. Οἵ [31] τῷ μὲν ἀποστερεῖν κοινωνεῖν ὄνομα τίθενται, τῷ δὲ φθονεῖν φιλοσοφεῖν, τῷ δ' ἀπορεῖν ὑπερορᾷν χρημάτων. Ἐπαγγελλόμενοι δὲ φιλανθρωπίαν ὤνησαν μὲν οὐδένα πώποτε, ἐπηρεάζουσι δὲ τοῖς χρωμένοις. Καὶ τοὺς μὲν ἄλλους οὐδ' ἁπαντῶντας ὁρῶσι, τῶν δὲ πλουσίων ἕνεκα εἰς τὴν ὑπεροριὰν ἀπαίρουσιν, ὥσπερ οἱ Φρύγες οἱ τῶν ἐλαιῶν ἕνεκα τῆς συλλογῆς, οἵ καὶ [32] προσιόντων εὐθὺς ὤσφροντο [32] Οὗτοι [34] γάρ [35] εἰσιν οἱ τὴν μὲν ἀναισχυντίαν ἐλευθερίαν νομίζοντες, τὸ δ' ἀπεχθάνεσθαι παῤῥησιάζεσθαι, τὸ δὲ λαμβάνειν φιλανθρωπεύεσθαι. Εἰς τοῦθ' [36] ἥκουσι τῆς [37] σοφίας, ὥστε ἀργύριον μὲν [38] οὐ πράττονται, ἀργυρίου [39] δ' [40] ἀξίως λαμβάνειν ἐπίστανται. Κἂν μὲν γε τύχῃ τις ἔλαττον πέμψας, ἐνέμειναν τῷ δόγματι· ἂν δὲ ἀδρότερον τὸ [41] σακκίον αὐτοῖς [42] φανῇ, Γοργόνα Περσεὺς ἐχειρώσατο. Τοῖς [43] ἐν Παλαιστίνῃ δυσσεβέσι παραπλήσια τοὺς τρόπους. Καὶ γὰρ ἐκείνοις τοῦτ' ἔστι σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι· καὶ οὗτοι τρόπον τινὰ ἀφεστᾶσι τῶν Ἑλλήνων, μᾶλλον δὲ καὶ πάντων τῶν κρειττόνων [44], τὰ μὲν ἄλλα ἀφωνότεροι τῆς σκιᾶς τῆς ἑαυτῶν, ἐπειδὰν δέ τινας εἰπεῖν [45] κακῶς δέῃ καὶ διαβαλεῖν [46], τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ· μὴ γάρ, ὦ Ζεῦ! ταῖς δὲ ἐμπίσι ταῖς ἐν τῷ σκότῳ βομβούσαις. Εὐγκαταπρᾶξαι μὲν τι τῶν δεόντων ἁπάντων [47] ἀχρηστότατοι, διορύξαι δὲ οἰκίαν καὶ ταράξαι, καὶ συγκροῦσαι τοὺς ἔνδον πρὸς ἀλλήλους, καὶ φῆσαι πάντ' αὐτοὺς διοικήσειν, πάντων δεινότατοι. Καταδύντες δὲ εἰς τοὺς χηραμοὺς ἐκεῖ τὰ θαυμαστὰ σοφίζονται, σκιᾷ τινι λόγοις ἀνασπῶντες, ἔφη ὁ [48] Σοφοκλῆς, τὸν ἀνθέρικα θερίζοντες, τὸ [49] ἐκ τῆς ἄμμου σχοινίον πλέκοντες, οὐκ οἶδ' ὄντινα ἰστὸν ἀναλύοντες· ὅσον γὰρ ἂν προκόψωσι τῆς σοφίας, τοσοῦτον ἀνταφαιροῦσι, μεγάλα [50] φρονοῦντες, ἐὰν ῥητορικὴν εἴπωσι κακῶς, [1313 R.] ὥσπερ οὖν καὶ τοὺς δούλους τοῖς δεσπόταις ὑπ' ὀδόντα [51] πολλάκις καταρωμένους, καὶ μάλιστα τοὺς μαστιγίας αὐτῶν. Ἤδη δέ τις καὶ

A ipsas condemnarint, sed quia cum paria facere non possint, invident. Quod si **438** *a* quis ipsis de continentia disputantibus oppositus placentas (5) ostendat et monilia, linguam demittunt, ut ensem Menelaus (6). Nam si Helenam videant ipsam, Helenam autem! si vel ancillam qualem finxit Menander Phrygiam, Sophoclis satyros revera pro ludicro curant haberi. Qui privationem vocant communionem (7); invidiam autem philosophiam, et inopiam pecuniæ contemptum. Cum autem humanitatem profiteantur, neminem juverunt unquam, et qui voluit ipsis uti, eos infestant. Et alios quidem vix occurrentes aspiciunt, divitum autem gratia ad fines regionis occurrunt, quemadmodum Prhyges propter oleas. Et-

B enim hi sunt, qui impudentiam et offensam putant esse libertatem, humanitatem in accipiendo ponunt. Quid? quod ad eam sapientiam pervenerunt ut pecuniam non exigant, quod autem pecuniam valet, accipere norint, in sententia perseverent: sin turgidior sit effectus sacculus Gorgonem ceperit Perseus. Non alieni ab impiorum Palæstinorum moribus. Nam et illi hoc habent impietatis signum, quod deos esse non putent, atque hi a Græcis, atque adeo bonis omnibus quodammodo dissentiunt, in reliquis quidem rebus umbra sua magis muti: cum autem aliquis criminandus et calumniandus est, vix

C æri Dodonæo, verum culicibus potius in tenebris perstrepentibus conferendi, ad rem maxime necessariam peragendam maxime inutiles, ad ædes perforandas, et perturbandos atque inter se committendos domesticos, omnemque administrationem sibi arrogandam, omnium aptissimi. Sed in latibula submersi miranda quædam comminiscuntur, ad umbram nescio quam verba eructantes, inquit Sophocles, anthericum metentes, funiculum in arena nectentes, telam nescio quam retexentes. Quantum enim in sapientia proficiunt, tantumdem amittunt (8),

D magnopere sibi placentes, cum rhetoricæ maledixerint, quasi non etiam famuli **438***b* sæpe, ac præsertim magistræ, dominos intra dentes exsecrentur. Quinetiam satyrus (9) quidam scenicus olim est Herculi imprecatus, ad cujus adventum confestim succubuit. Nec immerito videntur mihi cunctis maledicere, quandoquidem hac re plurimum valent, qui ut nullius hominis mentionem faciant, male tamen dicunt omnia, ita quod habent in medium conferunt. Atque etiam pulcherrimum philosophiæ nomen sibi tribuunt, quasi locum in theatro præoccupassent. Atque equidem, et Platoni debitum honorem tribui, et virorum dignitati opem tuli non ignaviter.

VARIÆ LECTIONES.

[29] τοῖς κακοῖς ἄλλοις ς. [30] ταῦτα πράττειν οὐ A : πράττειν ταῦτα ς. [31] οἵ] οὗτοι A. [32] οἵ κατ. [33] ὥσφροντο om. A. [34] οὗτοι] p. 513. [35] γάρ om. A. [36] τοῦθ' A : τοῦτο δ' ς. [37] τῆς om. A. [38] μέν. [39] ἀργυρίου om. A. [40] δ'] οὐδ' A. [41] τὸ A : τῷ ς. [42] αὐτοῖς om. A : [43] τοῖς (p. 514) [45] κρειττόνων om. A. [45] ἐπεὶ A. [46] διαβάλλειν A. [47] ἁπάντων om. A. [48] ὁ om. A. [49] θερ. καὶ τὸ ς. [50] μέγα ς. [51] ὑπ' ὀδόντα om. A.

NOTÆ.

(5) Utrumque species placentæ.
(6) Andromache, *apud Euripid.*
(7) Hoc reprehendendo Platonem dicit.
(8) Per malam ipsorum sententiam.
(9) Satyrus quidam, non enim genium dicit Bacchi.

Quod si quis hæc refutare potest, si id eadem servata mihi benevolentia, quæ Platonem ego sum prosecutus, fecerit, eum ego nunc et in posterum amicum non hostem judicabo.

Σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατό τῷ Ἡρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω [52] εἰκότως δέ μοι δοκοῦσι [53] κακῶς ἅπαντας λέγειν [54]· πολὺ γὰρ αὐτοῖς τοῦ πράγματος περίεστιν, οἵ γε κἂν μηδενὸς ἀνθρώπων μεμνήσωνται, λέγουσι δ' ἃ λέγουσι κακῶς· ὥστε ἀφ' ὧν ἔχουσι χαρίζονται. Εἶτα τὸ κάλλιστον τῶν ὀνομάτων αὐτοῖς τέθεινται, φιλοσοφίαν, ὥσπερ θέαν προκατειληφότες, Ἐγὼ [55] μὲν οὖν [712 H.] καὶ Πλάτωνι τὴν προσήκουσαν τιμὴν ἀπένειμα, καὶ τοῖς ἀνδράσι τὰ πρέποντα ἐβοήθησα, καὶ οὐχὶ προηκάμην. Εἰ δέ τις [56] ἀντειπεῖν ἔχει τούτοις, φυλάττων ἐμοὶ τὴν ἴσην εὐφημίαν ὅσηνπερ ἐγὼ Πλάτωνι, τοῦτον, ἐγὼ καὶ νῦν καὶ ὕστερον φίλον, οὐκ ἐχθρὸν κρίνω [57].

CCXLIX.

Excerpta e Vita Pythagoræ.

Legimus et *Vitam Pythagoræ.*

Excepit, inquit, docendi munere Pythagoram Plato nonus successor, Archytæ senioris discipulus, decimus Aristoteles. Pythagoræ autem discipuli, qui contemplationi dediti erant, Sebastici [id est *pii*] vocati sunt ; qui circa humana versarentur, Politici ; qui mathesin, geometriam, astronomiam amarent, Mathematici ; qui familiares ei essent, Pythagorici : horumque discipuli Pythagorei ; quique aliter extrinsecus eum imitarentur, Pythagoristæ. Omnes hi animalibus abstinentes, certo tempore e victimis solis gustabant. Centum et quatuor vixisse annis fertur Pythagoras, et Mnesarchus etiamnum juvenis unus filiorum obiisse ; successit huic Telauges, Saraque et Myia illius filiæ, ipsaque Theano, non discipula modo, verum et filia fuisse memorantur. Differunt, ut aiunt Pythagorei, unitas et unum : unitas quidem in rebus quæ sub intellectum cadunt, ab iis collocatur ; unum vero in ipsis numeris, et eodem modo duo in numeratis dualitatem infinitam perhibent. Unitas quidem secundum æqualitatem et medium sumitur : dualitas autem secundum exsuperantiam, id quod minus est. Itaque medium et modus non possunt plus aut minus fieri, sed excessus **439***a* et defectus, cum in infinitum procedant, atque ideo asseruerunt dualitatem infinitam. Et licet omnia e monade et dualitate in numeros referant, omniaque quæ exstant numerum appellent, decimo tamen numerus completur. Decimus vero fit a quatuor nobis ordine numerantibus numeris. Idcirco omnem numerum quaternarium appellant. Tribus quoque asserebant modis seipso hominem meliorem fieri. Primo cum diis colloquendo : accedentem enim ad eos tunc potissimum ab omni se maleficio abstinere necesse est, et quoad ejus fieri potest Deo assimilari. Deinde bene de aliis merendo : Dei enim hoc proprium est in eoque Deum imitatur. Tertio denique moriendo : si enim animus, qui in vita ipsa est vitæ causa,

ΣΜΘ'.

Πυθαγόρου βίος.

Ἀνεγνώσθη Πυθαγόρου βίος.

